9. Φοβήθητι τὸ ὑπόδειγμα τοῦ πλουσίου. Ἐκεῖνον παρέδωκε τῷ πυρὶ ἡ διὰ βίου τρυφή. Οὐ γὰρ ἀδικίαν, ἀλλὰ τὸ ἁβροδίαιτον ἐγκληθεὶς, ἀπετηγανίζετο ἐν τῇ φλογὶ τῆς καμίνου. Ἵνα τοίνυν σβέσωμεν ἐκεῖνο τὸ πῦρ, ὕδατος χρεία. Καὶ οὐ πρὸς τὰ (42) μέλλοντα μόνον ὠφέλιμος ἡ νηστεία, ἀλλὰ καὶ αὐτῇ τῇ σαρκὶ λυσιτελεστέρα. Αἱ γὰρ εἰς ἄκρον εὐεξίαι ὑποστροφὰς ἔχουσι καὶ μεταπτώσεις, ὀκλαζούσης τῆς φύσεως, καὶ ἀναφέρειν τὸ βάρος τῆς εὐεξίας ἀδυνατούσης. Ὅρα μὴ, νῦν (43) διαπτύων τὸ ὕδωρ, ὕστερον ῥανίδος ἐπιθυμήσῃς, ὡς καὶ ὁ πλούσιος. Οὐδεὶς ἐκραιπάλησεν ἀπὸ ὕδατος. Οὐδενὸς κεφαλὴ ὠδυνήθη ποτὲ ὕδατι βαρηθεῖσα. Οὐδεὶς ἀλλοτρίων ποδῶν ἐδεήθη, ὑδροποσίᾳ συζῶν. Οὐδενὸς ἐδέθησαν πόδες, οὐδενὸς χεῖρες ἀπηχρειώθησαν, ὕδατι καταρδόμεναι. Τὸ γὰρ περὶ τὴν πέψιν πλημμελὲς, ὃ τοῖς τρυφῶσιν ἀναγκαίως ἀκολουθεῖ, τοῦτο τὰ σφοδρὰ νοσήματα τοῖς σώμασιν ἐνεργάζεται. Νηστεύοντος σεμνὸν τὸ χρῶμα, οὐκ εἰς ἐρύθημα ἀναιδὲς ἐξανθοῦν, ἀλλ' ὠχρότητι σώφρονι κεκοσμημένον· ὀφθαλμὸς πρᾶος, κατεσταλμένον βάδισμα, πρόσωπον σύννουν, ἀκολάστῳ γέλωτι μὴ καθυβριζόμενον, συμμετρία λόγου, καθαρότης καρδίας. Μνήσθητι τῶν ἀπ' αἰῶνος ἁγίων, *Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, οἳ περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι*· ἐκείνων μίμησαι τὴν ἀναστροφὴν, εἴπερ ἐπιζητεῖς αὐτῶν τὴν μερίδα. Τί τὸν Λάζαρον ἐνανέπαυσε τοῖς (44) κόλποις τοῦ Ἀβραάμ; Οὐχὶ νηστεία; Ἰωάννου δὲ ὁ βίος μία νηστεία ἦν· ὃς οὐ κλίνην εἶχεν, οὐ τράπεζαν, οὐ γῆν ἀρόσιμον, οὐχ (45) ἀροτῆρα βοῦν, οὐ σῖτον, οὐ σιτοποιὸν, οὐκ ἄλλο τι τῶν κατὰ τὸν βίον. Διὰ τοῦτο *Μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἀνέστη Ἰωάννου τοῦ Βαπτιστοῦ*. Παῦλον μετὰ τῶν ἄλλων καὶ ἡ νηστεία, ἣν ἐν τοῖς ὑπὲρ τῶν θλίψεων καυχήμασιν ἀπηριθμήσατο, εἰς τὸν τρίτον οὐρανὸν ἀνήγαγε. Κεφάλαιον δὲ ἐπὶ τοῖς εἰρημένοις, ὁ Κύριος ἡμῶν νηστείᾳ τὴν σάρκα, ἣν ὑπὲρ ἡμῶν ἀνέλαβεν, ὀχυρώσας, οὕτως ἐν αὐτῇ τοῦ διαβόλου τὰς προσβολὰς ὑπεδέξατο, ἡμᾶς τε παιδεύων νηστείαις ἀλείφειν καὶ παιδοτριβεῖν ἑαυτοὺς πρὸς τοὺς ἐν τοῖς πειρασμοῖς ἀγῶνας, καὶ τῷ ἀντιπάλῳ διὰ τῆς ἐνδείας οἷον λαβὴν ἐνδιδούς. Ἀπρόσιτος γὰρ ἦν αὐτῷ διὰ τὸ ὕψος τῆς θεότητος, εἰ μὴ διὰ τῆς ἐνδείας ὑπέβη πρὸς τὸ ἀνθρώπινον. Ἐπανιὼν μέντοι εἰς οὐρανοὺς, τροφῆς ἥψατο, τὴν φύσιν τοῦ σώματος τοῦ ἀναστάντος

A rem post somnum? et sanitatem esse desiderabiliorem contraria expertis? Itidem et mensa est gratior post jejunium, idque ut divitibus et iis quibus mensa est opipara, ita tenuibus et iis qui parabili facilique victu utuntur.

9. Terreat te divitis exemplum, quem vita in deliciis acta tradidit incendio. Non enim ob crimen injustitiæ, sed ob vitæ mollitiem in camini flamma torrebatur. Proin ut hoc incendium exstinguamus, opus est aqua. Neque vero ad futura solum utile est jejunium, sed hic etiam ipsi carni conducibilius est. Siquidem habitudo corporis extreme bona sensim alteratur, mutaturque: nimirum succumbente natura, nec valente corpulentiæ pondus sustinere. Vide ne qui nunc aquam respuis, in posterum quoque, B exemplo divitis illius [27], stillam aquæ concupiscas. Nemo per aquæ potum lapsus est in crapulam, nulli caput unquam doluit aqua gravatum. Nullus eguit alienis pedibus, cui fuerit familiaris aquæ potus. Nullius pedes præpediti sunt, nullius manus usum suum amiserunt, aqua irrigatæ. Nam concoctionis vitium, quod viventes in deliciis necessario comitatur, acres morbos gignit in corporibus. Jejunantis color venerabilis est, non inverecundo rubore floridus, sed modesto pallore cohonestatus: oculi placidi, incessus compositus, vultus cogitatione defixus, nec intemperato risu dedecoratus, concinnus sermo, purum cor. Revoca in memoriam quotquot ab orbe condito fuere sancti, *Quibus dignus non erat mundus, qui circum-* C *ibant in pellibus ovium et caprarum, egentes, pressi, afflicti* [28]; illorum imitare vitam, si modo illorum cupis assequi sortem. Quæ res Lazaro quietem paravit in sinu Abrahamæ [29]? Nonne jejunium? Porro Joannis vita, unum erat ac continuum jejunium [30]. Non habebat lectum, non mensam, non arva, non aratorem bovem, non triticum, non pistorem, denique non aliud quidquam eorum quæ ad victum pertinent. Ideoque *Inter natos mulierum non surrexit major Joanne Baptista* [31]. Paulum cum alia, tum jejunium, quod super afflictionibus suis glorians recenset, in tertium cœlum subvexit [32]. Porro **8** quod præcipuum est ex iis quæ diximus, Dominus noster non prius in carne, quam pro no- D bis assumpserat, diaboli insultus excepit, quam eam jejunio communisset [33], tum nos erudiens ut nosmet jejuniis ad tentationum certamina ungamus et exerceamus, tum adversario per esuritionem præbens accedendi quasi ansam. Alioqui propter divinæ naturæ sublimitatem non patebat ad illum

[27] Luc. XVI, 24. [28] Hebr. XI, 36, 37. [29] Luc. XVI, 23. [30] Matth. III, 4. [31] Matth. XI, 11. [32] II Cor. XI, 27; XII, 2. [33] Matth. IV, 2.

(42) Colb. primus καὶ οὐχ εἰς τά.

(43) Rursus Colb. primus Ὅρα οὖν μή. Notes velim, olim ut carnium, ita vini usum prohibitum fuisse in Quadragesima, ob idque hic solius aquæ fieri mentionem.

(44) Legitur in duobus Colbertinis ἐπανέπαυσε τοῖς: in alio vero codice ἀνέπαυσεν ἐν τοῖς.

(45) Hunc locum interpretans Erasmus, addidit hæc verba, *ut ait Hesiodus;* nec tamen Basilius ejus poetæ meminit: sed vir multæ lectionis et propemodum infinitæ, indicare voluit Basilium, cum bovem aratorem dixit, hoc epithetum ab Hesiodo mutuatum fuisse. Versus Hesiodi, teste Ducæo, quadringentesimus tertius est in *Operibus et diebus.*

aditus diabolo, nisi se per esuritionem ad humanam imbecillitatem submisisset. Attamen priusquam reverteretur in cœlos, cibum gustavit [34], corporis quod resurrexerat naturam ac veritatem comprobaturus. Tu vero nullumne finem facturus es teipsum supra modum saginandi ac carne onerandi? nullamne animo ex fame et inedia extabescente, habiturus es rationem salutarium ac vivificorum dogmatum? An ignoras, quod perinde atque in acie hinc atque hinc instructa, qui alteri parti fert suppetias, facit ut altera vincatur : ita qui carni sese adjungit, expugnat spiritum, et qui ad spiritum transit, carnem in servitutem redigit? *Hæc enim sibi invicem adversantur* [35]. Proinde si cupis mentem reddere validam, fac carnem domes jejunio. Hoc enim est quod ait Apostolus, quod quantum externus homo corrumpitur, tantum internus renovatur [36]. Item illud : *Cum infirmor, tunc potens sum* [37]. Itane non contemnes istas escas, quæ corrumpuntur? itane non te capiet illius mensæ desiderium, quæ est in regno cœlorum, quam prorsus hic jejunando tibi præparabis? An ignoras, quod immoderata expletione tibi ipsi pinguem tortorem vermem paras? Quis enim in splendidis epulis, perpetuisque deliciis particeps factus est ullius doni spiritualis? Moyses ut alteram acciperet legem, altero jejunio opus habuit. Nisi una cum Ninivitis jejunassent et ipsa bruta animalia, haudquaquam effugissent subversionis comminationem [38]. Quorum cadavera prostrata sunt in deserto [39]? Nonne eorum, qui esum carnium flagitabant [40]? Illi donec erant contenti manna, et aqua de petra fluente, superabant Ægyptios, per mare faciebant iter, *Non erat infirmus in tribubus eorum* [41]: posteaquam vero recordati sunt carnium ollas [42], et desiderio reversi sunt in Ægyptum, non viderunt terram repromissam. Non metuis exemplum? non horres edacitatem, ne forte a bonis quæ speramus, te excludat? Ac ne Daniel quidem ille sapiens visiones vidisset, nisi jejunio reddidisset animam **9** limpidiorem. Siquidem pinguiore pastu ceu fumosi quidam vapores exhalantur, qui lucem sancti Spiritus in hominis mentem irradiantur

A πιστούμενος. Σὺ δὲ ὑπερπιαίνων μὲν σεαυτὸν καὶ κατασαρκῶν οὐκ ἀνίης; ἐκτήκων δὲ τὸν νοῦν ἐν ἀτροφίᾳ, τῶν (46) σωτηρίων καὶ ζωοποιῶν διδαγμάτων οὐδένα λόγον ποιῇ; Ἢ ἀγνοεῖς, ὅτι, ὥσπερ ἐπὶ παρατάξεως ἡ τοῦ ἑτέρου συμμαχία ἧτταν ποιεῖ τοῦ ἑτέρου, οὕτως ὁ τῇ σαρκὶ προσθέμενος τὸ πνεῦμα καταγωνίζεται, καὶ ὁ πρὸς τὸ πνεῦμα μεταταξάμενος (47) καταδουλοῦται τὴν σάρκα; *Ταῦτα γὰρ ἀλλήλοις ἀντίκειται.* Ὥστε, εἰ βούλει ἰσχυρὸν ποιῆσαι τὸν νοῦν, δάμασον τὴν σάρκα διὰ νηστείας. Τοῦτο γάρ ἐστιν ὅ φησιν ὁ Ἀπόστολος, ὅτι ὅσον ὁ ἔξωθεν ἄνθρωπος (48) διαφθείρεται, τοσοῦτον ὁ ἔσωθεν ἀνακαινοῦται· καὶ τό· *Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι.* Οὐ καταφρονήσεις τῶν φθειρομένων βρωμάτων; οὐκ ἐπιθυμίαν λήψῃ τῆς ἐν τῇ βασιλείᾳ B τραπέζης, ἣν πάντως ἡ ἐνθάδε νηστεία προευτρεπίσει; Ἀγνοεῖς τῇ ἀμετρίᾳ τοῦ χόρου παχὺν σεαυτῷ τὸν βασανιστὴν κατασκευάζων σκώληκα; Τίς γὰρ ἐν τροφῇ δαψιλεῖ καὶ τρυφῇ διηνεκεῖ ἐδέξατό τινα (49) κοινωνίαν χαρίσματος πνευματικοῦ; Μωϋσῆς, δευτέραν λαμβάνων νομοθεσίαν, δευτέρας νηστείας προσεδεήθη. Νινευΐταις εἰ μὴ καὶ τὰ ἄλογα συνενήστευσεν, οὐκ ἂν διέφυγον τὴν ἀπειλὴν τῆς καταστροφῆς. Τίνων ἔπεσε τὰ κῶλα ἐν τῇ ἐρήμῳ; Οὐ τῶν κρεωφαγίαν ἐπιζητούντων; Ἐκεῖνοι, ἕως μὲν ἠρκοῦντο τῷ μάννα καὶ τῷ ἐκ τῆς πέτρας ὕδατι, Αἰγυπτίους ἐνίκων, διὰ θαλάσσης ὥδευον· *Οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν*· ἐπειδὴ δὲ ἐμνήσθησαν τῶν κρεῶν τῶν λεβήτων, καὶ ἐστράφησαν ταῖς (50) ἐπιθυμίαις εἰς Αἴγυπτον, οὐκ εἶδον τὴν γῆν τῆς ἐπαγγε- C λίας. Οὐ φοβῇ τὸ ὑπόδειγμα; οὐ φρίσσεις τὴν ἀδηφαγίαν, μήπου σε τῶν ἐλπιζομένων ἀγαθῶν ἀποκλείσῃ; Ἀλλ᾽ οὐδ᾽ ἂν ὁ σοφὸς Δανιὴλ τὰς ὀπτασίας εἶδεν, εἰ μὴ νηστείᾳ διαυγεστέραν ἐποίησε τὴν ψυχήν. Ἐκ γὰρ τῆς παχείας τροφῆς (51) οἷον αἰθαλώδεις ἀναθυμιάσεις ἀναπεμπόμεναι, νεφέλης δίκην πυκνῆς, τὰς ἀπὸ τοῦ ἁγίου Πνεύματος ἐγγινομένας ἐλλάμψεις ἐπὶ τὸν νοῦν διακόπτουσιν. Εἰ δὲ καὶ ἀγγέλων ἐστί τις τροφή, ἄρτος ἐστὶν, ὥς φησιν ὁ προφήτης· *Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος*· οὐ κρέα, οὐδὲ οἶνος, οὐδὲ ὅσα (52) τοῖς δούλοις τῆς γαστρὸς διεσπούδασται. Νηστεία ὅπλον ἐστὶ πρὸς τὴν κατὰ τῶν δαιμόνων στρατιάν· *Τοῦτο γὰρ τὸ γένος οὐκ ἐξέρχε-*

[34] Luc. XXIV, 43. [35] Galat. V, 17. [36] II Cor. IV, 16. [37] II Cor. XII, 10. [38] Joan. III, 4-10. [39] Hebr. III, 17. [40] Num. XIV, 37. [41] Psal. CIV, 37. [42] Exod. XVI, 3.

(46) Unus codex Combef. conjuncte ἐν ἀτροφίᾳ τῶν, et ita legit Erasmus : sed virgulam, quam inveni in editione Paris. post vocem ἀτροφίᾳ, relinquere malui. Nam hoc pacto ejus loci sententia aptior efficitur et concinnior.

(47) Unus codex Combef. καταταξάμενος, male. Mox Colb. primus ἀλλήλοις ἀντίκεινται. Subinde Reg. primus uno verbo ἰσχυροποιῆσαι τὸν νοῦν.

(48) Reg. primus ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος.

(49) Colb. primus ὑπεδέξατό τινα. Mox Reg. primus ἐδεήθη.

(50) Unus codex Colb. καὶ ὑπέστρεψαν ταῖς.

(51) Colb. primus παχυτέρας τροφῆς. Aliquanto infra idem codex πνεύματος ἐκπεμπομένας ἐλλ.

(52) Monet Ducæus, legi in Oliv. οὐ κρέας, οὐδὲ οἶνον, οὐδ᾽ ὅσα, sic ut, inquit vir doctissimus, refe- D rantur ista ad illa quæ præcesserunt, ἄρτος ἐστίν. Recte quidem, opinor, et vere judicavit, cum monuit illud, οὐ κρέας, referri ad id quod præcedit, ἄρτος ἐστίν· sed quomodo vox οἶνον ad vocem ἄρτος referri itidem possit, non video: cum una posita sit in nominativo, altera in accusativo. Puto igitur Oliv. codicem hac parte mendosum esse; quemadmodum et alii quinque codices mendosi sunt, in quibus pariter legitur οὐδὲ οἶνον. Quare vulgatam lectionem οὐδὲ οἶνος retinendam censui : eo magis, quod auctoritate vetustissimi codicis Regii tertii confirmetur. Jam si quis requirat cur non ediderimus κρέας, ut in Oliv. scriptum invenit Ducæus, dicam id non inde factum, quod hæc vox displiceat, sed quod et in impressis libris et in nostris mss. κρέα legatur.

ται εἰ μὴ ἐν *προσευχῇ καὶ νηστείᾳ*. Καὶ τὰ μὲν ἐκ τῆς νηστείας ἀγαθὰ τοσαῦτα· ὁ δὲ κόρος ὕβρεων ἀρχή (53). Εὐθὺς γὰρ συνεισπίπτει τῇ τρυφῇ καὶ τῇ μέθῃ καὶ ταῖς παντοδαπαῖς καρυκείαις πᾶν εἶδος ἀκολασίας βοσκηματώδους. Ἔνθεν ἵπποι θηλυμανεῖς οἱ ἄνθρωποι διὰ τὸν ἐκ τῆς τρυφῆς οἶστρον ἐγγινόμενον τῇ ψυχῇ. Παρὰ τῶν μεθυόντων αἱ τῆς φύσεως ἐναλλαγαὶ, ἐν ἄῤῥενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄῤῥεν ἐπιζητούντων. Νηστεία δὲ καὶ γαμικῶν ἔργων μέτρα γνωρίζει, καὶ τῶν ἐκ νόμου συγκεχωρημένων (54) τὴν ἀμετρίαν κολάζουσα, σύμφωνον σχολὴν ἐμποιεῖ, ἵνα παραμείνωσι τῇ προσευχῇ.

10. Μὴ μέντοι ἐν τῇ ἀποχῇ μόνῃ τῶν βρωμάτων τὸ ἐκ τῆς νηστείας ἀγαθὸν ὁρίζου. Νηστεία γὰρ ἀληθὴς ἡ τῶν κακῶν ἀλλοτρίωσις. *Λῦε πάντα σύνδεσμον ἀδικίας*· ἄφες τῷ πλησίον τὴν λύπην· ἄφες αὐτῷ τὰ ὀφλήματα. *Μὴ εἰς κρίσεις καὶ μάχας νηστεύετε.* Κρεῶν οὐκ ἐσθίεις, ἀλλ' ἐσθίεις τὸν ἀδελφόν. Οἴνου ἀπέχῃ, ἀλλ' ὕβρεων (55) οὐ κρατεῖς. Τὴν ἑσπέραν ἀναμένεις εἰς μετάληψιν, ἀλλὰ δαπανᾷς τὴν ἡμέραν εἰς δικαστήρια. Οὐαὶ οἱ μεθύοντες, οὐκ ἀπὸ οἴνου. Θυμὸς μέθη ἐστὶ τῆς ψυχῆς, ἔκφρονα αὐτὴν ποιῶν ὡς ὁ οἶνος. Λύπη μέθη ἐστὶ καὶ αὐτὴ, καταβαπτίζουσα τὴν διάνοιαν. Φόβος ἑτέρα μέθη, ὅταν ἐφ' ἃ μὴ δεῖ γένηται (56)· *Ἀπὸ φόβου* γὰρ, φησὶν, *ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου*. Καὶ ὅλως ἕκαστον τῶν παθημάτων, ἐκστατικὸν διανοίας ὑπάρχον, μέθη ἂν δικαίως προσαγορεύοιτο. Ἐννόησόν μοι τὸν ὀργιζόμενον ὅπως μεθύει τῷ πάθει. Οὐκ ἔστιν αὐτὸς ἑαυτοῦ κύριος, ἀγνοεῖ ἑαυτὸν, ἀγνοεῖ τοὺς παρόντας· ὥσπερ ἐν νυκτομαχίᾳ πάντων ἅπτεται, πᾶσι προσπταίει· ἀταμίευτα φθέγγεται, δυσκάθεκτός ἐστι, λοιδορεῖται, τύπτει, ἀπειλεῖ, διόμνυται, βοᾷ, διαῤῥήγνυται. Φύγε ταύτην τὴν μέθην, μηδὲ τὴν διὰ τοῦ οἴνου προσδέξῃ. Μὴ προλάβῃς πολυποσίᾳ (57) τὴν ὑδροποσίαν. Μὴ μυσταγωγείτω σε ἐπὶ νηστείαν ἡ μέθη. Οὐκ ἔστι διὰ μέθης εἴσοδος εἰς νηστείαν· οὐδὲ γὰρ διὰ πλεονεξίας εἰς δικαιοσύνην, οὐδὲ δι' ἀκολασίας εἰς σωφροσύνην, οὐδὲ, συλλήβδην εἰπεῖν, διὰ τῆς κακίας εἰς ἀρετήν. Ἄλλη θύρα ἐπὶ νηστείαν. Μέθη εἰς ἀκολασίαν εἰσάγει, ἐπὶ νηστείαν αὐτάρκεια. Ὁ ἀθλῶν προγυμνάζεται· ὁ νηστεύων προεγκρατεύεται. Μὴ ὡς ἀμυνόμενος τὰς ἡμέρας, μὴ ὡς κατασοφιζόμενος τὸν νομοθέτην, τῶν πέντε ἡμερῶν τὴν κραιπάλην προαποτίθεσο. Καὶ γὰρ ἀνόνητα πο-

A tem, quasi densa nubes interveniens, intercipiunt. Quodsi angelorum quoque cibus est ullus, panis est, quemadmodum ait propheta : *Panem angelorum manducavit homo* [43] : non carnes, non vinum, non denique quæcunque alia, quæ qui serviunt ventri, ingenti studio exquirunt. Jejunium armatura est ad confligendum cum dæmonibus. Nam *Hoc genus non exit nisi in oratione et jejunio* [44]. Tam multa bona proveniunt e jejunio : contra, satietas lasciviæ initium est. Statim enim una cum deliciis, ebrietate, et omni genere conditis bellariis, prodit libidinis pecuinæ genus omne. Hinc equi insanientes in feminas fiunt homines [45], ob œstrum ac furorem quem in animo gignunt deliciæ. A temulentis orta est naturæ inversio, dum in masculino sexu femininum, in feminino masculinum quærunt. Jejunium vero etiam in usu conjugii modum temperantiamque docet, ac voluptatum lege concessarum immodicum usum castigans, parit concors otium, ut perseverent in precatione [46].

B 10. Cave tamen ne jejunii utilitatem sola escarum abstinentia metiaris. Verum enim jejunium est a vitiis esse alienum. *Solve omne vinculum iniquitatis* [47] : condona proximo molestiam illatam tibi : remitte illi debita. *Nolite ad lites ac contentiones jejunare* [48]. Carnes non edis, sed comedis fratrem. A vino abstines, sed ab injuriis tibi non temperas. Exspectas vesperam, ut cibum capias, sed diem totum absumis apud tribunalia. Væ iis qui ebrii sunt, non a vino [49]. Ira, mentis est temulentia, eamque desipientem reddit, haud aliter quam vinum. Tristitia est quoque temulentia mentem obruens, ac demergens. Alia temulentia metus est, cum habetur ubi non oportet. *A timore* enim, inquit, *inimici eripe animam meam* [50]. In summa, C quivis affectus dimovens animam a statu suo dici merito potest ebrietas. Cogita mihi hominem ira percitum, quam temulentus sit eo vitio. Non est sui compos, non novit semetipsum, non novit qui adsunt; sed velut in pugna nocturna, omnes attingit, in quoslibet obvios incidit, inconsiderata loquitur, non potest cohiberi, conviciatur, percutit, minatur, dejerat, vociferatur, disrumpitur. Fugito istam temulentiam, sed ne illam quidem quæ ex vino nascitur, admitte. Noli aquæ potum largiore vini potu prævertere. Ne te ad jejunii mysteria introducat ebrietas. Non est per temulentiam aditus ad jejunium, quemadmodum nec ad justitiam accessus est per fraudationem, nec ad D castimoniam per lasciviam, nec, ut summatim dicam, per nequitiam ad virtutem. Aliud ostium est ad jejunium. Ebrietas ad lasciviam inducit, ad jejunium frugalitas. Athleta ante certamen exerce-

[43] Psal. LXXVII, 25. [44] Marc. IX, 28. [45] Jerem. V, 8. [46] I Cor. VII, 5. [47] Isa. LVIII, 6. [48] ibid. 4. [49] Isa. LI, 21. [50] Psal. LXIII, 2.

(53) Reg. primus ὕβρεως ἀρχή.
(54) Colb. primus νόμου συγχωρουμένων. Mox Reg. primus ἵνα παραμένωσι. Aliquanto infra Colb. primus ἀποχῇ μόνων.
(55) Unus codex Reg. ἀλλ' ὕβρεως.
(56) Reg. secundus ὅταν ἐφ' ἃ δεῖ μὴ γίνηται, *quando non fit ubi fieri debet*. Nec ita multo post quatuor mss. ἕκαστον τῶν παθῶν.

(57) Antiqui duo libri προλάβῃς οἰνοποσίᾳ, *vini potu :* quam scripturam optimam esse et maxime idoneam arbitramur, nec tamen quidquam mutavimus, quod vulgatam lectionem Reg. tertius codex optimus idemque vetustissimus tueatur. Mos, qui his temporibus misere viget, multorum, qui ante diem Cinerum genio plus æquo indulgent, hic a Basilio redarguitur.

tur; qui jejunaturus est, præparat se per abstinentiam. Ne velut ulciscens hos dies, neu veluti fucum facturus legislatori, ante hos quinque dies colloca crapulam. Nam laboras frustra, si corpus quidem conficis, nec tamen solatium esuritioni admoves. Infida est cella, in pertusum dolium infundis. Etenim vinum diffluit, ad suam recurrens viam; contra remanet peccatum. **10** Famulus profugit ab hero verberante: tu vero non recedis a vino, quod tuum quotidie caput percutit? Modus utendi vino optimus est corporis necessitas. Quod si fines prætergredieris, postridie venies capitis gravedine affectus, oscitans, vertigine laborans, putrefactum olens vinum; omnia tibi circumferri, omnia circumvolvi videbuntur. Ebrietas ut somnum affert mortis germanum, ita vigiliam habet somniis assimilem.

A νεῖς (58), τὸ μὲν σῶμα συντρίβων, μὴ παραμυθούμενος δὲ τὴν ἔνδειαν. Ἄπιστόν ἐστι τὸ (59) ταμεῖον, εἰς τετρημένον πίθον ἀντλεῖς. Ὁ μὲν γὰρ οἶνος διαῤῥέει, τὴν ἰδίαν ὁδὸν ἀποτρέχων· ἡ δὲ ἁμαρτία ἐναπομένει. Οἰκέτης δραπετεύει δεσπότην τύπτοντα· σὺ δὲ παραμένεις τῷ οἴνῳ, καθ' ἑκάστην ἡμέραν τὴν κεφαλήν σου τύπτοντι; Μέτρον ἄριστον τῆς τοῦ οἴνου χρήσεως ἡ χρεία τοῦ σώματος. Ἐὰν δὲ ἔξω τῶν ὅρων γένῃ, αὔριον ἥξεις καρηβαρῶν, χασμώμενος, ἰλιγγιῶν, σεσηπότος οἴνου ἀπόζων· πάντα σοι περιφέρεσθαι, πάντα δονεῖσθαι δόξει. Μέθη γὰρ ὕπνον μὲν ἐπάγει, ἀδελφὸν θανάτου, ἐγρήγορσιν δὲ ὀνείροις προσεοικυῖαν.

11. An ignoras quem es hospitio excepturus? Nimirum illum, qui nobis ita pollicitus est: *Ego et Pater veniemus, et mansionem apud eum faciemus* [61]. Cur igitur prius recipis temulentiam, ac Domino ingressum præcludis? cur hostem inducis, ut tua prior munimenta occupet? Ebrietas non recipit Dominum, ebrietas Spiritum propellit. Fumus quidem abigit apes, dona vero spiritualia fugat crapula. Jejunium civitatis est ornamentum, fori columen, domorum pax, incolumitas facultatum. Vis jejunii videre dignitatem? Confer mihi hodierni diei vesperam cum vespera crastini, conspicies civitatem e tumultu ac tempestate mutatam in profundam tranquillitatem. Utinam autem et hodiernus dies crastino similis sit sanctitate et gravitate, et crastinus dies hodierno non cedat hilaritate! Cæterum qui nos produxit ad hunc temporis recursum Dominus, præstet nobis tanquam certatoribus, ut in hoc certaminum exordio firmam ac constantem temperantiam ostendamus, perveniamusque ad arbitram coronarum diem, ut recordemur nunc quidem salutiferæ passionis, in futuro vero sæculo fruamur præmio, pro his quæ in hac vita gessimus, reponendo in justo judicio Christi ipsius, quoniam illi gloria in sæcula. Amen.

B 11. Ἆρα οἶδας τίς ἐστιν ὃν ὑποδέχεσθαι μέλλεις; Ὁ ἐπαγγειλάμενος ἡμῖν, ὅτι *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν* (60). Τί οὖν προλαμβάνεις τῇ μέθῃ, καὶ ἀποκλείεις τῷ Δεσπότῃ τὴν εἴσοδον; τί προτρέπῃ τὸν ἐχθρὸν προκατασχεῖν σου τὰ ὀχυρώματα; Μέθη Κύριον οὐχ ὑποδέχεται· μέθη Πνεῦμα ἅγιον ἀποδιώκει. Καπνὸς μὲν γὰρ ἀποδιώκει μελίσσας (61), χαρίσματα δὲ πνευματικὰ ἀποδιώκει κραιπάλη. Νηστεία πόλεως εὐσχημοσύνη, ἀγορᾶς εὐστάθεια, οἴκων εἰρήνη, σωτηρία τῶν ὑπαρχόντων. Βούλει αὐτῆς ἰδεῖν τὴν σεμνότητα; Σύγκρινόν μοι τὴν σήμερον ἑσπέραν τῇ (62) αὔριον, καὶ ὄψει τὴν πόλιν ἐκ ταραχῆς καὶ ζάλης εἰς γαλήνην βαθεῖαν μεταβαλοῦσαν. Εὔχομαι δὲ καὶ τὴν σήμερον τῇ αὔριον ἐοικέναι κατὰ τὴν σεμνότητα· καὶ C τὴν αὔριον μηδὲν φαιδρότητι τῆς σήμερον ἀπολείπεσθαι. Ὁ δὲ ἀγαγὼν ἡμᾶς εἰς τὴν περίοδον τοῦ χρόνου Κύριος παράσχοι ἡμῖν, οἷον ἀγωνισταῖς, εἰς τοὺς προαγῶνας τούτους τὸ στεῤῥὸν καὶ εὔτονον τῆς καρτερίας ἐπιδειξαμένους (63), φθάσαι καὶ ἐπὶ τὴν κυρίαν τῶν στεφάνων ἡμέραν· νῦν μὲν τῆς ἀναμνήσεως τοῦ σωτηρίου πάθους (64), ἐν δὲ τῷ μέλλοντι αἰῶνι τῆς ἀνταποδόσεως τῶν βεβιωμένων ἡμῖν ἐν τῇ δικαιοκρισίᾳ τοῦ Χριστοῦ αὐτοῦ, ὅτι αὐτῷ ἡ δόξα (65) εἰς τοὺς αἰῶνας. Ἀμήν.

[61] Joan. xiv, 23.

(58) Editi ἀνόητα πονεῖς, *stulte laboras*. At duo Regii mss. et Oliv. et Colb. primus ἀνόνητα πονεῖς, *frustra laboras*. Denique Colb. tertius ἀνόητα ποιεῖς, *stulte facis*.

(59) Colb. primus ἄπληστόν ἐστι τό, *cella est inexplebilis*. Haud longe Reg. primus et Colb. tertius εἰς τετριμμένον πίθον, depravate.

(60) Unus codex Reg. αὐτῷ ποιησόμεθα. Monere juvat, Eucharistiam non obscure hoc loco indicari: ad quam qui accederent, Dominum ipsum, ut docet Basilius, non Domini umbram aut figuram recipiebant. Quo Basilii testimonio, ut sexcentis aliis sanctorum Patrum, plane constat Domini corpus in Eucharistia vere et proprie recipi.

(61) Antiqui duo libri et editi ἀποδιώκει μελίσσας. Alii quatuor mss. φυγαδεύει μελίσσας. Sed suspicor ita correctum ab aliquo, qui existimaret verbum ἀποδιώκειν in uno aut altero versu ter repeti non debere, cum tamen in hac repetitione elegantiæ aliquid et leporis inesse videatur.

(62) Editi τὴν σήμερον ἑσπέραν τῇ, etc., *Confer mihi hodierni diei vesperam cum vespera crastini*. Reg. primus et alii tres mss. Colbertini τὴν σημερινὴν ἑσπέραν τῇ, non dissimili sensu. At Regii secundus et tertius et Colb. primus τὴν σήμερον ἡμέραν τῇ, *Confer mihi cum die crastino diem hodiernum*. Nihil in contextu mutandum judicavimus.

D (63) Veteres septem libri ἐπιδειξαμένους. Editi ἐπιδειξαμένοις.

(64) Legenti mihi Erasmum, qui illud, νῦν μὲν τῆς ἀναμνήσεως τοῦ σωτηρίου πάθους, interpretatus est hoc modo, *ut recordemur nunc quidem salutiferæ afflictionis*, in mentem venit quorumdam, qui, ne viderentur antiquitatis aut ignari aut parum studiosi, non *fidem*, sed *persuasionem*, non *sacramentum corporis Dominici*, sed *sanctificum crustulum*, et alia id genus dicebant: quam loquendi rationem nemo sapiens unquam approbabit. Præstat igitur, ut mihi quidem videtur, ita vertere: *ut recordemur nunc quidem salutiferæ passionis*.

(65) Colb. primus ἐν τῇ δικαιοκρισίᾳ τοῦ Υἱοῦ αὐτοῦ, ὅτι αὐτῷ ἡ δόξα νῦν καὶ ἀεί, etc. Aliter in aliis mss. legitur; neque id mirum videbitur iis qui paululum in conferendis veteribus libris versati sunt, cum clausula in variis codicibus varie scribi soleat.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ ΛΟΓΟΣ Β' (66).

1. *Παρακαλεῖτε*, φησὶν, *ἱερεῖς, τὸν λαόν· λαλήσατε εἰς τὰ ὦτα Ἱερουσαλήμ.* Ἱκανὴ τοῦ λόγου ἡ φύσις τῶν μὲν σπουδαίων τὰς ὁρμὰς ἐπιτεῖναι, τῶν δὲ ῥαθύμων καὶ νωθρῶν ἐπεγεῖραι τὸ πρόθυμον. Ὅθεν στρατηγοὶ μὲν, εἰς παράταξιν τὸν στρατὸν καθιστῶντες, τοῖς παρακλητικοῖς λόγοις πρὸ τῶν ἀγώνων κέχρηνται, καὶ τοσαύτην ἔχει δύναμιν ἡ παραίνεσις, ὥστε πολλοῖς καὶ θανάτου πολλάκις καταφρόνησιν ἐμποιεῖν· γυμνασταὶ δὲ καὶ παιδοτρίβαι, πρὸς τοὺς ἐν τοῖς σταδίοις ἀγῶνας τοὺς ἀθλοῦντας προσάγοντες (67), πολλὰ περὶ τοῦ χρῆναι πονεῖν ὑπὲρ τῶν στεφάνων διακελεύονται· ὥστε καὶ συνεπείσθησαν πολλοὶ τῇ περὶ τὴν νίκην φιλοτιμίᾳ τῶν σωμάτων ὑπεριδεῖν. Καὶ τοίνυν καὶ ἐμοὶ, τοὺς Χριστοῦ στρατιώτας πρὸς τὸν κατὰ τῶν ἀοράτων ἐχθρῶν πόλεμον διατάσσοντι, καὶ τοὺς ἀθλητὰς τῆς εὐσεβείας ἐπὶ τοὺς τῆς δικαιοσύνης στεφάνους διὰ τῆς ἐγκρατείας παρασκευάζοντι, ἀναγκαῖος ὁ λόγος τῆς παρακλήσεως. Τί οὖν φημι, ἀδελφοί; Ὅτι τοὺς μὲν τὰ τακτικὰ μελετῶντας, καὶ τοὺς ἐν παλαίστραις (68) διαπονουμένους, ἀκόλουθόν ἐστι τῇ δαψιλείᾳ τῆς τροφῆς κατασαρκοῦν ἑαυτοὺς, ὡς ἂν εὐτονώτερον τῶν πόνων ἀντιλαμβάνοιντο· οἷς δὲ *Οὐκ ἔστιν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας*, τούτοις διὰ τῆς ἐγκρατείας καὶ τῆς νηστείας ἀναγκαῖόν ἐστι τὸ πρὸς τὸν ἀγῶνα καταγυμνάζεσθαι. Ἔλαιον μὲν γὰρ πιαίνει τὸν ἀθλητήν· νηστεία δὲ τὸν ἀσκητὴν τῆς εὐσεβείας κρατύνει. Ὥστε ὅσον ὑφαιρεῖς τῆς σαρκὸς, τοσοῦτον ποιήσεις τῆς πνευματικῆς εὐεξίας τὴν ψυχὴν ἀποστίλβειν. Οὐ γὰρ σωματικοῖς τόνοις, ἀλλὰ καρτερίᾳ ψυχῆς καὶ τῇ πρὸς τὰς θλίψεις ὑπομονῇ τὸ πρὸς τοὺς ἀοράτους ἐχθροὺς περιγίνεται κράτος.

2. Ἔστι μὲν οὖν πάντα τὸν χρόνον ἡ νηστεία ὠφέλιμος τοῖς αἱρουμένοις αὐτὴν (οὔτε γὰρ ἐπήρεια δαιμόνων κατατολμᾷ τοῦ νηστεύοντος, καὶ οἱ (69) φύλακες τῆς ζωῆς ἡμῶν ἄγγελοι φιλοπονώτερον παραμένουσι τοῖς διὰ νηστείας τὴν ψυχὴν κεκαθαρμένοις)· πολλῷ δὲ πλέον νῦν, ὅτε εἰς πᾶσαν τὴν οἰκουμένην περιαγγέλλεται τὸ κήρυγμα. Καὶ οὔτε τις νῆσος, οὐκ ἤπειρος, οὐ πόλις, οὐκ ἔθνος, οὐκ ἐσχατιὰ ἀνήκοός ἐστι τοῦ κηρύγματος. Ἀλλὰ καὶ στρατόπεδα, καὶ ὁδοιπόροι, καὶ πλωτῆρες, καὶ ἔμποροι, πάντες ὁμοίως καὶ ἀκούουσι τοῦ παραγγέλματος, καὶ περιχαρῶς ὑποδέχονται. Ὥστε μηδεὶς ἑαυτὸν ἔξω ποιείτω τοῦ καταλόγου τῶν νηστευόντων, ἐν ᾧ πάντα γένη, καὶ πᾶσα ἡλικία, καὶ ἀξιωμάτων διαφοραὶ πᾶσαι καταλέγονται. Ἄγγελοί εἰσιν οἱ καθ' ἑκάστην ἐκκλησίαν

DE JEJUNIO HOMILIA II.

1. *Exhortamini*, inquit, *sacerdotes*, *populum: loquimini ad aures Jerusalem* [32]. Ea vis est orationis, ut et studiosis possit impetum intendere, et ignavis ac segnibus excitare alacritatem. Hanc ob causam duces cum aciem instruunt, exhortatoriis orationibus ante conflictum uti solent, tantamque vim habet ea exhortatio, ut compluribus etiam mortis contemptum frequenter afferat. Similiter exercitiorum magistri et pædotribæ, si quando in stadiis certaturos producunt, multis admonent labores necessario pro coronis perferendos esse; adeoque victoriæ consequendæ studio adducti sunt multi ad sua corpora contemnenda. Proinde mihi quoque, qui Christi milites ad bellum cum invisibilibus hostibus gerendum instruo, et athletas pietatis per
11 abstinentiam præparo ad justitiæ coronas, opus est oratione exhortatoria. Quid igitur est quod dico, fratres? Nempe quod iis qui bellicis in rebus exercentur, quippe in palæstris luctando desudant, convenit, ut copia ciborum reddant seipsos corpulentos et obesos; videlicet quo validioribus nervis labores queant capessere: contra vero, quibus *Non est colluctatio adversus sanguinem et carnem, sed adversus principatus, adversus potestates, adversus mundi dominos tenebrarum harum, adversus spirituales nequitias* [33], hos oportet per sobrietatem ac jejunium ad certamen exerceri. Etenim quemadmodum oleum pinguefacit athletam: ita jejunium robur addit ei qui ad pietatem exercet sese. Itaque quantum subtraxeris carni, tanto reddes animam bona habitudine spiritali nitidiorem. Non enim ex viribus corporis, sed ex animi tolerantia atque in afflictionibus patientia adversus hostes invisibiles robur suppetit.

2. Est quidem jejunium omni tempore utile, iis qui lubenti animo illud suscipiunt (neque enim assultus dæmonum quidquam audet adversus jejunantem, ac vitæ nostræ custodes angeli diligentius adsunt iis qui jejunio purgatam habent animam): sed multo magis hoc tempore, quo per universum terrarum orbem undique denuntiatur jejunii præconium. Nec ulla est insula, nec ulla terra continens, non civitas, non gens ulla, non extremus mundi angulus, ubi non audiatur jejunii edictum. Quin et exercitus, et viatores, et nautæ, et negotiatores, omnes pariter audiunt edictum, et summo gaudio excipiunt. Ne quis igitur semet excludat a numero jejunantium, in quo omne genus hominum, omnis ætas, omnes dignitatum ordines re-

[32] Isa. XL, 1. [33] Ephes. VI, 12.

(66) Colb. secundus λόγος πρῶτος, *sermo primus.* Colb. tertius λόγος α'. Ita, teste Combefisio, legitur in Regio quodam codice, τῇ δ' οὗτος ὁ λόγος, *quarta die recitatur hic sermo.* Unus codex Colbertinus, quem Combefisius vocat minorem, sic habet in prima oratione, τῇ δ' τῆς τυρινῆς, *hic sermo recitari solet die quarta ejus hebdomadis, qua caseis uti licet:* in secunda vero ita, τῇ παρασκευῇ τῆς τυρινῆς, *hic sermo recitatur die sexta ejus hebdomadis, qua caseis uti licet.* Putat autem vir doctissimus, librarios hæc eo notasse, ut Ecclesiarum suarum ritus declararent. Plura qui cupit, ejus notam legere poterit.

(67) Antiqui tres libri ἀθλοῦντας προσάγοντες. Alius codex et editi προάγοντες.

(68) Reg. primus τοὺς ἐν παλαίστρᾳ.

(69) Unus codex Colb. ἀλλὰ καὶ οἱ.

censentur. Angeli sunt qui in singulis ecclesiis describunt ac recensent jejunantium capita. Vide ne ob parvam eduliorum voluptatem simul et priveris angeli recensione, et teipsum apud eum qui exercitum collegit, obnoxium facias desertoris crimini. Minus periculum foret, si quis fugiendo scutum in acie abjicere deprehenderetur, quam si magnum illud scutum jejunium videatur projecisse. Dives es? Ne jejunium affeceris contumelia, excludens illud fastidiose a mensæ tuæ consortio, neve absque ullo honore e domo tua ipsum expuleris, a voluptate victum ac superatum; nequando te reum peragat apud jejuniorum legislatorem, fiatque ut condemneris ad longe majorem inediam mulctæ nomine, sive ex adversa valetudine corporis, sive ex alio quopiam tristi casu. Contra qui pauper est, ne ludum jejunium faciat; quandoquidem illud jam olim habet et domesticum et mensæ socium. Porro mulieribus quam est naturale respirare, tam est conveniens jejunium. Pueri, velut plantæ virides, jejunii aqua irrigentur. Senibus levem reddit laborem contracta jam olim cum jejunio familiaritas. labores siquidem, quorum factum est experimentum longo usu, minore molestia afficiunt exercitatos. Viatoribus expeditus itineris comes est jejunium. Quemadmodum enim luxus cogit illos onus perferre, **12** nimirum ea quibus se ingurgitarunt circumferentes: sic jejunium eos et leves reddit et expeditos. Ad hæc, indicta procul expeditione, militibus commeatus suppeditatur, non ad delicias, sed ad necessitatem; an non multo magis nobis qui adversus hostes invisibiles prodimus in prælium, ac post eos devictos ad supernam patriam festinamus, conveniet, tanquam in castris degentibus, necessariis esse contentos?

3. Suffer afflictionem velut bonus miles, et legitime certa, ut coroneris [84], illud haud ignorans, quod quicunque certat, in omnibus sibi temperat. Sed quod mihi modo inter dicendum venit in mentem, haud merito omitteretur, videlicet quod hujus mundi militibus pro laborum ratione augetur obsonium; contra, inter spirituales milites, qui minus habet alimenti, plus habet honoris. Nam quemadmodum galea nostra sua natura differt a corruptibili, siquidem illius materia est æs, nostra vero ex spe salutis [85] est conflata: itidem illis scutum e ligno ac tergore bubulo confectum est, nobis vero fidei tutamen loco est scuti [86]: rursum nos thorace

A ἀπογραφόμενοι τοὺς νηστεύοντας. Ὅρα μὴ διὰ μικρὰν ἡδονὴν βρωμάτων ζημιωθῇς μὲν τὴν ἀπογραφὴν τοῦ ἀγγέλου, ὑπόδικον δὲ σαυτὸν λειποταξίου γραφῆς τῷ στρατολογήσαντι καταστήσῃς. Ἐλάττων ὁ κίνδυνος ῥίψασπιν ἐπὶ παρατάξεως ἀπελεγχθῆναί τινα, ἢ τὸ μέγα ὅπλον τὴν νηστείαν ἀποβαλόντα (70) φανῆναι. Πλούσιος εἶ; Μὴ καθυβρίσῃς τὴν νηστείαν, ἀπαξιώσας λαβεῖν αὐτὴν ὁμοτράπεζον, μηδὲ τῆς οἰκίας σεαυτοῦ ἄτιμον ἀποπέμψῃ παρευημερηθεῖσαν ὑπὸ τῆς ἡδονῆς, μήποτέ σε καταγγείλῃ (71) ἐπὶ τοῦ νομοθέτου τῶν νηστειῶν, καὶ πολλαπλασιονά σοι ἀπὸ καταδίκης ἐπαγάγῃ τὴν ἔνδειαν, ἢ ἐξ ἀῤῥωστίας σώματος, ἢ ἐξ ἄλλης τινὸς σκυθρωπῆς περιστάσεως. Ὁ πένης μὴ εἰρωνευέσθω πρὸς τὴν νηστείαν, πάλαι σύνοικον αὐτὴν καὶ ὁμοδίαιτον ἔχων (72). Γυναιξὶ δὲ,
B ὥσπερ τὸ ἀναπνεῖν, οὕτω καὶ τὸ νηστεύειν οἰκεῖόν ἐστι καὶ κατὰ φύσιν. Οἱ παῖδες, ὥσπερ τῶν φυτῶν τὰ εὐθαλῆ, τῷ τῆς νηστείας ὕδατι καταρδευέσθωσαν. Τοῖς πρεσβυτέροις (73) κοῦφον ποιεῖ τὸν πόνον ἡ ἐκ παλαιοῦ πρὸς αὐτὴν οἰκείωσις· πόνοι γὰρ ἐκ μακρᾶς συνηθείας μελετηθέντες, ἀλυπότερον προσπίπτουσι τοῖς γεγυμνασμένοις. Τοῖς ὁδοιπόροις εὐσταλὴς ἐστι συνέμπορος ἡ νηστεία. Ὥσπερ γὰρ ἡ τρυφὴ ἀχθοφορεῖν αὐτοὺς ἀναγκάζει, τὰς ἀπολαύσεις περικομίζοντας, οὕτω κούφους αὐτοὺς καὶ εὐζώνους ἡ νηστεία παρασκευάζει. Εἶτα, στρατείας μὲν ὑπερορίου προγραφείσης, τὰ ἀναγκαῖα, οὐχὶ τὰ πρὸς τρυφὴν, ἐπισιτίζονται στρατιῶται· ἡμῖν δὲ πρὸς τὸν κατὰ τῶν ἀοράτων ἐχθρῶν πόλεμον ἐξιοῦσι, καὶ μετὰ τὴν τούτων νίκην πρὸς τὴν ἄνω πατρίδα ἐπειγομένοις, οὐ
C πολλῷ μᾶλλον ἁρμόσει, ὥσπερ ἐπὶ στρατοπέδου διαιτωμένοις, αὐτοῖς ἀρκεῖσθαι τοῖς ἀναγκαίοις;

3. Κακοπάθησον ὡς καλὸς στρατιώτης, καὶ ἄθλησον νομίμως, ἵνα στεφανωθῇς, ἐκεῖνο εἰδὼς, ὅτι πᾶς ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. Ὃ δέ με ὑπῆλθεν ἀρτίως λέγοντα, ἄξιον μὴ παριδεῖν· ὅτι τοῖς μὲν τοῦ κόσμου στρατιώταις κατὰ τὴν τῶν καμάτων ἀναλογίαν τὸ σιτηρέσιον αὔξεται· τοῖς δὲ πνευματικοῖς ὁπλίταις ὁ τὸ ἔλαττον ἔχων τῆς τροφῆς τὸ μεῖζον ἔχει τοῦ ἀξιώματος. Ὡς γὰρ ἡ περικεφαλαία ἡμῶν παρήλλακται τὴν φύσιν πρὸς τὴν φθαρτήν· τῆς μὲν γὰρ ὕλη ἐστὶν ὁ χαλκὸς, ἡ δὲ ἐκ τῆς ἐλπίδος τοῦ σωτηρίου συνέστηκε· καὶ ὁ θυρεὸς ἐκείνοις μὲν (74) ἐκ ξύλου καὶ βύρσης πεποίηται, ἡμῖν δὲ τὸ
D τῆς πίστεώς ἐστι προβόλαιον (75)· καὶ θώρακι ἡμεῖς

[84] I Cor. IX, 25. [85] I Thes. V, 8. [86] Ephes. VI, 17.

(70) Reg. primus παρατάξεως ἐλεγχθῆναί τινα, ἢ τὸ μέγα ὅπλον τῆς νηστείας ἀποβ.

(71) Veteres quatuor libri καταγγείλῃ. Editi καταγγέλῃ.

(72) *Ὁ πένης μὴ εἰρωνευέσθω πρὸς τὴν νηστείαν, πάλαι σύνοικον αὐτὴν καὶ ὁμοδίαιτον ἔχων. Qui pauper est, ne ludum jejunium faciat: quandoquidem illud jam olim habet domesticum et mensæ socium.* Cum Basilius hoc loco pauperes ipsos hortetur ad jejunandum, multo aptior et commodior erit illius oratio, si legamus sublata negatione, εἰρωνευέσθω πρὸς τὴν νηστείαν, *ludum existimet jejunium*, quandoquidem jejunio jamdudum assuetus est. MARAN.

(73) Reg. primus τοῖς πρεσβύταις. Nec ita multo post idem codex προσπίπτουσι τοῖς ἐγγυμνασμένοις. Subinde editi οὕτω καὶ κούφους. At vocula καὶ in nostris codicibus non legitur.

(74) Editi καὶ ὁ θυρεὸς μὲν ἐκείνοις. Antiqui tres libri καὶ ὁ θυρεὸς ἐκείνοις μέν.

(75) Veteres quinque libri cum utraque editione Paris. et Basil. ἐστὶ περιβόλαιον· quem locum ita vertit Erasmus, *nostrum vero munimentum fides est.* Sed præterquam quod περιβόλαιον *munimentum* non

μὲν τῷ τῆς δικαιοσύνης περιπεφράγμεθα, ἐκεῖνοι δὲ χιτῶνά τινα ἀλυσιδωτὸν (76) περιφέρουσι· καὶ μάχαιρα ἡμῖν μὲν ἡ τοῦ πνεύματός ἐστι πρὸς ἄμυναν, οἱ δὲ τὴν ἐκ σιδήρου προβάλλονται· οὕτω δῆλον, ὅτι τροφαὶ οὐχ αἱ αὐταὶ ἀμφοτέροις τὴν ἰσχὺν ἐμποιοῦσιν· ἀλλ' ἡμᾶς μὲν τὰ δόγματα τῆς εὐσεβείας ῥώννυσιν, ἐκείνοις δὲ ἡ πλησμονὴ τῆς γαστρὸς ἀναγκαία. Ἐπεὶ οὖν ἤγαγεν ἡμῖν περιτρέχων ὁ χρόνος τὰς πολυποθήτους ταύτας ἡμέρας, ὡς παλαιὰς τροφοὺς, ἄσμενοι πάντες ὑποδεξώμεθα, δι' ὧν ἐτιθηνήσατο ἡμᾶς ἡ Ἐκκλησία πρὸς τὴν εὐσέβειαν. Μέλλων τοίνυν νηστεύειν μὴ σκυθρωπάσῃς Ἰουδαϊκῶς· ἀλλ' εὐαγγελικῶς σεαυτὸν καταφαίδρυνον, μὴ πενθῶν τῆς γαστρὸς τὴν ἔνδειαν, ἀλλὰ συνηδόμενος τῇ ψυχῇ τῶν πνευματικῶν ἀπολαύσεων. Οἶδας γὰρ, ὅτι *Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός*. Ἐπεὶ οὖν ταῦτα ἀλλήλοις ἀντίκειται, ὑφέλωμεν τῆς σαρκὸς τὴν εὐπάθειαν, αὐξήσωμεν δὲ τῶν ψυχῶν τὴν ἰσχὺν (77), ἵνα, διὰ τῆς νηστείας κατὰ τῶν παθῶν λαβόντες τὰ νικητήρια, τοὺς τῆς ἐγκρατείας στεφάνους ἀναδησώμεθα.

4. Ἤδη οὖν σεαυτὸν ἄξιον παρασκεύασον τῆς σεμνοτάτης νηστείας· μὴ (78) τῇ σημερινῇ μέθῃ τὴν αὔριον διαφθείρῃς ἐγκράτειαν. Κακὸς ὁ λογισμὸς, πονηρὰ ἡ ἐπίνοια· Ἐπειδὴ πέντε ἡμερῶν νηστεία ἡμῖν προκεκήρυκται, σήμερον ἑαυτοὺς τῇ μέθῃ καταβαπτίσωμεν. Οὐδεὶς, γυναῖκα νόμοις γαμικοῖς ἐπάγεσθαι μέλλων, παλλακίδας καὶ ἑταίρας προλαβὼν εἰσοικίζεται (79). Οὐ γὰρ ἀνέχεται ἡ νομίμη τὴν μετὰ τῶν διεφθαρμένων συνοίκησιν. Μὴ τοίνυν καὶ σὺ, προσδοκωμένης νηστείας, προεισαγάγῃς τὴν μέθην, τὴν πάνδημον πόρνην, τὴν ἀναισχυντίας μητέρα, τὴν φιλόγελων, τὴν μαινάδα, τὴν πρὸς πᾶσαν ἰδέαν ἀσχημοσύνης εὔκολον. Οὐ γὰρ μὴ εἰσέλθῃ νηστεία καὶ δέησις εἰς ψυχὴν ῥυπωθεῖσαν ὑπὸ τῆς μέθης. Τὸν νηστεύοντα εἴσω τῶν ἱερῶν περιβόλων παραδέχεται ὁ Κύριος· τὸν κραιπαλῶντα (80) ὡς βέβηλον καὶ ἀνίερον οὐ προσίεται. Ἐὰν γὰρ ἔλθῃς αὔριον οἴνου ἀπόζων, καὶ τούτου σεσηπότος, πῶς εἰς νηστείαν σοι τὴν κραιπάλην λογίσωμαι; Μὴ γὰρ ὅτι πρόσφατον οὐκ ἐνεχέω (81) τὸν ἄκρατον, ἀλλ' ὅτι οὐ καθαρεύεις οἴνου, τοῦτο λογίζου. Ποῦ σε τάξω; Ἐν τοῖς μεθύσοις, ἢ ἐν τοῖς νηστευταῖς; Ἡ παρελθοῦσα οἰνοφλυγία πρὸς ἑαυτὴν ἐπισπᾶται· ἡ παροῦσα ἔνδεια νηστείαν προσμαρτυρεῖ. Ἀμφισβητήσιμος εἶ τῇ μέθῃ ὥσπερ ἀνδράποδον, καὶ οὐκ ἀφέξεταί σου δικαίως, ἐναργεῖς τὰς ἀποδείξεις τῆς δουλείας παρεχομένη, τὴν ὀσμὴν τοῦ οἴνου ὥσπερ ἀγγείῳ ἐναπομείνασαν. Εὐθὺς ἡ πρώτη τῶν νηστειῶν ἀδόκιμός σοι (82) γενήσεται, διὰ τὸ ἐναποκεῖσθαί σοι

A justitiæ obarmamur, illi tunicam hamis consertam circumferunt: præterea nobis adest gladius spiritus ad defensionem, illi ferro defenduntur: ita quoque nos non iisdem cibariis quibus illi, vegetamur viresque colligimus: sed nos pietatis dogmata corroborant, illis ad parandas vires expletione ventris est opus. Quoniam igitur temporis circulus dies hos vehementer optabiles nobis reduxit, eos tanquam veteres nutritios, lubentes et hilares quisque excipiamus, per quos Ecclesia nos ad pietatem educat. Proinde jejunaturus noli tristis esse, Judæorum more; sed, juxta doctrinam evangelicam, teipsum hilarem et alacrem præbe [57]; neque lugeas ventris inediam, sed animæ potius gratulare spiritualibus epulis fruenti. Scis enim quod *Caro*
B *concupiscit adversus spiritum, et spiritus adversus carnem* [58]. Itaque cum hæc sibi invicem adversentur [59], subtrahamus carni delicias, augeamus animæ robur; ut per jejunium a vitiis atque libidinibus victoriam reportantes, abstinentiæ coronis cingamur.

4. Jam igitur teipsum exhibeas dignum jejunio cum primis venerabili, ut ne hodierna temulentia crastinam abstinentiam corrumpas. Improbum istuc consilium est, prava cogitatio est, ita dicentium: Quoniam nobis quinque dierum jejunium indictum est, hodie nosipsos temulentia obruamus. Nemo pudicam uxorem legitimo conjugio ducturus, prius scorta et concubinas domum inducit. Neque enim conjux legitima patitur convictum contuber-
C niumque corruptarum. Proinde tu quoque, cum exspectatur jejunium, cave prius introducas ebrietatem, scortum illud publicum, impudentiæ matrem, risus amantem, insanientem, ad omnia turpitudinis genera proclivem. Neque enim jejunium et precatio introibunt in animam temulentiæ 13
sordibus inquinatam. Jejunantem intra sacros cancellos suscipit Dominus; at luxu crapulaque plenum, veluti profanum et a sacris alienum nequaquam admittit. Etenim si cras venias vinum obolens, idque cruditate corruptum ac putrefactum, quomodo tibi crapulam pro jejunio imputabo? Neque enim illud cogita, quod merum tibi recens infusum non est; sed quod a vino purus non es, hoc
D reputa. In utro te ordine collocabo? Inter ebriosos, an inter jejunantes? Præterita vinolentia te sibi asserit: præsens inedia jejunium testificatur. Anceps es, et controversum temulentiæ veluti mancipium, nec unquam dimittet te, idque optimo

[57] Matth. vi, 16, 17. [58] Galat. v, 17. [59] ibid.

est, sed *indumentum*, debuerat ita interpretari: *nobis vero fidei munimentum loco est scuti*. In Reg. primo pro περιβόλαιον legitur προβόλαιον: quod melius veriusque judico. Mox Oliv. et Angl. cum editis περιπεφράγμεθα. At mss. nostri plerique omnes simpliciter πεφράγμεθα.

(76) Editi ἀλυσιδετόν. Libri veteres ἀλυσιδωτόν.

(77) Colb. primus τῆς ψυχῆς τὴν ἰσχύν.

(78) Et hanc orationem habitam esse die Dominica patet ex illo, *Ne hodierna temulentia crastinam abstinentiam corrumpas Improbum istuc consilium est, ita dicentium: Quoniam nobis quinque dierum jejunium*, etc.

(79) Reg. primus προλαβὼν εἰσοικίζει.

(80) Antiqui tres libri τὸν κραιπαλῶντα. Editi κραιπαλοῦντα. Mox idem Reg. primus ἀνίερον οὐ προσδέχεται.

(81) Unus mss. οὐκ ἐνεχέου. Alii quatuor et editi οὐκ ἐνεχέω. Haud longe Reg. primus τάξω ἐν τοῖς μεθύουσιν.

(82) Reg. primus νηστειῶν ἄλογός σοι, *erit tibi irritus*. Ibidem idem codex διὰ τὸ ἀποκεῖσθαι.

jure: quippe quæ manifesta servitutis argumenta proferat, odorem vini velut in lagena residentem. Protinus tibi primus jejunii dies abjudicabitur, ob temulentiæ reliquias in te repositas. Quorum autem primitiæ rejiciuntur, haud dubium quin in his totum quoque sit rejiciendum. *Ebriosi regnum Dei non possidebunt* [60]. Si temulentus accedis ad jejunium, quid utilitatis aufers? Nam si te ebrietas excludit a regno cœlorum, quisnam tandem e jejunio fructus? Annon vides, quod qui in domandis equis, qui ad certamina aluntur, peritissimi sunt, cum instat certaminis dies, eos inedia præparant? Tu contra, data opera temetipsum deprimis saturitate: adeo gulæ vitio bruta etiam animalia præcurris. Venter onustus non solum ad cursum, sed ne ad somnum quidem accommodus est, eo quod distento ciborum copia, non datur quiescere, sed cogitur subinde semet nunc in dextrum, nunc in lævum latus vertere.

A τῆς μέθης τὰ λείψανα. Ὧν δὲ ἡ ἀπαρχὴ ἀδόκιμος, καὶ τὸ πᾶν ἀπόβλητον δηλονότι. *Μέθυσοι Θεοῦ βασιλείαν οὐ κληρονομήσουσιν*. Εἰ μεθύων ἔρχῃ ἐπὶ τὴν νηστείαν, τί σοι τὸ ὄφελος; Εἰ γὰρ ἀποκλείει σε τῆς βασιλείας ἡ μέθη, ποῦ σοι λοιπὸν χρήσιμον τὸ νηστεύειν; Οὐχ ὁρᾷς, ὅτι καὶ τῶν ἵππων τοὺς ἀγωνιστὰς οἱ ἐμπειρότατοι πωλοδάμναι, τῆς ἀγωνίας προσδοκωμένης (83), διὰ τῆς ἐνδείας προευτρεπίζουσι; Σὺ δὲ ἐξεπίτηδες σεαυτὸν καταπιέζεις τῷ κόρῳ· τοσοῦτον τῇ γαστριμαργίᾳ καὶ τὰ ἄλογα παρελαύνεις. Βαρουμένη γαστὴρ οὐχ ὅπως πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐπιτηδεία· διότι, καταθλιβομένη τῷ πλήθει (84), οὐδὲ ἠρεμεῖν συγχωρεῖται, ἀλλ' ἀναγκάζεται πολλὰς ποιεῖσθαι τὰς περιστροφὰς ἐφ' ἑκάτερα.

5. Jejunium servat parvulos, sobrium reddit juvenem, venerabilem facit senem; venerabilior enim est canities jejunio decorata. Jejunium feminis ornatus est congruentissimus; ætate ac robore vigentibus pro freno est; jejunium matrimonii custodia est, virginitatis nutritius. Atque hæc quidem commoda affert privatim jejunium, in singulis ædibus, in quibus colitur. At publice quomodo vitam nostram gubernat? Totam confestim civitatem, totumque populum ad tranquillitatem componit, consopit clamores, eliminat lites, conviciis imponit silentium. Cujus magistri præsentia puerorum strepitus tam subito compescit, quam jejunium oboriens civitatis tumultus coercet? Quis commessator prodiit in jejunio? quis unquam chorus lasciviens a jejunio coactus est? Teneri risus, meretriciæ cantilenæ, insanæ saltationes subito diffugiunt e civitate, a jejunio tanquam ab austero quopiam judice in exsilium actæ. Quod si omnes jejunium ad res gerendas in consilium adhiberent, nihil obstaret quominus per universum terrarum orbem alta pax esset, videlicet nec aliis gentibus in alias insurgentibus, nec exercitibus manus inter se conserentibus. Ne arma quidem cuderentur, si jejunium vigeret, nec fora judicialia exstruerentur, neque quisquam habitaret in **14** carceribus. In summa, nec deserta haberent maleficos, nec civitates sycophantas, nec mare piratas. Si omnes essent jejunii discipuli, prorsus non audiretur, ut Job ait [61], vox exactoris; nec vita nostra tot suspiriis, tot mœroribus esset differta, si jejunium vitam nostram gubernaret. Perspicuum est enim quod unumquemque doceret non tantum in eduliis

B 5. Νηστεία φυλάσσει νήπια, σωφρονίζει τὸν νέον, σεμνὸν ποιεῖ τὸν πρεσβύτην· αἰδεσιμωτέρα γὰρ πολιὰ νηστείᾳ κεκοσμημένη. Γυναιξὶ κόσμος ἁρμοδιώτατος, ἀκμαζόντων χαλινὸς, συζυγίας φυλακτήριον, παρθενίας τροφός. Τοιαῦται μὲν αἱ καθ' ἕκαστον οἶκον αὐτῆς ἐπιμέλειαι. Δημοσίᾳ δὲ πῶς τῷ βίῳ ἡμῶν ἐμπολιτεύεται; Πᾶσαν ἀθρόως τὴν πόλιν, καὶ πάντα τὸν δῆμον μεθαρμόζει πρὸς εὐταξίαν, κοιμίζει κραυγὴν, ἐξορίζει μάχην (85), λοιδορίαν κατασιγάζει. Τίνος διδασκάλου παρουσία παίδων θόρυβον οὕτως ἀθρόως καθίστησιν, ὡς ἡ νηστεία παραφανεῖσα ταραχὴν πόλεως καταστέλλει; Ποῖος κωμαστὴς ἐν νηστείᾳ προῆλθε; ποῖος χορὸς ἀσελγὴς ἀπὸ νηστείας συνέστη; Ἁπαλοὶ γέλωτες, καὶ ᾄσματα πορνικὰ, καὶ ὀρχήσεις ἐκμανεῖς ἐξαπίνης τῆς πόλεως ὑπεξέρχονται (86), C ὥσπερ ὑπὸ δικαστοῦ τινος αὐστηροῦ τῆς νηστείας φυγαδευθεῖσαι. Εἰ δὲ πάντες αὐτὴν εἰς τὴν ὑπὲρ τῶν πρακτέων σύμβουλον παρελάμβανον, οὐδὲν ἐκώλυε βαθεῖαν εἰρήνην εἶναι κατὰ πᾶσαν τὴν οἰκουμένην· μήτε ἐθνῶν ἐπανισταμένων ἀλλήλοις, μήτε στρατοπέδων συῤῥηγνυμένων. Οὐκ ἂν ἐχαλκεύετο ὅπλα, νηστείας κρατούσης, οὐδ' ἂν δικαστήρια συνεκροτεῖτο, οὐδ' ἂν ᾤκουν τινὲς τὰ δεσμωτήρια, οὐδ' ἂν ὅλως εἶχον αἱ ἐρημίαι τοὺς κακουργοῦντας, ἢ αἱ πόλεις τοὺς συκοφάντας, ἢ τοὺς καταποντιστὰς ἡ θάλασσα. Εἰ πάντες ἦσαν μαθηταὶ τῆς νηστείας, οὐδ' ἂν ἠκούσθη ὅλως, κατὰ τὸν τοῦ Ἰὼβ λόγον, φωνὴ φορολόγου, οὐδ' ἂν οὕτως ἦν (87) ὁ βίος ἡμῶν πολυστέναχτος καὶ κατηφείας πλήρης, εἰ νηστεία τὸν D βίον ἡμῶν ἐπρυτάνευε. Δῆλον γὰρ, ὅτι ἐδίδαξεν ἂν πάντας οὐχὶ βρωμάτων μόνον ἐγκράτειαν, ἀλλὰ καὶ φιλαργυρίας, καὶ πλεονεξίας, καὶ πάσης κακίας παντελῆ φυγὴν καὶ ἀλλοτρίωσιν. Ὧν ἐξαιρεθέντων, οὐδὲν

[60] I Cor. vi, 10. [61] Job iii, 18.

(83) Reg. primus ἀγωνίας προκειμένης· quam scripturam sequeremur, nisi editi et alii mss. vulgatam lectionem tuerentur. Haud longe editi et mss. καταπιέζεις τῷ κόρῳ, non καταπιαίνεις, ut Tilmannus in ora libri adnotarat. Nec ita multo post mss. duo βουλομένη γάρ.

(84) Antiqui duo libri Colbertini καταθλιβομένη τῷ ἄχθει. Aliquanto post Reg. primus σεμνὸν ποιεῖ τὸν πρεσβύτην· αἰδεσιμωτάτη γάρ.

(85) Editi ἐξομαλίζει μάχην. At Regii tres mss. et totidem Colbertini et Coisl. ἐξορίζει, multo rectius.

(86) Colb. primus πόλεως ἐξέρχονται.

(87) Codex Combef. τὸν Ἰὼβ λόγον.... οὐδ' ἂν ἦν.

ἐκώλυεν ἐν εἰρήνῃ βαθείᾳ (88) καὶ ἀταραξίᾳ ψυχῶν A τὴν ζωὴν ἡμᾶς παραπέμπειν.

temperantiam, verum etiam ab avaritia et rapinis, denique ab omni vitio prorsus abhorrere et alienum esse. Quibus exstirpatis nihil vetaret quominus et nos in alta pace animorumque tranquillitate vitam nostram transmitteremus.

6. Νῦν δὲ οἱ μὲν τὴν νηστείαν ἀποπεμπόμενοι, τὴν τρυφὴν δὲ ὡς μακαριότητα βίου μεταδιώκοντες, τόν τε πολὺν ἐκεῖνον τῶν κακῶν ἑσμὸν ἐπεισήγαγον, καὶ τὰ ἑαυτῶν προσδιαφθείρουσι σώματα. Παρατήρησόν μοι τῶν προσώπων τὴν διαφοράν, τῶν τε σήμερόν σοι κατὰ τὴν ἑσπέραν φανησομένων καὶ τῶν αὔριον. Σήμερον οἰδοῦντα, ὑπέρυθρα, ἱδρῶτι λεπτῷ νοτιζόμενα, ὀφθαλμοὶ δίυγροι, προπετεῖς, τὸ ἀκριβὲς τῆς αἰσθήσεως ἐκ τῆς ἔνδοθεν ἀχλύος ἀφῃρημένοι· αὔριον δὲ κατεσταλμένα, σεμνά, τὴν ἐκ τῆς φύσεως χρόαν ἀπολαβόντα (89), συννοίας γέμοντα καὶ πάσης αἰσθήσεως ἀκριβοῦς, οὐδεμιᾶς ἔνδοθεν αἰτίας ταῖς φυσικαῖς ἐνεργείαις ἐπισκοτούσης. B Νηστεία ἡ τῶν ἀγγέλων ὁμοίωσις, ἡ τῶν δικαίων ὁμόσκηνος, ὁ τοῦ βίου σωφρονισμός. Αὕτη νομοθέτην ἐποίησε τὸν Μωϋσῆν· νηστείας ἐστὶ καρπὸς Σαμουήλ. Νηστεύουσα προσηύξατο τῷ Θεῷ Ἄννα· *Ἀδωναῒ Κύριε, Ἐλωΐ* (90) *Σαβαώθ, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν δούλην σου, καὶ δῷς μοι σπέρμα ἀνδρός, δώσω αὐτὸν ἐνώπιόν σου δοτόν. Οἶνον καὶ σίκερα οὐ μὴ πίοι* (91), *ἕως ἡμέρας θανάτου αὐτοῦ.* Αὕτη τὸν μέγαν Σαμψὼν ἐτιθηνήσατο, καὶ ἕως ὅτε συμπαρῆν τῷ ἀνδρί, κατὰ χιλίους ἔπιπτον οἱ πολέμιοι, καὶ πύλαι (92) πόλεων ἀνεσπῶντο, καὶ λέοντες τῶν χειρῶν τὴν ἰσχὺν οὐχ ὑφίσταντο. Ὅτε δὲ μέθη αὐτὸν καὶ πορνεία παρέλαβον, ἁλώσιμος ἦν τοῖς ἐχθροῖς, καὶ C τῶν ὀφθαλμῶν στερηθείς, παίγνιον προέκειτο τοῖς παιδαρίοις τῶν ἀλλοφύλων. Νηστεύσας (93) Ἠλίας ἀπέκλεισε τὸν οὐρανὸν τρία ἔτη καὶ μῆνας ἕξ. Ἐπειδὴ γὰρ εἶδε πολλὴν ἐκ τοῦ κόρου τικτομένην τὴν ὕβριν, ἀναγκαίως αὐτοῖς τὴν ἀκούσιον ἐκ τοῦ λιμοῦ νηστείαν ἐπήγαγε· δι' ἧς πρὸς τὸ ἄμετρον ἤδη χεομένην αὐτῶν τὴν ἁμαρτίαν ἔστησεν, οἷον καυτῆρί τινι ἢ τομῇ τῇ νηστείᾳ τὴν εἰς τὸ πλέον πρόοδον τοῦ κακοῦ διακόψας.

7. Δέξασθε αὐτήν, οἱ πένητες, τὴν σύνοικον ὑμῶν καὶ ὁμοτράπεζον. Οἱ δοῦλοι, τὴν ἀνάπαυσιν τῶν συνεχῶν τῆς ὑπηρεσίας καμάτων. Οἱ πλούσιοι, τὴν ἰατρεύουσαν ὑμᾶς τῆς ἐκ τοῦ κόρου βλάβης, καὶ τῇ μεταβολῇ τερπνότερα ποιοῦσαν τὰ ὑπὸ τῆς συνηθείας καταφρονούμενα. D Οἱ ἄῤῥωστοι, τὴν τῆς ὑγείας μητέρα. Οἱ εὐεκτοῦντες, τὸ τῆς εὐεξίας ὑμῶν φυλακτήριον. Ἐρώτησον τοὺς ἰατρούς, καὶ ἀναγγελοῦσί σοι, ὅτι σφαλερώτατόν ἐστι πάντων ἡ ἐπ' ἄκρον εὐεξία. Διόπερ διὰ νηστείας ὑφαιροῦσι τὸ πλεονάζον οἱ ἐμπειρότατοι, ὡς μὴ τῷ βάρει τῆς πολυσαρκίας ὑποκλασθῆναι τὴν δύναμιν. Ἐξεπίτηδες γὰρ διὰ τῆς ἐνδείας

6. Nunc vero qui ut jejunium rejiciunt, ita delicias tanquam in his sita sit vitæ felicitas, expetunt, non tantum infinitum illud vitiorum examen induxerunt, verum et sua ipsorum corpora corrumpunt. Observa mihi vultuum discrimen, tum eorum qui hodie sub vesperam conspicientur, tum eorum qui cras apparebunt. Hodie tument, rubore suffusi, sudore tenui rorantes, oculi humentes, procaces, atque ob internam caliginem exacta cernendi facultate privati: crastino vero die videbis eosdem vultus compositos, graves, colore naturali recepto, toto habitu præsentem animum præ se ferentes, omnibus sensibus integris, utpote quorum naturalibus actionibus nulla intus causa tenebras offundit. Jejunium similitudo est hominum cum angelis, justorum contubernalis, vitæ moderatio. Per jejunium Moyses factus est legislator: jejunii fructus est Samuel. Jejunans Anna Deum deprecata est: *Adonai Domine, Eloi Sabaoth, si respiciens respexeris ad ancillam tuam, dederisque mihi semen viri, dabo illud in conspectu tuo donum* [62]. *Vinum et siceram non bibet, usque ad diem obitus sui* [63]. Jejunium magnum illum Sampsonem educavit, idque quandiu viro affuit, cadebant hostes mille, urbium portæ evellebantur, leones robur manuum illius non sustinebant [64]. At simul atque ebrietas ac scortatio apprehendit hominem, facile in manus hostium incidit, atque exoculatus pro ludo expositus est pueris alienigenarum. Elias cum jejunasset clausit cœlum tres annos ac menses sex [65]. Etenim cum videret multam nasci e satietate petulantiam, accedente fame illos invitos coegit jejunare; eoque peccata illorum jam in immensum excurrentia cohibuit, dum jejunio velut ustione aut sectione quadam, majorem mali progressum interrupit.

7. Excipite hoc, pauperes, contubernale vobis, ac mensæ socium. Excipite, servi, uti relaxationem a perpetuis servitii laboribus. Excipite, divites, quod noxæ a luxu vobis illatæ medeatur, quodque vicissitudine et novitate vobis jucundiora reddat ea quæ nunc ob assuetudinem fastidiuntur. Excipite, male valentes, sanitatis matrem. Qui bona estis habitudine, excipite bonæ vestræ habitudinis custodem. Interroga medicos, ac dicent tibi nihil esse periculosius habitudine corporis extreme bona. Quapropter qui peritissimi sunt artis, per jejunium detrahunt redundantia, ne vis naturæ pondere

[62] I Reg. I, 11. [63] Judic. XIII, 14. [64] Judic. XV, 16; XVI, 3; XIV, 6. [65] III Reg. XVII, 1.

(88) Regii duo codices ἐκώλυεν ἐν γαλήνῃ βαθείᾳ. Haud longe editi τὴν ζωὴν καὶ ἡμᾶς. Vocula καί in nostris mss. non invenitur.

(89) Unus codex Regius χρόαν ἀναλαβόντα.

(90) Editi et mss. habent Ἐλωΐ. At apud LXX legitur Ἐλωέ. Mox editi δώσω αὐτό. Antiqui sex libri αὐτόν. Colb. tertius δώσω σοι αὐτόν.

(91) Reg. primus σίκερα οὐ πίεται. Alii duo mss. οὐ μὴ πίῃ.

(92) In Colb. tertio legitur πύλαι πόλεως. Mox idem codex πορνεία παρέλαβεν.

(93) Unus codex Reg. νηστεύων.

corpulentiæ fracta succumbat. Nam quod nimium est, per inediam ac famem consulto detrahentes,
15 capacitatem quandam, ac alteram nutricationem, alteriusque incrementi principium facultati nutrienti præstant. Adeo omni instituto omnique corporis habitudini jejunii congruit utilitas, ac pariter omnia condecorat, domos, fora, noctes, dies, civitates, deserta. Cum igitur tot modis sua commoda nobis impertiatur, hilariter illud, juxta Domini præceptum [66], excipiamus, non tristes sicut hypocritæ, sed mentis hilaritatem absque fuco præ nobis ferentes. Quanquam non arbitror tanto mihi labore opus esse, ut vos ad jejunium exhorter, quanto ut dehorter ne quis hodie in vitium ebrietatis incidat. Nam jejunium quidem plerique, partim ob consuetudinem, partim ob pudorem inter ipsos mutuum, suscipiunt. Verum ab ebrietate metuo, quam vinolenti, non aliter quam paternam hæreditatem, mordicus tenent. Quemadmodum enim qui longinquam profectionem adornant, ita nonnulli vecordes hodie adversus quinque dierum jejunium vino indulgent. Quis est usque adeo vesanus, ut priusquam bibere incipiat, ebriorum more deliret? An ignoras quod venter non servat depositum? Venter est pessima fide in conventis. Penum incustoditum, in quod cum multa reposueris, noxam quidem retinet, at non servat deposita. Vide ne tibi quoque, si cras post ebrietatem veneris, dicantur ea quæ modo lecta sunt: *Non istud jejunium elegi, dicit Dominus* [67]. Quid misces ea quæ misceri non possunt? Quod consortium temulentiæ cum jejunio? quæ societas vinolentiæ cum abstinentia? *Quis consensus templo Dei cum idolis* [68]? Templum enim Dei sunt, in quibus habitat Spiritus Dei [69]: contra, templum idolorum sunt, qui fœdam impudicitiæ colluviem per ebrietatem admittunt. Hodiernus dies vestibulum est jejunii. Neque vero qui in vestibulis profanatur, dignus est qui ad sancta introeat. Nullus famulus cupiens herum suum placare, hostem illius patronum ac reconciliatorem adhibet. Ebrietas inimicitia est in Deum; jejunium, pœnitentiæ initium. Itaque si cupis per confessionem reverti ad Deum, fugito temulentiam, ne magis te a Deo alienet. Attamen ad hoc, ut laudem promereatur jejunium, non est per se satis abstinere a cibis, sed jejunium jejunemus acceptabile, Deo gratum. Verum jejunium est, a vitiis alienum esse, continentia linguæ, iræ cohibitio, concupiscentiarum amputatio, obtrectationis, mendacii, perjurii. Ab his abstinere, verum est jejunium. In his igitur situm est bonum ac laudabile jejunium.

A καθελόντες τὴν ἀμετρίαν, εὐρυχωρίαν τινὰ, καὶ ἀνατροφὴν, καὶ ἀρχὴν δευτέρας αὐξήσεως τῇ θρεπτικῇ δυνάμει παρασκευάζουσιν. Οὕτω παντὶ ἐπιτηδεύματι καὶ πάσῃ σώματος ἕξει τὸ παρ' αὐτῆς ὠφέλιμον ἀπαντᾷ, καὶ πᾶσιν ὁμοίως ἐπιπρέπει, τοῖς οἴκοις, ταῖς ἀγοραῖς, ταῖς νυξὶ, ταῖς ἡμέραις, ταῖς πόλεσι, ταῖς ἐρημίαις. Τὴν τοίνυν διὰ τοσούτων ἡμῖν τὸ παρ' ἑαυτῆς καλὸν χαριζομένην φαιδρῶς ὑποδεξώμεθα, κατὰ τὸν τοῦ Κυρίου λόγον, μὴ κατασκυθρωπάζοντες ὡς οἱ ὑποκριταὶ, ἀλλὰ τὸ ἱλαρὸν τῆς ψυχῆς ἀνεπιτηδεύτως διαδεικνύντες. Καὶ οὐ τοσούτου μοι δεῖν ἀγῶνος ἡγοῦμαι τὴν περὶ νηστείας παράκλησιν, ὅσου τὸ μὴ σήμερόν τινα τοῖς κακοῖς τῆς μέθης περιπεσεῖν. Τὴν μὲν γὰρ νηστείαν καὶ διὰ τὴν συνήθειαν καὶ διὰ τὴν πρὸς ἀλλήλους αἰδῶ οἱ πολλοὶ καταδέ-
B χονται· φοβοῦμαι δὲ τὴν μέθην, ἣν, ὥσπερ τινὰ κλῆρον πατρῷον, οἱ φίλοινοι διασώζουσιν. Ὡς γὰρ οἱ πρὸς τὰς μακρὰς ἀποδημίας ἀπαίροντες, οὕτω τινὲς τῶν ἀνοήτων σήμερον πρὸς τὰς πέντε τῶν νηστειῶν ἡμέρας οἰνίζονται. Τίς οὕτως ἀνόητος, ὥστε, πρὶν ἄρξασθαι πίνειν, τὰ τῶν μεθυόντων παραφρονεῖν; Οὐκ οἶδας, ὅτι γαστὴρ παρακαταθήκην οὐ διασώζει; Γαστὴρ συναλλακτής ἐστιν ἀπιστότατος· ταμιεῖον ἀφύλακτον, πολλῶν ἐναποτεθέντων, τὴν μὲν βλάβην παρακατέχουσα, τὰ μέντοι παρατεθέντα (94) οὐ διασώζουσα. Ὅρα καὶ μή σοι αὔριον ἀπὸ μέθης ἐλθόντι τὰ νῦν ἀναγνωσθέντα λεχθῇ· *Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος.* Τί μιγνύεις τὰ ἄμικτα; Τίς μετοχὴ νηστείας πρὸς μέθην; τίς κοινωνία τῇ οἰνοφλυγίᾳ (95) πρὸς τὴν ἐγκράτειαν; *Τίς*
C *συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων;* Ναὸς μὲν γὰρ Θεοῦ εἰσιν ἐν οἷς τὸ Πνεῦμα τοῦ Θεοῦ ἐνοικεῖ, ναὸς δὲ εἰδώλων οἱ διὰ τῆς μέθης τὸν συρφετὸν τῆς ἀκολασίας ὑποδεχόμενοι. Ἡ (96) σήμερον ἡμέρα προπύλαιόν ἐστι τῶν νηστειῶν. Οὐ δήπου δὲ ὁ ἐν τοῖς προθύροις βεβηλωθεὶς ἄξιός ἐστιν εἰσελθεῖν εἰς τὰ ἅγια. Οὐδεὶς οἰκέτης, ἐξευμενίσασθαι θέλων τὸν ἑαυτοῦ δεσπότην, τῷ ἐχθρῷ αὐτοῦ προστάτῃ καὶ διαλλακτῇ κέχρηται. Μέθη ἔχθρα ἐστὶν εἰς Θεόν· νηστεία δὲ ἀρχὴ μετανοίας. Εἰ οὖν βούλει διὰ τῆς ἐξομολογήσεως ἐπανελθεῖν πρὸς τὸν Θεόν, φεῦγε τὴν μέθην, μή σοι χαλεπωτέραν κατασκευάσῃ τὴν ἀλλοτρίωσιν. Οὐ μέντοι ἐξαρκεῖ καθ' ἑαυτὴν ἡ ἀποχὴ τῶν βρωμάτων πρὸς τὴν ἐπαινετὴν νηστείαν, ἀλλὰ νηστεύσωμεν νηστείαν δεκτὴν, εὐάρε-
D στον τῷ Θεῷ (97). Ἀληθὴς νηστεία ἡ τοῦ κακοῦ ἀλλοτρίωσις, ἐγκράτεια γλώσσης, θυμοῦ ἐποχὴ (98), ἐπιθυμιῶν χωρισμὸς, καταλαλιᾶς, ψεύδους, ἐπιορκίας. Ἡ τούτων ἔνδεια νηστεία ἐστὶν ἀληθής. Ἐν τούτοις μὲν οὖν ἡ νηστεία καλόν.

8. Cæterum delectemur in Domino, in medita-

8. Κατατρυφήσωμεν δὲ τοῦ Κυρίου, ἐν τῇ μελέτῃ

[66] Matth. VI, 16, 17. [67] Isa. LVIII, 5. [68] II Cor. VI, 16. [69] I Cor. III, 16.

(94) Antiqui duo libri Regii τὰ μέντοι παραδοθέντα. Statim Reg. primus ἐγὼ ἐξελεξάμην.

(95) Unus codex Colb. τῆς οἰνοφλυγίας.

(96) Aliquanto ante ostendimus hanc orationem habitam esse die Dominica. Nunc ex illis, *hodiernus dies vestibulum est jejunii; nec certe qui*, etc., plane constat eamdem prima Dominica Quadragesimæ habitam esse.

(97) In Regio primo scriptum invenimus εὐάρεστον τῷ Κυρίῳ.

(98) Colbertini duo θυμοῦ ἀποχή.

τῶν λογίων τοῦ Πνεύματος, καὶ ἐν τῇ ἀναλήψει τῶν σωτηρίων νομίμων, καὶ ἐν πᾶσι τοῖς διορθωτικοῖς τῶν ψυχῶν ἡμῶν δόγμασιν. Ἀπὸ μέντοι τῆς ἐν τῷ κρυπτῷ νηστείας φυλαξώμεθα, περὶ ἧς καὶ ὁ (99) προφήτης ἀπεύχεται λέγων· *Οὐ λιμοκτονήσει Κύριος ψυχὰς δικαίων*· καὶ τό· *Οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους*. Οὐ γὰρ ἂν περὶ αἰσθητῶν ἄρτων εἶπεν ὁ εἰδὼς τοὺς παῖδας τοῦ πατριάρχου ἡμῶν (1) Ἰακὼβ ἄρτων ἕνεκεν καταβάντας εἰς Αἴγυπτον, ἀλλὰ περὶ τῆς πνευματικῆς λέγει τροφῆς, καθ' ἣν ὁ ἔσω ἡμῶν ἄνθρωπος τελειοῦται. Μὴ ἔλθῃ καὶ ἐφ' ἡμᾶς (2) ἡ τοῖς Ἰουδαίοις ἀπειληθεῖσα νηστεία· *Ἰδοὺ γὰρ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐπάξω ἐπὶ τὴν γῆν ταύτην λιμὸν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου*· ὃν διὰ τοῦτο ἐπήγαγεν ὁ δίκαιος κριτὴς, ἐπειδὴ ἑώρα αὐτῶν τὸν μὲν νοῦν ἐν τῇ ἀτροφίᾳ τῶν τῆς ἀληθείας δογμάτων (3) λιμαγχονούμενον, ὑπερπιαινόμενον δὲ αὐτῶν καὶ κατασαρκούμενον τὸν ἔξω ἄνθρωπον. Πάσας τοίνυν τὰς ἐφεξῆς ἡμέρας ἑστιάσει ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἑωθιναῖς τε καὶ ἑσπεριναῖς εὐφροσύναις. Μηδεὶς ἑκουσίως ἀπολιμπανέσθω (4) τῆς πνευματικῆς εὐωχίας. Πάντες μετάσχωμεν τοῦ νηφαλίου κρατῆρος, ὃν ἡ σοφία, κεράσασα, προέθηκεν ἡμῖν ἐξ ἴσου, καθ' ὅσον ἐστὶ χωρητικὸς ἕκαστος ἀπαρύεσθαι. *Ἐκέρασε γὰρ τὸν ἑαυτῆς κρατῆρα, καὶ ἔσφαξε τὰ ἑαυτῆς θύματα*· τουτέστι, τὴν τῶν τελείων τροφὴν, *Τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ*. Ὧν δαψιλῶς ἐμφορηθέντες, εὑρεθείημεν ἄξιοι καὶ τῆς ἐν τῷ νυμφῶνι εὐφροσύνης ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν (5).

A tione eloquiorum Spiritus, inque suscipiendis salutaribus institutis, denique in cunctis dogmatibus, quibus emendantur animi nostri. Rursus ab interno mentis jejunio caveamus, quod et propheta deprecatur, his verbis : *Non occidet Dominus fame animas justorum* [70]. Ac rursus : *Non vidi justum derelictum, nec semen ejus quærens panem* [71]. Nec enim loquitur de panibus sensibilibus, qui noverat filios patriarchæ nostri Jacob panum causa descendisse in Ægyptum, sed de spirituali loquitur alimonia, qua interior **16** noster homo perficitur. Ne veniat etiam in nos jejunium quod Deus comminatur Judæis : *Ecce enim dies veniunt, dicit Dominus, et inducam in terram hanc famem, non famem panis, neque sitim aquæ, sed famem audiendi verbum Domini* [72] : B quam ideo immisit justus judex, quod perspiceret eorum mentem verorum dogmatum inedia, fame necari ; contra vero, externum eorum hominem supra modum pinguescere et obesum fieri. Per omnes igitur hosce sequentes dies convivio excipiet vos Spiritus sanctus, matutinis simul et vespertinis epulis. Nemo sua sponte seipsum fraudet hoc epulo spirituali. Omnes participes simus sobrii calicis, quem ipsa Sapientia temperavit, ac nobis apposuit ex æquo, ut quantum quisque capax est hauriat. *Miscuit enim craterem suum, occidit hostias suas* [73] ; hoc est, perfectorum cibum, *Qui propter assuetudinem sensus exercitatos habent ad discretionem boni et mali* [74]. Quibus affatim expleti, reperiamur et illo digni gaudio, quod exhi- C bebitur in sponsi thalamo, in Christo Jesu Domino nostro, cui gloria et imperium in sæcula. Amen.

ΟΜΙΛΙΑ ΕΙΣ ΤΟ,

Πρόσεχε σεαυτῷ (6).

1. Τοῦ λόγου τὴν χρῆσιν δέδωκεν ἡμῖν ὁ κτίσας ἡμᾶς Θεὸς, ἵνα τὰς βουλὰς τῶν καρδιῶν ἀλλήλοις ἀποκαλύπτωμεν, καὶ διὰ τὸ κοινωνικὸν τῆς φύσεως ἕκαστος τῷ πλησίον μεταδιδῶμεν, ὥσπερ ἔκ τινων ταμιείων, τῶν τῆς καρδίας κρυπτῶν, προφέροντες τὰ βουλεύματα. Εἰ μὲν γὰρ γυμνῇ τῇ ψυχῇ διεζῶμεν, εὐθὺς ἂν ἀπὸ τῶν νοημάτων ἀλλήλοις συνεγινόμεθα· ἐπειδὴ δὲ ὑπὸ παραπετάσματι τῇ σαρκὶ καλυπτομένη ἡμῶν ἡ ψυχὴ τὰς ἐννοίας ἐργάζεται, ῥημάτων δεῖται καὶ ὀνομάτων πρὸς τὸ δημοσιεύειν τὰ ἐν τῷ βάθει κείμενα. Ἐπειδὰν οὖν ποτε λάβηται φωνῆς σημαντικῆς ἡ ἔννοια ἡμῶν (7), ὥσπερ πορθμείῳ τινὶ τῷ λόγῳ

HOMILIA IN ILLUD,

Attende tibi ipsi [75].

1. Qui nos condidit Deus, ideo impertivit nobis sermonis usum, ut alter alteri cordis consilia aperiamus, eaque unusquisque propter naturæ societatem communicemus cum proximo, ex abditis cordis recessibus, velut ex cellis quibusdam penariis, depromentes. Etenim si constaremus anima nuda, statim certe cogitationum ope inter nos congrederemur : quia vero anima nostra carnis tegu- D mento operta, cogitationes producit, verbis opus habet et nominibus, ut ea quæ in reconditiore mentis secessu delitescunt, proferat in apertum. Mens igitur nostra simul ut vocem quidpiam si-

[70] Prov. x, 3. [71] Psal. xxxvi, 25. [72] Amos viii, 11. [73] Prov. ix, 2. [74] Hebr. v, 14. [75] Deut. xv, 9.

(99) Antiqui tres libri περὶ ἧς καὶ ὁ. Aberat vocula καί a vulgatis. Mox Reg. primus Κύριος ψυχήν.

(1) Veteres quinque libri πατριάρχου ἡμῶν. Ultima vox in impressis libris deerat.

(2) Colbertini primus et tertius μὴ ἔλθοι καὶ ἐφ' ὑμᾶς.

(3) Sic Regii primus et tertius. Alii mss. et editi διδαγμάτων.

(4) Antiqui duo libri Colbertini ἑκουσίως ἀπολειπέσθω.

(5) Colb. primus τὸ κράτος σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(6) In Reg. primo ita scriptum invenimus : Οὗτος ὁ λόγος ἀναγινώσκεται τῇ β' τῆς τυρινῆς. *Hic sermo legitur die secunda ejus hebdomadis, qua lacticiniis vesci licet.*

(7) Colb. tertius ἡ ἐπίνοια ἡμῶν.

gnificantem apprehendit, sermone velut cymba quadam vehitur, et aerem transvolans, a loquente transit ad audientem. Quodsi nacta fuerit altam tranquillitatem ac quietem, tum sermo veluti portum quemdam placidum ac tranquillum, discipulorum aures subit; sin autem excitatus ab auditoribus tumultus, quasi aspera quædam tempestas contra aspirarit, medio in aere dissolutus naufragium facit. Date igitur quietem sermoni per silentium. In eo enim fortasse videbitur aliquid utile, nec indignum quod hinc vobiscum exportetis. Difficilis captu est veritatis sermo, ac facile potest effugere non attentos. Ita enim voluit Spiritus sanctus sermonem suum contractum esse ac brevem, ut paucis multa significet, nulloque negotio ob brevitatem valeat facile memoria retineri. Nam et naturale sermonis munus est, neque obscuritate **17** ea quæ significantur occultare, neque supervacaneum esse et vanum, ac temere rebus circumfluum. Certe ejusmodi sunt ea verba, quæ modo nobis ex Moysis libris recitata sunt, quorum omnino recordamini, vos qui studiosi estis, nisi forte ob suam brevitatem vestras præterfluxerint aures. Ita autem se habet sententia: ***Attende tibi ipsi, ne quando fiat verbum occultum in corde tuo iniquitas.*** Sumus nos homines ad peccata cogitationum proclives. Quapropter qui corda nostra singillatim finxit [76], haud nescius in voluntatis appetitione compleri maximam peccatorum partem, puritatem in principali animæ parte sitam, ceu principem ac primariam nobis constituit. Nam maxime qua parte facile prolabimur in peccata, hanc custodia ac cura majore dignatus est. Quemadmodum enim medici providentiores imbecilliora corpora monitis quibusdam ad cautionem adhibitis multo ante communiunt: eumdem ad modum communis curator, et verus animarum medicus, quam partem ad peccatum pronam in nobis maxime novit, eam validioribus præsidiis præmunivit. Etenim corporeæ actiones tempore indigent, opportunitate, labore, adjutoribus, denique reliquo commeatu. E diverso, animi motus citra temporis moram fiunt, perficiuntur citra lassitudinem, citra negotium ullum consistunt, idoneum ipsis est tempus omne. Et sane nonnunquam invenitur qui arrogans sit, superbiatque de gravitate et castitate, quique extrinsecus præ se ferens temperantiæ larvam, ac plerumque inter eos qui ipsum ob virtutem beatum prædicant, desidens medius, mox tamen cogitatione per occultum cordis motum ad peccati locum accurrat. Videt animo concupita, comminiscitur congressum quempiam indecorum, ac denique in abdita cordis officina, claram in seipso voluptatis speciem depingens, nullis testibus intra se peccatum perpetrat, omni-

A ἐποχουμένη, διαπερῶσα τὸν ἀέρα, ἐκ τοῦ φθεγγομένου μεταβαίνει πρὸς τὸν ἀκούοντα· κἂν μὲν εὕρῃ γαλήνην βαθεῖαν καὶ ἡσυχίαν, ὥσπερ λιμέσιν εὐδίοις καὶ ἀχειμάστοις ταῖς ἀκοαῖς τῶν μανθανόντων ὁ λόγος ἐγκαθορμίζεται· ἐὰν δὲ οἷον ζάλη τις τραχεῖα ὁ παρὰ τῶν ἀκουόντων θόρυβος ἀντιπνεύσῃ, ἐν μέσῳ τῷ ἀέρι διαλυθεὶς ἐναυάγησε. Ποιήσατε τοίνυν γαλήνην τῷ λόγῳ διὰ τῆς σιωπῆς. Ἴσως γὰρ ἄν τι φανείη χρήσιμον ἔχων τῶν ἀγωγίμων. Δυσθήρατός ἐστιν ὁ τῆς ἀληθείας λόγος, ῥᾳδίως δυνάμενος ἐκφεύγειν (8) τοὺς μὴ προσέχοντας, οὕτω τοῦ Πνεύματος οἰκονομήσαντος συνεσταλμένον αὐτὸν εἶναι καὶ βραχὺν, ὥστε πολλὰ ἐν ὀλίγοις δηλοῦν, καὶ διὰ συντομίαν εὔκολον εἶναι τῇ μνήμῃ παρακατασχέσθαι (9). Καὶ γὰρ φύσει ἀρετὴ λόγου μήτε ἀσαφείᾳ κρύπτειν τὰ σημαινόμενα, μήτε B περιττὸν εἶναι καὶ μάταιον εἰκῇ τοῖς πράγμασι περιῤῥέοντα. Ὁποῖος οὖν δή ἐστι καὶ ὁ ἀρτίως ἡμῖν ἐκ τῶν Μωϋσέως βίβλων ἀνεγνωσμένος λόγος, οὗ μέμνησθε πάντως οἵ γε φιλόπονοι, πλὴν εἰ μή που διὰ βραχύτητα παρέδραμεν ὑμῶν τὰς ἀκοάς. Ἔχει δὲ ἡ λέξις οὕτως· *Πρόσεχε σεαυτῷ, μή ποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα.* Εὔκολοί ἐσμεν πρὸς τὰς κατὰ διάνοιαν ἁμαρτίας οἱ ἄνθρωποι. Διόπερ ὁ πλάσας καταμόνας τὰς καρδίας ἡμῶν, εἰδὼς, ὅτι τὸ πλεῖστον τῆς ἁμαρτίας ἐν τῇ ὁρμῇ πληροῦται τῇ κατὰ πρόθεσιν, τὴν ἐν τῷ ἡγεμονικῷ καθαρότητα πρώτην ἡμῖν διετάξατο. Ὧ γὰρ μάλιστα προχείρως ἐξαμαρτάνομεν, τοῦτο πλείονος φυλακῆς καὶ ἐπιμελείας ἠξίωσεν. Ὥσπερ γὰρ τῶν σωμάτων C τὰ ἀσθενέστερα οἱ προμηθέστεροι τῶν ἰατρῶν ταῖς προφυλακτικαῖς ὑποθήκαις πόῤῥωθεν ἀσφαλίζονται· οὕτως ὁ κοινὸς κηδεμὼν, καὶ ἀληθινὸς τῶν ψυχῶν ἰατρὸς, ὃ μάλιστα ἡμῶν οἶδε (10) πρὸς ἁμαρτίαν ὀλισθηρότερον, τοῦτο ἰσχυροτέραις προκατελάβετο φυλακαῖς. Αἱ μὲν γὰρ διὰ τοῦ σώματος πράξεις καὶ χρόνου δέονται, καὶ εὐκαιρίας, καὶ καμάτων, καὶ συνεργῶν, καὶ τῆς λοιπῆς χορηγίας· αἱ δὲ τῆς διανοίας κινήσεις ἀχρόνως ἐνεργοῦνται, ἀκόπως ἐπιτελοῦνται, ἀπραγματεύτως συνίστανται, πάντα καιρὸν ἐπιτήδειον ἔχουσι. Καί πού τις τῶν σοβαρῶν καὶ κατωφρυωμένων ἐπὶ σεμνότητι, πλάσμα σωφροσύνης ἔξωθεν περικείμενος, ἐν μέσοις καθεζόμενος πολλάκις τοῖς ἐπ' ἀρετῇ αὐτὸν μακαρίζουσιν, ἀπέδραμε τῇ διανοίᾳ πρὸς τὸν τῆς ἁμαρτίας τόπον ἐν τῷ ἀφανεῖ D τῆς καρδίας κινήματι. Εἶδε τῇ φαντασίᾳ τὰ σπουδαζόμενα, ἀνετυπώσατό τινα ὁμιλίαν οὐκ εὐπρεπῆ, καὶ ὅλως ἐν τῷ κρυφαίῳ τῆς καρδίας ἐργαστηρίῳ, ἐναργῆ ἐν ἑαυτῷ τὴν ἡδονὴν ζωγραφήσας, ἀμάρτυρον ἔσω τὴν ἁμαρτίαν εἰργάσατο, ἄγνωστον πᾶσιν, ἕως ἂν ἔλθῃ ὁ ἀποκαλύπτων τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερῶν τὰς βουλὰς τῶν καρδιῶν. *Φύλαξαι οὖν, μή ποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα. Ὁ γὰρ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ.*

[76] Psal. XXXIV, 11.

(8) In aliquibus codicibus Combefisianis legitur δυνάμενος ἐκφυγεῖν. Nec ita multo post tres mss. ὥστε πλεῖστα ἐν.

(9) Codices Compensiani παρακατασχέσθαι. Nostri et editi προσκατέχεσθαι.

(10) Antiqui duo libri ἡμῶν εἶδε.

Διότι αἱ μὲν τοῦ σώματος πράξεις ὑπὸ πολλῶν διακόπτονται, ὁ δὲ κατὰ πρόθεσιν ἁμαρτάνων, τῷ τάχει τῶν νοημάτων συναπαρτιζομένην ἔχει τὴν ἁμαρτίαν. Ὅπου οὖν ὀξὺ τὸ παράπτωμα, ταχεῖα δέδοται ἡμῖν ἡ φυλακή. Διαμαρτύρεται γὰρ, *Μήποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα.* Μᾶλλον δὲ ἐπ' αὐτὴν τοῦ λόγου τὴν ἀρχὴν ἀναδράμωμεν.

A bus ignotum, donec veniat qui revelabit occulta tenebrarum, et manifestabit consilia cordium [76]. *Cave* igitur *ne quando verbum occultum in corde tuo fiat delictum. Quisquis enim aspexit mulierem ad concupiscendum eam, jam adulterium commisit in corde suo* [77]. Nam corporis actiones a multis intercipiuntur: qui vero peccat voluntate, statim celeri cogitationum motu peccatum explevit. Ubi igitur lapsus est repentinus, ibi repentina cavendi facultas fuit nobis tradita. Obtestatur enim, *Ne quando verbum occultum in corde tuo fiat delictum.* Jam potius ad ipsum sermonis recurramus exordium.

2. *Πρόσεχε*, φησὶ, *σεαυτῷ.* Τῶν ζώων ἕκαστον παρὰ τοῦ τὰ πάντα συστησαμένου Θεοῦ οἴκοθεν ἔχει τὰς ἀφορμὰς πρὸς τὴν φυλακὴν τῆς οἰκείας συστάσεως. Καὶ εὕροις ἂν, εἰ καταμάθοις ἐπιμελῶς, τῶν ἀλόγων τὰ πλεῖστα ἀδίδακτον ἔχοντα τὴν πρὸς τὸ βλάπτον διαβολήν· καὶ φυσικῇ τινι πάλιν ὁλκῇ πρὸς τὴν τῶν ὠφελούντων ἀπόλαυσιν ἐπειγόμενα. Διὸ καὶ ἡμῖν ὁ παιδεύων ἡμᾶς Θεὸς τὸ μέγα τοῦτο παράγγελμα δέδωκεν, ἵνα, ὅπερ ἐκείνοις ἐκ φύσεως, τοῦτο ἡμῖν ἐκ τῆς τοῦ λόγου βοηθείας προσγένηται· καὶ ὅπερ κατορθοῦται τοῖς ἀλόγοις ἀνεπιστάτως, τοῦτο παρ' ἡμῶν ἐπιτελῆται διὰ τῆς προσοχῆς καὶ τῆς συνεχοῦς τῶν λογισμῶν (11) ἐπιστάσεως· καὶ φύλακες ὦμεν ἀκριβεῖς τῶν παρὰ Θεοῦ δεδομένων ἡμῖν ἀφορμῶν· φεύγοντες μὲν τὴν ἁμαρτίαν, ὥσπερ τὰ ἄλογα φεύγει τῶν βρωμάτων τὰ δηλητήρια· διώκοντες δὲ τὴν δικαιοσύνην, ὥσπερ κἀκεῖνα μεταδιώκει (12) τῆς πόας τὸ τρόφιμον. *Πρόσεχε οὖν σεαυτῷ*, ἵνα δυνατὸς ᾖς διακρίνειν τὸ βλάπτον ἀπὸ τοῦ σώζοντος. Ἐπειδὴ δὲ διπλοῦν τὸ προσέχειν· τὸ μὲν, σωματικοῖς ὀφθαλμοῖς ἐνατενίζειν τοῖς ὁρατοῖς· τὸ δὲ, τῇ νοερᾷ τῆς ψυχῆς δυνάμει ἐπιβάλλειν τῇ θεωρίᾳ τῶν ἀσωμάτων· ἐὰν μὲν ἐπὶ τῆς τῶν ὀφθαλμῶν ἐνεργείας κεῖσθαι εἴπωμεν τὸ παράγγελμα, εὐθὺς αὐτοῦ τὸ ἀδύνατον ἀπελέγξομεν. Πῶς γὰρ ἄν τις ὅλον ἑαυτὸν τῷ ὀφθαλμῷ καταλάβοι; Οὐδὲ γὰρ αὐτὸς ἐφ' ἑαυτὸν ὁ ὀφθαλμὸς κέχρηται τῷ ὁρᾶν (13)· οὐ κορυφῆς ἐφικνεῖται, οὐ τὰ νῶτα οἶδεν, οὐ πρόσωπα, οὐ τὴν ἐν τῷ βάθει τῶν σπλάγχνων διάθεσιν. Ἀσεβὲς οὖν τὸ λέγειν ἀδύνατα εἶναι τὰ τοῦ Πνεύματος παραγγέλματα (14). Λείπεται τοίνυν ἐπὶ τῆς κατὰ νοῦν ἐνεργείας τοῦ προστάγματος ἐξακούειν. *Πρόσεχε οὖν σεαυτῷ*· τουτέστι, Πανταχόθεν σεαυτὸν περισκόπει. Ἀκοίμητον ἔχε πρὸς τὴν σεαυτοῦ φυλακὴν τὸ τῆς ψυχῆς ὄμμα. *Ἐν μέσῳ παγίδων διαβαίνεις.* Κεκρυμμένοι βρόχοι παρὰ τοῦ ἐχθροῦ πολλαχόθεν καταπεπήγασι. Πάντα οὖν περισκόπει, *Ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος.* Ἡ μὲν γὰρ δορκὰς ἀνάλωτός ἐστι τοῖς βρόχοις δι' ὀξύτητα τῆς ὁράσεως· ὅθεν καὶ ἐπώνυμός ἐστι τῆς οἰκείας ὀξυδορκίας· τὸ δὲ ὄρνεον κούφῳ τῷ πτερῷ ὑψηλότερον τῆς ἐπιβουλῆς

2. *Attende*, inquit, *tibi ipsi*. Animal quodvis ad se tuendum ab omnium conditore Deo habet intus impetum quemdam. Invenias itidem, si modo animum diligenter attenderis, maximam brutorum animalium partem, nullo magistro, noxia vitare (B) aversarique: contra vero, naturali quadam propensione ad sua commoda capienda incitari. Quapropter et qui nos erudit Deus, magnum hoc nobis præceptum dedit, ut quod illa a natura accepere, idipsum accedat nobis rationis ope; et quod fit a brutis inconsiderate, hoc a nobis perficiatur ex animi attentione et assidua mentis consideratione: item, ut datos nobis a Deo impetus diligenter custodiamus, fugientes peccatum perinde atque bruta animalia venenatum pabulum fugiunt; sectantes vero justitiam, velut illa herbas edules consectantur. *Attende* igitur *tibi ipsi*, ut possis **18** noxium a salubri discernere. Quoniam autem duplex est attentio: altera, cum considerantur oculis corporeis (C) visibilia; altera, cum speculamur incorporea intelligente animi facultate; si dixerimus quidem hoc præceptum in oculorum actione esse situm, statim id fieri non posse deprehendemus. Qui enim fieri potest, ut quis seipsum totum oculo complectatur? Neque enim oculus ipse ad seipsum videndum adhibet suos obtutus; non pertingit ad verticem, terga non novit, non vultus, non internam viscerum dispositionem. Denique impium fuerit dicere præcepta Spiritus sancti perfici non posse. Superest igitur ut illud præceptum de mentis actione accipiamus. *Attende* igitur *tibi ipsi:* hoc est, Teipsum omni ex parte conspice. Habeto oculum animæ insomnem ad tui ipsius custodiam. *In medio laqueorum transis* [78]. Latent laquei multis in locis ab hoste (D) defixi. Circumspice igitur et lustra omnia, *Ut serveris tanquam damula e laqueis, et tanquam avis e reti* [79]. Caprea enim præ visus claritate capi laqueis non potest; inde est etiam quod id nominis acceperit a proprio visus acumine; avis vero, si modo sibi attendat, levi penna sursum erecta, redditur altior quam ut incidat in aucupum insidias.

[76] I Cor. IV, 5. [77] Matth. V, 28. [78] Eccli. IX, 20. [79] Prov. VI, 5.

(11) Editi et Reg. tertius τῶν λόγων. Alii mss. τῶν λογισμῶν. Ibidem in Reg. primo pro ἐπιστάσεως legitur ἐπιτάσεως.

(12) Editi διώκει. At mss. plerique omnes μεταδιώκει.

(13) Unus codex Reg. et editi τὸ ὁρᾶν. Alii non pauci τῷ ὁρᾶν. Statim unus codex Combef. νῶτα εἶδε: quæ scriptura viro doctissimo magis placet; nec diffitebor eam mihi quoque magis placere. Quoniam tamen alii mss. vulgatam lectionem præferunt, nihil mutandum censuimus.

(14) Reg. primus τὰ τοῦ Σωτῆρος παραγγέλματα, *præcepta Salvatoris*. Ibidem editi λείπεται οὖν. Multi libri veteres λείπεται τοίνυν.

Cave igitur, ne brutis animantibus deterior videare ad teipsum custodiendum, nequando laqueis irretitus, præda efficiaris diaboli, ab eo captus et ad illius voluntatem adductus [80].

3. *Attende* itaque *tibi ipsi* : hoc est, Non tuis, neque his quæ circum te sunt, sed tibi ipsi soli attende. Aliud enim sumus nos ipsi, aliud nostra, aliud quæ circum nos sunt. Nos quidem anima sumus et mens, quatenus ad imaginem Conditoris sumus facti; nostrum vero corpus est, et qui per ipsum sunt sensus; circum nos autem pecuniæ, artes et reliqua vitæ suppellex. Quid igitur ait Scriptura? Ne carni attende, nec ullo modo prosequare illius bona, sanitatem, pulchritudinem, voluptatum usum, longam vitam; nec pecunias aut B gloriam, aut potentiam admirare; nec alia quæcunque temporalis tuæ vitæ munera explent, magna aut eximia tanti duxeris, ut horum studio primariam tuam vitam negligas, sed *attende tibi ipsi;* hoc est, animæ tuæ. Exorna illam, et ejus curam gere, ut sordes omnes ex nequitia ipsi accedentes, submoveantur per animi attentionem, omnisque vitiorum turpitudo expurgetur, ac contra condecoretur illustreturque omni virtutis ornatu. Perscrutare te ipse, quis sis; fac noscas tuam ipsius naturam, nimirum corpus quidem mortale esse, animam vero immortalem : item, duplicem esse vitam nostram, alteram carnis propriam, cito transeuntem; alteram animæ cognatam, limites nullos admittentem. C *Attende* ergo *tibi ipsi*, neque iis quæ peritura sunt, ac si æterna essent, adhæseris, neque æterna quasi fluxa asperneris. Carnem despicito, quippe quæ transeat; curam habeas animæ rei **19** immortalis. Omni diligentia tibi ipsi intende, ut quod utrique profuturum sit, noveris dispertiri, carni quidem alimoniam et tegumenta: animæ vero pietatis dogmata, institutionem urbanam, virtutis exercitationem, vitiorum emendationem. Neque vero plus æquo pinguefacias corpus, neque sis sollicitus de copia carnium. Quoniam enim *Caro concupiscit adversus spiritum, spiritus autem adversus carnem, et hæc sibi invicem adversantur* [81], cave nequando addictus carni, multas vires tribuas deteriori. Nam quemadmodum in staterarum D momentis unam lancem si degravabis, necesse est omnino ut oppositam reddas leviorem : ita etiam in corpore et animo, dum unum redundat, alterum necessario imminuitur. Fruente enim corpore habitudine bona, atque obesitate aggravato, consequens est ut mens ad peculiares sibi actiones infirma sit ac debilis; contra, animo se bene habente

A τῶν ἀγρευόντων, ὅταν προσέχῃ, γίνεται. Ὅρα οὖν μὴ χείρων φανῇς τῶν ἀλόγων πρὸς τὴν σεαυτοῦ φυλαχήν· μήποτε, ταῖς παγίσιν ἁλοὺς, θήραμα γένῃ τοῦ διαβόλου, ἐζωγρημένος ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

3. *Πρόσεχε* οὖν *σεαυτῷ*· τουτέστι, Μήτε τοῖς σοῖς μήτε τοῖς περὶ σὲ, ἀλλὰ σεαυτῷ μόνῳ πρόσεχε. Ἄλλο γάρ ἐσμεν ἡμεῖς αὐτοὶ, καὶ ἄλλο τὰ ἡμέτερα, καὶ ἄλλο τὰ περὶ ἡμᾶς. Ἡμεῖς μὲν οὖν ἐσμεν ἡ ψυχὴ καὶ ὁ νοῦς, καθὸ κατ' εἰκόνα τοῦ κτίσαντος γεγενήμεθα· ἡμέτερον δὲ τὸ σῶμα καὶ αἱ δι' αὐτοῦ (15) αἰσθήσεις· περὶ ἡμᾶς δὲ, χρήματα, τέχναι καὶ ἡ λοιπὴ τοῦ βίου κατασκευή. Τί οὖν φησιν ὁ λόγος; Μὴ τῇ σαρκὶ πρόσεχε, μηδὲ τὸ ταύτης ἀγαθὸν ἐκ παντὸς τρόπου δίωκε· ὑγείαν καὶ κάλλος καὶ ἡδονῶν (16) ἀπολαύσεις, καὶ μακροβίωσιν· μηδὲ χρήματα καὶ δόξαν, καὶ δυναστείαν θαύμαζε· μηδὲ ὅσα σοι (17) τῆς προσκαίρου ζωῆς τὴν ὑπηρεσίαν πληροῖ, ταῦτα μεγάλα νομίσας, τῇ περὶ ταῦτα σπουδῇ τῆς προηγουμένης σεαυτοῦ ζωῆς καταμέλει· ἀλλὰ *πρόσεχε σεαυτῷ*· τουτέστι, τῇ ψυχῇ σου. Ταύτην κατακόσμει, καὶ ταύτης ἐπιμελοῦ, ὥστε πάντα μὲν τὸν ἐκ τῆς πονηρίας ἐπιγινόμενον αὐτῇ ῥύπον ἀποικονομεῖσθαι διὰ τῆς προσοχῆς, πᾶν δὲ τὸ ἀπὸ κακίας αἶσχος ἀποκαθαίρεσθαι, παντὶ δὲ τῷ ἐξ ἀρετῆς κάλλει κατακοσμεῖν αὐτὴν καὶ φαιδρύνειν. Ἐξέτασον σεαυτὸν τίς εἶ, γνῶθι σαυτοῦ τὴν φύσιν· ὅτι θνητὸν μέν σου τὸ σῶμα, ἀθάνατος δὲ ἡ ψυχή· καὶ ὅτι διπλῆ τίς ἐστιν ἡμῶν ἡ ζωή· ἡ μὲν οἰκεία τῇ σαρκὶ, ταχὺ παρερχομένη· ἡ δὲ συγγενὴς τῇ ψυχῇ, μὴ δεχομένη περιγραφήν. *Πρόσεχε* οὖν *σεαυτῷ*, μήτε τοῖς θνητοῖς ὡς ἀϊδίοις ἐναπομείνῃς, μήτε τῶν ἀϊδίων ὡς παρερχομένων καταφρονήσῃς. Ὑπερόρα σαρκὸς, παρέρχεται γάρ· ἐπιμελοῦ ψυχῆς, πράγματος ἀθανάτου. Ἐπίστηθι μετὰ πάσης ἀκριβείας σεαυτῷ, ἵνα εἰδῇς διανέμειν ἑκατέρῳ τὸ πρόσφορον, σαρκὶ μὲν διατροφὰς καὶ σκεπάσματα, ψυχῇ δὲ δόγματα εὐσεβείας, ἀγωγὴν ἀστείαν, ἀρετῆς ἄσκησιν, παθῶν ἐπανόρθωσιν· μήτε ὑπερπιαίνειν τὸ σῶμα, μήτε περὶ τὸν ὄχλον τῶν σαρκῶν ἐσπουδακέναι. Ἐπειδὴ γὰρ *Ἐπιθυμεῖ ἡ σὰρξ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκὸς, ταῦτα δὲ ἀλλήλοις ἀντίκειται* (18), ὅρα μή ποτε, προσθέμενος τῇ σαρκὶ, πολλὴν παράσχῃ τὴν δυναστείαν τῷ χείρονι. Ὥσπερ γὰρ ἐν ταῖς ῥοπαῖς τῶν ζυγῶν, ἐὰν μίαν καταβαρύνῃς πλάστιγγα, κουφοτέραν πάντως τὴν ἀντικειμένην ποιήσεις· οὕτω καὶ ἐπὶ σώματος καὶ ψυχῆς, ὁ τοῦ ἑτέρου πλεονασμὸς ἀναγκαίαν ποιεῖ τὴν (19) ἐλάττωσιν τοῦ ἑτέρου. Σώματος μὲν γὰρ εὐπαθοῦντος καὶ πολυσαρκίᾳ βαρυνομένου, ἀνάγκη ἀδρανῆ καὶ ἄτονον εἶναι πρὸς τὰς οἰκείας ἐνεργείας τὸν νοῦν· ψυχῆς δὲ εὐεκτούσης καὶ διὰ τῆς τῶν ἀγαθῶν μελέτης πρὸς τὸ οἰκεῖον μέγεθος

[80] II Tim. II, 26. [81] Galat. v, 17.

(15) Reg. primus αἱ διὰ τούτου.
(16) Unus codex ἡδονῶν ἀπόλαυσιν.
(17) Antiqui duo libri ὅσα σου. Alii mss. et editi ὅσα σοι. Nec ita multo post editi et Reg. tertius νομίσας, καὶ τῇ. Sed voculam καί delevimus, fidem trium librorum veterum secuti.
(18) In Colb. tertio pro ἀντίκειται legitur ἀντίκεινται. Mox quatuor mss. παράσχῃ. Editi παράσχῃς.
(19) Antiqui tres libri ποιεῖται τήν.

A ὑψουμένης, ἑπόμενόν ἐστι τὴν τοῦ σώματος ἕξιν καταμαραίνεσθαι.

4. Τὸ αὐτὸ δὲ τοῦτο παράγγελμα καὶ ἀσθενοῦσι χρήσιμον, καὶ ἐῤῥωμένοις ἁρμοδιώτατον. Ἐν μέν γε ταῖς ἀσθενείαις οἱ ἰατροὶ τοῖς κάμνουσι παρεγγυῶσι προσέχειν αὐτοὺς ἑαυτοῖς, καὶ μηδενὸς τῶν εἰς θεραπείαν ἡκόντων καταμελεῖν. Ὁμοίως δὲ καὶ ὁ ἰατρὸς τῶν ψυχῶν ἡμῶν λόγος (20) τὴν ὑπὸ τῆς ἁμαρτίας κεκακωμένην ψυχὴν διὰ τοῦ μικροῦ τούτου βοηθήματος ἐξιᾶται. *Πρόσεχε* οὖν *σεαυτῷ*, ἵνα κατὰ ἀναλογίαν τοῦ πλημμελήματος καὶ τὴν ἐκ τῆς θεραπείας βοήθειαν καταδέξῃ (21). Μέγα καὶ χαλεπὸν τὸ ἁμάρτημα· πολλῆς σοι χρεία τῆς ἐξομολογήσεως, δακρύων πικρῶν, συντόνου τῆς ἀγρυπνίας, ἀδιαλείπτου τῆς νηστείας. Κοῦφον καὶ φορητὸν τὸ παράπτωμα· B ἐξισαζέσθω καὶ ἡ μετάνοια. Μόνον πρόσεχε σεαυτῷ, ἵνα γνωρίζῃς ψυχῆς εὐρωστίαν καὶ νόσον. Πολλοὶ γὰρ ἀπὸ τῆς (22) ἄγαν ἀπροσεξίας μεγάλα καὶ ἀνίατα νοσοῦντες, οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, ὅτι νοσοῦσι. Μέγα δὲ τὸ ἐκ τοῦ παραγγέλματος ὄφελος καὶ τοῖς ἐῤῥωμένοις περὶ τὰς πράξεις· ὥστε τὸ αὐτὸ (23) καὶ νοσοῦντας ἰᾶται, καὶ ὑγιαίνοντας τελειοῖ. Ἕκαστος γὰρ ἡμῶν τῶν μαθητευομένων τῷ λόγῳ μιᾶς τινος πράξεώς ἐστιν ὑπηρέτης, τῶν κατὰ τὸ Εὐαγγέλιον διατεταγμένων ἡμῖν. Ἐν γὰρ τῇ μεγάλῃ οἰκίᾳ τῇ Ἐκκλησίᾳ ταύτῃ οὐ μόνον σκεύη ἐστὶ παντοδαπὰ, χρυσᾶ καὶ ἀργυρᾶ, καὶ ξύλινα (24) καὶ ὀστράκινα, ἀλλὰ καὶ τέχναι παντοῖαι. Ἔχει γὰρ ὁ οἶκος τοῦ Θεοῦ, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, θηρευτὰς, ὁδοιπόρους, C ἀρχιτέκτονας, οἰκοδόμους, γεωργοὺς, ποιμένας, ἀθλητὰς, στρατιώτας. Πᾶσι τούτοις ἐφαρμόσει τὸ βραχὺ τοῦτο ῥῆμα, ἑκάστῳ (25) καὶ ἀκρίβειαν τοῦ ἔργου καὶ σπουδὴν τῆς προαιρέσεως ἐμποιοῦν. Θηρευτὴς εἶ ἀπεσταλμένος ὑπὸ τοῦ Κυρίου τοῦ εἰπόντος· *Ἰδοὺ ἐγὼ ἀποστέλλω πολλοὺς θηρευτὰς, καὶ θηρεύσουσιν αὐτοὺς ἐπάνω παντὸς ὄρους.* Πρόσεχε οὖν ἐπιμελῶς, μή πού σε διαφύγῃ τὸ θήραμα, ἵνα, συλλαβόμενος τῷ λόγῳ τῆς ἀληθείας, τοὺς ὑπὸ τῆς κακίας ἀγριωθέντας προσαγάγῃς τῷ σώζοντι. Ὁδοιπόρος εἶ ὁμοίως τῷ (26) εὐχομένῳ· *Τὰ διαβήματά μου κατεύθυνον.* Πρόσεχε σεαυτῷ, μὴ παρατραπῇς τῆς ὁδοῦ, μὴ ἐκκλίνῃς δεξιᾷ ἢ ἀριστερᾷ· ὁδῷ βασιλικῇ πορεύου. Ὁ ἀρχιτέκτων ἀσφαλῶς τὸν θεμέλιον καταβαλλέσθω (27) τῆς πίστεως, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός. Ὁ οἰκοδόμος D βλεπέτω πῶς ἐποικοδομεῖ· μὴ ξύλα, μὴ χόρτον, μὴ καλάμην, ἀλλὰ χρυσίον, ἀργύριον, λίθους τιμίους. Ὁ ποιμὴν, πρόσεχε μή τι παρέλθῃ τῶν ἐπιβαλ-

et bonorum meditatione ad propriam magnitudinem evecto, sequitur bonam corporis habitudinem contabescere et elanguere.

4. Porro hoc idem præceptum cum infirmis conducit, tum maxime congruit bene valentibus. Et in morbis quidem medici adhortantur ægrotos, ut sibi ipsi attendant, nihilque eorum quæ ad medelam pertinent negligant. Eumdem ad modum sermo etiam, animarum nostrarum medicus, animam a peccato male affectam exiguo hoc remedio persanat. *Attende* igitur *tibi ipsi*, ut pro delicti ratione recipias etiam subsidium curationis. Magnum est peccatum et grave, multa tibi opus est confessione, lacrymis amaris, intentis vigiliis, jugi jejunio. Leve est et tolerabile delictum : huic quoque exæquetur pœnitentia. Tantummodo attende tibi ipsi, ut sanitatem animi ac morbum agnoscas. Sunt enim plerique, qui præ nimia animi inconsiderántia ægrotare se ne norunt quidem, quanquam gravibus morbis et insanabilibus laborant. Sed et bene valentibus in agendo non parum prodest illud mandatum : quare hoc idem et ægros sanat, et sanis conciliat sanitatem perfectiorem. Nam quisque nostrum qui inter verbi discipulos recensemur, sumus administri unius alicujus eorum munerum, quæ nobis, juxta Evangelium, præscripta sunt. Enimvero in magna domo Ecclesia hac non modo vasa sunt cujuscunque generis, aurea et argentea, lignea et testacea [82], sed sunt etiam artes omnigenæ. Habet enim domus Dei, quæ est Ecclesia Dei viventis [83], venatores, viatores, architectos, ædificatores, agricolas, pastores, athletas, milites. Conveniet brevis hæc dictio his omnibus, impertiens singulis tum operis integritatem, tum voluntatis studium. Venator es missus a Domino dicente : *Ecce ego mitto multos venatores, et venabuntur eos super omnem montem* [84]. Attende igitur diligenter, ne forte effugiat te præda, ut eos qui vitiis efferati sunt, sermone veritatis captos adducas Servatori. Viator es non secus ac ille **20** qui sic precabatur : *Gressus meos dirige* [85], attende tibi ipsi ne deflectas a via, ne declines ad dextram aut sinistram, via regia incede. Jaciat architectus firmum fidei fundamentum, quod est Jesus Christus. Videat ædificator, quo pacto ædificet : non lignum, non fenum, non stipulam, sed aurum, argentum, lapides pretiosos [86]. Pastor es? attende ne te quidquam eorum quæ ad munus pastorale attinent, prætereat. Hæc autem quid sibi

[82] II Tim. II, 20. [83] I Tim. III, 15. [84] Jerem. XVI, 16. [85] Psal. CXVIII, 133. [86] I Cor. III, 11, 12.

(20) Codices permulti ἡμῶν λόγος. Editi ὁ λόγος.
(21) Reg. primus βοήθειαν καταδέχῃ. Statim idem codex χαλεπὸν τὸ παράπτωμα. Nec ita multo post idem ms. φορητὸν τὸ ἁμάρτημα.
(22) Antiqui duo libri Πολλοὶ γὰρ ὑπὸ τῆς.
(23) Sic mss. At editi ὥστε αὐτὸ τοῦτο.
(24) Editi et Reg. tertius ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα. Alii tres mss. ἀργυρᾶ καὶ ξύλινα. Ibidem editi ὀστράκινα, ἀλλὰ καί, etc. Sed vox ἀλλά hoc loco in Reg. tertio deest.
(25) Veteres aliquot libri ἑκάστου. Ibidem Reg. primus et Colb. primus κατὰ ἀκρίβειαν, male. Nec ita multo post duo mss. παρὰ τοῦ Κυρίου.
(26) Editi et Colb. tertius ὅμοιος τῷ, *similis ei qui*, etc. At Regii primus et tertius ὁμοίως τῷ, *perinde atque is qui*, etc., rectius. Hoc ipso in loco Colb. primus προσευχομένῳ.
(27) Veteres duo libri καταβαλέτω. Codex Combef. καταβαλλέτω.

volunt? Fac reducas errabundum pecus, obliga contritum, ægrum sana. Agricola si fueris, ficum infructuosam circumfodito, et ea quæ fecunditatem juvant appone [87]. Tu qui miles [88] es, *collabora Evangelio* [89] : milita bonam militiam [90] contra spiritus nequitiæ [91], adversus libidines carnis, assume omnem armaturam Dei [92] : ne impliceris vitæ negotiis [93], ut ei qui te in militiam delegit, placeas. Athleta es? attende tibi ipsi, ne quam legem athleticam transgrediaris. Coronatur enim nemo, nisi legitime certaverit [94]. Imitare Paulum et currentem, et luctantem, et pugnis certantem [95] : tu itidem, velut bonus pugil, animi oculum omnino intentum habe. Partes præcipuas obtegito objectu manuum; intentis in adversarium oculis esto. Extende te in cursibus ad anteriora [96]. Sic curre, ut comprehendas [97]. Oppone te invisibilibus adversariis in luctatione. Esse te ejusmodi, quoad vives, hæc sententia vult, non concidentem animo, neque dormientem, sed sobrie et vigilanter tibi ipsi præsidentem.

5. Deficiet me dies, si narrare pergam tum studia eorum qui Evangelio Christi operam dant, tum vim præcepti, videlicet quam conveniat omnibus. Attende tibi ipsi; sobrius esto, utere consiliis, præsentium custos, futuri provisor. Quod jam præsens est, præ segnitie ne amitte, neque eorum, quæ non sunt, nec forte futura sunt, quasi jam in manibus sint, tibi promitte possessionem. Nonne hic morbus natura insitus est adolescentibus, ut ob mentis levitatem habere se jam putent sperata? Nam si quando otium nacti fuerint, aut quietem nocturnam, imagines quasdam rerum non subsistentium sibi ipsi animo fingunt, et præ mentis instabilitate feruntur in omnia, pollicentes sibi splendorem vitæ, nuptias illustres, numerosam ac faustam sobolem, longævam senectutem, deferendos ab omnibus honores. Deinde cum nulla in re possint spes suas sistere, ad ea quæ inter homines maxima sunt, nimio animi tumore rapiuntur. Domos pulchras comparant et amplas, quas pretiosa ac omnigena supellectile replent; tantum adjiciunt terræ in circuitu, quantum vana eorum cogitatione a toto terrarum orbe rescissum est. Rursus provenientes illinc reditus in vanitatis horreis includunt. His addunt pecora, innumeram servorum turmam, magistratus civiles, principatus gentium, imperia militaria, bella, trophæa denique regnum

A λόντων τῇ ποιμαντικῇ. Ταῦτα δέ εἰσι (28) ποῖα; Τὸ πεπλανημένον ἐπίστρεφε, τὸ συντετριμμένον ἐπίδησον, τὸ νοσοῦν ἴασαι. Ὁ γεωργὸς, περίσκαπτε τὴν ἄκαρπον συκῆν, καὶ ἐπίβαλλε τὰ πρὸς βοήθειαν τῆς καρπογονίας. Ὁ στρατιώτης, *συγκακοπάθησον τῷ Εὐαγγελίῳ* (29), στρατεύου τὴν καλὴν στρατείαν κατὰ τῶν πνευμάτων τῆς πονηρίας, κατὰ τῶν παθῶν τῆς σαρκὸς, ἀνάλαβε πᾶσαν τὴν πανοπλίαν τοῦ Θεοῦ· μὴ ἐμπλέκου ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃς. Ὁ ἀθλητὴς, πρόσεχε σεαυτῷ, μή πού τινα παραβῇς τῶν ἀθλητικῶν νόμων. Οὐδεὶς γὰρ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Μιμοῦ τὸν Παῦλον, καὶ τρέχοντα, καὶ παλαίοντα, καὶ πυκτεύοντα· καὶ αὐτὸς, ὡς ἀγαθὸς πύκτης, ἀμετεώριστον ἔχε τὸ τῆς ψυχῆς βλέμμα (30). Σκέπε τὰ
B καίρια τῇ προβολῇ τῶν χειρῶν· ἀτενὲς τὸ ὄμμα πρὸς τὸν ἀντίπαλον ἔστω. Ἐν τοῖς δρόμοις τοῖς ἔμπροσθεν ἐπεκτείνου. Οὕτω τρέχε, ἵνα καταλάβῃς. Ἐν τῇ πάλῃ τοῖς ἀοράτοις ἀνταγωνίζου. Τοιοῦτόν σε εἶναι διὰ βίου ὁ λόγος βούλεται, μὴ ἀναπεπτωκότα, μηδὲ καθεύδοντα, ἀλλὰ νηφόντως καὶ ἐγρηγορότως ἑαυτοῦ (31) προεστῶτα.

5. Ἐπιλείψει με ἡ ἡμέρα διηγούμενον τά τε ἐπιτηδεύματα τῶν συνεργούντων εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ τὴν δύναμιν τοῦ προστάγματος, ὅπως εὐαρμόστως ἔχει (32) πρὸς ἅπαντας. Πρόσεχε σεαυτῷ· νηφάλιος ἔσο, βουλευτικὸς, τῶν παρόντων φύλαξ, προνοητικὸς τοῦ μέλλοντος. Μὴ τὸ μὲν ἤδη παρὸν διὰ ῥαθυμίας προΐεσο, τῶν δὲ μήτε ὄντων μήτε ἐσο-
C μένων τυχὸν, ὡς ἐν χερσὶν ὄντων, τὴν ἀπόλαυσιν ὑποτίθεσο. Ἢ οὐχὶ φύσει ὑπάρχει τὸ ἀῤῥώστημα τοῦτο τοῖς νέοις, κουφότητι γνώμης ἔχειν ἤδη νομίζειν τὰ ἐλπισθέντα; Ὅταν γάρ ποτε ἠρεμίας λάβωνται, ἢ ἡσυχίας νυκτερινῆς, ἀναπλάττουσιν ἑαυτοῖς φαντασίας ἀνυποστάτους, τῇ εὐκολίᾳ τῆς διανοίας ἐπὶ πάντα φερόμενοι· ὑποτιθέμενοι περιφανείας βίου, γάμους λαμπροὺς, εὐπαιδίαν, γῆρας βαθὺ, τὰς παρὰ πάντων τιμάς. Εἶτα μηδαμοῦ στῆναι τῶν ἐλπίδων δυνάμενοι, πρὸς τὰ μέγιστα τῶν ἐν ἀνθρώποις ὑπερφυσῶνται. Οἴκους κτῶνται καλοὺς καὶ μεγάλους· πληρώσαντες τούτους παντοδαπῶν κειμηλίων, γῆν περιβάλλονται, ὅσην ἂν αὐτοῖς ἡ ματαιότης τῶν λογισμῶν τῆς ὅλης κτίσεως ἀποτέμηται. Πάλιν τὰς ἐντεῦθεν εὐπορίας ταῖς τῆς ματαιότητος
D ἀποθήκαις ἐναποκλείουσι. Προστιθέασι τούτοις βοσκήματα, οἰκετῶν πλῆθος ἀριθμὸν ὑπερβαῖνον, ἀρχὰς πολιτικὰς, ἡγεμονίας ἐθνῶν, στρατηγίας, πολέμους, τρόπαια, βασιλείαν αὐτήν. Πάντα ταῦτα τοῖς διακένοις τῆς διανοίας ἀναπλασμοῖς ἐπελθόντες, ὑπὸ τῆς

[87] Luc. XIII, 8. [88] II Tim. II, 3. [89] II Tim. I, 8. [90] I Tim. I, 18. [91] Ephes. VI, 12. [92] ibid. 13. [93] II Tim. II, 4. [94] ibid. 5. [95] I Cor. IX, 26. [96] Philipp. III, 13. [97] I Cor. IX, 24.

(28) Unus codex Colb. Ταῦτα δέ ἐστι. Mox idem ms. τὸν νοσοῦντα, male.

(29) Illud, συγκακοπάθησον τῷ Εὐαγγελίῳ, interpretans Erasmus, videtur vim verbi συγκακοπαθεῖν non male expressisse, cum ita interpretatus est: *Esto particeps afflictionum Evangelii.*

(30) In Reg. primo scriptum invenimus ψυχῆς ὄμμα, sed ita tamen, ut vox βλέμμα in ora libri addita sit. Mox e regione vocis καίρια vox ψυχικά in Colb. primo legitur. Utrum autem vox ψυχικά varia lectio sit, an declaratio vocis καίρια viderint alii.

(31) Regii duo codices ἀλλὰ νήφοντα.... σεαυτοῦ.

(32) Unus codex Colb. εὐαρμόστως ἔχῃ. Editi et alii duo mss. ἔχει.

ἄγαν ἀνοίας ἀπολαύειν δοκοῦσι τῶν ἐλπισθέντων ὡς ἤδη παρόντων καὶ ἐν ποσὶ κειμένων αὐτοῖς. Ἴδιον ἀῤῥώστημα τοῦτο ἀργῆς καὶ ῥᾳθύμου ψυχῆς, ἐνύπνια βλέπειν ἐγρηγορότος τοῦ σώματος. Ταύτην τοίνυν τὴν χαυνότητα τῆς διανοίας, καὶ τὴν φλεγμονὴν τῶν λογισμῶν καταπιέζων ὁ λόγος, καὶ οἷον χαλινῷ τινι ἀναχρούων τῆς διανοίας τὸ ἄστατον, παραγγέλλει τὸ μέγα τοῦτο καὶ σοφὸν παράγγελμα· *Σεαυτῷ*, φησί, *πρόσεχε*· μὴ ὑποτιθέμενος τὰ ἀνύπαρκτα, ἀλλὰ τὰ παρόντα πρὸς τὸ συμφέρον διατιθέμενος. Οἶμαι δὲ, κἀκεῖνο τὸ πάθος ἐξαιροῦντα τῆς συνηθείας, ταύτῃ χρήσασθαι τῇ παραινέσει τὸν νομοθέτην. Ἐπειδὴ ῥᾴδιον ἑκάστῳ ἡμῶν πολυπραγμονεῖν τὰ ἀλλότρια, ἢ τὰ οἰκεῖα ἑαυτοῦ διασκέπτεσθαι· ἵνα μὴ τοῦτο πάσχωμεν, Παῦσαι, φησὶ, τὰ τοῦ δεῖνος κακὰ περιεργαζόμενος· μὴ δίδου σχολὴν τοῖς λογισμοῖς τὸ ἀλλότριον ἐξετάζειν ἀῤῥώστημα· ἀλλὰ σαυτῷ πρόσεχε· τουτέστιν, ἐπὶ τὴν οἰκείαν ἔρευναν στρέφε σου τὸ ὄμμα τῆς ψυχῆς. Πολλοὶ γὰρ, κατὰ τὸν λόγον τοῦ Κυρίου, τὸ μὲν κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κατανοοῦσι, τὴν δὲ ἐν τῷ οἰκείῳ ὀφθαλμῷ δοκὸν οὐκ ἐμβλέπουσι. Μὴ παύσῃ τοίνυν διερευνώμενος σεαυτὸν, εἴ σοι κατ' ἐντολὴν ὁ βίος πρόεισιν· ἀλλὰ μὴ τὰ ἔξω περισκόπει, εἴ πού τινος μῶμον ἐξευρεῖν δυνηθείης (33), κατὰ τὸν Φαρισαῖον τὸν βαρὺν ἐκεῖνον καὶ ἀλαζόνα, ὃς εἱστήκει ἑαυτὸν δικαιῶν, καὶ τὸν τελώνην κατευτελίζων· ἀλλὰ σεαυτὸν ἀνακρίνων μὴ διαλίπῃς (34), μή τι κατὰ τὰς ἐνθυμήσεις ἥμαρτες, μή τι ἡ γλῶσσα παρώλισθε τῆς διανοίας προεκδραμοῦσα, μὴ ἐν τοῖς ἔργοις τῶν χειρῶν πέπρακταί τι τῶν ἀβουλήτων. Κἂν εὕρῃς ἐν τῷ βίῳ σεαυτοῦ πολλὰ τὰ ἁμαρτήματα (εὑρήσεις δὲ πάντως ἄνθρωπος ὤν), λέγε τὰ τοῦ τελώνου· *Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Πρόσεχε* οὖν *σεαυτῷ*. Τοῦτό σοι τὸ ῥῆμα καὶ λαμπρῶς εὐημεροῦντί ποτε, καὶ παντὸς τοῦ βίου κατὰ ῥοῦν φερομένου, χρησίμως παραστήσεται, ὥσπερ τις ἀγαθὸς σύμβουλος ὑπόμνησιν φέρων τῶν ἀνθρωπίνων. Καὶ μέντοι καὶ ὑπὸ περιστάσεων (35) πιεζομένῳ ἐν καιρῷ ἂν γένοιτο τῇ καρδίᾳ κατεπᾳδόμενον, ὡς μήτε τύφῳ πρὸς ἀλαζονείαν ὑπέρογκον ἐπαρθῆναι, μήτε ἀπογνώσει πρὸς ἀγενῆ δυσθυμίαν καταπεσεῖν. Πλούτῳ κομᾷς, καὶ ἐπὶ προγόνοις μέγα φρονεῖς; καὶ ἐπαγάλλῃ πατρίδι καὶ κάλλει σώματος, καὶ ταῖς παρὰ πάντων τιμαῖς; Πρόσεχε σεαυτῷ, ὅτι θνητὸς εἶ, *Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*. Περίβλεψαι τοὺς πρὸ σοῦ ἐν ταῖς ὁμοίαις περιφανείαις ἐξετασθέντας. Ποῦ οἱ τὰς πολιτικὰς δυναστείας περιβεβλημένοι; ποῦ οἱ δυσμαχώτατοι ῥήτορες; ποῦ οἱ τὰς πανηγύρεις διατιθέντες; οἱ λαμπροὶ ἱπποτρόφοι, οἱ στρατηγοὶ, οἱ σατράπαι, οἱ τύραννοι; Οὐ πάντα κόνις; οὐ πάντα μῦθος; Οὐκ ἐν ὀλίγοις ὀστέοις τὰ μνημόσυνα (36) τῆς ζωῆς αὐ-

A ipsum. Hæc omnia ubi inanibus animi commentis recensuere, sibi præ nimia stoliditate **21** videntur speratis velut jam præsentibus et sibi ante pedes positis frui. Propria hæc est otiosi ac socordis animi ægritudo, in vigili corpore insomnia cernere. Hanc itaque mentis laxitatem et cogitationum tumorem comprimens Scriptura, et velut freno quodam mentis inconstantiam arcens, magnum hoc ac sapiens præceptum annuntiat : *Tibi ipsi*, inquit, *attende*, nequaquam promittens tibi quæ non exsistunt, sed præsentia ad utilitatem tuam dirigens. Existimo autem ideo usum fuisse hac admonitione legislatorem, ut illud etiam vitium ab hominum consuetudine amandaret. Quia unicuique nostrum facilius est aliena curiose inda-
B gare, quam sua ipsius ac propria expendere, ut ne nobis id accidat : Desine, inquit, alterius cujuspiam mala explorare; cave cogitationibus otium dederis alienum morbum inquirendi : sed tibi ipsi attende : hoc est, ad teipsum perscrutandum converte oculos animi tui. Sunt enim nec pauci, qui juxta Domini verba [**], festucam quidem animadvertunt in oculo fratris, trabem vero in suo ipsorum oculo non vident. Cave igitur cesses perscrutari teipsum, an præcepto congruenter convenienterque vita tibi procedat : ea autem quæ extrinsecus sunt ne circumspice, numcubi cujuspiam reprehendendi locum possis invenire, gravem illum arrogantemque Pharisæum imitatus, qui stans
C seipsum justificabat, ac publicanum habebat despicatui [***]. Imo vero ne intermittas teipsum percontari, nunquid deliqueris cogitatione, nunquid lingua labarit mentem præcurrens, nunquid in manuum operibus factum sit quidquam temerarium. Quod si in vita tua te multa deliquisse inveneris (prorsus autem invenies, homo cum sis), verba profer publicani : *Deus, propitius esto mihi peccatori* [1]. *Attende* igitur *tibi ipsi*. Hoc verbum tibi, et splendido ac felici rerum successu utenti, et vitam omnem secundo flumine traducenti, assidebit utiliter, sicut quasi bonus quispiam consiliarius rerum humanarum suggerat memoriam. Et quanquam afflicteris adversis casibus, opportune potest cordi tuo accini, ut neque fastu tumidus eveharis ad ja-
D ctantiæ vitium; neque desperatione ad degenerem mœstitiam delabaris. Efferis ob divitias? jactas te ob majorum nobilitatem? de patria ac pulchritudine corporis, deque delatis ab omnibus honoribus gloriaris? Attende tibi ipsi, quod mortalis es, *Quod terra es, et in terram reverteris* [2]. Circumspice eos qui ante te degerunt in similibus splendoribus. Ubi sunt qui magistratus civiles gessere?

[**] Matth. VII, 3. [***] Luc. XVIII, 11. [1] ibid. 13. [2] Genes. III, 19.

(33) Editi δυνηθῇς. Antiqui sex libri δυνηθείης. Mox duo Colbertini τελώνην ἐξευτελίζων.

(34) Reg. primus μὴ διαλείπῃς. Haud longe tres mss. γλῶσσα παρωλίσθησε. Editi et duo mss. παρώλισθε.

(35) In Colb. tertio pro περιστάσεων legitur περιστάσεως. Aliquando post editi τύφῳ τι. Sed voculam τι expunximus, fide veterum librorum innixi.

(36) Reg. primus τὸ μνημόσυνον. Mox editi Ἔγκυφον ἐν τοῖς. Vocula ἐν et in mss. Combef. et in nostris deest.

ubi rhetores illi inexpugnabiles? ubi qui constituerunt conventus publicos? ubi illustres equorum altores, exercituum duces, satrapæ, tyranni? Annon omnia pulvis? annon omnia fabula? Annon vitæ ipsorum memoria conservatur in paucis ossibus? Conspicito sepulcra, num possis servum ab hero, et pauperem a divite discernere. Discerne, si quo modo potes, vinctum a rege, fortem a debili, formosum a deformi. Itaque naturæ si memineris, nunquam te extolles; memor autem fueris tui ipsius, si attenderis tibi ipsi.

A τῶν; Ἔγκυψον τοῖς τάφοις, εἰ δυνήσῃ διακρῖναι τίς ὁ οἰκέτης, καὶ τίς ὁ δεσπότης· τίς ὁ πτωχὸς, καὶ τίς ὁ πλούσιος. Διάκρινον, εἴ τίς σοι δύναμις, τὸν δέσμιον ἀπὸ τοῦ βασιλέως· τὸν ἰσχυρὸν ἀπὸ τοῦ ἀσθενοῦς, τὸν εὐπρεπῆ ἀπὸ τοῦ δυσειδοῦς. Μεμνημένος οὖν τῆς φύσεως, οὐκ ἐπαρθήσῃ ποτέ· μεμνήσῃ δὲ σαυτοῦ (37), ἐὰν προσέχῃς σεαυτῷ.

6. Rursus ignobilis homo es et inglorius, pauper ex pauperibus oriundus, sine lare, sine 22 civitate, infirmus, quotidiani victus indigus, timens potentes, omnes reformidans ob vitæ humilitatem? *Pauper enim*, inquit, *non sustinet comminationem* [a]. Ne itaque despondeas animum, nec propterea quod nihil suppetit tibi eorum quæ expeti solent, omnem bonam spem abjicias: quin potius evehe animum tuum, tum ad ea bona quæ jam tibi tradita sunt a Deo, tum ad ea quæ ipso pollicente, tibi in futurum reposita sunt. Primum quidem, homo es, solus ex omnibus animantibus a Deo formatus [b]. Annon illud tibi, si modo probe judicaveris, ad summam jucunditatem suffecerit, quod ab ipsis Dei manibus, qui omnia condidit, formatus sis? deinde etiam, quod ad imaginem factus Conditoris tui, possis per vitam bene institutam ad parem cum angelis dignitatem accedere? Animum nactus es intelligendi facultate præditum, quo Deum cognoscis, exploras rerum naturam per ratiocinationem, sapientiæ fructum suavissimum decerpis. Terrestria omnia animalia cicura perinde atque agrestia, omnia item in aquis degentia, et quæ aerem hunc pervolant, serviunt tibi, tuoque imperio subjacent. Nonne artes invenisti tu, ac condidisti urbes? nonne et quæ ad vitam necessaria sunt, et quæ ad voluptatem luxumque pertinent excogitasti? Annon ratione duce maria tibi facta sunt pervia? Nonne aer cœlumque et stellarum chori suum tibi expandunt ordinem? Quid igitur pusillo es animo, quod equum non habeas argenteo freno adornatum? At habes solem, qui pernicissimo cursu per totum diem lumen suum veluti facem tibi præfert. Cares argenti et auri fulgore: sed lunam habes ingenti suo splendore te collustrantem. Non conscendis currus inauratos: at pedes habes proprium vehiculum, et tibi innatum. Quid igitur est quod beatos prædices eos qui marsupium plenum possident, et

6. Πάλιν δυσγενής τις εἶ καὶ ἄδοξος, πτωχὸς ἐκ πτωχῶν, ἀνέστιος, ἄπολις, ἀσθενὴς, τῶν ἐφ' ἡμέραν ἐνδεὴς, τρέμων τοὺς ἐν δυναστείᾳ (38), πάντας ὑποπτήσσων διὰ ταπεινότητα βίου; *Πτωχὸς γὰρ*, φησὶν, *οὐχ ὑφίσταται ἀπειλήν*. Μὴ τοίνυν ἀπογνῷς σεαυτοῦ, μηδ' B ὅτι οὐδὲν ζηλωτὸν ἐν τῷ παρόντι σοι πρόσεστι, πᾶσαν ἀγαθὴν ἀποῤῥίψῃς ἐλπίδα· ἀλλ' ἀνάγαγε σεαυτοῦ τὴν ψυχὴν πρός τε τὰ ἤδη ὑπηργμένα σοι παρὰ τοῦ Θεοῦ ἀγαθὰ, καὶ πρὸς τὰ δι' ἐπαγγελίας ὕστερον (39) ἀποκείμενα. Πρῶτον μὲν οὖν ἄνθρωπος εἶ, μόνον τῶν ζώων θεόπλαστον· ἆρ' οὐκ ἐξαρκεῖ τοῦτο, σωφρόνως λογιζομένῳ, πρὸς εὐθυμίαν τὴν ἀνωτάτω, τὸ ὑπ' αὐτῶν τῶν χειρῶν τοῦ Θεοῦ τοῦ τὰ πάντα συστησαμένου διαπλασθῆναι; ἔπειθ' ὅτι καὶ, κατ' εἰκόνα γενόμενος (40) τοῦ κτίσαντός σε, δύνασαι πρὸς τὴν τῶν ἀγγέλων ὁμοτιμίαν δι' ἀγαθῆς πολιτείας ἀναδραμεῖν; Ψυχὴν ἔλαβες νοερὰν, δι' ἧς Θεὸν περινοεῖς, τῶν ὄντων τὴν φύσιν λογισμῷ καθορᾷς, σοφίας δρέπῃ καρπὸν ἥδιστον. Πάντα μέν σοι τὰ χερσαῖα ζῶα, ἥμερά τε καὶ ἄγρια, πάντα δὲ τὰ ἐν ὕδασι διαι- C τώμενα, καὶ ὅσα τὸν ἀέρα διαπέταται τοῦτον, δοῦλά ἐστι καὶ ὑποχείρια. Οὐ σὺ μέντοι τέχνας ἐξεῦρες, καὶ πόλεις συνεστήσω, καὶ ὅσα ἀναγκαῖα, καὶ ὅσα πρὸς τρυφὴν ἐπενόησας; Οὐ βάσιμά σοι τὰ πελάγη διὰ (41) τὸν λόγον; Οὐ γῆ καὶ θάλαττα ὑπηρετεῖ τῷ βίῳ τῷ σῷ; Οὐχ ἀὴρ καὶ οὐρανὸς, καὶ ἀστέρων χορεῖαι σοὶ τὴν ἑαυτῶν ἐπιδείκνυνται τάξιν; Τί οὖν μικροψυχεῖς, ὅτι ἵππος σοι οὐκ ἔστιν (42) ἀργυροχάλινος; Ἀλλ' ἥλιον ἔχεις ὀξυτάτῳ δρόμῳ διὰ πάσης ἡμέρας δᾳδουχοῦντά σοι τὴν λαμπάδα. Οὐκ ἔχεις ἀργύρου καὶ χρυσοῦ λαμπηδόνας, ἀλλὰ σελήνην ἔχεις μυρίῳ σε τῷ παρ' αὐτῆς φωτὶ (43) περιλάμπουσαν. Οὐκ ἐπιβέβηκας ἁρμάτων χρυσοκολλήτων, ἀλλὰ πόδας ἔχεις οἰκεῖον ὄχημα καὶ συμφυὲς σεαυτῷ. Τί οὖν μακαρίζεις τοὺς τὸ ἁδρὸν βαλάντιον κεκτημένους, καὶ D ἀλλοτρίων ποδῶν εἰς τὴν μετάβασιν δεομένους; Οὐ καθεύδεις ἐπὶ κλίνης ἐλεφαντίνης, ἀλλ' ἔχεις τὴν γῆν πολλῶν ἐλεφάντων (44) τιμιωτέραν, καὶ γλυκεῖαν ἐπ'

[a] Prov. XIII, 8. [b] Genes. II, 7.

(37) Libri veteres, tum nostri, tum Combefisiani, σαυτοῦ. Editi ἑαυτοῦ. Statim mss. Combefisiani προσέχῃς αὐτῷ. Ibidem in Colb. tertio pro πάλιν legitur ἐάν.

(38) Colb. tertius τρέμων τὰς δυναστείας.

(39) Colb. tertius εἰς ὕστερον. Aliquanto post idem codex ἐξαρκεῖ τό.

(40) Rursus idem codex εἰκόνα γεγενημένος.

(41) Reg. primus τὰ πελάγει διά.

(42) Colb. primus οὐχ ἕπεται, *non sequitur*. Alii mss. et editi οὐκ ἔστιν. Ibidem Colbertini primus et tertius ἀργυροχάλινος ἢ χρυσοχάλινος. Colb. secundus inverso ordine χρυσοχάλινος ἢ ἀργυροχάλινος. Sed in repetitione vocis χαλινός deprehendo asperi aliquid et inconcinni; suspicorque ita scriptum fuisse ab aliquo, qui in aliquibus codicibus ἀργυροχάλινος, in aliis χρυσοχάλινος legisset. Quare, ne, si unam tantum vocem poneret, falleretur ipse, aliosque falleret, utramque ponere maluit.

(43) Unus codex Combef. μυρίῳ σε φωτί. Alius ms. τῷ παρ' ἑαυτῆς.

(44) Antiqui duo libri et editi πολλῶν ἐλεφαντίνων. At Regii primus et secundus cum Colb. tertio πολλῶν ἐλεφάντων, melius.

αὐτῆς τὴν ἀνάπαυσιν, ταχὺν τὸν ὕπνον καὶ μερίμνης ἀπηλλαγμένον. Οὐ κατάκεισαι ὑπὸ χρυσοῦν ὄροφον· ἀλλ' οὐρανὸν ἔχεις τοῖς ἀῤῥήτοις τῶν ἀστέρων κάλλεσι (45) περιστίλβοντα. Ταῦτα μὲν δὴ τὰ ἀνθρώπινα· τὰ δ' ἔτι μείζω. Διὰ σὲ Θεὸς ἐν ἀνθρώποις, Πνεύματος ἁγίου διανομὴ, θανάτου κατάλυσις, ἀναστάσεως ἐλπὶς, θεῖα προστάγματα τελειοῦντά σου τὴν ζωὴν, πορεία πρὸς Θεὸν διὰ τῶν ἐντολῶν, βασιλεία τῶν οὐρανῶν εὐτρεπὴς (46), στέφανοι δικαιοσύνης ἕτοιμοι τοὺς ὑπὲρ τῆς ἀρετῆς πόνους μὴ ἀποδράντι.

alienis pedibus indigent ad faciendum iter? Non dormis in lecto eburneo : at terram habes multo ebore pretiosiorem, atque dulcem in ea requiem capessis, ac veloci somno curisque libero indulges. Non decumbis sub fornice ac tecto aureo, at cœlum habes inenarrabili stellarum pulchritudine circumfulgens. Atque hæc quidem humana sunt; sed quæ sequuntur majora sunt et præstantiora. Deus propter te inter homines versatus est [4], Spiritus sancti distributio [5], mortis destructio [7], spes resurrectionis [8], divina præcepta vitam tuam perficientia, profectio ad Deum per mandata [9], paratum regnum cœlorum [10], justitiæ coronæ [11] ei, qui labores pro virtute non fugit, paratæ.

7. Ἐὰν προσέχῃς σεαυτῷ, ταῦτα καὶ ἔτι πλείω (47) εὑρήσεις περὶ σεαυτόν· καὶ ἀπολαύσεις μὲν τῶν παρόντων, οὐ μικροψυχήσεις δὲ πρὸς τὸ ἐνδέον. Πανταχοῦ σοι παριστάμενον τὸ παράγγελμα μεγάλην παρέξεται τὴν βοήθειαν. Οἷον, ὀργή σου τῶν λογισμῶν κατεκράτησε (48), καὶ ἐκφέρῃ ὑπὸ θυμοῦ πρός τε ῥήματα ἀπρεπῆ καὶ πράξεις χαλεπὰς καὶ θηριώδεις; Ἐὰν προσέχῃς σεαυτῷ, καταστελεῖς μὲν τὸν θυμὸν ὥσπερ τινὰ πῶλον ἀπειθῆ καὶ δυσήνιον, τῇ πληγῇ τοῦ λόγου οἱονεὶ μάστιγι καθαπτόμενος. Κρατήσεις δὲ καὶ γλώσσης, τὰς δὲ χεῖρας οὐκ (49) ἐπαφήσεις τῷ παροξύναντι. Πάλιν ἐπιθυμίαι πονηραὶ ἐξοιστρῶσαί σου τὴν ψυχὴν, εἰς ὁρμὰς ἀκρατεῖς καὶ ἀκολάστους ἐμβάλλουσιν. Ἐὰν οὖν προσέχῃς σεαυτῷ, καὶ μνησθῇς, ὅτι τοῦτο μέν σοι τὸ παρὸν ἡδὺ εἰς πικρὸν καταντήσει πέρας, καὶ ὁ νῦν ἐκ τῆς ἡδονῆς ἐγγινόμενος τῷ σώματι ἡμῶν γαργαλισμὸς, οὗτος γεννήσει τὸν ἰοβόλον σκώληκα ἀθάνατα (50) κολάζοντα ἡμᾶς ἐν τῇ γεέννῃ, καὶ ἡ πύρωσις τῆς σαρκὸς μήτηρ γενήσεται τοῦ αἰωνίου πυρός· εὐθὺς οἰχήσονται φυγαδευθεῖσαι αἱ ἡδοναὶ, καὶ θαυμαστή τις ἔνδον γαλήνη περὶ τὴν ψυχὴν καὶ ἡσυχία γενήσεται, οἷον θεραπαινίδων ἀκολάστων θορύβου κατασιγασθέντος δεσποίνης τινὸς σώφρονος παρουσίᾳ. *Πρόσεχε* τοίνυν *σεαυτῷ*, καὶ γνῶθι, ὅτι τὸ μὲν λογικόν ἐστι καὶ νοερὸν τῆς ψυχῆς, τὸ δὲ παθητικόν τε καὶ ἄλογον. Καὶ τῷ μὲν φύσει τὸ κρατεῖν ὑπάρχει, τοῖς δὲ τὸ ὑπακούειν τῷ λόγῳ καὶ καταπείθεσθαι. Μήποτε οὖν ἐάσῃς ἐξανδραποδισθέντα τὸν νοῦν δοῦλον γενέσθαι τῶν παθῶν (51)· μηδ' αὖ πάλιν ἐπιτρέψῃς τοῖς πάθεσι κατεξαναστῆναι τοῦ λόγου, καὶ εἰς ἑαυτὰ τὸ κράτος τῆς ψυχῆς περιστῆσαι. Ὅλως δέ σοι ἡ ἀκριβὴς σεαυτοῦ κατανόησις αὐτάρκη παρέξει χειραγωγίαν καὶ πρὸς τὴν ἔννοιαν τοῦ Θεοῦ. Ἐὰν γὰρ προσέχῃς σεαυτῷ, οὐδὲν δεήσῃ ἐκ τῆς τῶν ὅλων κατασκευῆς τὸν Δημιουργὸν ἐξιχνεύειν, ἀλλ' ἐν σεαυτῷ,

7. Quod si tibi ipsi attenderis, hæc atque his plura adhuc circa teipsum deprehendes; et frueris quidem præsentibus, nec ob ea quæ deerunt, **23** futurus es animo pusillo. Præceptum illud tibi ob oculos si ubique observetur, haud mediocri adjumento erit tibi. Exempli causa : ab ira vincitur ratio, et præ iracundia tum ad verba indecora, tum ad actiones immanes ac ferinas abriperis? Si tibi ipsi attendes, iram velut pullum quemdam immorigerum ac frenorum impatientem, coercebis, plaga rationis velut flagro quodam ipsam compescens. Continebis et linguam, neque in eum qui te irritaverit, manus injicies. Rursus mala desideria ac libidines velut œstro quodam animam tuam exagitantes, in libidinosos ac lascivos impetus te conjiciunt. Sane si tibi ipsi attenderis, memineris que præsentem hanc voluptatem in finem amarulentum desituram, et fore ut titillatio, quæ nunc ex voluptate corpori nostro innascitur, vermem [12] venenatum qui nos perpetuo in gehenna puniturus sit, gignat, fiatque carnis ardor, ignis æterni [13] parens, statim fugatæ libidines evanescent, ac mirabilis quædam tranquillitas et quies intus in animo oborietur, non secus ac si heræ cujusdam pudicæ adventu sedaretur ancillarum lascivientium tumultus. *Attende* igitur *tibi ipsi*, et scito alteram animæ partem ratiocinandi intelligendique facultate esse præditam, alteram vero affectionibus obnoxiam et irrationalem. Et illius quidem naturale munus est dominari : hujus vero, obedire ac obtemperare rationi. Ne igitur unquam sinas mentem in servitutem redactam, affectionum vitiosarum servam fieri : neque rursus permittas turbulentos affectus insurgere adversus rationem, animæque imperium in se transferre. Denique diligens tui ipsius contemplatio satis te deducet in Dei cognitionem. Nam si atten-

[4] Joan. I, 14. [5] Hebr. II, 4. [7] I Cor. XV, 26, 55. [8] ibid. 12, 22. [9] Matth. XIX, 17, 21. [10] Matth. XXV, 34. [11] II Tim. IV, 8. [12] Isa. LXVI, 24; Marc. IX, 43, 45, 47. [13] Matth. XXV, 41.

(45-46) Codex quidam Combef. ἀστέρων τάξεσι, *stellarum ordinibus*. Mox editi et Reg. tertius περιστίλβοντά σε. Sed in tribus aliis mss. vocula σε non legitur. Nec ita multo infra Colb. primus τελειοῦντά σοι τήν.

(47) Veteres duo libri ἔτι πλείονα.

(48) Editi et Reg. tertius ὀργή σου κατεκράτησε. Alii tres mss. ut in contextu.

(49) Colb. tertius χεῖράς σου. Statim mss. nonnulli παροξύνοντι. Subinde Reg. primus καταντήσοι πέρας.

(50) Editi ἀθάνατον. Veteres quatuor libri ἀθάνατα.

(51) In tribus mss. pro παθῶν scriptum invenitur παθημάτων.

deris tibi ipsi, nihil opus erit ex universorum structura ipsum Opificem investigare, sed in teipso velut in concinno quodam rerum summario, magnam conditoris tui sapientiam contuebere. Ex anima incorporea quæ in te residet, intellige Deum esse incorporeum, eumque nullo loco circumscribi, cum ne tua quidem mens a se primo commoretur in loco, sed ob suam cum corpore conjunctionem in loco permaneat. Invisibilem Deum esse crede, tuæ ipsius animæ consideratione, cum nec ipsa possit oculis corporeis capi. Neque enim colorata est, neque figuris insignita, neque corporali ullo charactere comprehensa, sed ex actionibus solis internoscitur. Quare eam cognitionem quæ oculorum ope acquiritur, in Deo ne quæsieris: sed adhibens menti fidem, ipsum spirituali modo apprehende. Admirare artificem, quomodo animæ tuæ vim ad corpus colligarit, ut usque ad extremas ipsius partes pervadens, membra inter se multum dissita ad unam eamdemque conspirationem ac societatem adducat. Perpende quæ **24** vis ab anima corpori impertiatur, et quæ a corpore ad animam redeat necessitudo affectuum sensuumque; quomodo corpus quidem vitam ab anima recipiat, anima vero dolores a corpore; quales habeat disciplinarum cellas; cur rebus prius cognitis succedentium accessio nihil offundat caliginis, sed potius memoriæ serventur distincte citra ullam confusionem, principali animæ parti velut æreæ cuidam columnæ inscriptæ. Intuere quomodo vitiosis carnis affectibus succumbens, suam ipsius amittat pulchritudinem; et rursus quonam pacto expurgata vitii turpitudine, per virtutem revertatur ad Conditoris similitudinem.

A οἱονεὶ μικρῷ τινι διακόσμῳ (52) τὴν μεγάλην κατόψει τοῦ Κτίσαντός σε σοφίαν. Ἀσώματον νόει τὸν Θεὸν ἐκ τῆς ἐνυπαρχούσης σοι ψυχῆς ἀσωμάτου, μὴ περιγραφόμενον τόπῳ· ἐπειδὴ οὐδὲ ὁ σὸς νοῦς προηγουμένην ἔχει τὴν ἐν τόπῳ διατριβὴν, ἀλλὰ διὰ τῆς πρὸς τὸ σῶμα συναφείας ἐν τόπῳ γίνεται (53). Ἀόρατον εἶναι τὸν Θεὸν πίστευε, τὴν σεαυτοῦ ψυχὴν ἐννοήσας, ἐπειδὴ καὶ αὐτὴ σωματικοῖς ὀφθαλμοῖς ἄληπτός ἐστιν. Οὔτε γὰρ κέχρωσται, οὔτε ἐσχημάτισται, οὔτε τινὶ σωματικῷ χαρακτῆρι περιείληπται, ἀλλ' ἐκ τῶν ἐνεργειῶν γνωρίζεται μόνον (54). Ὥστε μήτε ἐπὶ Θεοῦ ζητήσῃς τὴν δι' ὀφθαλμῶν κατανόησιν, ἀλλὰ τῇ διανοίᾳ ἐπιτρέψας τὴν πίστιν, νοητὴν ἔχε τὴν περὶ αὐτοῦ κατάληψιν. Θαύμαζε τὸν τεχνίτην, πῶς τῆς ψυχῆς σου τὴν δύναμιν πρὸς τὸ σῶμα συνέδησεν,
B ὡς μέχρι τῶν περάτων αὐτοῦ διικνουμένην, τὰ πλεῖστον διεστῶτα μέλη πρὸς μίαν σύμπνοιαν καὶ κοινωνίαν ἄγειν. Σκόπει τίς ἡ ἀπὸ ψυχῆς ἐνδιδομένη τῇ σαρκὶ δύναμις· τίς ἡ ἀπὸ σαρκὸς πρὸς ψυχὴν ἐπανιοῦσα συμπάθεια· πῶς δέχεται μὲν τὴν ζωὴν ἐκ τῆς ψυχῆς τὸ σῶμα, δέχεται δὲ ἀλγηδόνας ἀπὸ τοῦ σώματος ἡ ψυχή· ποίας ἀποθήκας τῶν μαθημάτων ἔχει· διὰ τί οὐκ ἐπισκοτεῖ τῇ γνώσει τῶν προλαβόντων ἡ τῶν ἐπιγινομένων προσθήκη, ἀλλ' ἀσύγχυτοι καὶ εὐκρινεῖς αἱ μνῆμαι, οἷον χαλκῇ τινι στήλῃ τῷ ἡγεμονικῷ τῆς ψυχῆς ἐγκεχαραγμέναι, διαφυλάττονται· πῶς μὲν, πρὸς τὰ τῆς σαρκὸς ὑπολισθαίνουσα πάθη, τὸ οἰκεῖον ἀπόλλυσι κάλλος· πῶς δὲ πάλιν, τὸ ἀπὸ κακίας αἶσχος ἀποκαθηραμένη, δι' ἀρετῆς πρὸς τὴν ὁμοίωσιν ἀνατρέχει τοῦ Κτίσαντος.

8. Postquam animam speculatus es, attende etiam, si tibi videbitur, ad corporis structuram, et admirare quomodo ipsum idoneum ac decens domicilium animæ rationali condiderit artifex optimus. Finxit hominem solum ex omnibus animantibus erecta facie, ut ex ipsa figura scias vitam tuam e superno genere oriri. Nam quadrupedum genus omne respicit terram, et in ventrem inclinatur: homini vero patet ad cœlum aspectus, ut ne indulgeat ventri, neque venereis, sed impetum omnem ad supernum iter dirigat. Ad hæc posito in altissimo loco capite, præcipuos in eo sensus collocavit. Hic visus, auditus, gustus, odoratus, omnes haud procul a se invicem sedem obtinentes. Et licet sint in locum adeo exiguum coarctati, nullus vicini actionem impedit. Oculi quidem occuparunt speculam altissimam, ut nulla corporis pars ipsis tenebras obducat, sed sub exigua quadam superciliorum projectura desidentes, e superiori ac eminentiori

C 8. Πρόσεχε, εἰ δοκεῖ σοι, μετὰ τὴν τῆς ψυχῆς θεωρίαν, καὶ τῇ τοῦ σώματος κατασκευῇ, καὶ θαύμασον ὅπως πρέπον αὐτὸ καταγώγιον τῇ λογικῇ ψυχῇ ὁ ἀριστοτέχνης (55) ἐδημιούργησεν. Ὄρθιον ἔπλασε μόνον τῶν ζώων τὸν ἄνθρωπον, ἵν' ἐξ αὐτοῦ τοῦ σχήματος εἰδῇς, ὅτι ἐκ τῆς ἄνωθεν συγγενείας ἐστὶν ἡ ζωή σου. Τὰ μὲν γὰρ τετράποδα πάντα πρὸς τὴν γῆν βλέπει, καὶ πρὸς τὴν γαστέρα νένευκεν· ἀνθρώπῳ δὲ ἑτοίμη πρὸς (56) οὐρανὸν ἡ ἀνάβλεψις, ὥστε μὴ σχολάζειν γαστρὶ, μηδὲ τοῖς ὑπὸ γαστέρα πάθεσιν, ἀλλ' ὅλην ἔχειν τὴν ὁρμὴν πρὸς τὴν ἄνω πορείαν. Ἔπειτα τὴν κεφαλὴν ἐπὶ τῶν ὑψηλοτάτων θεὶς, ἐν αὐτῇ τὰς πλείστου ἀξίας τῶν αἰσθήσεων καθιδρύσατο. Ἐκεῖ ὄψις καὶ ἀκοὴ, καὶ γεῦσις, καὶ ὄσφρησις, πᾶσαι ἐγγὺς ἀλλήλων κατῳκισμέναι. Καὶ οὕτως περὶ βραχὺ χω-
D ρίον στενοχωρούμεναι, οὐδὲν ἑκάστη παρεμποδίζει τῇ ἐνεργείᾳ τῆς γείτονος. Ὀφθαλμοὶ μέν γε τὴν ὑψηλοτάτην σκοπιὰν κατειλήφασιν, ὥστε μηθὲν αὐτοῖς τῶν τοῦ σώματος μορίων ἐπιπροσθεῖν, ἀλλὰ

(52) Omnes libri veteres, tum nostri, tum Combefisiani, μικρῷ τινι διακόσμῳ. Editi μικρῷ τινι κόσμῳ, *tanquam in parvo quodam mundo*. Mox duo mss. ἐννόει τόν. Subinde editi ἐν τόπῳ. At vocula ἐν in mss. multis deest. Hic additur in codice Combef. ἢ χρόνῳ.

(53) Reg. primus ἐν τόπῳ ἢ χρόνῳ γίνεται. Statim duo mss. ἐπεὶ καὶ αὐτή.

(54) Colb. tertius γνωρίζεται μόνων.

(55) Colb. primus ὁ ἄριστος τεχνίτης. Mox editi ὀρθιόν σε. Sed voculam σε inde sustulimus, quippe quæ in libris veteribus non inveniatur.

(56) Colb. primus ἀνθρώπῳ δὲ ἄνω πρός. Aliquanto post in tribus mss. corrupte legitur τὰς πλείστους ἀξίας.

μικρᾷ τινι προβολῇ (57) τῶν ὀφρύων ὑποκαθήμενοι, ἐκ τῆς ἄνωθεν ἐξοχῆς πρὸς τὸ εὐθὲς ἀποτείνονται. Πάλιν ἡ ἀκοὴ οὐκ ἐπ' εὐθείας ἤνοικται, ἀλλ' ἑλικοειδεῖ τῷ πόρῳ τῶν ἐν τῷ ἀέρι ψόφων ἀντιλαμβάνεται. Σοφίας καὶ τοῦτο τῆς ἀνωτάτω, ὥστε τὴν μὲν φωνὴν ἀκωλύτως διιέναι (58), ἢ καὶ μᾶλλον ἐνηχεῖν, περικλωμένην ταῖς σκολιότησι, μηδὲν δὲ τῶν ἔξωθεν παρεμπιπτόντων κώλυμα εἶναι δύνασθαι τῇ αἰσθήσει. Κατάμαθε τῆς γλώττης τὴν φύσιν, ὅπως ἁπαλή τέ ἐστι καὶ εὔστροφος, καὶ πρὸς πᾶσαν χρείαν λόγου τῷ ποικίλῳ τῆς κινήσεως ἐξαρκοῦσα. Ὀδόντες ὁμοῦ μὲν φωνῆς ὄργανα, ἰσχυρὰν τῇ γλώττῃ τὴν ἀντέρεισιν παρεχόμενοι, ὁμοῦ δὲ καὶ τροφῆς ὑπηρέται· οἱ μὲν τέμνοντες αὐτὴν, οἱ δὲ λεαίνοντες. Καὶ οὕτω πάντα λογισμῷ ἐπιπορευόμενος τῷ προσήκοντι, καὶ καταμανθάνων ὁλκὴν ἀέρος διὰ τοῦ πνεύμονος (59), τοῦ θερμοῦ φυλακὴν ἐπὶ τῆς καρδίας, ὄργανα πέψεως, ὀχετοὺς αἵματος· ἐκ πάντων τούτων τὴν ἀνεξιχνίαστον σοφίαν τοῦ ποιήσαντός σε κατόψει, ὡς ἂν καὶ αὐτόν σε εἰπεῖν (60) μετὰ τοῦ Προφήτου· *Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. Πρόσεχε* οὖν *σεαυτῷ*, ἵνα προσέχῃς Θεῷ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A loco aciem recta intendant. E diverso, auditus haudquaquam recta apertus est, sed retorto ac tortuoso meatu sonos in aere apprehendit: id quod fit quoque ex summa sapientia, ut vox quidem liberrime pervadat, aut potius insonet, per anfractus et tortuosos sinus confracta, nihil vero eorum quæ forinsecus interlabi solent, sensui possit esse impedimento. Disce linguæ naturam, quam tenera sit, versatilisque, et ad omnem sermonis usum ob motuum varietatem sufficiens. Considera dentes, qui, ut vocis organa sunt, fortiter fulcientes linguam, ita sunt alimenti ministri, quorum alii illud secant, conterunt alii. Hunc ad modum convenienti ratiocinatione percurrens omnia, et addiscens aeris attractionem per pulmonem, caloris in corde con- B servationem, concoctionis instrumenta, alveos sanguinis, ita demum ex omnibus his impervestigabilem Conditoris tui sapientiam perspectam habebis, ut tu quoque cum Propheta dicere possis: *Mirabilis facta est scientia tua ex me* [14]. *Attende* igitur *tibi ipsi*, ut attendas Deo: cui gloria et imperium in sæcula sæculorum. Amen.

ΠΕΡΙ ΕΥΧΑΡΙΣΤΙΑΣ,

Λόγος.

1. Ἠκούσατε τῶν ῥημάτων τοῦ Ἀποστόλου, δι' ὧν Θεσσαλονικεῦσι διαλέγεται, παντὶ νομοθετοῦντος τῷ βίῳ. Ἡ μὲν γὰρ διδασκαλία πρὸς τοὺς ἑκάστοτε αὐτῷ παρατυγχάνοντας ἦν· τὸ δὲ ἀπ' αὐτῆς ὠφέλιμον ἐπὶ πᾶσαν διαβαίνει τὴν τῶν ἀνθρώπων ζωήν. *Πάντοτε χαίρετε*, φησίν· *ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε.* Τί μὲν οὖν τὸ χαίρειν αὐτὸ, καὶ τί τὸ ἐξ αὐτοῦ ὠφέλιμον, καὶ πῶς δυνατὸν τὴν ἀδιάλειπτον προσευχὴν (61) κατορθοῦν, καὶ τὴν ἐπὶ πᾶσιν εὐχαριστίαν ἀποδιδόναι τῷ Θεῷ, ὡς δυνατὸν μικρὸν ὕστερον διηγησόμεθα. Ἅ γε μὴν παρὰ τῶν ἐναντίων ἡμῖν ἀπαντᾷ, διαβαλλόντων τὸ τῆς νομοθεσίας ἀδύνατον, ταῦτα προδιαλαβεῖν ἀναγκαῖον (62). Τίς γάρ ἐστιν ἀρετὴ, φησὶ, νυκτὸς καὶ ἡμέρας ἐν διαχύσει ψυχῆς φαιδρὸν καὶ γεγανωμένον διάγειν; Πῶς δὲ καὶ δυνατὸν κατορθωθῆναι τοῦτο, μυρίων περιεσταμένων ἡμᾶς (63) ἀβουλήτων κακῶν, ἀναγκαίαν τῇ ψυχῇ τὴν κατήφειαν ἐμποιούντων, ἐξ ὧν χαίρειν καὶ διευθυμεῖσθαι πλέον ἀδύνατον, ἢ τὸν ἀποτηγανιζόμενον μὴ ἀλγεῖν, καὶ τὸν κατακεντούμενον μὴ ὀδυνᾶσθαι; Ἢ πού τις καὶ τῶν περιεστώτων ἡμᾶς ἐνταῦθα, τὴν ἀσθένειαν ταύτην τῶν λογισμῶν

DE GRATIARUM ACTIONE,

Homilia.

1. Audistis verba Apostoli, quibus Thessalonicenses alloquens, omni hominum generi legem præ- C scribit. Nam doctrina quidem iis qui ad ipsum undique accedebant, tradebatur; utilitas vero, quæ ex ea capitur, ad omnem hominum **25** ætatem transit. *Semper gaudete*, inquit; *sine intermissione orate, in omnibus gratias agite* [15]. Quid autem sibi velit illud gaudium, quodnam ex eo emolumentum percipiatur, quaque ratione valeat quis precibus assiduis vacare, atque in omnibus agere gratias Deo, nos paulo post pro viribus explicabimus. Porro quæ nobis ab adversariis objiciuntur, dum legem traditam impleri non posse calumniantur, ea præoccupare necesse est. Quænam enim est, inquiunt, ista virtus, diu noctuque in animi effusione lætum ac hilarem degere? Qui etiam hoc idem fieri potest, D obsidentibus nos innumeris et inexspectatis malis, animamque inevitabili mœrore afficientibus, in quibus gaudere ac lætare longe difficilius factu est, quam si quis in sartagine tostus non doleret, aut punctim cæsus dolore non cruciaretur? Aut fortasse hic etiam adest aliquis ex circumstantibus nos, qui

[14] Psal. CXXXVIII, 6. [15] I Thess. V, 16-18.

(57) Regii tres codices προσβολῇ. Editi et Colb. tertius προβολῇ, emendate.

(58) Colb. tertius διεξιέναι. Mox Colb. primus ταῖς κοιλότησι.

(59) Colb. primus διὰ τοῦ πνεύματος.

(60) Colb. primus ὡς ἂν καὶ αὐτὸς εἴποις. Nec pigebit ascribere, quod in fine ejus codicis scriptum invenimus. Ibi igitur leguntur illa, Τὰς σὰς ἐπιγνοὺς, ὦ πάτερ, παραινέσεις, τὸ, Γνῶθι σεαυτὸν ἐκδιδάσκομαι λέγειν. *Monita tua, o pater, dum agnosco, edoceor dicere: Cognosce teipsum.*

(61) Unus codex Reg. τὴν ἀδιάπτωτον προσευχήν.

(62) Unus e Colbertinis προλαβεῖν ἀναγκαῖον. Nec ita multo infra Reg. primus et duo Colbertini μέσον διάγειν. At nec in aliis mss., nec in editis vox μέσον legitur.

(63) Antiqui duo libri περιεσταμένων ἡμῖν. Alii mss. et editi ἡμᾶς.

hac animi ægritudine laborans, excusationes causetur in peccatis [16], ac propter suam in observandis præceptis negligentiam, legislatorem ipsum, tanquam qui quæ fieri non possunt sanciat, reprehensioni obnoxium reddere conetur. Eoque dicit: Qui fieri potest, ut semper gaudeam, cum in me gaudii causæ non sint sitæ? Nimirum quæ lætitiam creant, ab externis petuntur, nec sunt in nobis posita: amici adventus, diuturna cum parentibus congressio, opes inventæ, delati ab hominibus honores, reditus ex molesta ægritudine ad sanitatem, reliqua vitæ felicitas; domus omnium bonorum copia abundans, exuberans mensa, idonei lætitiæ socii, res auditu et visu jucundæ, eorum qui maxima nobiscum necessitudine juncti sunt sanitas, cæteraque, quæ faustam ac beatam ipsis vitam reddere possunt. Neque enim molestæ sunt solum quæ nobis accidunt ærumnæ, sed eæ etiam quæ amicos ac propinquos tristitia afficiunt. Quare fuerit necesse gaudium et animæ hilaritatem ex his omnibus conflari. Prætereaque si quando contingat videre inimicorum ruinam, plagas insidiatorum, repensas beneficis vices, et in summa, si nulla omnino adsit aut exspectetur molestia, quæ nostram perturbet vitam, ita demum anima gaudere ac lætari poterit. Quomodo ergo datum nobis est præceptum, quod voluntate non peragitur, sed ex aliis causis prius memoratis dependet? Rursus, quanam ratione assidue precabor, necessitatibus corporis attentionem animi ad se necessario avocantibus, cum fieri non possit ut mens in duas simul curas distrahatur?

2. Atqui in omnibus imperatum mihi est agere gratias. Agamne gratias tormentis admotus, percussus, in rota distentus, oculis effossis? An turpi plaga ab eo qui oderit, accepta, grates habebo? an frigore astrictus, fame præfocatus, vinctus in equuleo, liberis subito orbatus, aut etiam ipsa uxore spoliatus? an bonorum copia eversus ob repentinum naufragium? **26** nunquid si mari in piratas, vel si terra inciderim in latrones? num vulneratus, appetitus calumniis, vagabundus, in carcere inclusus? Hæc et adhuc his plura, legislatorem insimulantes, colligunt, ac sua ipsorum peccata excusare putant, dum data nobis præcepta, perinde ac si impleri nequeant, calumniantur. Quid igitur dicemus? Nimirum, quod licet alio spectet Apostolus, coneturque e terra in sublime evehere animas nostras, atque ad cœlestem quamdam vivendi rationem nos transferre: tamen isti altum legislatoris sensum non assecuti, sed circa terram et carnem, ut vermes in cœno, ita in corporis cupiditatibus volutati, possintne apostolica mandata confici in-

[16] Psal. CXL, 4.

A ἀῤῥωστῶν, προφασίζεται (64) προφάσεις ἐν ἁμαρτίαις, ὃς διὰ τὸ περὶ τὴν τήρησιν τῶν ἐντολῶν ὀκνηρὸν τῷ νομοθέτῃ περιτρέπειν τὰς μέμψεις ἐπιχειρεῖ, ὡς ἀδύνατα διορίζοντι. Καί φησι· Πῶς δυνατόν μοι πάντοτε χαίρειν, τῶν αἰτιῶν τῆς χαρᾶς οὐκ ἐπ' ἐμοὶ κειμένων; Ἔξωθεν γάρ ἐστι τὰ (65) ποιητικὰ τοῦ χαίρειν, καὶ οὐκ ἐν ἡμῖν ἀποκείμενα· φίλου παρουσία, γονέων χρονία συντυχία, χρημάτων εὑρέσεις, τιμαὶ παρὰ τῶν ἀνθρώπων, πρὸς ὑγείαν ἐκ χαλεπῆς ἀῤῥωστίας ἀποκατάστασις, ἡ λοιπὴ τοῦ βίου εὐημερία· οἶκος εὐθηνῶν διὰ πάντων, τράπεζα πλήθουσα, κοινωνοὶ τῆς εὐφροσύνης οἱ ἐπιτήδειοι, ἀκούσματα καὶ θεάματα ἡδονὴν φέροντα, ὑγεία τῶν οἰκειοτάτων, καὶ ἡ λοιπὴ αὐτοῖς τοῦ βίου εὔροια. Λυπηρὰ γὰρ οὐ τὰ ἡμῖν προσπίπτοντα μόνον τῶν
B ἀλγεινῶν, ἀλλὰ καὶ τὰ φίλους καὶ συγγενεῖς ἀνιῶντα. Ὥστε ἐκ πάντων τούτων ἀνάγκη ἀθροίζεσθαι τὸ περιχαρὲς καὶ εὔθυμον τῆς ψυχῆς. Καὶ πρὸς τούτοις, ὅταν ὁρᾷν ὑπάρχῃ ἐχθρῶν καταπτώσεις, ἐπιβούλων πληγὰς, εὐεργετῶν ἀμοιβὰς, καὶ ἁπαξαπλῶς ἐὰν μήτε παρόν τι τῶν δυσκόλων, μήτε προσδοκώμενον ὅλως τὴν ζωὴν ἡμῶν ἐπιταράσσῃ· τότε δυνατὸν ἐγγίνεσθαι τῇ ψυχῇ τὴν χαράν. Πῶς οὖν πρόσταγμα ἡμῖν δέδοται τὸ μὴ ἐκ προαιρέσεως κατορθούμενον, ἀλλ' ἐπακολούθημα ἑτέρων προηγουμένων ὑπάρχον; Πῶς δὲ καὶ ἀδιαλείπτως προσεύξομαι, τῶν τοῦ σώματος χρειῶν ἀναγκαίως τὴν ἔννοιαν τῆς ψυχῆς περιστρεφουσῶν πρὸς ἑαυτὰς, ἀδυνάτου ὄντος κατὰ ταυτὸν πρὸς δύο μερίμνας τὴν διάνοιαν κατατέμνεσθαι;
C

2. Ἀλλὰ καὶ ἐν παντί μοι εὐχαριστεῖν διατέτακται. Εὐχαριστήσω στρεβλούμενος, αἰκιζόμενος, ἐπὶ τροχοῦ κατατεινόμενος, τοὺς ὀφθαλμοὺς ἐκκοπτόμενος; Εὐχαριστήσω τυπτόμενος (66) τὴν ἄτιμον πληγὴν παρὰ τοῦ μισοῦντος; πηγνύμενος ὑπὸ τοῦ κρύους, λιμῷ καταγχόμενος, ἐπὶ τοῦ ξύλου δεδεμένος, ἀτεκνωθεὶς ἀθρόως, ἢ καὶ τῆς γυναικὸς αὐτῆς ἐστερημένος; ἐκ ναυαγίων ἐξαίφνης ἐκπεσὼν εὐπορίας; πειραταῖς κατὰ θάλασσαν, ἢ λῃσταῖς κατ' ἤπειρον περιτυχών (67); τραύματα ἔχων, συκοφαντούμενος, ἀλητεύων, τὸ δεσμωτήριον οἰκῶν; Ταῦτα καὶ ἔτι πλείω τούτων, κατηγοροῦντες τοῦ νομοθέτου, συνείρουσιν, ἀπολογίαν τῶν ἁμαρτημάτων ἑαυτοῖς εὐτρεπίζειν
D ἡγούμενοι τὴν ἐπὶ τοῖς διατεταγμένοις ἡμῖν, ὡς ἀδυνάτοις, διαβολήν. Τί οὖν φαμεν; Ὅτι, πρὸς ἕτερα βλέποντος τοῦ Ἀποστόλου, καὶ τὰς ψυχὰς ἡμῶν πειρωμένου χαμόθεν πρὸς ὕψος μετεωρίζειν, καὶ ἐπὶ τὸ οὐράνιον μετατιθέναι πολίτευμα, οἱ μὴ ἐφικνούμενοι τῆς μεγαλονοίας τοῦ νομοθέτου, περὶ γῆν καὶ σάρκας, ὡς περὶ τέλμα σκώληκες, ἰλυσπώμενοι ἐν τοῖς τοῦ σώματος πάθεσι, τὸ δυνατὸν τῶν

(64) Veteres quinque libri προφασίζεται. Editi προφασίζηται.

(65) Reg. primus Ἔξωθεν γάρ εἰσι τά. Nec ita multo post duo mss. χρημάτων εὕρεσις. Subinde Reg. primus et Colb. itidem τράπεζα πληθύνουσα.

(66) Illud, εὐχαριστήσω τυπτόμενος, addidimus ex veteribus septem libris. Mox tres mss. ὑπὸ τοῦ κρύους. Aberat articulus a vulgatis.

(67) Veteres quinque libri ἤπειρον περιτυχών. Editi περιπεσών, haud dissimili sensu.

ἀποστολικῶν διατάξεων ἀπαιτοῦσιν. Ὁ δὲ προκαλεῖται (68) εἰς τὸ πάντοτε χαίρειν οὐχὶ τὸν τυχόντα, ἀλλὰ τὸν οἷος αὐτὸς ἦν, οὐκέτι ζῶν ἐν σαρκὶ, ἀλλὰ ζῶντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν, ὡς τῆς πρὸς τὸ ἀκρότατον τῶν ἀγαθῶν συναφείας μηδαμῶς τὴν ἀπὸ τῶν ὀχληρῶν τῆς σαρκὸς συμπάθειαν δεχομένης. Ἀλλὰ κἂν διακόπτηται ἡ σὰρξ, ἡ τῆς συνεχείας διάλυσις ἐναπομένει τῷ πεπονθότι τοῦ σώματος μέρει, τῆς διαδόσεως τοῦ λυποῦντος οὐ δυναμένης διικνεῖσθαι πρὸς τὸ νοερὸν τῆς ψυχῆς. Εἰ γὰρ ἐνεκρώσαμεν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, κατὰ τὰς ὑποθήκας τοῦ Ἀποστόλου, καὶ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιεφέρομεν (69), ἀναγκαίως ἡ ἀπὸ τοῦ νενεκρωμένου σώματος πληγὴ πρὸς τὴν ἀπολελυμένην τῆς συναφείας αὐτοῦ ψυχὴν οὐ χωρήσει. Ἀτιμίαι δὲ καὶ ζημίαι, καὶ οἰκείων θάνατοι B οὐκ ἀναβήσονται πρὸς τὸν νοῦν, οὐδὲ καταστρέψουσι τὸ ὑψηλὸν τῆς ψυχῆς πρὸς τὴν ὧδε συμπάθειαν. Εἰ μὲν γὰρ τὰ αὐτὰ φρονοῦσι τῷ σπουδαίῳ οἱ ταῖς δυσκολίαις περιπεσόντες, οὐ παρέξουσι λύπας ἑτέρῳ, εἴ γε μηδ' αὐτοὶ λυπηρῶς διαφέροντες τὰ συμπίπτοντα· εἰ δὲ κατὰ σάρκα ζῶσιν, οὐδ' οὕτω λυπήσουσιν (70), ἀλλ' ἐλεεινοὶ κριθήσονται, οὐ τῶν περιστάσεων μᾶλλον, ἢ τοῦ μὴ προαιρεῖσθαι (71) τὰ δέοντα. Ὅλως δὲ ψυχὴ, ἡ ἅπαξ προσδεθεῖσα τῷ πόθῳ τοῦ Κτίσαντος, καὶ τοῖς ἐκεῖ κάλλεσιν ἐνειθισμένη φαιδρύνεσθαι, τὸ περιχαρὲς αὐτῆς καὶ εὔθυμον ὑπὸ τῆς ποικίλης μεταπτώσεως τῶν σαρκικῶν παθημάτων οὐ μεταβαλεῖ· ἀλλὰ τὰ τοῖς ἄλλοις λυπηρὰ προσθήκην εὐφροσύνης ποιήσεται. Οἷος ἦν ὁ Ἀπόστολος, C εὐδοκῶν ἐν ἀσθενείαις, ἐν θλίψεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, καυχήματα ἑαυτοῦ τὰς ἐνδείας ποιούμενος· ἐν λιμῷ καὶ δίψει, ἐν ψύχει καὶ γυμνότητι, ἐν διωγμοῖς καὶ στενοχωρίαις (72), ἐφ' οἷς ἄλλοι δυσανασχετοῦσι καὶ πρὸς τὸν βίον ἀπαγορεύουσιν, ἐπὶ τούτοις αὐτὸς ἀγαλλιώμενος. Οἱ τοίνυν ἀπαιδεύτως ἔχοντες τῆς ἀποστολικῆς διανοίας, καὶ μὴ συνιέντες, ὅτι πρὸς τὴν εὐαγγελικὴν ἡμᾶς προσκαλεῖται ζωὴν, τολμῶσι κατηγορεῖν τοῦ Παύλου, ὡς ἀδύνατα ἡμῖν διορίζοντος.

Ἀλλὰ μὴν διδασκέσθωσαν ὅσαι τοῦ (73) χαίρειν εὐλόγως αἱ ἀφορμαὶ διὰ τῆς τοῦ Θεοῦ μεγαλοδωρεᾶς ἡμῖν πρόκεινται. Παρήχθημεν εἰς τὸ εἶναι, μὴ ὄντες· κατ' εἰκόνα τοῦ κτίσαντος ἐγενήθημεν· νοῦν καὶ λόγον συμπληροῦντα ἡμῶν τὴν φύσιν ἔχομεν, δι' οὗ Θεὸν ἐγνωρίσαμεν. Καὶ τὰ κάλλη τῆς κτίσεως ἐν- D τέχνως καταμανθάνοντες, δι' αὐτῶν, οἱονεὶ διὰ γραμμάτων τινῶν, τὴν μεγάλην τοῦ Θεοῦ περὶ πάντα

A quirunt. Apostolus autem non jam amplius in carne vivens, sed viventem habens in seipso Christum [17], non quemlibet, sed sui similem ad continuum gaudium invitat: quippe quia graves ac molestas carnis affectiones non admittit isthæc cum summo bono conjunctio. Imo vero etiamsi scindatur caro, in ea corporis parte quæ male afficitur, remanet continuitatis dissolutio, nec unquam ad intelligentem animi partem pertingere potest doloris communicatio. Etenim si juxta Apostoli præceptum membra quæ sunt super terram mortificaremus [18], atque in corpore circumferremus mortificationem Jesu [19], necesse esset ut mortificati corporis plaga ad animam ab ejus conjunctione solutam non perveniret. Nam ignominiæ, damnaque et propinquorum mors haudquaquam ascendent ad mentem; neque animi celsitudinem ita demittent, ut rerum præsentium sensu commoveatur. Enimvero quotquot in ærumnas delabuntur, si idem quod vir probus sentiunt, negotium facessent nemini; quippe qui ne ipsi quidem accidentia sibi mala ægre ferant. Quodsi secundum carnem vivunt [20], neque sic exhibebunt molestiam; sed habebuntur miserabiles, non ideo potius quod in has calamitates inciderint, quam quod quæ officii sunt, sibi facienda non proposuerint. Et in summa, quæ anima semel Conditoris desiderio tenetur, ejusque pulchritudine consuevit delectari, ingens illud gaudium et delicias hac multiformi carnalium affectuum varietate minime commutabit: contra, ex quibus molestiam capiunt cæteri, ea illius voluptatem augebunt. Ejusmodi erat Apostolus, qui in infirmitatibus, in ærumnis, in persecutionibus atque necessitatibus complacens sibi gloriæ ducebat egestatem [21]. In fame et siti, in frigore et nuditate, in persecutionibus et angustiis [22], in quibus alii ægre ferunt seipsos, et a vita abhorrent, in iis Apostolus exsultat. Qui igitur sunt sententiæ apostolicæ ignari, nec invitari nos ad evangelicam vitam intelligunt, Paulum accusare non verentur, **27** tanquam qui quæ fieri non possunt, præscribat. Atqui discant quot justas gaudii occasiones nobis præbeat Dei munificentia. Quod sumus a Deo habemus, cum antea non essemus; sumus ad Creatoris imaginem facti [23]; mentem atque rationem nacti sumus, queis natura nostra completur, Deusque a nobis cognoscitur. Item rerum solerter conditarum pulchritudinem percipientes, per illam, tanquam

[17] Galat. II, 20. [18] Coloss. III, 5. [19] II Cor. IV, 10. [20] Rom. VIII, 13. [21] II Cor. XII, 9, 10. [22] II Cor. XI, 27. [23] Genes. I, 26.

(68) Editi προσκαλεῖται. At quinque mss. προκαλεῖται.

(69) Antiqui tres libri περιεφέρομεν. Editi περιφέρομεν.

(70) *Οὐδ' οὕτω λυπήσουσιν. Ne quidem sic exhibebunt molestiam.* Supple, *homini perfecto*, qui, ut aliquanto ante Basilius dixit, mortificat membra quæ sunt super terram, quique in corpore mortificationem Jesu circumfert. Hunc locum ita verterat interpres: *Quod si secundum carnem vixerint, ne sic uni cuipiam fuerint molesti;* qua in interpretatione inepte additum fuerat, *uni cuipiam*, cum ejus loci sententia, eaque pulcherrima, hoc additamento non parum obscuretur.

(71) Reg. primus τοῦ μὴ αἱρεῖσθαι. Mox duo mss. περιχαρὲς ἑαυτῆς.

(72) Veteres quatuor libri διωγμοῖς ἐν στενοχωρίαις. Nec ita multo infra quatuor mss. αὐτὸς ἀγαλλόμενος. Subinde mss. καὶ μὴ συνιέντες. Editi συνέντες. Ibidem Reg. primus ὅτι πρὸς τὴν ἀγγελικήν. Rursus hoc ipso in loco duo mss. προκαλεῖται

(73) Editi et quatuor mss. διδασκέσθωσαν, ὡς αἱ τοῦ. At Reg. tertius et Colb. quartus διδασκέσθωσαν ὅσα τοῦ... αἱ ἀφορμαί, rectius.

per litteras quasdam summam Dei circa omnia providentiam sapientiamque legimus. Facultatem habemus secernendi bonum a malo: eligere res utiles, et noxias fugere, ab ipsamet natura didicimus. Abalienati a Deo per peccatum, rursus revocati fuimus in ejus familiaritatem ac necessitudinem, per Unigeniti sanguinem ex ignominiosa servitute exempti. Resurrectionis spes, angelicorum bonorum possessio, regnum cœleste, repromissa bona, vim et mentis et rationis superantia.

3. Quomodo credere par est, gaudium perpes jugemque lætitiam ex his creari non posse, sed opinari eum qui ventri inservit, tibiarumque modulis oblectatur, quique volutatur in molli lecto, ac stertit, dignam gaudio vitam degere? Ego vero dixerim hos quidem dignos esse qui defleantur ab iis qui mente præditi sunt: contra, beatos jure optimo dicendos esse eos qui, propter spem futuri sæculi, præsentem vitam sustinent, ac præsentia æternis commutant. Sive autem in flamma degant ii qui Deo conjunguntur, uti tres pueri in Babylone[24]: sive includantur cum leonibus[25], sive a ceto absorbeantur[26], ipsi tamen prædicandi sunt a nobis beati, ac eos in gaudio vitam transigere oportet, nequaquam dolentes de præsentibus, sed ob spem eorum quæ nobis in posterum reposita sunt lætantes. Arbitror namque strenuum athletam ad pietatis stadium semel exutum, plagas adversariorum fortiter ferre debere, spe gloriæ ex coronis consequendæ. Etenim quotquot in gymnicis certaminibus sunt palæstricis laboribus assueti, animum non demittunt ob plagæ dolorem; imo vero spretis ob præconii desiderium laboribus præsentibus, adversarios cominus adoriuntur. Hunc ad modum etiamsi viro virtutis studioso accidat quid asperi, tenebras gaudio non obducet. Nam *Tribulatio patientiam operatur, patientia autem probationem, probatio vero spem, spes autem non confundit*[27]. Quapropter et alio in loco ab eodem jubemur patientes esse in tribulatione, et spe gaudere[28]. Spes itaque est quæ efficit, ut gaudium animo viri probi sit contubernale. Quin et idem Apostolus jubet etiam flere nos cum flentibus[29]; rursus ad Galatas [Philippenses] scribens, deflebat inimicos crucis Christi[30]. Ecquid opus est commemorare Jeremiam flentem[31], Ezechielem Dei jussu principum lamentationes scribentem[32], et multos alios sanctos lugentes? *Hei mihi, mater, quare me genuisti*[33]; et: *Hei mihi, quia*

A πρόνοιαν καὶ σοφίαν ἀναγινώσκομεν. Διακριτικοί ἐσμεν ἀγαθοῦ καὶ τοῦ χείρονος (74)· ἐκλογὴν τοῦ συμφέροντος καὶ ἀποστροφὴν τοῦ βλαβεροῦ ἐξ αὐτῆς τῆς φύσεως δεδιδάγμεθα. Ἀλλοτριωθέντες Θεοῦ διὰ τῆς ἁμαρτίας, πάλιν εἰς τὴν οἰκειότητα ἀνεκλήθημεν, τῷ αἵματι τοῦ Μονογενοῦς ἐκ τῆς ἀτίμου δουλείας ἐξαιρεθέντες. Ἀναστάσεως ἐλπίδες, ἀγγελικῶν ἀγαθῶν ἀπολαύσεις, ἡ ἐν οὐρανοῖς βασιλεία, τὰ ἐν ἐπαγγελίαις ἀγαθὰ, καὶ διανοίας καὶ λόγου δύναμιν ὑπερβαίνοντα.

3. Πῶς οὐχὶ ταῦτα προσήκει χαρᾶς ἀλήκτου καὶ εὐφροσύνης διηνεκοῦς ἐξαρκεῖν νομίζειν αἴτια, ἀλλ' οἴεσθαι τὸν γαστριζόμενον, καὶ καταυλούμενον, καὶ ἐπὶ μαλακῆς κοίτης (75) ἀνατετραμμένον καὶ ῥέγχοντα, τοῦτον ἀξίως χαρᾶς διαζῆν; Ἐγὼ δὲ τούτοις μὲν τὸ B θρηνεῖσθαι φαίην ἂν πρέπειν παρὰ τῶν νοῦν ἐχόντων· μακαρίζειν δὲ τοὺς ἐπ' ἐλπίδι τοῦ μέλλοντος αἰῶνος τὴν παροῦσαν ζωὴν διαφέροντας, καὶ τὰ παρόντα τῶν αἰωνίων ἀμειβομένους, κἂν ἐν φλογὶ διάγωσιν οἱ Θεῷ συνημμένοι, ὡς οἱ τρεῖς παῖδες ἐπὶ τῆς Βαβυλωνίας (76), κἂν λέουσιν ὦσι συγκαθειργμένοι, κἂν ὑπὸ κήτους καταποθέντες, ὑφ' ἡμῶν τε χρῆναι μακαρίζεσθαι, καὶ αὐτοὺς ἐν χαρᾷ διάγειν, οὐχὶ τοῖς παροῦσιν ἀλγυνομένους, ἀλλὰ τῇ ἐλπίδι τῶν εἰς ὕστερον ἡμῖν ἀποκειμένων εὐφραινομένους. Οἶμαι γὰρ τὸν ἀγωνιστὴν τὸν καλὸν (77), ἅπαξ ἐπὶ τὸ τῆς εὐσεβείας στάδιον ἀποδύντα, φέρειν χρῆναι γενναίως τὰς πληγὰς τῶν ἀντιπάλων ἐλπίδι τῆς δόξης τῆς ἀπὸ τῶν στεφάνων. Καὶ γὰρ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ κατὰ C τὰς παλαίστρας τοῖς πόνοις προσεθισθέντες (78) οὐ πρὸς τὸ ἀλγεινὸν συστέλλονται τῆς πληγῆς, ἀλλ' ὁμόσε χωροῦσι τοῖς ἀντιπάλοις ἐπιθυμίᾳ τῆς ἀναῤῥήσεως, τῶν παραυτίκα πόνων ὑπερορῶντες. Οὕτω τῷ σπουδαίῳ κἂν παρῇ τι τῶν τραχυτέρων, οὐκ ἐπισκοτήσει (79) τῷ χαίρειν. Διότι *Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει*. Διὸ καὶ ἑτέρωθι τῇ θλίψει ὑπομένειν, καὶ τῇ ἐλπίδι χαίρειν παρὰ τοῦ αὐτοῦ προσετάχθημεν. Ἐλπὶς οὖν ἐστιν ἡ τὴν χαρὰν σύνοικον τῇ ψυχῇ τοῦ σπουδαίου παρασκευάζουσα. Ἀλλ' ὁ αὐτὸς Ἀπόστολος καὶ κλαίειν χρῆναι ἡμᾶς προστάσσει μετὰ κλαιόντων· καὶ Γαλάταις γράφων, ἔκλαιε περὶ τῶν ἐχθρῶν τοῦ σταυροῦ τοῦ Χριστοῦ. Καὶ τί δεῖ λέγειν Ἱερεμίαν κλαίοντα; καὶ Ἰε- D ζεκιὴλ θρήνους ἀρχόντων ἐκ προστάγματος Θεοῦ γράφοντα, καὶ πολλοὺς δὲ τῶν ἁγίων οἰμώζοντας; *Οἴμοι, μῆτερ, ὡς τίνα με ἔτεκες* (80); καὶ, *Οἴμοι, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορ-*

[24] Dan. III, 21. [25] Dan. XIV, 30. [26] Jon. II, 1. [27] Rom. V, 3. [28] Rom. XII, 12. [29] ibid. 15. [30] Philipp. III, 18. [31] Thren. I, 1 seqq. [32] Ezech. II, 9. [33] Jerem. XV, 10.

(74) Editi ἀγαθοῦ τε καὶ χείρονος. Veteres quatuor libri ἀγαθοῦ καὶ τοῦ χείρονος.

(75) Veteres quatuor libri μαλακῆς κλίνης. Alii mss. et editi κοίτης.

(76) Editi διάγωσιν ὡς οἱ τρεῖς παῖδες ἐπὶ τῆς Βαβυλωνίας, οἱ Θεῷ συνημμένοι. Antiqui sex libri uti in contextu, alio ordine, eoque concinniore. Ibidem Reg. secundus ὦσι καθειργμένοι.

(77) Antiqui septem libri ἀγωνιστὴν τῶν καλῶν, *recti ac honesti propugnatorem*. Editi τὸν καλόν. Lectionem utramque recipi posse, nemo, opinor, homo non videt.

(78) Unus codex Colb. et editi πόνοις προεθισθέντες. Alii quinque mss. προσεθισθέντες.

(79) Veteres quatuor libri οὐκ ἐπισκοτίσει. Alii duo et editi ἐπισκοτήσει. Hoc ipso in loco tres mss. τὸ χαίρειν. Alii totidem mss. et editi τῷ χαίρειν.

(80) Unus codex Reg. τέτοχας. Mox unus codex Colb. ἐπ' ἀνθρώποις.

θῶν ἐν ἀνθρώποις οὐκ ἔστι· καὶ, *Οἴμοι, ὅτι ἐγε-* A *νόμην ὡς συνάγων καλάμην ἐν ἀμήτῳ.* Καὶ ὅλως (81) ἐρεύνησον τὰς φωνὰς τῶν δικαίων, κἄν πού τινα εὕρῃς σκυθρωποτέραν φωνὴν ἀφιέντα, πεισθήσῃ, ὅτι πάντες τοῦ κόσμου τούτου καὶ τῆς ἐν αὐτῷ ζωῆς τῆς δυστήνου ταύτης καταστενάζουσιν. *Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη.* Ἐπιθυμίαν γὰρ ἔχει ἀναλῦσαι (82), καὶ σὺν Χριστῷ εἶναι. Ὡς οὖν ἐμπόδιον τῆς χαρᾶς, τῆς παροικίας ταύτης τὴν παράτασιν δυσχεραίνει. Δαβὶδ δὲ καὶ ἐν μέλεσιν ἡμῖν θρῆνον τοῦ φίλου κατέλιπεν Ἰωνάθαν· ᾧ συναπεθρήνησε καὶ τὸν ἐχθρὸν ἑαυτοῦ (83). *Ἀλγῶ ἐπὶ σοί, ἀδελφέ μου, Ἰωνάθαν·* καὶ, *Θυγατέρες Ἰσραὴλ* (84), *θρηνήσατε ἐπὶ Σαούλ.* Τὸν μὲν γὰρ θρηνεῖ, ὡς ἐναποθανόντα τῇ ἁμαρτίᾳ, τὸν δὲ Ἰωνάθαν, ὡς μέχρι παν- B τὸς αὐτῷ κοινωνήσαντα τοῦ βίου. Καὶ τί δεῖ τὰ ἄλλα λέγειν; Ἀλλ' ἐδάκρυσε καὶ ὁ Κύριος ἐπὶ Λαζάρῳ (85), ἐδάκρυσε καὶ ἐπὶ Ἱερουσαλήμ. Καὶ μακαρίζει δὲ τοὺς πενθοῦντας, καὶ πάλιν τοὺς κλαίοντας.

4. Καὶ πῶς σύμφωνα ταῦτα, φασὶ, τῷ, *Πάντοτε χαίρετε;* Οὐδὲ γὰρ ἐκ τῶν αὐτῶν ἀρχῶν δάκρυόν τε καὶ χαρὰ τὴν γένεσιν ἔχουσι. Τὸ μὲν γὰρ, οἷον ἐκ πληγῆς (86) τινος, τῆς προσβολῆς τοῦ ἀβουλήτου τὴν ψυχὴν τύπτοντος καὶ συστέλλοντος, καταθλιβομένου τοῦ περικαρδίου πνεύματος, ἀποτίκτεσθαι πέφυκεν· ἡ δὲ χαρὰ οἷον σκίρτημά τί ἐστι τῆς ψυχῆς ἐπαγαλλομένης τοῖς κατὰ γνώμην. Ὅθεν καὶ τὰ περὶ τὸ σῶμα συμπτώματα διενήνοχε. Τοῖς μὲν γὰρ λυπουμένοις ὕπωχρος καὶ πελιδνὸς καὶ κατεψυγμένος ὁ ὄγκος· C τοῖς δὲ φαιδρυνομένοις ἐξανθοῦσα καὶ ὑπέρυθρος ἡ τοῦ σώματος ἕξις, μονονουχὶ πηδώσης τῆς ψυχῆς, καὶ προωθουμένης ὑφ' ἡδονῆς εἰς τὸ ἔξω. Πρὸς δὴ ταῦτα ἐροῦμεν, ὅτι καὶ οἱ θρῆνοι καὶ τὰ δάκρυα τῶν ἁγίων διὰ τὴν πρὸς Θεὸν ἀγάπην ἐγίγνοντο (87). Ἀεὶ οὖν ἐνορῶντες τῷ ἀγαπητῷ, καὶ τὴν ἐκεῖθεν ἑαυτοῖς εὐφροσύνην συναύξοντες, τὰ περὶ τοὺς ὁμοδούλους ἑαυτῶν ἐψυχονόμουν· πενθοῦντες τοὺς ἁμαρτάνοντας, ἐπανορθούμενοι αὐτοὺς διὰ τῶν δακρύων. Ὥσπερ δὲ οἱ ἐπὶ τῶν αἰγιαλῶν (88) ἑστῶτες, τοῖς ἐν τῇ θαλάττῃ βαπτιζομένοις συμπάσχοντες, οὐ προΐενται τὴν οἰκείαν ἀσφάλειαν ἐν τῇ περὶ τῶν κινδυνευόντων φροντίδι· οὕτως οὐδὲ οἱ τοῖς ἁμαρτήμασι (89) τῶν πέλας ἐπιστυγνάζοντες τὴν οἰκείαν ἀφανίζουσιν εὐφροσύνην. Τὸ ἐναντίον μὲν οὖν, καὶ μείζονα ποιοῦσιν αὐτὴν, ὑπὲρ D

A periit pius e terra, et qui recte faciat, in hominibus non est [34]; et : *Hei mihi, quia factus sum sicut qui congregat stipulam in messe* [35]. Et ut verbo dicam, perscrutare voces justorum, et sicubi reperias qui emittat vocem tristiorem, nullus dubitabis quin **28** omnes mundum hunc, et miseram vitam quæ in eo agitur, deplorent. *Heu mihi, quia incolatus meus prolongatus est* [36]. Nimirum cupit dissolvi, et esse cum Christo [37]. Itaque fert ægre hujus incolatus dilationem, tanquam quæ impedimento sit gaudio. Et David quoque reliquit nobis in canticis prolatam de amico suo Jonathan lamentationem, in qua simul et inimicum suum luxit. *Doleo super te, frater mi, Jonathan* [38]; et : *Filiæ Israel, super Saul flete* [39]. B Hunc quidem luget, ut peccato immortuum : Jonathan vero, ut hominem sibi per totam vitam conjunctissimum. Quid autem attinet cætera percensere? Enimvero Dominus ipse flevit etiam super Lazarum [40] et super Jerusalem [41]. Sed et lugentes ac flentes itidem prædicat beatos [42].

4. Sed, inquiunt, quomodo fieri potest, ut hæc concilientur cum verbis illis, *Semper gaudete* [43]. Neque enim lacrymæ et gaudium ex iisdem principiis ducunt originem. Nam compresso circa cor spiritu, et angustato, lacrymæ ex improviso casu percutiente animam, eamque contrahente, velut ex plaga quadam oriri consuevere : gaudium vero est animæ ob res ex sententia succedentes gestientis quidam quasi saltus. Hinc differunt corporis symptomata. Tristes quidem subpallidam lividamque ac C rigentem habent corporis molem : inest vero efflorescens quædam et subrubra corporis habitudo lætis et hilaribus, anima tantum non prosiliente et prorumpente ad exteriora præ voluptate. Verum ad hæc dicemus, quod lamentationes sanctorum lacrymæque ex Dei amore proficiscebantur. Itaque oculis in dilectum semper intentis, ac lætitia majore sibi inde accedente curabant res conservorum suorum, deflebant ipsos peccantes, eosque per lacrymas emendabant. Quemadmodum autem qui in littore stant, dum eorum qui in mari submerguntur commiserescunt, securitatem suam non amittunt, ob hanc suam de periclitantibus sollicitudinem : ita qui proximorum deflent peccata, suam ipsorum lætitiam minime disperdunt. Imo etiam adaugent ip- D

[34] Mich. VII, 2. [35] ibid. 1. [36] Psal. CXIX, 5. [37] Philipp. I, 23. [38] II Reg. I, 26. [39] ibid. 24. [40] Joan. XI, 35. [41] Luc. XIX, 41. [42] Matth. V, 5 ; Luc. VI, 21. [43] Philipp. IV, 4.

(81) Colb. tertius καὶ ὅλας, *scrutare tandem omnes voces justorum.* Statim editi εὕροις. At sex mss. εὕρῃς.

(82) Veteres aliquot libri et editi ἔχει ἀναλῦσαι. Alii duo εἶχεν ἀναλῦσαι.

(83) Antiqui tres libri ἐχθρὸν αὐτοῦ. Ibidem iidem mss. ἀλγῶ ἐπὶ σοί. Alii et editi ἐπὶ σέ.

(84) Unus codex Colb. cum Regiis primo et tertio et cum impressis libris θυγατέρες Ἱερουσαλήμ, *filiæ Jerusalem.* At Colb. tertius et Reg. secundus θυγατέρες Ἰσραήλ, *filiæ Israel;* et ita quoque in Vulgata legitur, et apud LXX. Quicunque autem ille est, qui primus scripsit Ἱερουσαλήμ, idcirco lapsus credi potest, quod, cum scriberet, meminerit verborum illorum Luc. XXIII, 28 : Θυγατέρες Ἱερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμέ. *Filiæ Jerusalem, nolite flere super me.*

(85) Veteres quatuor libri ἐπὶ Λαζάρου. Infra, ubi editi habent φασί, in veteribus quinque libris legitur φησί.

(86) Colbertini duo codices ἐκ πηγῆς, *quasi ex aliquo fonte.* Alii quinque mss. et editi ἐκ πληγῆς, *ex plaga quadam.*

(87) Reg. secundus διὰ τῆς πρὸς Θεὸν ἀγάπης ἐγίνοντο.

(88) Codex unus ἐπὶ τὸν αἰγιαλόν.

(89) Antiqui tres libri τοῖς ἁμαρτάνουσι. Alii mss. et editi ἁμαρτήμασι.

sam, gaudio Domini dignati ob effusas pro fratre lacrymas. Quare beati sunt qui flent, beati quoque qui lugent, quoniam ipsi consolabuntur, et ipsimet ridebunt. Risum autem dicit, non strepitum quemdam per genas ab effervescente sanguine editum, sed hilaritatem puram, et omnis tristitiæ exsortem. Quocirca lugere cum lugentibus [44] licet per Apostolum, quod hæ lacrymæ velut gaudii æterni semen fiant et fenus. Ascende mihi mente, et conditionem intuere angelorum, an conveniat eis præter gaudium et lætitiam ullus alius status : quippe quia habiti sunt digni, qui astent Deo, ac inenarrabili pulchritudine gloriæ Conditoris nostri perfruantur. Itaque ad hanc vivendi rationem invitans nos Apostolus, semper gaudere nos jussit.

5. Quodsi Dominus lacrymas super Lazarum **29** et super civitatem profudit, illud dicere habemus, ipsum et comedisse et bibisse, nihil alioquin horum indigum : sed modos ac fines quibus necessarii animæ affectus contineantur, tibi reliquisse. Itaque sic etiam lacrymatus est, ut immodicam querulorum ac luctus amantium ad flendum propensionem, animique eorum demissionem sanaret. Nam si quid aliud, præsertim lacrymæ opus habent moderamine rationis : quibusnam illacrymetur, et quantum, et quando, et quomodo par fuerit. Quod enim citra ullam animi commotionem, sed ad erudiendos nos lacrymatus est Dominus, perspectum est ac manifestum ex illo : *Lazarus amicus noster dormit, sed vado ut a somno excitem eum* [45]. Quis nostrum defleat amicum dormientem, quem aliquanto post sperat expergefactum iri ? *Lazare, veni foras* [46]. Jam mortuus revocabatur ad vitam : jam alligatus ambulabat. Inest miraculum in miraculo. Pedes ligabantur institis, nec tamen a motu prohibebatur. Etenim aderat vis quædam obice major. Quomodo igitur Dominus, qui erat talia facturus, casum illum lacrymis dignum judicasset ? At non palam est ipsum infirmitatem nostram undique suffulcientem, eas affectiones quæ inevitabiles sunt et necessariæ, intra modos quosdam ac terminos continuisse ? Apathiam quidem vitavit tanquam quiddam ferinum : noluit tamen mœrori ac tristitiæ deditus esse, ac multum lacrymari, quod hoc illiberale esset et ignavum. Quamobrem amico deflendo ostendit communionem humanæ naturæ; simulque nos ab excessu in utramque partem liberavit, neque nos mollius frangi adversis, neque inter molestias sensus esse expertes permittens. Quemadmodum igitur Dominus solidis cibis digestis famem sustinuit, sitimque admisit, humore corporis consumpto, et

[44] Rom. xii, 15. [45] Joan. xi, 11 [46] ibid. 43

A τῶν εἰς τὸν ἀδελφὸν δακρύων τῆς χαρᾶς τοῦ Κυρίου (90) καταξιούμενοι. Διὰ τοῦτο μακάριοι οἱ κλαίοντες, καὶ μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται, καὶ αὐτοὶ γελάσουσι. Γέλωτα δὲ λέγει οὐ τὸν διὰ τῶν παρειῶν ἐκπίπτοντα ψόφον ἐν τῷ αἵματος ἀναβρασμῷ, ἀλλὰ τὴν ἄκρατον καὶ ἀμιγῆ παντὸς σκυθρωποῦ ἱλαρότητα. Κλαίειν οὖν μετὰ κλαιόντων συγχωρεῖ ὁ Ἀπόστολος, ἐπειδὴ τὸ δάκρυον τοῦτο οἱονεὶ σπέρμα καὶ δάνεισμα γίνεται τῆς αἰωνίου χαρᾶς. Ἀνάβα μοι (91) τῇ διανοίᾳ, καὶ θέασαι τὴν ἀγγελικὴν κατάστασιν, εἰ ἄλλη τις αὐτοῖς πρέπει κατάστασις, πλὴν τοῦ χαίρειν καὶ διευθυμεῖσθαι· ὅτι ἠξίωνται παρεστάναι Θεῷ, καὶ ἀπολαύειν τοῦ ἀποῤῥήτου κάλλους τῆς δόξης τοῦ κτίσαντος ἡμᾶς. Πρὸς ἐκεῖνον οὖν τὸν βίον παρορμῶν ἡμᾶς ὁ Ἀπόστολος, πάντοτε χαίρειν ἡμῖν διετάξατο.

B 5. Ἀλλὰ μὴν πρός γε τὸ δακρῦσαι τὸν Κύριον ἐπὶ Λαζάρῳ καὶ ἐπὶ τῇ πόλει ἐκεῖνο εἰπεῖν ἔχομεν, ὅτι καὶ ἔφαγε, καὶ ἔπιεν, οὐχ αὐτὸς τούτων δεόμενος, ἀλλά σοι μέτρα καὶ ὅρους τῶν ἀναγκαίων τῆς ψυχῆς παθημάτων καταλιμπάνων. Οὕτω γοῦν καὶ ἐδάκρυσε, τῶν ὀδυρτικῶν καὶ φιλοθρήνων τὸ ἄγαν περιπαθὲς καὶ ταπεινὸν ἐπανορθούμενος. Εἰ γάρ τι ἄλλο, καὶ τὸ δακρύειν τῆς ἐκ τοῦ λόγου συμμετρίας προσδεῖται· ἐπὶ τίσι (92) γίνεσθαι, καὶ ἐπὶ πόσον, καὶ πότε, καὶ ὅπως προσῆκεν. Ὅτι γὰρ οὐκ ἐμπαθὲς ἦν τὸ δάκρυον τοῦ Κυρίου, ἀλλὰ διδασκαλικὸν, ἐκεῖθεν δῆλον· *Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν.* Τίς ἡμῶν (93) κοιμώμενον ὀδύρεται φίλον, ὃν μικρὸν ὕστερον προσδοκᾷ διυπνίζειν; *Λάζαρε, δεῦρο ἔξω.* Καὶ ὁ νεκρὸς ἐζωοποιεῖτο· C καὶ ὁ δεδεμένος περιεπάτει. Θαῦμα ἐν θαύματι· κειρίαις δεδέσθαι τοὺς πόδας, καὶ μὴ κωλύεσθαι πρὸς τὴν κίνησιν. Μεῖζον γὰρ ἦν τὸ ἐνισχύον (94) τοῦ ἐμποδίζοντος. Πῶς οὖν ὁ τοιαῦτα ἐνεργεῖν μέλλων δακρύων ἄξιον τὸ συμβὰν ἔκρινεν; Ἢ δῆλον, ὅτι, πανταχόθεν τὸ ἀσθενὲς ἡμῶν ὑπερείδων, μέτροις τισὶ καὶ ὅροις τὰ ἀναγκαῖα περιέλαβε πάθη; τὸ μὲν ἀσυμπαθὲς ὡς θηριῶδες ἐκκλίνων, τὸ δὲ φιλόλυπον καὶ πολύθρηνον (95) ὡς ἀγενὲς παραιτούμενος. Διόπερ, ἐπιδακρύσας τῷ φίλῳ, αὐτός τε τὴν κοινωνίαν τῆς ἀνθρωπείας φύσεως ἐπεδείξατο, καὶ ἡμᾶς τῶν ἐφ' ἑκάτερα ὑπερβολῶν ἠλευθέρωσε· μήτε καταμαλακίζεσθαι πρὸς τὰ πάθη, μήτε ἀναισθήτως ἔχειν τῶν λυπηρῶν ἐπιτρέπων. Ὡς οὖν κατεδέξατο τὴν D πεῖναν ὁ Κύριος, τῆς στερεᾶς τροφῆς διαπνευσθείσης αὐτῷ, καὶ τὴν δίψαν προσήκατο, τῆς ὑγρότητος ἀναλωθείσης τῆς ἐν τῷ σώματι· καὶ ἐκοπίασε, τῶν μυῶν καὶ τῶν νεύρων ἐκ τῆς ὁδοιπορίας ὑπερταθέντων· οὐ τῆς θεότητος τῷ καμάτῳ δαμαζομένης, ἀλλὰ τοῦ σώματος τὰ ἐκ φύσεως ἐπακολουθοῦντα συμπτώματα δεχομένου· οὕτω καὶ τὸ δάκρυον προσήκατο, τὸ φυ-

(90) Reg. secundus χαρᾶς τῶν δικαίων, *effecti digni gaudio justorum*. Nec ita multo post quinque mss. γελάσονται. Subinde duo mss. κλαίειν δὲ μετά.

(91) Antiqui novem libri ἀνάβα μοι. Editi ἀνάλαβέ μοι, corrupte. Haud longe Reg. secundus παριστάναι Θεῷ. Subinde duo mss. ἡμᾶς διετάξατο.

(92) Vulg. ἐπὶ τισί. Emendatio obvia. Edit.

(93) Veteres quinque libri τίς ἡμῶν. Editi ὑμῶν.

(94) Legitur in quatuor mss. τὸ ἐνισχύον, in editis vero et in aliis duobus mss ἰσχύον. Mox veteres quinque libri τοιαῦτα ἐνεργεῖν.

(95) Unus codex Colb. τὸ φιλόπονον καὶ πολύθρηνον, male. Statim tres mss. τῆς ἀνθρωπίνης φύσεως. Editi et alii mss. τῆς ἀνθρωπείας.

σικὸν τῇ σαρκὶ ἐπιγίνεσθαι σύμπτωμα συγχωρῶν. Ὅπερ συμβαίνει, ὅταν τὰ (96) κοῖλα τοῦ ἐγκεφάλου, τῶν ἐκ τῆς λύπης ἀναθυμιάσεων πληρωθέντα, οἷον δι' ὀχετῶν τινων τῶν κατὰ τοὺς ὀφθαλμοὺς πόρων τοῦ ὑγροῦ τὸ βάρος ἀποσκευάζηται. Ὅθεν ἦχοί τινες, καὶ ἴλιγγοι, καὶ σκοτώσεις ἐπὶ ταῖς ἀδοκήτοις τῶν λυπηρῶν ἀκοαῖς ἐγγίνονται, περιδονουμένης τῆς κεφαλῆς ὑπὸ τῶν ἀτμῶν (97), οὓς ἡ ἐπὶ τὸ βάθος τοῦ θερμοῦ συστολὴ ἀναπέμπει. Εἶτα, οἶμαι, ὥσπερ τὸ νέφος εἰς ψεκάδα, οὕτως τὸ πάχος (98) τῶν ἀτμῶν εἰς δάκρυον διαλύεται. Ἔνθεν καὶ ἡδονή τίς ἐστι τοῖς λυπουμένοις περὶ τὸν θρῆνον, λανθανόντως διὰ τοῦ κλαίειν κενουμένου αὐτοῖς τοῦ βαρύνοντος. Συνίστησι δὲ τοῦ λόγου τὸ ἀληθὲς ἡ πεῖρα τῶν γινομένων. Πολλοὺς γὰρ ἔγνωμεν ἐν συμφοραῖς ἀνηκέστοις ἀποστάξαι τὸ δάκρυον βιαίως ἐγκαρτερήσαντας· εἶτα τοὺς μὲν εἰς ἀνήκεστα ἐμπεσόντας πάθη, ἀποπληξίας ἢ παραλύσεις, τοὺς δὲ, καὶ παντελῶς ἀποψύξαντας, ὥσπερ ἐρείσματος ἀσθενοῦς (99), τῆς δυνάμεως αὐτῶν τῷ βάρει τῆς λύπης ὑποκλασθείσης. Ὁ γὰρ ἐπὶ τῆς φλογὸς ὁρᾷν ὑπάρχει, ὑπὸ τοῦ οἰκείου αὐτὴν καπνοῦ καταπνίγεσθαι, μὴ ὑπεξιόντος, ἀλλὰ περὶ αὐτὴν εἱλουμένου, τοῦτό φασι καὶ ἐπὶ τῆς οἰκονομούσης τὸ ζῶον δυνάμεως γίνεσθαι· ἀπομαραίνεσθαι γὰρ ὑπὸ τῶν ὀδυνηρῶν, καὶ κατασβέννυσθαι, μηδεμιᾶς γινομένης ἐπὶ τὸ ἔξω διαπνοῆς.

A defatigatus est ex itinere[47], musculis ac nervis plus æquo distentis, non succumbente labori divinitate, sed corpore quæ ipsius naturam comitari solent suscipiente : hunc ad modum admisit quoque lacrymas, carni sinens accidere quod ei erat naturale. Hoc autem contingit tum cum cerebri cava, excitatis a tristitia vaporibus referta, per oculorum meatus velut per quosdam canales humoris onus egerunt. Quamobrem cum res graves ac molestæ præter exspectationem audiuntur, fit tinnitus quidam, vertigoque, et oculorum caligo : siquidem ob vapores quos calor in interiora contractus sursum emittit, vacillat caput et circumagitur. Deinde, mea quidem sententia, quemadmodum nubes in guttas, sic crassæ vaporum partes resolvuntur in lacrymas.
B Hinc etiam voluptas quædam inter lugendum **30**
accedit mœrentibus, quia quod ipsos aggravabat, id latenter per ploratum ejectatur. Horum autem verborum veritatem stabilit ipsa rerum experientia. Novimus namque multos in gravissimis adversitatibus sibi per vim a lacrymis temperasse, quorum alii posthac in immedicabiles morbos inciderunt, in apoplexiam paralysimque; alii vero omnino supremum diem obierunt, quod eorum vires, quasi debili quodam fulcro destitutæ, pondere tristitiæ frangerentur. Nam quod videre in flamma licet, quam fumus proprius si non exeat, sed circumvolvatur, suffocat, id etiam in facultate qua animal constituitur, fieri dicunt, nimirum extabescere illam et exstingui præ doloribus, si nullus sibi exitus ad exteriora aperiatur.

6. Μὴ τοίνυν εἰς συνηγορίαν τοῦ οἰκείου πάθους τὸ τοῦ Κυρίου προβαλλέσθωσαν (1) δάκρυον οἱ φιλόλυποι. Ὡς γὰρ ἡ βρῶσις, ἣν ὁ Κύριος ἔφαγεν, οὐκ ἔστιν ἡδυπαθείας ἡμῖν ἀφορμὴ, τὸ ἐναντίον μὲν οὖν, ἐγκρατείας καὶ αὐταρκείας ὅρος ὁ ἀνωτάτω· οὕτω καὶ τὸ δάκρυον οὐκ ἔστι νομοθεσία πρὸς τὸ θρηνεῖν, ἀλλὰ μέτρον εὐσχημονέστατον ἐκτεθὲν, καὶ κανὼν ἀκριβὴς, καθ' ὃν προσῆκε σεμνῶς καὶ εὐσχημόνως τοῖς τῆς φύσεως ὅροις ἐμμένοντας διαφέρειν τὰ λυπηρά. Οὔτε οὖν γυναιξὶν, οὔτε ἀνδράσιν ἐπιτέτραπται (2) τὸ φιλοπενθὲς καὶ πολύδακρυ, ἀλλ' ὅσον ἐπιστυγνάσαι τοῖς λυπηροῖς, καὶ μικρόν τι δάκρυον ἀποστάξαι, καὶ τοῦτο ἡσυχῇ, μὴ ἀναβρυχώμενον μηδὲ ὀλολύζοντα, μηδὲ καταῤῥηγνύντα χιτῶνα, ἢ κόνιν καταχεόμενον, μηδ' ἄλλο τι τοιοῦτον ἀσχημονοῦντα τῶν ἐπιτηδευομένων παρὰ τῶν ἀπαιδεύτως ἐχόντων πρὸς τὰ οὐράνια (3). Δεῖ γὰρ τὸν κεκαθαρμένον τῷ θείῳ διδασκαλίῳ, οἷον ὀχυρῷ τινι τειχίῳ τῷ ὀρθῷ λόγῳ πεφράχθαι, καὶ ἀνδρείως καὶ καρτερῶς τὰς τῶν τοιούτων παθῶν προσβολὰς ἀπαμύνασθαι (4)· καὶ μὴ καθάπερ εἴς τι χω-

C 6. Qui igitur tristitiæ dediti sunt, ne in suæ infirmitatis patrocinium Domini lacrymas opponant. Ut enim cibus, quo Dominus vescebatur, voluptatis nobis occasio non est, imo vero temperantiæ atque frugalitatis suprema regula est et forma : ita quoque lacrymæ non sunt nobis vice legis, qua lugere teneamur : sed convenientissima quædam mensura normaque accurata in his nobis proposita est, juxta quam par fuerit intra naturæ terminos graviter et honeste permanere, et tristia perferre. Itaque neque mulieribus neque viris lacrymarum studium aut copia permissa sunt, sed tantum, quantum fas est affligtari de adversis, et parum lacrymari; idque tacite sine fremitibus, sine ejulatibus, adeo ut vestem scindat nemo, nec cinerem inspergat; nec aliud
D quidquam eorum indecore agat, quæ facere solent rerum cœlestium imperiti. Oportet enim eum qui divina doctrina purgatus est, recta ratione, velut firmo quodam muro, obseptum esse, et talium affectionum assultus viriliter ac strenue propulsare.

[47] Joan. IV, 6.

(96) Ita antiqui quatuor libri. Editi ὅτε τά.

(97) Reg. secundus ἀπὸ τῶν ἀτμῶν. Nec ita multo infra unus codex Colb. οἶμαι, ὅτι, ὥσπερ.

(98) Antiqui tres libri οὕτως τὸ παχύ.

(99) Unus codex Reg. et Colb. primus ὥσπερ ἔρεισμα τὸ ἀσθενές. Alii mss. et editi ὥσπερ ἐρείσματος ἀσθενοῦς.

(1) Reg. primus τὸ τοῦ Χριστοῦ προβαλλέσθωσαν. Colb. tertius προσβαλέσθωσαν.

(2) Antiqui sex libri ἐπιτέτραπται. Editi ἐπιτρέπεται. Colb. primus ἐπιτέτακται. Statim tres mss. μὴ ἀναβρυχώμενον. Editi et mss. nonnulli ἀναβρυχόμενον. Nec ita multo inferius sex mss. καταῤῥηγνύντα χιτῶνα. Editi et unus ms. Reg. καταῤῥηγνύμενον.

(3) Reg. primus πρὸς τὰ οὐράνια. Alii mss. et editi πρὸς τὰ ἀνθρώπινα, *ab imperitis rerum humanarum*. Mox tres mss. θείῳ διδασκαλείῳ.

(4) Veteres aliquot libri ἀπαμύνεσθαι. Reg. secundus ἀμύνεσθαι. Mox Colb. primus εἴς τι χόριον.

non in humili ac molli anima quasi in loco declivi affluentem ullam affectuum turbam suscipere. Etenim animi est ignavi, nullumque ex reposita in Deo spe robur habentis, frangi admodum, et adversis succumbere. Quemadmodum enim in lignis tenerioribus gignuntur vermes, sic tristitia in molliore hominum indole innascitur. Numnam erat Job corde adamantino? num compacta ei erant ex saxo viscera? Ceciderunt ei decem liberi in brevi temporis momento, una plaga obtriti, in domo jucunditatis, in tempore deliciarum, decutiente in eos domum diabolo. Vidit mensam sanguine immistam, vidit liberos diverso quidem tempore natos, sed unum communemque sortitos vitæ exitum. Non ejulavit, non comam evellit, non emisit vocem ullam degenerem, sed celebrem illam et ab omnibus decantatam gratiarum actionem protulit : *Dominus dedit, Dominus abstulit; sicut Domino placuit, ita et factum est; sit nomen Domini benedictum*[48]. Num homo ille erat expers affectionum? At quomodo? cum ipse de se dicat : *Ego flevi super omni afflicto*.[49]. Estne his dicendis mentitus? Imo vero præter cæteras virtutes veritas veracem eum quoque fuisse declarat his verbis: *Homo* enim, inquit, *inculpatus, justus, pius, verax*[50]. Tu vero cantilenis quibusdam ad mœstitiam compositis ad flendum abuteris, studesque animam tuam
31 modulis lugubribus absumere; et quemadmodum peculiaria sunt tragœdis fictio et apparatus, quocum theatra conscendunt; ita existimas habitum etiam convenire lugenti, vestem atram, comam squalidam, tenebras in domo, sordes, pulverem, denique lugubrem cantum, quo mœroris vulnus semper recens in animo servetur. Sinas hæc faciant qui spem non habent[51]. Tu vero de iis qui in Christo obdormierunt[52], edoctus es : *Seminatur in corruptione, surget in incorruptione: seminatur in infirmitate, surget in virtute : seminatur corpus animale, surget corpus spiritale*[53]. Quid igitur luges hominem, ad mutandum habitum adeuntem? Neque te ipse lugeas, quasi sis in hac vita patrono orba-

A ρίον ὑποκαθήμενον, τῷ ταπεινῷ καὶ ὑπείκοντι τῆς ψυχῆς, τὸν τῶν παθῶν ὄχλον ἐπιῤῥέοντα δέχεσθαι. Ἀνάνδρου γὰρ ψυχῆς, καὶ οὐδένα τόνον ἐκ τῆς ἐπὶ Θεὸν ἐλπίδος ἐχούσης, τὸ σφοδρῶς καταῤῥήγνυσθαι καὶ ὑποπίπτειν τοῖς λυπηροῖς. Ὥσπερ γὰρ οἱ σκώληκες τοῖς ἁπαλωτέροις τῶν ξύλων ἐντίκτονται μάλιστα, οὕτως αἱ λῦπαι τοῖς μαλακωτέροις ἤθεσι τῶν ἀνθρώπων ἐμφύονται. Μὴ γὰρ ἀδαμάντινος ἦν ὁ Ἰὼβ τὴν καρδίαν (5); μὴ γὰρ ἐκ λίθου ἦν αὐτῷ πεποιημένα τὰ σπλάγχνα; Ἔπεσον αὐτῷ δέκα παῖδες ἐν βραχείᾳ καιροῦ ῥοπῇ, μιᾷ πληγῇ συντριβέντες ἐν τῷ οἴκῳ τῆς θυμηδίας, ἐν τῷ καιρῷ τῆς ἀπολαύσεως, ἐπικατασείσαντος αὐτοῖς τοῦ διαβόλου τὸ οἴκημα. Εἶδε τράπεζαν αἵματι μεμιγμένην· εἶδε παῖδας διαφόρως μὲν κατὰ τὸν χρόνον ἀποτεχθέντας (6), κοινῇ δὲ
B ὑπελθόντας τοῦ βίου τὸ τέλος. Οὐκ ᾤμωξεν, οὐ κατετίλατο κόμην, οὐκ ἀφῆκέ τινα φωνὴν ἀγενῆ, ἀλλὰ τὴν ἀοίδιμον ἐκείνην καὶ παρὰ πᾶσιν ἀνυμνουμένην εὐχαριστίαν ἀπεφθέγξατο (7)· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον*. Μὴ ἀσυμπαθὴς ὁ ἄνθρωπος; Καὶ πῶς; ὅς γε περὶ ἑαυτοῦ λέγει· *Ἐγὼ ἔκλαυσα ἐπὶ παντὶ θλιβομένῳ* (8). Ἀλλ' ἄρα μὴ ἐψεύδετο ταῦτα λέγων; Καὶ μὴν μαρτυρεῖ αὐτῷ ἡ ἀλήθεια, ὅτι πρὸς ταῖς λοιπαῖς ἀρεταῖς καὶ ἀληθινὸς ἦν· *Ἄνθρωπος* γάρ, φησίν, *ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀληθινός* (9). Σὺ δὲ ᾠδαῖς τισι πρὸς τὸ κατηφὲς πεποιημέναις παραθρηνεῖς, καὶ μέλεσι γοεροῖς ἐκτήκειν σεαυτοῦ τὴν ψυχὴν ἐπιτηδεύεις· καὶ ὥσπερ τῶν τραγῳδῶν ἴδιόν ἐστι τὸ ἀνάπλασμα
C καὶ ἡ σκευὴ (10) μεθ' ἧς τὰ θέατρα καταλαμβάνουσιν· οὕτως οἴει προσήκειν καὶ τῷ πενθοῦντι πρέπον εἶναι σχῆμα, μέλαν ἱμάτιον, καὶ αὐχμηρὰν κόμην, καὶ σκότος ἐν οἰκίᾳ, καὶ ῥύπον, καὶ κόνιν, καὶ μέλος στυγνόν, ἀεὶ νεαρὸν τῆς λύπης τὸ τραῦμα τῇ ψυχῇ διασῶζον (11). Κατάλιπε ταῦτα ποιεῖν τοῖς μὴ ἔχουσιν ἐλπίδα. Σὺ δὲ ἐδιδάχθης περὶ τῶν ἐν Χριστῷ κοιμηθέντων, ὅτι *Σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει* (12)· *σπείρεται σῶμα ψυχικόν, ἐγείρεται*

[48] Job I, 21. [49] Job XXX, 25. [50] Job I, 1. [51] I Thess. IV, 12. [52] Apoc. XIV, 13. [53] I Cor. XV, 42-44.

Et ne ignoraremus quid significet χόριον, ejus vocis declaratio manu recentiore posita est in ora libri hoc modo, τὸ κάλυμμα τὸ συγγεννώμενον ἐκ τῆς κοιλίας τοῦ βρέφους, *tegumentum profectum ex ventre infantis*. Sed hanc notam ad rem non pertinere constat, cum hic de χωρίῳ, non de χορίῳ agatur.

(5) Codex Combef. ὁ Ἰὼβ τὴν καρτερίαν, depravate. Mox Regii primus et tertius, et alii duo Colbertini, ἔπεσον αὐτῷ. Editi et unus ms. ἔπεσον αὐτοῦ. Alius codex ἔπεσαν.

(6) Codex unus χρόνον τεχθέντας. Ibidem Colb. tertius κοινῇ δὲ ὑπεξελθόντας.

(7) Regius tertius ἐφθέγξατο. Statim Colb. tertius Κύριος ἀφείλατο. Nec ita multo post octo mss. περὶ ἑαυτοῦ. Editi αὐτοῦ.

(8) Veteres quatuor libri παντὶ ἀνθρώπῳ θλιβομένῳ. Editi et alii duo mss. simpliciter παντὶ θλιβομένῳ. Ibidem duo mss. Ἀλλά γε μή.

(9) Antiqui tres libri ἀληθινὸς, ὅσιος, *verax, sanctus*. Sed vox ὅσιος in aliis mss., et in editis non
D inventur. Haud longe codices Combefisiani παραθρηνεῖν. Alii tres mss. καταθρηνεῖν. Alii duo et editi uti in contextu legi potest.

(10) Ubi in editis legitur ἡ σκηνή, ibi ex veteribus quinque libris edendum curavimus ἡ σκευή. Aliquanto infra editi στυγνὸν καὶ ἀεί. Sed cum vocula καὶ in mss. non reperiatur, eam delevimus. Ibidem tres mss. τῆς ψυχῆς. Alii mss. et editi τῇ ψυχῇ, recte.

(11) *Διασῶζον*. Multo melius apud Symeonem Logothetam, serm. 12, pag. 544, διασώζοντι, *mœroris vulnus semper recens in animo servanti*. MARAN.

(12) Editi ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται, etc. *Seminatur in ignobilitate, surget in gloria*. Sed totum illud, σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ, deest et in nostris octo mss., et in editione Basileensi. Basilio concionanti, an librariis scribentibus exciderint hæc verba, dici certo posse non puto : mihi tamen nescio quomodo verisimilius fit, ea Basilio potius quam tot simul

σῶμα πνευματικόν. Τί οὖν κλαίεις (13) τὸν ἐξελ- A θόντα μεταμφιάσασθαι; Μήτε σεαυτὸν θρήνει ὡς βοηθοῦ τινος πρὸς τὸν βίον στερούμενος· *Ἀγαθὸν γάρ*, φησίν, *ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄνθρωπον*. Μήτε ἐκεῖνον ὀδύρου, ὡς δεινὰ πεπονθότα. Μικρὸν γὰρ ὕστερον ἡ ἐξ οὐρανῶν σάλπιγξ αὐτὸν διυπνίσει (14), καὶ ὄψει αὐτὸν παριστάμενον τῷ βήματι τοῦ Χριστοῦ. Ἄφες οὖν ταύτας τὰς ταπεινὰς καὶ ἀπαιδεύτους φωνάς. Οἴμοι τῶν ἀπροσδοκήτων κακῶν· καὶ τό· Τίς δ' ἂν ταῦτα ᾠήθη γενέσθαι; καί, Πότε (15) δ' ἂν προσεδόκησα γῇ κατακρύψειν τὴν φιλτάτην ἐμοὶ κεφαλήν; Ταῦτα γὰρ κἂν ἑτέρου λέγοντος ἀκούωμεν, ἐρυθριᾶν ἡμᾶς προσῆκε τοὺς ἔκ τε τῆς μνήμης τῶν παρελθόντων καὶ ἐκ τῆς τῶν παρόντων πείρας τὰ ἀναγκαῖα τῆς φύσεως πάθη δεδιδαγμένους.

tus : *Bonum est enim*, inquit, *sperare in Domino, quam sperare in homine*[34]. Neque illum defleas uti male ac dure acceptum. Nam clangens e cœlo tuba hunc paulo post expergefaciet, ac videbis ipsum Christi astantem tribunali. Mitte igitur humiles illas ac insulsas voces : Heu mala inexspectata; rursus, Quis hæc eventura fuisse putasset? item : Quandonam exspectassem charissimum mihi caput obtegendum humo fuisse? Etenim si alter, nobis audientibus, hæc proferat, par fuerit nos erubescere, qui tum ex memoria præteritorum, tum ex præsentium experientia, has naturæ ærumnas inevitabiles esse didicimus.

7. Οὔτε οὖν ἀωρίαι θανάτου, οὔτε ἄλλαι τινὲς δυσ- B κληρίαι ἀδοκήτως ἐμπεσοῦσαι (16), ἐκπλήξουσιν ἡμᾶς ποτε τοὺς παιδαγωγουμένους τῷ λόγῳ τῆς εὐσεβείας. Οἷον, παῖς μοι ἦν νεανίας, μόνος τοῦ βίου διάδοχος, παραμύθιον γήρως, ἐγκαλλώπισμα γένους, ἄνθος τῶν ὁμηλίκων, στήριγμα τῆς οἰκίας, αὐτὸ τῆς ἡλικίας ἦγε τὸ χαριέστατον· οὗτος ἀνάρπαστος οἴχεται· καὶ γῆ καὶ κόνις γέγονεν, ὁ πρὸ βραχέως ἡδὺ μὲν ἄκουσμα φθεγγόμενος, ἥδιστον δὲ θέαμα ὢν (17) τοῖς τοῦ γεννήσαντος ὀφθαλμοῖς. Τί οὖν ποιήσομαι; Καταῤῥήξομαι τὴν ἐσθῆτα, καὶ καταδέξομαι κυλινδεῖσθαι χαμαί, καὶ ποτνιᾶσθαι, καὶ δυσανασχετεῖν, καὶ δεικνύειν ἐμαυτὸν τοῖς παροῦσιν οἱονεὶ παῖδά τινα ὑπὸ πληγῶν ἐκβοῶντα καὶ ἀποσπαίροντα (18); Ἢ τῷ ἀναγκαίῳ τῶν γινομένων προσέχων, ὅτι ἀπαραίτητος ὁ C τοῦ θανάτου νόμος, καὶ διὰ πάσης ὁμοίως ἡλικίας χωρῶν, καὶ πάντα ἐφεξῆς τὰ σύνθετα διαλύων, οὐ ξενισθήσομαι τῷ συμβάντι; οὐδ' ἀνατραπήσομαι τὸν νοῦν ὡς ὑπὸ πληγῆς ἀπροσδοκήτου καταῤῥαγεὶς, πάλαι προπεπαιδευμένος, ὅτι, θνητὸς ὢν (19), θνητὸν εἶχον τὸν παῖδα, καὶ ὅτι οὐδὲν τῶν ἀνθρωπίνων βέβαιον, οὐδὲ εἰς τὸ παντελὲς παραμένειν τοῖς κτησαμένοις πέφυκεν; Ἀλλὰ καὶ πόλεις μεγάλαι καὶ περιφανεῖς (20) τῇ τε τῶν κατασκευασμάτων λαμπρότητι, καὶ τῇ δυνάμει τῶν ἐνοικούντων, καὶ τῇ λοιπῇ κατά τε τὴν χώραν καὶ τὴν ἀγορὰν εὐθηνίᾳ διαπρέπουσαι, ἐν ἐρειπίοις νῦν μόνοις τῆς παλαιᾶς σεμνότητος τὰ σύμβολα φέρουσι (21). Καὶ πλοῖον, πολλάκις ἐκ θαλάττης διασωθὲν, καὶ μυριάκις μὲν ταχυναυ- D τῆσαν, μυρίον δὲ φόρτον τοῖς ἐμπορευομένοις διακομίσαν, μιᾷ προσβολῇ πνεύματος ἠφανίσθη. Στρατόπεδα δὲ κρατήσαντα μάχαις (22) πολλάκις τῶν ἐναν-

7. Itaque neque intempestivæ mortes, neque aliæ ullæ calamitates inopinatæ, nos unquam consternabunt, si pietatis doctrina imbuamur. Exempli gratia, filius mihi erat adolescens, bonorum meorum hæres unicus, solamen senectutis, generis ornamentum, flos æqualium, familiæ columen, ea erat ætate, quæ longe est gratissima; ille ipse interiit abreptus : terra et pulvis factus est, qui paulo ante jucunda auditu proferens, gratissimum genitoris sui oculis spectaculum erat. Quid igitur faciam? Scindam vestem? lubens volutabor humi, et conquerar, et indignabor, et astantibus exhibebo meipsum velut puerum, qui ob acceptas plagas clamitat ac subsilit? Imo eorum quæ accidunt necessitatem diligenter considerans, mortis scilicet legem vitari non posse, eam per omnes pariter ætates grassari, ac composita omnia suo quæque ordine dissolvi, num casibus his tanquam novis perturbabor? Num de mente dejiciar velut plaga inexspectata perculsus, qui jam pridem didicerim mihi mortali mortalem filium esse, nec quidquam humanum reperiri, quod stabile sit, aut quod a possessoribus suis perpetuo servari soleat? Quin et urbes amplissimæ, eæque tum ædificiorum elegantia, tum civium potestate celebres, itemque reliqua et regionis et fori opulentia conspicuæ,
32 nunc in solis ruderibus dignitatis antiquæ præferunt insignia. Atque navis plerumque e mari servata, post peractam sexcenties celerem navigationem, et post advectas negotiatoribus innumeras merces, uno venti impetu evanuit e conspectu. Exercitus quoque, qui in prœliis sæpe hostes de-

[34] Psal. CXVII, 9.

librariis excidisse. Nec valde admodum dubito, quin ipsa ex suis Bibliis in editione Parisiensi addiderint typographi.

(13) Veteres quinque libri Τί οὖν δακρύεις. Paulo post Reg. secundus βίον στερούμενον.

(14) Antiqui duo libri αὐτὸν ἐξυπνίσει.

(15) Reg. primus καὶ τό, Τίς διενοήθη ταῦτα γενέσθαι· καὶ τό, Πότε. Nec ita multo post. Reg. secundus λέγοντος ἠκούομεν.

(16) Regii duo mss. ἀδοκήτως ἐπιπεσοῦσαι. Aliquanto post duo mss. μόνος τοῦ γένους διάδοχος.

(17) Ita antiqui duo libri. Vox ὢν aberat a vulgatis. Statim editi ποιήσω. At quinque mss. ποιήσομαι. Alii duo ποιήσωμεν.

(18) Unus codex Combef. et Reg. primus ἐκβοῶντα καὶ ἀποσκαίροντα. Statim duo mss. γινομένων προσχών.

(19) Reg. primus πάλαι προπαιδευόμενος, ὅτι, θνητὸς ὢν ἐγώ. Aliquanto infra, ubi in editis corrupte legitur τοῖς κτημένοις, ibi in novem mss. emendate scriptum invenimus τοῖς κτησαμένοις.

(20) Antiqui tres libri μεγάλαι καὶ ἐπιφανεῖς.

(21) Unus codex Colb. σύμβολα φαίνουσι.

(22) Veteres quatuor libri κρατήσαντα μάχῃς. Alii duo et editi μάχαις. Reg. secundus μάχῃ.

vicerant, mutata secunda fortuna, spectaculum miserabile facti sunt et fabula. Ad hæc gentes integræ ac insulæ, potentia non mediocri comparata, erectis terra marique multis tropæis, congestis ex exuviis opibus multis, aut assumptæ sunt tempore, aut in captivitatem redactæ, servitute libertatem mutarunt. Et in summa, quodcunque maximorum et intolerabilium malorum possis in medium proferre, nullius non exempla habet acta jam ætas. Quemadmodum igitur libræ momentis discernimus pondera, et auri discrimen ex coticulæ affrictu exploramus : ita si statutos nobis a Domino fines ac modos repetamus memoria, nusquam prudentiæ ac moderationis terminos excedemus. Ergo si quando tibi aliquid contigerit adversi, maxime cum mentem jam probe instructam habeas, ne turberis : deinde vero, præsentia facias leviora spe futurorum. Ut enim ii, quibus oculi infirmi sunt, obtutus suos a rebus nimis fulgidis deflectunt, eosque florum et herbarum recreant conspectu : ita quoque non debet anima semper sibi res tristes ponere ob oculos, nec jugiter in præsentibus ærumnis defigi, sed bona vera speculari. Ita futurum est, ut continuo gaudio afficiare, si semper vita tua referatur ad Deum, si spes remunerationis ærumnas vitæ leniat ac sublevet. Accepisti contumeliam? sed ad gloriam quæ tibi per patientiam in cœlis servatur, respice. Fecisti damnum? At divitias cœlestes, et thesaurum quem tute tibi per bona opera reposuisti, intentis oculis contuere. Ejectus a patria es? At patriam habes cœlestem Jerusalem. Orbatus es filio? At habes angelos, quibuscum circa Dei thronum tripudiabis, atque lætitia sempiterna fruere Itaque si hoc modo præsentibus ærumnis futura bona opposueris, hanc animi hilaritatem tranquillitatemque ad quam Apostoli præceptum nos hortatur, conciliabis tibimetipsi. Neque vero immodicum gaudium animæ tuæ pariant læti ac fausti rerum humanarum successus : neque ullæ res tristes et adversæ præ tristitia atque contractione eam de læto suo ac sublimi statu deturbent. Nisi enim ea quæ ad vitam spectant, sic prius fueris edoctus, nunquam acturus es placidam ac tranquillam vitam. Sed facile id assequere, si præceptum quo ad semper gaudendum invitaris, familiare habeas atque contubernale. Sic enim, amandatis carnis molestiis, colliges gaudia animi: sic rerum præsentium sensu superior factus ad æternorum bonorum spem mentem tuam intendes, quorum vel sola cognitio potest animam gau-

A τίων, περιτραπείσης αὐτοῖς τῆς εὐημερίας, ἐλεεινὸν θέαμα καὶ διήγημα γέγονεν. Ἔθνη δὲ ὅλα καὶ νῆσοι ἐπὶ μέγα δυνάμεως προελθοῦσαι, καὶ πολλὰ μὲν κατὰ γῆν, πολλὰ δὲ κατὰ θάλασσαν ἐγείρασαι τρόπαια, πολὺν δὲ πλοῦτον ἐκ λαφύρων ἀθροίσασαι, ἢ χρόνῳ καταναλώθησαν (23), ἢ αἰχμάλωτοι γενόμεναι, δουλείαν τῆς ἐλευθερίας ἠλλάξαντο. Καὶ ὅλως, ὅπερ ἂν εἴπῃς τῶν μεγίστων καὶ ἀφορήτων κακῶν, ἤδη προλαβὼν ὁ βίος ἔχει τὰ ὑποδείγματα. Ὥσπερ οὖν τὰ βάρη ταῖς ἐπὶ τοῦ ζυγοῦ ῥοπαῖς διακρίνομεν, καὶ τοῦ χρυσοῦ τὴν διαφορὰν τῇ λίθῳ (24) προστρίβοντες δοκιμάζομεν· οὕτω πρὸς τὰ ἐκτεθέντα ἡμῖν παρὰ τοῦ Κυρίου μέτρα τὴν μνήμην ἐπαναφέροντες, οὐδαμοῦ ἂν τῶν ὅρων τῆς σωφροσύνης ἐκπέσοιμεν. Ἐπειδὰν οὖν σοί ποτε προσπέσῃ τῶν ἀβουλήτων τι, μάλιστα B μὲν τῷ προευτρεπισμένῳ (25) τῆς διανοίας τὴν ταραχὴν μὴ παθεῖν, ἔπειτα δὲ τῇ ἐλπίδι τῶν μελλόντων κουφότερα ποιεῖν τὰ παρόντα. Ὥσπερ γὰρ οἱ ἀσθενεῖς τὰ ὄμματα, τῶν ἄγαν λαμπρῶν τὰς ὄψεις ἀπάγοντες, ἐν ἄνθεσι καὶ πόαις προσαναπαύουσιν· οὕτω χρὴ καὶ τὴν ψυχὴν μὴ συνεχῶς καταβλέπειν τὸ λυπηρὸν, μηδὲ τοῖς παροῦσιν ἀνιαροῖς προσκεῖσθαι, ἀλλὰ πρὸς τὴν θεωρίαν τῶν ὄντως ἀγαθῶν περιάγειν αὐτῆς τὸ ὄμμα. Οὕτω κατορθωθήσεταί σοι τὸ πάντοτε χαίρειν· ἐὰν ὁ μὲν βίος σοι ἀεὶ (26) πρὸς Θεὸν ἀποβλέπῃ, ἡ δὲ ἐλπὶς τῆς ἀντιδόσεως κουφίζῃ τοῦ βίου τὰ λυπηρά. Ἠτιμάσθης; Ἀλλὰ πρὸς τὴν δόξαν, τὴν διὰ τῆς ὑπομονῆς ἐν τοῖς οὐρανοῖς ἀποκειμένην, ἀπόβλεψον. Ἐζημιώθης; Ἀλλ' ἐνατένισον τῷ πλούτῳ C τῷ ἐπουρανίῳ καὶ τῷ θησαυρῷ, ὃν ἀπέθου (27) σεαυτῷ διὰ τῶν ἀγαθῶν ἔργων. Ἐξέπεσες τῆς πατρίδος; Ἀλλ' ἔχεις πατρίδα τὴν ἐπουράνιον Ἱερουσαλήμ. Τέκνον ἀπέβαλες; Ἀλλ' ἀγγέλους ἔχεις, μεθ' ὧν χορεύσεις περὶ τὸν θρόνον τοῦ Θεοῦ, καὶ εὐφρανθήσῃ τὴν αἰώνιον εὐφροσύνην. Οὕτως ἀντιτιθεὶς τοῖς παροῦσιν ἀνιαροῖς τὰ προσδοκώμενα ἀγαθὰ, φυλάξεις σεαυτῷ τὸ ἄλυπον (28) τῆς ψυχῆς καὶ ἀτάραχον, ἐφ' ὃ προκαλεῖται ἡμᾶς ἡ νομοθεσία τοῦ Ἀποστόλου. Μήτε τὰ φαιδρὰ τῶν ἀνθρωπίνων πραγμάτων περιχαρείας ἀμέτρους ἐμποιείτω σου τῇ ψυχῇ, μήτε τὰ λυπηρὰ κατηφείαις καὶ συστολαῖς τὸ γαῦρον αὐτῆς καὶ ὑψηλὸν ταπεινούτω. Μὴ γὰρ οὕτω προπεπαιδευμένος περὶ τῶν κατὰ τὸν βίον, οὐδέ ποτε ἀκύμονα ζωὴν καὶ ἀτάραχον ζήσῃ (29). Τοῦτο δέ σοι ῥᾳδίως D κατορθωθήσεται, ἐὰν ἔχῃς τὴν ἐντολὴν σύνοικον, τὴν πάντοτε χαίρειν σοι παραινοῦσαν· ἀποπεμπόμενος μὲν τὰ ὀχληρὰ τῆς σαρκὸς, συνάγων δὲ τὰς τῆς ψυχῆς εὐφροσύνας· καὶ τῶν μὲν παρόντων τὴν αἴσθησιν ὑπερβαίνων, πρὸς δὲ τὴν ἐλπίδα τῶν αἰωνίων ἀποτείνων τὴν ἔννοιαν, ὧν καὶ μόνη ἡ φαντασία ἐξαρκεῖ τὴν ψυχὴν εὐφροσύνης πληρῶσαι, καὶ τὸ

(23) Antiqui duo libri κατηναλώθησαν. Editi et alii mss. καταναλώθησαν.

(24) Editio Paris. et unus codex Reg. τῷ φίλῳ. Editio Basil. et septem mss. τῇ λίθῳ.

(25) Editi εὐτρεπισμένῳ. At mss. προευτρεπισμένῳ, vel προηυτρεπισμένῳ.

(26) Antiqui sex libri βίος σοι ἀεί. Alius codex βίος σου. Editi βίος ἀεί. Mox Reg. secundus τῆς ἀνταποδόσεως.

(27) Colb. tertius ὃν ἐναπέθου. Statim idem codex cum Rex secundo ἐξέπεσας.

(28) Editi τὸ ἄλυτον, negligentia operarum. At mss. τὸ ἄλυπον.

(29) Reg. secundus ζήσεις. In fine orationis librarii suo quique arbitratu, ut solent, doxologiam scripserunt : sed id adnotare nec libet, nec utile fuerit.

ἀγγελικὸν ἀγαλλίαμα ταῖς καρδίαις ἡμῶν ἐνοικίσαι· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

A dio complere, **33** et lætitiam angelicam in corda nostra introducere; in Christo Jesu Domino nostro, cui gloria et imperium in sæcula. Amen.

ΕΙΣ ΤΗΝ ΜΑΡΤΥΡΑ ΙΟΥΛΙΤΤΑΝ,

καὶ εἰς τὰ λειπόμενα τῆς προλεχθείσης (30) *ὁμιλίας τῆς περὶ εὐχαριστίας.*

1. Ἡ μὲν ὑπόθεσις τῆς ἐκκλησίας ἐστὶ τὸ ἐπὶ τῇ μακαρίᾳ μάρτυρι γενόμενον κήρυγμα. Περιηγγείλαμεν γὰρ ὑμῖν τὴν ἡμέραν ταύτην, ὡς ὑπόμνημα ἔχουσαν τῆς μεγάλης ἀθλήσεως, ἣν ἐν γυναικείῳ σώματι ἀνδρειοτάτην καὶ πᾶσαν ἔκπληξιν ἐμποιοῦσαν τοῖς τότε παροῦσι τῷ θεάματι καὶ τοῖς εἰς ὕστερον ἐκ τῆς τῶν πεπειραμένων διηγήσεως δεχομένοις τὴν ἀκοὴν ἡ B μακαριωτάτη γυναικῶν Ἰουλίττα ἤθλησεν (31), εἴπερ δὴ γυναῖκα προσαγορεύειν εὐπρεπὲς τὴν τῷ μεγαλοφυεῖ τῆς ψυχῆς τῆς γυναικείας φύσεως τὴν ἀσθένειαν ἀποκρύψασαν· ὑφ' ἧς ἡγοῦμαι μάλιστα πεπλῆχθαι τὸν κοινὸν ἡμῶν ἀντίπαλον, οὐ φέροντα τὴν ἀπὸ τῶν γυναικῶν ἧτταν (32). Ὃς, τὰ μεγάλα ἐκεῖνα ὑπερηφανευόμενος, σείειν πᾶσαν τὴν οἰκουμένην, καὶ καταλήψεσθαι ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ὠὰ αἴρειν, καὶ πόλεις ἐρημώσειν, ἐφάνη γυναικείας ἀρετῆς ἡττώμενος. Ἣν ἐπιχειρήσας ἐν καιρῷ πειρασμοῦ διελέγξαι, ὡς οὐ δυναμένην (33) ὑπὸ τῆς κατὰ τὴν φύσιν ἀσθενείας μέχρι παντὸς τὴν εἰς Θεὸν εὐσέβειαν διασώσασθαι, εὗρε διὰ τῆς πείρας ἀνδρειοτέραν τῆς φύσεως, καὶ τοσοῦτον αὐτοῦ τῶν φοβερῶν καταγελάσασαν, ὅσον αὐτὸς προσεδόκα τοῖς δεινοῖς C αὐτὴν (34) ὑποπτήξειν. Δίκης γὰρ αὐτῇ πρός τινα τῶν ἐν τῇ πόλει δυνατῶν συνεστώσης, πλεονεκτικὸν ἄνδρα καὶ βίαιον, ἐξ ἁρπαγῆς καὶ λεηλασίας τὸν πλοῦτον ἑαυτῷ ἀθροίσαντα, ὅς, γῆς τε πλῆθος ἀποτεμόμενος, καὶ ἀγροὺς καὶ κώμας, καὶ βοσκήματα καὶ οἰκέτας, καὶ πᾶσαν τὴν (35) περιοῦσαν τοῦ βίου κατασκευὴν ἐκ τῆς γυναικὸς πρὸς ἑαυτὸν μεταστήσας, κατειλήφει τὰ δικαστήρια, συκοφάνταις καὶ ψευδομάρτυσι, καὶ δωροδοκίᾳ τῶν δικαζόντων ἐπερειδόμενος· ὡς δὲ παρῆν ἡ κυρία, καὶ ὁ κῆρυξ ἐκάλει, καὶ οἱ συνήγοροι εὐτρεπεῖς (36), ἀρχομένην διδάσκειν τοῦ

IN MARTYREM JULITTAM,

et in ea quæ superfuerant dicenda in prius habita concione de gratiarum actione.

1. Causa hujus conventus est beatæ martyris indictum præconium. Ediximus enim vobis illam diem, velut in memoriam revocantem certamen magnum, quod mulierum felicissima Julitta in muliebri corpore sustinuit. Certamen strenuissimum, quod omni admiratione ac stupore percellit, tam eos B qui spectaculo aderant, quam eos qui adhibitorum tormentorum historiam ex auditu in posterum essent accepturi, si decet tamen mulierem appellare eam quæ animi magnitudine muliebris naturæ infirmitatem occultavit: a qua arbitror consternatum maxime fuisse communem nostrum adversarium, partam de se a mulieribus victoriam ægerrime ferentem. Qui tametsi magna illa jactanter ac superbe dicat, concussurum se totam terram, eamque velut nidum apprehensurum, et velut derelicta ova direpturum [88], atque urbes vastaturum, fuit tamen muliebri virtute superatus. Quippe in tentationis tempore cum hoc palam ostendere aggressus esset, quod pietatem in Deum suam ob naturalem infirmitatem ad finem usque servare non C possel, nihilominus tamen periculo facto invenit illam sexu fortiorem fuisse, eoque magis ipsius terricula irrisisse, quo magis sperabat fore, ut eam tormentis perterreret. Etenim cum lis ei esset cum uno aliquo ex civitatis optimatibus, avaro viro ac violento, congerenti divitias sibi ipsi ex rapinis et præda, qui cum, abscissa multa terra, agros mulieris, villas, pecora, servos ac totam reliquam vitæ supellectilem in se transmovisset, tum demum occupavit fora judicialia, calumniatoribus falsisque testibus et muneribus, quæ ad judices corrumpendos obtulerat, suffultus: cum autem sta-

[88] Isa. x, 14.

(30) Reg. secundus τῆς λεχθείσης. Non longe ab initio orationis idem codex habet τῇ ἁγίᾳ μάρτυρι. D
(31) Editio Paris. Ἰουλίττα ἤθλησεν, *certamen quod Julitta certavit*. Editio Basil. et septem mss. Ἰουλίττα, εἴπερ δή, etc. Unus codex Colb. Ἰουλίττα ἐπεδείξατο, *certamen quod Julitta exhibuit*: sed, nisi valde fallor, librarius incaute ἐπεδείξατο, scripsit pro ἐπεδέξατο, *certamen quod Julitta sustinuit*. Jam viderint eruditi, quomodo hoc loco legi præstet. Verbum ἤθλησεν optimum quidem est maximeque idoneum: sed vix dubitari potest, quin typographi Parisienses addiderint illud de suo. Cum enim hic locus mutilus sit in editione Basileensi et in iis quos habebant codicibus, credi merito possunt verbum ἤθλησεν marte proprio posuisse. Quoniam tamen ea vox maxime convenit, eam nos retinendam judicavimus. Sed si quis aliter sentiat, malitque ex libro Colb. legere ἐπεδείξατο, aut ἐπεδέξατο, per nos licebit.
(32) Basilius, cum ita scriberet, respiciebat ad illud Isaiæ x, 14: *Καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν. Et concutiam civitates habitatas, et totum orbem apprehendam manu quasi nidum.* Quæ verba modo de dæmone, modo de Deo accipi notat vir doctissimus Ducæus.
(33) Unus aut alter codex cum editis ὡς οὐ δυναμένην. Vocula ὡς in aliis sex mss. deest.
(34) Editi et tres mss. προσεδόκα τοῖς αὐτοῖς αὐτήν. At Regii primus et secundus cum uno Colb. προσεδόκα τοῖς δεινοῖς αὐτήν. Aliquanto post editi et unus codex δυναστῶν. Alii sex mss. δυνατῶν. Nec ita multo infra editi ὅς γῇ, depravate. Libri veteres ὅς γῆς, emendate.
(35) Editio Paris. πᾶσαν ὁμοῦ τήν. Sed vox ὁμοῦ in nostris octo mss. deest, ob idque eam delevimus. Ibidem unus codex Colb. πᾶσαν τὴν περιουσίαν καὶ κατασκευήν.
(36) Colbertini duo libri et Reg. primus συνήγοροι εὐπρεπεῖς, non ita recte. Aliquanto post veteres quinque libri τῆς ἐξ ἀρχῆς. Alii tres mss. et editi τῆς ἐν ἀρχῇ.

tus dies jam adesset, vocaretque præco, ac patroni essent parati, simul ut incipit hominis tyrannidem detegere, simul ut parat et modum, quo bona hæc initio parta fuerant, et temporis diuturnitatem, qua dominium ipsius stabiliebatur, declarare, posteaque viri violentiam et avaritiam **34** deplorare; prodiens ille in medium, dixit non licere huic litem agere. Neque enim fas esse juris communis participes esse eos, qui imperatorum deos non colerent, nec Christi fidem ejurarent. Videbatur præsidi justa et æqua dicere, rationesque ad rem facientes proferre. Statim igitur thus affertur et focus; idque propositum est litigantibus; negantes quidem Christum, legibus et legum præsidio fruituros, retinentes vero fidem, neque forum, neque leges, neque reliqua civitatis jura participaturos, quippe quibus edicto imperatorum tunc temporis regnantium injuste infamia esset.

2. Quid igitur postea? Num divitiarum capta est illecebris? num per quamdam cum homine injurio contentionem neglexit profutura? num exhorruit periculum a judicibus impendens? Minime gentium: at, Valeat, inquit, vita, pereant pecuniæ, potius ne corpus quidem mihi supersit, quam impia ulla verba in Deum qui me condidit, proferam. Ac quanto magis videbat judicem his sermonibus exasperari, et summa adversum se ira succendi, tanto uberiores Deo gratias agebat, quod cum de caducis opibus litigaret, visa est cœlestium bonorum sibi possessionem astruere, et terra quidem spoliari, ut adipiscatur paradisum, itemque inuri sibi infamiam, ut gloriæ coronis habeatur digna, corpus denique flagris cædi, et temporali vita privari, ut mox cum omnibus sanctis in cœlestis regni gaudiis constituta, beatas spes consequatur. Cæterum cum sæpe interrogata, sæpe vocem eamdem emitteret, testata esse se Christi ancillam, cumque exsecraretur eos qui sibi erant ejurandæ fidei auctores, tum demum judex iniquitatis illam non opibus solum et possessionibus quibus injuste et præter leges spoliata fuerat, privavit; verum etiam eam igni traditam, morte, ut rebatur, multavit. Julitta vero ad nulla vitæ oblectamenta æque festinanter cucurrit, atque accessit ad illam flammam, facie, habitu, verbis et efflorescente hilaritate ingens animi gaudium ostendens. Ac quidem hortatur astantes mulieres, ut ne ad ferendos pro pietate labores remollescerent, neque sexus prætenderent infirmitatem. Sumus, inquiebat, ex ea-

A ἀνθρώπου τὴν τυραννίδα, καὶ διηγεῖσθαι μέλλουσαν τόν τε τρόπον τῆς ἐξ ἀρχῆς κτήσεως, καὶ τοῦ χρόνου τὸ μῆκος τοῦ βεβαιοῦντος τὴν δεσποτείαν, εἶτα τὴν βίαν τοῦ ἀνδρὸς καὶ τὴν πλεονεξίαν ὀδύρεσθαι· παρελθὼν, οὐκ ἔφη εἰσαγώγιμον εἶναι τὴν δίκην (μηδὲ γὰρ εἶναι θεμιτὸν τῶν κοινῶν μετέχειν τοὺς μὴ λατρεύοντας τοῖς θεοῖς τῶν βασιλέων, καὶ μὴ ἐξομνυμένους (37) τὴν εἰς Χριστὸν πίστιν). Ἐδόκει δίκαια λέγειν τῷ ἄρχοντι, καὶ ἀναγκαῖα προτείνεσθαι. Καὶ εὐθὺς λιβανωτὸς, καὶ ἐσχάρα, καὶ πρότασις τοῖς δικαζομένοις· ἀρνουμένοις (38) μὲν τὸν Χριστὸν, ἀπολαύειν τῶν νόμων καὶ τῆς ἀπ' αὐτῶν ὠφελείας· ἀντεχομένοις δὲ τῆς πίστεως, μήτε δικαστηρίων, μήτε νόμων, μήτε τῆς λοιπῆς πολιτείας μετέχειν, ὡς ἠτιμωμένοις κατὰ τὸν νόμον τῶν τότε κρατούντων.

B

2. Τί οὖν ἐπὶ τούτοις; Ἆρα ἐδελεάσθη τῷ πλούτῳ; ἢ τῇ πρὸς τὸν ἀδικοῦντα φιλονεικίᾳ τὸ συμφέρον παρεῖδεν; ἢ τὸν ἐκ τῶν δικαστῶν ἐπηρτημένον κίνδυνον ἐξεπλάγη (39); Οὐμενοῦν· ἀλλ', Ἐῤῥέτω, φησὶν, ὁ βίος, οἰχέσθω χρήματα· μηδὲ τὸ σῶμά μοι περιλειφθείη, πρίν τινα φωνὴν ἀφιέναι (40) ἀσεβῆ κατὰ τοῦ κτίσαντός με Θεοῦ. Καὶ ὅσῳ πλέον ἑώρα τὸν ἄρχοντα τοῖς λόγοις τούτοις ἀγριαινόμενον, καὶ πρὸς τὴν ἐσχάτην κατ' αὐτῆς ὀργὴν ἐκκαιόμενον, τοσούτῳ πλέον (41) εὐχαρίστει τῷ Θεῷ, ὅτι, χρημάτων φθαρτῶν ἀμφισβητοῦσα, ἐφάνη τῶν οὐρανίων ἀγαθῶν (42) ἑαυτῇ βεβαιοῦσα τὴν κτῆσιν· καὶ γῆν μὲν ἀφαιρουμένη, ἵνα παράδεισον κτήσηται, ἀτιμίαν δὲ καταδι-

C καζομένη, ἵνα τῶν στεφάνων (43) τῆς δόξης καταξιωθῇ· σῶμα δὲ καταικιζομένη, καὶ ζωὴν ἀφαιρουμένη τὴν πρόσκαιρον, ἵνα τῶν μακαρίων ἐλπίδων λάβηται, μετὰ πάντων τῶν ἁγίων (44) ἐν τῇ χαρᾷ τῆς βασιλείας εὑρισκομένη. Ὡς δὲ πολλάκις ἐρωτωμένη, πολλάκις τὴν αὐτὴν ἠφίει φωνὴν, δούλην ἑαυτὴν τοῦ Χριστοῦ λέγουσα, καὶ κατηρᾶτο τοῖς πρὸς τὴν ἄρνησιν προκαλουμένοις· τότε δὴ ὁ κριτὴς τῆς ἀδικίας οὐ μόνον τὰ κτήματα, ὧν ἀδίκως καὶ παρὰ τοὺς νόμους ἀφῄρητο, ἀπεστέρησεν, ἀλλὰ καὶ τὴν ζωὴν αὐτὴν προσεζημίωσεν ὡς ἐνόμιζε, πυρὶ παραδοὺς αὐτήν. Ἡ δὲ πρὸς οὐδὲν οὕτω τῶν κατὰ τὸν βίον τερπνῶν ἠπειγμένως ἔδραμεν, ὡς ἐπὶ τὴν

D φλόγα ἦλθεν ἐκείνην, προσώπῳ καὶ σχήματι, καὶ οἷς ἐφθέγγετο, καὶ τῇ ἐπανθούσῃ φαιδρότητι, τῆς ψυχῆς τὸ περιχαρὲς ἐμφαίνουσα· παρακαλοῦσα τὰς παρεστηκυίας τῶν γυναικῶν, μὴ καταμαλακίζεσθαι πρὸς τοὺς ὑπὲρ τῆς εὐσεβείας πόνους,

(37) Editio Paris. καὶ μὴ ἐξομνυμένους. Editio Basil. et novem mss. καὶ ἐξομνυμένους. Combefisiani codices nescio qui καὶ μὴ ἐξαρνουμένους, *nec Christi fidem negarent*. Arbitramur particulam μὴ aut exprimendam esse, aut certe subaudiendam ex præcedentibus, τοὺς μὴ λατρεύοντας.

(38) Editio Paris. ἀρνουμένην.... ἀντεχομένην. Editio Basil. ἀρνουμένης... ἀντεχομένης. At nostri novem mss. ἀρνουμένοις.... ἀντεχομένοις. Secuti sumus, ut par erat, libros antiquos.

(39) Reg. primus ἐνεπλάγη.

(40) Veteres quatuor libri φωνὴν ἀφεῖναι. Statim aliquot mss. ὅσῳ πλέον. Alius codex et editi ὅσῳ πλεῖον.

(41) Editi et duo mss. τοσούτῳ πλείω. Sed alii quatuor τοσούτῳ πλέον.

(42) Reg. secundus ἐφάνη τῶν αἰωνίων ἀγαθῶν.

(43) Sic mss. plurimi. Editi ἵνα κτήσηται τοῦ στεφάνου: in quibus verbum κτήσηται παρέλκειν vel cæco apparet. Culpam esse operarum mihi facile persuadeo: qui cum paulo ante edidissent ἵνα παράδεισον κτήσηται, videntur verbum κτήσηται oscitanter rursus posuisse.

(44) Antiqui tres libri cum utraque editione μετὰ πάντων τῶν ἁγίων, *cum omnibus sanctis*. Alii tres mss. μετὰ ἀγγέλων, *cum angelis*.

μηδὲ τὴν τῆς φύσεως ἀσθένειαν προφασίζεσθαι. Ἐκ A τοῦ αὐτοῦ φυράματος, λέγουσα, τοῖς ἀνδράσιν ἐσμέν. Κατ' εἰκόνα Θεοῦ γεγόναμεν, ὡς καὶ οὗτοι. Ἀρετῆς δεκτικὸν τὸ θῆλυ ὁμοτίμως τῷ ἄῤῥενι παρὰ τοῦ κτίσαντος γέγονε. Καὶ τί γὰρ ἢ συγγενεῖς τοῖς ἀνδράσι διὰ πάντων ἐσμέν; Οὐ γὰρ σὰρξ μόνον ἐλήφθη πρὸς γυναικὸς κατασκευὴν, ἀλλὰ καὶ ὀστοῦν ἐκ τῶν ὀστέων. Ὥστε τὸ στεῤῥὸν, καὶ εὔτονον, καὶ ὑπομονητικὸν, ἐξ ἴσου τοῖς ἀνδράσι καὶ παρ' ἡμῶν ὀφείλεται τῷ Δεσπότῃ. Ταῦτα εἰποῦσα, πρὸς τὴν πυρὰν ἥλατο (45)· ἡ δὲ περισχοῦσα τῆς ἁγίας τὸ σῶμα, ὥσπερ τις θάλαμος φωτεινὸς, τὴν μὲν ψυχὴν ἐπὶ τὴν οὐράνιον χώραν, καὶ τὴν πρέπουσαν αὐτῇ λῆξιν ἀνέπεμψε, τὸ δὲ τίμιον σῶμα ἀκέραιον διεσώσατο τοῖς προσήκουσιν· ὅπερ ἐν τῷ καλλίστῳ προτεμενίσματι τῆς πόλεως κείμενον ἁγιάζει μὲν τὸν τόπον, ἁγιάζει δὲ B τοὺς εἰς αὐτὸν συνιόντας. Γῆ δὲ ἡ κατευλογηθεῖσα τῇ ἐπιδημίᾳ τῆς μακαρίας, ἐκ τῶν οἰκείων λαγόνων ὕδατος φύσιν χαριεστάτην ἀνῆκεν· ὥστε τὴν μάρτυρα ἀντὶ μητρὸς γενομένην οἷόν τινι γάλακτι κοινῷ τιθηνεῖσθαι τοὺς ἐν τῇ πόλει. Τοῦτο καὶ ὑγιαίνουσι φυλακτήριον, καὶ τρυφῶσι σωφρόνως ἡδονῆς χορηγία, καὶ ἀῤῥωστοῦσι παραμυθία· τὴν τοῦ Ἐλισσαίου χάριν εἰς Ἱεριχουντίους, ταύτην εἰς ἡμᾶς παρασχομένης τῆς μάρτυρος, τὸ ἁλμυρὸν τῆς κοινῆς φύσεως τῶν περὶ τὸν τόπον ὑδάτων εἰς γλυκεῖαν καὶ ἁπαλὴν καὶ προσηνῆ πᾶσιν αἴσθησιν διὰ τῆς εὐλογίας μεταβαλούσης. Οἱ ἄνδρες, μὴ καταδέξησθε γυναικῶν ἐλάττους ὀφθῆναι πρὸς τὴν εὐσέβειαν. Αἱ γυναῖκες, μὴ ἀπολειφθῆτε τοῦ ὑποδείγματος· ἀλλ' ἀπροφασίστως C τῆς εὐσεβείας ἀντέχεσθε (46)· ἔργῳ πεῖραν λαβοῦσαι, ὅτι πρὸς οὐδὲν ὑμῖν τῶν ἀγαθῶν τὸ ἐλάττωμα τῆς φύσεως ἐμποδίζει.

3. Πολλὰ περὶ τῆς μάρτυρος εἰπεῖν ὡρμημένον, ὁ χθὲς ἡμῖν κινηθεὶς λόγος, ἀτελὴς καταλειφθεὶς, τὴν ἐπὶ πλεῖον ἐν τούτοις διατριβὴν οὐκ ἐπιτρέπει. Δυσχερὴς δέ τις ἐγὼ φύσει πρὸς πᾶν τὸ ἀτέλεστον. Ἀτερπὲς μὲν γὰρ θέαμα, καὶ εἰκὼν ἐξ ἡμισείας τὴν μίμησιν ἔχουσα, ἄχρηστος δὲ ὁδοιπορίας πόνος, μὴ πρὸς τὸ προκείμενον πέρας, μηδὲ πρὸς τοὺς ὡρισμένους σταθμοὺς ἀποσωθέντος τοῦ ὁδοιπόρου. Καὶ θήρας τὸ παρὰ μικρὸν ἴσον ἐστὶ τοῦ μηδενός· καὶ οἱ τρέχοντες ἐν τοῖς σταδίοις, ἑνὶ πολλάκις βήματι μόνῳ ἐλαττωθέντες, τῶν βραβείων ἐξέπεσον. Καὶ ἡμεῖς τοίνυν ἐπιμνησθέντες τῶν τοῦ Ἀποστόλου D ῥημάτων χθὲς, καὶ ἐν βραχέσιν ἐλπίζοντες παραδραμεῖσθαι αὐτῶν τὴν διάνοιαν (47), εὑρέθημεν πολλαπλάσια τῶν εἰρημένων παραλιπόντες· διόπερ ἀναγκαίαν ἡγούμεθα ὑμῖν (48) τῶν ἐλλειφθέντων τὴν ἔκτισιν. Ἐλέγετο τοίνυν παρὰ τοῦ Ἀποστόλου· *Πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε.* Περὶ μὲν οὖν τοῦ πάντοτε χαίρειν χρῆναι, εἰ καὶ μὴ τῇ ὑποθέσει ἀρκούντως, ἀλλ' ἡμῖν γε ἱκανῶς εἴρηται τῇ προτεραίᾳ· εἰ δὲ καὶ δεῖ (49)

dem ex qua viri ipsi, massa. Ad Dei imaginem perinde atque illi fuimus conditæ. Mulier, peræque ac vir, a conditore facta est virtutis capax. Ecquid enim? nonne sumus viris cognatæ in omnibus? Nec enim assumpta est caro sola ad condendam mulierem, sed et os ex ossibus [86]. Quare constantia, fortitudo, ac patientia a nobis etiam perinde atque a viris Domino debetur. His dictis, prosilivit in rogum, qui tanquam fulgens quidam thalamus mulieris sanctæ corpus circumplexus, transmissa in regionem cœlestem, et in convenientem ei requiem anima, venerandum corpus necessariis ac propinquis integrum et incolume servavit: quod in pulcherrimo unius templi urbis vestibulo tumulatum, tum ipsi loco, tum iis, qui ad hunc locum accedunt, sanctitatem confert. Terra autem, beatæ hujus adventu **35** prospera effecta, aquam gratissimam e sinu suo emisit; adeo ut martyr vice matris velut communi aliquo lacte cives nutriat. Hæc aqua et sanis tutela, et sobrie deliciantibus voluptatis largitio, et ægris solatium est. Quod collocatum est ab Elisæo in Hierichuntinos beneficium [87], hoc idem martyr in nos contulit; cum salsuginem quæ in communi aquarum huic loco adjacentium natura percipitur, in saporem dulcem amœnumque et omnibus suavem benedictione transmutavit. Viri, nolite videri pietate inferiores mulieribus. Mulieres, ne desciveritis ab hoc exemplo: sed citra ullam excusationem pietatem amplectimini, cum reipsa expertæ fueritis sexus infirmitatem vobis impedimento non esse, quin bonum quodlibet patrare possitis.

3. Multa quidem de martyre dicere paraveram: sed sermo heri nobis incœptus, et imperfectus relictus, haud permittit in his diutius immorari. Ego scilicet sic sum natura comparatus, ut quidquid imperfectum est, moleste feram. Etenim injucundum spectaculum est et imago, quæ dimidia ex parte exprimitur, et itineris labor inutilis futurus est, si viator ad propositum finem et ad constitutas stationes non pervenerit. Parum ex venatu capere, idem est ac nihil capere; et qui in stadiis currunt, etiamsi sæpius uno duntaxat gressu posteriores exstiterint, amittunt victoriam. Itaque nos quoque qui heri Apostoli verba protulimus in medium, quique paucis sensum et intelligentiam eorumdem perstricturos nos sperabamus, inventi sumus longe plura quam diximus, omisisse; quapropter necessarium ducimus, ut vobis dependamus relicta, et exsolvamus. Hæc igitur erant Apostoli verba: *Semper gaudete, sine intermissione orate, in omnibus gratias agite* [88]. Et quidem de jugi ac continuo gaudio, etsi non satis dictum est pro argumenti dignitate; at

[86] Genes. II, 5. [87] IV Reg. II, 21. [88] I Thess. v, 16-18.

(45) Editi ἧλλατο. Veteres aliquot libri ἥλατο, recte.
(46) Reg. secundus τῆς σωτηρίας ἀντέχεσθε.
(47) Rursus codex secundus αὐτοῦ τὴν διάνοιαν.
(48) Editi et duo mss. ἡγούμεθα ἡμῖν. Alii sex ὑμῖν. Aliquanto post editi Περὶ μὲν τοῦ. Veteres quinque libri Περὶ μὲν οὖν τοῦ.
(49) Veteres quatuor libri εἰ δὲ καὶ χρή.

ea tamen quæ die hesterna diximus, sufficere credi possunt. Utrum autem et oporteat indesinenter orare, et utrum hoc mandatum confici possit, tum vos exposcere parati estis, tum ego pro virili hujus sententiæ patrocinium suscipiam atque defensionem. Precatio est boni petitio, a piis Deo exhibita. Petitionem autem non omnino in verbis circumscribimus. Neque enim Deum arbitramur monitorum voce prolatorum indigere : imo eum nosse, ne petentibus quidem nobis, quæ conducibilia sint. Quid igitur est quod dicimus? Nimirum precationem in syllabis constitui non oportere : sed vim precum in proposito animi et in iis virtutis operibus quæ ad omnem vitam sese extendant, collocandam esse. *Sive enim*, inquit, *manducatis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite* [59]. Accumbens ad mensam, ora ; assumens panem, habe gratias largitori ; vino corporis debilitatem
36 corroborans, ejus qui hoc tibi munus ad exhilarandum cor et ad levandas infirmitates dedit, memineris. Præteriit cibi sumendi necessitas ? Non prætereat tamen memoria benefici largitoris. Tunicam si indueris, datori gratias age. Pallio cum amiciris, intentius Deum dilige, qui tum hiemi tum æstati accommoda tegumenta nobis largitus est, quibus vita nostra simul servatur, et turpitudo contegitur. Completa dies est ? Gratias rependas ei qui, in operum diurnorum ministerium, solem quidem nobis impertivit, ignem vero tribuit ad noctem illustrandam, et ut reliquis vitæ necessitatibus inserviat. Nox alias causas præbeat orandi. Quando suspexeris in cœlum, et in siderum pulchritudinem intentos oculos habueris, deprecare Dominum visibilium, Deumque universorum opificem optimum, qui omnia in sapientia fecit [60], adora. Omnem animantium naturam cum videris consopitam, rursus adora eum, qui nos vel invitos ab assiduis laboribus relaxat per somnum, viriumque vigorem per parvam requiem redintegrat.

4. Tota igitur nox non sit velut peculiaris quædam ac præcipua somni sors : neque patiare mediam vitæ partem inutilem tibi esse per somni soporem : sed dividatur tibi noctis tempus in somnum et precationem : imo somnus ipse exercitatio sit pietatis. Sæpe enim expressæ in somno species nescio quomodo vestigia quædam ac reliquiæ esse solent diurnarum curarum. Qualia enim exstiterint vitæ nostræ studia, talia necesse est etiam esse insomnia. Sic orabis *Sine ulla intermissione*, si modo non in verbis precationem concludas, sed te ipse Deo conjunxeris per totam vivendi ratio-

A ἀδιαλείπτως προσεύχεσθαι, καὶ δυνατόν ἐστι τὸ παράγγελμα, οἵ τε ἀπαιτοῦντες ὑμεῖς ἕτοιμοι, ἐγώ τε κατὰ δύναμιν τὴν συνηγορίαν τοῦ λόγου (50) πληρώσω. Προσευχή ἐστιν αἴτησις ἀγαθοῦ παρὰ τῶν εὐσεβῶν εἰς Θεὸν γινομένη. Τὴν δὲ αἴτησιν οὐχ ἐν ῥήμασιν ὁριζόμεθα πάντως. Οὐδὲ γὰρ ἡγούμεθα τὸν Θεὸν τῆς διὰ τῶν λόγων ὑπομνήσεως δεῖσθαι, ἀλλ' εἰδέναι, καὶ μὴ αἰτούντων ἡμῶν, τὰ χρήσιμα. Τί οὖν ἐστιν ὅ φαμεν; Ὅτι χρὴ μὴ ἐν συλλαβαῖς ἡμᾶς τὴν προσευχὴν ἀποπληροῦν (51), ἀλλὰ προαιρέσει μᾶλλον ψυχῆς, καὶ πράξεσι ταῖς κατ' ἀρετὴν παντὶ τῷ βίῳ συμπαρεκτεινομέναις, τὴν δύναμιν πληροῦσθαι τῆς προσευχῆς. *Εἴτε γὰρ ἐσθίετε*, φησὶν, *εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε*. Καθεζόμενος ἐπὶ τραπέζης, προσεύχου·
B προσφερόμενος τὸν ἄρτον, τῷ δεδωκότι τὴν χάριν ἀποπλήρου· οἴνῳ τὸ ἀσθενὲς τοῦ σώματος ὑπερείδων, μέμνησο τοῦ παρεχομένου σοι τὸ δῶρον εἰς εὐφροσύνην καρδίας, καὶ παραμυθίαν ἀῤῥωστημάτων. Παρῆλθεν ἡ χρεία τῶν βρωμάτων; Ἡ μέντοι μνήμη τοῦ εὐεργέτου μὴ παρερχέσθω. Τὸν χιτῶνα ἐνδυόμενος, εὐχαρίστει τῷ δεδωκότι· τὸ ἱμάτιον περιβαλλόμενος, αὔξησον τὴν εἰς Θεὸν ἀγάπην, ὃς καὶ χειμῶνι καὶ θέρει ἐπιτήδεια ἡμῖν σκεπάσματα ἐχαρίσατο, τήν τε ζωὴν ἡμῶν συντηροῦντα, καὶ τὸ ἄσχημον (52) περιστέλλοντα. Ἐπληρώθη ἡ ἡμέρα; Εὐχαρίστει τῷ τὸν ἥλιον μὲν εἰς ὑπηρεσίαν τῶν ἡμερινῶν ἔργων χαρισαμένῳ ἡμῖν, πῦρ δὲ παρασχομένῳ τοῦ φωτίζειν τὴν νύκτα, καὶ ταῖς λοιπαῖς χρείαις ταῖς κατὰ τὸν βίον ὑπηρετεῖν. Ἡ νὺξ ἄλλας
C ὑποθέσεις προσευχῆς (53) προξενείτω. Ὅταν ἀναβλέψῃς εἰς τὸν οὐρανὸν, καὶ πρὸς τὰ τῶν ἄστρων ἐνατενίσῃς κάλλη, προσεύχου τῷ Δεσπότῃ τῶν ὁρωμένων, καὶ προσκύνει τὸν ἀριστοτέχνην τῶν ὅλων Θεὸν, ὃς ἐν σοφίᾳ τὰ πάντα ἐποίησεν. Ὅταν ἴδῃς πᾶσαν φύσιν ζώων ὕπνῳ κατεχομένην, πάλιν προσκύνει τὸν καὶ ἀκουσίως ἡμᾶς διὰ τοῦ ὕπνου τῆς συνεχείας τῶν πόνων λύοντα, καὶ ἐκ μικρᾶς ἀναπαύσεως πάλιν πρὸς τὴν ἀκμὴν τῆς δυνάμεως ἐπανάγοντα.

4. Ἡ οὖν νὺξ μὴ ἔστω ὥσπερ τις ἴδιος καὶ ἐξαίρετος κλῆρος τοῦ ὕπνου πᾶσα· μηδὲ καταδέξῃ διὰ τῆς κατὰ τὸν ὕπνον ἀναισθησίας τὸ ἥμισυ τῆς ζωῆς ἀχρειοῦν· ἀλλὰ μεριζέσθω σοι τῆς νυκτὸς ὁ χρόνος εἴς τε ὕπνον καὶ προσευχήν· ἀλλὰ καὶ οἱ ὕπνοι αὐτοὶ
D μελετήματα ἔστωσαν τῆς εὐσεβείας. Πεφύκασι γάρ πως αἱ καθ' ὕπνον φαντασίαι, ὡς τὰ πολλὰ, ἀπηχήματα εἶναι τῶν μεθημερινῶν φροντίδων. Ὁποῖα γὰρ ἂν ᾖ τὰ κατὰ τὸν βίον ἡμῶν ἐπιτηδεύματα, τοιαῦτα ἀνάγκη εἶναι καὶ τὰ ἐνύπνια. Οὕτως *Ἀδιαλείπτως* προσεύξῃ· οὐκ ἐν ῥήμασι πληρῶν τὴν προσευχὴν, ἀλλὰ δι' ὅλης (54) τοῦ βίου τῆς δια-

[59] I Cor. x, 31. [60] Psal. CIII, 24.

(50) Editi et tres mss. συνηγορίαν τοῦ λόγου. Alii quinque συνηγορίαν τοῦ νόμου. Statim duo mss., si non plures, τῶν ἀγαθῶν. Ibidem Reg. secundus παρὰ τῶν εὐσεβούντων.

(51) Veteres quatuor libri προσευχὴν ἐκπληροῦν. In duobus mss. pro προσευχὴν legitur εὐχήν.

(52) Reg. primus ἄσχημον ἡμῶν.

(53) Reg. secundus ὑποθέσεις εὐχῆς. Mox mss. nonnulli τῶν ἀστέρων. Ibidem unus codex et editi ἀτενίσῃς. Alii quinque mss. ἐνατονίσῃς.

(54) Ita veteres sex libri. Editi δι' ὅλου.

γωγῆς συνάψας σεαυτὸν τῷ Θεῷ, ὡς συνεχῆ καὶ A ἀδιάλειπτον εἶναι προσευχὴν τὴν ζωήν σου. Ἀλλὰ καὶ *Ἐν παντί*, φησὶν, *εὐχαριστεῖτε*. Καὶ πῶς δυνατὸν, φασὶ (55), τοῦτο γενέσθαι, ψυχὴν κατώδυνον συμφοραῖς, καὶ οἱονεὶ περικεντουμένην τῇ αἰσθήσει τῶν ἀλγεινῶν, μὴ πρὸς θρήνους ἐκφέρεσθαι, καὶ δάκρυα, ἀλλ' εὐχαριστεῖν ὡς ἐπ' ἀγαθοῖς τοῖς ἀπευκταίοις (56) κατὰ ἀλήθειαν; Ἃ γὰρ ἂν ἐπαράσαιτό μοι ὁ ἐχθρὸς, ταῦτα παθὼν, πῶς ἐπ' αὐτοῖς εὐχαριστεῖν δυνήσομαι; Ἀνήρπασται τὸ παιδίον ἄωρον, καὶ ὠδῖνες, τῶν πρώτων χαλεπώτεραι, ὀδυνωμένην ἐπὶ τῷ ἀγαπητῷ τὴν μητέρα κατατιτρώσκουσι· πῶς, καταλιποῦσα τοὺς θρήνους (57), εὐχαριστίας φωνὰς ἀναλάβῃ; Πῶς; Ἐὰν λογίσηται, ὅτι τῷ παιδὶ τῷ ἐξ αὐτῆς γεννηθέντι οἰκειότερος πατὴρ ὁ Θεὸς, καὶ φρονιμώτερος προστάτης, καὶ οἰκονόμος τοῦ βίου. B Τί οὖν οὐκ ἐπιτρέπομεν τὰ αὐτοῦ κτήματα (58) πρὸς τὸ δοκοῦν διατίθεσθαι τῷ φρονίμῳ Δεσπότῃ, ἀλλ' ὡς οἰκείων στερούμενοι ἀγανακτοῦμεν, καὶ τοῖς ἀποθνήσκουσιν ὡς ἀδικηθεῖσι συμπάσχομεν; Σὺ δὲ ἐκεῖνο λογίζου, ὅτι οὐκ ἀπέθανε τὸ παιδίον, ἀλλ' ἀπεδόθη· οὐδὲ ἀπετελεύτησεν (59) ὁ φίλος, ἀλλ' ἀπεδήμησε, καὶ μικρόν τι προείληφε τῆς ὁδοῦ, ἣν καὶ ἡμᾶς ἀναγκαίως δεήσει πορεύεσθαι. Ἔστω σοι ἐντολὴ τοῦ Θεοῦ σύνοικος, οἷόν τι φῶς καὶ διαύγειαν πρὸς τὴν τῶν πραγμάτων διάκρισιν παρεχομένη ἀδιαλείπτως· ἥτις, πόῤῥωθεν τὴν τῆς ψυχῆς σου ἐπιστασίαν προκατασχοῦσα, καὶ τὰς ἀληθεῖς περὶ ἑκάστου δόξας προευτρεπίζουσα, ὑπ' οὐδενὸς ἐάσει σε τῶν προσπιπτόντων ἀλλοιωθῆναι· ἀλλὰ τῷ προευτρεπισμένῳ τῆς διανοίας (60) ὥσπερ τινὰ σκόπελον θαλάσσης γείτονα, ἀσφαλῶς καὶ ἀσείστως τῶν C τε βιαίων πνευμάτων, καὶ τῶν κυμάτων τὰς ἐπιδρομὰς (61) ὑπομένειν. Διὰ τί γὰρ οὐχὶ θνητὰ φρονεῖν περὶ τοῦ θνητοῦ προειθίσθης, ἀλλ' ἀπροσδόκητον τοῦ παιδὸς τὸν θάνατον προσεδέξω; Ὅτε σοι πρῶτον ἠγγέλθη τοῦ υἱοῦ ἡ γέννησις, εἴ τίς σε ἤρετο, ποταπόν ἐστι τὸ τεχθέν; τί ποτε ἂν ἀπεκρίνω; Ἆρα ἄλλο τι ἂν εἶπες, ἢ ὅτι ἄνθρωπός ἐστι τὸ γεννηθέν; Εἰ δὲ ἄνθρωπος, καὶ θνητὸς δηλονότι. Τί οὖν παράδοξον, εἰ ἀπέθανεν ὁ θνητός; Οὐχ ὁρᾷς ἥλιον ἀνατέλλοντα καὶ δυόμενον; οὐχ ὁρᾷς τὴν σελήνην αὔξουσαν, εἶτα φθίνουσαν; οὐ τὴν γῆν θάλλουσαν, εἶτα ξηραινομένην (62); Τί τῶν περὶ ἡμᾶς ἕστηκε; τί ἀκίνητον ἔχει τὴν φύσιν καὶ ἀμετάπτωτον; Ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ ἴδε τὴν γῆν. Οὐδὲ D ταῦτα διαιωνίζει. Ὁ γὰρ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, φησίν· οἱ ἀστέρες ἐκ τοῦ οὐρανοῦ πε-

nem; adeo ut jugis assiduaque precatio vita tua sit. Sed et *In omnibus*, ait, *gratias agite*. At, inquiunt, quomodo fieri id potest, ut anima quæ ærumnis ac calamitatibus excruciatur, ac dolorum sensu velut compungitur, in gemitus et lacrymas non erumpat: de rebus quæ reipsa detestandæ sunt, perinde atque de bonis peragat gratias? Mala enim quæ inimicus mihi precatus fuerit, si accidant, quomodo pro his potero grates rependere? Est filius immaturus ereptus, et dolores primis puerperii doloribus acerbiores matrem de charissimo filio dolentem discruciant: quomodo, missis ejulatibus, voces gratiarum actioni proprias expromet? Qui fieri id possit? Si cogitaverit Deum genito ex ipsa filio esse germaniorem patrem, veriorem que; eumdemque illius esse tutorem, et vitæ dispensatorem prudentiorem. Cum ergo non sinimus prudentem Dominum bona sua ad arbitrium suum dispensare, sed indignamur tanquam nostris spoliati, ac mortuos velut injuria affectos commiseramur? Illud velim tecum reputes, non mortuum esse puerum, sed redditum: neque amicum fato functum, sed peregre profectum iterque quod et nobis necessario conficiendum erit, aliquanto anteoccupasse. Sit tibi pro contubernali Dei mandatum, lucem quamdam et splendorem indesinenter afferens ad res
37 discernendas: quod si eminus præcurrat animi tui judicium, verisque de quacunque re opinionibus præmuniat, minime sinet te ullis unquam casibus immutatum iri; sed efficiet, ut mente præparata et instructa, securus ac immotus, quasi scopulus quidam mari conterminus, ventorum vehementiam ac fluctuum impetus perferas. Quorsum enim non prius assuevisti de mortali mortale quiddam sentire, sed mortem filii suscepisti præter exspectationem? Ortus filii cum tibi primum nuntiatus est, si quis te interrogasset quale esset quod natum est, quidnam tunc respondisses? Aliudne dixisses, nisi quod homo sit quod natum est? Quod si homo, utique et mortalis. Quid igitur miri si mortuus est mortalis? Annon vides solem orientem et occidentem? non vides crescentem lunam, et decrescentem? non terram virentem, deinde arescentem? Quid eorum quæ nos circumstant stabile est et firmum? cujusnam rei natura immota est et immutabilis? Suspice in cœlum, et ad terram respice: ne hæc quidem æternum permansura sunt. Nam, inquit [61], *Cœlum et terra transibunt: stellæ cadent de cœlo, sol ob-*

[61] Matth. xxiv, 35, 29.

(55) Editi δυνατὸν, φασί. Illud, φασί, in mss. deest.

(56) Veteres quinque libri τοῖς ἀπευκτοῖς. Mox editi ἂν ἐπαράσατο. Unus codex ἐπαράσηται. Alii quinque ἐπαράσαιτο.

(57) Reg. primus τὸν θρῆνον.

(58) Unus codex et editi τὰ αὐτοῦ κτίσματα, *res a se conditas*. Alii quinque mss. τὰ αὐτοῦ κτήματα. Ibidem unus aut alter ms. οὐκ ἐπιτρέπομεν. Subinde unus codex Colb. φρονίμῳ προστάτῃ.

(59) Antiqui sex libri οὐδὲ ἐτελεύτησεν. Editi ἀπετελεύτησεν. Ibidem editi μικρὸν προείληφε. Veteres quinque libri μικρόν τι προεῖλ.

(60) Reg. primus ἀλλὰ προευτρεπισμένον τῇ διανοίᾳ. Alii sex mss. et editi προευτρεπισμένῳ.

(61) Editio Paris. κυμάτων τὰς προσβολάς. Editio Basil. et quinque mss. τὰς ἐπιδρομάς. Unus codex Colb. προβολάς. Eodem recidit sensus. Nec ita multo post duo mss. et editi ἡ γένεσις. Alii mss. ἡ γέννησις.

(62) Veteres quatuor libri θάλλουσαν, εἶτα ξηραινομένην. Alii duo θάλλουσαν καὶ πάλιν ξηραινομένην. Alii duo et editi θάλλουσαν, εἶτα μαραινομένην. Haud dissimili sensu. Mox mss. tres ἀνάβλεψον πρὸς τὸν.

scurabitur, luna non dabit lumen suum. Quid igitur A mirum, si nos quoque, cum pars simus mundi, eorum quæ mundi sunt, participes simus? His consideratis, ubi te etiam adorietur communium rerum pars quæpiam; fer tacitus ac connivens, non sine affectu ullo, aut sensu (quæ est enim indolentiæ merces?): sed cum magno labore, cum multis doloribus. Verumtamen perfer velut strenuus quispiam athleta, qui robur ac fortitudinem non in eo solum ostendit, quod percutiat adversarios, sed quod inflictas etiam sibi ab ipsis plagas constanter toleret: item tanquam aliquis gubernator, qui sapiens sit, et præ magna navigandi peritia impavidus, quique animum rectum, immersabilemque, et quacunque tempestate altiorem servet. Filii charissimi, aut uxoris gratissimæ, aut alterius cujuspiam eorum qui sunt amicissimi, B et omni benevolentia atque necessitudine conjuncti, privatio, haudquaquam futura est molesta et gravis homini provido, et rectam rationem vitæ ducem habenti, non autem ex consuetudine quadam incedenti. Nam acerbissimum est vel ipsis brutis animantibus a consuetudine avelli. Equidem ego ipse vidi aliquando bovem in præsepi illacrymantem, pastus ac jugi socio morte sibi prærepto. Quin etiam videre est reliquas belluas consuetudini valde admodum adhærescere. Tu vero non ita didicisti, neque ita edoctus es. Attamen indecorum non fuerit ex longo congressu diuturna consuetudine initium amicitiæ ducere; sed dolere de disjunctione ob diutinam nostram conversationem, penitus absurdum est. C

A σοῦνται· ὁ ἥλιος σκοτισθήσεται· ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. Τί οὖν θαυμαστὸν, εἰ καὶ ἡμεῖς, μέρος ὄντες τοῦ κόσμου, ἀπολαύομεν τῶν ἐκ τοῦ κόσμου; Πρὸς ταῦτα ἀποβλέπων, ὅταν καὶ ἐπὶ σὲ ἔλθῃ τῶν κοινῶν τὸ μέρος, ἔνεγκε μύσας, οὐκ ἀπαθῶς, οὐδὲ ἀναισθήτως (τίς γὰρ μισθὸς ἀναλγησίας;), ἀλλ' ἐπιπόνως μὲν καὶ σὺν ἀλγηδόσι μυρίαις. Πλὴν ὑπένεγκε, ὥσπερ τις γενναῖος ἀγωνιστὴς (63), τὴν ἰσχὺν καὶ τὴν ἀνδρείαν οὐ μόνον ἐκ τοῦ τύπτειν τοὺς ἀντιπάλους, ἀλλὰ καὶ ἐκ τοῦ φέρειν στεῤῥῶς τὰς παρ' αὐτῶν πληγὰς ἐπιδεικνύμενος· καὶ ὥσπερ τις κυβερνήτης σοφὸς καὶ ἀτάραχος ὑπὸ τῆς ἄγαν περὶ τὸν πλοῦν ἐμπειρίας, ὀρθὴν καὶ ἀβάπτιστον, καὶ παντὸς χειμῶνος ὑψηλοτέραν τὴν ψυχὴν διασώζων. Παιδὸς ἀγαπητοῦ, ἢ γυναικὸς B καταθυμίας (64), ἢ ἄλλου τινὸς τῶν φιλτάτων καὶ κατὰ πᾶσαν εὔνοιαν συνημμένων στέρησις, οὐδὲν δεινὸν τῷ προεσκεμμένῳ, καὶ τὸν ὀρθὸν λόγον ἡγεμόνα τῆς ζωῆς ἔχοντι, ἀλλὰ μὴ κατὰ συνήθειάν τινα πορευομένῳ. Ἔθους γὰρ χωρισμὸς καὶ τοῖς ἀλόγοις ἐστὶ δυσφορώτατος. Καί ποτε εἶδον ἐγὼ βοῦν ἐπὶ φάτνης δακρύοντα, τοῦ συννόμου αὐτῷ καὶ ὁμοζύγου τελευτήσαντος. Καὶ τὰ λοιπὰ τῶν ἀλόγων σφοδρῶς τῆς συνηθείας ἔστιν ἰδεῖν ἀντεχόμενα. Σὺ δὲ οὐχ οὕτως ἔμαθες, οὐδὲ ἐδιδάχθης. Ἀλλ' ἀρχὴν μὲν φιλίας λαμβάνειν ἐκ μακρᾶς ὁμιλίας καὶ χρονίου ἔθους οὐδὲν ἀπεικός· ὀδύρεσθαι δὲ τὸν χωρισμὸν διὰ τὴν ἐπὶ πλεῖστον ἡμῖν γενομένην διατριβὴν παντελῶς ἄλογον.

5. Exempli gratia, obtigit tibi uxor vitæ socia, quæ tibi omnem vitæ voluptatem exhibet, quæque artifex est lætitiæ, et conciliatrix deliciarum, quæ simul bona auget et opes, et afflictatum te maxima molestiarum parte levat; hæc subito rapta interiit. Hac ista afflictione ne exasperer is; cave dicas eorum quæ fiunt fatum quoddam esse **38** temerarium, quasi rector nullus hunc mundum gubernet; neque malum quemdam opificem constituas, excogitans tibi ipse præ immodico mœrore impia dogmata: contra, neque terminos excedas pietatis. Etenim cum duo omnino in carne una fueritis [32], alteri divisionem ac conjunctionis diremptionem moleste ferenti danda est venia multa; sed tamen D non profuerit tibi eam ob causam aut excogitare, aut loqui quidquam ineptum. Nam tecum reputes velim, quod Deus, qui formavit nos et animavit, animæ cuilibet tribuerit propriam quamdam vitæ moram, et aliis alios exitus terminos præfixerit.

5. Οἷον, γυνὴ συνεκληρώθη σοι κατὰ τὴν κοινωνίαν τοῦ βίου, πᾶσαν ἡδονήν σοι κατὰ τὸν βίον παρεχομένη, εὐθυμίας δημιουργὸς, θυμηδιῶν πρόξενος, τὰ χρηστὰ συναύξουσα (65), ἐν ταῖς λύπαις τὸ πλεῖστον μέρος τῶν ἀνιαρῶν ἀφαιρουμένη· αὕτη ἐξαίφνης ἀναρπασθεῖσα οἴχεται. Μὴ ἀγριάνῃς τῷ πάθει· μηδὲ αὐτόματόν τινα εἴπῃς εἶναι συντυχίαν τῶν γινομένων, ὡς μηδενὸς προστάτου τὸν κόσμον οἰκονομοῦντος· μηδὲ κακόν (66) τινα δημιουργὸν ὑπόθῃς, ἐκ τῆς κατὰ τὴν λύπην ἀμετρίας πονηρὰ δόγματα ὑποτιθέμενος σεαυτῷ· ἀλλὰ μηδὲ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας. Ἐπειδὴ γὰρ ὅλως ἐγένεσθε οἱ δύο εἰς σάρκα μίαν, πολλὴ συγγνώμη τῷ τὴν διχοτομίαν D καὶ τὴν τῆς συναφείας διαίρεσιν μετὰ ἀλγημάτων δεχομένῳ· οὐ μὴν τούτου γε ἕνεκεν ἢ διανοεῖσθαί τι τῶν οὐ προσηκόντων (67), ἢ φθέγγεσθαί σοι λυσιτελές. Ἐννόησον γὰρ, ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξ-

[32] Genes. II, 24; Matth. XIX, 5

(63) Antiqui duo libri et editi γενναῖος ἀθλητής. Alii sex mss. γενναῖος ἀγωνιστής.

(64) Veteres duo libri et editi καταθυμίου. Alii quinque καταθυμίας.

(65) Reg. primus πρόξενος· τῶν χρημάτων συναύξουσα, ἐν ταῖς. Nec ita multo post quinque mss. ἀγριάνῃς.

(66) Veteres quatuor libri μηδὲ κακῶν. Editi et mss. nonnulli κακόν. Hic Manichæos perstringit Basilius.

(67) Regii primus et tertius et alius codex Colb. τούτου ἕνεκεν διανοεῖσθαί τι τῶν οὐ προσηκόντων ἀναγκαῖον, *non convenit quidquam indecorum excogitare, neque*, etc. Alii mss. et editi ut in contextu. Aliquanto post tres mss. τὴν τοῦ βίου. Vocula τὴν aberat a vulgatis.

ᾅδου. Τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε· τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο, κατὰ τοὺς ἀῤῥήτους τῆς σοφίας ἑαυτοῦ καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ οὖν οἱ ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τῆς κακοπαθείας ἀπαλλαγήν· οὕτω καὶ αἱ ψυχαὶ, αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ' ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου, σοφῶς καὶ βαθέως, καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου. Οὐκ ἀκούεις λέγοντος τοῦ Δαβὶδ, *Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου* (68); Οὐκ ἤκουσας περὶ τοῦ ἁγίου, ὅτι ἀπελύθη αὐτοῦ ἡ ψυχή; Τί δὲ Συμεὼν, ὅτε ἐνηγκαλίσατο τὸν Κύριον ἡμῶν; ποίαν φωνὴν ἀφῆκεν; Οὐχ ὅτι *Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα;* Τῷ γὰρ ἐπειγομένῳ πρὸς τὴν ἄνω διαγωγὴν βαρυτέρα πάσης κολάσεως καὶ δεσμωτηρίου παντὸς ἡ μετὰ τοῦ σώματός ἐστι διατριβή. Μὴ τοίνυν τῇ ἑαυτοῦ ἀπολαύσει ἐπιζήτει τὰς περὶ τῶν ψυχῶν διατάξεις ἀκολουθεῖν· ἀλλὰ λογίζου περὶ τῶν συναφθέντων κατὰ τὸν βίον, εἶτα θανάτῳ διεσταμένων, ὅτι παραπλήσιοί εἰσιν ὁδοιπόροις μίαν ὁδὸν πορευομένοις, καὶ διὰ τὴν συνεχῆ μετ' ἀλλήλων διατριβὴν ἐνωθεῖσιν ὑπὸ τῆς συνηθείας. Οἳ ἐπειδὰν τὴν κοινὴν ὁδὸν διεξελθόντες (69) καταλάβωσι, λοιπὸν σχιζομένην αὐτὴν, τῆς χρείας ἤδη ἀναγκαίως μεριζούσης ἑκάτερον, οὐ τῇ συνηθείᾳ προσκαθεζόμενοι ἀμελοῦσι τῶν προκειμένων, ἀλλὰ τῆς ἐξ ἀρχῆς κινησάσης αὐτοὺς αἰτίας ὑπομνησθέντες, πρὸς τὸ οἰκεῖον ἕκαστος ἀποτρέχουσι πέρας. Ὡς οὖν ἐκείνοις ἄλλος μὲν ἦν ὁ σκοπὸς τῆς ὁδοῦ, συνέβη δὲ αὐτοῖς ἡ κατὰ τὴν ὁδοιπορίαν ἐκ τῆς συνηθείας οἰκείωσις· οὕτω καὶ τοῖς ἐν γάμῳ ἢ ἄλλῃ τινὶ κοινωνίᾳ βίου συνημμένοις ἴδιον προέκειτο (70) δηλονότι τῆς ζωῆς τὸ πέρας· συναφθέντας δὲ ἀλλήλοις ἀναγκαίως τὸ προδιατεταγμένον τῆς ζωῆς τέλος ἐχώρισε καὶ διέλυσεν.

6. Εὐγνώμονος οὖν διανοίας οὐκ ἐπὶ τῷ χωρισμῷ δυσφόρως ἔχειν, ἀλλ' ἐπὶ τῇ ἐξ ἀρχῆς συναφείᾳ χάριν ἔχειν τῷ συγκληρώσαντι. Σὺ δὲ καὶ ὅτε περιῆν σοι τὸ γύναιον, ἢ ὁ φίλος, ἢ τὸ παιδίον, ἢ ὅ τι οὖν ὧν ὀδύρῃ νῦν, οὐχὶ χάριν εἶχες τῶν παρόντων τῷ δεδωκότι, ἀλλ' ἐνεκάλεις ὑπὲρ τῶν ἐλλειφθέντων. Εἰ μὲν γυναικὶ μόνῃ συνῴκεις, ὅτι μὴ παῖδες ἦσαν οἵους ἐβούλου· εἰ δὲ καὶ παῖδες παρῆσαν, ὅτι μὴ ὑπερεπλούτεις, ἢ καὶ ὅτι τῶν ἐχθρῶν τινας εὐημεροῦντας ἑώρας. Ὅρα τοίνυν μή ποτε αὐτοὶ ἑαυτοῖς ἀναγκαίας τῶν φιλτάτων τὰς στερήσεις κατασκευά-

A Etenim certo quodam consilio voluit alium diutius in carne permanere; statuit vero alium ocius vinculis corporis exsolvi, juxta ineffabiles sapientiæ atque justitiæ suæ rationes. Quemadmodum igitur ex iis qui in carcerem conjiciuntur, alii diutius detinentur in vinculorum cruciatibus, alii ab ea calamitate liberantur citius : sic et animæ, aliæ quidem diutius, aliæ vero minus in hac vita detinentur, pro cujusque merito ac dignitate, Deo, qui nos condidit, rebus cujusque nostrum prospiciente sapienter, et alte, sicque, ut mens hominum attingere non possit. Non audis Davidem dicentem : *Educ de custodia animam meam* [63]? Non audivisti de sancto, animam ipsius exsolutam fuisse et dimissam [64]? Quid vero Simeon, cum Dominum nostrum in ulnas B recepit? quam vocem emisit? nonne hanc, *Nunc dimittis servum tuum, Domine* [65]? Nam in carne immorari, gravius quiddam est quam supplicium omne, et quivis carcer, ei qui ad supernæ vitæ gaudia festinat. Quamobrem ne exquirito, ut latæ de animabus leges tuo se usui accommodent et inserviant; sed qui in hac vita conjuncti sunt, ac deinde morte a se invicem divelluntur, eos viatoribus via una et eadem incedentibus, et propter continuam inter se confabulationem necessitudine atque consuetudine devinctis assimiles esse cogita. Hi post emensum iter commune, ubi sectam viam repererint, necessitate jam cogente alter ab altero separati, non amplius in consuetudine perseverantes negligunt quod sibi proposuerant; sed causam C quæ se initio compulit, in memoriam revocantes, ad suam quisque metam contendunt. Quemadmodum igitur his alius erat viæ scopus, intercessit autem ex consuetudine inter ipsos, cum iter facerent, necessitudo quædam ac familiaritas : sic etiam iis qui nuptiis aut alia quapiam vitæ societate conjuncti sunt, fuit procul dubio præstitutus proprius quidam vitæ terminus; sed tamen ipsos inter se conjunctos prædefinitus vitæ finis necessario separavit ac sejunxit.

6. Itaque grati animi fuerit non ægre ferre separationem : sed ei qui hujusce consortii auctor fuerat, gratiam ob primam conjunctionem habere. Tu contra, ne uxore quidem superstite, aut amico, D aut filio, aut alio quovis de quo nunc **39** doles, grates ullas rependebas bonorum præsentium largitori : imo de absentibus conquerebaris. Et quidem si habitabas cum sola uxore, querebare quod filii, quales desiderasses, tibi non essent; sin autem habebas filios, dolebas quod non afflueres divitiis, aut etiam quod inimicos quosdam secunda fortuna

[63] Psal. CXLI, 8. [64] Tob. III, 6, 15. [65] Luc. II, 29.

(68) Editi ψυχήν μου, τῶν ἀνιαρῶν φησιν. Sed illud, τῶν ἀνιαρῶν φησιν, in nostris novem mss. deest : nec dubium quin abesse debeat. Neminem enim puto ita cæcutire, quin videat illud, τῶν ἀνιαρῶν φησιν, declarationem esse vocis φυλακῆς; sic ut solum monere voluerit librarius, voce φυλακῆς hoc loco quascunque res adversas significari. Hæ autem voces, ut alias sæpe, ex ora libri in contextum irrepserunt.

(69) Unus codex Colb. ὑπεξελθόντες. Mox duo mss. καταλάβωσι δὲ λοιπόν.

(70) Reg. secundus προσέκειτο. Statim unus ms. ζωῆς πέρας ἐχώρισε.

utentes videres. Cave igitur ne forte charissimorum privationem nobis ipsis reddamus necessariam, cum non afficiamur illorum præsentia, sed amissos desideremus. Quoniam enim pro præsentibus bonis a Deo collatis grates non persolvimus; ideo privari nos iis necesse est, ut affectus noster commoveatur. Quemadmodum enim non vident oculi quod plus æquo admotum est, sed congruenti aliquo spatio indigent, ita et ingratæ animæ per bonorum abalienationem videntur de amisso ac præterito beneficio affici. Nam cum fruerentur bonis, nullam tum gratiam habebant largitori, sed ubi sunt iis spoliatæ, idipsum quod evanuit, laudant æstimantque. Porro nemo nostrum immunis est a gratiarum actione ob ullam vitæ hujus ærumnam ac calamitatem, si vult singula animo æquo perpendere. Etenim vita uniuscujusque nostrum habet non pauca quæ possumus recensere, quæque injucunda non sunt, si modo respicere ad inferiora velimus, sicque ex ista cum re deteriori comparatione, quanti pretii hoc nostrum bonum sit expendamus. Servus es? Adest aliquis te dejectior; gratias repende, quod uni præstes, quod non sis addictus pistrino, quod plagas non accipias. Ac ne huic quidem gratiarum agendarum defuturæ sunt causæ. Neque enim tenetur in compedibus, neque ligatus in ligno est. Satis est causæ vincto ad gratias exsolvendas ipsa vita. Videt solem, spiritu aerem ducit, horum gratia rependit gratias. Plecteris immerito? Gaude spe futurorum. Jure condemnatus es? Sic etiam grates age, quod hic dederis scelerum pœnas, non autem sis ob impunita peccata supplicio æterno servatus. Hunc ad modum potest qui gratus est, in omni vita et in omni instituto pro præsentibus bonis amplas benefacienti gratias peragere. Nunc autem, quod morosis hominibus accidit, id contingit plerisque, videlicet ut præsentia fastidiunt, ita absentia concupiscunt. Neque enim eos qui seipsis inferiores sunt enumerantes, largitori benefico pro iis quæ habent gratias persolvunt: imo ejus quod præstantius est comparatione, quantum superentur reputantes, ita mœrent et conqueruntur bonis alienis privati, ac si suis spoliarentur. Servus qui est, permoleste fert liberum se non esse: ægre est ei qui in libertate **40** educatus fuit, quod generis nobilitate non insigniatur, quod non recenseatur inter eos qui natalium splendore conspicui sunt, nec numerare possit retro avos septem, qui eximii fuerint equorum nutritores, aut opes suas in gladiatores insumpserint. Queritatur qui genere clarus est, quod non abundet divitiis; dives afflictatur ac dolet, quod dominatum in oppida et in gentes non

A ζωμεν, παρόντων μὲν οὐκ αἰσθανόμενοι, παρελθόντων δὲ περιεχόμενοι. Ἐπειδὴ γὰρ παρακειμένων τῶν ἐκ Θεοῦ ἀγαθῶν οὐκ εὐχαριστοῦμεν, ἀναγκαία ἡμῖν ἡ ἀφαίρεσις διὰ τὴν αἴσθησιν γίνεται. Ὥσπερ γὰρ οἱ ὀφθαλμοὶ τὸ ἄγαν προσκείμενον (71) οὐχ ὁρῶσιν, ἀλλὰ δέονται συμμέτρου τινὸς ἀποστάσεως· οὕτω καὶ αἱ ἀχάριστοι ψυχαὶ ἐοίκασιν ἐν τῇ ἀλλοτριώσει (72) τῶν ἀγαθῶν τῆς παρελθούσης χάριτος ἐπαισθάνεσθαι. Ὅτε γὰρ ἀπέλαυον τῶν χρηστοτέρων, οὐδεμίαν χάριν τῷ δεδωκότι γινώσκοντες, μετὰ τὴν στέρησιν τὸ παρελθὸν μακαρίζουσιν. Ἀλλ' οὐδεὶς ἡμῶν ἀποκλείεται τοῦ εὐχαριστεῖν ὑπ' οὐδεμιᾶς περιστάσεως βίου, ἐὰν εὐγνωμόνως (73) ἕκαστον ἐπιλογίζεσθαι θέλῃ. Πολλὰς γὰρ ἀναθεωρήσεις καὶ οὐκ ἀτερπεῖς ὁ ἑκάστου ἡμῶν βίος κέκτηται, ἐάνπερ B ἄρα καταδεξώμεθα πρὸς τὸ ὑποβεβηκὸς ἀποβλέπειν, καὶ οὕτως ἐκ τῆς πρὸς τὸ χεῖρον συγκρίσεως τὸ ὑπάρχον ἡμῖν ἀγαθὸν, πόσου τινὸς ἄξιόν ἐστιν, ἐκμετρεῖν. Οἰκέτης εἶ; Ἔχεις τὸν σεαυτοῦ ταπεινότερον· εὐχαρίστει, ὅτι ἑνὸς ὑπερέχεις, ὅτι μὴ ἐν τῷ μυλῶνι καταδεδίκασαι, ὅτι μὴ πληγὰς λαμβάνεις. Οὐκ ἐπιλείψουσιν οὐδὲ τοῦτον αἱ τοῦ εὐχαριστεῖν ἀφορμαί. Οὐ γὰρ ἔχει πέδας, οὐ δέδεται ἐν ξύλῳ. Ὁ δεσμώτης ἔχει τὸ ζῆν ἀρκοῦσαν ἀφορμὴν εἰς εὐχαριστίαν· ἥλιον ὁρᾷ, ἀναπνεῖ τὸν ἀέρα, ἐπὶ τούτοις εὐχαριστεῖ. Ἀδίκως κολάζῃ; Τῇ τῶν μελλόντων ἐλπίδι χαῖρε. Δικαίως κατεδικάσθης; Καὶ οὕτως εὐχαρίστει, ἐνταῦθα τὴν δίκην τῶν τετολμημένων ἀποτιννὺς, ἀλλὰ μὴ ἐπ' ἀκεραίοις τοῖς ἁμαρτήμασι τῇ C αἰωνίᾳ κολάσει ταμιευθείς. Κατὰ δὴ τὸν αὐτὸν λόγον ἐπὶ παντὸς βίου καὶ πάντων ἐπιτηδευμάτων ἔξεστι τῷ εὐγνώμονι μεγάλας τῶν παρόντων ἀποδιδόναι τῷ εὐεργέτῃ τὰς χάριτας (74). Νῦν δὲ τὸ τῶν δυσαρεστουμένων πεπόνθασιν οἱ πολλοί· τὸ μὲν παρὸν ἀτιμάζοντες, τῶν δὲ ἀπόντων ἐπιθυμοῦντες. Οὐ γὰρ τοὺς ὑποδεεστέρους αὐτῶν ἀπαριθμούμενοι, τὴν ὑπὲρ ὧν ἔχουσι χάριν ἀποπληροῦσι τῷ εὐεργέτῃ· ἀλλὰ τῇ πρὸς τὸ ὑπερέχον συγκρίσει, ὅσον ἀπολείπονται λογιζόμενοι, ὡς οἰκείων στερούμενοι τῶν ἑτέροις προσόντων, οὕτως ἀνιῶνται καὶ καταμέμφονται. Ὁ δοῦλος, ὅτι μὴ ἐλεύθερός ἐστι, δυσχεραίνει· ὁ ἐν ἐλευθερίᾳ τραφεὶς, ὅτι μὴ εὐπατρίδης, μηδὲ τῶν περιβλέπτων ἐπ' εὐγενείᾳ, μηδ' ὅτι ἑπτὰ πάππους ἔχει ἀριθμεῖν εἰς τὸ ἄνω, ἱπποτρόφους λαμπροὺς, ἢ μονο- D μάχοις τὸν πλοῦτον ἐξαναλώσαντας (75). Ὁ κατὰ γένος περιφανὴς σχετλιάζει, ὅτι μὴ ἐπὶ πλούτῳ κομᾷ· ὁ πλούσιος λυπεῖται καὶ ὀδύρεται, ὅτι μὴ πόλεων καὶ ἐθνῶν ἐστιν ἄρχων (76)· ὁ στρατηγὸς, ὅτι μὴ βασιλεύει· ὁ βασιλεὺς, ὅτι μὴ πάσης ὁμοῦ τῆς ὑφ' ἡλίῳ κρατεῖ, ἀλλ' ἔστιν ἔθνη τοῖς αὐτοῦ σκήπτροις μὴ ὑποκύπτοντα. Ἐκ πάντων δὲ τούτων συνάγεται τὸ ἐπὶ μηδενὶ τὸν εὐεργέτην εὐχαριστεῖ-

(71) Unus codex Reg. et editi τὸ ἄγαν λαμπρὸν προσκείμενον, *rem valde splendidam plus æquo admotam*. Vox λαμπρόν in aliis septem mss. deest; nec mirum si desit, cum non ita necessaria esse videatur.

(72) Reg. primus et tertius ἐν τῇ ἀπαλλοτριώσει, eadem plane sententia.

(73) Editio Paris. et unus ms. ἐάν τις εὐγνωμόνως. Editio Basil. et septem mss. ἐὰν εὐγνωμόνως.

(74) Antiqui duo libri τῷ εὐεργέτῃ τὰς εὐχαριστίας.

(75) Utraque editio et unus codex Colb. ἱπποτρόφοις λαμπρὸς ἢ μονομάχοις τὸν βίον ἐξαναλώσαντας. Alii octo mss. ut in contextu.

(76) Unus ms. et editi ἐθνῶν ἄρχει. Alii sex ἐθνῶν ἐστιν ἄρχων.

A σθαι. Ἀλλ' ἡμεῖς, ἀφέντες τὰ ἐπὶ τοῖς ἀποῦσι λυπας, διδαχθῶμεν τὴν ἐπὶ τοῖς παροῦσιν εὐχαριστίαν ἀποδιδόναι. Εἴπωμεν ἐν μὲν ταῖς σκυθρωποτέραις περιστάσεσι τῶν πραγμάτων τῷ σοφῷ ἰατρῷ· *Ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν*. Εἴπωμεν· *Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με*. Εἴπωμεν, ὅτι *Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς*. Εἴπωμεν, ὅτι *Ὀλίγα ὧν ἡμάρτομεν μεμαστιγώμεθα*. Παρακαλέσωμεν τὸν Κύριον, ὅτι *Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ. Ἐλεγχόμενοι γὰρ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν*. Ἐν δὲ τῇ φαιδροτέρᾳ τοῦ βίου διαγωγῇ ἐκείνην λέγωμεν τοῦ Δαβὶδ τὴν φωνήν· *Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;* B Ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε· λόγῳ ἐτίμησε· τέχνας ἡμῖν συνεργοὺς τῆς ζωῆς ἐχαρίσατο· τροφὰς ἐκ τῆς γῆς ἀνίησι· βοσκημάτων ἡμῖν ὑπηρεσίαν δέδωκε (77). Δι' ἡμᾶς ὄμβροι· δι' ἡμᾶς ἥλιος· ἡ ὀρεινὴ, ἡ πεδιάσιμος ἡμῶν ἕνεκεν διακεκόσμηται, ἀποφυγὰς ἡμῖν πρὸς τὰς ἐκ τῶν ὀρῶν ἀκρότητας εὐτρεπίζουσα. Δι' ἡμᾶς ποταμοὶ ῥέουσι· δι' ἡμᾶς βρύουσιν αἱ πηγαί· ἡ θάλασσα ἡμῖν ἀνεῖται πρὸς (78) ἐμπορίαν· οἱ ἐκ μετάλλων πλοῦτοι, αἱ πανταχόθεν ἀπολαύσεις, πάσης τῆς κτίσεως δωροφορούσης (79) ἡμῖν, διὰ τὴν πλουσίαν καὶ ἄφθονον εἰς ἡμᾶς χάριν τοῦ εὐεργέτου.

A habet; exercitus dux, quod regnum non occupat; rex autem, quod simul totius qui sub sole est orbis non potiatur, sed supersint gentes quæ suis sceptris non sint subjectæ. Ex quibus omnibus colligitur gratias pro nulla re beneficiorum auctori rependi. Nos autem mœrorem ex iis quæ desunt emergentem amandantes, discamus ob præsentia gratias exsolvere. Dicamus sapienti medico in tristioribus rerum infortuniis : *In tribulatione parva disciplina tua nobis*[66]. Dicamus : *Bonum mihi, quia humiliasti me*[67]. Dicamus : *Non sunt condignæ passiones hujus temporis ad futuram gloriam quæ revelabitur in nobis*[68]. Dicamus : *Pauca præ iis quæ peccavimus accepimus verbera*[69]. Obsecremus Dominum : *Castiga nos, Domine, verumtamen in judicio, et non in furore*[70]. B *Cum enim redarguimur, a Domino corripimur, ut non cum hoc mundo damnemur*[71]. At vero in lætiore vitæ statu emittamus illam Davidis vocem : *Quid retribuam Domino pro omnibus quæ retribuit mihi*[72]? Eo auctore ex nihilo orti sumus, ornavit nos ratione, largitus nobis est artes vitæ tuendæ inservientes, alimenta e terra educit, servitio nostro jumenta addixit et pecora. Propter nos imbres, propter nos sol; adornata est nostri causa regio montosa æquataque, effugia atque recessus parans nobis ad summitates montium vitandas. Propter nos fluunt flumina; propter nos fontes scaturiunt; mare patet nobis ad mercaturam exercendam; effodiuntur ex metallicis fodinis opes; undelibet commoda affluunt et deliciæ, conferente nobis munera creatura omni ob locupletem uberemque benefici Dei in nos gratiam.

C 7. Καὶ τί δεῖ τὰ μικρὰ λέγειν; Δι' ἡμᾶς Θεὸς ἐν ἀνθρώποις· διὰ τὴν καταφθαρεῖσαν σάρκα *Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν*. Μετὰ τῶν ἀχαρίστων ὁ εὐεργέτης· πρὸς τοὺς καθημένους ἐν σκότει ὁ ἥλιος τῆς δικαιοσύνης· ἐπὶ τὸν σταυρὸν ὁ ἀπαθής· ἐπὶ τὸν θάνατον ἡ ζωή· ἐπὶ τὸν ᾅδην τὸ φῶς· ἡ ἀνάστασις διὰ τοὺς πεσόντας· πνεῦμα υἱοθεσίας, χαρισμάτων διανομαὶ (80), στεφάνων ἐπαγγελίαι· τὰ ἄλλα, ὅσα οὐδὲ ἐξαριθμήσασθαι ῥᾴδιον, ἐφ' οἷς πᾶσι πρέπουσά ἐστιν ἡ φωνὴ τοῦ προφήτου· *Τί ἀνταποδῶμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;* Καὶ γὰρ αὖ καὶ τοῦτο οὐκ εἴρηται δεδωκέναι, ἀλλ' ἀντιδεδωκέναι ὁ μεγαλόδωρος, ὡς οὐχὶ κατάρχων χάριτος, ἀλλ' ἀμειβόμενος τοὺς ὑπάρξαντας (81)· τὸ γὰρ τῶν λαμβανόντων εὐχάριστον εἰς εὐεργεσίαν καταλογίζεται. D Ὅς, καὶ χρήματα διδοὺς αἰτεῖ παρὰ σοῦ τὴν ἐλεημοσύνην διὰ τῆς χειρὸς τῶν πενήτων· κἂν λάβῃ τὰ ἑαυτοῦ, ἀκεραίαν σοι (82) τὴν χάριν, ὡς ὑπὲρ οἰκείων, ἀποπληροῖ. *Τί οὖν ἀνταποδῶμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν*

C 7. Sed quid opus est parva recensere? Propter nos versatus Deus est inter homines : propter carnem corruptam *Verbum caro factum est, et habitavit in nobis*[73]. Commoratur cum ingratis beneficus; venit liberator ad captivos; illuxit sol justitiæ[74] sedentibus in tenebris[75], in crucem tollitur qui omnis prorsus doloris expers est, vita morti addicitur. Lux descendit ad inferos; propter eos qui mortui erant, resurrectio, adoptionis spiritus, donorum divisiones, repromissæ coronæ : alia insuper quæ ne numerare quidem facile fuerit, quibus omnibus congruit illa vox prophetæ, *Quid retribuemus Domino pro omnibus quæ retribuit nobis*[76]? Atque etiam magnificus ille non dicitur *tribuisse*, sed *retribuisse*, tanquam si prior non conferret gratiam, D sed iis qui prius contulissent, redderet : nimirum gratiarum actionem, quæ ab accipientibus rependitur, loco habet beneficii. Qui cum dederit opes, tamen eleemosynam a te per pauperum manus reposcit : qui tametsi suum accipit,

[66] Isa. XXVI, 16. [67] Psal. CXVIII, 71. [68] Rom. VIII, 18. [69] Job XV, 11. [70] Jerem. X, 24. [71] I Cor. XI, 32. [72] Psal. CXV, 12. [73] Joan. I, 14. [74] Malach. IV, 2. [75] Isa. IX, 2. [76] Psal. CXV, 12.

(77) Veteres quatuor libri ὑπηρεσίαν ἔδωκε.

(78) Ita mss. sex. Editio Paris. ἀνεῖται τὰ πρός.

(79) Editi et tres mss. κτίσεως δορυφορούσης, *omni creatura nos stipante*, male. Regii primus et tertius cum duobus Colbertinis κτίσεως δωροφορούσης, *omni creatura donis ac muneribus nos cumulante*, recte.

(80) Antiqui duo libri et editi διανομαί. Alii quinque mss. διανομή.

(81) Ubi et in editis et in mss. constanter legitur ὑπάρξαντας, ibi legendum esse ἀπάρξαντας putat Combefisius : qui si suam conjecturam veteris alicujus libri testimonio stabilivisset, nos nullo negotio adduxisset in sententiam suam.

tibi tamen veluti tua danti gratiam integram refert. *Quid* igitur *retribuemus Domino pro omnibus quæ retribuit nobis?* Non enim desero vocem Prophetæ, probe addubitantis, ac inopiam suam circumspicientis, **41** talem videlicet ei ut nihil suppeteret dignum quod retribueretur. Dominus enim post beneficia adeo magna splendidaque, nec tamen omni genere præstantia, nobis in posterum multo majora pollicetur, paradisi delicias, dandam in regno gloriam, honores angelorum honoribus haud impares, denique Dei cognitionem : id quod iis, qui digni habiti sunt, summum bonum est ; id quod omnis natura ratione prædita expetit ; id quod utinam et nos, ubi a carnis affectibus nosmetipsos expurgaverimus, adipiscamur. Quomodo igitur, inquiet aliquis, commiserationem socialem atque charitatem (quod bonorum primum est et perfectissimum, cum plenitudo legis dilectio sit[77]) proximo nostro sumus ostensuri? Quoniam si ad aliquos magnis calamitatibus ac ærumnis oppressos accedamus, nequaquam cum ipsis flebimus, aut collacrymabimus ; imo de iis, quæ acciderint, agemus gratias. Ac quidem suam ipsius afflictionem cum gratiarum actione perferre, patientiæ est atque constantiæ argumentum ; sed pro calamitatibus alienis Deo gratiam habere, insultantis est malis alienis et irritantis afflictos, præsertim cum ab Apostolo jubeamur cum flentibus flere[78]. Quid igitur ad hæc dicemus? Estne rursus necesse vobis in memoriam reducere Domini verba, quibus jussi sumus in aliquibus gaudere, in aliquibus lugere? *Gaudete*, inquit, *et exsultate*, *quoniam merces vestra copiosa est in cœlis*[79]. Et iterum : *Filiæ Jerusalem, nolite flere super me, sed flete super filios vestros*[80]. Itaque præcipit nobis sermo divinus, ut cum justis quidem exsultemus ac lætemur ; lugeamus vero et lamentemur cum iis qui ex pœnitentia effundunt lacrymas : aut etiam eos qui nullo doloris sensu tanguntur, deploremus, quod perire se ne intelligant quidem

A *ἡμῖν*; Οὐ γὰρ ἀφίεμαι τῆς φωνῆς τοῦ Προφήτου, καλῶς ἀποροῦντος, καὶ περισκοποῦντος ἑαυτοῦ τὴν πενίαν, ὅτι οὐδὲν ἔχει πρὸς ἀντίδοσιν ἄξιον. Ὅς ἐφ' οὕτω μεγάλαις καὶ λαμπραῖς εὐεργεσίαις, οὐμενοῦν ἐχούσαις ὑπερβολὴν, πολλαπλασίονα ἡμῖν (83) τὰ εἰς ὕστερον ἐπαγγέλλεται· παραδείσου τρυφὴν, καὶ δόξαν ἐν βασιλείᾳ, καὶ ἰσαγγέλους τιμὰς, καὶ Θεοῦ κατανόησιν· ὅπερ τοῖς ἀξιωθεῖσι τῶν ἀγαθῶν ἐστι τὸ ἀκρότατον· οὗ πᾶσα ἐφίεται λογικὴ φύσις· οὗ καὶ ἡμεῖς ἐπιτύχοιμεν, ἐκ τῶν παθῶν τῆς σαρκὸς ἑαυτοὺς ἐκκαθάραντες. Πῶς οὖν, φησὶ, τὸ κοινωνικὸν καὶ φιλόστοργον (ὃ πρῶτόν ἐστι τῶν ἀγαθῶν καὶ τελειότατον, διότι πλήρωμα νόμου ἡ ἀγάπη)· πρὸς τοὺς πλησίον ἐπιδειξόμεθα; Ἐπειδὰν, πρός τινας ὑπὸ μεγάλων συμφορῶν κατεχομένους εἰσελ- B θόντες, μὴ συγκλαίωμεν αὐτοῖς, μηδὲ συνδακρύωμεν, ἀλλ' εὐχαριστῶμεν ἐπὶ τοῖς γενομένοις. Οἰκεῖον μὲν γὰρ πάθος μετ' εὐχαριστίας ὑπενεγκεῖν ὑπομονῆς ἔχει καὶ καρτερίας ἀπόδειξιν (84)· ἐπ' ἀλλοτρίαις δὲ συμφοραῖς εὐχαριστεῖν τῷ Θεῷ ἐπιχαίροντός ἐστι τοῖς κακοῖς καὶ παροξύνοντος τοὺς λυπουμένους· καὶ ταῦτα τοῦ Ἀποστόλου ἐπιτρέποντος ἡμῖν κλαίειν μετὰ κλαιόντων. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Ἢ πάλιν ἀναγκαίως τῶν τοῦ Κυρίου λόγων ὑπομνήσομεν ὑμᾶς (85), ἐπὶ τίσι χαίρειν προσετάχθημεν, καὶ ἐπὶ τίσι πενθεῖν; *Χαίρετε*, φησὶ, *καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς*· καὶ πάλιν· *Θυγατέρες Ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμὲ, ἀλλὰ κλαύσατε ἐπὶ τὰ τέκνα ὑμῶν*. C Οὐκοῦν δικαίοις μὲν συσκιρτᾷν καὶ συναγάλλεσθαι ὁ θεῖος λόγος (86) ἡμῖν ἐπιτρέπει, τοῖς δὲ ἐκ μετανοίας ἀφιεῖσι δάκρυον συμπενθεῖν καὶ συνοδύρεσθαι, ἢ τοὺς ἀναλγήτως διακειμένους ἀποκλαίεσθαι, ὅτι οὐδὲ ἴσασι πῶς ἀπόλλυνται.

8. Cæterum implevisse mandatum haudquaquam putandus est qui hominum mortem deplorat, et cum lugentibus edit clamorem. Neque enim laudaverim medicum, qui cum opem ægrotantibus ferre deberet, morbis ipse repleretur ; neque nauclerum, qui cum deberet navigantibus præesse, adversus ventos pugnare, fluctus vitare ac timidiores solari, nauscaret ipse, et una cum iis qui rei nauticæ imperiti sunt, animo concideret. Ejusmodi est quisquis adit lugentes, nec tamen ratione sua usus, quidquam eis impertit emolumenti ; sed potius ex alienis affectibus dedecus contrahit. Par igitur fuerit de alienis calamitatibus ac ærumnis afflictari. Nam hoc pacto afflictorum conciliaturus tibi es fa-

8. Οὐχὶ δὲ ἐπὶ θανάτῳ ἀνθρώπων κατακλαύσαντα, καὶ (87) συνεκβοήσαντα τοῖς πενθοῦσι, πληρωτὴν προσήκει νομίζειν εἶναι τῆς ἐντολῆς. Οὔτε γὰρ ἰατρὸν ἐπαινῶ, τὸν ἀντὶ τοῦ βοηθεῖν τοῖς κάμνουσιν, αὐτὸν τῶν νοσημάτων ἀναπιμπλάμενον· οὔτε κυβερνήτην, ἀντὶ τοῦ κρατεῖν τῶν ἐμπλεόντων, καὶ τοῖς πνεύμασι μάχεσθαι, καὶ διαφεύγειν τὰ κύματα, καὶ D παραμυθεῖσθαι τοὺς δειλοτέρους, ναυτιῶντα καὶ συναλύοντα τοῖς ἀπειροθαλάττοις. Τοιοῦτος γάρ ἐστιν ὁ πρὸς τοὺς πενθοῦντας εἰσιὼν, καὶ μὴ τῆς ἐκ τοῦ οἰκείου λόγου ὠφελείας μεταδιδοὺς, ἀλλὰ τῆς ἐκ τῶν ἀλλοτρίων παθῶν ἀσχημοσύνης μεταλαμβάνων. Ἐπιστυγνάζειν μὲν οὖν ταῖς συμφοραῖς τῶν πενθούντων (88), ἀκόλουθον. Οὕτω γὰρ ἑαυτὸν οἰκειώσῃ τοῖς

[77] Rom. XIII, 10. [78] Rom. XII, 15. [79] Matth. V, 12. [80] Luc. XXIII, 28.

(82) Codices aliquot ἀκέραιόν σοι

(83) Editio Paris. πολλαπλασίονά σε. Unus ms. πολλαπλασίονα δέ. Alius πολλαπλασίονά τε. Alii quatuor nulla re interjecta πολλαπλασίονα ἡμῖν. Haud longe tres mss. τρυφάς.

(84) Reg. secundus καρτερίας ἀνάδειξιν.

(85) Veteres quidam libri et editi ὑπομνήσομεν ἑαυτούς. Alii tres mss. ὑπομνήσομεν ὑμᾶς. Pro ὑπομνήσομεν in aliquibus mss. legitur ὑπομνήσωμεν.

(86) Antiqui tres libri θεῖος νόμος, *lex divina*.

(87) Voculam *καί* ex antiquis tribus libris addidimus.

(88) Reg. tertius et alii duo mss. Colbertini συμφοραῖς τῶν πεπονθότων. Mox quatuor mss. οἰκειώσῃ. Alii tres οἰκειώσει. Editi οἰκειώσεις.

πάσχουσι, μὴ καθιλαρευόμενος τῶν συμφορῶν, μηδὲ ἐναδιαφορῶν τοῖς ἀλλοτρίοις ἀλγήμασιν. Οὐ μὴν περαιτέρω γε συνεκφέρεσθαι τοῖς λυπουμένοις προσῆκεν, ὥστε ἢ συνεκβοᾷν, ἢ συνθρηνεῖν τῷ πεπονθότι, ἢ ἐν τοῖς ἄλλοις μιμεῖσθαι καὶ ζηλοῦν τὸν ἐσκοτωμένον ὑπὸ τοῦ πάθους· οἷον συγκαθειργνύναι ἑαυτὸν, καὶ συμμελανειμονεῖν, καὶ χαμαὶ συγκαθῆσθαι, καὶ κουρᾶς ἀμελεῖν. Ἐκ τούτων γάρ ἐστι μᾶλλον ἐπιτείνειν τὴν συμφορὰν, ἢ καταπραΰνειν. Οὐχ ὁρᾷς, ὅτι βουβῶνες μὲν καὶ σπλῆνες, οἱ μὲν τραύμασιν, οἱ δὲ πυρετοῖς ἐπιτιθέμενοι, τὰς ὀδύνας συνεπιτείνουσι; χεῖρες δὲ τὸ ἀλγοῦν τῇ πραείᾳ ἑαυτῶν ἐπαφῇ καταστέλλουσι; Καὶ αὐτὸς δὴ οὖν μὴ ἐξαγριάνῃς τὸ πάθος τῇ παρουσίᾳ, μηδὲ συγκαταπέσῃς τῷ πεπτωκότι. Ὁ γὰρ τὸν κείμενον ἀνιστῶν (89) ὑψηλότερος εἶναι τοῦ πεπτωκότος πάντως ὀφείλει· ὁ δὲ ἐξ ἴσου καταπεσὼν ἑτέρου καὶ αὐτὸς τοῦ ἀναστήσοντος ἐπιδεῖται. Ἀλλὰ δάκνεσθαι μὲν ὑπὸ τῶν γινομένων, καὶ ἡσυχῇ τοῖς λυπηροῖς ἐπιστυγνάζειν προσῆκεν, ἐν συννοίᾳ προσώπου, καὶ σεμνότητι βάρος ἐχούσῃ, τὸ τῆς ψυχῆς πάθος διασημαίνοντα· φθεγγόμενον δὲ, οὐκ εὐθὺς ἐπιπηδᾷν ταῖς ἐπιτιμήσεσι προσῆκεν, ὥσπερ ἐναλλόμενον καὶ ἐπεμβαίνοντα τοῖς κειμένοις (φορτικὸν γὰρ τοῖς ὑπὸ λύπης τὴν ψυχὴν κεκακωμένοις αἱ ἐπιτιμήσεις (90)· καὶ ἅμα δυσπαράδεκτοί εἰσι τοῖς κάμνουσι, καὶ πρὸς παρηγορίαν ἀπίθανοι τῶν ἀπαθῶς παντάπασι διακειμένων οἱ λόγοι)· ἀλλὰ συγχωρήσαντα κενὰ καὶ ἄπρακτα ἐκβοῆσαι (91) καὶ ὀλοφύρεσθαι, ἤδη τοῦ κακοῦ ὑπανέντος τι καὶ χαλάσαντος, τότε ἐμμελῶς καὶ πράως τῆς παρακλήσεως ἅπτεσθαι. Ἐπεὶ καὶ οἱ πωλοδάμναι τοὺς δυσηνίους τῶν πώλων οὐκ εὐθὺς κατάγχουσι τοῖς χαλινοῖς, οὐδὲ ἀνακρούουσιν (ἀναχαιτίζειν γὰρ οὕτω καὶ ἀποσείεσθαι τοὺς ἐπιβάτας διδάσκουσιν)· ἀλλὰ συνενδιδόντες τὴν πρώτην, καὶ συνεξορμῶντες αὐτοῖς, ἐπειδὰν ἴδωσιν ὑπὸ τῆς (92) οἰκείας ὁρμῆς καὶ βίας τὸν θυμὸν ἀναλώσαντας, τότε παραλαβόντες δεδαμασμένους, εὐπειθεστέρους ἤδη ποιοῦσι διὰ τῆς τέχνης. Οὕτως ἔσται κατὰ τὸν τοῦ Σολομῶντος λόγον· *Ἀγαθὸν εἰσελθεῖν εἰς οἶκον πένθους μᾶλλον ἢ εἰς οἶκον πότου*· εἰ μέλλοι τις, ἐπιστημόνως καὶ (93) πράως τῷ λόγῳ χρώμενος, μεταδιδόναι τῆς οἰκείας ὑγιείας τῷ κάμνοντι, ἀλλ' οὐχὶ τῆς ἀλλοτρίας λύπης, ὡς ὀφθαλμίας, μεταλαμβάνειν.

9. Κλαίειν οὖν μετὰ κλαιόντων. Ὅταν ἴδῃς ἐπὶ μετανοίᾳ τῶν ἡμαρτημένων τὸν ἀδελφὸν ὀδυρόμενον, σύγκλαυσον τῷ τοιούτῳ (94), καὶ συμπάθει. Οὕτω γάρ σοι ὑπάρξει ἐν ἀλλοτρίοις πάθεσι τὸ οἰκεῖον ἐπανορθοῦσθαι. Ὁ γὰρ ὑπὲρ τῆς τοῦ πλησίον ἁμαρτίας θερμὸν ἀποστάξας δάκρυον ἑαυτὸν ἐξιάσατο, δι' ὧν

A miliaritatem atque benevolentiam, neque hilarem te ostendens ob eorum adversitates, neque alienam afflictionem indifferenter perferens. Minime tamen convenit dolentium miseriis plus æquo commoveri, sic ut aut conclames, aut lugeas cum afflictato, aut aliis in rebus hominem a tristitia obcæcatum imiteris æmulerisque : exempli causa, si una cum ipso te ipse includas, et induaris atra veste, si pariter jaceas humi, comamque negligas. Ex iis enim magis crescit quam elevatur calamitas. Annon vides augeri dolorem, si aut bubones vulneribus, aut
42 splenes febribus accedant? nonne potius mitigant manus dolorem leni suo contactu? Et tu igitur ne tua præsentia exasperes afflictionem, neque cum lapso collabare. Nam jacentem qui erigit, al-
B tior omnino lapso esse debet; qui vero pariter cecidit, altero qui erigat etiam ipse opus habet. Attamen abs re non fuerit iis quæ accidunt angi, et tacite de adversis afflictari, ita ut ex vultu, qui cogitatione defixus sit, exque modestia quæ gravitatem adjunctam habeat, animi affectum significes : ubi autem ad colloquium ventum est, non statim ad objurgationes devenire decet, velut jacentibus insultantem ac illudentem. Nam objurgationes iis quorum animus præ tristitia cruciatur, molestæ sunt et graves; simulque sermones eorum qui nullo prorsus doloris sensu afficiuntur, ægre audiuntur a mœrentibus, et ad eos consolandos vim non habent persuadendi. Sed si eos siveris vanos inefficacesque clamores et ejulatus edere, malo jam
C paululum sedato ac remisso, tum demum nihil impedit quominus eos possis scite ac leniter solari. Nam et equorum domitores non statim effrenatos pullos frenis cohibent, aut reprimunt (sic enim retrocedere, et equites excutere edocentur), sed initio ipsis cedentes, ac eorum impetum secuti, ubi eorum ardorem suo ipsorum impetu atque vehementia fractum et exhaustum animadverterint, tunc subactos apprehendentes, illos jam per artem reddunt tractabiliores. Sic erit, juxta Salomonis sententiam : *Melius est ingredi in domum luctus, quam in domum convivii* [81], si quis, perite leniterque sermone usus, suam ipsius sanitatem ægroto velit impertiri, non alienam tristitiam velut lippitudi-
D nem contrahere.

9. Oportet igitur flere cum flentibus. Ubi videris fratrem lugentem ob peccatorum pœnitentiam, lacrymare cum viro ejusmodi, ac illius commiseresce. Ita enim tibi licebit ex malis alienis tuum corrigere. Nam qui fervidas lacrymas pro peccato proximi effundit, dum fratrem deflet, medetur sibimetipsi.

[81] Eccle. VII, 3.

(89) Codices tres κείμενον ἀνιστάς.
(90) Antiqui duo libri et editi αἱ ἐπιτιμήσεις. Alii quinque ἡ ἐπιτίμησις.
(91) Codices duo ἄπρακτα ἐμβοῆσαι.
(92) Unus ms. et editi ἐκ τῆς. Alii quinque ὑπὸ τῆς. Mox Reg. primus θυμὸν ἀναλύσαντας, sensu non dissimili.
(93) Antiqui tres mss. ἐπιστημόνως καί. Alii duo et editi ἐπιστημονικῶς ἤ.
(94) Unus ms. et editi σύγκλαυσον τούτῳ. Alii multi σύγκλαυσον τοιούτῳ. Ibidem mss. non pauci καὶ συμπάθει. Alius codex et editi καὶ σύμπαθε. Alius σύγκλαυσον τῷ τοιούτῳ καὶ συμπένθει

Talis erat qui dicebat : *Defectio animi tenuit me pro peccatoribus derelinquentibus legem tuam* [82]. Luge peccati causa. Animæ ægritudo est peccatum; mors est animæ immortalis ; peccatum luctu atque irrequietis lamentis dignum est. Ob hoc fluant lacrymæ omnes, nec cessent duci ex pectore imo suspiria. Paulus deflebat inimicos crucis Christi [83]. Jeremias deflebat qui ex populo peribant ; idemque cum sibi naturales lacrymæ non satis essent, lacrymarum fontem inquirebat et extremam mansionem. *Et sedebo*, inquit, *et plorabo populum hunc diebus multis, eos qui pereunt* [84]. Scriptura inter beatitudines lacrymas et luctum ejusmodi reponit [85], non propensionem ad tristitiam omnem, non proclivitatem ad fletum, qui omni occasione cieatur. Non ita dudum vidi quosdam voluptarios, qui immodico voluptatis amore pellecti, per speciem expellendæ **43** tristitiæ ad crapulam sese converterent, et ad ebrietatem ; suamque conarentur excusare intemperantiam verbis Salomonis, qui ait : *Date vinum iis qui in tristitia sunt* [86]. Est autem hæc sententia in Proverbio, nec tamen ebrietatem licitam reddit, sed humanæ vitæ consulit. Etenim ut reconditum hujus sententiæ sensum omittam, quo vinum lætitia rationalis dicitur ; ne obvius quidem sensus parum habet providentiæ ac curæ, ne videlicet ii qui ægre consolationem admittunt, et gravi luctu obruuntur, cibos negligant et alimenta, ploratu vehementiore absorpti : sed partim pane cor luctuosi hominis firmetur, partim vino collapsæ vires suffulciantur. Cæterum vinosi homines ac ebrii mœrorem haud demulcentes, sed mutantes mala malis, ac pravam quamdam pactionem facientes, corporis morbos morbis animi mutant, eosque qui trutina momenta exæquant, imitantes, tantum detrahunt tristitiæ, quantum addunt voluptati. Existimo quidem juvandam esse vino naturam : sed minime permittendum est meri tantam copiam infundi, ut rationi caliginem offundat. Neque enim simul cum vino effluet tristitia, sed ebrietatis malum animo accedet. Quod si ratio medicus est tristitiæ, fuerit plane ebrietas malorum maximum, cum medelam impediat animi. Sed jam singula quæ dicta sunt, animo repete ; ita comperies et confici posse et utile esse apostolicum mandatum. Intelliges, quomodo possis gaudere semper, si rationem rectam sequaris ; quomodo indesinenter orare, quomodo gratias agere in omnibus, quomodo denique valeas afflictos consolari,

A τὸν ἀδελφὸν ἀπωδύρατο. Τοιοῦτος ἦν ὁ λέγων· *Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.* Ὑπὲρ ἁμαρτίας κλαῖε. Αὕτη ἀῤῥωστία ψυχῆς· αὕτη θάνατός ἐστι τῆς ἀθανάτου· αὕτη πένθους ἀξία καὶ ὀδυρμῶν ἀσιγήτων. Ἐπὶ ταύτῃ πᾶν δάκρυον ῥέοι, καὶ μὴ διαλείποι στεναγμὸς ἐκ βάθους καρδίας (95) ἀναπεμπόμενος. Ἔκλαιε Παῦλος τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ. Ἱερεμίας ἔκλαιεν ἐπὶ τοῖς ἀπολλυμένοις τοῦ λαοῦ· ὅς γε (96), ἐπειδὴ οὐκ ἤρκει τὸ ἐκ φύσεως δάκρυον, πηγὴν ἐπεζήτει δακρύων καὶ σταθμὸν ἔσχατον. *Καὶ καθήσομαι*, φησὶ, *καὶ κλαύσομαι τὸν λαὸν τοῦτον ἡμέρας πολλὰς, τοὺς ἀπολλυμένους.* Τὸ τοιοῦτον δάκρυον καὶ τὸ τοιοῦτον πένθος ὁ λόγος μακαρίζει· οὐ τὸ πρὸς πᾶσαν λύπην εὐάγωγον, καὶ B ἐκ πάσης προφάσεως εὐκατάφορον πρὸς τοὺς θρήνους. Ἤδη δέ τινας εἶδον τῶν φιληδόνων δι' ὑπερβολὴν ἡδυπαθείας ἐπὶ προφάσει τῆς λύπης πρὸς κραιπάλην καὶ μέθην ἐκτρεπομένους, καὶ τὸ ἀκρατὲς αὐτῶν ἐκ τῶν τοῦ Σολομῶντος λόγων παραμυθεῖσθαι πειρωμένους, λέγοντος· *Δότε οἶνον τοῖς ἐν λύπαις.* Ἔστι δὲ ὁ παροιμιακὸς λόγος οὐχὶ μέθης ἄδειαν παρεχόμενος, ἀλλὰ συνέχων τὴν ἀνθρωπίνην ζωήν. Ἵνα γὰρ τὸ αἰνιγματῶδες αὐτοῦ παραλείπω (97), οἶνον λέγοντος τὴν λογικὴν εὐφροσύνην, οὐδὲ ὁ πρόχειρος νοῦς μικρὰν ἔχει τὴν ἐπιμέλειαν, ἵνα μὴ τῷ σφοδρῷ τοῦ πένθους καταποθέντες, τῶν τροφῶν ἀμελῶσιν οἱ δυσπαρηγόρητοι καὶ βαρυπενθεῖς· ἀλλ' ἄρτῳ μὲν στηρίζηται ἡ καρδία τοῦ φιλολύπου, οἴνῳ δὲ τὸ συμπεπτωκὸς τῆς δυνάμεως ὑπερείδηται (98). C Οἱ δὲ φίλοινοι καὶ οἰνόφλυγες, οὐ τὴν λύπην καταπραΰνοντες, ἀλλὰ κακὰ κακῶν διαμειβόμενοι, καὶ πονηροί τινες γινόμενοι συναλλάκται, νοσήματα, ψυχῶν διαμείβουσι νοσημάτων· οἳ τοὺς ἐπὶ τῆς τρυτάνης τὰς ῥοπὰς ἐπανισοῦντας μιμούμενοι, τοσοῦτον ὑφαιροῦσι (99) τῆς λύπης, ὅσον αὔξουσι τὸ φιλήδονον. Ἀλλ' οἶμαι χρῆναι βοήθειαν τῇ φύσει παρέχειν τὸν οἶνον· καὶ μὴ τοσοῦτον ἐπιτρέπειν ἐγχεῖσθαι τὸν ἄκρατον, ὥστε σκότωσιν τοῖς λογισμοῖς ἐμποιεῖν. Οὔτε γὰρ συνεκχυθήσεται τῷ οἴνῳ τὸ λυπηρόν· καὶ τὸ τῆς μέθης κακὸν τῇ ψυχῇ προσγενήσεται. Εἰ δὲ λύπης ἰατρός ἐστιν ὁ λογισμὸς, ἔσχατον ἂν εἴη τῶν κακῶν ἡ μέθη, τῇ ἰατρείᾳ τῆς ψυχῆς ἐμποδίζουσα. Ἀλλ' ἀνάλαβε τῷ λόγῳ τῶν εἰρημένων ἕκαστον, καὶ εὑρήσεις τό τε δυνατὸν τῆς ἀποστολι- D κῆς νομοθεσίας καὶ τὸ ὠφέλιμον· πῶς μὲν πάντοτε χαρήσῃ τῷ ὀρθῷ λόγῳ ἑπόμενος· πῶς δὲ προσεύξῃ ἀδιαλείπτως, πῶς δὲ ἐν παντὶ εὐχαριστήσεις· τίνι δὲ τρόπῳ παρακαλέσεις τοὺς λυπουμένους (1), ἵνα ἐκ

[82] Psal. CXVIII, 53. [83] Philipp. III, 18. [84] Jerem. IX, 1. [85] Matth V, 5. [86] Prov. XXXI, 6.

(95) Unus ms. et editi ἐκ βάθους καρδίας, *ab imo pectore*. Alii quinque ἐκ μέσης καρδίας, *ex medio corde*. Utra scriptura vera sit, nescio : sed utramque recipi posse, nemo, opinor, diffitebitur.

(96) Veteres duo libri et editi λαοῦ, ὅς γε. Alii tres λαοῦ ᾧ γε. Statim duo mss. πηγὴν ἐζήτει.

(97) Editi παραλίπω. At mss. sex παραλείπω. Mox unus codex Colbert. et editi τὴν νοητὴν εὐφροσύνην. Alii sex mss. τὴν λογικὴν εὐφρ. Idem est sensus.

(98) Veteres aliquot libri et editi στηρίζεται.... ὑπερείδεται. Alii quatuor mss. στηρίζηται.... ὑπερείδηται.

(99) Reg. primus τοσοῦτον ἀφαιροῦσιν.

(1) Unus mss. et editi παρακαλέσεις τοὺς θλιβομένους. Alii septem παρακαλέσεις τοὺς λυπουμένους. Una quidem lectio altera melior non est ; quia tamen libri veteres ultimæ favent, eam secuti sumus.

πάντων ἄρτιος ᾖς καὶ κατηρτισμένος, τῇ βοηθείᾳ τοῦ ἁγίου Πνεύματος, καὶ τῇ ἐπισκηνώσει τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A ut omni ex parte integer sis et perfectus Spiritus sancti ope, atque inhabitante gratia Domini nostri Jesu Christi: cui gloria et imperium in sæcula sæculorum. Amen.

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ

Εὐαγγελίου (2)· « *Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω·* » *καὶ περὶ πλεονεξίας.*

1. Διπλοῦν τὸ εἶδος τῶν πειρασμῶν. Ἢ γὰρ αἱ θλίψεις βασανίζουσι τὰς καρδίας, ὥσπερ χρυσὸν ἐν καμίνῳ, διὰ τῆς ὑπομονῆς τὸ δόκιμον αὐτῶν ἀπελέγχουσαι· ἢ καὶ πολλάκις αὐταὶ αἱ εὐθηνίαι τοῦ βίου ἀντὶ πειρατηρίου γίνονται τοῖς πολλοῖς. Ὁμοίως γάρ ἐστι χαλεπὸν ἔν τε δυσκολίαις (3) πραγμάτων ἀταπείνωτον τὴν ψυχὴν διασώσασθαι, καὶ ἐν ταῖς περιφανείαις μὴ (4) ἐπαρθῆναι πρὸς ὕβριν. Παράδειγμα δὲ τοῦ μὲν προτέρου εἴδους τῶν πειρασμῶν ὁ μέγας Ἰὼβ, ὁ ἀκαταγώνιστος ἀθλητής· ὃς, πᾶσαν τοῦ διαβόλου τὴν βίαν, ὥσπερ χειμάῤῥου φορὰν, ἀσείστῳ καρδίᾳ καὶ λογισμοῖς ἀτρέπτοις ὑποδεξάμενος, τοσούτῳ μείζων τῶν (5) πειρασμῶν ἀνεφάνη, ὅσῳ μεγάλα αὐτῷ καὶ δυσέκλυτα ἐδόκει παρὰ τοῦ ἐχθροῦ προβεβλῆσθαι τὰ παλαίσματα. Τῶν δὲ κατὰ τὴν εὐημερίαν τοῦ βίου πειρασμῶν ὑποδείγματα ἄλλα τε τινὰ, καὶ οὗτος ὁ νῦν ἡμῖν ἀναγνωσθεὶς πλούσιος· ὃς τὸν μὲν εἶχε πλοῦτον, τὸν δὲ ἤλπιζε· τοῦ φιλανθρώπου Θεοῦ ἐξ ἀρχῆς αὐτὸν ἐπὶ τῇ ἀγνωμοσύνῃ τῶν τρόπων μὴ καταχρίναντος (6), ἀλλ' ἀεὶ τῷ προϋπάρχοντι πλούτῳ πλοῦτον ἕτερον προστιθέντος, εἴ πως C αὐτῷ κόρον ἐμποιήσας ποτὲ, πρὸς τὸ κοινωνικὸν καὶ ἥμερον τὴν ψυχὴν αὐτοῦ ἐκκαλέσαιτο· *Ἀνθρώπου,* γάρ φησι, *πλουσίου ηὐφόρησεν* (7) *ἡ χώρα, καὶ διελογίζετο καθ' ἑαυτόν· Τί ποιήσω; Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω.* Διὰ τί οὖν ηὐφόρησεν ἡ χώρα ἀνθρώπου μηδὲν ἀγαθὸν ἐκ τῆς εὐφορίας ποιήσειν μέλλοντος; Ἵνα μᾶλλον ἡ τοῦ Θεοῦ μακροθυμία φανῇ (8), καὶ μέχρι τῶν τοιούτων ἐκτεινομένης αὐτοῦ τῆς χρηστότητος· *Βρέχει γὰρ ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς.* Ἡ δὲ τοιαύτη τοῦ Θεοῦ ἀγαθότης μείζονα συνάγει τοῖς πονηρευομένοις τὴν κόλασιν. Ἤνεγκε τοὺς ὄμβρους ἐπὶ τὴν ὑπὸ τῶν πλεονεκτικῶν χειρῶν γεωργουμένην γῆν· ἔδωκε τὸν ἥλιον ἐκθάλπειν τὰ σπέρματα, καὶ D πολυπλασιάζειν τοὺς καρποὺς διὰ τῆς εὐφορίας. Καὶ τὰ μὲν παρὰ Θεοῦ τοιαῦτα, γῆς ἐπιτηδειότης, ἀέρων

IN ILLUD DICTUM EVANGELII

secundum Lucam: « Destruam horrea mea, et majora ædificabo [87] *: » itemque de avaritia.*

1. Duplex est tentationum genus. Aut enim corda velut aurum in fornace probant ærumnæ [88], cum per patientiam integritatem eorum coarguunt, atque bonitatem: aut etiam non raro ipsa vitæ prosperitas tentationis loco est compluribus. Æque B enim arduum est in rebus difficilibus servari animam sublimem et indejectam, atque in rebus prosperis ad injuriam faciendam non abripi. Et prioris quidem tentationum generis exemplum est Job, magnus ille et invictus athleta, qui vim omnem diaboli velut torrentis impetum inconcusso pectore ac immoto proposito excipiens, tanto superior exstitit tentationibus, quanto illata sibi ab hoste certamina majora videbantur, atque inextricabiliora. At vero tentationum in rebus secundis exempla cum alia 44 multa sunt, tum hic nunc nobis lectus dives, qui habebat alias quidem divitias, alias vero sperabat; nec tamen benignissimus Deus eum ob ingratam indolem initio condemnavit, sed semper opes alias adjecit prioribus; si quo modo tandem accedente satietate, animum ejus posset ad liberalitatem atque mansuetudinem provocare. Ait enim: *Hominis divitis uberes fructus ager attulit, et cogitabat intra se: Quid faciam? Destruam horrea mea, et majora ædificabo* [89]. Cur igitur fertilis exstitit ager hominis, qui nihil erat boni ob fertilitatem facturus? Ut scilicet magis effulgeret Dei tolerantia, cujus bonitas ad tales etiam se extendat: quippe *Super justos et injustos pluit, facitque ut sol suus oriatur super malos et bonos* [90]. Ejusmodi autem Dei bonitas supplicium majus inducit in scelestos. Effudit pluvias in terram avaris manibus cultam; dedit solem qui foveat semina, ac per ubertatem fructus multiplicet. Et quidem a Deo accipiuntur beneficia ejusmodi, terra idonea, aeris temperatus status, seminum copia, boum opera, alia id genus, quibus solet agricultura ad ubertatem perduci atque ad copiam. Qualia vero in hoc

[87] Luc. XII, 18. [88] Sap. III, 6. [89] Luc. XII, 16-18. [90] Matth. V, 45.

(2) Ita legitur in Colb. tertio, Τοῦ αὐτοῦ εἰς τὸ ῥητὸν τοῦ Εὐαγγελίου κατὰ Λουκᾶν, περὶ πλουτούντων. *Ejusdem in dictum Evangelii secundum Lucam, de divitibus.* Additur in Reg. primo, καὶ κατὰ πλεονεξίας, *et contra avaritiam.*

(3) Reg. tertius ἐν τῇ δυσκολίᾳ.

(4) Reg. secundus et editi περιφανείαις τοῦ βίου μή. Alii quinque simpliciter περιφανείαις μή. Vox περιφάνεια videtur hoc loco usurpata fuisse a Basilio pro rebus secundis, cum eam opponat voci δυσκολία, qua res adversæ significantur. Potest tamen, si mavis, ad verbum interpretari, *in splendoribus, in rebus splendidis.*

(5) Colb. tertius μείζων ἐκ τῶν. Aliquanto post idem codex ὁ νῦν ὑμῖν.

(6) Editi καταχρίνοντος. At mss. multi καταχρίναντος.

(7) In multis mss. hic et infra pro ηὐφόρησεν legitur εὐφόρησεν.

(8) Reg. primus Θεοῦ φιλανθρωπία καὶ μακροθυμία διαφανῇ.

homine deprehendebantur? Mores amarulenti, A odium hominum, animus in dando parcissimus. Hanc ille benefico largitori vicem rependebat. Non venit in mentem communis naturæ; non putavit superfluum bonorum in egenos distribuendum, rationem nullam habuit hujus præcepti: *Ne abstineas benefacere egeno* [91]; item: *Eleemosynæ et fides ne deserant te* [92]; et: *Frange esurienti panem tuum* [93]. Denique prophetarum omnium omniumque doctorum non audiebatur clamor, sed horrea reconditorum frumentorum multitudine angustata dirumpebantur, nec tamen cor avarum explebatur. Nam nova veteribus superaddens semper, et annuis additamentis copiam adaugens, in hanc inextricabilem consilii inopiam incidit, ut præ avaritia vetera subduci non sineret, nec posset nova ob B copiam recondere. Quapropter inefficacia sunt consilia illius et curæ ancipites. *Quid faciam?* Quis non misereatur hominis ita obsessi? Miser est ob fertilitatem, miserabilis ob parta bona, ob exspectata miserabilior. Non enim affert ei terra proventus ac reditus, ipsi parit suspiria: eidem non aggerit copiam fructuum, conciliat curas, molestiasque et gravem anxietatem. Lamentatur perinde ut pauperes. An non talem vocem emittit, qualem is, cui propter inopiam angustæ res sunt? *Quid faciam?* Alimenta unde? unde indumenta? Hæc etiam dives loquitur. Discruciatur animo, curis exesus. Nam quod alios allicit lætitia, id avarum conficit. Neque enim lætatur, cum cellæ omnes intus replentur: sed circumfluentes divitiæ, et quæ C in promptuariis contineri non queunt, animum ejus compungunt; ne forte ad exteros usque effusæ, levamenti alicujus fiant occasio egentibus.

2. Porro vitium quo anima illius laborat, vitio
45 helluonum mihi videtur assimile, qui malunt præ ingluvie disrumpi, quam egentibus reliquias impertiri. Agnosce, o homo, largitorem. Memineris tui ipsius, quis sis, quorum tibi credita dispensatio sit, a quo acceperis, cur fueris multis antepositus. Minister effectus es Dei optimi, administrator conservorum, ne existimes ventri tuo præparata esse omnia: sed de iis quæ in manibus habes tanquam de alienis statue. Parumper te ob-

A εὔκρατοι καταστάσεις (9), σπερμάτων ἀφθονίαι, βοῶν συνεργίαι, τὰ ἄλλα, οἷς γεωργία πέφυκεν εὐθηνεῖσθαι· τὰ δὲ παρὰ τοῦ ἀνθρώπου οἷα; Τὸ πικρὸν τοῦ ἤθους, ἡ μισανθρωπία, τὸ δυσμετάδοτον. Ταῦτα τῷ εὐεργέτῃ ἀντεπεδείκνυτο. Οὐκ ἐμνήσθη τῆς κοινῆς φύσεως· οὐχ ἡγήσατο χρῆναι τὸ περιττεῦον τοῖς ἐνδεέσι καταμερίσαι· οὐκ ἔσχε τινὰ λόγον τῆς ἐντολῆς (10)· *Μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ*· καὶ, *Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε*· καὶ, *Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου*. Καὶ πάντες προφῆται, καὶ πάντες διδάσκαλοι ἐμβοῶντες, οὐκ εἰσηκούοντο· ἀλλ' αἱ μὲν ἀποθῆκαι διεῤῥήγνυντο τῷ πλήθει τῶν ἀποκειμένων στενοχωρούμεναι, ἡ δὲ φειδωλὸς καρδία οὐκ ἐνεπίμπλατο. Ἀεὶ γὰρ τὰ νέα τοῖς παλαιοῖς προστιθεὶς, καὶ ταῖς κατ' ἔτος προσθήκαις τὴν εὐ- B πορίαν προσαύξων, εἰς τὴν ἀδιέξοδον ταύτην (11) ἀμηχανίαν ἐνέπεσεν, ὑποχωρεῖν μὲν τοῖς παλαιοῖς διὰ τὴν πλεονεξίαν μὴ συγχωρῶν, ὑποδέχεσθαι δὲ τὰ νέα διὰ τὸ πλῆθος μὴ ἐξαρκῶν. Διὰ τοῦτο ἀνήνυτα μὲν αὐτῷ τὰ βουλεύματα, ἄποροι δὲ αἱ φροντίδες. *Τί ποιήσω;* Τίς οὐκ ἂν ἐλεήσειε τὸν οὕτω πολιορκούμενον; Δείλαιος τῆς εὐφορίας, ἐλεεινὸς τῶν παρόντων ἀγαθῶν, ἐλεεινότερος τῶν προσδοκωμένων. Μὴ γὰρ προσόδους (12) αὐτῷ φέρει ἡ γῆ, στεναγμοὺς αὐτῷ φύει· μὴ γὰρ καρπῶν αὐτῷ εὐφορίαν συνάγει, φροντίδας καὶ λύπας καὶ ἀμηχανίαν δεινήν. Ὅμοια τοῖς πενομένοις ὀδύρεται. Ἢ οὐχὶ ταύτην ἀφήσει τὴν φωνὴν καὶ ὁ διὰ πτωχείαν στενοχωρούμενος (13); *Τί ποιήσω;* Πόθεν τροφαί; πόθεν ἐνδύματα; Ταῦτα καὶ ὁ πλούσιος φθέγγεται. Ὀδυνᾶται τὴν καρδίαν C ὑπὸ τῆς μερίμνης διεσθιόμενος. Ὃ γὰρ τοὺς ἄλλους εὐφραίνει, τοῦτο τήκει τὸν πλεονέκτην. Οὐ γὰρ χαίρει πάντων αὐτῷ πεπληρωμένων τῶν ἔνδον, ἀλλὰ νύσσει τὴν ψυχὴν (14) αὐτοῦ περιῤῥέων ὁ πλοῦτος, καὶ τῶν ταμιείων ὑπερχεόμενος, μή που, καὶ πρὸς τοὺς ἔξωθεν παρακύψας, ἀγαθοῦ τινος ἀφορμὴ τοῖς ἐνδεέσι γένηται.

2. Καί μοι δοκεῖ τὸ πάθος αὐτοῦ τῆς ψυχῆς τῷ τῶν γαστριμάργων προσεοικέναι· οἳ διαῤῥαγῆναι μᾶλλον ὑπὸ λαιμαργίας αἱροῦνται, ἢ τῶν λειψάνων μεταδοῦναι τοῖς ἐνδεέσι. Σύνες, ἄνθρωπε, τοῦ δεδωκότος. Μνήσθητι σεαυτοῦ, τίς εἶ, τί οἰκονομεῖς, παρὰ τίνος ἔλαβες, διὰ τί τῶν πολλῶν προεκρίθης. Ἀγαθοῦ Θεοῦ γέγονας ὑπηρέτης, οἰκονόμος τῶν ὁμοδούλων· μὴ πάντα οἴου τῇ γαστρὶ (15) τῇ σῇ παρεσκευάσθαι. Ὡς περὶ ἀλλοτρίων βουλεύου τῶν ἐν χερσί· μικρόν εὐφραίνει σε χρόνον, εἶτα διαῤῥυέντα

[91] Prov. III, 27. [92] ibid. 3. [93] Isa. LVIII, 7.

(9) Reg. primus ἀέρων εὔκαρποι καταστάσεις, male. Mox Colb. tertius βοῶν γεωργίαι καὶ τἄλλα, *agri a bobus culti*. D

(10) Reg. primus ἐντολῆς λεγούσης. Statim codex Combef. et Colb. tertius εὐποιεῖν ἐνδεεῖ.

(11) Codices Combefisiani et Reg. primus εἰς τὴν ἀδιεξόδευτον ταύτην. Mox Colb. tertius παλαιοῖς τῇ πλεονεξίᾳ.

(12) Illa, μὴ γὰρ προσόδους.... μὴ γὰρ καρπῶν, legi debere cum nota interrogationis putat Ducæus: quam notam rejiciendam esse Combefisius affirmat. Constat ejusmodi notam in aliquibus mss. reperiri, in aliis deesse. Vide jam quam sententiam sequi malis.

(13) Colb. tertius διὰ πτωχείαν καταπονούμενος; τί.

(14) Unus ms. ἀλλὰ λυπεῖ τὴν ψυχήν, *sed molestiam creant animæ*.

(15) Antiqui duo libri τῇ σῇ γαστρί. Mox codices Combefisiani et alii εὐφραίνει. Editi εὐφρανεῖ, *oblectabunt*. Subinde Reg. primus διαῤῥυέντα οἴχεται. Ambrosius ut alia permulta ex aliis Basilii orationibus, ita ex hac quoque non pauca mutuatus est. Exempli causa, totum illud quod mox sequitur, μιμήσομαι τὸν Ἰωσήφ, etc., ita expressit lib. *De Nabuthe Jezraelita* cap. 7, n. 33: *Imitabor sanctum Joseph humanitatis prædicatione. Clamabo voce magna: Venite, pauperes, edite panes.*

οἰχήσεται, τὸν δὲ ἐπ' αὐτοῖς λόγον ἀπαιτηθήσῃ μετὰ A ἀκριβείας. Σὺ δὲ πάντα ὁμοῦ θύραις καὶ μοχλοῖς ἐναποκλείσας ἔχεις· καὶ καταδήσας σφραγῖσιν, ἐπαγρυπνεῖς ταῖς μερίμναις, καὶ βουλεύῃ κατὰ σαυτὸν, ἄφρονι συμβούλῳ σεαυτῷ κεχρημένος. *Τί ποιήσω;* Ἕτοιμον ἦν εἰπεῖν, ὅτι Ἐμπλήσω τὰς ψυχὰς τῶν πεινώντων, ἀνοίξω τὰς ἀποθήκας, καὶ πάντας καλέσω τοὺς ἐνδεεῖς. Μιμήσομαι τὸν Ἰωσὴφ τῷ τῆς φιλανθρωπίας κηρύγματι· φθέγξομαι φωνὴν μεγαλόψυχον· Ὅσοι ὑστερεῖσθε ἄρτων, ἔλθετε πρός με· τῆς παρὰ Θεοῦ δεδομένης χάριτος τὸ ἀρκοῦν ἕκαστος, οἷον ἐκ κοινῶν πηγῶν, συμμεθέξοντες. Ἀλλ' οὐ τοιοῦτος σύ· πόθεν; Ὅς γε βασκαίνεις μὲν τοῖς ἀνθρώποις τῆς ἀπολαύσεως, πονηρὸν δὲ βουλευτήριον ἐν τῇ ψυχῇ συγκροτήσας, φροντίζεις, οὐχ ὅπως διαδῷς (16) ἑκάστῳ τὰ πρὸς τὴν χρείαν, ἀλλ' ὅπως, B πάντα ὑποδεξάμενος, πάντας τῆς ἀπ' αὐτῶν ὠφελείας ἀποστερήσῃς. Παρέστησαν οἱ τὴν ψυχὴν ἀπαιτοῦντες, κἀκεῖνος περὶ βρωμάτων τῇ ψυχῇ διελέγετο. Ταύτῃ τῇ νυκτὶ (17) παρελαμβάνετο, καὶ εἰς ἔτη πολλὰ τὴν ἀπόλαυσιν ἐφαντάζετο. Συνεχωρήθη πάντα βουλεύσασθαι, καὶ φανερὰν ἑαυτοῦ (18) ποιῆσαι τὴν γνώμην, ἵνα ἀξίαν τῆς προαιρέσεως δέξηται τὴν ἀπόφασιν.

3. Ὃ μὴ πάθῃς σύ. Διὰ τοῦτο γὰρ γέγραπται, ἵνα φύγωμεν τὴν ὁμοίωσιν. Μίμησαι τὴν γῆν, ἄνθρωπε· καρποφόρησον ὡς ἐκείνη, μὴ χείρων φανῇς τῆς ἀψύχου. Ἐκείνη μὲν οὖν τοὺς καρποὺς οὐκ εἰς ἑαυτῆς ἀπόλαυσιν, ἀλλ' εἰς τὴν σὴν ὑπηρεσίαν ἐξέθρεψε· σὺ δὲ ὃν ἂν ἐπιδείξῃ τῆς εὐποιίας καρπὸν, σεαυτῷ C τοῦτον συνάγεις, διότι τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς διδόντας ἐπαναστρέφουσιν (19). Ἔδωκας τῷ πεινῶντι, καὶ σὸν γίνεται τὸ δοθὲν μετὰ προσθήκης ἐπανελθόν. Ὥσπερ γὰρ ὁ σῖτος, εἰς τὴν γῆν πεσὼν, κέρδος τῷ προεμένῳ (20) γίνεται· οὕτως ὁ ἄρτος, εἰς τὸν πεινῶντα καταβληθεὶς, πολύχουν τὴν ὠφέλειαν εἰς ὕστερον ἀναδίδωσιν. Ἔστω οὖν σοι τὸ πέρας τῆς γεωργίας ἀρχὴ τῆς ἐπουρανίου σπορᾶς· *Σπείρατε γὰρ*, φησὶν, *ἑαυτοῖς εἰς δικαιοσύνην*. Τί οὖν ἀδημονεῖς, τί κόπτεις σεαυτὸν, πηλῷ καὶ πλίνθοις τὸν πλοῦτον ἐναποκλεῖσαι φιλονεικῶν; *Κρεῖσσον ὄνομα καλὸν ὑπὲρ πλοῦτον πολύν*. Εἰ δὲ θαυμάζεις τὰ χρήματα διὰ τὴν ἀπ' αὐτῶν τιμὴν, σκόπει πόσῳ πρὸς δόξαν λυσιτελέστερον, μυρίων παίδων πατέρα (21) προσαγορεύεσθαι, ἢ μυρίους ἔχειν στατῆρας D ἐν βαλαντίῳ. Τὰ μέν γε χρήματα καταλείψεις ἐνταῦθα, καὶ μὴ βουλόμενος· τὴν δὲ ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις φιλοτιμίαν ἀποκομίσεις πρὸς τὸν Δεσπότην, ὅταν δῆμος ὅλος, ἐπὶ τοῦ κοινοῦ κριτοῦ περιστάντες σε, τροφέα καὶ εὐεργέτην καὶ πάντα τὰ τῆς φιλανθρωπίας ἀποκαλῶσιν ὀνόματα. Οὐχ ὁρᾷς τοὺς ἐν τοῖς (22) θεάτροις, παγκρατιασταῖς, καὶ μίμοις, καὶ

lectant, deinde effluentia evanescent, et de iis diligenter abs te exigenda ratio est. Tu vero cuncta portis simul et repagulis occlusa tenes; et quanquam sigillis obstruxeris, advigilas anxius, atque consilium contra temetipsum inis, demente consiliario teipso usus. *Quid faciam?* Promptum erat dicere: Esurientium explebo animas, aperiam horrea, omnesque egenos accersam. Imitabor Joseph [94] in prædicanda declarandaque humanitate; emittam magnificam vocem: Quotquot indigetis panibus, venite ad me, singuli ex communibus quasi fontibus futuri participes collati a Deo beneficii. Sed tu talis non es; unde? Qui scilicet bonorum usum invideas hominibus, improboque tecum inito consilio sollicitus sis, non quomodo impertias unicuique necessaria, sed quomodo omnibus assumptis, omnes fructu eorum atque utilitate prives. Astabant qui animam ejus repeterent [95], et ille secum disserebat de alimentis. Hac ipsa nocte [96] abripiebatur, et ad multos annos rerum possessionem animo sibi fingebat. Licuit illi de omnibus deliberare, ac mentem suam aperte declarare, ut sententiam proposito suo dignam acciperet.

3. Cave ne tibi idem usu veniat. Ideo enim hæc scripta sunt, ut similem agendi rationem vitemus. Imitare terram, o homo; fructum profer velut illa, ne re inanimata videare deterior. Hæc autem fructus enutrivit, non eis fruitura, sed tibi inservituros. Tu vero quemcunque beneficentiæ fructum ostendisses, collegisses hunc tibi ipsi, cum bonorum operum gratia præmiumque in largitores revertatur. Dedisti esurienti, et tuum fit quod datum est, ac cum additamento ad te revertitur. Quemadmodum enim frumentum, quod in terram cadit, in lucrum cedit projicienti, ita panis esurienti objectus, in posterum multum tibi afferet emolumenti. Sit ergo tibi agriculturæ finis initium cœlestis sementis: *Seminate* enim, inquit, *vobis ipsis in justitiam* [97]. Quid igitur anxius es? quid cædis te ipse, luto et lateribus divitias concludere contendens? *Melius est nomen bonum quam divitiæ multæ* [98]. Quod si opes miraris ob provenientem ex eis honorem, considera quanto sit ad gloriam conducibilius, innumerorum filiorum patrem appellari, quam innumeros in marsupio stateres habere. Et quidem relicturus hic es pecunias vel invitus: contra, partam ob bona opera gloriam
46 exportabis ad Dominum, cum scilicet circumstans te coram communi judice populus omnis nutritorem et beneficum largitorem te appellabit, ac nomina omnia humanitatem benignitatemque

[94] Gen. XLVII, 11, seqq. [95] Luc. XII, 20. [96] ibid. [97] Ose. X, 12. [98] Prov. XXII, 1.

(16) Unus codex Reg. et editi, μεταδῷς. Alii tres mss. διαδῷς.
(17) Veteres duo libri, αὐτῇ τῇ νυκτί.
(18) Unus ms. φανερὰν αὐτοῦ. Mox alius ms., δέξῃ τι, *.
(19) Colb. primus, διδόντας ἐπαναστρέφονται.
(20) Codex quidam Combef. et Reg. secundus τῷ προεμένῳ. Alii quinque mss. et editi προϊεμένῳ. Nec ita multo post unus ms. σπείρετε, γάρ.
(21) Colb. primus πατέρα σε.
(22) Veteres aliquot libri τοὺς ἐν τοῖς. Editi τοῖς ἐν τοῖς, male.

A significantia tibi tribuet. Annon vides eos, qui in theatra, in pancratiastas, in mimos, inque decertantes cum feris homines, quorum vel aspectum quivis detestabitur, pro brevi honore, atque pro strepitu populi et plausu divitias profundunt? Tu vero parcus es in sumptibus faciendis, unde es gloriam tantam consecuturus? Comprobabit te Deus, collaudabunt angeli, quotquot ab orbe condito homines fuere, beatum te prædicabunt; gloriam æternam, coronam justitiæ, regnum cœlorum pro præmio rerum corruptibilium recte dispensatarum recepturus es. Quorum nihil tibi curæ est, ea quæ in spe reposita sunt bona ob præsentium studium contemnenti. Age igitur, divitias varie dispensa, liberalis esto et splendidus in sumptibus in egenos impendendis. Dicatur etiam de te: *Dispersit, dedit pauperibus; justitia ejus manet in sæculum* [99].
B Noli magno vendere, necessitatibus plus justo intentus. Cave exspectes annonæ caritatem ad horrea aperienda. *Nam qui auget pretium annonæ, plebi est exsecrabilis* [1]. Ne famem auri causa, ne inediam communem ob privatam opum tuarum copiam opperiare. Noli fieri caupo humanarum calamitatum; ne iram Dei occasionem feceris aggerendæ pecuniæ. Cave exulceres vulnera flagris cæsorum. Tu vero conjectis in aurum oculis, non respicis ad fratrem; et numismatis quidem notam agnoscis, et a sincero adulterinum discernis, fratrem vero tempore necessitatis prorsus ignoras.

C 4. Ac quidem nitidus auri color valde admodum te oblectat; sed quot et quanti egenorum gemitus te prosequantur, non reputas. Quomodo tibi pauperis calamitates ponam ob oculos? Ille re familiari circumspecta, videt aurum sibi nec adesse, nec unquam affuturum; videt supellectilem ac vestitum tales, quales certe solent esse pauperum facultates, omnia paucis obolis æstimanda. Ecquid igitur? Tum demum convertit oculos in liberos, ut in forum ductos venales exponens, inde mortis impendentis solamen aliquod inveniat. Hic urgentis famis pugnam consideres velim, et paterni amoris. Fames quidem miserrimam mortem minatur, natura vero retrahit, suadetque ut una cum liberis moriatur: et sæpe impulsus, et sæpe retentus, tandem succumbit, necessitate atque implacabili egestate coactus.
D Sed quæ in animo consilia versat pater? Quem primum divendam? Quemnam frumenti venditor lubentius conspiciet? Accedam ad maximum natu? At ætatis jura reve-

A θηριομάχοις τισὶν ἀνθρώποις, οὓς κἂν βδελύξαιτό τις προσιδεῖν, ὑπὲρ τῆς ἐν ὀλίγῳ τιμῆς, καὶ τῶν παρὰ τοῦ δήμου θορύβων καὶ κρότων τὸν πλοῦτον προεμένους; Καὶ σὺ (23) μικροπρεπὴς εἶ περὶ τὰς δαπάνας, τηλικαύτης μέλλων ἐπιβήσεσθαι δόξης; Θεὸς ἔσται ὁ ἀποδεχόμενος· ἄγγελοι εὐφημοῦντες· οἱ ἀπὸ κτίσεως ἄνθρωποι μακαρίζοντες· δόξα αἰώνιος, στέφανος δικαιοσύνης, βασιλεία τῶν οὐρανῶν, ἆθλά σοι ἔσται τῆς τῶν φθαρτῶν τούτων οἰκονομίας· ὧν οὐδενὸς (24) φροντίζεις, τῇ περὶ τὰ παρόντα σπουδῇ τῶν ἐλπιζομένων ὑπερορῶν. Δεῦρο δὴ οὖν ποικίλως διάθου τὸν πλοῦτον, φιλότιμος καὶ λαμπρὸς περὶ τὰς δαπάνας τῶν δεομένων γενόμενος. Λεγέσθω καὶ περὶ σοῦ· *Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει* (25) *εἰς τὸν αἰῶνα*. Μὴ βαρύτιμος ἔσο
B ταῖς χρείαις ἐπιτιθέμενος. Μὴ ἀνάμενε σιτοδείαν, ἵνα ἀνοίξῃς σιτοδοχεῖα. *Ὁ γὰρ τιμιουλκῶν σῖτον* (26) *δημοκατάρατος*. Μὴ λιμὸν ἐκδέχου διὰ χρυσὸν, μὴ κοινὴν ἔνδειαν δι' εὐπορίαν ἰδίαν. Μὴ γίνου κάπηλος συμφορῶν ἀνθρωπίνων· μὴ τὴν ὀργὴν τοῦ Θεοῦ καιρὸν ποιήσῃς περιουσίας χρημάτων. Μὴ ἐπιξάνῃς τραύματα κεκακωμένων ταῖς μάστιξι. Σὺ δὲ πρὸς μὲν τὸν χρυσὸν ἀποβλέπεις, τὸν δὲ ἀδελφὸν οὐ προσβλέπεις· καὶ τοῦ μὲν νομίσματος ἐπιγινώσκεις τὸ χάραγμα, καὶ τοῦ δοκίμου διακρίνεις τὸ κίβδηλον, τὸν δὲ ἀδελφὸν παρὰ τὴν χρείαν παντελῶς ἀγνοεῖς.

C 4. Καὶ ἡ μὲν εὐχροιά σε τοῦ χρυσοῦ ὑπερήδει· ὅσος δέ σοι ἀκολουθεῖ τοῦ ἐνδεοῦς ὁ στεναγμὸς, οὐ λογίζῃ. Πῶς σοι ὑπ' ὄψιν (27) ἀγάγω τὰ πάθη τοῦ πένητος; Ἐκεῖνος, περισκεψάμενος τὰ ἔνδον, ὁρᾷ, ὅτι χρυσὸς μὲν αὐτῷ οὔτε ἐστὶν, οὔτε γενήσεταί πώποτε· σκεύη δὲ καὶ ἐσθὴς, τοιαῦτα, οἷα (28) ἂν γένηται πτωχῶν κτήματα, ὀλίγων τὰ πάντα ὀβολῶν ἄξια. Τί οὖν; Ἐπὶ τοὺς παῖδας λοιπὸν ἄγει τὸν ὀφθαλμὸν, ὥστε, αὐτοὺς (29) ἀγαγὼν εἰς τὸ πρατήριον, ἐντεῦθεν εὑρέσθαι τοῦ θανάτου παραμυθίαν. Νόησον ἐνταῦθα (30) μάχην ἀνάγκης λιμοῦ, καὶ διαθέσεως πατρικῆς. Ἡ μὲν τὸν οἴκτιστον θάνατον ἀπειλεῖ, ἡ δὲ φύσις ἀνθέλκει, συναποθανεῖν τοῖς τέκνοις πείθουσα· καὶ πολλάκις ὁρμήσας, καὶ πολλάκις ἀνακοπεὶς, τελευταῖον ἐκρατήθη, ὑπὸ τῆς ἀναγκαίας καὶ ἀπαραιτήτου
D χρείας ἐκβιασθείς. Καὶ οἷα βουλεύεται ὁ πατήρ; Τίνα πρῶτον (31) ἀπεμπολήσω; Τίνα δὲ ἡδέως ὁ σιτοπώλης ὄψεται; Ἐπὶ τὸν πρεσβύτατον ἔλθω; Ἀλλὰ δυσωποῦμαι αὐτοῦ τὰ πρεσβεῖα. Ἀλλὰ τὸν νεώτατον; Ἀλλ' ἐλεῶ αὐτοῦ τὴν ἡλικίαν ἀναισθητοῦσαν τῶν

[99] Psal. cxi, 9. [1] Prov. xi, 26.

(23) Codices duo προϊεμένους; Σὺ δέ.
(24) Antiqui duo libri ὧν οὐδενὸς τούτων.
(25) Editi μενεῖ, *manebit*. At mss. multi μένει, *manet*.
(26) Illud, Proverbiorum xi, 26, ὁ γὰρ τιμιουλκῶν σῖτον δημοκατάρατος, varie apud varios interpretes legitur: quam discrepantiam si quispiam videre cupit, legat Hexapla.
(27) Reg. primus ἐπ' ὄψιν.
(28) Colb. primus τοιαῦτα ὁποῖα. Ibidem editi ἂν γένοιτο. Veteres quinque libri ἂν γένηται.
(29) Antiqui duo libri ὥστε τούτους. Mox Colb. tertius ἐντεῦθεν εὕρασθαι.
(30) Ita, νόησον ἐνταῦθα, etc., in editis leguntur cum virgula post vocem ἀνάγκης: quæ virgula non reperitur neque in Colb. secundo, neque in Reg. tertio, neque in Coisl.; nec mihi dubium est quin melius absit.
(31) Colb. secundus τίνα πρῶτον τούτων. Colb. tertius τίνα τούτων. Nec ita multo infra Colb. tertius τὸν νέον.

συμφορῶν. Οὗτος ἐναργεῖς σώζει τῶν γονέων τοὺς χαρακτῆρας· ἐκεῖνος ἐπιτηδείως ἔχει πρὸς τὰ μαθήματα. Φεῦ τῆς ἀμηχανίας! Τίς γένωμαι; Τίνι τούτων προσκρούσω; Ποίαν θηρίου ψυχὴν ἀναλάβω; Πῶς τῆς φύσεως ἐπιλάθωμαι; Ἐὰν πάντων ἀντίσχωμαι, πάντας ὄψομαι δαπανωμένους τῷ πάθει. Ἐὰν ἕνα προῶμαι (32), ποίοις ὀφθαλμοῖς τοὺς λειπομένους προσίδω, ὕποπτος αὐτοῖς ἤδη γεγενημένος εἰς ἀπιστίαν; Πῶς οἰκήσω τὴν οἰκίαν, ἐμαυτῷ κατασκευάσας τὴν ἀπαιδίαν; Πῶς ἐπὶ τὴν τράπεζαν ἔλθω, ἐκ τοιαύτης προφάσεως τὴν εὐπορίαν ἔχουσαν; Καὶ ὁ μὲν μετὰ μυρίων δακρύων τὸν φίλτατον τῶν παίδων ἀπεμπολήσων ἔρχεται· σὲ δὲ οὐ κάμπτει τὸ πάθος (33), οὐ λογισμὸν λαμβάνεις τῆς φύσεως. Ἀλλ' ὁ μὲν λιμὸς συνέχει τὸν ἄθλιον, σὺ δὲ ἀναβάλλῃ, καὶ εἰρωνεύῃ, μακροτέραν αὐτῷ κατασκευάζων τὴν συμφοράν. Καὶ ὁ μὲν τὰ σπλάγχνα προτείνεται τιμὴν τῶν τροφῶν, σοῦ δὲ οὐ μόνον οὐκ ἀποναρκᾷ ἡ χεὶρ ἐκ τοιούτων συμφορῶν ὑποδεχομένη τιμήματα, ἀλλὰ καὶ ζυγομαχεῖς περὶ τοῦ πλείονος, καὶ ὅπως ἂν πολὺ λαβὼν ἔλαττον δῷς φιλονεικεῖς, πανταχόθεν βαρύνων (34) τὴν συμφορὰν τῷ ἀθλίῳ. Οὐ δάκρυόν σοι ἐλεεινόν, οὐ στεναγμὸς καρδίαν μαλάσσει· ἀλλ' ἄκαμπτος εἶ καὶ ἀμείλικτος. Πάντα χρυσὸν βλέπεις, χρυσὸν φαντάζῃ· τοῦτό σοι καὶ καθεύδοντι ἐνύπνιον, καὶ ἐγρηγορότι ἐνθύμιον. Ὥσπερ γὰρ οἱ ὑπὸ μανίας παράφοροι οὐ τὰ πράγματα βλέπουσιν, ἀλλὰ τὰ ἐκ τοῦ πάθους φαντάζονται· οὕτω σοι ἡ ψυχή, τῇ φιλοχρηματίᾳ κατασχεθεῖσα, πάντα χρυσόν, πάντα ἄργυρον βλέπει. Ἥδιον ἂν ἴδοις τὸν χρυσὸν ἢ τὸν ἥλιον. Εὔχῃ τὰ πάντα πρὸς τὴν τοῦ χρυσοῦ φύσιν μεταβληθῆναι, καὶ ἐπινοεῖς μέντοι καθ' ὅσον οἷόν τε.

A reor. An ad minimum natu? At me miseret illius ætatis, calamitates necdum intelligentis. Hic parentum exhibet claram effigiem : ille idoneus est ad disciplinas **47** discendas. Heu consilii inopiam! Quo me vertam? In quem horum incidam? Qualem bestiæ animum induam? Quomodo naturæ obliviscar? Omnes si servo, fame videbo consumi omnes. Unum si vendidero, qualibus oculis reliquos aspiciam, qui me illis jam reddidero perfidiæ ac proditionis suspectum? Quomodo habitabo domum, qui mihi ipse sim auctor orbitatis? Quomodo accedam ad mensam, cujus abundantia causam ejusmodi habet? Denique multis cum lacrymis venit pater carissimum filiorum venditurus : te tamen illius afflictio non flectit, neque animum B tuum subit ulla naturæ cogitatio. Atqui fames miserum illum premit, tu vero cunctaris ac illudis, calamitatem ei reddens longiorem. Et ille quidem viscera sua pretium alimentorum porrigit; tua vero manus ex ejusmodi calamitatibus pretia referens, non modo non stupet, sed de pretio etiam contendis, quasi plus satis offeras, atque studium in eo ponis, ut plus accipiens, minus des, misero undelibet accumulans calamitatem. Non lacrymæ commovent miserationem, non gemitus cor emolliunt; sed inflexibilis es atque implacabilis. Omnia aurum vides, aurum existimas, hoc et somnias inter dormiendum, et concupiscis inter vigilandum. Ut enim qui præ insania mente moti sunt, res ipsas non intuentur, sed ea ex quibus affi- C ciuntur, sibi animo fingunt; ita anima tua ab avaritia possessa, cuncta aurum, cuncta argentum videt. Conspicias lubentius aurum quam solem. Verti omnia in auri naturam exoptas, atque in id incumbis pro virili.

5. Ποίαν γὰρ μηχανὴν διὰ χρυσὸν οὐ κινεῖς; Ὁ σῖτος χρυσός σοι γίνεται, ὁ οἶνος εἰς χρυσὸν μεταπήγνυται, τὰ ἔριά σοι ἀποχρυσοῦται· πᾶσα ἐμπορία, πᾶσα ἐπίνοια χρυσόν σοι προσάγει (35). Αὐτὸς ἑαυτὸν ὁ χρυσὸς ἀπογεννᾷ πολυπλασιαζόμενος ἐν δανείσμασι· καὶ κόρος οὐκ ἔστι, καὶ τέλος τῆς ἐπιθυμίας οὐκ ἐξευρίσκεται. Τῶν μὲν γὰρ παίδων τοῖς λίχνοις ἀφειδῶς πολλάκις ἐνδίδομεν τῶν περισπουδάστων ὑπερεμπίμπλασθαι (36), ὥστε τῷ ὑπερβάλλοντι κόρῳ τὴν ἀποστροφὴν ἐμποιῆσαι· ὁ δὲ πλεονέκτης οὐχ οὕτως· ἀλλ' ὅσῳ πλειόνων ἐμφορεῖται, πλειόνων ἐφίεται. *Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.*

5. Quid enim non moliris propter aurum? Frumentum fit tibi aurum, vinum in aurum concrescit, lanæ tibi in aurum vertuntur; mercatura omnis, omnis solertia parit tibi aurum. Ipsum aurum generat semetipsum, dum per fenora multiplicatur. Neque tamen satietas est, neque finis reperitur cupiditatis. Ac quidem pueris gulosis plerumque concedimus, ut iis quæ cupiunt, sese abunde expleant, ut per majorem saturitatem fastidium ipsis afferatur. Avarus non item; sed quo pluribus impletur, hoc plura desiderat. D *Divitiæ si affluant, nolite cor apponere* [a]. Tu vero detines præterfluen-

[a] Psal. LXI, 11.

(32) Et illud patris miserrimi exemplum legitur apud Ambrosium eodem libro *De Nabuthe Jezraelita* cap. 5. Velim autem conferantur Græca cum Latinis, qua ex collatione constabit Ambrosium alia ex Basilio imitatum, alia ex eo tantum non ad verbum convertisse. Et quidem multa bene : sed illud, *si unum tradam, quibus oculis videbo cæteros de mea impietate suspectos, ne alios quoque vendam*, non ita feliciter expressum videri potest. Nec enim erat cur pater filios haberet suspectos de impietate sua, quasi ejus aliquo modo participes esse possent; sed cæteri filii patrem habere poterant suspectum impietatis, ne, uno vendito, et ipsi quoque venderentur. Magis ergo placent Basiliana, quæ, ut ex Græcis perspici potest, ita interpretari licet : *Unum si vendidero, quibus oculis reliquos aspiciam, qui me illis jam reddiderim suspectum perfidiæ atque proditionis?*

(33) Reg. primus οὐ κάμπτῃ τῷ πάθει.

(34) Colb. primus ἐπιβαρύνων.

(35) In Reg. primo perinde ut in aliis mss. legitur quidem προσάγει; sed in ora ejus libri additum est συνάγει.

(36) Reg. primus περισπουδάστων ἐμπίμπλασθαι.

tes, et exitus undecunque obstruis. Deinde dum retinentur et restagnant, quid tibi faciunt? Disrumpunt repagula, atque, utpote violenter conclusæ ac exundantes, divitis horrea demoliuntur, et irrumpentis alicujus hostis in morem promptuaria illius solo adæquant. Construetne majora? Incertum, an destructa successori relicturus sit. Nam abreptus poterit ipse citius interire, quam horrea per avaram industriam exstruantur. Porro dives ille convenientem pravis suis consiliis finem consecutus est; vos vero, si mihi credere velitis, omnibus promptuariorum foribus apertis, amplissimos divitiis exitus præbebitis. **48** Quemadmodum enim ingenti fluvio frugiferam terram per plurimos canales pervadenti datur transitus: sic ipsi divitiis permittite, ut in varias vias scissæ ad pauperum domos perveniant. Putei si exhauriantur, ex eis aqua copiosior emanat atque limpidior; sin autem derelinquuntur, computrescunt: sic et divitiæ cum desident, et in eodem loco permanent, sunt inutiles; cum vero moventur, et ex aliis ad alios transeunt, publicum commodum fructumque pariunt. O quanta laus ab iis in quos beneficia contuleris, tribuenda tibi est, quam tu cave contempseris: quanta itidem merces a justo judice, cui tu nolis diffidere. Ponatur tibi ubique ob oculos accusati illius divitis exemplum: qui jam parta bona servans, deque futuris sollicitus, ac incertum habens an cras victurus esset, hodie peccando crastinum diem anteverterat. Nondum venit ullus supplex, et tamen in antecessum feritatem ostendit; necdum fructus collegit, et jam avaritiæ condemnabatur. Terra quidem in ferendis ei fructibus officiosa fuit, densam in arvis segetem præmonstrans, botros plurimos exhibens in palmitibus, ponens ob oculos oleam fructu scatentem, omneque deliciarum genus ex arborum fructibus promittens. Ille vero neque comis est, neque fructuosus: nondum habet, et jam invidet egentibus. Et quidem fruges quot periculis obnoxiæ sunt, priusquam colligantur? Nam et grando plerumque confringit, et æstus rapit mediis ex manibus, et pluvia, intempestive e nubibus erumpens, fructus inutiles efficit. Quid igitur Dominum non rogas, ut munus suum consummet ac perficiat? Imo vero in antecessum reddis te indignum, qui præmonstrata recipias.

A Σὺ δὲ κατέχεις τὸν παραῤῥέοντα (37), καὶ περιφράσσεις τὰς διεξόδους. Εἶτα κατεχόμενος καὶ ἐλλιμνάζων, οἷα ποιεῖ σοι; Ῥήγνυσι τὰ κωλύματα, ἀμέλει καὶ νῦν βιαίως ἐναπολη‍φθεὶς (38) καὶ πλημμυρῶν, καθαιρεῖ τοῦ πλουσίου τὰς ἀποθήκας, ἐδαφίζει αὐτοῦ τὰ ταμιεῖα, ὥσπερ πολέμιός τις ἐπεισελθών. Ἀλλὰ μείζονας οἰκοδομήσει; Ἄδηλον εἰ μὴ καθῃρημένας παραδώσει τῷ μετ' αὐτόν. Ὀξύτερον γὰρ ἂν αὐτὸς ἀπέλθοι ἀνασπασθεὶς, ἢ ἐκεῖνα (39) κατὰ τὴν πλεονεκτικὴν ἐπίνοιαν ἐγερθείη. Ἀλλ' ὁ μὲν ἔχει τῶν κακῶν βουλευμάτων τὸ τέλος ἀκόλουθον· ὑμεῖς δὲ, ἂν ἐμοὶ πείθησθε, πάσας θύρας ταμιείων ἀναπετάσαντες, ἀφθόνους παρέξετε (40) τὰς διεξόδους τῷ πλούτῳ· ὥσπερ ποταμῷ μεγάλῳ πολύκαρπον γῆν δι' ὀχετῶν μυρίων ἐπερχομένῳ, οὕτως αὐτοὶ, τῷ B πλούτῳ διδόντες διὰ ποικίλων ὁδῶν εἰς τὰς τῶν πενήτων οἰκίας κατασχίζεσθαι (41). Τὰ φρέατα ἐξαντλούμενα εὐροώτερα γίνεται· ἐναφιέμενα δὲ, κατασήπεται· καὶ πλούτου τὸ μὲν στάσιμον ἄχρηστον, τὸ δὲ κινούμενον καὶ μεταβαῖνον κοινωφελές τε καὶ ἔγκαρπον. Ὢ πόσος μὲν ὁ παρὰ τῶν εὐεργετουμένων ἔπαινος, οὗ σὺ μὴ καταφρονήσῃς! πηλίκος δὲ ὁ παρὰ τοῦ δικαίου κριτοῦ μισθὸς, ᾧ σὺ μὴ ἀπιστήσῃς! Πανταχοῦ σοι τὸ ὑπόδειγμα τοῦ κατηγορουμένου πλουσίου προσαπαντάτω (42)· ὃς, τὰ μὲν ἤδη παρόντα φυλάσσων, περὶ δὲ τῶν ἐλπιζομένων ἀγωνιῶν, καὶ ἄδηλον ἔχων εἰ βιώσεται τὴν αὔριον, τὸ αὔριον σήμερον προημάρτανεν. Οὔπω ἦλθεν ὁ ἱκέτης, καὶ προλαβὼν ἐδείκνυε (43) τὴν ἀγριότητα· οὐ συνήγαγε τοὺς καρποὺς, C καὶ τῆς πλεονεξίας ἤδη εἶχε τὸ κρῖμα. Ἡ μὲν γῆ ἐδεξιοῦτο τοῖς ἐκφορίοις αὐτῆς· βαθὺ μὲν ἐν ταῖς ἀρούραις προδεικνῦσα τὸ λήϊον· πολὺν δὲ τὸν βότρυν ὑπὲρ κλημάτων ἐμφαίνουσα· βρύουσαν δὲ τῷ καρπῷ τὴν ἐλαίαν παρεχομένη, καὶ πᾶσαν ἐπαγγελλομένη τὴν ἐξ ἀκροδρύων τρυφὴν (44)· ὁ δὲ ἀδέξιος ἦν καὶ ἄκαρπος, οὔπω ἔχων, καὶ ἤδη βασκαίνων τοῖς δεομένοις. Καίτοι πόσοι κίνδυνοι πρὸ τῆς συγκομιδῆς τῶν καρπῶν! Καὶ γὰρ καὶ χάλαζα κατέκλασε, καὶ καύσων ἥρπασεν ἐκ μέσων τῶν χειρῶν (45), καὶ ὕδωρ, παρὰ καιρὸν ἐκ νεφῶν ἐπιῤῥυὲν, ἠχρείωσε τοὺς καρπούς. Οὐ προσεύχῃ οὖν τῷ Κυρίῳ τελειωθῆναι τὴν χάριν; Ἀλλὰ προλαμβάνων, σεαυτὸν ἀνάξιον ποιεῖς τῆς ὑποδοχῆς τῶν δειχθέντων.

6. Et tu quidem in occulto tecum loqueris, verba vero tua in cœlo expenduntur. Quapropter inde accipis responsa. Quænam autem sunt, quæ dicit?

D 6. Καὶ σὺ μὲν ἐν τῷ κρυπτῷ λαλεῖς σεαυτῷ, τὰ δὲ ῥήματά σου ἐν οὐρανῷ δοκιμάζεται. Διὰ τοῦτό σοι ἐκεῖθεν αἱ ἀποκρίσεις (46) ἔρχονται. Τίνα δέ ἐστι

(37) Codex Coisl. cum Colb. uno et cum duobus Regiis τὸν παραῤῥέοντα. Editi περιῤῥέοντα, non ita recte. Mox Reg. primus καὶ ἐκλιμνάζων.

(38) Colbertini secundus et tertius et Reg. primus βιαίως ἀποληφθεὶς. Alius Colb. ἐναπολειφθεὶς. Editi et Reg. tertius ἐναποληφθεὶς, bene. Mox unus ms. τις ἐπελθών. Alius ὑπελθών.

(39) Editi ἢ ἐκείνας, corrupte. Libri veteres ἐκεῖνα, emendate. Aliquanto post mss. nonnulli ὁ μὲν ἐχέτω.

(40) Hic in editis legitur παρέχετε, at in veteribus libris scriptum invenimus παρέξετε. Statim editio Basil. et sex mss. ὥσπερ ποταμῷ. Editio Paris. ὥσπερ γὰρ ποταμῷ. (At nos, mss. secuti, delevimus illud γάρ, quippe quod sententiam turbat. Edit.)

(41) Unus codex Colb. οἰκίας κατασχίζεσθε. Editi et alii mss. κατασχίζεσθαι.

(42) Multi libri veteres πλουσίου προαπαντάτω.

(43) Unus ms. προλαβὼν ἐδείκνυ. Nec ita multo infra duo mss. κλημάτων φαίνουσα.

(44) Colb. primus ἀκροδρύων τροφὴν, *alimentum*. Statim ubi in editis corrupte legitur δέξιος, in veteribus libris emendate scriptum invenitur ἀδέξιος.

(45) Editi ἐκ μέσου τῶν χειρῶν. At mss. ἐκ μέσων. Mox Colb. tertius ἀπὸ νεφῶν.

(46) Unus mss. σοὶ καὶ αἱ ἀποκρίσεις ἐκεῖθεν. Ibi.

A καὶ ἃ λέγει; *Ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ ἀποκείμενα· φάγε, πίε, εὐφραίνου καθ' ἡμέραν.* Ὢ τῆς ἀλογίας! Εἰ δὲ χοιρείαν εἶχες ψυχὴν, τί ἂν ἄλλο ἢ τοῦτο αὐτῇ εὐηγγελίσω; Οὕτω κτηνώδης εἶ, οὕτως ἀσύνετος τῶν τῆς ψυχῆς ἀγαθῶν, τοῖς τῆς σαρκὸς αὐτὴν βρώμασι δεξιούμενος· καὶ ὅσα ὁ ἀφεδρὼν ὑποδέχεται, ταῦτα τῇ ψυχῇ παραπέμπεις; Εἰ μὲν ἀρετὴν ἔχει, εἰ πλήρης (47) ἐστὶν ἔργων ἀγαθῶν, εἰ Θεῷ προσῳκείωται, ἔχει πολλὰ ἀγαθὰ, καὶ εὐφραινέσθω τὴν καλὴν τῆς ψυχῆς εὐφροσύνην (48). Ἐπεὶ δὲ τὰ ἐπίγεια φρονεῖς, καὶ θεὸν ἔχεις τὴν κοιλίαν, καὶ ὅλος σάρκινος εἶ, δεδουλωμένος τοῖς πάθεσιν, ἄκουε τῆς σοὶ πρεπούσης προσηγορίας, ἣν οὐδεὶς ἀνθρώπων ἔθετό σοι, ἀλλ' αὐτὸς ὁ Κύριος· *Ἄφρον, ταύτῃ* (49) *τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;* Μείζων B τῆς αἰωνίου κολάσεως ὁ γέλως τῆς ἀβουλίας. Ὁ γὰρ μετ' ὀλίγον μέλλων ἀνάρπαστος ἄγεσθαι, οἷα βουλεύεται; *Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω.* Καλῶς σύ γε ποιῶν (50), φαίην ἂν ἔγωγε πρὸς αὐτόν. Ἄξια γὰρ καθαιρέσεως τὰ ταμιεῖα τῆς ἀδικίας. Κατάσκαπτε ταῖς ἑαυτοῦ χερσὶν, ἃ κακῶς ᾠκοδόμησας. Λῦε τὰ σιτοδοχεῖα, ὅθεν οὐδεὶς ἀπῆλθέ ποτε παραμυθίας τυχών. Ἀφάνισον πάντα οἶκον πλεονεξίας φύλακα, ἀποσκεύασον ὀρόφους, περίελε τοίχους, δεῖξον ἡλίῳ τὸν εὐρωτιῶντα σῖτον (51), ἐξάγαγε ἐκ φυλακῆς τὸν δέσμιον πλοῦτον, θριάμβευσον τὰ σκοτεινὰ τοῦ μαμμωνᾶ καταγώγια. *Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω.* Ἐὰν δὲ καὶ ταύτας ἐμπλήσῃς, τί ποτε ἄρα διανοηθήσῃ; Ἦ που πάλιν καθαιρήσεις, καὶ C πάλιν οἰκοδομήσεις; Καὶ τί τούτων ἀνοητότερον, ἀπέραντα μοχθεῖν, οἰκοδομεῖν μετὰ σπουδῆς, καὶ μετὰ σπουδῆς καθαιρεῖν; Ἔχεις ἀποθήκας, ἐὰν θέλῃς, τὰς οἰκίας τῶν πενήτων. Θησαύρισον σεαυτῷ θησαυρὸν ἐν οὐρανῷ. Τὰ ἐκεῖ ἀποτιθέμενα οὐ σῆτες καταβόσκονται, οὐ σηπεδὼν ἐπινέμεται, οὐ λῃσταὶ διακλέπτουσιν. Ἀλλὰ τότε μεταδώσω τοῖς δεομένοις ὅταν τὰς δευτέρας ἀποθήκας πληρώσω. Μακροὺς σεαυτῷ τοὺς χρόνους τῆς ζωῆς (52) ἔπηξας. Σκόπει μή σε προλάβῃ ὁ κατὰ προθεσμίαν ἐπείγων. Καὶ γὰρ ἡ ἐπαγγελία οὐ χρηστότητός ἐστιν, ἀλλὰ πονηρίας ἀπόδειξις (53). Ἐπαγγέλλῃ γὰρ, οὐχ ἵνα δῷς μετὰ ταῦτα, ἀλλ' ἵνα τὸ παρὸν διακρούσῃ. Ἐπεὶ νῦν τί τὸ κωλῦον πρὸς τὴν μετάδοσιν; Οὐ πάρεστιν D ὁ ἐνδεής; οὐχὶ πλήρεις αἱ ἀποθῆκαι; οὐχ ὁ μισθὸς ἕτοιμος; οὐχ ἡ ἐντολὴ τηλαυγής; Ὁ πεινῶν τήκε-

Anima, habes multa bona reposita : comede, bibe, lætare quotidie [a]. O dementiam! Suillam animam si haberes, quid aliud nisi hoc ei annuntiare potuisses? Itane belluinus es, itane rudis es bonorum animæ, ut eam carnalibus cibis excipias, et quæ latrina excipit, ea animæ destines? Profecto, si virtute prædita est, si plena est bonis operibus, si Deo necessitudine conjungitur, multa bona habet; ita demum bono animæque convenienti gaudio lætetur. Quia vero terrena sapis, et deum habes ventrem, totusque carneus es, libidinibus mancipatus et vitiis, audi te dignam appellationem, tibi a nullo homine, sed ab ipsomet Domino datam : *Stulte, hac nocte animam tuam repetunt a te : quæ autem parasti, cujus erunt* [b]? Hæc irrisio stultitiæ superat supplicium æternum. Qui enim paulo post rapiendus est et abducendus, qualia in animo versat consilia? *Destruam horrea mea, et majora ædificabo.* Recte facis, ego ipse ei dixerim. Digna **49** enim sunt quæ destruantur iniquitatis horrea. Tuis ipse manibus dirue quæ male ædificasti. Solve frumentarios penus, unde nemo unquam allevatus exiit. Destrue omnem domum avaritiæ custodem, everte tecta, demolire muros, ostende soli frumentum cariosum, educ e carcere vinctas opes, produc in publicum tenebrosa mammonæ conclavia. *Destruam horrea mea, et majora ædificabo.* Quod si hæc quoque impleveris, quid tum excogitabis? Rursusne destrues, et rursus ædificabis? Quid stultius quam laborare perpetuo, ædificare diligenter, et diligenter destruere? Habes horrea, si vis, domos pauperum. Thesauriza tibi thesaurum in cœlo [c]. Quæ illic reconduntur, ea non depascuntur tineæ, non corrodit caries, non prædantur fures [d]. Atqui egenis impertiar tum, cum secunda horrea implevero. Longum tibi vitæ tempus præfixisti. Cave te præfinita dies festinans prævertat. Nam pollicitatio isthæc nequitiæ argumentum est, non benignitatis. Polliceris enim, non ut des postea, sed ut præsens submoveas. Nunc cum liceat, quid impedit quominus largiare? Nonne adest indigus? nonne plena sunt horrea? an non parata merces? an non clarum præceptum est et perspicuum? Esuriens contabescit, nudus riget, strangulatur is a quo debitum exigitur; et tu eleemosynam differs in crastinum? Audi Salomonem : *Ne dixeris : Revertens redi, cras dabo* [e]; *ignoras* enim *quid pariet*

[a] Luc. XII, 19. [b] ibid. 20. [c] Matth. VI, 20. [d] ibid. [e] Prov. III, 28.

dem Colb. primus εἰσέρχονται. Vox ἐκεῖθεν, quæ mox sequitur, referri debet ad eum qui secum loquitur. Basilius igitur hoc dicit : Tu, qui tecum in occulto loqueris, non prophetas, non apostolos audis, sed temetipsum; ob idque a te uno responsa accipis.

(47) Veteres quatuor libri εἰ πλήρης.... εἰ Θεῷ. Vocula ἢ in utroque loco in prius editis legebatur.

(48) Colb. tertius εὐφραινέσθω τὴν ψυχικὴν εὐφροσύνην. Haud longe quatuor mss. καὶ ὅλος. Alius ms. Combef. et editi καὶ ὅλως.

(49) Antiqui duo libri ἐν ταύτῃ. Mox duo itidem mss. ἀπαιτοῦσι παρὰ σοῦ.

(50) Editi σύ γε ποιῶν. Veteres aliquot libri σὺ ποιῶν. Ibidem tres mss. φαίην ἂν ἔγωγε πρός. Editi φαίην ἂν πρός.

(51) Colb. tertius εὐρωτιῶντα τόπον, *ostende soli locum situ corruptum.*

(52) Colb. primus τοὺς ὅρους τῆς ζωῆς, *longos vitæ limites.*

(53) Editi πονηρίας ἐπίδειξις. At mss. multi ἀπόδειξις.

dies sequens [a]. Qualia præcepta contemnis, qui jam antea tibi avaritia aures obturaveris? Quantam oportebat habere te benefico largitori gratiam, quam hilarem te esse, quam lætum ob eum qui tibi defertur honorem, videlicet quod non perturbes fores alienas, sed alii tuas occupent? Nunc vero morosus es, vixque ad te accessus patet: qui declines occursus, ne forte vel modicum quid e manibus dimittere cogaris. Unam nosti vocem: Non habeo, nec dabo: nam pauper sum. Revera pauper es, et omnis boni inops: pauper dilectionis, pauper humanitatis, pauper fidei in Deum, pauper spei æternæ. Participes frumenti facias fratres: quod cras putrescet, id hodie trade egenti. Avaritiæ pessimum genus est, ne ea quidem quæ corrumpuntur, egenis erogare.

ται· ὁ γυμνητεύων πήγνυται· ὁ ἀπαιτούμενος ἄγχεται· καὶ σὺ τὴν ἐλεημοσύνην εἰς τὴν αὔριον ἀναβάλλῃ; Ἄκουε Σολομῶντος· *Μὴ εἴπῃς· Ἐπανελθὼν* (54) *ἐπάνηκε, καὶ αὔριον δώσω* (55)· *οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα.* Οἵων παραγγελμάτων ὑπερορᾷς, τῇ φιλαργυρίᾳ τὰ ὦτα προαποβύσας (56)! Πόσην ἔδει σε χάριν ἔχειν τῷ εὐεργέτῃ, καὶ φαιδρὸν εἶναι, καὶ λαμπρύνεσθαι τῇ τιμῇ, ὅτι οὐκ αὐτὸς διοχλεῖς θύρας ἑτέρων, ἀλλὰ τὰς σὰς ἄλλοι καταλαμβάνουσι! Νῦν δὲ κατηφὴς εἶ καὶ δυσέντευκτος, ἐκκλίνων τὰς ἀπαντήσεις, μή πού τι καὶ μικρὸν ἀναγκασθῇς τῶν χειρῶν ἐκβαλεῖν. Μίαν οἶδας φωνήν· Οὐκ ἔχω· οὐδὲ δώσω· πένης γάρ εἰμι. Πένης εἶ τῷ (57) ὄντι, καὶ ἐνδεὴς παντὸς ἀγαθοῦ· πένης φιλανθρωπίας, πένης πίστεως εἰς Θεὸν, πένης ἐλπίδος αἰωνίου. Συμμεριστὰς ποίησον (58) τῶν σίτων τοὺς ἀδελφούς· τὸ αὔριον σηπόμενον σήμερον μετάδος τῷ δεομένῳ. Πλεονεξίας εἶδος τὸ χαλεπώτατον, μηδὲ τῶν φθειρομένων μεταδιδόναι τοῖς ἐνδεέσιν.

7. Cui, inquit, injuriam facio, dum retineo mea atque conservo? Quæ, dic mihi, tua sunt? unde accepta in vitam intulisti? Velut si quis, loco in theatro ad spectandum occupato, deinde ingredientes arceat, id sui ipsius proprium ratus, quod ad omnium communem usum proponitur: tales ejusmodi quoque divites sunt. Nam communia præoccupantes, ea ob præoccupationem sibi assumunt. Quod si suæ quisque necessitati sublevandæ id modo quod satis est caperet, **50** egenti vero relinqueret quod superfluum est, nemo esset dives, pauper nemo. Nonne nudus egressus es ex utero? nonne nudus iterum in terram reverteris? Unde autem tibi præsentia bona? Si a fato dixeris, impius es, qui non agnoscas Conditorem, neque gratiam habeas largitori: sin confiteris esse a Deo, dic nobis rationem cur acceperis. Num injustus Deus, qui nobis inæqualiter vitæ necessaria distribuit? Cur, divite te, ille pauper est? An non utique, ut et tu benignitatis ac fidelis dispensationis mercedem accipias, et ille magnis patientiæ præmiis donetur? Tu vero inexplebilibus avaritiæ sinibus omnia complexus, atque his tam multos privans, nemini ullam injuriam facere te existimas? Quis avarus est? Qui rebus quæ satis sunt, contentus non est. Quis spoliator? Qui cujusque res aufert. Non avarus es tu? non spoliator es tu?

7. Τίνα, φησὶν, ἀδικῶ συνέχων τὰ ἐμαυτοῦ (59); Ποῖα, εἰπέ μοι, σαυτοῦ; πόθεν λαβὼν εἰς τὸν βίον εἰσήνεγκας; Ὥσπερ ἂν εἴ τις, ἐν θεάτρῳ θέαν καταλαβὼν, εἶτα ἐξείργοι τοὺς ἐπεισιόντας, ἴδιον ἑαυτοῦ κρίνων τὸ κοινῶς πᾶσι κατὰ τὴν χρῆσιν προκείμενον· τοιοῦτοί εἰσι καὶ οἱ πλούσιοι. Τὰ γὰρ κοινὰ προκατασχόντες, ἴδια ποιοῦνται (60) διὰ τὴν πρόληψιν. Ἐπεὶ εἰ τὸ πρὸς παραμυθίαν τῆς ἑαυτοῦ χρείας ἕκαστος κομιζόμενος, τὸ περιττὸν ἠφίει τῷ δεομένῳ, οὐδεὶς μὲν ἂν ἦν πλούσιος, οὐδεὶς δὲ ἐνδεής. Οὐχὶ γυμνὸς ἐξέπεσες τῆς γαστρός; οὐ γυμνὸς πάλιν εἰς τὴν γῆν ὑποστρέψεις; Τὰ δὲ παρόντα σοι πόθεν; Εἰ μὲν ἀπὸ ταυτομάτου λέγεις, ἄθεος εἶ, μὴ γνωρίζων τὸν κτίσαντα, μηδὲ χάριν ἔχων τῷ δεδωκότι· εἰ δὲ ὁμολογεῖς εἶναι παρὰ Θεοῦ, εἰπὲ τὸν λόγον ἡμῖν δι' ὃν ἔλαβες. Μὴ ἄδικος ὁ Θεὸς, ὁ ἀνίσως ἡμῖν διαιρῶν τὰ τοῦ βίου; Διὰ τί σὺ μὲν πλουτεῖς, ἐκεῖνος δὲ πένεται; Ἢ πάντως, ἵνα καὶ σὺ χρηστότητος καὶ πιστῆς οἰκονομίας μισθὸν ὑποδέξῃ (61), κἀκεῖνος τοῖς μεγάλοις ἄθλοις τῆς ὑπομονῆς τιμηθῇ; Σὺ δὲ, πάντα τοῖς ἀπληρώτοις τῆς πλεονεξίας κόλποις περιλαβὼν, οὐδένα οἴει ἀδικεῖν τοσούτους ἀποστερῶν; Τίς ἐστιν ὁ πλεονέκτης; Ὁ μὴ ἐμμένων τῇ αὐταρκείᾳ. Τίς δέ ἐστιν ὁ ἀποστερητής; Ὁ ἀφαιρούμενος τὰ ἑκάστου. Σὺ δὲ οὐ πλεονέκτης; σὺ δὲ οὐκ ἀποστερητής; ἃ πρὸς οἰκονομίαν ἐδέξω, ταῦτα ἴδια σεαυτοῦ ποιούμενος; Ἢ ὁ μὲν

[a] Prov. xxvii, 1.

(54) Colb. tertius ἀπελθών.

(55) Colb. tertius αὔριον δώσω. Δυνατοῦ σου ὄντος, εὐποίησον, *benefac, dum potes*. Sed illud, δυνατοῦ σου ὄντος, εὐποίησον, inter librariorum additamenta recenseri debere arbitramur.

(56) Colb. primus ὦτα προαποκλείσας. Paulo post idem codex αὐτὸς διενοχλεῖς.

(57) Editi πένης τῷ. At mss. πένης εἶ τῷ. Mox editi πίστεως τῆς εἰς. Libri veteres πίστεως εἰς.

(58) Antiqui duo libri συμμεριστὰς ποίησαι. Statim Colb. primus σήμερον παράσχου τῷ δεομένῳ, non diverso sensu. Haud multo post editi μηδὲ τῶν φθειρομένων τοῖς ἐνδεέσι καταμερίσαι. Veteres quatuor libri ita ut edidimus.

(59) *Τίνα ἀδικῶ συνέχων τὰ ἐμαυτοῦ;* Verte, *Eccui injuriam facio dum quæ mea sunt clausa custodio?* Sic etiam infra homil. *in divites* p. 53: Σκορπιζόμενος ὁ πλοῦτος... πέφυκε παραμένειν· συνεχόμενος δὲ ἀλλοτριοῦσθαι, *Dispersæ solent permanere, clausæ vero alienari*. MARAN.

(60) Editi uno verbo ἰδιοποιοῦνται. At mss. multi duabus vocibus ἴδια ποιοῦνται. Nec ita multo infra Colb. tertius πλούσιος, οὐδεὶς δὲ πένης, οὐδεὶς ἐνδεής. Subinde idem codex γυμνὸς ἐξέπεσας.

(61) Colb. tertius μισθὸν διαδέξῃ. Alius ms. δέξῃ. Haud longe editi περιλαμβάνων. At mss. multi περιλαβών.

ἐνδεδυμένον ἀπογυμνῶν λωποδύτης ὀνομασθήσεται· ὁ δὲ τὸν γυμνὸν μὴ ἐνδύων, δυνάμενος τοῦτο ποιεῖν, ἄλλης τινός ἐστι προσηγορίας ἄξιος; Τοῦ πεινῶντός ἐστιν ὁ ἄρτος, ὃν σὺ κατέχεις· τοῦ γυμνητεύοντος τὸ ἱμάτιον, ὃ σὺ φυλάσσεις ἐν ἀποθήκαις· τοῦ ἀνυποδέτου τὸ ὑπόδημα, ὃ παρὰ σοὶ κατασήπεται· τοῦ χρῄζοντος τὸ ἀργύριον, ὃ κατορύξας ἔχεις. Ὥστε τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἐδύνασο.

8. Καλοὶ μὲν, φησὶν, οἱ λόγοι, ἀλλὰ καλλίων ὁ χρυσός. Ὥσπερ οἱ τοῖς ἀκολάστοις περὶ σωφροσύνης διαλεγόμενοι. Καὶ γὰρ ἐκεῖνοι, διαβαλλομένης τῆς ἑταίρας, ἀπὸ τῆς ὑπομνήσεως πρὸς τὰς ἐπιθυμίας ἐκκαίονται. Πῶς σοι ὑπ' ὄψιν τὰ πάθη τοῦ πένητος ἀγάγω, ἵνα γνῷς ἀπὸ ποταπῶν στεναγμῶν σεαυτῷ θησαυρίζεις; Ὢ πόσου ἄξιόν σοι φανεῖται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως τὸ ῥῆμα ἐκεῖνο· *Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ περιεβάλετέ με.* Ποταπὴ δέ σοι φρίκη, καὶ ἱδρὼς, καὶ σκότος περιχυθήσεται, ἀκούοντι τῆς καταδίκης· *Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ σκότος τὸ ἐξώτερον* (62), *τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ οὐ περιεβάλετέ με.* Οὐδὲ γὰρ ἐκεῖ ὁ ἅρπαξ ἐγκαλεῖται, ἀλλ' ὁ ἀκοινώνητος κατακρίνεται. Ἐγὼ μὲν εἶπον, ἃ συμφέρειν (63) ἐνόμιζον, σοὶ δὲ πεισθέντι μὲν πρόδηλα τὰ ἐν ἐπαγγελίαις ἀποκείμενα ἀγαθά· παρακούσαντι δὲ γεγραμμένη ἐστὶν ἡ ἀπειλή, ἧς εὔχομαί σε τὴν πεῖραν διαφυγεῖν, βελτίονα γνώμην μεταλαβόντα, ἵνα λύτρον σοι γένηται ὁ ἴδιος πλοῦτος, καὶ ἐφ' ἕτοιμα βαδίσῃς τὰ οὐράνια ἀγαθά· χάριτι τοῦ πάντας ἡμᾶς καλέσαντος εἰς τὴν ἑαυτοῦ βασιλείαν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A Qui scilicet quæ dispensanda recepisti, ea tibimetipsi propria facias. Furne vocabitur qui veste indutum denudarit, qui vero nudum non induerit, id si agere potest, alia quadam appellatione dignus est? Esurientis est panis, quem tu detines: nudi est pallium, quod tu in arca servas: discalceati calceus, qui apud te putrescit: indigentis argentum, quod defossum habes. Quare quot hominibus dare potes, tot infers injuriam.

8. Pulchri quidem, inquit, sermones sunt, sed aurum pulchrius est. Idem accidit nobis, quod iis qui apud impudicos de castitate disserunt. Etenim illi, si amica insimulatur, refricata illius memoria, ad libidinem accenduntur. Quomodo tibi ob oculos ponam pauperis ærumnas atque calamitates, tibi B ut sit perspectum et exploratum, ex qualibus gemitibus tibi ipse thesaurum colligas? O quanti pretii tibi in die judicii videbitur verbum illud [9]: *Venite, benedicti Patris mei, possidete paratum vobis regnum a constitutione mundi. Esurivi enim, et dedistis mihi manducare; sitivi, et dedistis mihi bibere; nudus eram, et cooperuistis me.* Rursus quantus tibi horror sudorque et quantæ tenebræ circumfundentur, judicium illud damnatorum audienti: *Discedite a me, maledicti, in tenebras exteriores, quæ paratæ sunt diabolo et angelis ejus. Esurivi enim, et non dedistis mihi manducare; sitivi, et non dedistis mihi bibere; nudus eram, et non cooperuistis me* [10]. Non enim illic raptor accusatur, sed qui C bona non communicavit, condemnatur. Ego quidem quæ conducere dixi, retuli; tibi vero obtemperanti repromissa bona præmonstrata sunt, non obtemperanti intentatæ sunt minæ, quarum periculum cupio effugere te, consilium melius capientem, ut divitiæ tuæ tibi pretium fiant redemptionis, atque ad parata cœlestia bona pervenias, gratia ejus qui nos omnes ad regnum suum vocavit, cui gloria et imperium in sæcula sæculorum. Amen.

ΟΜΙΛΙΑ ΠΡΟΣ ΤΟΥΣ ΠΛΟΥΤΟΥΝΤΑΣ (64).

1. Εἴρηται καὶ πρώην ἡμῖν τὰ περὶ τοῦ νεανίσκου τούτου, καὶ μέμνηται πάντως ὅ γε φιλόπονος ἀκροατὴς τῶν ἐξητασμένων τότε· πρῶτον μὲν, ὅτι οὐχ ὁ αὐτός ἐστι τῷ παρὰ τῷ Λουκᾷ νομικῷ. Ὁ μὲν γὰρ πειραστὴς ἦν, εἰρωνικὰς τὰς ἐρωτήσεις ποιούμενος· οὗτος δὲ, ὑγιῶς μὲν ἐρωτῶν, οὐκ εὐπειθῶς δὲ καταδεχόμενος (65). Οὐ γὰρ ἂν ἀπῆλθεν ἐπὶ ταῖς τοιαύταις ἀποκρίσεσι τοῦ Κυρίου λυπούμενος. εἰ κα-

51 HOMILIA IN DIVITES.

1. Dictum est nec ita pridem de hoc adolescente [11]; D et quisquis certe auditor diligens fuerit, eorum quæ tunc expensa sunt, prorsus meminerit. Primum quidem, quod non idem sit qui legisperitus, cujus apud Lucam fit mentio [12]. Ille enim tentator erat, simulatas ac captiosas proponens quæstiones; hic vero sano quidem consilio interrogabat, sed docili ac obsequenti animo non audiebat. Non enim ob

[9] Matth. xxv, 34-36. [10] ibid. 41-43. [11] Matth. xix, 16. [12] Luc. x, 25, seqq.

(62) Apud Matthæum xxv, 30, ita legitur: Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ, etc. *Et inutilem servum ejicite in tenebras exteriores: illic*, etc. At versu 41 ejusdem capitis ita editum invenimus: Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, etc. *Discedite a me, maledicti, in ignem æternum, qui paratus est diabolo*, etc. Quod eo notavi, ut quisque facilius intelligat quemadmodum Basilius unius loci verba cum verbis alterius confuderit.

(63) Reg. primus εἶπον ὃ συμφέρειν.

(64) Reg. primus τοῦ αὐτοῦ κατὰ πλουτούντων. *Ejusdem contra divites.* Colb. secundus τοῦ αὐτοῦ περὶ πλουτούντων. *Ejusdem de divitibus.* Coisl. κατὰ πλουτούντων λόγος β'. *Contra divites sermo alter.*

(65) Reg. primus et tertius παραδεχόμενος.

tales Domini responsiones abiisset mœrens [13], si cum contemptu ipsum interrogasset. Quamobrem animus illius velut commistus nobis visus est et varius, ut qui partim laude dignus, partim miserrimus ac omnino desperatus a Scriptura exhibeatur [14]. Nam nosse magistrum verum, atque relicta Pharisæorum superbia, et legisperitorum opinione, et scribarum turba, appellationem hanc soli vero ac bono magistro tribuere, hoc erat quod laudabatur. Prætereaque videri sollicitum, quomodo æternam vitam adipisceretur, hoc quoque probatum erat et laude dignum. Contra, illud jam aperit totum ejus animum, non quod vere bonum esset, sed quod vulgo arrideret, spectantem, quod videlicet salutaria documenta, quæ a magistro vero didicerat, non inscripserit in suo corde, neque doctrinam executus sit, sed avaritiæ vitio obcæcatus cum mœstitia abierit. Hoc enim eum inæqualem fuisse moribus nec secum consensisse probat. Magistrum vocas [15], nec tamen discipulorum partes agis? Bonum confiteris [16], et ea quæ dat respuis? Atqui is qui bonus est, idem profecto bonorum est largitor. Et interrogas quidem de vita æterna [17]: sed totus præsentis vitæ deliciis addictus deprehenderis. Cæterum quodnam verbum molestum aut grave, aut adeo intolerabile magister proposuit? *Vende quæ habes, et da pauperibus* [18]. Si proposuisset tibi agriculturæ labores, aut mercaturæ pericula, aut alias quasvis molestias quæ lucrum sectantibus accidunt, oportebat te præceptum ægre ferentem tristitia affici; sin via adeo facili, neque laborem, neque sudorem habente, hæredem te æternæ vitæ facturum se pollicetur, cur non gaudes ob facilitatem salutis, sed dolens animo et mœrens discedis, atque jam exantlatos labores tibi inutiles reddis? Etenim si non occidisti, ut ais [19], neque adulterium commisisti, neque furatus es, neque contra quempiam falsum testimonium dixisti; nihilominus tamen adhibitam in his agendis diligentiam tibi infructuosam efficis,

A ταφρονητικῶς (66) αὐτῷ προσῆγε τὰς πεύσεις. Διόπερ οἱονεὶ μικτὸν αὐτοῦ τὸ ἦθος ἡμῖν ἀνεφαίνετο· πῇ μὲν ἐπαινετὸν δεικνύντος τοῦ λόγου, πῇ δὲ ἀθλιώτατον καὶ πάντη ἀπεγνωσμένον. Τὸ μὲν γὰρ γνωρίσαι τὸν ἀληθῶς διδάσκαλον (67), καὶ παρελθόντα τὴν Φαρισαίων ἀλαζονείαν, καὶ νομικῶν οἴησιν, καὶ γραμματέων ὄχλον (68), τὴν προσηγορίαν ταύτην ἀναθεῖναι τῷ μόνῳ ἀληθινῷ καὶ ἀγαθῷ διδασκάλῳ, τοῦτο ἦν ὃ ἐπῃνεῖτο. Καὶ μέντοι τὸ φανῆναι φροντίδος ἄξιον ποιούμενον πῶς ἂν κληρονομήσειε τῆς αἰωνίου ζωῆς, ἀποδεκτὸν καὶ τοῦτο. Ἐκεῖνο δὴ λοιπὸν ἐλέγχει αὐτοῦ τὴν ὅλην προαίρεσιν, οὐ πρὸς τὸ ἀληθινῶς καλὸν ἀποβλέπουσαν, ἀλλὰ τὸ τοῖς πολλοῖς ἀρέσκον περισκοποῦσαν· τὸ, μαθόντα παρὰ τοῦ ἀληθινοῦ διδασκάλου μαθήματα σωτήρια, μὴ ἐγ-
B γράψαι τῇ ἑαυτοῦ καρδίᾳ, μηδὲ εἰς ἔργον ἀγαγεῖν τὰ διδάγματα, ἀλλ' ἀπελθεῖν ἀθυμοῦντα, τῷ πάθει τῆς φιλοπλουτίας ἐσκοτωμένον. Τοῦτο δὲ τὴν (69) ἀνωμαλίαν τῶν τρόπων, καὶ τὸ πρὸς ἑαυτὸν ἀσύμφωνον ἀπελέγχει. Διδάσκαλον λέγεις, καὶ τὰ μαθητῶν οὐ ποιεῖς; Ἀγαθὸν ὁμολογεῖς, καὶ τὰ διδόμενα παραπέμπῃ (70); Καίτοι ὅ γε ἀγαθὸς ἀγαθῶν ἐστι παρεκτικὸς δηλονότι. Καὶ ἐρωτᾷς μὲν περὶ τῆς αἰωνίου ζωῆς· ἐλέγχῃ δὲ ὅλος τῇ (71) ἀπολαύσει τοῦ παρόντος βίου προσδεδεμένος. Τί δέ σοι χαλεπὸν, ἢ βαρὺ, ἢ ὑπέρογκον ῥῆμα ὁ διδάσκαλος προετείνατο; *Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς*. Εἴ σοι προέβαλε πόνους γεωργικοὺς, ἢ τοὺς ἐξ ἐμπορίας κινδύνους, ἢ ὅσα ἄλλα τοῖς χρηματιζομένοις ἐπίπονα πρόσεστιν, ἔδει σε λυπηθῆναι
C δυσφοροῦντα τῷ ἐπιτάγματι· εἰ δὲ οὕτω διὰ ῥᾳδίας ὁδοῦ, οὐδένα πόνον ἐχούσης οὐδὲ ἱδρῶτα, ἐπαγγέλλεταί σε κληρονόμον τῆς αἰωνίου ζωῆς ἀποδείξειν (72), οὐ χαίρεις τῇ εὐκολίᾳ τῆς σωτηρίας, ἀλλ' ἀπέρχῃ ὀδυνώμενος τὴν ψυχὴν καὶ πενθῶν, καὶ ποιεῖς σεαυτῷ ἄχρηστα πάντα ὅσα σοι προπεπόνηται. Εἰ γὰρ οὐκ ἐφόνευσας, ὡς σὺ φῄς, οὔτε ἐμοίχευσας, οὔτε ἔκλεψας, οὔτε κατεμαρτύρησάς τινος μαρτυρίαν ψευδῆ, ἀνόνητον σεαυτῷ ποιεῖς τὴν περὶ ταῦτα σπουδὴν, μὴ προστιθεὶς τὸ λεῖπον (73), δι' οὗ μόνου

[13] Matth. XIX, 22. [14] ibid. 23, 26. [15] ibid. 16. [16] ibid. [17] ibid. [18] ibid. 21. [19] ibid. 20.

(66) Editi εἰ μὴ καταφρονητικῶς. At voculam μὴ delevimus multis veteribus libris auctoribus, nec dubium quin abesse debeat. Aliquanto post mss. sex οἱονεὶ μικτόν. Editi οἱονεὶ σύμμικτον. Subinde Reg. primus ἦθος ἀναφαίνεται.

(67) Sic mss. nostri. Editi vero τὸν ἀληθῆ διδάσκαλον.

(68) Ait Ducæus, pro ὄχλον fortasse legi debere ὄγκον, ut scribarum fastus cum superbia et arrogantia cæterorum conjungatur : quæ conjectura mihi quoque valde placeret, si eam libri veteres confirmarent. Utut hæc sunt, legimus in vulgatis Græcis ὄχλον, in Latinis vero *fastu :* id quod nemini probatum iri puto. Aut enim in Græcis scriptum oportuerat ὄγκον, *fastu :* aut si in eis vox ὄχλον servaretur, vertendum fuit *turba*, non *fastu*. Nos qui vocem ὄχλον, et in editis et in mss. invenimus, eam retinere, eamdemque Latine exprimere non dubitavimus.

(69) Editi τοῦτο δὴ τήν. At mss. τοῦτο δὲ τήν. Mox Colb. primus ἑαυτὸν σύμφωνον, male. Subinde
D Reg. primus διδάσκαλον καλεῖς, καὶ τά.

(70) Reg. primus διδόμενα ἀποπέμπεις. Ibidem editi καίτοιγε. At mss. quatuor καίτοι ὅγε. Colb. primus καίτοι ὅτε.

(71) Veteres aliquot libri ὅλως τῇ. Nec ita multo post duo mss. διδάσκαλος προετείνετο.

(72) Colb. primus ζωῆς ἀποδεῖξαι. Aliquanto post idem codex ὡς ἔφης.

(73) Illud, μὴ προστιθεὶς τὸ λεῖπον, dum ita Latine reddidit interpres vetus, ***cur reliquum studium non addis :*** longe quidem a sententia Basilii recessit, sed quod sequitur, δι' οὗ μόνου δυνήσῃ εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, cum sic expressit, ***quo solo die in regnum poteris facilius pervenire***, omnino ejus loci sensum corrupit. Quid enim huc attinet vox *dies*, cujus ne vestigium quidem inest in Græcis? Quomodo autem hic locus verti debeat, ex nova interpretatione perspici potest. Hoc dicit Basilius, inutile esse aliqua præcepta servare, nisi reliqua serventur. Mirari subit verba Basilii Combefisio vi-

δυνήσῃ εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Καὶ εἰ μὲν ἰατρὸς ἐπηγγέλλετο κολοβώματα μελῶν ἐκ φύσεως ἢ ἐξ ἀῤῥωστίας προσόντα σοι διορθώσασθαι, οὐκ ἂν ἠθύμεις ἀκούων· ἐπειδὴ δὲ ὁ (74) μέγας τῶν ψυχῶν ἰατρὸς τέλειόν σε ποιῆσαι βούλεται τοῖς καιριωτάτοις ἐλλείποντα, οὐ δέχῃ τὴν χάριν, ἀλλὰ πενθεῖς καὶ σκυθρωπάζεις; Ἐκείνης μὲν γὰρ δῆλος εἶ τῆς ἐντολῆς μακρὰν ὑπάρχων, καὶ ψευδῶς σεαυτῷ προσμαρτυρήσας αὐτὴν, ὅτι ἠγάπησας τὸν πλησίον σου ὡς σεαυτόν (75). Ἰδοὺ γὰρ τὸ παρὰ τοῦ Κυρίου προσταχθὲν ἐλέγχει σε παμπληθὲς τῆς ἀληθινῆς ἀγάπης ἀπολειπόμενον. Εἰ γὰρ ὅπερ διεβεβαιώσω ἀληθὲς ἦν, ὅτι ἐφύλαξας ἐκ νεότητος τὴν ἐντολὴν τῆς ἀγάπης, καὶ τοσοῦτον ἀπέδωκας ἑκάστῳ ὅσον καὶ σεαυτῷ, πόθεν σοι ἡ τῶν χρημάτων αὕτη περιουσία; Δαπανητικὸν γὰρ πλούτου ἡ θεραπεία τῶν δεομένων· ὀλίγα μὲν ἑκάστου πρὸς τὴν ἀναγκαίαν ἐπιμέλειαν δεχομένου, πάντων δὲ ὁμοῦ καταμεριζομένων τὰ ὄντα, καὶ περὶ αὐτοὺς (76) δαπανώντων. Ὥστε ὁ ἀγαπῶν τὸν πλησίον ὡς ἑαυτὸν οὐδὲν περισσότερον κέκτηται τοῦ πλησίον· ἀλλὰ μὴν φαίνῃ ἔχων κτήματα πολλά. Πόθεν ταῦτα (77); ἢ δῆλον, ὅτι τὴν οἰκείαν ἀπόλαυσιν προτιμοτέραν τῆς τῶν πολλῶν παραμυθίας ποιούμενος. Ὅσον οὖν πλεονάζεις τῷ πλούτῳ, τοσοῦτον ἐλλείπεις τῇ ἀγάπῃ. Ἐπεὶ πάλαι ἂν ἐμελέτησας (78) τῶν χρημάτων τὴν ἀλλοτρίωσιν, εἰ ἠγαπήκεις σου τὸν πλησίον (79). Νυνὶ δὲ προσπέφυκέ σοι τὰ χρήματα πλέον ἢ τὰ μέλη τοῦ σώματος, καὶ λυπεῖ σε αὐτῶν ὁ χωρισμὸς ὡς ἀκρωτηριασμὸς τῶν καιρίων. Εἰ γὰρ ἀμφίεσας γυμνὸν, εἰ ἐδωκας πεινῶντι τὸν ἄρτον σου, εἰ ἡ θύρα σου ἀνέῳκτο (80) παντὶ ξένῳ, εἰ ἐγένου πατὴρ ὀρφανῶν, εἰ παντὶ συνέπασχες ἀδυνάτῳ, ὑπὲρ ποίων ἂν νῦν ἐλυπήθης χρημάτων; Ποῦ δ' ἂν καὶ ἐδυσχέρανας ἀποτιθέμενος τὰ λειπόμενα, πάλαι μελετήσας αὐτὰ διανέμειν τοῖς ἐνδεέσιν; Εἶτα, ἐν μὲν πανηγύρει οὐδεὶς λυπεῖται προϊέμενος τὰ ὑπάρχοντα (81) καὶ ἀντικτώμενος τὰ ἐνδέοντα· ἀλλ' ὅσῳπερ ἂν ἐλάττονος τιμῆς τὰ πολυτίμητα πρίηται, τοσούτῳ χαίρει, ὡς λαμπροῦ αὐτῷ τοῦ συναλλάγματος γενομένου· σὺ δὲ λυπῇ, χρυσίον, καὶ ἀργύριον, καὶ κτήματα διδοὺς (82)· τουτέστι, λίθους καὶ χοῦν παρεχόμενος, ἵνα κτήσῃ τὴν μακαρίαν ζωήν.

[20] Matth. xix, 19, 20.

A qui quod reliquum est non **52** adjicias, quo solo possis in Dei regnum ingredi. Ac quidem si medicus ea membra quæ a natura vel a quapiam infirmitate mutila habes, restituturum se promitteret, profecto id cum mœrore non audires : quia vero magnus animorum medicus te præcipuis rebus destitutum vult perfectum reddere, beneficium ejusmodi non accipis, sed luges ac mœstus efficeris. Nam aperte atque evidenter procul abes ab illo præcepto, ac falso illud a te perfici testaris, videlicet quod dilexisti proximum tuum sicut teipsum [20]. Ecce enim hoc Domini præcepto convinceris quam longissime abesse a vera charitate. Nam si verum erat quod affirmasti, servasse te a juventute dilectionis præceptum, ac tantum tribuisse unicuique quan- B tum et tibi ipsi, unde, quæso, hæc tibi divitiarum copia? Nam egenorum cura opes absumit, cum pro sua quisque necessitate accipiat pauca, cunctique suas simul facultates partiantur, et in egenorum usus impendant. Quare qui diligit proximum uti seipsum, nihil amplius quam proximus possidet. Atqui constat habere te opes multas. Undenam hæ? nisi quod procul dubio levamen multorum et commoda tuis ipsius commodis postposuisti. Itaque quo magis abundas divitiis, eo magis charitate destitueris. Etenim jamdudum pecuniam cum cæteris communicare cogitasses, si proximum tuum dilexisses. Nunc autem opes tibi arctius quam ipsamet corporis membra adhærescunt; dolesque dum a te C separantur, perinde ac si præcipuæ corporis partes amputarentur. Nam si induisses nudum, si dedisses esurienti panem tuum, si fores tuæ apertæ fuissent hospiti omni, si orphanorum exstitisses pater, si miseratus fuisses infirmum omnem; de quibus, quæso, opibus nunc doleres? Quomodo nunc ægre ferres residuas opes deponere, si jam pridem eas in egenos distribuendas curasses? Ad hæc, in nundinis quidem nemo dolet quod pecunias suas profundat, et vicissim comparet quibus opus habet; contra, quo viliori pretio res pretiosissimas emerit, hoc magis gaudet, ut qui egregie negotiatus sit : tu vero doles, quod aurum et argentum et opes partiris; hoc est, lapidem ac pulverem tradis, ut beatam vitam acquiras.

deri duriora : in quibus quid ei tantopere displicere potuerit, non video. Cum enim hoc loco non de consiliis, sed de præceptis agatur; profecto qui aliqua servavit, debet et reliqua servare, si regnum Dei consequi velit.

(74) Antiqui duo libri ἐπεὶ δὲ ὁ. Reg. primus εἰ δὲ ὁ.

(75) Editi ὡς σεαυτόν. At mss. nonnulli ὡς ἑαυτον. Haud longe Colb. tertius παρὰ τοῦ Κυρίου προταθέν, *id quod a Domino propositum est.*

(76) Editio utraque περὶ ἑαυτούς : id quod ita vertit interpres, *et reliqua in omnes alios dividuntur, quorum quisque suam portionem absumit,* cum potius vertere debuisset, *et omnes quæ sua sunt pariter dividunt, et in sese absumunt.* Sed, nisi valde fallor, nihil horum voluit Basilius; nec dubito quin in vulgatis vitii aliquid insit. Puto igitur ex D Coisl. legendum esse περὶ αὐτούς, hoc est, περὶ δεομένους, *in egentes.* Et vero omnes qui charitatis præceptum servant, facultates suas partiuntur, easque in egenorum usus absumunt.

(77) Colb. primus πόθεν οὖν ταῦτα.

(78) *Πάλαι ἂν ἐμελέτησας*, κ. τ. λ. Verte, *Jamdudum exercitatus esses in alienandis facultatibus, si proximum dilexisses.* Sic etiam paulo post, C. 12, πάλαι μελετήσας, *jampridem in illis egeno distribuendis exercitatus.* Maran.

(79) Editi τὸν πλησίον ὡς σεαυτόν. Sed illud, ὡς σεαυτόν, in antiquis libris deest.

(80) Codices duo σου ἠνέῳκτο.

(81) Reg. primus προϊέμενος τὰ παρόντα.

(82) Editi διαδιδούς. At mss. plerique omnes κτήματα διδούς.

2. Sed cui tibi usui aurum? Pretiosa te veste amicies? Atqui duorum cubitorum tunica satis tibi fuerit, et unius pallii amictus omnem indumentorum necessitatem explebit. Uterisne divitiis ad lautius vivendum? Verum panis unus exsatiando ventri sufficit. Quid igitur tristitia afficeris? cujusnam rei fecisti jacturam? an gloriæ quæ ex divitiis oritur? At si terrenam gloriam non quæsieris, veram illam ac splendidam gloriam, **53** quæ te in regnum cœlorum deducet, invenies. Sed divitias habere, jucundum est per se, etiamsi nullus ex eis fructus capiatur. Sed certe rerum inutilium studium vanum esse et inutile, cuique notum est. Verumtamen mirum forte tibi videbitur quod dicturus sum, sed nihilominus quavis re alia certius est. Divitiæ eo quo Dominus admonet modo dispersæ solent permanere; retentæ vero, ad alios transferri. Si custodies, non habebis; si disperseris, non amittes. *Dispersit* enim, *dedit pauperibus; justitia ejus manet in sæculum* [21]. Porro non vestimentorum neque alimentorum causa plerique divitiarum studio tenentur: sed quoddam est artificium a diabolo excogitatum, ut sumptuum faciendorum occasiones innumeræ suggerantur divitibus; adeo ut superflua et inutilia tanquam necessaria requirant, nihilque eis satis sit ad faciendos quos excogitarint sumptus. Dividunt enim opes et in præsentem usum, et in futurum: partem quidem sibi, partem vero liberis servant. Deinde easdem partiuntur in excogitatas variorum sumptuum occasiones. Nam audias velim ad qualia destinentur. Hæc pecunia, inquiunt, in usu sit, illa vero maneat recondita: item quæ in usu est, necessitatis excedat metam: hæc ad magnificentiam domesticam insumatur, illa pompæ et fastui externo inserviat: hæc sumptus large suppeditet iter facienti, illa domi manenti lautum victum et magnificum instruat; sic ut subeat mihi mirari quot sint excogitati inanes sumptus. Innumeri habentur currus, aliis sarcinæ, aliis homines ipsi vehuntur, iique sunt ære et argento obtecti.

A 2. Ἀλλὰ τί χρήσῃ τῷ πλούτῳ; Ἐσθῆτι πολυτιμήτῳ περιβαλεῖς σεαυτόν; Οὐκοῦν δύο μέν σοι πηχῶν χιτωνίσκος ἀρκέσει, ἑνὸς δὲ ἱματίου περιβολὴ πᾶσαν τῶν ἐνδυμάτων ἐκπληρώσει τὴν χρείαν. Ἀλλ' εἰς τροφὴν καταχρήσῃ (83) τῷ πλούτῳ; Εἷς ἄρτος ἱκανὸς ἀποπληρῶσαι γαστέρα. Τί οὖν λυπῇ; ὡς τίνος στερούμενος; δόξης τῆς ἀπὸ τοῦ πλούτου; Ἀλλ' ἐὰν μὴ χαμαὶ ζητήσῃς τὴν δόξαν, εὑρήσεις τὴν ἀληθινὴν ἐκείνην καὶ λαμπρὰν προάγουσάν σε ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ἀλλ' αὐτὸ τὸ ἔχειν τὸν πλοῦτον ἀγαπητόν ἐστι, κἂν μηδὲν ἀπ' αὐτοῦ περιγίνηται ὄφελος. Ὅτι μὲν οὖν ἀνόητός ἐστιν ἡ τῶν ἀχρήστων σπουδὴ (84), παντὶ γνώριμον. Πλὴν ἀλλὰ παράδοξον ἴσως (85) φανεῖταί σοι ὃ μέλλω λέγειν· παντὸς δὲ ἐστιν ἀληθέστερον. Σκορπιζόμενος ὁ πλοῦτος, καθ' B ὃν ὁ Κύριος ὑποτίθεται τρόπον, πέφυκε παραμένειν· συνεχόμενος δὲ, ἀλλοτριοῦσθαι. Ἐὰν φυλάσσῃς, οὐχ ἕξεις (86)· ἐὰν σκορπίσῃς, οὐκ ἀπολεῖς· *Ἐσκόρπισε γὰρ, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.* Ἀλλ' οὐ γὰρ ἱματίων ἕνεκεν οὐδὲ τροφῶν ὁ πλοῦτός ἐστι τοῖς πολλοῖς περισπούδαστος, ἀλλά τις ἐπινενόηται μεθοδεία τῷ διαβόλῳ, μυρίας τοῖς πλουσίοις δαπάνης ἀφορμὰς ὑποβάλλουσα, ὥστε τὰ περιττὰ καὶ ἄχρηστα ὡς ἀναγκαῖα σπουδάζεσθαι, μηδὲν δὲ αὐτοῖς ἐξαρκεῖν πρὸς τὴν τῶν ἀναλωμάτων ἐπίνοιαν. Καταμερίζουσι γὰρ τὸν πλοῦτον πρός τε τὴν παροῦσαν χρείαν, καὶ πρὸς τὴν μέλλουσαν· καὶ τὸν μὲν ἑαυτοῖς, τὸν δὲ παισὶν ἀποτίθενται. Εἶτα καὶ διαιροῦσι τὸν αὐτὸν εἰς ἀφορμὰς δαπάνης ποικίλης (87). Οἷαι γὰρ αὐτῶν αἱ διατάξεις, ἄκουσον. C Ἔστω, φησὶν, ὁ μὲν ἐν χρήσει πλοῦτος, ὁ δὲ ἀπόθετος· καὶ ὁ ταῖς χρείαις ὑπηρετούμενος ὑπερβαινέτω τῶν ἀναγκαίων τὸν ὅρον· οὗτος πρὸς τὰς κατ' οἶκον πολυτελείας παρέστω, ἐκεῖνος πρὸς τὰς ἔξωθεν φαντασίας ὑπηρετείτω· ὁ μὲν ὁδοιποροῦντι χορηγείτω τὴν πολυτέλειαν, ὁ δὲ ἐφ' ἑστίας μένοντι λαμπρὸν καὶ περίβλεπτον κατασκευαζέτω (88) τὸν βίον· ὥστε μοι θαυμάζειν ἔπεισι τῶν περιττῶν τὴν ἐπίνοιαν. Ὀχήματά ἐστι μυρία, τὰ μὲν σκευαγωγοῦντα, τὰ δὲ αὐτοὺς περιφέροντα, χαλκῷ καὶ ἀργύρῳ (89) κεκα-

[21] Psal. CXI, 9.

(83) Verbum καταχρᾶσθαι cum usitate dicatur pro eo quod est *abuti*, hic tamen usurpari videtur simpliciter pro eo quod est *uti*. Si quis tamen aliter sentiat, ei ita interpretari licet: *Abuterisne divitiis?* Statim duo mss. χαμαὶ ζητῇς.

(84) Utraque editio Basil. et Paris. cum Reg. tertio et cum Coisl. ἀνόητός ἐστιν ἡ τῶν χρημάτων σπουδή, *Sed certe divitiarum curam nihil prodesse, cuique perspectum est.* At Colbertini primus et tertius et Oliv. et Anglic. et Reg. secundus ἡ τῶν ἀχρήστων σπουδή, *Sed certe rerum inutilium curam inutilem esse, cuique notum est*: quod, ut mihi quidem videtur, et sanius est et verius. Nam Basilius respondet iis, qui dicerent divitias per se tales esse, ut delectationem afferrent, etiamsi ex eis nullus fructus caperetur; atque eorum sententiam irridet, quasi diceret: Quasi vero non omnibus notum sit, studium earum rerum quæ inutiles sunt, et ex quibus nihil emolumenti percipitur, vanum esse et inutile. Reg. primus ἀνόητός ἐστιν.... παντί που γνώριμον: quam falsam scripturam secutus Volaterranus, ita interpretatus fuerat, *Quod itaque stultum sit pecuniarum studium, cuivis liquet.*

(85) Editi παράδοξον μὲν ἴσως. Vocula μέν abest D a libris antiquis.

(86) Reg. primus οὐχ ἔχεις.

(87) Editi ποικίλας. Libri antiqui ποικίλης. Ibidem Coisl. et tres Colbertini διατάξεις ἄκουσον. Ultima vox et in editis et in multis Regiis mss. deest. Subinde editi φασίν. At mss. φησίν.

(88) Colb. primus μενέτω.... κατασκευάζων, *Alia pecunia domi maneat, lautum victum et magnificum instructura.*

(89) Editio Paris. περιφέροντα. χρυσῷ καὶ ἀργύρῳ, *Auro et argento obtecti.* At editio Basil. et sex mss. χαλκῷ καὶ ἀργύρῳ, *Ære et argento obtecti*; et ita Volaterranus et legerat et verterat. Quod ait Combefisius, vertendum esse *auro* pro *ære*, non viderat videlicet libros antiquos; ob idque audiendus non est. Horum dissimilia non sunt quæ narrat Ambrosius lib. *De Nabuthe Jezraelita*, num. 54. Et quanquam breviora sunt, mihi dubium non est quin Latinus orator, cum scriberet, Græcum oratorem sibi imitandum proposuerit.

A λυμμένα. Ἵπποι παμπληθεῖς, καὶ οὗτοι γενεαλογούμενοι ἀπὸ εὐγενείας πατέρων, ὥσπερ οἱ ἄνθρωποι. Οἱ μὲν τρυφῶντας αὐτοὺς κατὰ τὴν πόλιν περιφέρουσιν· ἄλλοι συνθηρεύουσιν, ἄλλοι πρὸς ὁδοιπορίαν ἐξησκημένοι. Χαλινοὶ καὶ (90) ζῶναι καὶ περιδέῤῥαια, πάντα ἀργυρᾶ, πάντα χρυσόπαστα. Τάπητες ἁλουργοὶ, κοσμοῦντες τοὺς ἵππους ὥσπερ νυμφίους· ἡμιόνων πλῆθος, κατὰ χρόαν διῃρημένων· ἡνίοχοι τούτων, ἀλλήλων διάδοχοι, οἱ προτρέχοντες, οἱ παρεπόμενοι. Τῶν ἄλλων οἰκετῶν ἀριθμὸς ἄπειρος πρὸς πᾶσαν αὐτοῖς πολυτέλειαν ἐξαρκῶν· ἐπίτροποι, ταμίαι, γεωργοὶ, παντοδαπῆς ἔμπειροι τέχνης, τῆς τε ἀναγκαίας καὶ τῆς πρὸς ἀπόλαυσιν καὶ τρυφὴν εὑρημένης· μάγειροι, σιτοποιοὶ, οἰνοχόοι, θηρευταὶ, πλάσται, ζωγράφοι, ἡδονῆς παντοίας δημιουργοί. B Ἀγέλαι καμήλων, τῶν μὲν ἀχθοφόρων, τῶν δὲ νομάδων, ἵππων ἀγέλαι, βουκόλια, ποίμνια, συφόρβια, οἱ τούτων νομεῖς, γῆ ἡ πᾶσι τούτοις πρὸς τροφὴν ἐξαρκοῦσα, καὶ ἔτι ταῖς προσόδοις (91) τὸν πλοῦτον αὔξουσα· λουτρὰ ἐν πόλει· λουτρὰ κατ' ἀγρούς· οἶκοι παντοδαποῖς μαρμάροις περιλαμπόμενοι, ὁ μὲν Φρυγίου λίθου, ἄλλος Λακωνικῆς ἢ Θεσσαλικῆς πλακός· καὶ τούτων οἱ μὲν ἐν χειμῶνι θάλποντες, οἱ δὲ ἀναψύχοντες ἐν τῷ θέρει. Ἔδαφος ταῖς ψηφῖσι διηνθισμένον, χρυσὸς ὑπαλείφων τὸν ὄροφον. Ὅσον δὲ τῶν τοίχων διαφεύγει τὴν πλάκα, τοῖς τῆς γραφικῆς ἄνθεσι καλλωπίζεται.

3. Ἐπειδὰν δὲ εἰς μυρία διασπώμενος ὁ πλοῦτος ἔτι C περιττεύῃ, κατὰ γῆς ὠθεῖται, καὶ ἐν ἀποῤῥήτοις φυλάττεται. Ἄδηλον γὰρ τὸ μέλλον, μήπου τινὲς ἀδόκητοι ἡμᾶς καταλάβωσι χρεῖαι. Ἄδηλον μὲν οὖν, εἰ ἥξεις πρὸς τὴν χρείαν τοῦ κατορωρυγμένου χρυσίου· οὐκ ἄδηλος δὲ ἡ ζημία τῆς ἀπανθρωπίας τῶν τρόπων. Ὅτε γὰρ οὐκ ἠδυνήθης ταῖς μυρίαις ἐπινοίαις ἐκδαπανῆσαι τὸν πλοῦτον, τότε αὐτὸν εἰς τὴν γῆν ἀπεκρύψω. Μανία δεινὴ, ἕως μὲν ἐν μετάλλοις ἦν ὁ χρυσὸς, ἀνερευνᾷν (92) τὴν γῆν· ὅτε δὲ φανερὸς ἐγένετο, πάλιν ἐν τῇ γῇ αὐτὸν ἀφανίζειν. Εἶτα, οἶμαι, συμβαίνει σοι κατορύσσοντι τὸν πλοῦτον συγκατορύσσειν καὶ τὴν καρδίαν· *Ὅπου γὰρ ὁ θησαυρός σου*, φησὶν, *ἐκεῖ καὶ ἡ καρδία*. Διὰ τοῦτο λυποῦσιν αἱ ἐντολαί· ἀβίωτον γὰρ ἑαυτοῖς τὸν βίον τίθενται, μὴ ταῖς (93) ἀνωφελέσι δαπάναις ἐνασχολούμενοι. Καί D μοι δοκεῖ τὸ πάθος τοῦ νεανίσκου, ἢ τῶν παραπλησίων αὐτῷ, παρόμοιον εἶναι, ὥσπερ ἂν εἴ τις ὁδοιπόρος ἐπιθυμίᾳ πόλεώς τινος συντόνως τὴν μέχρις αὐτῆς ὁδὸν διανύσας, εἶτα αὐτοῦ που περὶ τὰ πρὸ τῶν τειχῶν καταλύσεις πανδοχεῖα, ὄκνῳ μικρᾶς κινήσεως τόν τε προϋπάρξαντα πόνον ἀχρειῶν, καὶ τῆς ἱστορίας τῶν ἐν τῇ πόλει καλῶν ἑαυτὸν ἀποκλείων. Τοιοῦτοί εἰσιν οἱ τὰ μὲν ἄλλα ποιεῖν καταδεχόμενοι, ἀντιβαίνοντες δὲ πρὸς τὴν τῶν ὑπαρχόντων ἀπόθεσιν.

Equi quam plurimi, atque illorum genus, ut fit in hominibus, a majorum splendore commendatur. Alii hosce voluptarios circumvehunt per urbem: alii venationi, alii itineri conficiendo inserviunt. Freni, cingula, collaria, omnia argentea, intexta auro omnia. Purpurea strata, equos velut sponsos ornantia, mulorum colore distinctorum multitudo, quorum aurigæ sibi invicem succedentes, præeunt alii, alii sequuntur. Reliquorum famulorum numerus infinitus, qui sibi ad magnificentiam omnis generis ostentandam sufficiat; procuratores, promi, agricolæ, ministri cujuscunque artis periti, tum ejus quæ necessaria est, tum ejus quæ ad voluptatem deliciasque inventa est, coci, pistores, pincernæ, venatores, fictores, pictores, omnigenæ voluptatis opifices. Camelorum greges, partim ad onera ferenda, partim ad pascua destinati, equorum armenta et boum, greges ovium et porcorum, horum pastores; agri qui non modo iis omnibus pascendis sufficiant, sed qui etiam per reditus ex se provenientes divitias **54** adaugeant; balnea in urbe, balnea ruri; ædes, quæ fulgent marmoribus omnis generis; aliud est ex Phrygio lapide, aliud ex Laconicis aut Thessalicis crustis: atque ex his ædibus aliæ in hieme calefaciunt, aliæ refrigerant æstate. Pavimentum calculis variatum, lacunaria auro sublita. Quidquid autem parietum incrustatum non est, id picturæ floribus exornatur.

3. Cum autem in sexcentos usus distractæ divitiæ redundant adhuc, tum in terra detruduntur, et in abditis locis asservantur. Incertum est enim quod futurum est, ne forte in quasdam inexspectatas necessitates incidamus. Imo incertum, an defosso auro sis opus habiturus: sed incerta non est inhumanorum morum pœna. Postquam enim innumeris artificiis aurum absumere non potuisti, tunc illud sub terra occultasti. Insania ingens, dum quidem aurum in metallis erat, terram scrutari: cum autem jam in propatulo est, rursus illud in terra abscondere. Deinde, opinor, contingit tibi quisquis opes defodis, ut et cor tuum una defodias. *Nam*, inquit, *ubi thesaurus tuus, ibi et cor* [21]. Ob id præcepta eos afficiunt tristitia; vitam enim ducunt sibi intolerandam, nisi inutilibus sumptibus occupentur. Atque quod huic adolescenti aut reliquis ei consimilibus contigit, id mihi videtur esse ejusmodi, tanquam si videlicet quispiam viator urbis alicujus videndæ desiderio ductus, strenue ad eam usque contendat: deinde illic pro mœnibus in hospitiis commoratus, atque ab exiguo motu per segnitiem deterritus, et insumptum prius laborem inutilem reddat, et a videndis urbis ornamentis se ipse excludat. Tales sunt qui alia quidem mandata con-

[21] Matth. vi, 21.

(90) Colb. primus χαλινοὶ δὲ καὶ·
(91) Colb. tertius καὶ ἐπὶ ταῖς προσόδοις.
(92) Editi et Colb. secundus ἀνερευνᾷς, male. At Colb. tertius et Reg. itidem tertius ἀνερευνᾷν, bene. Mox editi εἰς τὴν γῆν. Veteres aliquot libri ἐν τῇ γῇ Ibidem Colb. secundus ἀφανίζεις. Subinde Colb. tertius οἶμαι συμβαίνειν.
(93) Editi τίθενται καὶ ταῖς, male. Libri veteres ut in contextu.

ficere volunt, sed opes exuere recusant. Vidi ego non paucos jejunantes, orantes, ingemiscentes, pietatem omnem, quæ sine impensa exerceri potest, excolentes, at ne unum quidem obolum egenis offerentes. Quæ his utilitas est reliquæ virtutis? Non enim excipit ipsos regnum cœlorum : *Nam*, inquit, *facilius est camelum per foramen acus transire, quam divitem intrare in regnum cœlorum* [23]. Utique sic perspicua sententia est; verax qui enuntiat, et tamen qui morem gerant, pauci. Et quomodo, inquit, vivemus relictis omnibus? qualis autem futura est mundi species ac status, vendentibus omnibus, et nemine sua non derelinquente? Cave sciscitoris ex me eorum quæ præcepta sunt, intelligentiam. Novit legislator efficere, ut id etiam quod fieri non potest, possit tamen cum lege componi atque aptari. Cor autem tuum velut in trutina exploratur, utrum ad vitam veram, an ad præsentes delicias declinet. Nam putare debent qui prudenter judicant, usum divitiarum ad dispensationem 55
concessum esse, non ad voluptatem; et si his exuantur, par est eos lætari velut alienis privatos, non ægre ferre quasi sua amittentes. Quid igitur afflictare? quid animo discruciare cum audis : *Vende quæ habes?* Etenim si te sequerentur in futurum sæculum, ne sic quidem essent studiosius exquirenda, utpote quæ a præmiis illic repositis obscurentur : sin autem necesse est ea hic manere, cur, his divenditis, lucrum inde non exportamus? Tu vero aurum cum das, et emis equum, non mœres : cum vero peritura impertis, regnum cœlorum pro ipsis recepturus, lacrymas effundis, et rejicis rogantem, ac dare recusas, sexcentas tibi sumptuum causas comminiscens.

A Οἶδα πολλοὺς νηστεύοντας, προσευχομένους, στενάζοντας, πᾶσαν τὴν ἀδάπανον εὐλάβειαν ἐνδεικνυμένους (94), ὀβολὸν δὲ ἕνα μὴ προϊεμένους τοῖς θλιβομένοις. Τί ὄφελος τούτοις τῆς λοιπῆς ἀρετῆς; Οὐ γὰρ παραδέχεται αὐτοὺς ἡ βασιλεία τῶν οὐρανῶν· διότι *Εὐκοπώτερον*, φησὶ, *κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν* (95), *ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν*. Ἀλλ' ἡ μὲν ἀπόφασις οὕτως ἐναργὴς, καὶ ὁ εἰπὼν ἀψευδής· οἱ δὲ πειθόμενοι σπάνιοι. Καὶ πῶς βιωσόμεθα πάντα ἀποκτησάμενοι; φησί· τί δὲ τὸ σχῆμα τοῦ βίου ἔσται, πάντων πωλούντων καὶ πάντων ἀποκτωμένων; Μὴ ἐρώτα με διάνοιαν δεσποτικῶν προσταγμάτων. Οἶδεν ὁ νομοθετήσας καὶ τὸ ἀδύνατον (96) συναρμόσαι τῷ νόμῳ. Σοῦ δὲ ὥσπερ ἐπὶ τρυτάνης δοκιμάζεται ἡ καρδία, πότερον πρὸς τὴν
B ζωὴν τὴν ἀληθινὴν ἢ πρὸς τὴν παροῦσαν ἀπόλαυσιν καταῤῥέπει. Οἰκονομικὴν γὰρ τοῦ πλούτου τὴν χρῆσιν, ἀλλ' οὐκ ἀπολαυστικὴν τοὺς σωφρόνως λογιζομένους νομίζειν προσῆκε· καὶ ἀποτιθεμένους, χαίρειν ὡς ἀλλοτρίων χωριζομένους, ἀλλ' οὐχὶ δυσχεραίνειν ὡς τῶν οἰκείων ἐκπίπτοντας. Τί οὖν λυπῇ; τί καταπενθεῖς τῇ ψυχῇ, ἀκούων· *Πώλησόν σου τὰ ὑπάρχοντα* (97); Εἰ μὲν γὰρ ἠκολούθει σοι πρὸς τὸ μέλλον, οὐδὲ οὕτως ἂν ἦν περισπούδαστα, (98) ὑπὸ τῶν ἐκεῖ τιμίων ἐπισκοτούμενα· εἰ δὲ ἀνάγκη μένειν ἐνταῦθα, τί μὴ, πωλήσαντες, τὸ ἀπ' αὐτῶν κέρδος ἀπενεγκώμεθα; Σὺ δὲ, χρυσὸν μὲν διδοὺς, καὶ ἵππον κτώμενος, οὐκ ἀθυμεῖς· φθαρτὰ δὲ προϊέμενος, καὶ βασιλείαν οὐρανῶν ἀντιλαμβάνων, δακρύεις, καὶ ἀρνῇ τὸν αἰ-
C τοῦντα, καὶ ἀνανεύεις τὴν δόσιν, μυρίας προφάσεις ἀναλωμάτων ἐπινοῶν.

4. Quid respondebis judici tu qui parietes vestis, hominem non vestis? qui equos ornas, fratrem panniculis laceris coopertum aspernaris? qui putrescere sinis frumentum, esurientes non alis? qui defodis aurum, oppressum contemnis? Quod si habueris quoque uxorem divitiarum amantem, morbus duplo major efficitur : nam et delicias accendit, et studium auget voluptatis, et cupiditatibus vanis stimulos admovet, lapides quosdam excogi-

4. Τί ἀποκριθήσῃ τῷ κριτῇ ὁ τοὺς τοίχους ἀμφιεννὺς, ἄνθρωπον οὐκ ἐνδύεις; ὁ τοὺς ἵππους κοσμῶν, τὸν ἀδελφὸν ἀσχημονοῦντα περιορᾷς; ὁ κατασήπων τὸν σῖτον, τοὺς πεινῶντας οὐ τρέφεις; ὁ τὸν χρυσὸν κατορύσσων, τοῦ ἀγχομένου (99) καταφρονεῖς; Ἐὰν δὲ δὴ καὶ γυνὴ φιλόπλουτος συνοικῇ, διπλασίων ἡ νόσος· τάς τε γὰρ τρυφὰς ἀναφλέγει; καὶ τὰς φιληδονίας συναύξει, καὶ κέντρα ταῖς περιέργοις ἐπιθυμίαις ἐνίησι, λίθους τινὰς ἐπινοοῦσα, μαργαρίτας

[23] Luc. XVIII, 25.

(94) Antiqui duo libri εὐλάβειαν ἐπιδεικνυμένους.

(95) Reg. primus ῥαφίδος εἰσελθεῖν.

(96) Editi et Regii secundus et tertius et Colbertini secundus et tertius καὶ τὸ δυνατόν, *Novit legislator efficere, ut id etiam quod fieri potest, cum lege componi possit et aptari.* At Coisl. et Reg. primus et Colb. itidem primus καὶ τὸ ἀδύνατον, *Novit legislator efficere, ut id etiam quod fieri non potest, possit tamen cum lege componi et aptari:* quam scripturam ut veram sequimur. Cum enim Basilius velit hoc loco commendare potentiam legislatoris atque sapientiam, voce ἀδύνατον uti debuit. Quid enim magni effecerit legislator, si cum lege conciliet quæ fieri possunt? Sed maxime potentia ejus sapientiaque commendabitur, si id etiam quod fieri non potest, cum lege componat et aptet. Ejus igitur loci hæc est sententia : Ita potens est legislator Deus, ut quæ viribus naturæ fieri non possunt, ea tamen ejus auxilio atque gratia facile effici possint. Nec D etiam aberraturum puto, qui verba Basilii ita accipiet : Novit legislator, id etiam quod perquam difficile factu est, facile factu per gratiam reddere. Nam vocem ἀδύνατον pro re perquam difficili quandoque usurpari notum est. Nec quemquam movere debet eorum codicum auctoritas, in quibus δυνατόν legitur. Verisimile enim fit, ita correctum esse ab aliquo, qui falso sibi in animum induxisset vocem ἀδύνατον duriorem esse atque asperiorem.

(97) In Colbertinis primo et tertio post illud, ὑπάρχοντα, addita sunt hæc verba, καὶ δὸς πτωχοῖς, *et da pauperibus*. Mox editi ἠκολούθει σοι καί : sed voculam καί delevimus, fidem antiquorum librorum secuti.

(98) Quod ait Basilius, *offundi tenebras a præmiis illic repositis*, hanc habet sententiam, vilescere divitias, si cum præmiis vitæ æternæ comparentur.

(99) Reg. primus et Colb. itidem primus τοὺς ἀρχομένους.

καὶ σμαράγδους καὶ ὑακίνθους, καὶ χρυσὸν, τὸν μὲν χαλκεύουσα, τὸν δὲ ἐξυφαίνουσα, καὶ διὰ πάσης ἀπειροκαλίας τὴν νόσον αὔξουσα. Οὐ γὰρ ἐκ παρέργου ἡ περὶ ταῦτα σπουδὴ, ἀλλὰ καὶ νύκτες καὶ ἡμέραι τὰς περὶ τούτων μερίμνας (1) ἔχουσι. Καὶ μυρίοι τινὲς κόλακες, ταῖς ἐπιθυμίαις αὐτῶν ὑποτρέχοντες, συνάγουσι τοὺς ἀνθοβαφεῖς, τοὺς χρυσοχόους, τοὺς μυρεψοὺς, τοὺς ὑφάντας, τοὺς ποικιλτάς. Οὐδένα χρόνον ἀναπνεῖν δίδωσι τῷ ἀνδρὶ ἐκ τῶν συνεχῶν αὐτῆς ἐπιταγμάτων. Οὐδεὶς ἐξαρκεῖ πλοῦτος ταῖς γυναικείαις ἐπιθυμίαις ὑπηρετούμενος, οὐδ' ἂν ἐκ ποταμῶν ἐπιῤῥέῃ· ὅταν σπουδάζηται μὲν (2) παρ' αὐταῖς τὸ βαρβαρικὸν μύρον, ὡς τὸ ἐξ ἀγορᾶς ἔλαιον, τὰ δὲ ἐκ θαλάττης ἄνθη, ἡ κόχλος, ἡ πίννα, ὑπὲρ τὸ ἐκ τῶν προβάτων ἔριον. Χρυσὸς δὲ, περισφίγγων τοὺς βαρυτίμους τῶν λίθων, ὁ μέν τις αὐταῖς προμετωπίδιος γίνεται κόσμος, ὁ δὲ περιαυχένιος· καὶ ἄλλος ἐν ζώναις, καὶ ἄλλος τὰς χεῖρας δεσμεῖ καὶ τοὺς πόδας. Χαίρουσι γὰρ αἱ φιλόχρυσοι δεδεμέναι ταῖς χειροπέδαις, μόνον ἐὰν χρυσὸς ὁ δεσμῶν αὐτὰς ᾖ. Πότε οὖν ψυχῆς ἐπιμελήσεται ὁ γυναικείαις ἐπιθυμίαις ὑπηρετούμενος; Ὥσπερ γὰρ τὰ ὑπόσαθρα τῶν πλοίων καταιγίδες καὶ ζάλαι, οὕτως (3) αἱ πονηραὶ τῶν γυναικῶν διαθέσεις τὰς ἀσθενεῖς ψυχὰς τῶν συνοικούντων καταβαπτίζουσι. Πρὸς τοσαῦτα δὴ οὖν διελκόμενος ὁ πλοῦτος ὑπὸ ἀνδρὸς καὶ γυναικὸς, ἀλλήλους νικώντων ταῖς ἐφευρέσεσι τῶν ματαίων, εἰκότως οὐδένα καιρὸν ἔχει (4) πρὸς τοὺς ἔξωθεν παρακύπτειν. Ἀλλ' ἐὰν μὲν ἀκούσῃς, *Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς*, ἵνα ἔχῃς ἐφόδια πρὸς τὴν αἰωνίαν ἀπόλαυσιν, ἀπέρχῃ λυπούμενος· ἐὰν δὲ ἀκούσῃς, Δὸς χρήματα γυναιξὶ χλιδώσαις, δὸς λιθοξόοις, τέκτοσι, ψηφοθέταις, ζωγράφοις, χαίρεις ὡς (5) δή τι χρημάτων τιμιώτερον κατακτώμενος. Οὐχ ὁρᾷς τοὺς τοίχους τούτους τοὺς ὑπὸ τοῦ χρόνου καταῤῥυέντας, ὧν τὰ λείψανα, ὥσπερ σκόπελοί τινες, διὰ τῆς πόλεως πάσης (6) ἀνέχουσι; Πόσον ἦσαν κατὰ τὴν πόλιν πένητες, τούτων ἐγειρομένων, οἳ διὰ τὴν περὶ ταῦτα σπουδὴν ὑπὸ τῶν τότε πλουσίων παρεωρῶντο; Ποῦ τοίνυν ἡ λαμπρὰ τῶν ἔργων κατασκευή; ποῦ δὲ ὁ ἐπὶ τῇ τούτων μεγαλουργίᾳ ζηλούμενος; Οὐ ταῦτα μὲν (7) συγκέχυται καὶ ἠφάνισται, ὥσπερ τὰ κατὰ παιδιὰν ἐν ταῖς ψάμμοις ὑπὸ τῶν παίδων φιλοτεχνούμενα, ὁ δὲ ἐν τῷ ᾅδῃ κεῖται, ἐπὶ τῇ σπουδῇ τῶν ματαίων μεταμελόμενος; Μεγάλην ἔχε τὴν ψυχήν· τοῖχοι δὲ καὶ μικροὶ καὶ μείζους (8) τὴν αὐτὴν χρείαν πληροῦσιν. Ὅταν παρέλθω εἰς οἰκίαν ἀνδρὸς ἀπειροκάλου καὶ ὀψιπλούτου (9), καὶ ἴδω αὐτὴν παντοίοις

A tans, margaritas, smaragdos, hyacinthos: aurum itidem partim cudens, partim texens, et omnigenis ineptiis morbum adaugens. Non enim obiter his datur opera, sed diu noctuque eadem curantur. Quin et innumeri assentatores earum cupiditatibus suppetias venientes, accersunt tinctores, aurifices, unguentarios, textores, artifices acu pingentes. Neque virum ullo tempore respirare sinit, ut quæ assiduis ipsum imperiis divexet. Opes nullæ possunt muliebres cupiditates explere, ne si fluant quidem ex fluminibus: quandoquidem barbaricum unguentum quasi allatum ex foro oleum exquirunt. Adhæc flores marini, conchylium, pinna, eaque copiosior quam ovium lana. Aurum autem lapides ingentis pretii connectens, partim earum fronti ornamento est, partim collo:
B itidem aliud inest zonis, aliud manus vincit ac pedes. Nam mulieres auri amantes manicis vinciri gaudent, modo aurum sit, quod ipsas vinciat. Quandonam igitur animæ curam habebit, qui muliebribus desideriis obsequitur? Nam ut putrefacta navigia procellæ et turbines, ita infirmas conjugum animas pravæ uxorum affectiones demergunt. Cum igitur ad tot ac tantos abusus distrahantur divitiæ a viro et uxore, sese invicem rerum vanarum excogitatione superantibus; non mirum, si illæ nullam opportunitatem nanciscantur ad exteros perveniendi. Quod si audieris, *Vende quæ habes, et da pauperibus*, ut habeas viaticum ad æternam felicitatem, abis tristis; si vero audieris, Da pecunias mulieribus luxuriosis, da
C lapicidis, fabris lignariis, hominibus calculos locantibus, pictoribus, tunc perinde gaudes ac si quidquam pecuniis pretiosius acquiras. Non vides mœnia hæc temporis diuturnitate collapsa, quorum reliquiæ velut scopuli quidam **56** per totam urbem eminent? Quot, cum exstruerentur, erant in urbe pauperes, qui ob collatum in ea studium a divitibus ejus temporis negligebantur? Jam vero ubinam est splendidus operum apparatus? ubi ille, qui magnopere laudabatur ob eorum magnificentiam? Nonne hæc ita prolapsa sunt et abolita, ut ea, quæ in arena a pueris ludentibus exstruuntur? nonne in inferno jacet ille ipse, quem ejus quod rebus vanis impensum est studii pœnitet? Sis animo magno:
D muri tum parvi, tum magni, usum eumdem explent. Quando in domum inepti viri et perquam divitis præteriens ingredior, videoque ipsam omnigenis ornamentis fulgentem, intelligo eum nihil re-

(1) Colb. primus τὴν περὶ ταῦτα μέριμναν.

(2) Colb. primus ὅταν σκευάζηται μέν. Mox idem codex καὶ ἡ πίννα. Qui comparaverit quæ hic dicuntur de mulierum quarumdam luxu, cum iis quæ de eodem argumento scripsit Ambrosius lib. *de Nab. Jez.* cap. 5, num. 26, facile, opinor, fatebitur multa ex Basilianis imitata esse. Seu quod hoc ipso in loco ait Ambrosius, *delectari et compedibus mulieres, dummodo auro ligentur*, id expressum fuit ad verbum e Basilio, qui paulo infra ita loquitur: Χαίρουσι γὰρ αἱ φιλόχρυσοι δεδεμέναι ταῖς χειροπέδαις, μόνον ἐὰν χρυσὸς ὁ δεσμῶν αὐτὰς ᾖ.

(3) Regii codices et editi ζάλαι, οὕτως. At Colbertini ζάλαι ἀεὶ ἀφανίζουσιν, οὕτως, etc.

(4) Reg. primus καιρὸν ἄγει.

(5) Colb. primus χαίροις ὡς.

(6) Reg. primus πόλεως ἁπάσης. Notarunt typographi Parisienses in ora libri, sermonem hic institui de Cæsarea Cappadociæ, quæ in honorem Cæsaris instaurata fuerat. Tiberium esse tradit Eusebius in *Chronico*, circa Olympiadem CC. Legas velim eruditissimam notam Ducæi.

(7) Reg. primus οὐ τὰ μέν. Ibidem editi συγκέχυταί τε καί. Vocula τε abest a multis codicibus.

(8) Reg. primus μικροὶ καὶ μεγάλοι: sed in ora libri addidit librarius γρ. καὶ μείζους.

(9) Quid vox ὀψίπλουτος sibi velit, satis non intelligere se notavit Combefisius: cujus nota a cu-

bus visibilibus antiquius ac carius habere, sed ornare diligenter inanimata, animam vero incultam relinquere. Quem tandem, quæso, ampliorem usum exhibent argentei lecti, mensæ argenteæ, tori eburnei et sellæ eburneæ, sic ut horum causa divitiæ ad pauperes non transeant, quanquam innumeri stant pro foribus, nullam non emittentes vocem miserabilem? Tu vero negas te daturum, aisque sufficere te non posse rogantibus. Et lingua quidem juras te non posse, sed a manu argueris : etsi enim illa tacet, mendacium tamen tuum declarat annuli pala coruscans. Quot potest tuus annulus unus ære alieno liberare? quot domos corruentes erigere? Arca tua vestiaria vel unica potest totum populum frigore rigentem amicire ; et tamen sustines pauperem non donatum dimittere, haud reveritus justam judicis compensationem. Non misertus es, non consequere misericordiam; non aperuisti domum, a regno excluderis ; panem non dedisti, non accipies vitam æternam.

5. Verum pauperem dicis teipsum, atque de hoc mihi tecum convenit. Pauper enim est, qui multis indiget. Sed insatiabilis cupiditas indigos vos multarum rerum efficit. Talentis decem decem alia adjicere conaris : viginti coactis, totidem quæris, neque appetentiam sistit quod semper a te additur, imo accendit appetitum. Quemadmodum enim ebriis vini accessio bibendi fit occasio : sic etiam recens ditati ubi multa acquisierint, plura concupiscunt, semper addendo morbum nutrientes, eisque suum studium cedit in contrarium. Neque enim præsentia bona cum tanta sint, tantum illos exhilarant, quantum contristant quæ desunt; ea, inquam, quæ sibi deesse putant, adeo ut semper curis conficiatur eorum animus, dum majora comparare nituntur. Nam cum lætari ipsos par esset, ac gratiam habere, quod tam multis sunt opulentiores : contra, ægre ferunt ac dolent se forte ab uno aut altero locupletiore superari. Ubi vero fuerint hunc divitem assecuti, confestim ditiori adhuc pares fieri conantur : et ubi eum quoque attigerint, studium suum ad alium transferunt. Quemadmodum ii qui scalas conscendunt, pede semper ad superiorem gradum erecto non prius conquiescunt, quam ad summum perveniant : sic quoque hi non cessant ab appetenda potentia, donec in sublime evecti,

γεγανωμένην ἄνθεσιν, οἶδα, ὅτι οὗτος οὐδὲν τῶν ὁρωμένων τιμιώτερον κέκτηται, ἀλλὰ τὰ μὲν ἄψυχα καλλωπίζει, τὴν δὲ ψυχὴν ἀκόσμητον ἔχει. Ποίαν, εἰπέ μοι, χρείαν περισσοτέραν παρέχουσιν ἀργυραῖ κλῖναι καὶ τράπεζαι ἀργυραῖ, ἐλεφάντιναι στιβάδες καὶ ἐλεφάντινοι δίφροι, ὥστε τὸν πλοῦτον διὰ ταῦτα μὴ διαβαίνειν πρὸς τοὺς πτωχούς, καίτοι μυρίοι ἐφεστᾶσι (10) τῇ θύρᾳ, πᾶσαν ἐλεεινὴν ἀφιέντες φωνήν; Σὺ δὲ ἀρνῇ τὴν δόσιν, ἀδύνατον εἶναι λέγων ἐπαρκεῖν τοῖς αἰτοῦσι. Καὶ τῇ μὲν γλώσσῃ ἐξόμνυσαι, ὑπὸ δὲ τῆς χειρὸς διελέγχῃ· σιωπῶσα γάρ σου ἡ χεὶρ τὴν ψευδολογίαν κηρύσσει, περιαστραπτομένη ὑπὸ τῆς ἐπὶ τοῦ δακτυλίου σφενδόνης. Πόσους δύναται (11) εἷς σου δακτύλιος χρεῶν ἀπολῦσαι; πόσους οἴκους καταπίπτοντας ἀνορθῶσαι; Μία σου κιβωτὸς ἱματίων δύναται δῆμον ὅλον ῥιγῶντα περιβαλεῖν· ἀλλ' ὑπομένεις ἄπρακτον ἀποπέμψαι τὸν πένητα, οὐ φοβούμενος τὸ δίκαιον τῆς ἀνταποδόσεως τοῦ κριτοῦ. Οὐκ ἠλέησας, οὐκ ἐλεηθήσῃ· οὐκ ἤνοιξας τὴν οἰκίαν (12), ἀποπεμφθήσῃ τῆς βασιλείας· οὐκ ἔδωκας τὸν ἄρτον, οὐ λήψῃ τὴν αἰώνιον ζωήν.

5. Ἀλλὰ πένητα λέγεις σαυτόν· κἀγὼ συντίθεμαι. Πένης γάρ ἐστιν ὁ πολλῶν ἐνδεής. Πολλῶν δὲ ὑμᾶς ἐνδεεῖς ποιεῖ τὸ τῆς ἐπιθυμίας ἀκόρεστον. Τοῖς δέκα ταλάντοις δέκα ἕτερα προστιθέναι σπουδάζεις (13)· ἐπειδὰν εἴκοσι γένηται, ἄλλα τοσαῦτα ἐπιζητεῖς, καὶ ἀεί σοι τὸ προστιθέμενον, οὐχὶ τὴν ὁρμὴν ἵστησιν, ἀλλ' ἀναφλέγει τὴν ὄρεξιν. Ὥσπερ γὰρ τοῖς μεθύουσιν ἀφορμὴ τοῦ πίνειν ἡ προσθήκη τοῦ οἴνου γίνεται, οὕτω καὶ οἱ νεόπλουτοι, πολλὰ κτησάμενοι, πλειόνων ἐπιθυμοῦσι, τῷ ἀεὶ προστιθεμένῳ τὴν νόσον τρέφοντες, καὶ περιτρέπεται αὐτοῖς ἡ σπουδὴ πρὸς τὸ ἐναντίον. Οὐ γὰρ εὐφραίνει αὐτοὺς τὰ παρόντα τοσαῦτα ὄντα, ὅσον (14) λυπεῖ τὰ ἐνδέοντα ἅπερ ἂν αὐτοῖς ἐλλείπειν ὑπόθωνται· ὥστε ἀεὶ τὴν ψυχὴν αὐτοῖς ταῖς μερίμναις ἐκτήκεσθαι, πρὸς τὸ ὑπερβάλλον τὴν ἅμιλλαν ποιουμένοις. Δέον γὰρ αὐτοὺς εὐφραίνεσθαι καὶ χάριν ἔχειν, τοσούτων ὄντας εὐπορωτέρους· οἱ δὲ δυσφοροῦσι καὶ ὀδυνῶνται, ὅτι ἑνός που ἢ δευτέρου τῶν ὑπερπλουτούντων ἀπολιμπάνονται. Ὅταν τοῦτον τὸν πλούσιον καταλάβωσιν, εὐθὺς τῷ πλουσιωτέρῳ παρισωθῆναι φιλονεικοῦσι· κἂν ἐπ' ἐκεῖνον φθάσωσιν, ἐπὶ τὸν ἄλλον τὴν σπουδὴν μεταφέρουσιν. Ὥσπερ οἱ τὰς κλίμακας ἀναβαίνοντες, ἀεὶ πρὸς τὴν ὑπερκειμένην βαθμίδα τὸ ἴχνος αἴροντες, οὐ πρότερον ἵστανται πρὶν ἂν τῆς ἄκρας ἐφίκωνται· οὕτω καὶ οὗτοι οὐ παύονται τῆς κατὰ τὴν δυναστείαν ὁρμῆς, ἕως ἂν

riosis legi potest. Mihi satis probabile videtur, voce hac hic indicari hominem, qui ad vesperam usque vitæ divitias colligit, nec unquam iis satiatur. *Ὅταν παρέλθω εἰς οἰκίαν ἀνδρὸς ἀπειροκάλου καὶ ὀψιπλούτου.* Verte : *Quando in domum ingredior hominis inepti et sero ditati.* Homines illi sero ditati iidem sunt ac qui paulo post, n. 5, vocantur νεόπλουτοι, *recens ditati*, et idcirco magis insolescunt quam qui in magnis opibus nati sunt. Hi p. 57, dicuntur ἐκ μικρᾶς δυνάμεως (sic enim apud Symeonem Logothetam legitur serm. 6, pag. 502) προελθόντες, et cum fluminibus comparantur, quorum parva initia. MARAN

(10) Editi ἐφεστήκασι. At multi mss. ἐφεστᾶσι.

(11) Illud Basilii, πόσους δύναται, etc., sic expressit Ambrosius eodem libro *De Nab.* cap. 13, num. 56 : *Totius vitam populi poterat annuli tui gemma servare.*

(12) Colb. primus τὴν οἰκίαν σου. Aliquanto post mss. nonnulli τὴν αἰωνίαν ζωήν.

(13) Colb. tertius ἄλλα δέκα τάλαντα προστιθέναι σπουδάζετε : qui tamen codex mox habet ἐπιζητεῖς : ex quo fit, ut mendum subsit in loco alterutro. At Colb. primus utroque in loco numerum multitudinis præfert, σπουδάζετε.... ἐπιζητεῖτε.

(14) Colb. primus ὅσον ὀδυνᾷ.

ὑψωθέντες, ἀπὸ μετεώρου τοῦ πτώματος ἑαυτοὺς καταῤῥάξωσι (15). Τὴν σελευκίδα τὸ ὄρνεον ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων ἀκόρεστον εἶναι ὁ κτίστης τῶν ὅλων ἐμηχανήσατο· σὺ δὲ ἐπὶ βλάβῃ τῶν πολλῶν ἀκόρεστον σεαυτοῦ τὴν ψυχὴν κατεσκεύασας. Ὅσα βλέπει ὁ ὀφθαλμὸς, τοσούτων ἐπιθυμεῖ (16) ὁ πλεονέκτης. *Οὐ πλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾷν*, καὶ οὐ κορεσθήσεται φιλάργυρος τοῦ λαμβάνειν. Ὁ ᾅδης οὐκ εἶπεν, Ἀρκεῖ, οὐδὲ ὁ πλεονέκτης εἶπέ ποτε, Ἀρκεῖ. Πότε χρήσῃ τοῖς παροῦσι; πότε ἀπολαύσεις αὐτῶν, ἀεὶ τοῖς πόνοις τῆς κτήσεως συνεχόμενος; *Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι.* Σὺ δὲ τί ποιεῖς; Οὐ προφασίζῃ μυρία, ἵνα λάβῃς τὰ τοῦ πλησίον; Ἐπισκοτεῖ μοι, φησὶν, ἡ τοῦ γείτονος οἰκία, θορύβους ἐνίησιν, ἢ τὸ πλανώμενον (17) ὑποδέχεται, ἢ ὅ τι ἂν τύχῃ αἰτιασάμενος, περιελαύνων, καὶ ἐξωθῶν, καὶ ἕλκων ἀεὶ, καὶ σπαράσσων, οὐ πρότερον παύεται, πρὶν ἂν ἐπαγάγῃ αὐτοῖς ἀνάγκην μεταναστάσεως. Τί τὸν Ναβουθὰν τὸν Ἰεζραηλίτην ἀπέκτεινεν (18); Οὐχ ἡ τοῦ Ἀχαὰβ ἐπιθυμία τοῦ ἀμπελῶνος; Πονηρὸς ἐν πόλει σύνοικος, πονηρὸς ἐν ἀγροῖς, ὁ πλεονέκτης. Ἡ θάλασσα οἶδε τὰ ὅρια αὐτῆς (19)· ἡ νὺξ οὐχ ὑπερβαίνει ὁροθεσίας ἀρχαίας. Ὁ δὲ πλεονέκτης οὐκ αἰδεῖται χρόνον, οὐ γνωρίζει ὅρον, οὐ συγχωρεῖ ἀκολουθίᾳ διαδοχῆς, ἀλλὰ μιμεῖται τοῦ πυρὸς τὴν βίαν· πάντα ἐπιλαμβάνει, πάντα ἐπινέμεται. Καὶ ὥσπερ οἱ ποταμοὶ, ἐκ μικρᾶς (20) τῆς πρώτης ἀρχῆς ὁρμηθέντες, εἶτα ταῖς κατ' ὀλίγον προσθήκαις ἀνυπόστατον λαβόντες τὴν αὔξησιν, τῷ βιαίῳ τῆς φορᾶς τὸ ἐνιστάμενον παρασύρουσιν· οὕτω καὶ οἱ ἐπὶ μέγα τῆς δυνάμεως προελθόντες (21), ἐκ τῶν ἤδη καταδυναστευθέντων τὴν τοῦ πλεῖον ἀδικεῖν δύναμιν προσλαμβάνοντες, τοῖς προηδικημένοις τοὺς λειπομένους καταδουλοῦνται, καὶ γίνεται αὐτοῖς δυνάμεως αὔξησις ἡ περιουσία τῆς πονηρίας. Οἱ γὰρ προπεπονθότες κακῶς, ἠναγκασμένην αὐτοῖς παρεχόμενοι τὴν βοήθειαν, τὰς καθ' ἑτέρων βλάβας καὶ ἀδικίας συνεκπονοῦσι. Ποῖος γὰρ γείτων, ποῖος σύνοικος, τίς συναλλάκτης οὐ παρασύρεται; Οὐδὲν ὑφίσταται τὴν βίαν τοῦ πλούτου· πάντα ὑποκύπτει τῇ τυραννίδι, πάντα ὑποπτήσσει τὴν δυναστείαν (22), πλείονα λόγον ἑκάστου τῶν ἠδικημένων ἔχοντος μὴ προσπαθεῖν τι κακὸν, ἢ δίκην λαβεῖν ὑπὲρ τῶν φθασάντων. Ἐπάγει τὰ ζεύγη τῶν βοῶν, ἀροτριᾷ, κατασπείρει, θερίζει τὰ μὴ προσήκοντα. Ἐὰν ἀντείπῃς, αἱ πληγαί· ἐὰν ὀδύρῃ, ὕβρεων γραφαὶ, ἀγώγιμος εἶ,

A alto casu scipsos contundant. Avem seleucidem universorum opifex hominum gratia condidit insatiabilem; tu vero in multorum perniciem animum tuum inexplebilem effecisti. Quæcunque videt oculus, ea concupiscit avarus. *Non explebitur oculus videndo* [24], neque avarus satiabitur accipiendo. Infernus non dixit, Sufficit; neque avarus unquam dixit, Sufficit [25]. Quandonam uteris præsentibus? quando his frueris tu, qui semper parandi labore detineare? *Væ qui conjungunt domum ad domum, et agrum ad agrum connectunt, ut a proximo aliquid auferant* [26]. Tu vero quid facis? An non innumera causaris, ut rem proximi usurpes? Mihi, inquit, tenebras offundit domus vicini, turbas excitat, aut errones suscipit; aut tandem quidvis aliud præ- B texens, exagitans, extrudens, trahens semper ac lacerans, non prius finem facit, quam eum alio migrare coegerit. Quid Nabutham Jezraelitem interemit [27]? Nonne cupiditas Achaab vitem illius concupiscentis? Avarus, malus in urbe, malus ruri vicinus est. Novit mare terminos suos: nox antiquos limites sibi præscriptos non transgreditur. At vero avarus non veretur tempus, non agnoscit terminum, successionis ordini non cedit; sed ignis vim imitatur, invadit omnia, omnia depascitur. Et ut flumina ex parvo initio profecta, deinde per eas quæ paulatim fiunt accessiones intolerabiliter aucta, quidquid obsistit et objicitur, id violento impetu secum trahunt; ita etiam avari ad magnam C potentiam provecti, ubi ex iis quos jam potentia sua oppressere, inferendæ injuriæ facultatem ampliorem adepti sunt, tunc reliquos una cum iis quos prius injuria affecere, redigunt in servitutem, atque potestatis incrementum fit ipsis occasio major nequitiæ. Nam qui prius damnum accepere, inviti ipsos adjuvantes, ipsi quoque noxas aliis et injurias accersunt. Quis enim vicinus, quis contubernalis, quis ex eis quibuscum commercia habent, non attrahitur? Nihil vim sustinet divitiarum, tyrannidi cedunt omnia, potentiam omnia formidant; cum unusquisque eorum qui jam injuria affecti sunt, magis sollicitus sit, ne quid mali ulterius patiatur, quam ut de eis quæ perpessus est, vindictam sumat. Dives incitat juga boum, arat, serit, metit D messem ad se non attinentem. Si contradicas, plagæ: si conquerare, ageris reus injuriarum, addiceris servituti, habitabis carcerem: parati syco-

[24] Eccle. I, 8. [25] Prov. XXVII, 20; XXX, 16. [26] Isa. V, 3. [27] III Reg. XXI.

(15) Colb. primus ἑαυτοὺς καταῤῥήξωσι.

(16) Reg. primus κατεσκεύασας· ὅσον βλέπει ὁ ὀφθαλμὸς, τοσοῦτον ἐπιθυμεῖ.

(17) Editi πεπλανημένον. Antiqui duo libri ἀποπλανώμενον. Alii quatuor πλανώμενον: qua voce Combefisius significari vult hæreticos. *Hic enim*, inquit, *Basilii ætate, vexandi proximum maximus prætextus.* Sed cum avari ne cogitare quidem de hæreticis soliti sint, arbitror intelligi potius debere errones: qui cum omnibus hominibus infesti sint, speciosam conquerendi causam avaris illis dare poterant. Mox unus ms. ἂν τύχοι. Subinde Colb. tertius πρότερον παύσεται.

(18) Editi et sex mss. τὸν Ἰσραηλίτην ἀπέκτεινεν. Sed recte adnotavit Combefisius, pro Ἰσραηλίτην legendum esse Ἰεζραηλίτην. Statim mss. nonnulli οὐχ ἡ τοῦ. Editi οὐχὶ τοῦ.

(19) Colb. tertius ὅρια ἑαυτῆς.

(20) Colb. primus ἀπὸ μικρᾶς.... λαμβάνοντες τήν.

(21) Colb. tertius οὕτω καὶ οἱ πλούσιοι ἐκ μικρᾶς δυνάμεως πρ. Ibidem editi προσελθόντες. At mss. nonnulli παρελθόντες.

(22) Editi δυναστείαν αὐτοῦ. Vox αὐτοῦ deest in mss. multis.

phantæ, qui te vocent in vitæ periculum. Denique tecum bene actum putabis, si etiam aliud quidpiam adjiciens his molestiis libereris.

6. Velim te ab injustitiæ operibus paululum 58 respirare, et cogitationibus tuis otium dare, tecum ut repules ad quem finem studium ejusmodi rerum tendat. Habes tot jugera terræ arabilis, totidem terræ arboribus consitæ, montes, campos, saltus, fluvios, prata. Quid igitur post hæc? Nonne tres tantum terræ cubiti te exspectant? Nonne paucorum lapidum onus misero corpori custodiendo erit satis? Cujus rei gratia laboras? Ob quam rem inique agis? Quid manibus colligis infructuosa? Atque utinam infructuosa, non materiam igni æterno! Num tandem resipisces ab hac ebrietate? Num recipies te ad saniorem mentem? Num tui juris eris? Num Christi judicium tibi pones ob oculos? Quam allaturus es excusationem, cum ii qui injuria affecti fuerint, jam te circumstantes, adversum te clamabunt coram æquo judice? Quid ergo facies? quos conduces patronos? quos testes produces? quomodo corrumpes judicem, qui nullis artibus decipi potest? Nullus ibi adest rhetor; non sunt verba suasoria, quibus judicis veritas circumveniri possit; non sequuntur adulatores, non pecuniæ, non fastus dignitatis: desertus ab amicis, destitutus fautoribus, sine patrocinio, citra defensionem, pudore suffusus deprehenderis, tristis, mœstus, solitarius, fiducia ac libertate loquendi carens. Quocunque enim converles oculos, clara et aperta conspicies scelerum argumenta, hinc pupilli lacrymas, illinc viduæ gemitum, aliunde egenos abs te pugnis obtusos: servos, quos cecidisti: vicinos, quos ad iracundiam provocasti: insurgent adversum te omnia: te tuarum actionum malarum chorus pravus stipabit. Quemadmodum enim umbra corpus, sic peccata animas comitantur, gestorum imaginem claram exprimentia. Quapropter illic negandi non est locus, sed obturatur os vel impudentissimum. Nam ipsa cujusque opera, non quidem vocem emittentia, sed talia apparentia, qualia a nobis peracta sunt, ferunt testimonium. Quomodo potero tibi ob oculos horrenda illa ponere? Itaque si audieris, si flectaris, recordare illius diei, in quo *Revelatur ira Dei de cœlo*[28]. Veniat tibi in mentem gloriosus adventus Christi; cum *Qui bona egerint, resurgent in resurrectionem vitæ; qui vero mala, in resurrectionem judicii*[29]. Tunc verecundia æterna peccatoribus, *Et ignis æmulatio, quæ*

A οἰκήσεις τὸ δεσμωτήριον, οἱ συκοφάνται εὐτρεπεῖς, εἰς τὸν ὑπὲρ τοῦ ζῆν κίνδυνον καθιστῶντες. Ἀγαπήσεις, καὶ ἄλλο τι προσδοὺς, ἀπηλλάχθαι πραγμάτων.

6. Ἐβουλόμην σε μικρὸν ἀναπνεῦσαι τῶν ἔργων τῆς ἀδικίας, καὶ δοῦναι σχολὴν τοῖς σεαυτοῦ λογισμοῖς, ὥστε ἐνθυμηθῆναι πρὸς ὁποῖον πέρας ἡ σπουδὴ τῶν γινομένων συντέταται (23). Ἔχεις γῆς ἀροσίμου πλέθρα τόσα καὶ τόσα, γῆς πεφυτευμένης τοσαῦτα ἕτερα, ὄρη, πεδία, νάπας, ποταμοὺς, λιβάδας. Τί οὖν μετὰ τοσαῦτα; Οὐχὶ τρεῖς σε πήχεις ἀναμένουσιν οἱ πάντες; Οὐχὶ λίθων ὀλίγων βάρος ἀρκέσει πρὸς φυλακὴν τῇ δυστήνῳ σαρκί; Ὑπὲρ τίνος μοχθεῖς; ὑπὲρ τίνος παρανομεῖς; Τί συνάγεις χερσὶν ἀκαρπίαν; Εἴθε ἀκαρπίαν καὶ μὴ ὕλην τῷ αἰωνίῳ πυρί! Οὐ νήψεις ποτὲ ἀπὸ τῆς μέθης ταύτης; Οὐχ ὑγιανεῖς τοὺς λογισμούς; B Οὐ σεαυτοῦ γενήσῃ; Οὐ πρὸ ὀφθαλμῶν λήψῃ τὸ τοῦ Χριστοῦ δικαστήριον; Τί ἀπολογήσῃ, ἐπειδὰν σε κύκλῳ περιστάντες οἱ ἠδικημένοι καταβοῶσί σου ἐπὶ τοῦ δικαίου κριτοῦ; Τί οὖν (24) ποιήσεις; ποίους συνηγόρους μισθώσῃ; ποίους μάρτυρας παραστήσεις; πῶς παραπείσεις τὸν ἀπαραλόγιστον δικαστήν; Οὐκ ἔνι ῥήτωρ ἐκεῖ· οὐκ ἔνι πιθανότης ῥημάτων, κλέψαι δυναμένη τοῦ δικαστοῦ τὴν ἀλήθειαν· οὐκ ἀκολουθοῦσιν οἱ κόλακες, οὐ τὰ χρήματα, οὐχ ὁ ὄγκος τοῦ ἀξιώματος· ἔρημος φίλων, ἔρημος βοηθῶν, ἀσυνηγόρητος, ἀναπολόγητος, κατῃσχυμμένος παραληφθήσῃ (25), σκυθρωπὸς, κατηφὴς, μεμονωμένος, ἀπαρρησίαστος. Ὅπου γὰρ ἂν περιαγάγῃς τὸν ὀφθαλμὸν, ἐναργεῖς ὄψει τῶν κακῶν τὰς εἰκόνας· ἔνθεν τοῦ ὀρφανοῦ τὰ δάκρυα, ἐκεῖθεν τῆς χήρας τὸν στενα- C γμὸν, ἑτέρωθεν τοὺς κατακονδυλισθέντας ὑπὸ σοῦ πένητας· τοὺς οἰκέτας, οὓς κατέξαινες· τοὺς γείτονας, οὓς παρώργιζες· πάντα σοι ἐπαναστήσεται· πονηρὸς χορὸς τῶν κακῶν σου πράξεων περιστοιχίσεταί σε (26). Ὥσπερ γὰρ ἡ σκιὰ τῷ σώματι, οὕτω ταῖς ψυχαῖς αἱ ἁμαρτίαι παρέπονται, ἐναργῶς (27) τὰς πράξεις ἐξεικονίζουσαι. Διὰ τοῦτο οὐκ ἔστιν ἄρνησις ἐκεῖ, ἀλλ' ἐμφράσσεται τὸ στόμα καὶ τὸ ἀναίσχυντον. Αὐτὰ γὰρ ἑκάστου καταμαρτυρεῖ τὰ πράγματα, οὐ φωνὴν ἀφιέντα, ἀλλὰ τοιαῦτα φαινόμενα οἷα ὑφ' ἡμῶν κατεσκεύασται. Πῶς σοι δυνηθῶ ὑπ' ὄψιν ἀγαγεῖν τὰ φρικτά (28); Ἐὰν ἄρα ἀκούσῃς, ἐὰν ἄρα ἐνδῷς, μνήσθητι τῆς ἡμέρας ἐκείνης ἐν ᾗ *Ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ*. Μνήσθητι τῆς D ἐνδόξου τοῦ Χριστοῦ παρουσίας (29), ὅτε ἀναστήσονται *Οἱ μὲν τὰ ἀγαθὰ πράξαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα εἰς ἀνάστασιν κρίσεως*. Τότε αἰσχύνη αἰώνιος τοῖς ἁμαρτωλοῖς, *Καὶ πυρὸς ζῆλος*

[28] Rom. I, 18. [29] Joan. V, 29.

(23) Colb. primus γινομένων συντάττεται. Colb. tertius συντέτακται. At Coisl. et alii duo mss. cum editis συντέταται, bene.

(24) Voculam οὖν addidimus ex antiquis tribus libris.

(25) Editi et Colb. tertius κατῃσχυμμένος ἀπολειφθήσῃ, *pudore suffusus relinqueris*. Colb. secundus ἀποληφθήσῃ. At Colb. primus et Regii tres mss. cum editione Basil. παραληφθήσῃ, *deprehenderis*, rectius.

(26) Reg. primus περιστοιχήσεταί σοι

(27) Editio Paris. et Colb. tertius ἐναργῶς. Editio Basil. et aliquot mss. ἐναργεῖς. Mox duo mss. ἀλλὰ φράσσεται. Alius ἐμφράττεται.

(28) Reg. primus ἀγαγεῖν τὰ φρικτὰ ἐκεῖνα. Haud ita multo infra Colb. primus ὀργὴ Θεοῦ. Vox Θεοῦ abest a vulgatis.

(29) Editio Paris. Μνήσθητι τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ ἀποκαλύπτεται ἡ ἔνδοξος τοῦ Χριστοῦ παρουσία. Editio Basil. et quatuor mss. ut in contextu, brevius et melius.

ἐσθίειν μέλλων τοὺς ὑπεναντίους. Ἐκεῖνα λυπείτω A σε, καὶ μὴ λυπείτω σε ἡ ἐντολή. Πῶς σε δυσωπήσω; τί φθέγξομαι; Βασιλείας οὐκ ἐπιθυμεῖς; γέενναν οὐ φοβῇ; πόθεν εὑρεθῇ ἴασις τῇ ψυχῇ (30) σου; Εἰ γὰρ τὰ φρικτὰ οὐ πτοεῖ, τὰ φαιδρὰ οὐ προτρέπεται, λιθίνῃ καρδίᾳ διαλεγόμεθα.

7. Διάβλεψον, ἄνθρωπε, πρὸς τὴν φύσιν τοῦ πλούτου. Τί τοσοῦτον ἐπτόησαι περὶ τὸν χρυσόν; Λίθος ἐστὶν ὁ χρυσὸς, λίθος ὁ ἄργυρος, λίθος ὁ μαργαρίτης, λίθος τῶν λίθων ἕκαστος· χρυσόλιθον, καὶ βηρύλλιον (31), καὶ ἀχάτης, καὶ ὑάκινθος, καὶ ἀμέθυσος, καὶ ἴασπις. Ταῦτα δὴ τοῦ πλούτου τὰ ἄνθη· ὧν σὺ τὰ μὲν ἀποτίθεσαι καταχρύπτων, καὶ τοὺς διαφανεῖς τῶν λίθων σκότῳ καλύπτων (32)· τοὺς δὲ περιφέρεις, τῶν βαρυτίμων ἐναβρυνόμενος αὐτῶν τῇ αὐγῇ. Εἰπὲ, τί ὄφε- B λός σοι λίθοις λαμπομένην περιστρέφειν τὴν χεῖρα; Οὐκ ἐρυθριᾷς λιθιδίων κισσῶν ὡς γυναῖκες, ὅταν κύωσι; Καὶ γὰρ ἐκεῖναι λιθίδια περιτρώγουσι, καὶ σὺ λίχνως ἔχεις περὶ τὰ ἄνθη τῶν λίθων, σαρδόνυχας, καὶ ἰάσπιδας, καὶ ἀμεθύσους ἐπιζητῶν. Τίς καλλωπιστὴς μίαν ἡμέραν ἠδυνήθη τῷ βίῳ προσθεῖναι; τίνος ἐφείσατο θάνατος διὰ τὸν πλοῦτον; τίνος ἀπέσχετο νόσος διὰ τὰ χρήματα; Ἕως πότε χρυσὸς, τῶν ψυχῶν ἡ ἀγχόνη, τὸ τοῦ θανάτου ἄγκιστρον, τὸ τῆς ἁμαρτίας δέλεαρ; Ἕως πότε πλοῦτος, ἡ τοῦ πολέμου ὑπόθεσις, δι' ὃν χαλκεύεται ὅπλα, δι' ὃν ἀκονᾶται ξίφη; Διὰ τοῦτον (33) συγγενεῖς ἀγνοοῦσι τὴν φύσιν, ἀδελφοὶ κατ' ἀλλήλων φονικὸν βλέπουσι· διὰ τὸν πλοῦτον αἱ ἐρημίαι τοὺς φονευτὰς τρέφουσιν, ἡ θάλασσα τοὺς καταποντιστὰς, αἱ πόλεις τοὺς συκοφάντας. Τίς ἐστιν ὁ C ψεύδους πατήρ; τίς ὁ πλαστογραφίας δημιουργός; τίς ὁ τὴν ἐπιορκίαν γεννήσας; Οὐχ ὁ πλοῦτος; οὐχ ἡ περὶ τοῦτον σπουδή; Τί πάσχετε, ἄνθρωποι; τίς ὑμῖν τὰ ὑμέτερα εἰς τὴν καθ' ὑμῶν (34) ἐπιβουλὴν περιέτρεψε; Συνεργία πρὸς τὸ ζῆν. Μὴ γὰρ ἐφόδια κακῶν ἐδόθη τὰ χρήματα; Λύτρον ψυχῆς. Μὴ γὰρ ἀφορμὴ ἀπωλείας; Ἀλλ' ἀναγκαῖος ὁ πλοῦτος διὰ τοὺς παῖδας. Εὐπρόσωπος ἀφορμὴ πλεονεξίας αὕτη· τοὺς γὰρ παῖδας προβάλλεσθε, τὴν δὲ καρδίαν πληροφορεῖτε. Μὴ αἰτιῶ τὸν ἀναίτιον· ἴδιον ἔχει δεσπότην, ἴδιον οἰκονόμον· παρ' ἄλλου (35) τὴν ζωὴν ἐδέξατο, παρ' αὐτοῦ τὰς ἀφορμὰς ἀναμένει τοῦ βίου. Μὴ τοῖς γεγαμηκόσιν οὐκ ἐγράφη τὰ Εὐαγγέλια· *Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ* D *δὸς πτωχοῖς;* Ὅτε ᾔτεις παρὰ τοῦ Κυρίου τὴν εὐπαιδίαν, ὅτε ἠξίου γενέσθαι τέκνων πατὴρ, ἆρα προσέθηκας τοῦτο· Δός (36) μοι τέκνα, ἵνα παρακούσω τῶν ἐντολῶν σου; δός μοι τέκνα, ἵνα μὴ φθάσω

consumptura est adversarios [30]. Hæc te tristitia afficiant, non molestum tibi sit ipsum præceptum. Quomodo flectam te? quid dicam? Regni non teneris desiderio? non times gehennam? unde sanitas animæ tuæ conciliabitur? Etenim si te non terrent horrenda, si læta ac hilaria non exstimulant, lapideum cor alloquimur.

7. Intuere, o homo, naturam divitiarum. Quid attonitus tantopere aurum miraris? Lapis aurum est, lapis argentum, lapis margarita, lapis lapidum unusquisque; chrysolithus, beryllus, achates, hyacinthus, amethysus et jaspis. **59** Hi sunt divitiarum flores, quorum tu partem ita recondis et abscondis, ut pellucidos quosdam lapillos tegas tenebris, alios circumferas, deque pretiosorum splendore glorieris. Dic, quæso, quid tibi prodest manum lapillis coruscantem circumvertere? Non te pudet instar mulierum gravidarum lapillos desiderare? Hæ enim arrodunt lapillos, et tu usque adeo avidus es pulchriorum quorumcunque lapillorum, ut sardonychas, jaspidas et amethysos diligenter conquiras. Quis ex iis qui plus æquo vestium elegantiam affectant, potuit unam diem suæ ipsius vitæ adjicere? cui pepercit mors ob divitias? a quo abstinuit morbus causa pecuniarum? Usquequo aurum, animarum laqueus, mortis hamus, peccati illecebra? Quousque divitiæ belli causa, quibus conflantur arma, quibus acuuntur gladii? Propter opes cognati ignorant naturam, fratres oculis cædem spirantibus sese invicem conspiciunt; ob divitias deserta alunt homicidas, mare piratas, civitates sycophantas. Quis est mendacii pater? quis confictæ accusationis opifex? quis parens perjurii? Nonne divitiæ? nonne earum studium? Quid facitis, o homines? quis vobis, quæ vestra sunt, in insidias vertit? Subsidium sunt vitæ. Absit enim ut pecuniæ datæ sint ad malorum incitamentum! Redemptio sunt animæ. Absit enim ut occasio sint exitii! Sed, inquis, necessariæ opes sunt propter liberos. Hæc est avaritiæ speciosa causa; liberos namque prætenditis, interea vero satisfacitis vestro animo. Insontem ne incusa: proprium dominum habet, proprium rectorem; ab alio vitam accepit, ab ipso vitæ subsidia exspectat. Numne iis qui matrimonio junguntur, scripta sunt Evangelia: *Si vis perfectus esse, vende quæ habes, et da pauperibus* [31]? Cum prolem numerosam peteres a Domino, cum rogares ut fieres liberorum pater, illudne addidisti: Da mihi liberos, tua ut violem præcepta? Da mihi sobolem, ut ad re-

[30] Hebr. x, 27. [31] Matth. xix, 21.

(30) Colb. primus τῆς ψυχῆς.
(31) Rursus Colb. primus χρυσόλιθος, βηρύλλιος. Alii quatuor mss. χρυσόλιθον, βηρύλλιον. Ambrosius et hunc Basilii locum ad orationem suam pereleganter accommodavit lib. *De Nab. Jez.* cap. 5, num. 26. *Non abnuo*, inquit, *gratum quemdam lapidum istorum esse fulgorem, sed tamen lapidum.*
(32) Colb. tertius σκότῳ καταχαλύπτων. Mox idem codex λίθοις περιλαμπομένην.
(33) Veteres aliquot mss. διὰ τοῦτον. Editi δια τοῦτο. Mox Reg. primus φονικὸν βλέποντες μαίνονται· διά.
(34) Colb. primus τίς ὑμῖν τὰ ἡμέτερα εἰς τὴν καθ' ἡμῶν. Statim aliquot mss. et editi συνεργίᾳ. Alii mss. σύνεργα. Invenimus in aliquibus mss. notam interrogationis post voces χρήματα et ἀπωλείας: sed quid hac opus sit, non video.
(35) Colb. tertius οἰκονόμον παρ' οὗ.
(36) Editi τοῦτο τὸ, Δός. At mss. aliquot τοῦτο· Δός.

gnum cœlorum non perveniam? Ad hæc voluntatis filii quis erit sponsor, quod videlicet datis rebus recte usurus sit? Nam divitiæ multis exstitere libidinis ministræ atque impuritatis. An non audis Ecclesiasten dicentem : *Vidi languorem gravem, divitias custoditas ei, qui ab eis, in malum ei* [32]. Ac rursus : *Relinquo ego ipsum homini, qui meus successor erit. Et quis novit an sapiens erit, an stultus* [33]? Vide igitur ne divitias laboribus permultis coacervatas, aliis materiam peccatorum facias, posteaque plectaris duplici pœna, tum nomine eorum, quæ ipse inique egisti; tum **60** eorum, quæ alter abs te adjutus perpetrarit. Nonne cunctis liberis propinquior tibi est anima tua? Nonne tibi majori necessitudine conjungitur quam cætera omnia? Prima cum sit, ei præcipuas hæreditatis partes da, amplum vitæ subsidium ipsi tribue; et tunc facultates reliquas liberis distribues. Et quidem liberi, nulla a parentibus accepta hæreditate, plerumque sibiipsis domos pararunt : at tuæ animæ, si eam semel negligas, quis miserebitur?

A εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; Τίς δὲ καὶ ἐγγυητὴς ἔσται τῆς τοῦ παιδὸς προαιρέσεως, ὅτι εἰς δέον χρήσεται τοῖς δοθεῖσι; Πολλοῖς γὰρ ὁ πλοῦτος ὑπηρέτης ἀκολασίας ἐγένετο. Ἢ οὐκ ἀκούεις τοῦ Ἐκκλησιαστοῦ λέγοντος· *Εἶδον ἀῤῥωστίαν δεινὴν* (37), *πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτοῦ εἰς κακίαν αὐτῷ;* καὶ πάλιν, ὅτι *Ἀφίω ἐγὼ αὐτὸν τῷ* (38) *ἀνθρώπῳ τῷ μετ' ἐμέ. Καὶ τίς οἶδεν εἰ σοφὸς ἔσται ἢ ἄφρων;* Ὅρα δὴ οὖν μὴ, μετὰ μυρίων πόνων τὸν πλοῦτον ἀθροίσας, ὕλην ἁμαρτημάτων ἑτέροις παρασκευάσῃς, εἶτα εὑρεθῇς διπλᾶ τιμωρούμενος, ὧν τε αὐτὸς ἠδίκησας, καὶ ὧν ἕτερον ἐφωδίασας. Μὴ οὐχὶ παντὸς τέκνου οἰκειοτέρα σοί ἐστιν (39) ἡ ψυχή; Μὴ οὐχὶ πάντων μᾶλλον εἰς οἰκειότητα προσεγγίζει; Πρώτη αὐτῇ ἀπόδος τὰ πρεσβεῖα τῆς κληρονομίας, B πλουσίας αὐτῇ παράσχου τὰς ἀφορμὰς τῆς ζωῆς· καὶ τότε τοῖς παισὶ διαιρήσεις τὸν βίον. Οἱ μέν γε παῖδες παρὰ γονέων μὴ διαδεξάμενοι (40), ἑαυτοῖς πολλάκις οἴκους ἐποίησαν· ἡ ψυχὴ δὲ, παρὰ σοῦ ἐγκαταλειφθεῖσα, παρὰ τίνος ἐλεηθήσεται;

8. Hactenus ad eos quibus liberi sunt, sermonem habui; qui vero liberis carent, quamnam speciosam parcimoniæ causam nobis afferunt? Non vendo quæ habeo, neque do pauperibus, ob necessarios vitæ usus. Dominus igitur magister tuus non est, neque Evangelium vitam tuam dirigit : sed tute tibi legem sancis. Vide autem in quod periculum incidas ejusmodi cogitationibus. Etenim si hæc nobis ut necessaria Dominus præcepit, tu vero eadem tanquam quæ fieri non possint, rejicis, aliud nihil agis, nisi quod teipsum legislatore prudentiorem dicis. Sed, inquis, posteaquam divitiis fruitus fuero per omnem vitam meam; post finem vitæ meæ pauperes constituam hæredes facultatum mearum, eosque tabulis publicis ac testamentis bonorum meorum dominos declarabo. Cum jam non versabere inter homines, tum humanus fies et liberalis; cum mortuum te videro, tunc dicam te fratris amantem.

8. Εἴρηται πρὸς τοὺς πατέρας ἃ εἴρηται· οἱ ἄτεκνοι τίνα ἡμῖν εὐπρόσωπον αἰτίαν τῆς φειδωλίας προβάλλονται; Οὐ πωλῶ τὰ ὑπάρχοντα, οὐδὲ δίδωμι τοῖς πτωχοῖς, διὰ τὰς ἀναγκαίας τοῦ βίου χρείας. Οὐκοῦν οὐχ ὁ Κύριός σου διδάσκαλος, οὐδὲ τὸ Εὐαγγέλιον ῥυθμίζει σου τὸν βίον, ἀλλ' αὐτὸς σὺ νομοθετεῖς σεαυτῷ. Βλέπε δὲ εἰς οἷον κίνδυνον ἐμπίπτεις οὕτω διανοούμενος. Εἰ γὰρ ὁ μὲν Κύριος ὡς ἀναγκαῖα ἡμῖν C διετάξατο, σὺ δὲ ὡς ἀδύνατα παραγράφῃ, οὐδὲν ἕτερον ἢ φρονιμώτερον σεαυτὸν εἶναι λέγεις τοῦ νομοθέτου. Ἀλλ' ἀπολαύσας αὐτῶν (41) παρὰ πᾶσάν μου τὴν ζωὴν, μετὰ τὴν τελευτὴν τοῦ βίου διαδόχους ποιήσομαι τῶν ἐμοὶ προσόντων τοὺς πένητας, γράμμασι καὶ διαθήκαις κυρίους αὐτοὺς τῶν ἐμῶν ἀποδείξας. Ὅτε (42) οὐκέτι ἔσῃ ἐν ἀνθρώποις, τότε γενήσῃ φιλάνθρωπος· ὅταν νεκρόν σε ἴδω, τότε σε εἴπω φιλάδελφον. Πολλή σοι χάρις τῆς φιλοτιμίας, ὅτι ἐν τῷ μνήματι κείμενος, καὶ εἰς γῆν διαλυθεὶς, ἁδρὸς γέγο-

[32] Eccle. v, 13. [33] Eccle. II, 18, 19.

(37) Editio Paris. ἀῤῥωστίαν πολλὴν καὶ δεινήν· editio Basil. et sex mss. ἀῤῥωστίαν δεινήν. Hæc Ecclesiastæ verba, *πλοῦτον*, etc., in editione Romana eodem quo apud Basilium modo leguntur; ob idque ex hac editione nostram interpretationem mutuati sumus. Vulg. : *Est et alia infirmitas pessima, quam vidi sub sole, divitiæ conservatæ in malum domini sui :* a quibus non multum abludit Ambrosianum illud lib. *De Nab. Jez.* cap. 5, num. 25 : *Est languor malus, quem vidi sub sole, divitias custodiri in malum possidentis eas.* Hæc eo retuli, ut ostenderem quo modo verba Ecclesiastæ accipi soleant. Sed Basilius, nisi valde fallor, ea longe aliter accepit, videlicet ἐλλειπτικῶς, sic ut subaudierit vocem γεννηθέντι. Licebit igitur, ut mihi quidem videtur, ad Basilii sensum sic interpretari : *Vidi languorem gravem, divitias asservatas ei, qui ab ipso est, in perniciem ei.* Hoc est, *asservatas ei, qui ab ipso genitus est, in perniciem ejus.* Cum enim Basilius hoc loco totus sit in redarguendis parentibus, qui aiunt congregare se divitias liberorum causa, credi merito potest verba Ecclesiastæ ad suum propositum accommodasse..

(38) Editi ἀφίω ἐγὼ τῷ. At mss. tres ἀφίω ἐγὼ αὐτὸν τῷ. Hoc est, *ἀφίω ἐγὼ μόχθον*, *relinquo laborem.* D Ibidem Colb. primus σοφός ἐστιν. Haud longe aliquot mss. εἶτα εὑρεθήσῃ.

(39) Antiqui tres libri οἰκειοτέρα σού ἐστιν. Statim Editi πρὸς οἰκειότητα ἐγγίζει. At mss. nonnulli uti in contextu.

(40) Editi παρὰ γονέων μηδὲν διαδεξάμενοι. At sex mss. παρὰ γονέων μὴ διαδεξάμενοι. Unus e Combefisianis δεξάμενοι. Aliquanto post Reg. primus αἰτίαμ φιληδονίας προβάλλονται; *Quamnam voluptatis causam prætendunt?* Nec ita multo infra idem codex Κύριός σοι διδάσκαλος.

(41) Unus codex Colbert. αὐτῶν φησιν. Statim Reg. primus τῶν ἐμοὶ προσηκόντων, non dissimili sensu.

(42) In Colb. primo pro ὅτε legitur ὅταν. Haud longe tres mss. τότε σε εἴπω. Vocula σε aberat a vulgatis. Subinde Editi ἐν τῷ τάφῳ. At mss. sex ἐν τῷ μνήματι.

νας ταῖς δαπάναις καὶ μεγαλόψυχος. Ποίων, εἰπέ μοι, καιρῶν τοὺς μισθοὺς ἀπαιτήσεις, τῶν ἐν τῇ ζωῇ, ἢ τῶν μετὰ τὴν ἀποβίωσιν; Ἀλλ' ὃν μὲν ἔζης χρόνον, καθηδυπαθῶν τοῦ βίου καὶ τῇ τρυφῇ διαῤῥέων, οὐδὲ προσβλέπειν ἠνείχου τοὺς πένητας· ἀποθανόντος δὲ ποία μὲν πρᾶξις; ποῖος δὲ μισθὸς ἐργασίας ὀφείλεται; Δεῖξον τὰ ἔργα, καὶ ἀπαίτει τὰς ἀνταποδόσεις (43). Οὐδεὶς μετὰ τὸ λυθῆναι τὴν πανήγυριν πραγματεύεται· οὐδὲ μετὰ τοὺς ἀγῶνας ἐπελθὼν στεφανοῦται· οὐδὲ μετὰ τοὺς πολέμους ἀνδραγαθίζεται. Οὐ τοίνυν οὐδὲ μετὰ τὴν ζωὴν ἔστιν εὐσεβεῖν δηλονότι. Καὶ (44) γὰρ ἐν μέλανι καὶ γράμμασι κατεπαγγέλλῃ τὰς εὐποιίας. Τίς οὖν ἀναγγελεῖ σοι τὸν καιρὸν τῆς ἐξόδου; τίς ἐγγυητὴς ἔσται τοῦ τρόπου τῆς τελευτῆς; Πόσοι ὑπὸ βιαίων ἀνηρπάσθησαν συμπτωμάτων, οὐδὲ φωνὴν ῥῆξαι συγχωρηθέντες ὑπὸ τοῦ πάθους; Πόσους πυρετὸς ἐποίησεν ἔκφρονας; Τί οὖν ἀναμένεις καιρὸν, ἐν ᾧ πολλάκις οὐδὲ τῶν λογισμῶν ἔσῃ τῶν σεαυτοῦ κύριος; Νὺξ βαθεῖα, καὶ νόσος βαρεῖα, καὶ ὁ βοηθῶν οὐδαμοῦ· καὶ ὁ ἐφεδρεύων τῷ κλήρῳ ἕτοιμος, πάντα πρὸς τὸ ἑαυτῷ χρήσιμον διοικούμενος, ἄπρακτά σοι (45) ποιῶν τὰ βουλεύματα. Εἶτα περιβλεψάμενος ὧδε καὶ ὧδε, καὶ ἰδὼν τὴν περιεστῶσάν σε ἐρημίαν, τότε αἰσθήσῃ τῆς ἀβουλίας· τότε στενάξεις τὴν ἄνοιαν, εἰς οἷον καιρὸν ἐταμιεύου (46) τὴν ἐντολὴν, ὅτε ἡ μὲν γλῶσσα παρεῖται, ἡ δὲ χεὶρ ὑπότρομος ἤδη κλονουμένη ταῖς συνολκαῖς, ὡς μήτε φωνῇ μήτε γράμμασι διασημῆναι (47) τὴν γνώμην. Καίτοι εἰ καὶ πάντα φανερῶς ἐγέγραπτο, καὶ πᾶσα φωνὴ διαῤῥήδην κεκήρυκτο, ἓν γράμμα παρεντεθὲν ἱκανὸν ἦν πᾶσαν μεταποιῆσαι τὴν γνώμην· μία σφραγὶς παραποιηθεῖσα, δύο ἢ τρεῖς μάρτυρες ἄδικοι, ὅλον ἂν τὸν κλῆρον ἐφ' ἑτέρους μετήνεγκαν.

9. Τί οὖν σεαυτὸν ἐξαπατᾷς, νῦν μὲν κακῶς εἰς ἀπόλαυσιν σαρκὸς τὸν πλοῦτον διατιθέμενος, ἐπαγγελλόμενος δὲ εἰς ὕστερον ὧν οὐκέτι ἔσῃ κύριος; Ὡς ὁ λόγος ἔδειξε, πονηρὰ ἡ βουλή· ζῶν μὲν, ἀπολαύσω τῶν ἡδονῶν· ἀποθανὼν δὲ, πράξω τὰ διατεταγμένα. Ἐρεῖ καὶ σοὶ Ἀβραάμ· *Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου*. Οὐ δέχεταί σε ἡ στενὴ καὶ τεθλιμμένη ὁδὸς, τὸν ὄγκον τοῦ πλούτου μὴ ἀποτιθέμενον (48). Βαστάζων αὐτὸν ἐξῆλθες· μὴ γὰρ ἀπέῤῥιψας, ὡς προσετάχθης. Ὅτε ἔζης, σεαυτὸν τῆς ἐντολῆς προετίθης· μετὰ τὸν θάνατον καὶ τὴν διάλυσιν, τότε τὴν ἐντολὴν τῶν ἐχθρῶν προετίμησας. Ἵνα γὰρ μὴ λάβῃ ὁ δεῖνα, λαβέτω, φησὶν, ὁ Κύριος. Καὶ τοῦτο τί εἴπωμεν, ἐχθρῶν ἄμυναν, ἢ τοῦ πλησίον ἀγάπην; Ἀνάγνωθί σου τὰς διαθήκας. Ἐβουλόμην μὲν

A Multa tibi debebitur gratia ob munificentiam, quod in sepulcro jacens et in terram resolutus, jam in sumptibus faciendis largus exstiteris atque magnanimus. Dic mihi, quæso, quorumnam temporum mercedem exposces, eorumne quibus vixisti, an eorum quæ post mortem secuta sunt? Sed quo tempore vivebas, voluptatibus vitæ deditus et deliciis diffluens, ne aspicere quidem egenos sustinuisti; jam autem quænam actio est mortui? quæ quoque operis merces debetur? Ostende opera, et reposce remunerationem. Nemo solutis nundinis negotiatur: neque qui post certamina accedit, coronatur: neque qui post bellum, famam strenui viri atque gloriam assequitur. Neque igitur post vitam locus ullus est pietatis excolendæ. Atramento scilicet ac tabu- B lis fore te beneficum polliceris. Quis autem annuntiabit tibi exitus tempus? quis generis mortis sponsor erit? Quot violentis casibus abrepti sunt, quibus ne vocem quidem edere per morbum licuit? Quot mente lapsi sunt per febrim? Quid igitur exspectas tempus, in quo plerumque rationis non eris compos? Cum videlicet erit profunda nox, morbus gravis, nemo usquam, qui adjuvet: sed paratus ac expeditus, qui hæreditati insidietur, dispensans omnia in rem suam, ac consilia tua irrita faciens. Deinde **61** conjectis huc et illuc oculis, circumstantem te solitudinem conspiciens, tunc dementiam tuam intelliges; tunc lugebis stultitiam, quod præceptum distuleris in hoc tempus, quo ut lingua resolvitur, ita manus tremula contractionibus jam C conquassatur, sic ut neque voce, neque litteris aperire animum queas. Imo etiamsi clare scripta essent omnia, omnisque vox dilucide enuntiaretur, tamen una littera interposita omne tuum consilium transmutare posset; unicum itidem sigillum adulteratum, duo aut tres scelerati testes, totam ad alios transferrent hæreditatem.

9. Quid igitur te ipse decipis, nunc quidem ad carnis voluptatem opes male dispensans, promittens autem in posterum quæ penes te non amplius erunt? Pravum est, ut ex dictis patet, istud tuum consilium: Vivens, fruar voluptatibus; mortuus autem, exsequar statuta. Dicet et tibi Abraham: *Recepisti bona tua in vita tua* [34]. Non suscipit te angusta via et arcta, cum molem non deposueris divitiarum. Exiisti opes gestans, nec enim eas, ut D jussus es, projecisti. Quoad vixisti, te ipse prætulisti mandato: mortuus vero ac dissolutus, tunc inimicis præceptum anteposuisti. Etenim ne accipiat homo ille, accipiat, inquit, Dominus. Jam vero id quo nomine appellabimus, inimicorumne vindictam, an dilectionem proximi? Lege tuum testa-

[34] Luc. XVI, 25.

(43) Reg. primus δεῖξον γὰρ ἔργα, καὶ ἀπαίτει τὰς ἀντιδόσεις. Vocem δηλονότι, quæ mox sequitur, ex multis veteribus libris addidimus.

(44) Illud, καὶ γάρ, in multis mss. non legitur; prætereaque nota interrogationis posita est in quibusdam codicibus post vocem εὐποιίας.

(45) In Colb. tertio pro σοι scriptum invenitur σου.

(46) Eodem illo in libro pro ἐταμιεύου legitur ἐταμιεύσω. Nec ita multo post mss. Combefisiani ταῖς ὁλκαῖς. At Reg. tertius et Colb. itidem tertius et editi ταῖς συνολκαῖς.

(47) Unus codex Reg. γράμματι διασημαίνειν. Mox Colb. primus ἐκεκήρυκτο.

(48) Editi et Reg. tertius ἀποθέμενον. At Colbertini primus et tertius ἀποτιθέμενον.

mentum. Volebam quidem adhuc vivere, et facultatibus meis frui. Gratia morti, non tibi. Nam si fuisses immortalis, nequaquam meminisses præceptorum. *Nolite errare: Deus non irridetur* [35]. Quod mortuum est, id ad altare non adducitur; affer victimam viventem. Non admittitur qui ex redundanti offert. Tu vero quæ post exactam omnem vitam superfuerunt, offers benefico largitori. Hospites illustres ac claros si non audes reliquiis mensæ excipere, quomodo audes Deum reliquiis tuis placare? Videte, divites, finem avaritiæ, et desinite pecuniis studere. Quo magis divitias amas, eo magis nihil ex iis quæ possides, relinquas. Omnia assume tibi, exporta omnia, alienis ne relinque divitias. Fortasse autem te ne cooperient quidem famuli extremo ac funebri ornatu, sed denegabunt exsequias, jamjam hæredibus placere studentes. Aut forte etiam tunc adversum te philosophicis verbis utentur: Ineptum est, inquient, et a ratione alienum, mortuum ornare; et eum qui nihil jam sentit, magnis sumptibus efferre. Annon satius est superstites sumptuoso amictu ac splendido ornari, quam vestes pretiosas una cum cadavere putrefieri sinere? Quodnam autem monumenti eximii et sumptuosæ sepulturæ et inanis sumptus lucrum est? Par magis fuerit hæc ad vitæ necessaria impendere. Talia dicent tum, cum et morositatem tuam ac severitatem ulciscentur, et tua tuis successoribus largientur. Itaque in antecessum te ipse funera. Pulchra sepultura pietas. Omnia indutus, abi: fac divitias ornatum tibi peculiarem: habe opes tecum. Crede bono consiliario, qui te diligit Christo, qui pro nobis pauper factus est, ut nos ejus inopia ditaremur [36], qui seipsum redemptionis pretium pro nobis tradidit [37]. Aut ei, ut sapienti, et quod nobis conducit providenti, morem geramus, aut ut diligentem nos, sustineamus: aut ut benefacienti nobis, vicem rependamus. Omnino autem quæ præcepta nobis sunt exsequamur, ut æternæ vitæ **62** quæ in ipso Christo est, hæredes efficiamur: cui gloria et potestas in sæcula sæculorum. Amen.

A ἔτι (49) ζῆν, καὶ ἀπολαύειν τῶν ἐμαυτοῦ. Τῷ θανάτῳ χάρις, οὐ σοί. Εἰ γὰρ ἦς ἀθάνατος, οὐκ ἂν ἐμνήσθης τῶν ἐντολῶν. *Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται.* Νεκρὸν εἰς θυσιαστήριον οὐκ ἀνάγεται· ζῶσαν προσένεγκε τὴν θυσίαν. Ὁ ἐκ τοῦ περισσεύματος προσφέρων ἀπρόσδεκτος. Σὺ δὲ ἃ μετὰ πᾶσαν τὴν ζωὴν ἐπερίσσευσε, ταῦτα προσφέρεις τῷ εὐεργέτῃ. Εἰ οὐ τολμᾷς ἐκ τῶν λειψάνων τῆς τραπέζης δεξιώσασθαι τοὺς ἐνδόξους, πῶς οὖν τολμᾷς τὸν Θεὸν ἐκ τῶν λειψάνων ἐξιλεοῦσθαι; Ἴδετε τὸ τέλος τῆς φιλοχρηματίας, οἱ πλούσιοι, καὶ παύσασθε ἐμπαθῶς πρὸς τὰ χρήματα διακείμενοι. Ὅσῳ φιλόπλουτος εἶ, τοσούτῳ μᾶλλον μηδὲν ὑπολείπῃ (50) τῶν προσόντων σοι. Πάντα σεαυτοῦ ποίησαι, πάντα ἐπικόμισαι, μὴ καταλίπῃς ἀλλοτρίοις τὸν πλοῦτον. Τάχα δέ σε οὐδὲ B περιστελοῦσιν (51) οἱ οἰκέται τῷ τελευταίῳ κόσμῳ, ἀλλ' ἀφοσιώσονται τὴν ταφὴν, τοῖς κληρονόμοις λοιπὸν προσχωρήσαντες κατὰ τὴν εὔνοιαν. Ἢ που καὶ καταφιλοσοφήσουσί σου τότε· Ἀπειροκαλία, φησὶ, καλλωπίζειν νεκρὸν, καὶ πολυτελῶς ἐκκομίζειν τὸν οὐκέτι αἰσθανόμενον. Τί δὲ οὐ βέλτιον τοὺς περιόντας κοσμεῖσθαι τῇ πολυτελεῖ καὶ ἐνδόξῳ περιβολῇ, ἢ συγκατασήπειν τῷ νεκρῷ τὰ πολυτίμητα τῆς ἐσθῆτος; Τί δὲ μνήματος ἐπισήμου, καὶ ταφῆς πολυτελοῦς, καὶ δαπάνης ἀκερδοῦς ὄφελος; Δέον εἰς τὰ κατὰ τὸν βίον ἀναγκαῖα χρήσασθαι (52) τοῖς περιοῦσι. Τοιαῦτα ἐροῦσι καὶ σὲ τῆς βαρύτητος ἀμυνόμενοι, καὶ τοῖς διαδεξαμένοις τὰ σὰ χαριζόμενοι. Προλαβὼν οὖν, σεαυτὸν ἐνταφίασον. Καλὸν ἐντάφιον ἡ εὐσέβεια. Πάντα περιβαλλόμενος (53) ἄπελθε· οἰ- C κεῖον κόσμον τὸν πλοῦτον ποίησαι· ἔχε αὐτὸν μετὰ σεαυτοῦ. Πείσθητι καλῷ συμβούλῳ, τῷ ἀγαπήσαντί σε Χριστῷ, τῷ δι' ἡμᾶς πτωχεύσαντι, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· τῷ δόντι ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν. Ἢ ὡς σοφῷ τὸ συμφέρον ἡμῖν συνορῶντι πεισθῶμεν, ἢ ὡς ἀγαπῶντος ἡμᾶς ἀνασχώμεθα, ἢ ὡς εὐεργέτην ἡμῶν ἀμειψώμεθα. Πάντως δὲ ποιήσωμεν τὰ διατεταγμένα ἡμῖν, ἵνα κληρονόμοι γενώμεθα τῆς αἰωνίου ζωῆς τῆς ἐν αὐτῷ τῷ Χριστῷ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA DICTA TEMPORE FAMIS ET SICCITATIS.

1. *Leo rugiet, et quis non timebit? Dominus Deus locutus est, et quis non prophetabit* [38]? Exordiamur orationem a prophetæ verbis, atque in hujus argumenti tractatione auxiliarium assumamus ipsum Amos divinitus afflatum, qui his quibus infestamur, pares calamitates curavit. Videlicet exponamus

D

ΟΜΙΛΙΑ ΡΗΘΕΙΣΑ ΕΝ ΛΙΜΩ ΚΑΙ ΑΥΧΜΩ.

1. *Λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται; Κύριος ὁ Θεὸς ἐλάλησε, καὶ τίς οὐ προφητεύσει;* Προφητικὸν ποιήσωμεν τὸ τοῦ λόγου προοίμιον, καὶ τὸν θεοφορούμενον Ἀμὼς συνεργὸν εἰς τὴν τῶν προκειμένων χρείαν παραλάβωμεν, τὰ ὅμοια τῶν ἡμῖν διοχλούντων κακῶν θεραπεύσαντα (54) πάθη· τὴν

[35] Galat. VI, 7. [36] II Cor. VIII, 9. [37] I Tim. II, 6. [38] Amos III, 8.

(49) Illud, μὲν ἔτι, addere ex duobus Colbertinis libuit.
(50) Editi ὑπολίπῃ. Libri veteres ὑπολείπῃ.
(51) Unus codex Colb. περιστέλλουσιν.
(52) Reg. primus ἀναγκαῖα χρῆσθαι.
(53) Idem codex περιβαλόμενος.
(54) Codex quidam Colb. κακῶν θεραπεύσοντα. Mox utraque editio Basil. et Paris. et Reg. primus γνώμην ἐκτιθέμενοι. Antiqui tres libri γνώμην ἐκθήσομαι, *sententiam exponam*. Reg. secundus καὶ

ὑπὲρ τῶν συμφερόντων βουλήν τε καὶ γνώμην ἐκτιθέμενοι. Καὶ γὰρ αὐτὸς ὁ προφήτης ἐν τῇ φορᾷ τῶν ἀνωτέρω (55) χρόνων, τοῦ λαοῦ καταλιπόντος τὴν πατρῴαν εὐσέβειαν, καὶ πατήσαντος μὲν τὴν τῶν νόμων ἀκρίβειαν, εἰς δὲ τὴν τῶν εἰδώλων θεραπείαν ὑπολισθήσαντος, κῆρυξ ἐγένετο (56) μετανοίας· τὴν ἐπιστροφὴν παραινῶν, καὶ τῶν τιμωριῶν προφέρων τὴν ἀπειλήν. Ἐμοὶ δὲ δι' εὐχῆς ἀγέσθω τὸ μέχρι μέν τινος τῷ ζήλῳ τῆς παλαιᾶς ἱστορίας προσχρῆσθαι (57). Μηκέτι μέντοι καὶ τὴν ἔκβασιν τῶν τότε γενομένων ἰδεῖν ἀκόλουθον. Ἀπειθήσας γὰρ ὁ λαὸς, καὶ ὥσπερ πῶλος σκληρὸς καὶ δυσήνιος ἐνδακὼν τὸν χαλινὸν, οὐχ εἱλκύσθη πρὸς τὸ συμφέρον· ἐκτραπεὶς δὲ τῆς εὐθείας, τοσοῦτον ἔδραμεν ἄτακτα, καὶ τοῦ ἡνιόχου κατεφρυάξατο, μέχρις οὗ, τοῖς βαράθροις καὶ τοῖς κρημνοῖς ἐκπεσὼν, ἀξίαν τῆς δυσπειθείας τὴν πανωλεθρίαν ὑπέμεινεν. Ὃ μὴ γένοιτο νῦν ἐφ' ἡμῶν, παῖδες ἐμοὶ, οὓς διὰ τοῦ Εὐαγγελίου ἐγέννησα, οὓς διὰ τῆς εὐλογίας τῶν χειρῶν ἐσπαργάνωσα. Ἀλλ' ἔστω ἀκοὴ εὐγνώμων, ψυχὴ εὐπειθὴς, ἁπαλῶς δεχομένη τὰς παραινέσεις, εἴκουσα τῷ λέγοντι, ὡς κηρὸς τῷ σφραγίζοντι, ἵνα διὰ μιᾶς ταύτης σπουδῆς κἀγὼ λάβω καρπὸν τῶν πονουμένων εὐφραίνοντα, καὶ ὑμεῖς ἐν καιρῷ τῆς ἀπαλλαγῆς τῶν δεινῶν τὴν γενομένην (58) παραίνεσιν ἐπαινέσητε. Τί οὖν ἐστιν ὅπερ ἐνδείκνυται μὲν ὁ λόγος, ἔτι δὲ μετεώρους κατέχει τὰς ψυχὰς τῇ ἐλπίδι τῆς ἀκοῆς, βραδύνων δημοσιεύειν τὸ προσδοκώμενον;

2. Οὐρανὸν ὁρῶμεν, ἀδελφοὶ, στεγανὸν, γυμνὸν, καὶ ἀνέφελον, στυγνὴν ἐμποιοῦντα τὴν αἰθρίαν ταύτην, καὶ καταλυποῦντα τῇ καθαρότητι (59), ἣν λίαν ἐπεθυμοῦμεν τὸ πρῶτον, ἡνίκα ἂν, ἐπὶ πολὺ σκεπασθεὶς τοῖς νέφεσι, ζοφώδεις ἡμᾶς καὶ ἀνηλίους εἰργάσατο. Γῆ δὲ καταξηρανθεῖσα εἰς ἄκρον ἀηδὴς μέν ἐστιν ὀφθῆναι, στεῖρα δὲ πρὸς γεωργίαν καὶ ἄγονος, εἰς σχίσματα διαῤῥαγεῖσα (60), καὶ εἰς τὸ βάθος δεχομένη καταλάμπουσαν τὴν ἀκτῖνα. Πηγαὶ δὲ ἡμᾶς ἐπέλιπον πλούσιαί τε καὶ ἀέναοι, καὶ ποταμῶν μεγάλων ἐδαπανήθη τὰ ῥεύματα, παῖδες δὲ αὐτὰ σμικρότατοι καταπεζεύουσι, καὶ γυναῖκες περαιοῦνται μετὰ φορτίων· τοὺς δὲ πολλοὺς ἡμῶν καὶ τὸ ποτὸν ἐπέλειψε (61), καὶ ἐν ἀπορίᾳ τοῦ ζῆν καθεστήκαμεν. Ἰσραηλῖται νέοι, Μωϋσῆν ζητοῦντες νέον, καὶ ῥάβδον θαυμασίων ποιητικὴν, ἵνα πάλιν πέτραι πλη-

quid nobis consilii sit de profuturis, et quid de iisdem sentiamus. Nam et propheta ipse in superiorum temporum cursu, populo relinquente paternam pietatem, eodemque et conculcante legum integritatem, et ad idolorum cultum delabente, pœnitentiæ factus est præco, adhortans ad conversionem et pœnarum minas intentans. Utinam autem mihi aliquo saltem modo uti liceat veteris historiæ zelo! Sed absit ut eorum quæ tunc acciderunt exitum videamus. Nam populus contumax, et velut equulus durus ac freni impatiens, idque mordens, ad id quod conducebat, tractus non est. Imo a recta via digressus, tandiu inordinate divagatus est, infremuitque adversus aurigam, donec in barathra ac præcipitia lapsus, meritas contumaciæ pœnas internecione dederit. Quod avertat Deus a nobis, filii mei, quos per Evangelium genitos [19], velut fasciis per manuum benedictionem involvi. Sed sit auditio benigna, anima morigera, suscipiens leniter admonitiones, dicenti cedens velut cera sigillum imprimenti, ut per istud vestrum studium et ego laborum fructum lætificantem recipiam, et vos, cum his malis fueritis liberati, hanc nostram exhortationem laudetis. Quid igitur est quod indicat sermo? Nam etiamnum tenet animos suspensos spe audiendi, dum quod exspectatur, proferre in medium distulit.

2. Cœlum videmus, fratres, durum, nudum, sine nubibus, tristem hanc serenitatem creans, suaque puritate affligens nos: quam tamen antea valde cupiebamus, cum diu nubibus obductum induceret nobis tenebras, et sole privaret. Terra autem perquam arida, injucunda est aspectu, segete sterilis et infecunda, scissa hiatibus et disrupta, et in imis sui partibus fulgentes solis radios excipiens. Fontes et copiosi et perennes defecerunt nos, ingentium fluminum absumpta sunt fluenta, pueri minimi ea pedibus permeant, atque onustæ mulieres trajiciunt; defuit etiam plerisque nostrum potus, ac in penuria rerum ad vitam necessariarum versamur. Israelitæ novi, novum Moysen et virgam mirabilium effectricem **63** conquirunt, ut petræ rursus percussæ necessitati ac penuriæ sitientis

[19] I Cor. IV, 15.

τὴν ὑπὲρ.... γνώμην ἐκθέμενον, *Assumamus Amos auxiliarium, qui de conducibilibus consilium dedit, ac sententiam exposuit.*

(55) Antiqui duo libri τῶν ἀνωτέρων. Ibidem Colb. tertius λαοῦ καταλείψαντος.

(56) Reg. primus κῆρυξ ἐγίνετο.

(57) Unus codex προσχρήσασθαι. Alius Colb. προχρήσασθαι

(58) Editio utraque τῆς ἀπαλλαγῆς τὸν μισθὸν τὴν γενομένην, et ita quoque habent nostri mss. omnes, nisi quod in aliquibus scriptum sit τῶν μισθῶν: ex quibus, nisi valde fallor, apta nulla sententia effici potest. Mihi enim dubium non est, quin vox μισθὸς pro aliqua alia a librariis oscitanter posita sit. Nec multum nos adjuvat Colb. minor, in quo scriptum invenit Combefisius τῆς καταλλαγῆς τῶν μισθαρνῶν. Nam præterquam quod in omnibus quos vidimus codicibus non καταλλαγῆς legitur, sed ἀπαλλαγῆς, præterea vox μισθαρνῶν et ipsa quoque per se incommoda est, nec reliquo sermoni bene cohæret. Est alius codex, quem Combefisius vocat *Colbertinum majorem*: in quo legisse se ait vir doctissimus ἐν καιρῷ τῆς ἀπαλλαγῆς τῶν δεινῶν. Hanc ultimam lectionem, quod nihil melius occurrerit, secuti sumus.

(59) Veteres quinque libri καὶ καλύπτοντα τῇ καθαρότητι, male. Editio utraque καὶ καταλυποῦντα τῇ, *tristitia afficiens*, recte.

(60) Reg. primus εἰς χάσματα διαῤῥαγεῖσα, sensu non dissimili.

(61) Colb. primus ποτὸν ἐξέλειψε.

populi medeantur, et insolentes quædam nubes roris in morem insuetum alimentum manna hominibus demittant. Vereamur ne fiamus posteris novum famis et multæ exemplum. Vidi agros, et lacrymis multis sterilitatem eorum deflevi, sumque lamentatus, quod nullus in nos imber effusus est. Semina quædam, germine necdum emisso, aruere, talia permanentia inter glebas, qualia aratrum obtexerat : alia paululum prominentia, post germinationem miserabiliter æstu et ardore arefacta sunt, sic ut possit nunc aliquis convenienter hanc Evangelii [40] vocem invertere ac dicere : Operarii quidem multi, sed messis ne pauca quidem. Agricolæ autem in agris desidentes, et manibus genua complexi (qui sane lugentium habitus est), inanes suos labores deplorant, respicientes ad infantes pueros, ac lamentantes, et oculis in uxores intentis flentes, contingentes siccas frugum herbas et contrectantes, edentes magnos ejulatus perinde atque patres filiis suis in ætatis flore orbati. Dicatur itaque etiam ad nos ab ipso propheta, cujus a nobis paulo ante in exordio facta mentio est : *Et ego*, inquit, *repressi a vobis pluviam ante tres menses vindemiæ : et pluam super civitatem unam, et super civitatem unam non pluam : et pars una irrigabitur, et pars, super quam non pluero, arefiet. Et congregabuntur duæ vel tres civitates in unam, ut bibant aquam, et non satiabuntur; eo quod non estis reversi ad me, dicit Dominus* [41]. Discamus igitur Deum has nobis plagas ob nostram ab ipso abalienationem atque negligentiam immittere, non exterminare volentem, sed emendare cupientem, more bonorum patrum erga desides filios ; qui irascuntur adolescentibus, et in eosdem insurgunt, non quod quidquam ipsis mali inferre velint, sed ut eos ex puerili incuria, exque juventutis delictis ad curam adducant, atque ad diligentiam. Videte itaque quemadmodum multitudo peccatorum nostrorum et anni tempestates a sua ipsarum natura abduxerit, et temporum formas transmutaverit in alienas temperaturas. Hiems solitum humorem siccitati admistum non habuit, sed humorem omnem glacie astrinxit exsiccavitque, et omnino nivium imbriumque expers permansit. Ver rursus alteram quidem proprietatum suarum partem ostendit, calorem dico, humorem autem socium non habuit. Æstus vero et frigus insolito modo terminos creationis suæ transgressa, et ad perniciem nostram maligne conspirantia, a victu et

A γεῖσαι τὴν χρείαν τοῦ διψῶντος λαοῦ θεραπεύσωσι, νεφέλαι δὲ παράδοξοι τροφὴν ἀσυνήθη τὸ μάννα τοῖς ἀνθρώποις καταψεκάσωσιν (62). Εὐλαβηθῶμεν μὴ γενώμεθα τοῖς ὀψιγόνοις καινὸν ἐπὶ λιμοῦ καὶ τιμωρίας διήγημα. Εἶδον τὰς ἀρούρας, καὶ πολλὰ κατεδάκρυσα τῆς ἀκαρπίας αὐτῶν· καὶ ἐξέχεα θρῆνον, ἐπειδὴ μὴ ὑετὸς ἐφ' ἡμᾶς ἐξεχύθη. Τὰ μὲν τῶν σπερμάτων πρὸ τῆς ἐκβολῆς ἐξηράνθη, ταῖς βώλοις τοιαῦτα μείναντα οἷα τὸ ἄροτρον ἔκρυψε· τὰ δὲ μικρὸν προκύψαντα καὶ βλαστήσαντα ἐλεεινῶς ἀπεμαράνθη τῷ καύματι· ὡς νῦν (63) εὐκαίρως τινὰ τὴν εὐαγγελικὴν ἀναστρέψαι φωνὴν, λέγοντα· Οἱ μὲν ἐργάται πολλοὶ, τὸ δὲ θέρος οὐδ' ὀλίγον. Οἱ γεωργοὶ δὲ, ταῖς ἀρούραις ἐπικαθήμενοι, καὶ τὰς χεῖρας κατὰ τῶν γονάτων συμπλέκοντες (τοῦτο δὴ τῶν πενθούν-
B των τὸ σχῆμα), τοὺς ματαίους ἑαυτῶν πόνους δακρύουσι, πρὸς παῖδας νηπίους ἀφορῶντες, καὶ ὀδυρόμενοι· πρὸς γυναῖκας ἀτενίζοντες, καὶ θρηνοῦντες, ἐπαφώμενοι καὶ ψηλαφῶντες τοὺς ξηροὺς χόρτους τῶν γεννημάτων, ἀνοιμώζοντες δὲ μεγάλα, καθάπερ οἱ πατέρες οἱ τοὺς ἐν ἄνθει τῆς ἡλικίας υἱοὺς ἀπολέσαντες. Λεγέσθω τοίνυν καὶ πρὸς ἡμᾶς παρὰ τοῦ αὐτοῦ προφήτου, οὗ μικρὸν πρόσθεν (64) ἐν προοιμίοις ἐμνημονεύσαμεν· *Καὶ ἐγὼ*, φησὶν, *ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ τριῶν μηνῶν τοῦ τρυγητοῦ· καὶ βρέξω ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξω· καὶ μερὶς μία βραχήσεται* (65), *καὶ μερὶς, ἐφ' ἣν οὐ βρέξω, ξηρανθήσεται. Καὶ συναθροίσονται δύο ἢ τρεῖς πόλεις εἰς μίαν, πιεῖν ὕδωρ,*
C *καὶ οὐ μὴ ἐμπλησθῶσι· διότι οὐκ ἐπεστράφητε πρός με, λέγει Κύριος*. Μάθωμεν οὖν, ὅτι δι' ἀποστροφὴν (66) καὶ ἀμέλειαν ταύτας ἡμῖν ὁ Θεὸς τὰς πληγὰς ἐνίησιν, οὐκ ἐκτρῖψαι ζητῶν, ἀλλ' ἐπανορθῶσαι σπουδάζων, κατὰ τοὺς χρηστοὺς τῶν πατέρων καὶ ἀμελεῖς τῶν τέκνων, οἳ θυμοῦνται κατὰ τῶν νέων, καὶ διανίστανται, οὐ κακόν τι δοῦναι σπουδάζοντες, ἀλλ' ἐκ τῆς νηπιώδους ὀλιγωρίας καὶ τῶν τῆς νεότητος ἁμαρτιῶν εἰς ἐπιμέλειαν ἄγοντες. Ὁρᾶτε τοίνυν, ὡς τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τὰς ὥρας τῶν ἰδίων ἐξήγαγε (67) φύσεων, καὶ τῶν καιρῶν τὰς ἰδέας εἰς ἀλλοκότους κράσεις διήμειψεν. Ὁ χειμὼν οὐκ ἔσχε τὸ σύνηθες ὑγρὸν μετὰ τοῦ ξηροῦ, ἀλλὰ πᾶσαν ἰκμάδα τῷ κρυστάλλῳ κατέδησέ τε καὶ ἀπεξήρανεν, ἄμοιρος δὲ διετέλεσε καὶ νιφάδων καὶ
D ὑετῶν (68). Τὸ ἔαρ πάλιν τὸ μὲν ἕτερον μέρος τῶν ἰδιωμάτων ἔδειξε, τὴν θερμότητα λέγω· τοῦ δὲ ὑγροῦ τὴν μετουσίαν οὐκ ἔσχε. Καῦμα δὲ καὶ κρυμὸς, καινῶς ὑπερβάντα τοὺς ὅρους τῆς κτίσεως, καὶ κακῶς εἰς τὴν καθ' ἡμῶν συμφωνήσαντα βλάβην, τοῦ βίου

[40] Luc. x, 2. [41] Amos IV, 7, 8.

(62) Editi et Reg. primus καταψεκάζωσι. At mss. multi καταψεκάσωσι. Imo in ora Regii primi additum est γρ. καὶ καταψεκάσωσι.

(63) Colb. primus ὡς καὶ νῦν. Aliquanto post mss. nonnulli οὔτ' ὀλίγον. Subinde quatuor aut quinque mss. γονάτων συμπλέκοντες. Editi συμπλέξαντες.

(64) Unus codex μικρῷ πρόσθεν. Alius ms. et editi μικρόν.

(65) Editi μία βρεχήσεται. Veteres quatuor libri βραχήσεται. Haud longe editi καὶ συναθροίσονται. Vocula καί abest ab antiquis quos vidimus libris. Nec ita multo infra quatuor mss. μὴ πλησθῶσι.

(66) Veteres quinque libri δι' ἐπιστροφήν. Utraque editio Basil. et Paris. δι' ἀποστροφήν. Haud longe Colb. primus καὶ ἐμμελεῖς τῶν τέκνων, corrupte. Subinde Colb. primus καὶ ἀνίστανται.

(67) Antiqui tres libri τῶν οἰκείων ἐξήγαγε.

(68) Reg. primus καὶ ὑετοῦ.

A καὶ τῆς ζωῆς τοὺς ἀνθρώπους ἐλαύνουσι. Τίς οὖν ἄρα τῆς ἀταξίας καὶ τῆς συγχύσεως ἡ αἰτία; τίς ὁ νεωτερισμὸς τῶν καιρῶν; Ἐρευνήσωμεν, ὡς νοῦν ἔχοντες· ὡς λογικοὶ, λογισώμεθα (69). Μὴ ὁ κυβερνῶν τὸ πᾶν οὐκ ἔστι; μὴ ὁ ἀριστοτέχνης Θεὸς ἐπελάθετο τῆς οἰκονομίας; μὴ ἀφῃρέθη τῆς ἐξουσίας καὶ τῆς δυνάμεως; ἢ τὴν ἰσχὺν μὲν τὴν αὐτὴν ἔχει, καὶ τοῦ κράτους οὐ παρελύθη (70)· παρηνέχθη δὲ εἰς σκληρότητα, καὶ τὸ λίαν ἀγαθὸν, καὶ τὸ περὶ ἡμᾶς κηδεμονικὸν εἰς μισανθρωπίαν μετέβαλεν; Οὐκ ἂν εἴποι τις σωφρονῶν· ἀλλὰ φανερὰ καὶ δῆλα τὰ αἴτια δι' ἃ συνήθως οὐ διοικούμεθα. Λαμβάνοντες ἡμεῖς, ἄλλοις οὐ παρέχομεν· τὴν εὐεργεσίαν ἐπαινοῦμεν, καὶ ταύτης ἀποστεροῦμεν τοὺς δεομένους. B Δοῦλοι ὄντες, ἐλευθερούμεθα, καὶ τοὺς ὁμοδούλους οὐκ οἰκτείρομεν· πεινῶντες τρεφόμεθα, καὶ τὸν ἐνδεῆ παρατρέχομεν. Ἀνενδεῆ χορηγὸν καὶ ταμίαν Θεὸν ἔχοντες, φειδωλοὶ ἐγενόμεθα καὶ ἀκοινώνητοι πρὸς τοὺς πένητας. Πολύτοκα ἡμῶν τὰ πρόβατα, καὶ οἱ γυμνοὶ τῶν προβάτων πλείους. Αἱ ἀποθῆκαι τῷ πλήθει τῶν ἀποκειμένων στενοῦνται, καὶ τὸν ἐστενωμένον οὐκ ἐλεοῦμεν. Διὰ τοῦτο ἡμῖν ἀπειλεῖ τὸ δίκαιον κριτήριον. Διὰ τοῦτο καὶ ὁ Θεὸς οὐκ ἀνοίγει τὴν χεῖρα, ἐπειδὴ τὴν φιλαδελφίαν ἡμεῖς ἀπεκλείσαμεν. Διὰ τοῦτο ξηραὶ αἱ ἄρουραι, ἐπειδὴ ἡ ἀγάπη ἐψύγη.

3. Φωνὴ λιτανευόντων (71) εἰκῆ βοᾷ, καὶ πρὸς τὸν ἀέρα διασκεδάννυται. Οὐδὲ γὰρ ἡμεῖς τῶν ἀξιούντων ἠκούσαμεν. Οἵα δὲ ἡμῶν ἡ προσευχὴ καὶ ἡ δέησις; C Οἱ ἄνδρες, πλὴν ὀλίγων, ταῖς ἐμπορίαις σχολάζετε· αἱ γυναῖκες, ὑπηρετεῖτε τούτοις εἰς τὴν ἐργασίαν τοῦ μαμμωνᾶ. Ὀλίγοι λοιπὸν μετ' ἐμοῦ καὶ τῆς προσευχῆς, καὶ οὗτοι ἰλιγγιῶντες, χασμώμενοι, μεταστρεφόμενοι συνεχῶς, καὶ ἐπιτηροῦντες πότε τοὺς στίχους ὁ ψαλμῳδὸς συμπληρώσει, πότε, ὡς δεσμωτηρίου, τῆς ἐκκλησίας, καὶ τῆς ἀνάγκης τῆς προσευχῆς ἀφαιρεθήσονται (72). Οἱ δὲ δὴ παῖδες οἱ σμικρότατοι οὗτοι, οἱ τὰς δέλτους ἐν τοῖς διδασκαλείοις ἀποθέμενοι, καὶ συμβοῶντες ἡμῖν, ὡς ἄνεσιν μᾶλλον καὶ τέρψιν τὸ πρᾶγμα μετέρχονται, ἑορτὴν ποιούμενοι τὴν ἡμετέραν λύπην, ἐπειδὴ τῆς ἐπαχθείας τοῦ παιδευτοῦ, καὶ τῆς φροντίδος τῶν μαθημάτων πρὸς ὀλίγον ἐλευθεροῦνται. Τὸ δὲ τῶν τελείων ἀνδρῶν πλῆθος, καὶ ὁ ταῖς ἁμαρτίαις ἐνεχόμενος δῆμος (73) D ἄνετος, καὶ ἐλευθεριάζων, καὶ γεγανωμένος τὴν πόλιν διατρέχει· ὁ τῶν κακῶν τὴν αἰτίαν ἐν ταῖς ψυχαῖς περιφέρων· ὁ τὴν συμφορὰν κινήσας καὶ ἐργασάμενος. Ἀναίσθητα δὲ καὶ ἄμεμπτα βρέφη πρὸς τὴν ἐξομολόγησιν ἐπείγεται καὶ ἀθροίζεται, οὔτε τὴν ἀφορμὴν τῶν λυπούντων, οὔτε τοῦ συν-

a vita mortales arcent abiguntque. Quæ ergo causa est inordinationis hujus atque confusionis? quæ est nova ista temporum facies? Perscrutemur, velut mente præditi: nobiscum, tanquam **64** rationis compotes, reputemus. An non est qui gubernet rerum universitatem? num optimus opifex Deus providentiæ ac administrationis suæ oblitus est? Num ablatæ ei sunt vires ac potestas? an vim quidem eamdem retinet, nec a sua potestate excidit: sed durus factus est, ac summam bonitatem, et nostri curam in hominum odium convertit? Nemo certe sapiens hæc dixerit: sed manifesta apertaque causa est, cur consueto more non gubernemur. Nos accipientes, aliis non impertimus: laudamus beneficentiam, et eadem privamus egenos. Liberi ex servis facti, conservorum non miseremur: esurientes nutrimur, et egentem negligimus. Largum datorem ac promum Deum habentes, parci effecti sumus, nihilque cum pauperibus communicamus. Oves nostræ abundant fetibus, et tamen major est egenorum numerus quam ovium. Horrea ob repositarum frugum copiam in angustum coguntur, nec tamen hominis, qui angustiis urgetur, commiserescimus. Eam ob causam nobis minatur justum judicium. Idcirco etiam Deus non aperit manum, quod exclusimus fraternam dilectionem. Ob id aruerunt arva, quod friguit charitas.

3. Clamat frustra vox supplicantium, et in aerem spargitur. Neque enim eos qui rogabant audivimus. Qualis, quæso, nostra supplicatio est? qualis est deprecatio? Vos, viri, exceptis paucis, vacatis negotiationibus; vos, mulieres, eorum ministræ in mammonæ quæstu ac lucro estis. Denique precantur mecum pauci, et hi vertigine laborantes, oscitantes, assidue vertentes se huc illuc, observantes quando psalmorum cantor versiculos absolverit, quando ex ecclesia velut e carcere dimissi, necessitate precandi eximentur. Hi autem pueri minimi, qui, depositis in ludo litterario tabulis ac libellis, nobiscum vociferantur, potius huic negotio velut remissioni ac oblectamento vacant, tristitiam nostram habentes festivitatis loco, quod ab onere præceptoris, et studiorum cura modico tempore liberentur. Multitudo autem virorum qui constanti et integra ætate sunt, et implicitus peccatis populus, remissus liberque et lætus per urbem vagatur: qui, etsi in animis causam circumfert malorum, ipse tamen hanc calamitatem intulit et excitavit. Infantes tandem sensu carentes nullique reprehensioni obnoxii, ad confessionem festinant conveniuntque: sed præterquam quod malorum

(69) Veteres aliquot libri λογισώμεθα. Editi λογιζώμεθα.

(70) Ducæus, Cornarium secutus, illud, καὶ τοῦ κράτους οὐ παρελύθη, ita Latine reddidit, *et robur ipsius exsolutum non est*: qua interpretatione nihil ineptius esse ratus Combefisius, sic interpretatus est ipse, *nec redactus ad ordinem motusque imperio est.*

(71) Illud, λιτανευόντων, non debet hoc loco accipi pro iis qui privatim supplicant, sed pro iis qui publice; non enim solent qui privatim supplicant, ita clamare, ut clamor eorum in aera dissipetur. Hoc publice supplicantium proprium est. Mox Reg. primus καὶ προσευχή.

(72) Unus codex Reg. et editi προσευχῆς ἀφεθήσονται. Alii quatuor mss. ἀφαιρεθήσονται.

(73) Colb. primus ἁμαρτίαις ἀνεχόμενος δῆμος.

causa non sint, orare ex more nec noverunt, nec possunt. Tu mihi in medium prodi, qui peccatis conspurcatus es; tu procide, lamentare, ingeme, sine puerulum facere, quæ propria sunt suæ ætati atque consentanea. Cur te occultas, qui accusaris, et insontem ad defensionem tuam producis? Num judex illuditur, sic ut subdititiam personam substituas? Oportebat autem et illum adesse, sed tecum certe, non solum. Vides quod et Ninivitæ pœnitentia Deum placantes, et lugentes ea peccata in quæ Jonas mare et cetum expertus clamando invehebatur, non infantes solum pœnitentiæ **65** subjecerint, interea dum ipsi vitam in deliciis transigerent et in conviviis: sed priores ipsos patres qui peccaverant, jejunium domabat, multaque eosdem macerabat, quanquam infantes ipsi vel inviti accessionis loco lugebant, ut tristitia occuparet ætatem omnem, tum sentientem, tum non sentientem, illam sponte, hanc præter voluntatem. Et ubi vidit Deus ipsos sic humiliatos, ut condemnarent sese ad gravissimas multas omnis generis, et doloris eorum misertus est, et pœnam remisit, et gaudium iis qui sano consilio luxerant, largitus est [42]. O pœnitentiam concinnam! o sapientem prudentemque afflictationem! Ne bruta quidem animantia a pœnis immunia sivere: sed ea etiam necessario clamare artificio quodam adegerunt. Separatus namque est vitulus a vacca, semotus est a materno ubere agnus, puer lactens non erat in maternis ulnis; in peculiaribus stabulis concludebantur matres, in peculiaribus fetus; voces emittebantur ab omnibus miserabiles, vicissim clamantes ac resonantes. Partus esurientes lactis fontes quærebant; matres naturali affectione discerptæ, vocibus commiserationem suam significantibus revocabant fetus. Eumdem ad modum infantes fame laborantes, ejulatu vehementissimo frangebantur, palpitabantque, et matrum viscera naturalibus doloribus compungebantur. Et eam ob causam divinus sermo ad commune vitæ documentum eorum pœnitentiam scriptis mandatam servavit. Inter illos flebat senex, et canos vellebat

A ήθως (74) προσεύξασθαι γνῶσιν ἢ δύναμιν ἔχοντα. Σύ μοι πάρελθε εἰς μέσον, ὁ ταῖς ἁμαρτίαις πεφυρμένος· σὺ πρόσπεσον καὶ κλαῦσον καὶ στέναξον· ἄφες τὸ βρέφος ἐνεργεῖν τὰ ἴδια τῆς ἡλικίας ἀκόλουθα. Ἵνα τί κρύπτῃ κατηγορούμενος, καὶ τὸ ἀνεύθυνον (75) εἰς ἀπολογίαν προϊστᾷς; Μὴ γὰρ παίζεται ὁ κριτής, ἵνα ὑποβολιμαῖον ἀντεισαγάγῃς πρόσωπον; Ἔδει δὲ παρεῖναι κἀκεῖνο μετὰ σοῦ πάντως, οὐ μόνον. Ὁρᾷς, ὡς καὶ Νινευῖται τῇ μεταμελείᾳ τὸν Θεὸν δυσωποῦντες, καὶ πενθοῦντες ἐπὶ τοῖς ἁμαρτήμασιν, ἃ μετὰ τὴν θάλασσαν καὶ τὸ κῆτος Ἰωνᾶς ἐξεβόησεν, οὐ τὰ βρέφη μόνον εἰς τὴν μετάνοιαν προεστήσαντο (76), αὐτοὶ δὲ τρυφῶντες, αὐτοὶ εὐωχούμενοι διέζων τὸν βίον· ἀλλὰ πρώτους μὲν ἐδάμασε τοὺς πατέρας τοὺς ἡμαρτηκότας ἡ νηστεία, καὶ ἡ τιμωρία τοὺς πατέρας B ἐκάκου, εἰς προσθήκης δὲ λόγον ἠναγκασμένως ἐθρήνει τὰ βρέφη, ἵνα διὰ πάσης ἡλικίας ἡ σκυθρωπότης κρατήσῃ, αἰσθανομένης (77) τε καὶ ἀναισθήτου· τῆς μὲν κατὰ προαίρεσιν, τῆς δὲ κατ' ἀνάγκην. Καὶ οὕτως αὐτοὺς ἰδὼν ὁ Θεὸς ταπεινωθέντας, ὡς ἐπὶ ὑπερβαίνουσαν ἑαυτῶν (78) ταλαιπωρίαν παγγενῆ κατακρίναντας, καὶ τὸ πάθος ἠλέησε, καὶ τῆς τιμωρίας ἀνῆκε, καὶ τὸ χαίρειν ἐδωρήσατο τοῖς εὐαισθήτως πενθήσασιν. Ὢ τῆς ἐμμελοῦς μετανοίας! ὢ τῆς σοφῆς καὶ πεπυκνωμένης θλίψεως! Οὐδὲ τὰ ἄλογα ἀσυντελῆ τῆς τιμωρίας ἀφῆκαν· ἀλλὰ καὶ αὐτὰ βοᾷν ἐξ ἀνάγκης ἐμηχανήσαντο. Ἐχωρίσθη γὰρ τῆς βοὸς ὁ μόσχος, ἀπηλάθη (79) τῆς μητρῴας θηλῆς ὁ ἀρνειός, παιδίον ἐπιμάζιον οὐκ ἦν ἐν ταῖς τῆς τεκούσης C ἀγκάλαις· ἐν ἰδίοις σηκοῖς αἱ μητέρες, ἐν ἰδίοις τὰ τέκνα· φωναὶ δὲ παρὰ πάντων οἰκτραὶ ἀλλήλαις ἀντιβοῶσαι, καὶ ἀντηχοῦσαι. Τὰ τέκνα λιμώττοντα τὰς πηγὰς ἐζήτει τοῦ γάλακτος· αἱ μητέρες, τῷ φυσικῷ πάθει διακοπτόμεναι, συμπαθέσι φωναῖς ἀνεκαλοῦντο (80) τὰ ἔγγονα. Τὰ βρέφη, κατὰ τὸν ὅμοιον τρόπον λιμώττοντα, σφοδροτάτῳ κλαυθμῷ ἀνερρήγνυντο καὶ ἀπέσπαιρον· αἱ τεκοῦσαι ταῖς φυσικαῖς ἀλγηδόσι κατεκεντοῦντο τὰ σπλάγχνα. Καὶ διὰ τοῦτο τὴν ἐκείνων μετάνοιαν εἰς κοινὸν τοῦ βίου διδασκάλιον ὁ θεόπνευστος λόγος ἔγγραφον διέσωσεν. Ὁ πρεσβύτης ἐπ' ἐκείνων ἐθρήνει (81), καὶ τὴν πολιὰν ἔτιλλε καὶ διεσπάραττεν. Ὁ νεανίσκος, καὶ ἀκμά-

[42] Jon. III, 3-10.

(74) Editio Paris. τοῦ συνήθως. Editio Basil. et quatuor mss. τὸ συνήθως. Aliquanto post utraque editio σὺ πρόσπεσε. At quatuor mss. πρόσπεσον.

(75) Editi καὶ τὸ ἀνεύθυνον. Libri veteres καὶ τὸ ἀνεύθυνον, βρέφος videlicet.

(76) Reg. primus μετάνοιαν παρεστήσαντο. Mox Reg. secundus τρυφῶντες καὶ εὐωχούμενοι.

(77) Antiqui duo libri κρατήσῃ αἰσθομένης.

(78) Editio Paris. ὑπερβαίνουσαν ἑαυτούς. Editio Basil. ἑαυτοῖς. Veteres quinque libri ἑαυτῶν.

(79) Colb. tertius ἀπηλλάχθη pro ἀπηλάθη. Paulo post Reg. primus et editi παιδίον ἐπιμάζιον: sed in ora ejus codicis additum est γρ. ὑπομάζιον. Norunt autem qui paulum modo in legendis veteribus libris versati sunt, hanc notam. γρ., vel γρ. καί, appositam esse a librariis in ora librorum antiquorum, ut monerent variare exemplaria, sic ut in aliquibus quidem legeretur ita, ut in contextu scri- D ptum erat, in aliis vero ita, ut in margine notabatur. Mox Reg. primus in contextu ἐν ἰδίοις τόποις: sed præterea in margine legitur γρ. καὶ σηκοῖς.

(80) Veteres aliquot libri ἀνεκάλουν. Ibidem Reg. primus τὰ ἔκγονα. Haud multo post idem codex habet in contextu καὶ ἀπέσκαιρον: in margine vero καὶ ἀπέσπαιρον. Rursus idem liber βίου διδασκαλεῖον.

(81) Illud, ὁ πρεσβύτης ἐπ' ἐκείνων ἐθρήνει, sic interpretatus est Combefisius, *illorum lugebat vicem*. Sed Basilius hoc non dicit. Ait potius Ninivitas ita affectos fuisse, ut suam quisque vicem lugeret. Nec enim senex aliorum solum lugebat vicem, sed etiam suam ipsius. Ejus igitur loci hæc est sententia: Qui inter Ninivitas senex erat, lugebat: similiter qui juvenis erat, lugebat quoque. Ibidem Reg. primus καὶ ἐσπάραττεν. Rursus Reg. primus σφοδρότερον ἀπωδύραντο. Colb. tertius ἀπωδύρατο.

ζων, σφοδρότερον ἀπωδύρετο· ὁ πένης ἐστέναζεν· ὁ πλούσιος, ἐπιλαθόμενος τῆς τρυφῆς, ἤσκει τὴν κακοπάθειαν ὡς σώφρονα. Ὁ βασιλεὺς αὐτῶν τὴν λαμπρότητα καὶ τὴν δόξαν εἰς αἰσχύνην μετέβαλεν. Ἀπέθετο τὸν στέφανον, καὶ κόνιν τῆς κεφαλῆς κατεχέετο (82)· τὴν ἁλουργίδα ῥίψας, σάκκον μετημφιάσατο· τὸν θρόνον τὸν ὑψηλὸν ἀφεὶς καὶ μετέωρον, ἐλεεινὸς τῇ γῇ προσεσύρετο· τὴν ἰδιάζουσαν καὶ βασιλικὴν καταλιπὼν εὐπάθειαν, συνεθρήνει τῷ δήμῳ· εἷς ἐγένετο τῶν πολλῶν, ὅτε τὸν κοινὸν πάντων Δεσπότην ἔβλεπεν ὀργιζόμενον.

4. Τοῦτο δούλων εὐαισθήτων φρόνημα. Τοιαύτη τῶν ἁμαρτίαις ἐνεχομένων ἡ μετάνοια. Ἡμεῖς δὲ τὴν μὲν ἁμαρτίαν ἐπιτελοῦμεν συντόνως, ὀλιγώρως δὲ καὶ ῥαθύμως ἀναλαμβάνομεν τὴν μετάνοιαν. Τίς εὐξάμενος ἀποῤῥεῖ δάκρυον, ἵν' ὄμβρον λάβῃ καὶ σταγόνας εὐκαίρους; Τίς ἐξαλείφων ἁμαρτίας, κατὰ μίμησιν τοῦ μακαρίου Δαβὶδ, θρήνοις τὴν κοίτην ἔβρεξε; Τίς πόδας ἀπέπλυνε (83) ξένων, καὶ τὴν κόνιν τῆς ὁδοιπορίας ἀπέκλυσεν, ἵν' ἐν καιρῷ δυσωπήσῃ τὸν Θεὸν, αὐχμοῦ λύσιν ζητῶν; Τίς ἔθρεψε τὸ πατρὸς ἔρημον παιδίον, ἵνα νῦν ἡμῖν ὁ Θεὸς θρέψῃ τὰ σιτία (84), ὡς ὀρφανὸν τῇ τῶν ἀνέμων ἀκρασίᾳ κονδυλιζόμενον; Τίς ἐθεράπευσε χήραν κεκακωμένην ταῖς δυσκολίαις τοῦ βίου, ἵνα νῦν ἐπιμετρηθῇ τὴν ἀναγκαίαν τροφήν; Διάῤῥηξον γραμματεῖον ἄδικον, ἵν' οὕτως ἡ ἁμαρτία λυθῇ. Ἐξάλειψον βαρυτάτων τόκων ὁμολογίαν, ἵνα τέκῃ τὰ συνήθη ἡ γῆ. Χαλκοῦ γὰρ καὶ χρυσοῦ καὶ τῶν ἀγόνων παρὰ φύσιν γεννώντων, ἡ κατὰ φύσιν τίκτουσα γίνεται στεῖρα, καὶ πρὸς τιμωρίαν τῶν ἐποικούντων κατεδικάσθη τὴν ἀκαρπίαν. Δειξάτωσαν τοίνυν οἱ τὴν πλεονεξίαν τιμῶντες, οἱ τὸν πλοῦτον μεθ' ὑπερβολῆς συνάγοντες, τίς ἡ δύναμις τῶν θησαυρισθέντων, ἢ τί τὸ ὄφελος, ἂν ὀργισθεὶς ὁ Θεὸς ἐπὶ πλεῖον παρελκύσῃ τὴν τιμωρίαν. Ὠχρότεροι τάχα τοῦ χρυσοῦ γενήσονται οἱ τοῦτον σωρεύοντες, ἐὰν μὴ τὸν ἄρτον, μέχρι (85) χθὲς καὶ πρώην καταφρονούμενον διὰ τὴν πρόχειρον ἐξουσίαν τῆς εὐθηνίας, σχῶσι. Δὸς δὴ μὴ εἶναι τὸν πιπράσκοντα, μηδὲ ὑπάρχειν σῖτον ἐν ἀποθήκαις· καὶ τίς ἡ χρῆσις τῶν βαρυτάτων βαλαντίων; εἰπέ μοι. Οὐ μετ' ἐκείνων χωσθήσῃ; Οὐ γῆ ὁ χρυσός; Οὐ πηλὸς ἀχρεῖος πηλῷ τῷ σώματι παρακείσεται; Πάντα ἐκτήσω, καὶ ἓν ἀναγκαῖον οὐκ ἔχεις, δύναμιν τοῦ τρέφειν σεαυτόν. Τῷ παντί σου πλούτῳ ἓν νέφος ἀπέργασαι· ὀλίγων ψεκάδων ἐπινόησον πόρον· ἔπειξον εἰς καρποφορίαν τὴν γῆν· λῦσον τῷ ὑπερηφάνῳ καὶ σοβοῦντι πλούτῳ τὴν συμφοράν. Τάχα τινὰ τῶν εὐλαβῶν παρακαλέσεις (86), ἵν' εὐχαῖς ὡς ὁ Θεσβίτης Ἠλίας ἄνεσίν σοι χαρίσηται τῶν δεινῶν, ἄνθρωπος ἀκτήμων, ὠχριῶν, ἀνυπόδετος, ἀοίκητος, ἀνέστιος, ἄπορος, ἐνὶ χιτῶνι σκεπόμενος, ὡς Ἠλίας

A discerpebatque. Adolescens, et qui florenti ætate erat, vehementius lamentabatur: ingemiscebat pauper: dives deliciarum oblitus, afflictationi ut bonæ se dedebat. Rex ipsorum splendorem gloriamque transmutavit in verecundiam. Deposita corona, caput cinere inspersit: purpura abjecta, induit saccum: throno alto et sublimi derelicto, miserabili habitu humi repebat: repudiatis propriis ac regiis deliciis, lugebat cum populo, unus e multis factus et plebeius, quod communem Dominum omnium videret iratum.

4. Hæc est servorum sensu præditorum prudentia: talis hominum peccatis implicitorum pœnitentia. Nos autem acriter ac cito peccamus, sed negligenter segniterque pœnitentiam amplectimur. B Quis precando lacrymatur, ut imbrem ac pluviam opportunam impetret? Quis peccata deleturus, beati Davidis exemplo, lacrymis lectum rigavit [43]? Quis hospitum lavit pedes, et pulverem ex itinere collectum abstersit, ut, dum siccitate liberari postulat, Deum opportune placet? Quis pavit orbatum patre puerum, ut Deus nunc nobis fruges nutriat, non secus ac orphanum **66** ventorum intemperie exagitatum? Quis fovit afflictam victus difficultate viduam, ut nunc ei tribuatur alimentum necessarium? Discinde schedulam iniquam, ut sic peccatum solvatur. Dele gravissimorum fenorum pactum, ut terra pariat consueta ac producat. Etenim dum æs et aurum, et ea quæ sterilia sunt, gignunt præter naturam, terra tamen quæ naturaliter C parit et fecunda est, sterilis redditur, et ad incolas puniendos damnatur infecunditatis. Ostendant igitur qui quæstum in pretio habent, ac divitias ultra modum aggerunt, quid valeant reconditi thesauri, aut quæ eorum necessitas sit, si iratus Deus multam ac pœnam ulterius protrahat. Confestim auro pallidiores fient, qui id congerunt, si pane, qui heri et nudiustertius ob paratam promptamque copiam contemnebatur, careant. Pone jam non esse venditorem, nec haberi in horreis frumentum; quid tandem, quæso, proderunt tibi marsupia gravissima? Nonne una cum ipsis sub eodem aggere sepelieris? Nonne terra aurum est? Nonne inutile lutum luto adjacebit, corpori videlicet? D Possides omnia: sed una res est necessaria, qua cares, facultas teipsum alendi. Confice ex omnibus tuis opibus nebulam unam; fac descendant guttæ paucæ; urge terram ad fructum ferendum; calamitatem superbis illis ac insolentibus divitiis amolire. Fortasse pium aliquem induces, ut exemplo Thesbitæ Eliæ [44] remissionem tibi malo-

[43] Psal. VI, 7. [44] III Reg. XVIII, 45.

(82) Editio utraque κατεχέατο. At quinque mss. κατεχέετο.

(83) Editi et Reg. tertius et Colb. itidem tertius πόδας ἔβρεξε. Reg. primus πόδας ἔνιψε. Reg. secundus πόδας ἀπέπλυνε. Scio quidem tres has lectiones idem plane valere; malo tamen secundam aut tertiam, ne verbum ἔβρεξε continenter bis repetatur.

(84) Editio Paris. θρέψῃ τὸν σῖτον. Editio Basil. et mss. Combefisiani τὰ σῖτα. Alii quatuor e nostris τὰ σιτία.

(85) Editi ἄρτον τὸν μέχρι. At mss. ἄρτον μέχρι. Mox Colb. primus εὐθηνίαις ἔχουσι.

(86) Editi παρακαλέσῃς. At mss. multi παρακαλέσεις.

rum precibus impetret, homo inops, pallidus, discalceatus, sine domo, sine lare, egenus, unica tunica coopertus, velut Elias pelle ovilla, simul cum precibus educatus, jejunio contubernali utens. Quod si rogando ab ejusmodi viro opem obtineas et præsidium, nonne divitias multis curis obnoxias valde admodum deridebis? nonne aurum conspues? nonne tanquam stercus aurum abjicies: quod, tametsi prius omnia poterat, appellabaturque charissimum, ipsum tamen cognoris infirmum in necessitate patronum esse? Causa tua hanc calamitatem Deus intulit, quod cum haberes, non erogaveris; quod esurientes præterieris, quod te non converteris ad lugentes; quod adoratus, non sis miseratus. Invadunt enim propter paucos in omnem populum mala, ac flagitium unius plebi toti nocet. Achar sacrilegium commisit, et totus castigatus est exercitus [45]. Zambri Madianitas scortatus est, et Israel pœnas dedit [46].

5. Omnes igitur tum privatim, tum in commune vitam nostram expendamus, velut pædagogo attendamus siccitati, unumquemque sui peccati commonefacienti. Proferamus et nos animo sano illa strenui Jobi verba: *Manus Domini est, quæ tetigit me* [47]. Potissimum autem et ante omnia calamitatem nostram peccatis ascribamus. Quod si præterea aliud addendum est, fit quoque aliquando, ut talia vitæ infortunia irrogentur hominibus ad animas probandas, ut inter difficultates deprehendantur qui probi sint, **67** sive pauperes, sive divites, cum utrique per patientiam plane probentur. Et maxime id hoc tempore declaratur, sitne hic liberalis, et fratrum amans: sitne ille gratus et beneficiorum memor, et vice versa non blasphemus, cujus animus statim vitæ vicissitudinibus mutetur. Novi ego multos (non auditione accepi, sed experientia ipsa homines notos habui), qui cum suppeteret sibi rerum copia, et secundis ventis, quod dici solet, res procederent, mediocriter saltem, si non perfecte, gratias rependerent benefico largitori; sed si mutaretur in contrarium rerum status, divesque fieret pauper, et robur corporis verteretur in morbum, gloria quoque ac splendor in dedecus et ignominiam: tunc deprehendebantur ingrati, loquebantur blasphema, pigrescebant in precatione, Deum perinde quasi cunctantem debitorem moleste ferebant, nec afficiebantur erga Dominum tanquam indignantem. Sed apage, et submove ab animo ejusmodi cogitationes! Et cum videris Deum consueta non largientem, sic tecum reputa: Num deest Deo victus suppeditandi facultas? Quomodo enim? cum sit Domi-

τῇ μηλωτῇ, τὴν εὐχὴν ἔχων σύντροφον, τὴν ἐγκράτειαν ὁμοδίαιτον. Κἂν ἐπιτύχῃς τῆς παρὰ τοῦ τοιούτου βοηθείας (87) δεόμενος, οὐ μακρὰ καταγελάσεις τῶν πολυμερίμνων κτημάτων; οὐ προσπτύσεις τῷ χρυσῷ; οὐ διαῤῥίψεις ὡς κόπρον τὸν ἄργυρον, ὃν πρότερον πάντα δυνάμενον καὶ φίλτατον ὀνομάζων, ἀδρανῆ βοηθὸν ἐπὶ τῆς χρείας ἐγνώρισας; Διὰ σὲ καὶ τὴν συμφορὰν ταύτην κατεδίκασεν, ἐπειδὴ ἔχων οὐκ ἐδίδως (88)· ἐπειδὴ παρέτρεχες τοὺς πεινῶντας· ἐπειδὴ πρὸς τοὺς ὀδυρομένους οὐκ ἐπεστρέφου· ἐπειδὴ προσκυνούμενος (89) οὐκ ἠλέεις. Ἔρχεται καὶ δι' ὀλίγους ἐπὶ δῆμον κακὰ, καὶ μοχθηρίας τινὸς παραπήλαυσε δῆμος. Ἄχαρ ἱεροσύλησε, καὶ ὅλη ἡ παράταξις ἐμαστίζετο. Ὁ Ζαμβρὶ πάλιν εἰς τὰς Μαδιανίτιδας ἐξεπόρνευσε, καὶ ὁ Ἰσραὴλ ἔπιπτεν εἰς δίκην.

5 Πάντες τοίνυν καὶ ἰδίᾳ καὶ κοινῇ τοὺς βίους ἑαυτῶν ἐξετάσωμεν, ὡς παιδαγωγῷ πρόσχωμεν τῷ αὐχμῷ, ἕκαστον τῆς ἰδίας ἁμαρτίας ὑπομιμνήσκοντι. Εἴπωμεν καὶ ἡμεῖς τοῦ γενναίου Ἰὼβ τὴν φωνὴν εὐαισθήτως· *Χεὶρ Κυρίου ἐστὶν, ἡ ἀψαμένη μου.* Καὶ μάλιστα μὲν πρωτοτύπως τοῖς ἁμαρτήμασι τὴν συμφορὰν ἑαυτῶν λογισώμεθα. Εἰ δὲ δεῖ καὶ ἄλλο προσθεῖναι, ἔστιν ὅτε καὶ κατὰ πεῖραν ταῖς ψυχαῖς αἱ τοιαῦται τοῦ βίου δυσκληρίαι τοῖς ἀνθρώποις προσάγονται, ἵν' ἐπὶ τῆς δυσκολίας ἀπελεγχθῶσιν οἱ δόκιμοι, εἴτε πένητες εἴτε πλούσιοι· ἑκάτεροι γὰρ ἀκριβῶς διὰ τῆς ὑπομονῆς δοκιμάζονται. Κἀν τούτῳ μάλιστα τῷ καιρῷ διαδείκνυνται ὁ μὲν, εἰ κοινωνικὸς καὶ φιλάδελφος, ὁ δὲ, εἰ εὐχάριστος καὶ μὴ τοὐναντίον βλάσφημος, ταῖς τοῦ βίου περιφοραῖς ὀξέως συμμεταβάλλων τὸ φρόνημα. Οἶδα ἐγὼ πολλοὺς (οὐκ ἀκοῇ μαθὼν, ἀλλὰ τῇ πείρᾳ τοὺς ἀνθρώπους γνωρίσας), ἕως μέχρι μὲν ὁ βίος αὐτοῖς πρὸς εὐπορίαν διαμετρεῖται, καὶ ἐξ οὐρίας, τὸ λεγόμενον, χωρεῖ, μέσως γοῦν, εἰ καὶ μὴ τελείως, τῷ εὐεργέτῃ ὁμολογοῦντας τὴν χάριν· εἰ δέ που διὰ τὴν ἐναντίαν κατάστασιν περιτραπείη τὰ πράγματα, καὶ ὁ μὲν πλούσιος γένηται πένης, ἡ δὲ ῥώμη τοῦ σώματος νόσος, ἡ δὲ δόξα καὶ περιφάνεια αἰσχύνη καὶ ἀτιμία, ἀχαριστοῦντας, βλάσφημα φθεγγομένους, ὀκνοῦντας τὴν προσευχήν· ὡς πρὸς χρεώστην βραδύνοντα τὸν Θεὸν σχετλιάζοντας, οὐχ ὡς πρὸς Δεσπότην ἀγανακτοῦντα διακειμένους. Ἀλλ' ἄπαγε τῶν λογισμῶν τὴν τοιαύτην ἔννοιαν! Ὅταν δὲ ἴδῃς Θεὸν μὴ χαριζόμενον τὰ συνήθη, οὕτω λογίζου παρὰ σεαυτῷ· Μὴ ἀδύνατος ὁ Θεὸς χορηγεῖν τὴν τροφήν; Καὶ πῶς; ὅς γε Κύριός ἐστιν οὐρανοῦ καὶ πάσης διακοσμήσεως, ὡρῶν (90)

[45] Jos. VII, 1 sqq. [46] Num. XXV, 6 sqq. [47] Job XIX, 21

(87) Colb. primus παρὰ τούτου βοηθείας.

(88) Antiqui duo libri ἐδίδους.

(89) Editi et mss. προσκυνούμενος: quam tamen vocem suspectam habens Combefisius, putat Basilium scripsisse προσαιτούμενος. Sed ejus judicio subscribere non queo. Nam præterquam quod illius conjectura nullo testimonio nititur, vox προσκυνούμενος ita huic loco convenit, ut potius ob oculos ponat quam exprimat statum humilem pauperum, qui adorantium in modum stipem a divitibus rogant.

(90) Illa, διακοσμήσεως ὡρῶν, sine ulla interpunctione legit Combefisius; idcircoque sic interpretatur: *Omnisque tempestatum anni atque temporum distinctionis sapiens moderator.* Nos, multorum veterum librorum fidem secuti, has voces distinximus Parum autem refert, utrum vox διακόσμησις hoc loco privatim sumatur pro ornatu cœli, an generatim pro ornatu totius orbis terrarum.

καὶ καιρῶν σοφὸς οἰκονόμος, κυβερνήτης τῶν πάντων, ὥσπερ τινὰ χορὸν εὔτακτον τὰς ὥρας καὶ τὰς τροπὰς ἀλλήλαις ὑποχωρεῖν ὁρίσας, ἵνα τῇ ἑαυτῶν ποικιλίᾳ ταῖς διαφόροις ἡμῶν ἐπαρκέσωσι χρείαις (91)· καὶ νῦν μὲν κατὰ καιρὸν τὸ ὑγρὸν προσγένηται, αὖθις δὲ λάβῃ τὸ θερμὸν, καὶ τὸ ψυχρὸν ἐγκραθῇ τῷ ἐνιαυτῷ, καὶ τοῦ ξηροῦ τὴν χρείαν μὴ ἀμοιρήσωμεν. Οὐκοῦν δυνατὸς ὁ Θεός· τοῦ δυνατοῦ δὲ προσόντος καὶ ὁμολογουμένου, μὴ ἄρα τὸ ἀγαθὸν ἐνέλειψεν; Οὐδὲ οὗτος (92) ἐφεστὼς ὁ λόγος. Τίς γὰρ ἀνάγκη τὸν μὴ ἀγαθὸν ἔπεισεν ἐν ἀρχῇ δημιουργῆσαι τὸν ἄνθρωπον; Τίς δὲ ὁ κατεπείξας τὸν Κτίστην καὶ μὴ βουλόμενον χοῦν λαβεῖν, καὶ τοιοῦτον ἐκ πηλοῦ κάλλος εἰδοποιῆσαι (93); Τίς ὁ πρὸς ἀνάγκην πείσας κατ' εἰκόνα ἰδίαν τὸν λόγον τῷ ἀνθρώπῳ χαρίσασθαι, ἵν' ἐκεῖθεν ὁρμηθεὶς τεχνῶν μάθησιν δέξηται, καὶ μάθῃ περὶ τῶν ἀνωτάτω (94) φιλοσοφεῖν, ὧν αἰσθητῶς οὐχ ἅπτεται; Κἂν, οὕτω λογιζόμενος, εὕρῃς τὴν ἀγαθότητα τῷ Θεῷ συνοῦσαν, καὶ μέχρι καὶ νῦν μὴ ἀπολιμπανομένην. Ἐπεὶ τί ἐκώλυεν, εἰπέ μοι, μὴ αὐχμὸν εἶναι τὸ ὁρώμενον, ἀλλὰ τελείαν ἐκπύρωσιν; καὶ μικρὸν ὑπαλλάξαντα τὸν ἥλιον τῆς συνήθους πορείας, πλησιάσαντα δὲ τοῖς περιγείοις σώμασιν, ἐν ἀκαρεῖ καταφλέξαι πᾶν τὸ ὁρώμενον; ἢ βρέξαι πῦρ ἐκ τοῦ οὐρανοῦ, καθ' ὁμοίωσιν τῶν ἤδη κολάσεων τῶν ἁμαρτωλῶν; Ἐπὶ σαυτοῦ καὶ τῶν σῶν λογισμῶν γενοῦ, ἄνθρωπε· μὴ ποίει τὰ τῶν ἀνοήτων παίδων, οἳ, παρὰ διδασκάλου ἐπιτιμηθέντες, τὰς δέλτους ἐκείνου καταῤῥηγνύουσι· πατρὸς δὲ, δι' ὠφέλειαν τὴν τροφὴν ὑπερθεμένου, τὴν ἐσθῆτα κατασπαράττουσιν, ἢ τὸ τῆς μητρὸς πρόσωπον τοῖς ὄνυξι καταξαίνουσι. Κυβερνήτην μὲν γὰρ ὁ χειμὼν, καὶ τὸν ἀθλητὴν τὸ στάδιον, τὸν στρατηγὸν ἡ παράταξις, τὸν μεγαλόψυχον ἡ συμφορὰ, τὸν Χριστιανὸν δὲ πειρασμὸς δοκιμάζει καὶ βασανίζει. Καὶ αἱ λῦπαι τὴν ψυχὴν, ὡς τὸ πῦρ τὸν χρυσὸν, ἀπελέγχουσι. Πένης εἶ; Μὴ ἀθυμήσῃς. Ἡ γὰρ εἰς ἄγαν κατήφεια γίνεται τῆς ἁμαρτίας αἰτία· τῆς μὲν λύπης βαπτιζούσης τὸν νοῦν, καὶ ἀμηχανίας ἐμποιούσης ἴλιγγον, τῆς δὲ ἀπορίας τῶν λογισμῶν τὴν ἀχαριστίαν ἀπογεννώσης. Ἀλλ' ἔχε τὴν ἐλπίδα πρὸς τὸν Θεόν. Μὴ γὰρ οὐχ ἐπιβλέπει τὴν στένωσιν; Ἔχει τὴν τροφὴν ἐν χερσὶ, καὶ παρέλκει τὴν δόσιν, ἵνα σου δοκιμάσῃ τὸ βέβαιον, ἵνα καταμάθῃ τὴν γνώμην, εἰ μὴ τῇ (95-96) τῶν ἀκολάστων καὶ ἀγνωμόνων ἐστὶν ὁμοία. Καὶ γὰρ ἐκεῖνοι, μέχρι μὲν ἐν τῷ στόματι τὰ σιτία τυγχάνει, εὐφημοῦσι, κολακεύουσιν, ὑπερθαυμάζουσιν· ὀλίγον δὲ τῆς τραπέζης ὑπερτεθείσης, ὥσπερ τισὶ λίθοις ταῖς βλασφημίαις βάλλουσιν οὓς πρὸ βραχέως ἴσα Θεῷ διὰ τὴν ἡδονὴν προσεκύνουν. Ἔπελθε τὴν Παλαιὰν Διαθήκην, τὴν Νέαν, καὶ πολλοὺς εὑρήσεις ἐν ἑκάστῃ τοὺς διαφόρως τραφέντας. Ἠλίαν εἶχεν ὁ Κάρμηλος, ὄρος ὑψηλὸν καὶ ἀοίκητον, ἔρημος ἔρημον· ψυχὴ δὲ ἦν τῷ

A nus cœli totiusque eorum ornatus, cum sit tempestatum et temporum moderator sapiens, cumque gubernet omnia. Quippe tempestates ac solstitia in modum chori cujusdam ordinatissimi sibi invicem succedere statuit, ut sua ipsorum varietate variis nostris necessitatibus opitulentur. Jamjam accedat tempestive humor, rursusque calor succedat, et annus sit frigore immistus, atque siccitate necessaria non careamus. Potens igitur Deus est: sed cum suppetat ei potestas, sitque res confessa, num ei bonitas deest? Neque hoc stare potest. Nam nisi bonus esset, qua necessitate adductus initio condidisset hominem? Quis autem Conditorem vel invitum coegisset humum sumere, et pulchritudinem ejusmodi suis manibus ex luto conformare? Quis necessario B persuasit, ut secundum suam ipsius imaginem rationem homini impertiret, ut, ducto inde initio, doceretur artes, et de rebus altissimis quæ sub sensum non cadunt, philosophari disceret? Ita si cogitaveris, comperies bonitatem inesse in Deo, et ne nunc quidem ei deesse. Alioquin quid vetaret, quæso, et siccitatem non esse id quod videmus, sed perfectum incendium et integrum? et solem paululum a cursu consueto deflectentem, atque ad corpora terræ adjacentia propius accedentem, res omnes visibiles in temporis momento exurere? aut ignem de cœlo pluere, eo modo, quo jam sunt antea puniti peccatores? Redeas ad te, homo, et mentis esto compos; cave facias quæ insipientes pueri factitant, qui, a præceptore objurgati, tabulas illius C confringunt, ac vestem scindunt patris, cibum ad eorum utilitatem differentis, aut matris faciem unguibus dilaniant. Nam nauclerum tempestas, athletam stadium, imperatorem acies, magnanimum 68 virum calamitas, Christianum tentatio probat et examinat. Atque ut ignis aurum, ita res adversæ animam probant. Pauper es? Cave animum abjicias. Nam nimia tristitia causa fit peccati, quod demergat mentem mœror, inducatque vertiginem desperatio, et vitium ingrati animi pariat consilii inopia. Sed spem habeto in Deum. Nunquid enim non videt angustiam? Habet cibum in manibus: sed differt largitionem, ut probet tuam constantiam, ut animum agnoscat, sitne intemperantibus et in- D gratis consimilis. Hi enim, dum in ore sunt cibi, benedicunt, adulantur, supra modum admirantur: paululum vero dilata mensa, blasphemiis velut lapidibus impetunt eos quos aliquanto ante æque ac Deum propter voluptatem colebant. Percurre Vetus ac Novum Testamentum, et multos in utroque reperies modis variis nutritos. Eliam habebat Carmelus, excelsus mons et inhabitabilis, solitudo solitarium: verum anima erat justo instar omnium,

(91) Ea sic vertenda: *Ut sua ipsorum varietate variis nostris necessitatibus opitulentur, ac nunc quidem tempestive accedat humor, rursus autem calor succedat*, etc. MARAN.

(92) Veteres aliquot libri οὐδὲ οὕτως. Ibidem Colb. tertius et utraque editio ἐφετός. At mss. multi ἐφεστώς.

(93) Editio utraque et mss. multi κάλλος ἰδιοποιῆσαι. At Colb. tertius εἰδοποιῆσαι: quod verius et melius judicavimus.

(94) Reg. primus τῶν ἀνωτάτων. Ibidem Colb. tertius ὧν εὐαισθήτως. Mox mss. quatuor εὕρῃ. Utraque editio εὕρῃς.

(95-96) Antiqui tres libri εἰ μὴ τῆς.

vitæque erat viaticum spes, quam in Deo reponebat. Etsi autem sic viveret, fame tamen vitam non finivit : sed avium rapacissimæ et voracissimæ, hæ ipsæ afferebant cibum : et justo erant victus ministræ eædem, quæ solent alienos cibos diripere, ac, transmutata per Domini præceptum natura, panis ac carnium fidæ custodes effectæ sunt. Hæc autem a corvis viro allata fuisse, ex sacra historia didicimus [48]. Habebat itidem Babylonicus lacus Israelitam juvenem, calamitate quidem captivum, animo vero ac constantia liberum. Quid tum inde? Leones quidem præter naturam jejunabant ; Habacuc vero illius altor ferebatur per aerem, angelo hominem una cum obsoniis portante : et ne justus fame premeretur, tantum terræ ac maris spatium brevi temporis momento prætervectus est propheta, quantum a Judæa ad Babylonem usque extenditur [49].

6. Quid rursus solitudinis populus, Moyse præfecto? quomodo fuit ei per quadraginta annos dispensatus victus? Illic erat nemo, qui sementem faceret; non bos, qui traheret aratrum; non area, non torcular, non cella penaria ; et tamen sibi suppetebat victus citra sementem, citra arationem. Fontes denique qui prius non exstiterant, sed in necessitate eruperant, petra subministrabat. Mitto singula providentiæ divinæ opera percensere, quæ plerumque animo paterno hominum causa patravit. Tu vero, velut strenuus Job, tantisper patiens esto in calamitate, et ne evertaris a tempestate, ne quidquam ex his, quas tecum vehis, virtutis mercibus abjicias. Serva in animo gratiarum actionem tanquam vecturam pretiosissimam, et tu quoque pro gratiarum actione voluptatem duplo majorem consequere. Sis apostolicæ sententiæ memor : *In omnibus gratias agite* [50]. Pauper es? Alter est te pauperior. Sunt tibi cibaria dierum decem : illi, unius. Quod tibi superest, ac redundat, id tu ceu bonus ac benignus ex æquo cum egente partiaris. Ne dubites ex modico dare; ne commodum tuum periculo publico anteponas. Quod si ad unum **69** panem redactus cibatus sit, stetque pro foribus mendicus; promito ex penu illum unum, quem imponens manibus, et intuens in cœlum, miserabilem hanc simul et benignam vocem emittito : Unus hic est panis, quem vides, Domine, et periculum aperte imminet ; sed ego mihi tuum mandatum præpono, et ex modico tribuo esurienti fratri; jam tu quoque da periclitanti servo. Novi tuam bonitatem, confido etiam potentiæ : non differs diu beneficia : sed dona tua, cum libet, spargis. Quod si ita locutus fueris ac feceris, quem ex angustia panem por-

A δικαίῳ τὰ πάντα, καὶ τῆς ζωῆς ἐφόδιον ἡ πρὸς Θεὸν ἐλπίς. Ζῶν δὲ οὕτω, λιμῷ τὴν ζωὴν οὐκ ἀπήλλαξεν· ἀλλ' οἱ ἁρπακτικώτατοι καὶ μάλιστα γαστρίμαργοι τῶν ὀρνίθων, οὗτοι διεκόμιζον τὰ σιτία, καὶ τροφῆς ἐγίνοντο (97) τῷ δικαίῳ διάκονοι, οἱ τὰς ἀλλοτρίας τροφὰς ἐκ συνηθείας ἁρπάζοντες· καὶ τῷ δεσποτικῷ προστάγματι τὴν φύσιν διήμειψαν, πιστοὶ φύλακες γενόμενοι τῶν ἄρτων καὶ τῶν κρεῶν. Ταῦτα δὲ τῷ ἀνδρὶ φέρειν τοὺς κόρακας παρὰ τῆς πνευματικῆς ἱστορίας ἐμάθομεν. Εἶχε δὲ καὶ ὁ Βαβυλώνιος λάκκος τὸν Ἰσραηλίτην νεανίσκον· αἰχμάλωτον μὲν τὴν συμφορὰν, ἐλεύθερον δὲ τὴν ψυχὴν καὶ τὸ φρόνημα. Καὶ τί τὰ παρ' ἐκείνων; Οἱ μὲν λέοντες παρὰ φύσιν ἐνήστευον· ὁ δὲ τούτου τροφεὺς Ἀμβακοὺμ (98-99) ἐφέρετο δι' ἀέρος, κομίζοντος τοῦ ἀγγέλου μετὰ τῶν B ὄψων τὸν ἄνθρωπον· καὶ ἵνα μὴ λιμῷ πιεσθῇ δίκαιος, τοσαύτης ὑπερηνέχθη γῆς καὶ θαλάσσης ὁ προφήτης ἐν μικρῷ μορίῳ καιροῦ, ὅσην ἐκ τῆς Ἰουδαίας μέχρι Βαβυλῶνος ἡπλῶσθαι.

6. Τί δὲ πάλιν ὁ τῆς ἐρήμου λαὸς, οὗ Μωϋσῆς ἐπετρόπευσε; πῶς ᾠκονομήθη τὸν βίον ἐν ἔτεσι τεσσαράκοντα; Οὐκ ἦν ἐκεῖ σπείρων ἀνὴρ, οὐ βοῦς ἕλκων ἄροτρον, οὐχ ἅλως, οὐ ληνὸς, οὐ ταμιεῖον· καὶ τὴν τροφὴν εἶχον ἄσπορον καὶ ἀνήροτον, καὶ τὰς πηγὰς ἐχορήγει πέτρα, οὐ πρότερον οὔσας, ἀλλ' ἐκραγείσας ἐπὶ τῆς χρείας. Ἀφίημι τὰ καθ' ἕκαστον ἀπαριθμεῖσθαι τῆς τοῦ Θεοῦ προνοίας, ἃ πολλάκις ἐπὶ τῶν ἀνθρώπων πατρικῶς ἐνεδείξατο. Σὺ δὲ καρτέρησον ὀλίγον ἐπὶ τῆς συμφορᾶς, ὡς ὁ γενναῖος Ἰὼβ, καὶ μὴ περιτραπῇς ἐκ τοῦ κλύδωνος, μηδὲν ἀποβάC λῃς ὧν φέρεις ἀγωγίμων τῆς ἀρετῆς. Ὡς βαρύτιμον ἐνθήκην τὴν εὐχαριστίαν διάσωσον ἐπὶ τῆς ψυχῆς, καὶ λήψῃ καὶ σὺ τῆς εὐχαριστίας τὰ διπλασίονα τῆς τρυφῆς (1). Μνημόνευε τῆς ἀποστολικῆς ῥήσεως· *Ἐν παντὶ εὐχαριστεῖτε*. Πένης εἶ; Ἄλλον ἔχεις πάντως πενέστερον. Σοὶ δέκα ἡμερῶν τὰ σιτία, ἐκείνῳ μιᾶς. Ὡς καλὸς καὶ εὐγνώμων τὸ σὸν περιττὸν ἐπανίσωσον πρὸς τὸν ἐνδεῆ. Μὴ ὀκνήσῃς ἐκ τοῦ ὀλίγου δοῦναι· μὴ προτιμήσῃς τὸ σὸν συμφέρον ἐκ τοῦ κοινοῦ κινδύνου. Κἂν (2) εἰς ἕνα ἄρτον περιστῇ ἡ τροφὴ, ἐπιστῇ δὲ ταῖς θύραις ὁ ζητῶν, προκόμισον ἐκ τοῦ ταμιείου τὸν ἕνα, καὶ ἐπιθεὶς ταῖς χερσὶ πρὸς οὐρανὸν ἀνατείνας, εἰπὲ λόγον ἐλεεινὸν ὁμοῦ καὶ εὐγνώμονα· Εἷς ἄρτος, ὃν ὁρᾷς, Κύριε, καὶ ὁ κίνδυνος προφανὴς, ἀλλ' ἐγὼ τὴν σὴν ἐντολὴν ἐμοῦ προD τίθημι, καὶ ἐκ τοῦ ὀλίγου δίδωμι τῷ λιμώττοντι ἀδελφῷ· δὸς δὴ καὶ σὺ τῷ κινδυνεύοντι δούλῳ. Οἶδά σου τὴν ἀγαθότητα, θαῤῥῶ καὶ τῇ δυνάμει· οὐχ ὑπερτίθεσαι εἰς χρόνον τὰς χάριτας, ἀλλὰ σκεδαννύεις, ὅταν ἐθέλῃς, τὰς δωρεάς. Κἂν οὕτως εἴπῃς καὶ πράξῃς, ὃν δίδως ἐκ τῆς στενώσεως ἄρτον, σπέρμα γίνεται γεωργίας, πολύχουν ἀπογεννᾷ τὸν καρπὸν, ἀῤῥαβὼν τῆς τροφῆς, ἐλέου πρόξενος (3). Εἰπὲ καὶ

[48] III Reg. XVII, 4-6. [49] Dan. XIV, 30 sqq. [50] I Thess. V, 18.

(97) Reg. primus διεκόμιζον τὰ σῖτα καὶ τροφῆς ἐγένοντο.

(98-99) Editi τροφεὺς Ἀβακούμ. At mss. multi Ἀμβακούμ.

(1) Reg. primus τὰ διπλάσια τρυφῆς. Colb. tertius τὰ διπλασίονα τῆς ψυχῆς, male.

(2) Colb. tertius ἐκ τοῦ κοινοῦ δοῦναι κἄν. Statim mss. Colbertini ἐπιστῇ δὲ ἐπὶ θύραις.

(3) Colb. primus ἐλέους πρόξενος.

σὺ τῆς χήρας τῆς Σιδωνίας ῥῆμα ἐν τοῖς ὁμοίοις, εὐκαίρως τῆς ἱστορίας μνημόνευσον· *Ζῇ Κύριος, ὅτι τοῦτον ἔχω ἐν τῇ οἰκίᾳ μου μόνον εἰς διατροφὴν ἐμοὶ καὶ τοῖς παιδίοις* (4). Κἂν δῷς ἐκ τοῦ λείποντος, ἕξεις καὶ σὺ τὸν καμψάκην τοῦ ἐλαίου τῇ χάριτι βρύοντα· τὴν ὑδρίαν τῶν ἀλεύρων (5) ἀκένωτον. Ἐπὶ γὰρ τῶν πιστῶν φιλότιμος ἡ τοῦ Θεοῦ χάρις μιμεῖται τὰ φρέατα, τὰ ἀεὶ κενούμενα, καὶ μὴ ἐξαντλούμενα, τὸ διπλοῦν ἀντεισάγουσα. Δάνεισον, ὁ ἄπορος, τῷ πλουσίῳ Θεῷ. Πίστευσον τῷ ἀεὶ εἰς πρόσωπον ἴδιον ὑπὲρ τοῦ θλιβομένου λαμβάνοντι, καὶ οἴκοθεν ἀποδιδόντι τὴν χάριν. Ἀξιόπιστος ἐγγυητής, πανταχοῦ γῆς καὶ θαλάττης ἡπλωμένους ἔχων τοὺς θησαυρούς. Καὶ πλέων ἐὰν ἀπαιτήσῃς τὸ δάνεισμα, λήψῃ ἐπὶ μέσου πελάγους σὺν τόκοις τὸ κεφάλαιον. Φιλοτιμεῖται γὰρ ἐν ταῖς προσθήκαις.

A rigis, is semen fiet segetis, edet fructus uberes, arrhabo erit cibariorum, misericordiæ conciliator. Dic et tu verbum a vidua Sidonia in iisdem angustiis prolatum; tibi opportune in memoriam revoca historiam : *Vivit Dominus, quia hunc solum domi habeo ad nutriendum me et liberos* [81]. Quod si ex penuria tua dederis, habebis et tu vas olei, quod scaturiet per gratiam : hydriam itidem farinæ, quæ exhauriri non poterit. Etenim Dei beneficentia, quæ scilicet duplum reddat, erga fideles magnifice puteos imitatur, qui continuo hausti, nequaquam exhauriuntur. Deo diviti fœnerare, quisquis inops es et pauper. Crede ei, qui quod in oppressum hominem contuleris, id, perinde quasi sibimetipsi collatum sit, recipit, exque suis rependit gratiam. Fide di- B gnus est sponsor, per omnem terram ac mare expansos habens thesauros. Quod si inter navigandum mutuum repetas, in medio ipso mari una cum fenore sortem recipies. Est enim in addendo ambitiosus.

7. Τὸ τοῦ λιμώττοντος νόσημα, λιμὸς, οἰκτρὸν πάθος ἐστί. Λιμὸς ἀνθρωπίνων συμφορῶν ὑπάρχει τὸ κεφάλαιον, πάντων θανάτων μοχθηρότερον τέλος οὗτος. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων κινδύνων, ἢ ξίφους ἀκμὴ τὴν τελευτὴν ὀξέως ἐφίστησιν, ἢ πυρὸς ὁρμὴ (6) συντόμως τὸ ζῆν ἀποσβέννυσιν, ἢ θηρία, τοῖς ὀδοῦσι διασπαράξαντα ὅσα καίρια τῶν μελῶν, οὐ συγχωρεῖ τῇ παρολκῇ τῆς ὀδύνης τιμωρηθῆναι. Λιμὸς δὲ ἀργὸν ἔχει τὸ κακὸν, παρέλκουσαν τὴν ἀλγηδόνα, ἐγκαθημένην τὴν νόσον καὶ ἐμφωλεύουσαν, θάνατον ἀεὶ παρόντα, καὶ ἀεὶ βραδύνοντα. Τὸ γὰρ κατὰ φύσιν ὑγρὸν ἐκδαπανᾷ· τὸ θερμὸν καταψύχει· τὸν ὄγκον συστέλλει· τὴν δύναμιν κατ' ὀλίγον ἀπομαραίνει. Ἡ σὰρξ ὡς ἀράχνιον τοῖς ὀστέοις περίκειται. Ὁ χροῦς ἄνθος οὐκ ἔχει (7). Τὸ μὲν γὰρ ἐρυθρὸν φεύγει, ἐκτηκομένου τοῦ αἵματος· τὸ λευκὸν οὐκ ἔστι, τῇ ἰσχνότητι τῆς ἐπιφανείας μελαινομένης· πελιδνὸν δὲ τὸ σῶμα, ὠχρότητι καὶ τῷ μέλανι ἐλεεινῶς ἐκ τοῦ πάθους κιρνώμενον (8)· γόνατα οὐ βαστάζοντα, ἀλλὰ πρὸς βίαν ἑλκόμενα. Φωνὴ λεπτὴ καὶ ἀδρανής· ὀφθαλμοὶ ἐνασθενοῦντες ταῖς κοιλότησιν, εἰκῇ ταῖς θήκαις ἐναποκείμενοι, ὡς τὰ τοῖς ἐλύτροις ἐμψυγέντα τῶν ἀκροδρύων. Γαστὴρ κενὴ καὶ συμπεπτωκυῖα, καὶ ἄμορφος, οὐκ ὄγκον, οὐ φυσικὴν τῶν σπλάγχνων ἐπίτασιν ἔχουσα, τοῖς ὀστέοις δὲ τοῦ νώτου προσπεπλασμένη. Ὁ οὖν τοιοῦτον σῶμα παρατρέχων πόσων κολάσεων ἄξιος; τίνα δὲ ὠμότητος ὑπερβολὴν καταλείψει; πῶς δὲ οὐκ ἄξιος τοῖς ἀνημέροις τῶν θηρίων συναριθμεῖσθαι, ὁρᾶσθαι δὲ ἐναγὴς καὶ ἀνδροφόνος; Ὁ γὰρ ἔχων ἐν ἐξουσίᾳ τὴν τοῦ κακοῦ θεραπείαν, ἑκὼν δὲ καὶ πρὸς πλεονεξίαν ὑπερτιθέμενος, εἰκότως ἂν ἐν τῷ ἴσῳ τῶν αὐτοχείρων καταδικάζοιτο. Τὸ τοῦ λιμοῦ πάθος κατηνάγκασε πολλοὺς πολλάκις καὶ τοὺς

7. Esurientis morbus, fames scilicet, miserabilis affectio est. Humanarum calamitatum caput est fames. Mors omnium miserrima est, finem hunc sortiri. Nam in aliis periculis, aut gladii acies cito accelerat mortem, aut ignis impetus brevi vitam exstinguit, aut bestiæ præcipua membra dentibus dilaniantes, nos non sinunt dolore diu protracto puniri. Fames vero affert supplicium lentum, dolorem longum, morbum intus insidentem ac delitescentem, mortem semper præsentem et semper tardantem. Naturalem namque humorem absumit, refrigerat calorem, molem corporis contrahit, vires paulatim exedit. Caro araneæ instar circumjacet ossibus. Non flos inest in cute. C Nam, consumpto sanguine, fugit rubor; non adest albor, superficie per maciem nigrescente; corpus livet, pallore atque nigritudine per morbum misere admistis; genua non sustentant, sed vi et ægre trahuntur. Vox tenuis et languida; oculi in cavis suis debilitati, frustra in thecis ac valvulis inclusi, tanquam nucei fructus intra putamina arefacti. Venter vacuus, contractus, informis, sine mole, sine naturali viscerum distensione, ossibus dorsi adhærescens. Qui igitur corpus ejusmodi præterit, quantis suppliciis dignus est? quid ei deerit ad crudelitatis cumulum? quomodo aut non annumerabitur jure ac merito inter immanissimas belluas, aut non habebitur pro scelesto et homicida? Nam qui potest malo mederi, sed sponte et ob avari- D tiam differt, non injuria velut homicida condemnari **70** poterit. Coegit non paucos sæpenumero famis angustia, terminos etiam naturæ excutere, hominemque vesci tribulium corporibus, et ma-

[81] III Reg. XVII, 12.

(4) Reg. primus ἐμοὶ καὶ τοῖς τέκνοις μου.

(5) Reg. primus τοῦ ἀλεύρου. Aliquanto post idem codex διπλοῦν ἀντεισάγοντα.

(6) Colb. primus πυρὸς ἀφορμή. Alius codex Colb. πυρὸς ὀργή.

(7) Colb. primus et alii duo mss. Regii χροιὰ ἄνθος οὐκ ἔχει, *color florem non habet*, male. Colb. tertius χροιὰ βάθος οὐκ ἔχει, *color non habet altitudinem*, pejus. Editio utraque uti in contextu.

(8) Utraque editio et Colb. tertius πάθους χρινομένον, depravate. At Regii secundus et tertius cum Colb. tertio κιρνώμενον, emendate. Mox duo mss. φωνὴ δὲ λεπτή. Subinde Colb. primus ὀφθαλμοὶ ἀσθενοῦντες.

trem filium quem ex ventre protulit, ventre rursus improbe excipere. Utique tragicum illum actum Judaica historia a diligenti viro Josepho (8*) conscripta commemorat, cum scilicet malis diris Hierosolymitæ premerentur, pendentes impietatis in Dominum suæ meritas pœnas. Vides et ipsum nostrum Deum, præteritis non raro aliis incommodis, esurientes condolenti animo miserari. *Misereor enim*, inquit, *turbæ* [82]. Quare et in extremo judicio, ubi advocat justos Dominus, locum primum occupat qui largus fuit ac liberalis; nutritor primas tenet inter eos quibus præmia dantur; panem qui ministravit, vocatur ante omnes; qui benignus fuit et liberalis, ante reliquos justos ad vitam transmittitur [83]. Qui illiberalis exstitit et sordidus, ante omnes peccatores igni traditur [84]. Jam te ad matrem mandatorum ipsa temporis opportunitas vocat; eoque magnopere cura, ne te prætereat nundinarum occasio, atque commerciorum. Fluit enim tempus, nec exspectat morantem: festinant dies, segnem prætergrediuntur. Et quemadmodum fluvii cursum sistere non datur, nisi quis illum in primo occursu ac transitu intercipiens, aqua opportune utatur; sic tempus necessariis conversionibus impulsum neque cohiberi, neque præteritum retro revocari potest, nisi quis, cum advenit, apprehendat. Ob idque mandatum velut fugiens detine ac confice, et undelibet arreptum ulnis amplectere. Dato pauca, et multa comparato; exsolvito primigenium peccatum, cibariorum largitione. Quemadmodum enim Adam improbo esu peccatum transmisit, sic nos insidiantem escam abolemus, si fratris necessitatem famemque curamus.

8. Populi, audite: Christiani, auribus accipite: hæc dicit Dominus, non sua ipsius voce concionans, sed

A ὅρους κινῆσαι τῆς φύσεως· ἅψασθαι μὲν ἄνθρωπον (9) τῶν ὁμοφύλων σωμάτων, μητέρα δὲ παῖδα, ὃν ἐκ τῆς γαστρὸς προήγαγε, πάλιν τῇ γαστρὶ κακῶς ὑποδέξασθαι. Καὶ τοῦτο τὸ δρᾶμα Ἰουδαϊκὴ ἐτραγῴδησεν ἱστορία, ἣν Ἰώσηπος ἡμῖν ὁ σπουδαῖος συνεγράψατο, ὅτε τὰ δεινὰ πάθη τοὺς Ἱεροσολυμίτας κατέλαβε, τῆς εἰς τὸν Κύριον δυσσεβείας ἐνδίκους τιμωρίας τιννύντας (10). Ὁρᾷς καὶ αὐτὸν τὸν ἡμέτερον Θεὸν τὰ μὲν ἄλλα τῶν παθῶν πολλάκις παρατρέχοντα, ἐπὶ δὲ τοῖς πεινῶσι συμπαθῶς σπλαγχνιζόμενον· *Σπλαγχνίζομαι γὰρ*, φησὶν, *ἐπὶ τὸν ὄχλον*. Διὸ καὶ ἐν τῇ τελευταίᾳ κρίσει, ἔνθα προσκαλεῖται τοὺς δικαίους ὁ Κύριος, τὴν πρώτην τάξιν ὁ μεταδοτικὸς ἐπέχει· ὁ τροφεὺς πρωτοστάτης (11) τῶν τιμωμένων· ὁ τὸν ἄρτον χορηγήσας πρὸ πάντων καλεῖται· ὁ χρηστὸς
B καὶ εὐμετάδοτος πρὸ τῶν ἄλλων δικαίων τῇ ζωῇ παραπέμπεται. Ὁ ἀκοινώνητος καὶ φειδωλὸς (12) πρὸ πάντων ἁμαρτωλῶν τῷ πυρὶ παραδίδοται. Ἐπὶ τὴν μητέρα σε τῶν ἐντολῶν ὁ καιρὸς καλεῖ· καὶ σφόδρα μερίμνησον, ἵνα σε μὴ παρέλθῃ ὁ τῆς πανηγύρεως καὶ τῶν συναλλαγμάτων καιρός. Ῥεῖ γὰρ ὁ χρόνος, καὶ οὐκ ἐκδέχεται τὸν βραδύνοντα· ἐπείγονται αἱ ἡμέραι, τὸν ὀκνηρὸν παρατρέχουσιν (13). Καὶ ὡς οὐκ ἔστι ῥεῦμα ποταμοῦ στῆσαι, εἰ μή τις, κατὰ τὴν πρώτην ἔντευξιν καὶ προσβολὴν ἀνελόμενος, εἰς δέον τῷ ὕδατι χρήσαιτο· οὕτως οὐδὲ τὸν χρόνον ταῖς ἀναγκαστικαῖς περιόδοις ἐλαυνόμενον ἐπισχεῖν, οὐδὲ παρελθόντα ἀναλῦσαι (14) εἰς τὸ κατόπιν, εἰ μή τις προσάγοντος λάβοιτο. Καὶ διὰ τοῦτο τὴν ἐντολὴν ὡς
C φεύγουσαν κάτασχε καὶ ἐπιτέλεσον, καὶ λαβόμενος πανταχόθεν ἐν ταῖς ἀγκάλαις περίδραξαι. Δὸς ὀλίγα, καὶ πολλὰ κτῆσαι· λῦσον τὴν πρωτότυπον ἁμαρτίαν (15) τῇ τῆς τροφῆς μεταδόσει. Ὡς γὰρ Ἀδὰμ, κακῶς φαγὼν, τὴν ἁμαρτίαν παρέπεμψεν, οὕτως ἐξαλείφομεν ἡμεῖς τὴν ἐπίβουλον βρῶσιν, ἐὰν χρείαν ἀδελφοῦ καὶ λιμὸν θεραπεύσωμεν.

8. Λαοὶ, ἀκούσατε· Χριστιανοὶ, ἐνωτίσασθε· ὅτι τάδε λέγει Κύριος, οὐ δημηγορῶν (16) αὐτοφώνως,

[82] Matth. xv, 32. [83] Matth. xxv, 34. [84] ibid. 41.

(8*) *De bello Jud.* lib. vii, c. 8.

(9) Codex Coisl. et alii tres mss. cum editis ἅψασθαι μὲν ἀνθρώπων, male. At Reg. secundus ἄνθρωπον, bene. Nec ita multo post Colb. tertius γαστρὸς προσήγαγεν.

(10) Utraque editio τῇ εἰς τὸν Κύριον δυσσεβείᾳ ἐνδίκους τιμωρίας τιννύντας. Reg. tertius τῆς..... δυσσεβείας, etc., ut supra. At quatuor mss. τῆς..... δυσσεβείας ἐν δίκῃ τιμωρίαν τιννύντας.

(11) Editio Paris. τροφεὺς προστάτης. Editio Basil. et sex mss. πρωτοστάτης.

(12) Vox φειδωλός sumitur quidem usitate pro *parco*: sed, nisi valde fallor, hic sumi debet pro *avaro*.

(13) Utraque editio παρατρέχουσαι. At quinque mss. παρατρέχουσιν. Mox Colb. tertius ποταμοῦ στῆναι. Ibidem editio Paris. εἰ μή τις. Vocula τις abest editione Basil. et a veteribus quinque libris. Subinde Colbertini primus et tertius καὶ προβολήν.

(14) Editio Paris. παρελθόντα ἀνακαλέσαι. At editio Basil. et quinque mss. παρελθόντα ἀναλῦσαι, eadem plane sententia.

(15) Quod hoc loco ait Basilius, *solvendum esse peccatum primigenium*, id certe notatu est dignissimum; atque haud scio an nullum testimonium apud Patres Græcos exstet aut insignius aut validius ad peccatum originale comprobandum. Etenim si necesse est nobis peccatum originis solvere, ejus conscii simus oportet. Nemo enim quod non debet, solvere unquam coactus est. Illud, ὡς γὰρ Ἀδὰμ, κακῶς φαγὼν, τὴν ἁμαρτίαν παρέπεμψεν, ita verterat Volaterranus: *Sicut enim male edendo maleque cibo utendo Adam peccatum incurrit.* Sed longe aliud est peccatum incurrere, aliud peccatum transmittere. Ita interpretari, est ita obscurare gravissimam sententiam, ut ea, nisi intelligantur Græca, perspici nullo modo possit. Nec quemquam movere debet, quod peccatum primigenium solvi dicatur cibariorum largitione, cum tamen id baptismate solvi constet. Sic enim loquens Basilius, catechumenos qui tunc inter alios in concionibus frequentes aderant, pro virili hortabatur, ut sese stipis erogatione ad primigenii peccati efficax remedium, quod baptisma est, præpararent. Codex Combef. ἁμαρτίαν παρέπεμπεν.

(16) Veteres quinque libri Κύριος ὁ δημηγορῶν. Utraque editio Κύριος οὐ δημηγορῶν.

τοῖς δὲ τῶν δούλων στόμασιν ἐνηχῶν ὡς ὀργάνοις. Μὴ φανῶμεν οἱ λογικοὶ τῶν ἀλόγων ὠμότεροι. Ἐκεῖνα γὰρ τοῖς ἐκ τῆς γῆς φυομένοις παρὰ τῆς φύσεως ὡς (17) κοινῇ κέχρηνται. Καὶ προβάτων ἀγέλαι ἓν καὶ τὸ αὐτὸ καταβόσκονται ὄρος· ἵπποι δὲ παμπληθεῖς μίαν καὶ τὴν αὐτὴν κατανέμονται πεδιάδα· καὶ πάντα τὰ καθ' ἕκαστον οὕτως ἀλλήλοις ἀντιπαραχωρεῖ (18) τῆς ἀναγκαίας τῶν χρειῶν ἀπολαύσεως· ἡμεῖς δὲ, ἐγκολπιζόμεθα τὰ κοινὰ, τὰ τῶν πολλῶν μόνοι ἔχομεν. Αἰδεσθῶμεν Ἑλλήνων φιλάνθρωπα διηγήματα. Παρά τισιν ἐκείνων νόμος φιλάνθρωπος μίαν τράπεζαν, καὶ κοινὰ τὰ σιτία, μίαν ἑστίαν (19) σχεδὸν τὸν πολυάνθρωπον δῆμον ἀπεργάζεται. Καταλείψωμεν τοὺς ἔξωθεν, καὶ ἐπέλθωμεν τὸ τῶν τρισχιλίων ὑπόδειγμα· τὸ πρῶτον τῶν Χριστιανῶν ζηλώσωμεν σύνταγμα· ὅπως ἦν αὐτοῖς ἅπαντα κοινὰ, ὁ βίος, ἡ ψυχὴ, ἡ συμφωνία, ἡ τράπεζα κοινὴ, ἀδιαίρετος ἀδελφότης, ἀγάπη ἀνυπόκριτος, τὰ πολλὰ σώματα ἓν ἐργαζομένη· τὰς διαφόρους ψυχὰς εἰς μίαν ὁμόνοιαν ἁρμόζουσα (20). Πολλὰ τῆς φιλαδελφίας ἔχεις ἐκ Παλαιᾶς Διαθήκης καὶ ἐκ τῆς Νέας τὰ ὑποδείγματα. Πρεσβύτην ἐὰν ἴδῃς λιμώττοντα, μετάστειλαι καὶ θρέψον, ὡς Ἰωσὴφ τὸν Ἰακώβ. Ἐχθρὸν ἐὰν εὕρῃς στενούμενον, μὴ ἐπιβάλῃς τῇ ὀργῇ τῇ κατεχούσῃ τὴν ἄμυναν· ἀλλὰ θρέψον ὡς ἐκεῖνος τοὺς ἀδελφοὺς τοὺς πωλήσαντας. Ἐὰν ἐντύχῃς νεωτέρῳ καταπονουμένῳ, οὕτω δάκρυσον, ὡς ἐκεῖνος τὸν Βενιαμὶν τὸν τοῦ γήρως υἱόν (21). Πειράζει καὶ σὲ τυχὸν ἡ πλεονεξία, ὡς τὸν Ἰωσὴφ ἡ δέσποινα· ἕλκει σε τῶν ἱματίων, ἵνα τῆς ἐντολῆς καταφρονήσῃς, καὶ φιλήσῃς μᾶλλον ἐκείνην τὴν φιλόχρυσον καὶ φιλόκοσμον παρὰ τὸ τοῦ Δεσπότου πρόσταγμα. Ὅταν δὴ ἔλθῃ λογισμὸς τῇ ἐντολῇ ἐκείνῃ πολεμῶν, καὶ τὸν σώφρονα νοῦν εἰς τὴν φιλαργυρίαν ἐπισπώμενος, τῆς φιλαδελφίας καταναγκάζων ἀμελεῖν, καὶ κατέχων πρὸς αὐτὴν, πρόσριψον καὶ σὺ τὰ ἱμάτια, ὀργισθεὶς ἀναχώρησον· φύλαξον τῷ Κυρίῳ τὴν πίστιν, ὡς ἐκεῖνος τῷ Πεντεφρῇ· ἐν ἑνὶ ἐνιαυτῷ τὴν ἔνδειαν οἰκονόμησον, ὡς ἐκεῖνος ἐν τοῖς ἑπτά. Μὴ τὰ πάντα τῇ ἡδονῇ, δός τι καὶ τῇ ψυχῇ. Καὶ δύο σοι νόμισον εἶναι θυγατέρας· τὴν εὐπάθειαν τὴν ἐνθάδε, καὶ τὴν ζωὴν τὴν ἐν τοῖς οὐρανοῖς. Εἰ μὴ θελήσῃς τὰ πάντα δοῦναι τῇ κρείττονι, μέρισον γοῦν ἐξ ἴσης τῇ τε ἀκολάστῳ παιδὶ καὶ τῇ σώφρονι. Μὴ τὴν ἐνταῦθα διαγωγὴν ὑπέρπλουτον δείξῃς, γυμνὴν δὲ τὴν ἄλλην καὶ ῥακίοις ἠμφιεσμένην, ἡνίκα ἂν (22) δέῃ σε τῷ Χριστῷ παραστῆναι, καὶ εἰς ὄψιν ἐλθεῖν τοῦ κριτοῦ, νύμφης ἔχουσαν σχῆμα, καὶ κλῆσιν τὴν κατ' ἀρετὴν ζωήν (23). Μὴ τοίνυν ἄμορφον καὶ ἄκοσμον παρα-

A servorum ore tanquam instrumento resonans. Nos qui ratione præditi sumus, ne brutis animantibus videamur immaniores. Illa enim iis quæ ex terra naturaliter nascuntur, quasi communiter utuntur. Unum et eumdem montem depascuntur greges ovium: equi quamplurimi in uno eodemque campo pastum capessunt. Denique singula necessarii pabuli usum ita sibi invicem cedunt. Nos contra, quæ sunt communia, **71** abdimus in sinu: ea quæ multorum sunt, possidemus soli. Quæ de gentilibus narratur humanitas, incutiat nobis pudorem. Lex humanitatis plena apud quosdam illorum, unam mensam, communes cibos, et unam fere familiam populum frequentem efficit. Relinquamus externos, et veniamus ad trium millium exemplum. æmule-
B mur primum cœtum Christianorum, cum eis communia essent omnia [55], vita, anima, consensus unus, communis mensa, fraternitas indivisa; dilectio non ficta, corpora multa unum efficiens, animas diversas ad consensum unum componens. Habes non pauca tum ex Veteri, tum ex Novo Testamento, fraterni amoris exempla. Senem fame laborantem si videris, accerse ipsum, et ale velut Joseph Jacob [56]. Inimicum si repereris in angustiis positum, ne adjunge ad iram qua occuparis, ultionem; sed ale velut ille fratres [57] a quibus fuerat venditus [58]. Si incideris in juniorem afflictatum, ita eum defleto, uti ille Benjamin senectutis filium [59]. Tentat te etiam fortasse avaritia, velut Jose-
C phum hera; trahit te tuis vestimentis [60], ut mandatum spernas, ipsamque auri mundique amantem præ mandato Domini diligas. Ubi cogitatio subierit huic mandato repugnans, alliciensque animum bene moratum ad avaritiam, et charitatem fraternam negligere cogens, teque secum detinens, abjice et tu vestimenta, iratus secede: fidem Domino, velut ille Pentephræ, servato [61]: per unum annum, uti ille per septem, fami provide et penuriæ. Voluptati non omnia, sed animæ etiam non nihil da. Atque duas tibi filias esse puta, prosperitatem præsentem, et vitam cœlestem. Omnia si nolis dare præstantiori, partire certe ex æquo inter incontinentem filiam, et pudicam. Astare te Christo, et in conspectum judicis venire cum
D oportuerit, ne hanc vitam ultra modum ditatam exhibeas: neque vitam alteram, quæ ex præscripto virtutis instituta, formam nomenque sponsæ habet, nudam et laceris panniculis coopertam ostendas. Cave igitur deformem ac inornatam sponsam

[55] Act. II, 44. [56] Genes. XLVII, 12. [57] ibid. [58] Gen. XXXVII, 28. [59] Gen. XLIII, 13. [60] Gen. XXXIX, 12. [61] ibid. 8-12.

(17) Voculam ὡς ex nostris quinque codicibus addidimus.

(18) Editi παραχωρεῖ. At quinque mss. ἀντιπαραχωρεῖ.

(19) Utraque editio μίαν ἑστίαν. Veteres quinque libri μία ἑστία. Lege Ducæum. Haud multo post editio utraque ἀπέλθωμεν εἰς τό. At mss. tres ἀπέλθωμεν τό. Colb. primus ὑπέλθωμεν τό. Denique codex Coisl. et Reg. tertius ἐπέλθωμεν τό, rectius.

(20) Antiqui duo libri et editi ἁρμόζουσα. Alii tres mss. συναρμόζουσα.

(21) Sic mss. omnes. Editi τὸν τοῦ γήρους υἱόν.

(22) Editio Basil. et quatuor mss. ἡνίκα ἐάν. Editio Paris. ἡνίκα ἄν.

(23) Nihil in vulgatis mutavimus; a quibus tamen libri veteres discrepant. Quippe Colb. primus ita habet, ἔχουσα σχῆμα καὶ κλῆσιν τῇ κατ' ἀρετὴν ζῶσαν ψυχήν. Μή, etc. Et ita quoque habet alius

sistas sponso, ut ne, ea conspecta, faciem avertat, A et visam odio habeat, abnuatque complexum. Verum instructam ipsam ornatu decenti, formosam asserva ad præfinitum usque nuptiarum tempus, ut ipsa quoque una cum prudentibus virginibus lampadem accendat [62], cui scilicet suppetat scientiæ inexstinctus ignis, nec ei oleum recte factorum desit; denique ut re ipsa rata sit prophetia divina, animæque tuæ congruat quod dictum est: *Astitit regina a dextris tuis in vestitu deaurato circumamicta, variegata. Audi, filia, et vide, et inclina aurem tuam; et concupiscet rex decorem tuum* [63]. Hæc quidem in universum prænuntiavit Psalmista, cum corporis generati accepti prædiceret decorem: sed tamen proprie **72** etiam uniuscujusque animæ convenient: siquidem Ecclesia ex singulis cœtum B colligit.

9. Consulas velim cordate præsenti et futuro, quod cave perdideris ob turpe lucrum. Deseret te corpus, illud tuæ vitæ insigne signumque. Occludes tibi ipse in conspectu judicis ejus qui exspectatur, quique haud dubie venturus est, eos qui deferendi erant honores, gloriamque cœlestem: aperies vero ignem qui exstingui non poterit, gehennam, supplicium, amarulenta in doloribus sæcula, pro longa ac beata vita. Nolim existimes me velut matrem aliquam aut nutricem, falsa terriculamenta tibi objicere ac minari; quemadmodum illæ erga infantes facere solent: quæ dum lacrymantur immoderate et indesinenter, ipsos per commenti- C tias narrationes quietos reddunt et tacitos. Hæc fabula non sunt, sed verba sunt voce veraci pridem prolata. Atque scias pro certo ex evangelico vaticinio, iota unum aut unum apicem non transiturum. Sed et corpus in loculis consumptum resurget, et anima eadem quæ per mortem separata fuerat, in corpore rursus habitabit. Quin etiam actiones nostræ plane et aperte patebunt, non aliis testimonium ferentibus, sed ipsa conscientia attestante. Unumquemque autem pro merito judex justus remunerabitur: quem decet gloria, potestas et adoratio, in sæcula sæculorum. Amen.

στήσῃς τῷ νυμφίῳ τὴν νύμφην, ἵνα μὴ θεασάμενος ἀποκλίνῃ τὸ πρόσωπον, καὶ ἰδὼν μισήσῃ, καὶ τὴν συνάφειαν ἀπαρνήσηται. Ἀλλὰ στείλας αὐτὴν τῷ προσήκοντι κόσμῳ, τήρησον εὔμορφον τῇ προθεσμίᾳ τῶν γάμων· ἵνα καὶ αὐτὴ μετὰ τῶν φρονίμων παρθένων ἀνάψῃ τὴν λαμπάδα, ἔχουσα (24) τὸ πῦρ τῆς γνώσεως ἄσβεστον, καὶ μὴ λείπουσα τῶν κατορθωμάτων τὸ ἔλαιον· ἵν' ἔργοις ἡ θεοφορουμένη προφητεία βεβαιωθῇ, ἐφαρμόσῃ δὲ καὶ τῇ σῇ ψυχῇ τὸ λεχθέν· *Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου* (25), *καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.* Ταῦτα γὰρ γενικῶς προανεφώνησεν ὁ Ψαλμῳδὸς, τοῦ γενικοῦ σώματος προκηρύσσων τὴν ὥραν· ἐφαρμόσει δὲ κυρίως καὶ τῇ ἑκάστου ψυχῇ, εἴπερ ἐκ τῶν καθ' ἕκαστον ἔχει ἡ Ἐκκλησία τὸ σύστημα.

9. Προνόησόν μοι λογικῶς τὸ παρὸν καὶ τὸ μέλλον, ὃ μὴ διὰ κέρδος αἰσχρὸν προδῷς. Καταλείψει σε σῶμα, τὸ σὸν γνώρισμα τῷ βίῳ (26). Εἰς δὴ τὴν ἐπιφάνειαν τοῦ προσδοκωμένου κριτοῦ, καὶ ἀναμφιβόλως ἥξοντος, ἀποκλείσεις μὲν σεαυτῷ τὴν τῶν τιμῶν δόσιν (27) καὶ τὴν ἐπουράνιον δόξαν, ἀνοίξεις δὲ πῦρ ἄσβεστον, καὶ γέενναν, καὶ κολαστήρια, καὶ πικροὺς ἐν ὀδύναις αἰῶνας, ἀντὶ μακρᾶς καὶ μακαρίας ζωῆς. Μή με νομίσῃς, ὥσπερ μητέρα τινὰ ἢ τροφὸν, ψευδῆ σοι μορμολύκεια ἐπισείειν, ὥσπερ ἐκεῖναι ποιεῖν περὶ τοὺς νηπίους τῶν παίδων εἰώθασιν· ὅταν θρηνῶσιν ἄτακτα καὶ ἀπέραντα, δι' ἐπιπλάστων διηγημάτων κατασιγάζουσιν (28). Ταῦτα δὲ οὐ μῦθος, ἀλλὰ λόγος ἀψευδεῖ προκεκηρυγμένος φωνῇ. Καὶ ἴσθι γε ἀκριβῶς κατὰ τὴν εὐαγγελικὴν πρόῤῥησιν, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ. Ἀλλὰ καὶ σῶμα τὸ ἐν θήκαις ἀφανισθὲν ἀναστήσεται, καὶ ψυχὴ ἡ αὐτὴ ἡ τῷ (29) θανάτῳ ἀποχλεισθεῖσα, πάλιν ἐνοικήσει τῷ σώματι. Καὶ τῶν βεβιωμένων ἔλεγχος ἀκριβὴς παραστήσεται, οὐκ ἄλλων μαρτυρούντων, ἀλλ' αὐτῆς μαρτυρούσης τῆς συνειδήσεως. Ἑκάστῳ δὲ τὰ πρὸς ἀξίαν παρὰ τοῦ δικαίου κριτοῦ ἀντιμετρηθήσεται. Αὐτῷ (30) πρέπει δόξα, κράτος καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[62] Matth. xxv, 4. [63] Psal. xliv, 10, 11.

codex Colb., nisi quod in eo pro τῇ legitur τῆς. D Reg. secundus ἔχουσαν... ζῶσαν ψυχήν. Sed facile crediderim illud, ζῶσαν ψυχήν, positum fuisse ab aliquo, qui sententiam Basilii consequi non posset.

(24) Reg. secundus ἔχουσαν... λείπουσαν. Colb. primus ἔχουσαν... λιποῦσαν. Editi et Coisl. et Colb. tertius ἔχουσα... λείπουσα. Ibidem editio Paris. τὸ ἔλαιον. At mss. omnes aut τὸν ἔλαιον, aut τὸν ἔλεον: qui error inde ortum habuit, quod librarius aliquis primum scripserit τὸν ἔλεον: alii vero, sive ἔλεον, sive ἔλαιον scriberent, articulum τόν incaute omnes servaverint. Subinde mss. nonnulli ἐφαρμόσῃ δὲ καί. Editi ἐφαρμόσει.

(25) Colb. primus uberius οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, *et obliviscere populum tuum, et domum patris tui.*

(26) *Καταλείψει σε σῶμα, τὸ σὸν γνώρισμα τῷ βίῳ.* Verte: *Deseret te corpus, tuum in vita præcipuum argumentum.* Gregorius Nazianzenus, orat. 20, eadem voce utitur de Cæsarea loquens, τῇ δὲ λόγοι τὸ γνώρισμα. Maran.

(27) Unus codex Colb. τιμίων δόσιν, *præmiorum largitionem.* Nec ita multo post editi μακρᾶς καὶ αἰωνίας καὶ μακ. At mss. μακρᾶς καὶ μακαρίας.

(28) Editi κατασιγάζουσαι. Veteres quatuor libri κατασιγάζουσιν.

(29) Editi ψυχῇ ἡ τῷ. At mss. plerique omnes ut in contextu.

(30) Codex unus et editi ὅτι αὐτῷ. Vox ὅτι in aliis quatuor mss. non legitur. Ibidem utraque editio κράτος καὶ προσκύνησις, etc. Vocem ultimam in nostris mss. non invenimus.

ΟΜΙΛΙΑ ΟΤΙ ΟΥΚ ΕΣΤΙΝ ΑΙΤΙΟΣ ΤΩΝ ΚΑΚΩΝ Ο ΘΕΟΣ.

A 1. Πολλοὶ τῆς διδασκαλίας οἱ τρόποι, οἱ διὰ ἱεροψάλτου Δαβὶδ παρὰ τοῦ ἐνεργοῦντος ἐν αὐτῷ Πνεύματος ὑποδειχθέντες ἡμῖν. Ποτὲ μὲν γὰρ, τὰ οἰκεῖα πάθη διηγούμενος ἡμῖν ὁ προφήτης, καὶ ὅπως ἤνεγκε τὰ συμπίπτοντα γενναίως, διὰ τοῦ καθ' ἑαυτὸν ὑποδείγματος διδασκαλίαν ἡμῖν ἐναργεστάτην (31) τῆς ὑπομονῆς καταλιμπάνει, ὡς ὅταν λέγῃ· *Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;* ποτὲ δὲ τὴν ἀγαθότητα συνίστησι τοῦ Θεοῦ, καὶ τὸ τάχος αὐτοῦ τῆς ἀντιλήψεως, ἣν παρέχεται τοῖς ἀληθινῶς ἐκζητοῦσιν αὐτὸν, λέγων· *Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου·* ἰσοδυναμοῦντα τῷ προφήτῃ φθεγγόμενος τῷ εἰπόντι· *Ἔτι λαλοῦντός σου, ἐρεῖ· Ἰδοὺ πάρειμι.* Τουτέστιν· Οὐκ B ἔφθην ἐπικαλεσάμενος, καὶ προέλαβε τὸ τέλος τῆς ἐπικλήσεως ἡ ἀκοὴ τοῦ Θεοῦ. Πάλιν ἱκετηρίας προσφέρων τῷ Θεῷ καὶ δεήσεις, ἐκδιδάσκει ἡμᾶς τίνα τρόπον προσῆκε τοὺς ἐν ἁμαρτίαις ὄντας ἐξιλεοῦσθαι τὸν Θεόν (32)· *Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.* Ἐν δὲ τῷ δωδεκάτῳ ψαλμῷ παράτασίν τινα πειρασμοῦ ἐνδειξάμενος ἐν τῷ λέγειν· *Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος;* καὶ δι' ὅλου τοῦ ψαλμοῦ διδάξας ἡμᾶς μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσιν, ἀλλ' ἀναμένειν τὴν ἀγαθότητα τοῦ Θεοῦ, καὶ εἰδέναι, ὅτι οἰκονομίᾳ τινὶ παραδίδωσιν ἡμᾶς ταῖς θλίψεσι, κατὰ τὴν ἀναλογίαν τῆς ἐνυπαρχούσης ἑκάστῳ πίστεως τὸ μέτρον ἐπάγων τῶν βασανιστηρίων. Ἐπεὶ οὖν εἴρηται τὸ, C *Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος;* καὶ τὸ, *Ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;* εὐθὺς μεταβαίνει ἐπὶ τὸ τῶν ἀθέων κακόν· οἳ, ὅταν μικρὸν αὐτοῖς τι τῶν κατὰ τὸν βίον προσκρούσῃ, μὴ φέροντες τὰς δυσκολωτέρας τῶν πραγμάτων περιστάσεις, εὐθὺς ἀμφίβολοι γίνονται ταῖς διανοίαις, εἰ ἔστι Θεὸς ἐπιμελούμενος τῶν τῇδε, εἰ ἐφορᾷ τὰ καθ' ἕκαστον, εἰ διανέμει ἑκάστῳ τὰ πρὸς ἀξίαν. Εἶτα, ὅταν ἐπὶ πλεῖον ἴδωσιν ἑαυτοὺς παρατεινομένους ἐν τοῖς ἀβουλήτοις, βεβαιοῦσιν ἐν ἑαυτοῖς τὸ πονηρὸν δόγμα, καὶ ἀποφαίνονται ἐν ταῖς καρδίαις αὐτῶν, ὅτι Οὐκ ἔστι Θεός. *Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός.* Καὶ τοῦτο ἐμβαλλόμενος εἰς τὸν ἑαυτοῦ νοῦν, ἀφειδῶς λοιπὸν διὰ πάσης ἁμαρτίας χωρεῖ. Εἰ γὰρ οὐκ ἔστιν ὁ D ἐπισκοπῶν, εἰ οὐκ ἔστιν ὁ ἀντιδιδοὺς ἑκάστῳ κατὰ τὴν ἀξίαν τῶν βεβιωμένων, τί κωλύει καταδυναστεύειν τὸν πένητα (33), ὀρφανοὺς φονεύειν, χήραν καὶ προσήλυτον ἀποκτείνειν, πάσης ἀνοσίας πράξεως κατατολμᾶν, ἀκαθάρτοις καὶ βδελυκτοῖς πάθεσι καὶ

QUOD DEUS NON EST AUCTOR MALORUM.

1. Plures docendi modi nobis per sacrum psalten David ab operante in ipso Spiritu commonstrati sunt. Nam aliquando nobis narrans propheta suas ipsius ærumnas ac calamitates, et quomodo quæ acciderant, strenue pertulerit, exemplo suo clarissimum nobis patientiæ documentum relinquit: ut cum dicit: *Domine, quid multiplicati sunt qui tribulant me* [64]? Aliquando vero Dei bonitatem, et ejus auxilii celeritatem, quod vere ipsum inquirentibus præbet, commendat, dicens: *Cum invocarem, exaudivit me Deus justitiæ meæ* [65]. Quæ sententia eodem recidit atque illud prophetæ dictum: *Adhuc te loquente, dicet: Ecce adsum* [66]. Hoc est, nondum invocandi feceram finem; Deus tamen, necdum absoluta invocatione, exaudivit. Rursus dum Deo supplicat, precesque adhibet, edocet nos quemadmodum eos qui in peccatis versantur, Deum placare par sit: *Domine, ne in furore tuo arguas me, neque in ira tua corripias me* [67]. At vero in duodecimo psalmo, ubi prolixam quamdam tentationem ostendit, his verbis: *Usquequo, Domine, oblivisceris me in finem* [68]? et ubi per totum psalmum docuit nos deficere non debere in ærumnis, sed Dei exspectare bonitatem ac nosse, quod providentia quadam dedat nos afflictionibus, **73** atque pro ratione fidei uniuscujusque tentationes admetiatur. Postquam igitur dictum est illud: *Usquequo, Domine, oblivisceris me in finem?* et, *Usquequo avertis faciem tuam a me* [69]? statim ad flagitium transit impiorum, qui posteaquam in vita non nihil experti sunt adversi, rerum molestiores casus non ferentes, illico pendent animi, an sit Deus qui res humanas curet, an singula inspiciat, an unicuique pro merito distribuat. Deinde ubi in adversis immorari se diutius viderint, stabiliunt in semetipsis dogma pravum, atque in cordibus suis hanc proferunt sententiam: Non est Deus: *Dixit insipiens in corde suo: Non est Deus* [70]. Et cum semel hoc in animum induxit, tum licentia omni graditur per peccata omnia. Etenim si non est qui intueatur, si non est qui retribuat cuique pro vitæ merito, quid vetat opprimere pauperem, pupillos interimere, viduam et advenam enecare, scelestum omne factum audere, impuris et abominandis vitiis ac omnibus belluinis cupiditatibus coinquinari? Quapropter prolata hac sententia, *Non est Deus*, id tanquam inde consequens subjungit: *Corrupti sunt, et abominabiles facti sunt in studiis* [71]. Fieri enim non potest ut a via

[64] Psal. III, 2. [65] Psal. IV, 2. [66] Isa. LVIII, 9. [67] Psal. VI, 2. [68] Psal. XII, 1. [69] ibid. [70] Psal. XIII, 1. [71] ibid.

(31) Antiqui tres libri διδασκάλιον ἡμῖν ἐνεργέστατον. Alius pro διδασκάλιον habet διδασκαλεῖον. Alii duo et editi ἐναργεστάτην ἡμῖν διδασκαλίαν.

(32) Antiqui duo libri ἐξιλεοῦσθαι τὸν Κύριον.

(33) Reg. primus τοῦ πένητος.

justa delectant, qui in suis animis Dei non obliviscuntur.

2. Unde, quæso, traditæ sunt gentes in reprobum sensum, et faciunt quæ non decent [72]? Nonne quia dixerunt: *Non est Deus?* Cur sunt in ignominiosa vitia prolapsæ, et feminæ quidem apud ipsas transmutarunt naturalem usum, in eum qui est præter naturam, masculi vero in masculos fœditatem perpetrant [73]? Nonne quoniam mutaverunt gloriam incorruptibilis Dei in similitudinem pecorum, quadrupedumque, et reptilium [74]? Itaque qui dicit Deum non esse, insipiens est et stultus, cum vere mente privatus sit atque prudentia. Assimilis B autem huic est, et nihilo stoliditate inferior, quisquis dicit Deum malorum esse auctorem. Æquale namque ipsorum peccatum esse duco, quod utrique pariter eum qui bonus est negant; quandoquidem alter dicit eum omnino non esse, alter vero ipsum bonum non esse statuit. Nam si auctor est malorum, utique nec bonus est, ideoque utrinque negatur Deus. Unde igitur, inquit, morbi? unde mortes intempestivæ? unde integra urbium excidia, naufragia, bella, pestes? Hæc enim, inquit, mala sunt, Deique opera omnia. Quare in quem alium, non in Deum, possumus eorum quæ fiunt causam transferre? Age sane, quando in vulgatissimam incidimus quæstionem, nos, redacto ad confessum C quodam principium argumento, problema diligentius tractatum clare et citra confusionem explanare conemur.

3. Itaque hoc unum in antecessum in animis nostris fixum ratumque sit oportet, quod cum **74** opus simus Dei boni, et ab ipso conservemur, resque nostræ gubernentur ab eo tum parvæ, tum magnæ, neque perpeti quidquam possumus præter Dei voluntatem, neque quidquam eorum quæ perferimus noxium est et exitiosum, aut tale, ut melius aliquid vel excogitari possit. Sunt quidem ex Deo mortes: sed profecto mors malum non est, nisi quis mortem peccatoris dicat, cum hinc migrare, suppliciorum in inferno initium ei sit. Rursus autem ipsa inferorum mala Deum auctorem non habent, sed nos ipsos. Principium namque ac radix est peccati illa quæ in D nobis inest facultas liberumque arbitrium. Nos

A πάσαις κτηνώδεσιν ἐπιθυμίαις μολύνεσθαι; Διὰ τοῦτο ὡς ἑπόμενον τῷ μὴ εἶναι Θεὸν, ἐπήγαγε τό· *Διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν.* Ἀμήχανον γὰρ ἐκτραπῆναι τῆς δικαίας ὁδοῦ, μὴ λήθην Θεοῦ ταῖς ψυχαῖς νοσήσαντας (34).

2. Πόθεν τὰ ἔθνη παραδέδοται εἰς ἀδόκιμον νοῦν, καὶ ποιεῖ τὰ μὴ καθήκοντα; Οὐκ ἐπειδὴ εἶπον· *Οὐκ ἔστι Θεός;* Πόθεν ἐμπεπτώκασιν (35) εἰς τὰ πάθη τῆς ἀτιμίας, καὶ αἱ μὲν θήλειαι παρ' αὐτοῖς μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν, ἄρρενες δὲ ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργάζονται; Οὐκ ἐπειδὴ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι κτηνῶν (36) καὶ τετραπόδων καὶ ἑρπετῶν; Ἄφρων οὖν, ὡς ἀληθῶς ἐστερημένος νοῦ καὶ φρονήσεως, ὁ λέγων, ὅτι Οὐκ ἔστι Θεός. Παραπλήσιος δὲ τούτῳ, καὶ οὐδὲν κατὰ τὴν ἀφροσύνην ἀπολειπόμενος, καὶ ὁ λέγων τῶν κακῶν αἴτιον εἶναι τὸν Θεόν. Ὁμότιμον γὰρ αὐτῶν εἶναι τίθεμαι τὴν ἁμαρτίαν, διότι ἑκάτεροι ὁμοίως ἀρνοῦνται τὸν ἀγαθόν (37)· ὁ μὲν οὐκ εἶναι τὸ παράπαν λέγων, ὁ δὲ οὐκ ἀγαθὸν αὐτὸν εἶναι διοριζόμενος. Εἰ γὰρ κακῶν αἴτιος, οὐκ ἀγαθὸς δηλονότι· ὥστε ἀμφοτέρωθέν ἐστιν ἄρνησις τοῦ Θεοῦ (38). Πόθεν οὖν, φησὶν, αἱ νόσοι; πόθεν αἱ τῶν θανάτων ἀωρίαι; πόθεν αἱ πανωλεθρίαι τῶν πόλεων; τὰ ναυάγια, οἱ πόλεμοι, οἱ λοιμοί (39); Καὶ γὰρ κακὰ, φησὶ, ταῦτα, καὶ πάντα Θεοῦ ποιήματα. Ὥστε τίνα ἔχομεν ἄλλον καὶ οὐχὶ τὸν Θεὸν τῶν γινομένων ἐπαιτιάσασθαι; Δεῦρο δὴ οὖν, ἐπειδὴ εἰς τὸ πολυθρύλλητον ἐμπεπτώκαμεν ζήτημα, ἐπί τινα ὁμολογουμένην ἀρχὴν τὸν λόγον C ἀναγαγόντες, φιλοπονώτερον διαλαβόντες τὸ πρόβλημα, τρανὴν καὶ ἀσύγχυτον τὴν περὶ αὐτοῦ ἐξήγησιν πειραθῶμεν ποιήσασθαι.

3. Ἓν μὲν δὴ τοῦτο ἔχειν δεῖ προειλημμένον ἐν ταῖς διανοίαις ἡμῶν, ὅτι, ποίημα ὄντες τοῦ ἀγαθοῦ Θεοῦ, καὶ ὑπ' αὐτοῦ συγκροτούμενοι, μικρά τε καὶ μείζω περὶ ἡμᾶς οἰκονομοῦντος, οὔτε πάθοιμεν ἄν τι, μὴ βουλομένου Θεοῦ, οὔτε μὴν ὧν πάσχομεν βλαβερόν τί ἐστιν, ἢ τοιοῦτον, ὥστε ἐνεῖναι βέλτιόν τι κἂν ἐπινοίᾳ λαβεῖν. Ἐκ Θεοῦ μὲν γὰρ οἱ θάνατοι· οὐ μὴν πονηρὸν πάντως ὁ θάνατος, πλὴν εἰ μή τις λέγοι τὸν τοῦ ἁμαρτωλοῦ· διότι τῶν ἐν ᾅδου κολάσεων ἀρχὴ τυγχάνει ἡ ἀπαλλαγὴ τῶν ἐντεῦθεν. Πάλιν δὲ τὰ ἐν ᾅδου κακὰ οὐ Θεὸν ἔχει τὸν αἴτιον, ἀλλ' ἡμᾶς αὐτούς. Ἀρχὴ γὰρ καὶ ῥίζα τῆς ἁμαρτίας τὸ D ἐφ' ἡμῖν καὶ τὸ αὐτεξούσιον. Οἷς γὰρ ἐξῆν ἀπεχομένοις τοῦ κακοῦ μηδὲν δεινὸν ἔχειν, οὗτοι δι' ἡδονῆς

[72] Rom. I, 28. [73] ibid. 26. [74] ibid. 23.

(34) Colb. tertius νοσήσαντα. Aliquanto post idem codex ἐπειδὴ εἶπαν.

(35) Unus mss. et editi πόθεν ἐκπεπτώκασιν. Alii tres ἐμπεπτώκασιν.

(36) Pro κτηνῶν, *pecorum*, putat Combefisius legendum esse, ex Paulo, πετεινῶν, *volucrum;* quæ viri doctissimi conjectura nobis multum placet; quoniam tamen et in utraque editione et in nostris septem mss. legitur κτηνῶν, eam vocem retinendam censuimus. Mox Reg. primus παραπλήσιος δὲ τούτῳ καὶ κατὰ πάντα ὅμοιος αὐτῷ, καὶ οὐδὲν κατὰ τὴν ἀφροσύνην καὶ ἄνοιαν τούτου ἀπολειπόμενος.

(37) Antiqui tres libri et utraque editio τὸν ἀγαθόν. At codex Coisl. et Colb. secundus τὸ ἀγαθόν, *summum bonum*. Mox Reg. tertius in contextu habet διοριζόμενος· at in ora libri διαβεβαιούμενος.

(38) Veteres aliquot libri ἄρνησις τοῦ ἀγαθοῦ, *negatio boni*. Alii duo et editi ἄρνησις τοῦ Θεοῦ.

(39) Editi et duo mss. οἱ λοιμοί, *pestes*. Alii quidam mss. non pauci οἱ λιμοί, *fames*. Nec ita multo post duo mss. Combefisiani γινομένων ἀπαιτιᾶσθαι. Editi ἀπαιτιάσασθαι. Aliquanto infra, ubi in contextu legitur πολυθρύλλητον, scriptum invenimus in ora Colb. secundi διαβεβοημένον.

εἰς τὴν ἁμαρτίαν δελεασθέντες, τίνα ἂν εἴποιμεν (40) A εὐπρεπῆ λόγον, τὸ μὴ οὐχὶ αὐτοὶ ἑαυτοῖς αἴτιοι τῶν ἀλγεινῶν γεγενῆσθαι; Κακὸν τοίνυν τὸ μὲν ὡς πρὸς τὴν ἡμετέραν αἴσθησιν, τὸ δὲ ὡς πρὸς τὴν ἑαυτοῦ φύσιν. Τὸ μὲν οὖν φύσει κακὸν ἐξ ἡμῶν ἤρτηται, ἀδικία, ἀσέλγεια, ἀφροσύνη, δειλία, φθόνοι, φόνοι, φαρμακεῖαι, ῥᾳδιουργίαι, καὶ ὅσα τούτοις συγγενῆ παθήματα, τὴν κατ' εἰκόνα τοῦ κτίσαντος γεγενημένην ψυχὴν καταῤῥυπαίνοντα, ἐπισκοτεῖν αὐτῆς τῷ κάλλει πέφυκε. Πάλιν κακὸν λέγομεν τὸ ἡμῖν ἐπίπονον καὶ ὀδυνηρὸν πρὸς τὴν αἴσθησιν, νόσον σώματος, καὶ πληγὰς σώματος, καὶ τῶν ἀναγκαίων τὴν ἔνδειαν, καὶ ἀδοξίας, καὶ χρημάτων ζημίας, καὶ οἰκείων ἀποβολάς· ὧν ἕκαστον ἡμῖν ὑπὸ τοῦ φρονίμου καὶ ἀγαθοῦ Δεσπότου πρὸς τὸ συμφέρον ἐπάγεται. Πλοῦτον μὲν γὰρ ἀφαιρεῖται τῶν κα- B κῶς κεχρημένων, τὸ πρὸς ἀδικίαν αὐτῶν ὄργανον διαφθείρων· νόσον δὲ ἐπάγει, οἷς λυσιτελέστερον τὸ πεπεδῆσθαι τοῖς μέλεσιν, ἢ ἀκωλύτους ἔχειν τὰς πρὸς τὸ ἁμαρτάνειν ὁρμάς· θάνατοι δὲ ἐπάγονται, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόῤῥωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένου· λιμοὶ (41) δὲ καὶ αὐχμοὶ, καὶ ἐπομβρίαι, κοιναί τινές εἰσι πληγαὶ πόλεων καὶ ἐθνῶν, τοῦ κακοῦ τὴν ἀμετρίαν κολάζουσαι. Ὡς οὖν εὐεργέτης ὁ ἰατρὸς, κἂν πόνους, κἂν ἀλγηδόνας ἐμποιῇ τῷ σώματι (τῇ νόσῳ γὰρ μάχεται, οὐχὶ τῷ κάμνοντι)· οὕτως ἀγαθὸς ὁ Θεὸς, ὁ τὴν σωτηρίαν τῷ παντὶ διὰ τῶν μερικῶν κολάσεων διοικούμενος. Σὺ δὲ τῷ ἰα- C τρῷ μὲν οὐδὲν ἐγκαλεῖς, τὰ μὲν τέμνοντι, τὰ δὲ καίοντι, τὰ δὲ παντελῶς ἐξαιροῦντι τοῦ σώματος· ἀλλὰ καὶ χρήματά που ὑποτελεῖς, καὶ σωτῆρα προσαγορεύεις, ὅτι ἐν ὀλίγῳ μέρει τὴν νόσον ἵστησι, πρὶν εἰς ὅλον τὸ σῶμα τὸ πάθος διαχυθῆναι. Ὅταν δὲ ἴδῃς πόλιν ἐπικατασεισθεῖσαν τοῖς ἐνοικοῦσιν, ἢ πλοῖον αὔτανδρον κατὰ θαλάσσης διαλυθὲν, κατὰ τοῦ ἀληθινοῦ ἰατροῦ καὶ σωτῆρος γλῶσσαν κινεῖν βλάσφημον οὐκ ὀκνεῖς. Καίτοιγε ἐχρῆν συνιέναι, ὅτι, μέτρια μὲν καμνόντων καὶ ἰάσιμα τῶν ἀνθρώπων, αἱ ἐξ ἐπιμελείας ὠφέλειαι παραλαμβάνονται· ὅταν δὲ κρεῖττον ἀποδειχθῇ τῆς θεραπείας τὸ πάθος, ἀναγκαία γίνεται τοῦ ἀχρειωθέντος ἡ ἀλλοτρίωσις, ὡς μὴ διὰ συνεχείας τὴν νόσον βαδίζουσαν ἐπὶ τὰ καίρια προελθεῖν (42). Ὥσπερ οὖν τῆς τομῆς ἢ τοῦ καυτῆρος οὐχ D ὁ ἰατρὸς αἴτιος, ἀλλ' ἡ νόσος· οὕτω καὶ οἱ τῶν πόλεων ἀφανισμοὶ, ἐκ τῆς ἀμετρίας τῶν ἁμαρτανομένων τὴν ἀρχὴν ἔχοντες, τὸν Θεὸν ἁπάσης μέμψεως ἀπολύουσιν.

enim quibus licebat, si malo abstinuissemus, nihil pati molesti, iidem voluptate ad peccandum illecti, quamnam possumus speciosam rationem afferre, quin nobis ipsis miseriarum simus auctores? Malum itaque aliud est habita ratione sentiendi, aliud sua ipsius natura. Quod igitur natura malum est, ex nobis pendet, injustitia, lascivia, vecordia, ignavia, invidiæ, cædes, veneficia, fallacia, ac reliqua ejusdem generis vitia, quæ animam ad Conditoris imaginem factam dum contaminant, pulchritudinem ejus ac decorem solent obscurare. Rursus malum dicimus id quod nobis molestum est, doloremque infert sensibus, morbum corporis, ejusdem plagas, rerum necessariarum penuriam, ignominias, pecuniarum jacturam, familiarum amissiones et necessariorum. Quæ singula nobis a prudente Domino et bono ad nostram utilitatem irrogantur. Divitias enim aufert male utentibus, ut instrumentum quo injustitiam perpetrabant, discutiat. Morbum immittit iis quibus conducibilius est habere membra præpedita, quam paratos expeditosque ad peccandum motus. Inducuntur quoque mortes, expletis vitæ terminis, quos unicuique ab initio constituit judicium justum Dei, quid cuique nostrum conducat, longe prospicientis. Jam vero fames, siccitates, imbres nimii, plagæ quædam sunt urbium ac gentium communes, mali immoderationem punientes. Quemadmodum igitur beneficus est medicus, sive labores, sive dolores inferat corpori (nam cum morbo pugnat, non cum ægrotante): sic bonus est Deus, qui privatis pœnis inflictis omnium consulit saluti. Tu vero medico quidem nihil criminі das, secanti alia, alia urenti, alia omnino a corpore auferenti: imo numeras ei pecuniam, et vocas servatorem, quod in exigua parte prius morbum sistat, quam labes in totum corpus diffundatur. Cum autem videris civitatem terræ motu concussam corruisse in incolas, aut navem una cum ipsis viris periisse in **75** mari, non vereris adversus medicum verum et servatorem linguam blasphemam movere. Et tamen intelligere te oportebat diligentiam quidem et curam utilem adhiberi, si ægrotantium hominum ægritudo moderata sit et medicabilis: sed cum semel morbus validior fuerit quam ut curari possit, tunc necesse esse amputari inutilem partem, ne morbus per continuitatem proserpens ad vitalia perveniat. Ut igitur sectionis aut ustionis, non medicus causa est, sed morbus: sic urbium ruinæ ex peccatorum magnitudine ortum habentes, Deum ab omni crimine atque reprehensione liberant.

4. Ἀλλ' εἴπερ ἀναίτιος τῶν κακῶν ὁ Θεὸς, φησὶ, πῶς

4. Atqui si Deus, inquit, malorum auctor non

(40) Utraque editio et nostri septem mss. εἴποιμεν· sed in hac voce vitii aliquid certo subesse ratus Combefisius, de suo emendavit, affirmavitque pro εἴποιμεν legi debere εἴποιεν. Ita enim, inquit, petit contextus. Dixerim tamen id necessarium non videri. Potest enim vox ἡμεῖς subaudiri, sicque construi Græca, ἡμεῖς γὰρ οἷς ἐξῆν...., οὗτοι ἡμεῖς, etc., *illi ipsi nos*. Hanc conjecturam non parum adjuvat, quod ante et post hunc locum prima persona pluralis adhibita sit. Ex eo enim conjicere licet, eamdem personam et hic quoque positam fuisse.

(41) Veteres quinque libri λοιμοὶ δέ, *pestes*. Alius ms. et editi λιμοί, *fames*. Affinitas unius vocis cum altera jam paulo ante fecerat, ut alii librarii aliter scriberent. Sed non multum laborandum, quæ vera sit scriptura, cum parum referat utro modo legatur.

(42) Unus codex Combef. et alii nonnulli καίρια προελθεῖν. Editi προσελθεῖν.

est, quomodo dictum est : *Ego qui lucem condidi, et feci tenebras : faciens pacem, et creans mala*[75]? Ac rursus : *Descenderunt*, inquit, *mala a Domino super portas Jerusalem*[76]. Et : *Non est malitia in civitate, quam Dominus non fecerit*[77]. Et in magno illo Moysis cantico : *Videte, videte quia ego sum : et non est Deus præter me : Ego occidam, et vivere faciam : percutiam, et ego sanabo*[78]. Sed nihil horum apud eos qui Scripturæ sensum callent, Deum redarguit tanquam auctorem malorum atque effectorem. Qui enim dixit : *Ego, qui condo lucem, et facio tenebras*, per hæc se rerum opificem declarat, non mali ullius effectorem. Itaque ne existimes alium esse lucis auctorem, alium tenebrarum; dixit se, eorum quæ in rebus creatis sibi adversari videntur effectorem esse et opificem ; ne quæras alium ignis, alium aquæ artificem, neque alium aeris, et alium terræ, quod hæc aliquo modo juxta qualitatum contrarietatem inter se opposita esse videantur. Quod dum nonnulli jam faciunt, deos multos admisere. Facit autem pacem, et creat mala. Maxime quidem in te pacem facit, cum per bonam doctrinam mentem tuam reddiderit tranquillam, affectusque in animam rebelles sedarit. Creat vero mala ; hoc est, transmutat ipsa, et in meliorem statum adducit, ut, cum mala esse desierint, tum boni naturam induant. *Cor mundum crea in me, Deus*[79]. Non nunc crea, sed illud per malitiam inveteratum renova. Et : *Ut duos creet in unum novum hominem*[80]. Adhibitum est hoc verbum, *creet*, non ut ex nihilo producat, sed ut eos qui jam exsistebant, transformet. Item, *Si qua in Christo est nova creatura*[81]. Ac rursus Moyses : *Nonne hic ipse pater tuus possedit te, et fecit te, et creavit te*[82]? Hic enim illud, *creavit*, quod post verbum *fecit* positum est, perspicue nos docet, nomen creationis pro quadam in melius mutatione plerumque usurpari. Itaque *Faciens pacem*, ita pacem facit, videlicet ex eo quod creat mala, hoc est, transmutat et emendat. Deinde etiamsi pacem intelligas vacationem a bellis, malumque dicas molestias quæ belligerantes sequuntur, expeditiones longinquas, labores, vigilias, timores, sudores, vulnera, cædes, urbium expugnationes, servitutem, exsilia, miseranda captorum spectacula, et in summa, incommoda omnia quæcunque bella comitantur : dicimus fieri hæc justo judicio Dei, iis, qui supplicio digni sunt, pœnas

A εἴρηται τὸ, *Ἐγὼ ὁ κατασκευάσας φῶς, καὶ ποιήσας σκότος, ποιῶν εἰρήνην καὶ κτίζων κακά;* Καὶ πάλιν· *Κατέβη*, φησὶ, *κακὰ παρὰ Κυρίου ἐπὶ πύλας Ἱερουσαλήμ·* καί· *Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε.* Καὶ ἐν τῇ μεγάλῃ ᾠδῇ τοῦ Μωϋσέως· *Ἴδετε, ἴδετε, ὅτι* (43) *ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ· ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι.* Ἀλλ' οὐδὲν τούτων τῷ συνιέντι τὸν νοῦν τῆς Γραφῆς κατηγορίαν ἔχει Θεοῦ, ὡς κακῶν αἰτίου καὶ ποιητοῦ· ὁ γὰρ εἰπὼν, ὅτι *Ἐγὼ ὁ κατασκευάζων φῶς, καὶ ποιῶν σκότος*, τῆς κτίσεως δημιουργὸν ἑαυτὸν διὰ τούτων παρίστησιν, οὐχὶ κακοῦ τινος ποιητήν. Ἵνα τοίνυν μὴ νομίσῃς ἄλλον μὲν εἶναι τοῦ φωτὸς αἴτιον, B ἄλλον δὲ τοῦ σκότους, ἑαυτὸν εἶπε τῶν δοκούντων ἐναντίως ἔχειν κατὰ τὴν κτίσιν ποιητὴν καὶ τεχνίτην, ἵνα μὴ ζητήσῃς ἄλλον (44) πυρὸς δημιουργὸν, καὶ ἄλλον ὕδατος, μηδὲ ἄλλον ἀέρος, καὶ ἄλλον γῆς· ἐπειδὴ δοκεῖ πως ἀντικεῖσθαι ἀλλήλοις κατὰ τὴν τῶν ποιοτήτων ἐναντίωσιν. Ὅπερ ἤδη τινὲς παθόντες εἰς πολυθεΐαν ἐτράπησαν. Ποιεῖ δὲ εἰρήνην, καὶ κτίζει κακά. Μάλιστα μὲν εἰρήνην ποιεῖ ἐν σοὶ, ὅταν διὰ τῆς καλῆς διδασκαλίας κατειρηνεύσῃ τὸν νοῦν σου, καὶ διαλλάξῃ τὰ πάθη τὰ πρὸς τὴν ψυχὴν στασιάζοντα· κτίζει δὲ κακά· τουτέστι, μετακοσμεῖ αὐτὰ καὶ εἰς βελτίωσιν ἄγει· ὥστε, ἀποθέμενα τὸ εἶναι κακὰ, τὴν τοῦ καλοῦ φύσιν μεταλαβεῖν. *Καρδίαν* (45) *καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός.* Οὐχὶ νῦν δημιούργησον, ἀλλὰ τὴν ἐκ τῆς κακίας παλαιωθεῖσαν ἀνα- C καίνισον. Καὶ, *Ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον.* Τὸ, *κτίσῃ*, οὐχ ἵνα ἐκ τοῦ μὴ ὄντος παραγάγῃ, ἀλλ' ἵνα τοὺς ὄντας μετακοσμήσῃ. Καὶ, *Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις.* Καὶ πάλιν ὁ Μωϋσῆς· *Οὐκ αὐτὸς οὗτος ὅ σου πατὴρ ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔκτισέ σε* (46); Σαφῶς γὰρ ἐνταῦθα μετὰ τὴν ποίησιν ἡ κτίσις ταχθεῖσα διδάσκει ἡμᾶς, ὅτι ἐπὶ τῆς βελτιώσεως τέτακται, ὡς τὰ πολλὰ, τὸ τῆς κτίσεως ὄνομα. Ὥστε *Ποιῶν εἰρήνην*, οὕτω ποιεῖ τὴν εἰρήνην, ἐκ τοῦ τὰ κακὰ κτίζειν· τουτέστι, μεταποιεῖν, καὶ εἰς βελτίωσιν ἄγειν. Ἔπειτα μέντοι, κἂν εἰρήνην νοήσῃς τὴν ἐκ τῶν πολέμων ἄδειαν, καὶ κακὸν εἴπῃς τὰ ἀκολουθοῦντα τοῖς πολεμοῦσιν ἐπίπονα, ἐκστρατείας ὑπερορίους, πόνους, ἀγρυπνίας, D ἀγωνίας (47), ἱδρῶτας, τραύματα, σφαγὰς, πόλεων ἁλώσεις, ἀνδραποδισμοὺς, ἀπαγωγὰς, τὰ ἐλεεινὰ τῶν ἁλόντων θεάματα, καὶ ἁπλῶς ὅσα λυπηρὰ τοῖς πολέμοις ἀκολουθεῖ, λέγομεν κρίσει (48) Θεοῦ δικαίᾳ γενέσθαι, τοῖς ἀξίοις κολάσεως διὰ τῶν πολέμων τὰς

[75] Isa. XLV, 7. [76] Mich. I, 12. [77] Amos III, 6. [78] Deut. XXXII, 39. [79] Psal. L, 12. [80] Ephes. II, 15. [81] II Cor. V, 17. [82] Deut. XXXII, 6.

(43) Antiqui tres libri Ἴδετε, φησὶν, ὅτι.

(44) Colb. tertius ἵνα μὴ νομίσῃς ἄλλον, *ut ne existimares alium esse ignis opificem*. Reg. primus ἵνα μὴ ζητήσῃς ἄλλον τινά, *ut ne quæras ullum alium*, etc.

(45) Codices Combefisiani καρδίαν γάρ.

(46) Antiqui duo libri οὗτός σου ὁ πατήρ. Ibidem utraque editio et Colb. primus et Reg. tertius ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔκτισέ σε, *possedit te, et fecit te, et creavit te*. In cæteris quidem Colb. tertius consentit cum iis quos diximus libris : sed pro ἔκτισε habet ἔπλασε, *formavit*. Alii duo mss. Regii et Colb. secundus ἐκτίσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε, *creavit te, et fecit te, et formavit te*.

(47) Editi ἀγρυπνίας, ἀγῶνας, *vigilias, prælia*. At mss. sex ἀγρυπνίας, ἀγωνίας, *vigilias, timores*.

(48) Colb. primus λέγω κρίσει. Mox Reg. primus γίνεσθαι τοῖς ἀξίοις κολάσεων.

τιμωρίας ἐπάγοντος. Ἢ σὺ ἐβούλου μὴ καταπρησθῆναι τὰ Σόδομα μετὰ τὰς ἀνοσιουργίας ἐκείνας; ἢ μὴ καταστραφῆναι τὴν Ἱερουσαλὴμ, μηδὲ ἐρημωθῆναι τὸν ναὸν, μετὰ τὴν φρικτὴν κατὰ τοῦ Κυρίου τῶν Ἰουδαίων ἀπόνοιαν; Γενέσθαι δὲ ταῦτα πῶς ἄλλως δίκαιον ἦν, καὶ οὐχὶ διὰ τῶν Ῥωμαϊκῶν χειρῶν, αἷς παρέδωκαν τὸν Κύριον ἡμῶν οἱ ἐχθροὶ τῆς ζωῆς ἑαυτῶν (49) Ἰουδαῖοι; Ὥστε ἔστι ποτὲ καὶ δικαίως τὰ ἐκ τοῦ πολέμου κακὰ τοῖς ἀξίοις ἐπενεχθῆναι. Καὶ τὸ, *Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω*, δέχου μὲν, εἰ βούλει, κατὰ τὸ πρόχειρον τῆς ἐννοίας. Οἰκοδομεῖ γὰρ ὁ φόβος τοὺς ἁπλουστέρους. *Πατάξω, κἀγὼ ἰάσομαι*. Καὶ τοῦτο χρήσιμον αὐτόθεν νοούμενον· τῆς μὲν πληγῆς ἐμποιούσης τὸν φόβον, τῆς δὲ ἰάσεως εἰς τὴν ἀγάπην προτρεπομένης. Ἔξεστί γε μὴν σοι καὶ ὑψηλότερον διανοηθῆναι περὶ τῶν εἰρημένων. *Ἐγὼ ἀποκτενῶ*, τῇ ἁμαρτίᾳ· *καὶ ζῆν ποιήσω*, τῇ δικαιοσύνῃ. *Ὅσον γὰρ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται*. Οὐκ ἄλλον οὖν ἀποκτείνει, καὶ ἄλλον ζωοποιεῖ (50)· ἀλλὰ τὸν αὐτὸν, δι' ὧν ἀποκτείνει, ζωοποιεῖ· καὶ δι' ὧν πατάσσει, ἰᾶται, κατὰ τὴν Παροιμίαν τὴν λέγουσαν, ὅτι *Σὺ μὲν πατάξεις αὐτὸν ῥάβδῳ, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ*. Οὐκοῦν πατάσσεται μὲν σὰρξ, ἵνα ἰαθῇ ψυχή· θανατοῦται δὲ ἁμαρτία, ἵνα ζήσῃ δικαιοσύνη. Τὸ δὲ, *Κατέβη κακὰ παρὰ Κυρίου ἐπὶ πύλας Ἱερουσαλὴμ*, αὐτόθεν ἔχει τὴν ἐξήγησιν. Ποῖα κακά; Ψόφος ἁρμάτων καὶ ἱππευόντων. Ὅταν δὲ ἀκούσῃς, *Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε*· νόει τῆς κακίας τὸ ὄνομα· ὅτι τὴν προσαγομένην κάκωσιν τοῖς ἁμαρτάνουσιν ἐπὶ διορθώσει τῶν πλημμελημάτων ὁ λόγος αἰνίσσεται. *Ἐκάκωσα γάρ σε*, φησὶ, *καὶ ἐλιμαγχόνησα*, ἵνα εὖ σε ποιήσω· πρὶν εἰς ἄμετρον ἐκχυθῆναι τὴν ἀδικίαν ἱστῶν (51), ὥσπερ ῥεῦμα ἕρκει τινὶ κρατερῷ καὶ διαφράγματι κατεχόμενον.

5. Διὰ ταῦτα νόσοι πόλεων καὶ ἐθνῶν, ἀέρων αὐχμοὶ καὶ ἀφορίαι γῆς, καὶ αἱ κατὰ τὸν βίον ἑκάστῳ τραχύτεραι περιπτώσεις, τῆς κακίας τὴν αὔξησιν περικόπτουσαι. Ὥστε τὰ τοιαῦτα κακὰ παρὰ Θεοῦ γίνεται, τῶν ἀληθινῶν κακῶν τὴν γένεσιν ἐξαιροῦντα. Αἵ τε γὰρ κατὰ τὸ σῶμα κακώσεις, καὶ τὰ ἐκτὸς ἐπίπονα, πρὸς ἐποχὴν τῆς ἁμαρτίας ἐπινενόηνται. Ἀναιρεῖ τοίνυν τὸ κακὸν ὁ Θεός· οὐχὶ δὲ τὸ κακὸν ἐκ τοῦ Θεοῦ· ἐπεὶ καὶ ὁ ἰατρὸς ἐξαιρεῖ τὴν νόσον, ἀλλ' οὐχὶ νόσον ἐμβάλλει τῷ σώματι. Πόλεων δὲ ἀφανισμοὶ, σεισμοί τε καὶ ἐπικλύσεις, καὶ στρατοπέδων ἀπώλειαι, καὶ ναυάγια, καὶ πᾶσαι πολυάνθρωποι φθοραὶ, εἴτε ἐκ γῆς, εἴτε ἐκ θαλάσσης, εἴτε ἐξ ἀέρος, ἢ πυρὸς, ἢ ἐξ ὁποιασοῦν αἰτίας ἐπιγινόμεναι, εἰς τὸν τῶν ὑπολειπομένων σωφρονισμὸν γίνονται, τὴν πάνδημον πονηρίαν δημοσίαις μάστιξι τοῦ Θεοῦ σωφρονίζοντος. Τὸ μὲν οὖν κυρίως κακὸν ἡ ἁμαρτία, ὅπερ μάλιστά ἐστι τῆς τοῦ κακοῦ προσηγορίας ἄξιον,

A per bella irrogantis. An 76 tu non vis tradita fuisse incendio Sodoma post flagitia illa ac scelera? an non eversam fuisse Jerusalem, neque desolatum templum, post horrendam illam Judæorum adversus Dominum vesaniam? Hæc autem fieri quonam alio modo æquum erat, nisi per manus Romanorum, quibus Dominum nostrum tradiderunt inimici suæ ipsorum vitæ Judæi? Quapropter etiam juste nonnunquam belli mala infliguntur merentibus. Illud quoque, *Ego occidam et vivere faciam*, accipe, si vis, obvio sensu. Timor enim simpliciores ædificat. *Percutiam, et ego sanabo*. Et hoc acceptum ad verbum, utile est et conducibile, plaga timorem incutiente, sanatione vero ad dilectionem incitante. Licet tamen tibi etiam altius de his quæ dicta sunt,
B sentire. *Ego occidam*, peccato: *et vivere faciam*, justitiæ. *Quantum enim externus noster homo corrumpitur, tantum internus renovatur* [83]. Non igitur alium occidit, alium vivificat; sed eumdem, per ea quibus occidit, vivificat: itemque per ea quibus percutit, sanat, ex Proverbio illo: *Tu quidem percuties ipsum virga, animam vero ipsius a morte liberabis* [84]. Caro itaque percutitur, ut anima sanetur: peccatum vero perimitur, ut vivat justitia. Illud vero, *Descenderunt mala a Domino super portas Jerusalem*, per sese exponitur. Quæ mala? Strepitus curruum et equitum. Cum autem audieris, *Non est malitia in civitate, quam Dominus non fecerit*, intellige afflictionem aliquam quæ peccanti-
C bus ad peccata corrigenda infligatur, a Scriptura nomine malitiæ significari. *Afflixi enim*, inquit, *te, et fame strangulavi* [85], tibi ut benefaciam: quippe injustitiam prius sistit ac coercet, quam in immensam diffundatur, eo modo quo fluentum valido quodam obice ac septo cohibetur.

5. Hinc urbium morbi gentiumque, aeris siccitas, sterilitas terræ, atque asperiores quæ cuique in vita accidunt calamitates, quibus mali progressus intercipitur. Quare inferuntur a Deo ejusmodi mala, malorum verorum ortum prohibitura. Nam corporis afflictiones ac molestiæ externæ ad peccata compescenda excogitatæ sunt. Tollit igitur malum Deus; non autem ex Deo malum est. Nam et medi-
D cus tollit morbum, non morbum accersit corpori. At vero urbium excidia, terræ motus, inundationes, exercituum clades, naufragia et quivis multorum hominum interitus, sive ex terra, sive ex mari, sive ex aere, aut igne, aut ex quacunque alia causa proveniat, hæc ad superstitum castigationem emendationemque contingunt; Deo nequitiam publicam publicis flagris castigante. Malum igitur quod proprie dicitur, peccatum videlicet, quodque maxime mali nomine dignum est, pendet ex no-

[83] II Cor. IV, 16. [84] Prov. XXIII, 14. [85] Deut. VIII, 3.

(49) Editi αὐτῶν. At multi mss. ἑαυτῶν.
(50) Colb. tertius ἄλλον ζῆν ποιεῖ.
(51) Unus aut alter ms. et editi ἀδικίαν ἱστῶν. Alii quatuor ἱστῶντος. Ibidem duo mss. Combefisiani ἕρκῳ τινί.

stra voluntate; cum penes nos sit aut abstinere a malo, aut mala perpetrare. Reliqua vero, uti sunt certamina, partim ad fortitudinem ostendendam irrogantur, velut Jobo liberorum privatio, divitiarum omnium in uno temporis momento amissio, plaga ulceris : partim tanquam peccatorum medela, uti Davidi turpitudo domus et dedecus, scelestæ cupiditatis pœnas **77** danti. Ac rursus novimus aliud quoddam malorum horribilium genus a justo Dei judicio induci, quo moderatiores cautioresque reddat eos, qui lubrici sunt et proclives ad peccatum, ut cum Dathan et Abiron a terra absorpti sunt, barathris hiatibusque terræ ad eos excipiendos apertis [86]. Hic enim ipsi nihilo meliores hoc supplicii genere effecti sunt (quomodo enim, cum in infernum descenderint?), sed tamen reliquos exemplo suo prudentiores cautioresque reddidere. Sic et Pharao cum toto exercitu in mari submersus est [87]. Sic exterminati sunt qui Palæstinam pridem habitabant. Quare etiamsi Apostolus dicat aliquando, *Vasa iræ aptata in interitum* [88], absit tamen ut opus quoddam malum Pharaonem esse existimemus (ita enim culpa potiori jure transferretur in opificem); verum ubi audieris *Vasa*, intellige unumquemque nostrum fuisse ad quidpiam utile conditum. Et ut in magna domo, aliud vas est aureum, aliud argenteum, aliud testaceum, aliud ligneum [89] (habet autem uniuscujusque liberum arbitrium harum materiarum similitudinem; et aureum quidem vas est his, qui puris et minime fraudulentis moribus præditus est; argenteum vero, qui merito ac dignitate inferior illo est; testaceum autem, qui terrena sapit, et est idoneus qui conteratur; ligneum denique, qui facile peccato coinquinatur, et materia fit æterno igni) : ita iræ vas est, qui omnem diaboli suggestum instar vasis recipit, nec potest amplius ob accedentem sibi ex corruptione fetorem ad usum ullum adhiberi, sed interitu solo ac exitio dignus est. Quamobrem quoniam conteri Pharaonem opor-

A ἐκ τῆς ἡμετέρας προαιρέσεως ἤρτηται, ἐφ' ἡμῖν ὄντος ἢ ἀπέχεσθαι τῆς πονηρίας, ἢ μοχθηροῖς (52) εἶναι· τῶν δὲ λοιπῶν τὰ μὲν ὡς ἀγωνίσματα εἰς ἐπίδειξιν ἀνδρείας προβάλλεται, ὡς τῷ Ἰὼβ ἡ τῶν παίδων στέρησις, ὁ τοῦ πλούτου παντὸς ἐν μιᾷ καιροῦ ῥοπῇ ἀφανισμὸς, ἡ διὰ τοῦ ἕλκους πληγή· τὰ δὲ ὡς θεραπεία τῶν ἡμαρτημένων, ὡς τῷ Δαβὶδ ἡ περὶ τὸν οἶκον αἰσχύνη, παρανόμου ἐπιθυμίας δίκας ἀποτιννύντι. Καὶ πάλιν κατενοήσαμεν ἄλλο τι εἶδος τῶν φοβερῶν παρὰ τῆς δικαίας τοῦ Θεοῦ κρίσεως ἐπαγόμενον, ἐπὶ τῷ σωφρονεστέρους ποιῆσαι τοὺς πρὸς ἁμαρτίαν εὐολισθήτους· ὡς ὁ Δαθὰν καὶ Ἀβειρὼν ὑπὸ τῆς γῆς κατεπόθησαν, βαράθρων αὐτοῖς καὶ χασμάτων ὑποῤῥαγέντων. Ἐνταῦθα γὰρ οὐκ αὐτοί τι τῷ τοιούτῳ τρόπῳ τῆς κολάσεως βελτίους γεγόB νασι (πῶς γὰρ οἱ καταβάντες (53) εἰς ᾅδου;), ἀλλὰ τοὺς λοιποὺς σωφρονεστέρους τῷ ὑποδείγματι πεποιήκασιν. Οὕτω καὶ Φαραὼ κατεποντίσθη πανστρατιᾷ. Οὕτως ἐξετρίβησαν οἱ προενοικοῦντες τὴν Παλαιστίνην. Ὥστε, κἂν λέγῃ ποτὲ ὁ Ἀπόστολος, *Σκεύη ὀργῆς κατηρτισμένα* (54) *εἰς ἀπώλειαν*, μὴ κατασκευήν τινα πονηρὰν οἰηθῶμεν εἶναι τοῦ Φαραὼ (οὕτω γὰρ ἐπὶ τὸν κατασκευάσαντα δικαιότερον ἡ αἰτία μετενεχθήσεται)· ἀλλ' ὅταν ἀκούσῃς *σκεύη*, νόει, ὅτι πρός τι χρήσιμον (55) ἕκαστος ἡμῶν πεποίηται. Καὶ ὥσπερ ἐν τῇ μεγάλῃ οἰκίᾳ τὸ μέν τοι χρυσοῦν ἐστι σκεῦος, τὸ δὲ ἀργυροῦν, τὸ δὲ ὀστράκινον, τὸ δὲ ξύλινον (τῆς προαιρέσεως ἑκάστου τὴν πρὸς τὰς ὕλας ὁμοιότητα παρεχομένης· καὶ χρυσοῦν μὲν ἔστι σκεῦος ὁ καθαρὸς τὸν τρόπον καὶ ἄδολος· ἀργυροῦν C δὲ, ὁ ὑποδεέστερος ἐκείνου κατὰ τὴν ἀξίαν· ὀστράκινον δὲ, ὁ τὰ γήινα φρονῶν καὶ πρὸς συντριβὴν ἐπιτήδειος· καὶ ξύλινον, ὁ εὐκόλως διὰ τῆς ἁμαρτίας καταῤῥυπούμενος καὶ ὕλη γινόμενος τῷ αἰωνίῳ πυρί)· οὕτω καὶ ὀργῆς σκεῦος, ὁ πᾶσαν τὴν τοῦ διαβόλου ἐνέργειαν, ὥσπερ ἀγγεῖον, χωρήσας, καὶ διὰ τὴν ἐγγενομένην αὐτῷ ἐκ τῆς φθορᾶς δυσωδίαν οὐκέτι ἀχθῆναι πρὸς χρῆσιν δυνάμενος, ἀλλ' ἀφανισμοῦ μόνου καὶ ἀπωλείας ἄξιος. Διόπερ, ἐπειδὴ ἔδει συντριβῆναι αὐτὸν, ὁ φρόνιμος καὶ σοφὸς τῶν ψυχῶν οἰκονόμος (56)

[86] Num. XVI, 31. [87] Exod. XIV, 28. [88] Rom. IX, 22. [89] II Tim. II, 20.

(52) Codex Coisl. et duo Colbertini ἢ μοχθηρούς. Reg. tertius et editi μοχθηροῖς· quod puto dictum esse per figuram, quam grammatici vocant attractionem.

(53) Antiqui duo libri καταβαίνοντες.

(54) Unus codex Combef. καταρτισμένα· sed certe culpa est operarum, non viri docti, qui sine dubio scripsit κατηρτισμένα. Ut ut hæc sunt, editi et Regii tres mss. et totidem Colbertini habent κατηρτισμένα, nec aliter legitur in Vulgata. Qui locus ita Latine reddi potest, *Vasa iræ aptata in interitum*. Hic mirum videri potest, in Vulgata Latina pro *aptata* legi *apta*, cum nemo non videat verbum καταρτίζεσθαι voce hac *apta* exprimi nullo modo posse. Sed facile crediderim mendum esse alicujus librarii, qui, cum scriberet, ob oculos habebat aliquod exemplar, quod commode aperiri non poterat, sic ut cujusque versus ultimæ litteræ vix conspicerentur. Ejusmodi autem libros sæpe inveniri quotidiana experientia docet. Puto igitur factum esse, ut aliquis librarius in ejusmodi librum qui difficile D aperiretur inciderit; atque in eo libro scriptum quidem fuisse totidem syllabis *aptata*, sed ita tamen, ut in fine unius versus legeretur *apta*, initio vero alterius scriptum esset *ta*. Ex quo contigit, ut librarius, qui mediam syllabam *ta* ob eam quam dixi causam non videret, *apta* necessario scripserit. Quam autem facile sit, errorem, qui semel in unum librum irrepserit, in alios permultos transire, notum est. Duo autem me moverunt ad id suspicandum. Primum, quod vox, *aptata* ad verbum καταρτίζεσθαι exprimendum maxime idonea sit, cum contra vox *apta* quidvis potius quam verbum Græcum exprimat; alterum, quod in optimis et vetustissimis duobus libris syllabis totidem *aptata* legatur: quorum librorum alter in bibliotheca Regia, alter in nostra diligentissime servatur. Monere libet antiquam Vulgatam ex duobus his pervetustis codicibus a nostris propediem edendam esse.

(55) Reg. primus πρὸς τὸ χρήσιμον.

(56) Colb. tertius ψυχῶν ἰατρὸς καὶ οἰκονόμος, *animarum medicus et rector*.

διῳκήσατο. αὐτὸν περιφανῆ γενέσθαι καὶ πᾶσιν ἐξάκουστον, ἵνα ἄλλοις γοῦν ὠφέλιμος διὰ τοῦ πάθους γένηται, ἐπειδὴ αὐτὸς ὑπὸ τῆς ἄγαν κακίας ἀνίατος ἦν. Ἐσκλήρυνε δὲ αὐτὸν, τῇ μακροθυμίᾳ καὶ τῇ τῆς τιμωρίας ἀναβολῇ ἐπιτείνων αὐτοῦ τὴν κακίαν, ἵνα, εἰς τὸν ἔσχατον ὅρον (57) αὐξηθείσης αὐτοῦ τῆς πονηρίας, τὸ δίκαιον ἐπ' αὐτῷ τῆς θείας κρίσεως διαφανῇ. Διὰ τοῦτο ἀπὸ μικροτέρων πληγῶν ἀεὶ προστιθεὶς καὶ ἐπιτείνων τὰς μάστιγας, οὐκ ἐμάλαξεν αὐτοῦ τὸ ἀνυπότακτον, ἀλλ' εὕρισκεν αὐτὸν καὶ τῆς ἀνοχῆς τοῦ Θεοῦ καταφρονοῦντα, καὶ τοῖς ἐπαγομένοις αὐτῷ δεινοῖς ὑπὸ τῆς συνηθείας ἐμμελετήσαντα (58). Καὶ οὐδὲ οὕτως αὐτὸν παρέδωκε τῷ θανάτῳ, ἕως αὐτὸς ἑαυτὸν ἐποίησεν ὑποβρύχιον, ἐν τῇ ὑπερηφανίᾳ τῆς καρδίας αὐτοῦ τῆς τῶν δικαίων πορείας κατατολμήσας, καὶ νομίσας ὥσπερ τῷ λαῷ τοῦ Θεοῦ, οὕτω καὶ αὐτῷ βάσιμον ἔσεσθαι τὴν Ἐρυθρὰν θάλασσαν. Ταῦτα δὴ οὖν εἰδὼς παρὰ Θεοῦ, καὶ διῃρημένα ἔχων παρὰ σεαυτῷ τοῦ κακοῦ τὰ εἴδη, καὶ εἰδὼς τί μὲν τὸ ὄντως κακὸν, ὅτι ἡ ἁμαρτία, ἧς τὸ τέλος ἀπώλεια· τί δὲ τὸ δοκοῦν μὲν κακὸν διὰ τὸ τῆς αἰσθήσεως ἀλγεινὸν, ἀγαθοῦ δὲ δύναμιν ἔχον, ὡς αἱ κακώσεις αἱ πρὸς ἐποχὴν τῆς ἁμαρτίας ἐπαγόμεναι, ὧν οἱ καρποὶ σωτηρία ψυχῶν (59) αἰώνιος· παῦσαι δυσαρεστούμενος ταῖς θείαις οἰκονομίαις· ὅλως δὲ μήτε Θεὸν αἴτιον ἡγοῦ τῆς ὑπάρξεως τοῦ κακοῦ, μήτε ἰδίαν ὑπόστασιν τοῦ κακοῦ εἶναι φαντάζου. Οὐ γάρ ἐστιν ὑφεστὼς, ὥσπερ τι ζῶον, ἡ πονηρία· οὔτε οὐσίαν αὐτῆς ἐνυπόστατον παραστῆσαι ἔχομεν. Στέρησις γὰρ ἀγαθοῦ ἐστι τὸ κακόν. Ὀφθαλμὸς ἐκτίσθη· τυφλότης δὲ τῇ ἀπωλείᾳ τῶν ὀφθαλμῶν ἐπεγένετο (60). Ὥστε, εἰ μὴ ἦν φθαρτῆς φύσεως ὁ ὀφθαλμὸς, οὐκ ἂν ἔσχεν ἡ τυφλότης παρείσδυσιν. Οὕτω καὶ τὸ κακὸν οὐκ ἐν ἰδίᾳ ὑπάρξει ἐστὶν, ἀλλὰ τοῖς τῆς ψυχῆς πηρώμασιν ἐπιγίνεται. Οὔτε γὰρ ἀγέννητόν (61) ἐστιν, ὡς ὁ τῶν ἀσεβῶν λόγος, ὁμότιμον ποιούντων τῇ ἀγαθῇ φύσει τὴν πονηρὰν, εἴπερ ἀμφότερα ἄναρχα καὶ γενέσεώς ἐστιν ἀνώτερα· οὔτε μὴν γεννητόν. Εἰ γὰρ πάντα ἐκ τοῦ Θεοῦ, πῶς τὸ κακὸν ἐκ τοῦ ἀγαθοῦ; Οὐδὲ γὰρ τὸ αἰσχρὸν (62) ἀπὸ τοῦ καλοῦ, οὔτε ἡ κακία ἀπὸ τῆς ἀρετῆς. Ἀνάγνωθι τὴν κοσμοποιίαν, καὶ εὑρήσεις, ὅτι ἐκεῖ *Πάντα καλὰ, καὶ καλὰ λίαν*. Οὐ τοίνυν τὸ κακὸν τοῖς καλοῖς συνεκτίσθη. Ἀλλ' οὐδὲ ἡ νοητὴ κτίσις, γενομένη παρὰ τοῦ Δημιουργοῦ, ἀναμεμιγμένη τῇ (63) πονηρίᾳ εἰς τὸ εἶναι παρήχθη. Εἰ γὰρ τὰ σωματικὰ οὐκ ἔσχεν ἐν ἑαυτοῖς τὸ κακὸν συγκτι-

A tebat, prudens ac sapiens animarum gubernator statuit cum illustrem fieri, et apud omnes celebrem ut infortunio suo reliquis saltem utilis foret, cum esset ipse ob nimiam malitiam insanabilis. Induravit autem eum, tolerantia ac pœnæ dilatione malitiam ipsius adaugens, ut nequitia ejus ad extremum usque cumulum provecta, judicii divini æquitas in eo effulgeret. Eoque a minoribus plagis initio ducto, flagella semper addens ac augens, contumaciam ejus non emollivit : sed invenit ipsum et Dei patientiam contemnentem, et talem, cujus esset animus in malis sibi illatis præ assuetudine exercitatus. Et ne sic quidem eum tradidit morti, donec se ipse submersit, viam justorum ingredi ausus mentis suæ superbia, et ut populo

B Dei, ita sibi quoque mare Rubrum pervium fore ratus. Hæc igitur a Deo edoctus, et distincta apud temetipsum mali genera habens, **78** nec ignorans quid vere malum sit, peccatum videlicet, cujus finis interitus, quid vero malum duntaxat apparens ob excitatum in sensibus dolorem, vim alioqui boni habens, velut sunt mulctæ et incommoda quæ ad cohibenda peccata inferuntur, quorum fructus salus animarum æterna, fac desinas regimen divinum ægre ferre. Uno verbo, neque Deum substantiæ mali auctorem esse putes : neque mali ullam esse propriam subsistentiam fingas. Non enim subsistit, velut animal quoddam, pravitas : neque illius essentiam vere exsistentem ponere ob

C oculos possumus. Nam boni privatio malum est. Creatus oculus est, sed oculis amissis supervenit cæcitas. Unde si oculi natura non fuisset corruptioni obnoxia, non patuisset aditus cæcitati. Sic etiam malum non in propria substantia exsistit, sed ex animæ læsionibus accedit. Neque enim ingenitum est, velut dicunt impii qui naturam malam bonæ æqualem constituunt, si quidem utraque principio caret, anteceditque generationem; neque genitum est. Etenim si ex Deo sunt omnia, quomodo malum ex bono est? Neque enim turpe ex honesto est, neque vitium ex virtute. Lege creationem mundi, et invenies illic *Cuncta bona et bona valde* [80]. Non igitur malum una cum bonis creatum est. Sed neque spiritualis creatura ab

D Opifice condita, in rerum naturam cum aliqua sibi admista pravitate producta est. Si enim corporea non haberent in seipsis malum una secum crea-

[80] Gen. I, 31.

(57) Colb. tertius ὅρον αὐτοῦ. Mox editi δίκαιον ἐπ' αὐτοῦ. At quinque mss. ἐπ' αὐτῷ.

(58) Colb. primus ἐκμελετήσαντα.

(59) Antiqui duo libri σωτηρία ψυχῆς. Ibidem aliquot mss. Combefisiani παύσῃ. Colb. tertius οὐ παύσῃ, *nonne desines?*

(60) Reg. tertius ὀφθαλμῶν προσεγένετο.

(61) Hic et infra, ubi vox ἀγέννητος, aut γεννητός occurrit, variant tum calamo notati, tum typis descripti libri. Nec id cuiquam mirum videri debet, cum hæ voces in diversis exemplaribus modo cum unico ν scribantur, modo cum duobus. Certe, cum de divinis rebus agitur, multum quidem refert hoc an illo modo legatur, ἀγέννητος, aut ἀγένητος, γεννητός, aut γενητός. Et vero nefas est Filium dicere *ingenitum*, quem tamen vere profitemur *increatum* : item, fides docet Filium esse *genitum*, quem negat esse *factum*. Sed si sermo sit de rebus creatis, nihil refert utro quis modo legat, cum pro una voce aliam sæpius sumi constet. Lege Ducæum. De cætero nemo, opinor, non videt Manichæos hic a Basilio impugnari. Mox Colb. tertius φύσει τὴν πονηρίαν. Subinde idem codex καὶ γεννήσεως.

(62) Reg. primus ἀγαθοῦ· Οὐδὲν γὰρ αἰσχρόν.

(63) Colb. secundus ἀναμεμιγμένως τῇ.

tum; quomodo spiritualia longe puritate ac sanctitate præstantia, communem cum malo subsistentiam habuissent? Sed tamen malum est, et vis ejus id non parum per omnem vitam diffundi demonstrat. Unde ergo habet quod est, si neque principio careat, inquit, neque factum ac creatum sit?

6. Vicissim interrogentur qui talia quærunt: Unde morbi? unde corporis oblæsi vitia? Neque enim morbus increatus est, neque etiam opificium Dei. Sed creata quidem sunt animalia cum conveniente sibi structura secundum naturam, ac integris absolutisque membris prodiere in lucem; sed tamen ægrotaverunt e naturali statu emota. Amittunt enim sanitatem aut propter diætam malam, aut per quamcunque aliam quæ morbum afferat causam. Ergo corpus creavit Deus, non morbum; et animam quoque fecit Deus, non peccatum: vitiata tamen est anima, e naturali statu dejecta. Quodnam autem erat ipsi præcipuum bonum illud? Adhærere Deo, eique per charitatem conjungi: a qua ubi excidit, variis morbis ac diversis vitiata est. Quid est autem quod omnino mali capax sit? Quoniam prædita est libero arbitrio, quod naturæ rationis compoti **79** maxime congruit. Soluta namque anima necessitate omni, liberamque et in sua potestate sitam vitam a Conditore sortita, quod ad Dei imaginem facta sit, bonum quidem intelligit ejusque jucunditatem novit: et dum speculari bonum, ac spiritualibus frui perseverat, ut facultatem potestatemque habet suæ, quæ secundum naturam est, vitæ conservandæ, ita quoque potestatem habet declinandi aliquando a bono. Hoc autem ei contingit, cum beata delectatione exsatiata, et velut sopore quodam gravata, et a supernis dilabens, fruendarum turpium voluptatum causa sese carni admiscuerit.

7. Erat aliquando Adam in supernis, non loco, sed animo, cum statim accepta anima, erectisque in cœlum oculis, rebus conspectis valde exhilaratus, diligensque maxime datorem beneficum, qui vitam æternam fruendam largitus, locarat eum in deliciis paradisi, quique post traditum ei perinde ut angelis principatum, effecerat ipsum ejusdem cum archangelis victus participem, et vocis divinæ auditorem: præter hæc omnia protectus a Deo, ejusque bonis fruitus, statim tamen his omnibus exsaturatus, et præ satietate, quasi conviciatus, quod carneis oculis jucundum videbatur, id prætulit spirituali pulchritudini, ac ventris saturitatem

A ζόμενον, πῶς ἂν τὰ νοητὰ, τοσοῦτον καθαρότητι καὶ ἁγιασμῷ διαφέροντα, κοινὴν ἂν ἔσχε πρὸς τὸ κακὸν τὴν ὑπόστασιν; Ἀλλὰ μὴν ἔστι τὸ κακὸν, καὶ ἡ ἐνέργεια δείκνυσι πολὺ κατὰ τοῦ βίου παντὸς κεχυμένον. Πόθεν οὖν αὐτῷ τὸ εἶναι, εἰ μήτε ἄναρχόν ἐστι, φησὶ, μήτε πεποίηται;

6. Ἀντερωτάσθωσαν οἱ τὰ τοιαῦτα ἐπιζητοῦντες· Πόθεν νόσοι (64); πόθεν αἱ πηρώσεις τοῦ σώματος; Οὔτε γὰρ ἀγέννητος ἡ νόσος, οὔτε μὴν δημιούργημα τοῦ Θεοῦ. Ἀλλ' ἐκτίσθη μὲν τὰ ζῶα μετὰ τῆς πρεπούσης αὐτοῖς κατασκευῆς κατὰ φύσιν, καὶ παρήχθη (65) πρὸς τὴν ζωὴν ἀπηρτισμένα τοῖς μέλεσιν, ἐνόσησε δὲ τοῦ κατὰ φύσιν παρατραπέντα. Ἐξίσταται γὰρ τῆς ὑγιείας ἢ διὰ πονηρὰν δίαιταν ἢ δι'
B ἡσδηποτοῦν νοσοποιοῦ αἰτίας (66). Οὐκοῦν σῶμα μὲν ἔκτισεν ὁ Θεὸς, οὐχὶ νόσον· καὶ ψυχὴν τοίνυν ἐποίησεν ὁ Θεὸς, οὐχὶ δὲ ἁμαρτίαν· ἐκακώθη δὲ ἡ ψυχὴ, παρατραπεῖσα τοῦ κατὰ φύσιν. Τί δὲ ἦν αὐτῇ τὸ προηγούμενον ἀγαθόν; Ἡ προσεδρεία τοῦ Θεοῦ, καὶ ἡ διὰ τῆς ἀγάπης συνάφεια· ἧς ἐκπεσοῦσα, τοῖς ποικίλοις καὶ πολυτρόποις (67) ἀῤῥωστήμασιν ἐκακώθη. Διὰ τί δὲ ὅλως δεκτικὴ τοῦ κακοῦ; Διὰ τὴν αὐτεξούσιον ὁρμὴν, μάλιστα πρέπουσαν λογικῇ φύσει. Λελυμένη γὰρ πάσης ἀνάγκης, καὶ αὐθαίρετον ζωὴν λαβοῦσα παρὰ τοῦ κτίσαντος, διὰ τὸ κατ' εἰκόνα γεγενῆσθαι Θεοῦ, νοεῖ μὲν τὸ ἀγαθὸν, καὶ οἶδεν αὐτοῦ τὴν ἀπόλαυσιν, καὶ ἔχει ἐξουσίαν καὶ δύναμιν, ἐπιμένουσα τῇ τοῦ καλοῦ θεωρίᾳ καὶ τῇ ἀπολαύσει
C τῶν νοητῶν, διαφυλάσσειν αὐτῆς τὴν κατὰ φύσιν ζωήν· ἔχει δὲ ἐξουσίαν καὶ ἀπονεῦσαί ποτε τοῦ καλοῦ. Τοῦτο δὲ συμβαίνει αὐτῇ, ὅταν, κόρον λαβοῦσα τῆς μακαρίας τέρψεως, καὶ οἷον νυσταγμῷ τινι βαρυνθεῖσα καὶ ἀποῤῥυεῖσα τῶν ἄνωθεν, τῇ σαρκὶ διὰ τὰς αἰσχρὰς τῶν ἡδονῶν ἀπολαύσεις ἀναμιχθῇ.

7. Ἦν ποτε ὁ Ἀδὰμ ἄνω, οὐ τόπῳ, ἀλλὰ τῇ προαιρέσει, ὅτε, ἄρτι ψυχωθεὶς καὶ ἀναβλέψας πρὸς οὐρανὸν (68), περιχαρὴς τοῖς ὁρωμένοις γενόμενος, ὑπεραγαπῶν τὸν εὐεργέτην, ζωῆς μὲν αἰωνίου ἀπόλαυσιν χαρισάμενον, τρυφαῖς δὲ παραδείσου ἐναναπαύσαντα, ἀρχὴν δὲ δόντα κατὰ τὴν τῶν ἀγγέλων, καὶ ἀρχαγγέλοις αὐτὸν ποιήσαντα ὁμοδίαιτον, καὶ φωνῆς θείας
D ἀκροατήν· ἐπὶ πᾶσι τούτοις ὑπερασπιζόμενος παρὰ Θεοῦ, καὶ ἀπολαύων τῶν αὐτοῦ ἀγαθῶν (69), ταχὺ πάντων ἀναπλησθεὶς, καὶ οἷον ἐξυβρίσας τῷ κόρῳ, τὸ τοῖς σαρκίνοις ὀφθαλμοῖς φανὲν τερπνὸν τοῦ νοητοῦ προετίμησε κάλλους, καὶ τὴν πλησμονὴν τῆς γαστρὸς τῶν πνευματικῶν ἀπολαύσεων τιμιωτέραν ἔθετο.

(64) Editi πόθεν αἱ νόσοι. Colb. primus πόθεν νόσοι. Alii quatuor mss. πόθεν νόσος.

(65) Regii primus et secundus et Colb. tertius κατασκευῆς, καὶ κατὰ φύσιν παρήχθη. Alii tres mss. et editi κατασκευῆς κατὰ φύσιν, καὶ παρήχθη.

(66) Editi ἢ δι' ἁσδηποτοῦν νοσοποιοὺς αἰτίας. Antiqui duo libri ut in contextu.

(67) Veteres duo libri ποικίλοις καὶ πολυπλόκοις ἀῤ.

(68) Colb. primus εἰς οὐρανόν. Aliquanto post idem codex δόντα τὴν τῶν. Ibidem quatuor mss. καὶ ἀγγέλοις αὐτόν.

(69) Editio Paris. ὑπερασπιζόμενος πρὸς Θεοῦ καὶ ἀπολαύσεων ταχὺ πάντων ἀναπλησθείς. Editio Basil. ἀπολαύων: cætera vero ut supra. Colb. primus ὑπερασπαζόμενος Θεὸν καὶ ἀπολαύων τὰ Χριστοῦ καὶ πάντων ἀναπλησθείς. Reg. tertius ὑπερασπαζόμενος Θεῷ καὶ ἀπολαύων, ταχύ, etc. Reg. secundus ut in contextu.

Ἔξω μὲν εὐθὺς ἦν τοῦ παραδείσου, ἔξω δὲ τῆς μακαρίας ἐκείνης διαγωγῆς, οὐκ ἐξ ἀνάγκης κακὸς, ἀλλ' ἐξ ἀβουλίας, γενόμενος. Διὰ τοῦτο καὶ ἥμαρτε μὲν διὰ μοχθηρὰν προαίρεσιν, ἀπέθανε δὲ διὰ τὴν ἁμαρτίαν· *Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος*. Ὅσον γὰρ ἀφίστατο τῆς ζωῆς, τοσοῦτον προσήγγιζε τῷ θανάτῳ. Ζωὴ γὰρ ὁ Θεός· στέρησις δὲ τῆς ζωῆς θάνατος. Ὥστε ἑαυτῷ τὸν θάνατον ὁ Ἀδὰμ διὰ τῆς ἀναχωρήσεως τοῦ Θεοῦ κατεσκεύασε, κατὰ τὸ γεγραμμένον, ὅτι *Ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται*. Οὕτως οὐχὶ Θεὸς ἔκτισε θάνατον, ἀλλ' ἡμεῖς ἑαυτοῖς ἐκ πονηρᾶς γνώμης ἐπεσπασάμεθα. Οὐ μὴν οὐδὲ ἐκώλυσε τὴν διάλυσιν διὰ τὰς προειρημένας αἰτίας, ἵνα μὴ ἀθάνατον ἡμῖν τὴν ἀῤῥωστίαν διατηρήσῃ. Ὥσπερ ἂν εἴ τις σκεῦος πήλινον διαῤῥυὲν μὴ καταδέχοιτο παραδοῦναι πυρὶ, ἕως ἂν τὸ ἐνυπάρχον αὐτῷ πάθος διὰ τῆς ἀναπλάσεως ἐξιάσαιτο (70). Ἀλλὰ διὰ τί οὐκ ἐν τῇ κατασκευῇ τὸ ἀναμάρτητον ἔσχομεν, φησὶν, ὥστε μηδὲ βουλομένοις ἡμῖν ὑπάρχειν τὸ ἁμαρτάνειν; Ὅτι καὶ σὺ τοὺς οἰκέτας, οὐχ ὅταν δεσμίους ἔχῃς, εὔνους ὑπολαμβάνεις, ἀλλ' ὅταν ἑκουσίως ἴδῃς ἀποπληροῦντάς σοι τὰ καθήκοντα. Καὶ Θεῷ τοίνυν οὐ τὸ ἠναγκασμένον φίλον, ἀλλὰ τὸ ἐξ ἀρετῆς κατορθούμενον. Ἀρετὴ δὲ ἐκ προαιρέσεως, καὶ οὐκ ἐξ ἀνάγκης γίνεται. Προαίρεσις δὲ τῶν ἐφ' ἡμῖν ἤρτηται. Τὸ δὲ ἐφ' ἡμῖν ἐστι τὸ αὐτεξούσιον. Ὁ τοίνυν μεμφόμενος τὸν ποιητὴν ὡς μὴ φυσικῶς κατασκευάσαντα ἡμᾶς ἀναμαρτήτους, οὐδὲν ἕτερον ἢ τὴν ἄλογον φύσιν τῆς λογικῆς προτιμᾷ, καὶ τὴν ἀκίνητον καὶ ἀνόρμητον τῆς προαιρετικῆς καὶ ἐμπράκτου. Ταῦτα εἰ καὶ παρεκβατικῶς, ἀλλ' ἀναγκαίως εἴρηται, ἵνα μὴ, εἰς βυθὸν διαλογισμῶν ἐμπεσὼν, πρὸς τῇ στερήσει τῶν περισπουδάστων, ἔτι καὶ Θεοῦ στέρησιν ὑπομείνῃς. Παυσώμεθα οὖν ἐπανορθούμενοι τὸν σοφόν. Παυσώμεθα τὸ βέλτιον τῶν παρ' αὐτοῦ γινομένων ἐπιζητοῦντες. Εἰ γὰρ καὶ τῶν κατὰ μέρος οἰκονομουμένων διαφεύγουσιν ἡμᾶς οἱ λόγοι, ἀλλ' ἕν γε ἐκεῖνο δόγμα ταῖς ψυχαῖς ἡμῶν ἐνυπαρχέτω, τὸ, μηδὲν κακὸν παρὰ τοῦ ἀγαθοῦ γίνεσθαι.

8. Ἐπεισέρχεται δὲ τούτῳ, κατὰ τὸ ἀκόλουθον τῆς ἐννοίας, καὶ τὸ περὶ τοῦ διαβόλου ζήτημα. Πόθεν ὁ διάβολος, εἰ μὴ παρὰ Θεοῦ (71) τὰ κακά; Τί οὖν φαμεν; Ὅτι ὁ αὐτὸς ἡμῖν ἀρκέσει καὶ περὶ τοῦ ζητήματος τούτου λόγος, ὁ καὶ περὶ τῆς ἐν ἀνθρώποις πονηρίας ἀποδοθείς. Πόθεν γὰρ πονηρὸς ὁ ἄνθρωπος; Ἐκ τῆς οἰκείας αὐτοῦ (72) προαιρέσεως. Πόθεν κακὸς ὁ διάβολος; Ἐκ τῆς αὐτῆς αἰτίας, αὐθαίρετον ἔχων καὶ αὐτὸς τὴν ζωὴν, καὶ ἐπ' αὐτῷ κειμένην τὴν ἐξουσίαν, ἢ παραμένειν τῷ Θεῷ, ἢ ἀλλοτριωθῆναι τοῦ ἀγαθοῦ. Γαβριὴλ ἄγγελος, καὶ παρέστηκε τῷ Θεῷ διηνεκῶς. Ὁ Σατανᾶς ἄγγελος, καὶ ἐξέπεσε τῆς οἰκείας τάξεως παντελῶς. Κἀκεῖνον ἡ προαίρεσις δι-

A duxit spiritualibus deliciis potiorem. Quare statim ejectus e paradiso, beata illa vita privatus fuit, non ex necessitate, sed ex insipientia malus effectus. Quamobrem peccavit quidem ob pravam voluntatem: sed mortuus est ob peccatum. *Stipendia enim peccati mors* [81]. Quantum enim secedebat a vita, tantum appropinquabat ad mortem. Nam vita Deus est, vitæ vero privatio mors. Quare Adamus secedendo a Deo mortem conscivit sibi ipsi, juxta id quod scriptum est: *Ecce qui elongant se a te, peribunt* [82]. Sic non creavit Deus mortem, sed nos nobis ipsis ex prava mente eam accersivimus. Neque vero dissolvi nos prohibuit ob eas quas prius diximus causas, ut ne immortalem in nobis ægritudinem conservaret. Quemadmodum si quis fi- B ctile quoddam effluens vas igni admovere nolit, donec reconcinnando vitium illius resarciat. Sed cur, inquit, non ita conditi sumus, ut peccare natura non possimus, adeo ut ne volentibus quidem nobis facultas inesset peccandi? Quia et tu famulos, non cum vinctos detines, benevolos putas, sed cum eos libenter sua in te officia videris explere. Itaque neque Deo gratum est quod coactum est, sed quod virtute geritur. Virtus autem ex voluntate, non ex necessitate proficiscitur. Jam vero voluntas ex iis quæ penes nos sunt, dependet. Quod autem in nobis situm est, liberi arbitrii facultas est. Proinde qui opificem reprehendit, quod nos non condiderit natura tales ut peccare nequeamus, ni- C hil aliud facit, nisi naturam irrationalem rationali et immobilem appetendique incapacem, liberæ atque actuosæ præfert. **80** Hæc etsi per digressionem, necessario tamen dicta sunt, ut ne in abyssum cogitationum inanium lapsus præter privationem eorum quorum studio teneris, adhuc et Deo ipso priveris. Desinamus igitur corrigere sapientem. Desinamus quidquam melius quam quæ fecerit, indagare. Etsi enim singulorum quæ ejus providentia ac consilio fiunt, rationes nos latent; at certe unum illud dogma ratum fixumque in nostris animis sit, nullum malum a bono fieri.

8. Huic autem quæstioni alia de diabolo ex cogitatorum serie accedit. Unde sit diabolus, si non sunt a Deo mala? Quid igitur dicimus? rationem D eamdem quam jam de hominum pravitate reddidimus, nobis pro hac quoque quæstione sufficere. Unde enim malus est homo? ex sua ipsius voluntate. Unde malus diabolus? Ex eadem causa; cum et ipse liberam vitam haberet, ac penes se esset vel Deo perseveranter adhærere, vel a bono secedere. Gabriel angelus est, et Deo jugiter astitit. Satanas erat angelus quoque, sed ex suo ordine penitus excidit. Et illum retinuit in cœlis liberum arbitrium, et hunc dejecit voluntatis libertas. Pote-

[81] Rom. VI, 23. [82] Psal. LXXII, 27.

(70) Colb. primus ἐξιάσηται. Ibidem editi ἀλλὰ καὶ διά. Vocula καί abest a nostris codicibus.

(71) Editi παρὰ τοῦ Θεοῦ. Articulus in nostris mss., non invenitur.

(72) Antiqui tres libri οἰκείας ἑαυτοῦ.

rat namque et ille desciscere, et hic non labi. Sed illum servavit Dei dilectio insatiabilis, hunc vero reprobum fecit suus a Deo recessus. Hoc est malum, abalienatio a Deo. Parva oculi conversio facit, ut aut cum sole, aut cum corporis nostri umbra simus. Et illuc quidem si respicias, prompte ac cito illustraris : ad umbram vero si declines, necessario degis in tenebris. Hunc ad modum malus est diabolus, ex voluntate habens malitiam, non illius natura adversatur bono. Unde igitur ei adversus nos bellum ? Quia cum sit cujuscunque malitiæ receptaculum, recepit quoque invidiæ morbum, et invidit nobis honorem. Non enim potuit vitam nostram in paradiso citra mœrorem actam ferre : nam dolis ac versutiis hominem decipiens, eaque cupiditate, qua ipse fieri Deo similis expetebat, ad fallendum illum usus, lignum ostendit, ac promisit futurum, ut si eo vesceretur, eum efficeret similem Deo. *Si enim*, inquit, *comederitis, eritis sicut dii, scientes bonum et malum* [93]. Non igitur conditus est inimicus nobis : sed ex invidia effectus est nobis inimicus. Nam cum videret se ex angelorum cœtu projectum, tunc hominem, qui terrestris erat, ad angelorum dignitatem suo in virtute profectu exaltatum videre non sustinuit.

9. Quoniam igitur inimicus factus est, inimicitiam nobis Deus adversus illum indidit, cum serpentem cujus opera usus fuerat, sic allocutus est, ut minas ad diabolum referret : *Ponam inimicitiam inter te et inter semen illius* [94]. Nam re ipsa nocent amicitiæ cum malitia initæ, siquidem ista amicitiæ lex inter conjunctos ex quadam similitudine solet intercedere. Unde recte dictum est : *Corrumpunt mores bonos colloquia mala* [95]. Quemadmodum enim in pestilentibus locis aer sensim spiritu ductus latentem morbum incolis ingenerat : sic inita cum malis **81** consuetudo animis infert mala non parva, tametsi noxa non statim sentitur. Quapropter implacabilis est adversus serpentem inimicitia. Quod si instrumentum odio tanto dignum est, quantam inimicitiam cum instrumenti motore gerere nos convenit? Sed cur, inquit, erat lignum in paradiso, per quod aggressurus nos erat diabolus? Etenim si fallaciæ illecebram non habuisset, quomodo nos per inobedientiam induxisset in mortem? Quia probanda erat obedientia nostra per præceptum. Eam ob causam planta erat speciosorum fructuum ferax, ut per abstinentiam voluptatis virtutem temperantiæ ostendentes, coronis patientiæ merito donaremur. Comesturam autem secuta est non modo violatio præcepti, sed nuditatis etiam cognitio. *Comederunt enim*, inquit, *et aperti sunt oculi eorum*,

[93] Gen. III, 5. [94] ibid. 15. [95] I Cor. xv, 33.

A ἐφύλαξεν (73) ἐν τοῖς ἄνω, καὶ τοῦτον κατέῤῥιψε τῆς γνώμης τὸ αὐτεξούσιον. Ἐδύνατο γὰρ κἀκεῖνος ἀποστατῆσαι, καὶ οὗτος μὴ ἐκπεσεῖν. Ἀλλὰ τὸν μὲν διεσώσατο τῆς ἀγάπης τοῦ Θεοῦ τὸ ἀκόρεστον· τὸν δὲ ἀπόβλητον ἔδειξεν ἡ ἐκ Θεοῦ ἀναχώρησις. Τοῦτό ἐστι τὸ κακὸν, ἡ τοῦ Θεοῦ ἀλλοτρίωσις. Μικρὰ περιστροφὴ ὀφθαλμοῦ ἢ μετὰ ἡλίου ἡμᾶς εἶναι ποιεῖ, ἢ μετὰ τῆς σκιᾶς τοῦ σώματος ἡμῶν. Κἀκεῖ μὲν ἀναβλέψαντι ἕτοιμον τὸ φωτισθῆναι, ἀπονεύσαντι δὲ πρὸς τὴν σκιὰν ἀναγκαία ἡ σκότωσις. Οὕτω πονηρὸς ὁ διάβολος, ἐκ προαιρέσεως ἔχων τὴν πονηρίαν, οὐ φύσις ἀντικειμένη τῷ ἀγαθῷ. Πόθεν οὖν αὐτῷ ὁ πρὸς ἡμᾶς πόλεμος; Ὅτι, δοχεῖον ὢν πάσης κακίας, ἐδέξατο καὶ τοῦ φθόνου τὴν νόσον, καὶ ἐβάσκηνεν ἡμῖν τῆς τιμῆς. Οὐ γὰρ ἤνεγκεν ἡμῶν τὴν ἄλυπον ζωὴν
B τὴν ἐν τῷ παραδείσῳ· δόλοις δὲ καὶ μηχαναῖς ἐξαπατήσας τὸν ἄνθρωπον, καὶ τὴν ἐπιθυμίαν αὐτοῦ, ἣν ἔσχε πρὸς τὸ ὁμοιωθῆναι τῷ Θεῷ, ταύτῃ πρὸς τὴν ἀπάτην ἀποχρησάμενος, ἔδειξε τὸ ξύλον, καὶ ἐπηγγείλατο διὰ τῆς βρώσεως αὐτοῦ ὅμοιον τῷ Θεῷ (74) καταστήσειν. *Ἐὰν γὰρ φάγητε*, φησὶν, *ἔσεσθε ὡς θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν*. Οὐκ ἐχθρὸς τοίνυν ἡμῖν κατεσκευάσθη, ἀλλ' ἐκ ζηλοτυπίας ἡμῖν εἰς ἔχθραν ἀντικατέστη. Ὁρῶν γὰρ ἑαυτὸν ἐκ τῶν ἀγγέλων καταῤῥιφέντα, οὐκ ἔφερε βλέπειν τὸν γήϊνον ἐπὶ τὴν ἀξίαν τῶν ἀγγέλων διὰ προκοπῆς ἀνυψούμενον.

9. Ἐπειδὴ οὖν γέγονεν ἐχθρὸς, ἐφύλαξεν ἡμῖν ὁ Θεὸς τὴν πρὸς αὐτὸν ἐναντίωσιν, δι' ὧν τῷ ὑπηρετησαμένῳ αὐτῷ θηρίῳ διελέγετο, πρὸς αὐτὸν ἀναφέρων
C τὴν ἀπειλήν· ὅτι *Ἔχθραν θήσω ἀναμέσον σοῦ καὶ ἀναμέσον τοῦ σπέρματος αὐτῆς*. Τῷ ὄντι γὰρ βλαβεραὶ αἱ πρὸς τὴν κακίαν καταλλαγαί· ἐπειδὴ νόμος οὗτος φιλίας (75) δι' ὁμοιότητος πέφυκε τοῖς συναπτομένοις ἐγγίνεσθαι. Ὅθεν ὀρθῶς ἔχει τὸ, *Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί*. Ὡς γὰρ ἐν τοῖς νοσοποιοῖς χωρίοις ὁ κατὰ μέρος ἀναπνεόμενος ἀὴρ λανθάνουσαν νόσον τοῖς ἐνδιαιτωμένοις ἐναποτίθεται· οὕτως ἡ πρὸς τὰ φαῦλα συνήθεια μεγάλα κακὰ ταῖς ψυχαῖς ἐναφίησι, κἂν τὴν παραυτίκα αἴσθησιν τὸ βλαβερὸν διαφεύγῃ. Διὰ τοῦτο ἀδιάλλακτος ἡ πρὸς τὸν ὄφιν ἔχθρα. Εἰ δὲ τὸ ὄργανον τοσούτου μίσους ἄξιον, πόσον ἐχθραίνειν ἡμᾶς τῷ ἐνεργήσαντι προσῆκεν; Ἀλλὰ καὶ διὰ τί ἦν τὸ ξύλον, φησὶν, ἐν τῷ παραδείσῳ, δι' οὗ τῷ διαβόλῳ ἔμελλε προχωρήσειν ἡ καθ'
D ἡμῶν ἐπιχείρησις; Εἰ γὰρ μὴ εἶχε τῆς ἀπάτης τὸ δέλεαρ, πῶς ἂν ἡμᾶς διὰ τῆς παρακοῆς εἰς τὸν θάνατον ὑπηγάγετο; Ὅτι ἔδει εἶναι ἐντολὴν τὴν δοκιμάζουσαν ἡμῶν τὸ ὑπήκοον. Διὰ τοῦτο ἦν φυτὸν ὡραίων καρπῶν εὔφορον, ἵνα ἐν τῇ ἀποχῇ τοῦ ἡδέος, τὸ τῆς ἐγκρατείας καλὸν ἐπιδειξάμενοι, τῶν τῆς ὑπομονῆς στεφάνων δικαίως ἀξιωθῶμεν. Ἐπηκολούθησε δὲ τῇ βρώσει οὐ παρακοὴ μόνον (76) τῆς ἐντολῆς, ἀλλὰ καὶ ἡ ἐπίγνωσις τῆς γυμνότητος. *Ἔφαγον γὰρ*, φησὶ, *καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλ-*

(73) Editi ἐφύλαξε. At mss. tres διεφύλαξε.
(74) Reg. primus ὅμοιον τοῦ Θεοῦ. Mox utraque editio ἔσεσθαι ὡς θεοί. At mss. multi ἔσεσθε. Nec ita multo infra quatuor mss. ἔχθραν ἀντεκατέστη. Alii duo mss. et editi ἀντικατέστη.
(75) Colb. primus οὗτος φιλανθρωπίας.
(76) Colb. primus παρακοὴ μόνη.

μοί, καὶ ἔγνωσαν, ὅτι γυμνοί εἰσιν. Ἔδει δὲ μὴ γινώσκειν τὴν γύμνωσιν, ἵνα μὴ ὁ νοῦς τοῦ ἀνθρώπου περιεσπᾶτο πρὸς τὴν τοῦ λείποντος ἀναπλήρωσιν, ἀμφιέσματα ἑαυτῷ καὶ τῆς γυμνότητος παραμυθίαν ἐπινοῶν, καὶ ὅλως τῇ τῆς σαρκὸς ἐπιμελείᾳ τῆς πρὸς Θεὸν ἐνατενίσεως ἀφελκόμενος. Διὰ τί δὲ οὐχ εὐθὺς αὐτῷ συγκατεσκευάσθη καὶ τὰ ἐνδύματα; Ὅτι οὔτε φυσικὰ ἔπρεπεν εἶναι ταῦτα, οὔτε ἐκ τέχνης. Τὰ μὲν γὰρ φυσικὰ ἴδια τῶν ἀλόγων ἐστίν· οἷον πτερὰ, καὶ τρίχες, καὶ δερμάτων παχύτητες, στέγειν μὲν χειμῶνας, φέρειν δὲ καύσωνας δυναμένων. Ἐν οἷς οὐδὲν τὸ ἕτερον τοῦ ἑτέρου διενήνοχεν, ὁμοτίμου πᾶσι τῆς φύσεως ὑπαρχούσης· ἀνθρώπῳ δὲ ἔπρεπε, κατὰ τὴν ἀναλογίαν τῆς πρὸς Θεὸν ἀγάπης, παρηλλαγμένας τῶν ἀγαθῶν τὰς ἀντιδόσεις ὑπάρχειν. Αἱ δὲ ἐκ τέχνης ἐπιτηδεύσεις ἀσχολίας ἂν ἐγένοντο πρόξενοι· ὃ μάλιστα φευκτὸν ἦν ὡς βλαβερὸν τῷ ἀνθρώπῳ. Διὸ καὶ ὁ Κύριος, εἰς τὴν ἐν τῷ παραδείσῳ ζωὴν ἡμᾶς ἀνακαλούμενος, ἐκβάλλει τὴν μέριμναν τῶν ψυχῶν, λέγων· *Μὴ μεριμνᾶτε* (77) *τῇ ψυχῇ ὑμῶν, τί φάγητε· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε.* Οὔτε οὖν ἐκ φύσεως ἔπρεπεν αὐτῷ ἔχειν τὰ σκεπάσματα, οὔτε ἐκ τέχνης· ἀλλ' ἕτερα ἦν ηὐτρεπισμένα, ἐπιδειξαμένῳ τὴν ἀρετὴν, τὰ ἐκ τῆς τοῦ Θεοῦ χάριτος ἐπανθεῖν τῷ ἀνθρώπῳ, καὶ περιαστράπτειν μέλλοντα φωτειναῖς τισι περιβολαῖς (78), ὁποῖαι αἱ τῶν ἀγγέλων, ὑπὲρ τὴν τῶν ἀνθέων ποικιλίαν, ὑπὲρ τὴν τῶν ἀστέρων φαιδρότητα καὶ στιλβότητα. Διὰ τοῦτο οὖν οὐχ εὐθὺς αὐτῷ τὰ ἐνδύματα, ἐπειδὴ ἆθλα ἦν ἀρετῆς ἀποκείμενα τῷ ἀνθρώπῳ, εἰς ἃ φθάσαι ὑπὸ τῆς ἐπηρείας τοῦ διαβόλου οὐκ ἐπετράπη. Ἀγωνιστὴς τοίνυν ἕστηκεν ἡμῖν ὁ διάβολος διὰ τὸ ἐξ ἐπηρείας πάλαι γενόμενον ἡμῖν πτῶμα, τοῦ Κυρίου οἰκονομήσαντος ἡμῖν τὴν πρὸς αὐτὸν πάλην, ὥστε διὰ τῆς ὑπακοῆς ἀναπαλαῖσαι ἡμᾶς (79), καὶ καταστεφανωθῆναι τοῦ ἀντιδίκου. Εἴθε μὲν γὰρ μὴ ἐγεγόνει διάβολος, ἀλλ' ἔμεινεν ἐν τῇ τάξει, ἐν ᾗ ἐξ ἀρχῆς ἐτάχθη παρὰ τοῦ ταξιάρχου! ἐπειδὴ δὲ γέγονεν ἀποστάτης, ἐχθρὸς μὲν Θεοῦ, ἐχθρὸς δὲ ἀνθρώπων τῶν κατ' εἰκόνα Θεοῦ γεγενημένων (διὰ τοῦτο γάρ ἐστι μισάνθρωπος, διότι καὶ θεομάχος· καὶ μισεῖ μὲν ἡμᾶς ὡς κτήματα τοῦ Δεσπότου (80), μισεῖ δὲ ὡς ὁμοιώματα τοῦ Θεοῦ)· συνεχρήσατο οὖν αὐτοῦ τῇ πονηρίᾳ εἰς γυμνάσιον τῶν ἡμετέρων ψυχῶν ὁ σοφῶς καὶ προνοητικῶς οἰκονομῶν τὰ ἀνθρώπινα, ὥσπερ ἰατρὸς τῷ τῆς ἐχίδνης ἰῷ εἰς σωτηρίων φαρμάκων κατασκευὴν ἀποχρώμενος. Τίς οὖν ἦν (81) ὁ διάβολος; καὶ τίς ἡ τάξις; καὶ τί τὸ ἀξίωμα; καὶ πόθεν ὅλως Σατανᾶς προσηγόρευται (82); Σατανᾶς μὲν οὖν, διὰ τὸ ἀντικεῖσθαι τῷ ἀγαθῷ· οὕτω γὰρ σημαίνει ἡ φωνὴ τῶν Ἑβραίων, ὡς ἐν ταῖς Βασι-

A *et cognoverunt quod nudi essent* [96]. Par autem erat eos non agnovisse nuditatem, ne mens hominis ad supplendum quod deerat, distraheretur, indumenta nuditatisque solatia sibi excogitans, et ne totus carnis curæ incumbens, a continua Dei contemplatione avocaretur. Cur autem non statim una cum ipso indumenta etiam constructa sunt? Quoniam neque naturalia ea esse conveniebat, neque ex arte. Nam naturalia brutorum animalium sunt propria, velut pennæ, pili, pelles crassæ, sic ut hiemem arcere, et æstum ferre possint. In quibus alterum ab altero nihil differt, cum par et æqualis natura insit omnibus : sed homini pro ratione suæ in Deum dilectionis retribui decebat bona præstantiora. Rursus artium studia negotiis ansam B dedissent et occasionem : quod maxime fugiendum erat, ut homini exitiosum. Quare et Dominus nos ad paradisi vitam revocans, ex animo curam ac sollicitudinem expellit, his verbis : *Ne solliciti sitis animæ vestræ, quid manducetis; neque corpori vestro, quid induamini* [97]. Neque igitur ex natura, neque ex arte habere eum tegumenta decebat : sed virtutem si ostendisset, apparata erant alia, in homine ex Dei munere emicatura, et lucido quodam cultu, qualis angelorum est, coruscatura, florum varietatem, stellarumque claritatem ut fulgorem superatura. Igitur non ei fuere statim data indumenta, quod virtutis præmia essent homini reposita; quæ consequi diaboli insidiæ non sivere. Dia- C bolus igitur adversarius noster est, ob casum nobis olim per illius insidias invectum, Domino luctam nobis adversus eum constituente, ut redintegrata per obedientiam lucta, de inimico triumphemus. Utinam quidem factus non esset diabolus, sed in eo ipso ordine, in quo fuerat initio ab ordinatore collocatus, remansisset! Sed posteaquam desertor factus est, tam Dei quam hominum qui ad Dei imaginem conditi sunt, inimicus fuit. Nam ideo hominem odio prosequitur, quod ipsius etiam Dei exsistat hostis. Et odit quidem nos tanquam Domini hæreditatem : odit et tanquam imaginem Dei. Itaque sapiens ille ac providus rerum humanarum moderator improbitate illius et animas nostras 82
exercendas usus est, perinde atque medicus vi- D peræ venenum ad salutaria paranda pharmaca adhibet. Quis igitur erat diabolus? et quis ipsius ordo? et quæ dignitas? et unde tamen Satanas appellatus est? Satanas erat quidem, quod adversatur bono. Hoc enim significat vox Hebraica, ut ex Regnorum libris didicimus : *Suscitavit enim*, inquit, *Dominus Salomoni Satan, Ader regem Sy-*

[96] Gen. III, 7. [97] Matth. VI, 25.

(77) Reg. primus μὴ μεριμνήσητε. Haud longe Colb. tertius ἕτερα ἦν αὐτῷ ηὐτρεπισμένα.

(78) Veteres quinque libri cum editione Basil. φωτειναί τινες περιβολαί. Alii duo mss. cum editione Paris. φωτειναῖς τισι περιβολαῖς. Statim Reg. primus ἀστέρων τερπνότητα καὶ στιλβότητα. Colb. primus ἀστέρων τερπνότητα. Διὰ τοῦτο, etc.

(79) Colb. primus ὑπακοῆς ἀναπλάσαι ἡμᾶς. Mox aliquot mss. τάξει ἐν ᾗ. Illud ἐν a vulgatis aberat.

(80) Editi ὡς κτίσμα τοῦ Δεσπότου. Reg. secundus ὡς κτίσματα. Alii quinque mss., si non plures, κτήματα. Statim mss. nonnulli ὡς ὁμοίωμα.

(81) Illud, ἦν, ex multis mss. addidimus.

(82) Colb. tertius προσαγορεύεται.

rorum [98]. Diabolus vero, quod idem peccati nostri adjutor est et accusator, gaudens quidem nostro interitu, ob ea vero quæ patravimus traducens nos. Cæterum natura ejus incorporea est, juxta Apostolum dicentem : *Non est nobis colluctatio adversus sanguinem et carnem, sed contra spiritualia nequitiæ* [99]. Dignitas vero est imperatoria : dicit namque, *Adversus principatus, et potestates, et mundi rectores tenebrarum harum* [1]. Locus autem principatus situs est in aere sicuti idem ait : *Secundum principem potestatis aeris, spiritus qui nunc operatur in filiis inobedientiæ* [2]. Idcirco mundi quoque princeps dicitur, quod circum orbem terrarum est ipsius principatus. Ita quoque Dominus loquitur: *Nunc judicium est mundi hujus, nunc princeps mundi hujus ejicietur foras* [3]. Et rursus : *Venit princeps mundi hujus, et in me non inveniet quidquam* [4].

A λείαις μεμαθήκαμεν· *Ἐξήγειρε γάρ*, φησί, *Κύριος τῷ Σολομῶντι Σατᾶν, Ἄδερ τὸν βασιλέα τῶν Σύρων*· διάβολος (83) δέ, ἐπειδὴ ὁ αὐτὸς καὶ συνεργὸς τῆς ἁμαρτίας ἡμῶν καὶ κατήγορος γίνεται· χαίρων μὲν (83') ἡμῶν ἀπωλείᾳ, παραδειγματίζων δὲ ἡμᾶς ἐπὶ τοῖς πεπραγμένοις. Φύσις δὲ αὐτοῦ ἀσώματος, κατὰ τὸν Ἀπόστολον, τὸν εἰπόντα· *Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας*. Ἀξίωμα δὲ ἀρχικόν· *Πρὸς γὰρ τὰς ἀρχάς*, φησί, *καὶ τὰς ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου*. Τόπος δὲ τῆς ἀρχῆς ὁ ἐναέριος, ὥς φησιν ὁ αὐτός· *Κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας*. Διὰ τοῦτο καὶ κόσμου ἄρχων λέγεται, ἐπειδὴ B περίγειος αὐτοῦ ἐστιν ἡ ἀρχή. Καὶ οὕτως φησὶν ὁ Κύριος· *Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται* (84) ἔξω. Καὶ πάλιν· *Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν.*

10. Quoniam autem de exercitu diaboli dictum est : *Spiritualia* sunt *nequitiæ in cœlestibus* [5], scire operæ pretium est aerem, ut mos est, cœlum a Scriptura vocari. Exempli causa : *Volatilia cœli* [6], et, *Ascendunt usque ad cœlos* [7] : hoc est, in aerem alte sustolluntur. Eam ob causam et Dominus *Satanam vidit sicut fulgur de cœlo cadentem* [8] : hoc est, ex suo principatu prolapsum, et in imis jacentem ; ut ab iis qui in Christo spem reposuere, conculcetur. Nimirum dedit discipulis suis virtutem calcandi super serpentes et scorpiones, et super omnem virtutem inimici [9]. Proinde cum flagitiosa ejus tyrannis ejecta sit, locusque terræ circumjacens mundatus sit, per salutarem passionem illius, qui pacificavit quæ sunt super terram, et quæ in cœlis [10], tum demum regnum cœlorum nobis prædicatur. Quippe Joannes quidem ait : *Appropinquavit regnum cœlorum* [11] : Dominus vero prædicat ubique evangelium regni. Atque etiam prius angeli clamabant, *Gloria in altissimis Deo, et in terra pax* [12]. Et qui in ingressu Domini nostri in Jerusalem exsultabant, vociferabantur quoque : *Pax in cœlis, et gloria in altissimis* [13]. Et in summa, innumeræ sunt epinicii voces, quæ inimici extremam ruinam testantur, videlicet, quod lucta nulla, nullumque certamen nobis in supernis supersit, nec sit qui resistat nobis, et avertat nos a beata vita : sed simus deinceps jucundam ac hilarem successionem

10. Ἐπειδὴ δὲ εἴρηται περὶ τῆς στρατιᾶς τοῦ διαβόλου, ὅτι *Πνευματικά ἐστι τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις*, εἰδέναι χρή, ὅτι οὐρανὸν συνήθως ἡ Γραφὴ τὸν ἀέρα λέγει, ὡς τό, *Τὰ πετεινὰ τοῦ οὐρανοῦ*· καὶ τό, *Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν*· τουτέστιν, ἐπὶ πολὺ τοῦ ἀέρος ὑψοῦνται. Διὰ τοῦτο καὶ ὁ Κύριος *Εἶδε τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα*· τουτέστι, τῆς οἰκείας ἀρχῆς ἐκπεσόντα, καὶ κάτω γενόμενον, ἵνα πατῆται ὑπὸ C τῶν εἰς Χριστὸν ἠλπικότων (85). Ἔδωκε γὰρ δύναμιν τοῖς ἑαυτοῦ μαθηταῖς τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Ἐπεὶ οὖν ἐξεβλήθη ἡ πονηρὰ αὐτοῦ τυραννίς, καὶ ἐκαθάρθη (86) ὁ περίγειος τόπος διὰ τοῦ σωτηρίου πάθους, τοῦ εἰρηνεύσαντος τὰ ἐπὶ τῆς γῆς καὶ τὰ ἐν τοῖς οὐρανοῖς, κηρύσσεται ἡμῖν λοιπὸν ἡ βασιλεία τῶν οὐρανῶν· Ἰωάννου μὲν λέγοντος· *Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν*· τοῦ Κυρίου δὲ πανταχοῦ τὸ Εὐαγγέλιον τῆς βασιλείας κηρύσσοντος· καὶ ἔτι πρότερον τῶν ἀγγέλων βοώντων· *Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη*· καὶ τῶν ἀγαλλιωμένων ἐπὶ τῇ εἰς Ἱερουσαλὴμ εἰσόδῳ τοῦ Κυρίου ἡμῶν, καὶ κραζόντων· *Εἰρήνη ἐν οὐρανοῖς, καὶ δόξα ἐν ὑψίστοις*. Καὶ ὅλως, μυρίαι εἰσὶ τῶν ἐπινικίων αἱ D φωναί, τὴν εἰς τέλος καθαίρεσιν τοῦ ἐχθροῦ παριστῶσαι, ὡς οὐδεμιᾶς πάλης, οὐδὲ ἀγῶνος ἐν τοῖς ἄνω ὑπολειπομένου ἡμῖν, οὐδέ τινος ἀνθισταμένου καὶ παρατρέποντος ἡμᾶς τῆς μακαρίας ζωῆς, ἀλλ',

[98] III Reg. XI, 14. [99] Ephes. VI, 12. [1] ibid. [2] Ephes. II, 2. [3] Joan. XII, 31. [4] Joan. XIV, 30. [5] Ephes. VI, 12. [6] Matth. VI, 26. [7] Psal. CVI, 26. [8] Luc. X, 18. [9] ibid. 19. [10] Coloss. I, 20. [11] Matth. III, 2. [12] Luc. II 14. [13] Luc. XIX, 38.

(83) Codex Coisl. et duo Colbertini βασιλέα τῶν Ἀσσυρίων διάβολος. Alii quatuor mss. et utraque editio βασιλέα τῶν Σύρων. Imo Colb. secundus, qui habet quidem prima manu Ἀσσυρίων, habet tamen et ipse secunda manu et minutis litteris Σύρων. Basilius, quod et ipsis summis viris non nunquam contingit, memoria hoc loco falsus est; cum constet ex lib. III Reg. XI, 22, Ader non fuisse regem Syrorum, sed populorum terræ Edom. Ducæi præclaram notam legas velim.

(83') Desideratur τῇ, vel ἐπὶ τῇ. Edit.

(84) Veteres aliquot libri τούτου βληθήσεται. Nec ita multo post editi ἀέρα καλεῖ. At mss. sex ut in contextu.

(85) Reg. primus et duo alii Combefisiani εἰς Χριστὸν πιστευόντων, *ab iis qui in Christum credunt*. Lectio optima. Alii quinque mss. et editi ἠλπικότων, *ab iis qui in Christum spem reposuere*.

(86) Veteres aliquot libri καὶ ἐξεκαθάρθη

ἄλυπον ἡμῶν τὴν διαδοχὴν ἐχόντων πρὸς τὸ ἑξῆς, καὶ ἀπολαυόντων ἡμῶν τοῦ ξύλου τῆς ζωῆς εἰς τὸ διηνεκὲς, οὗ μετασχεῖν ἐξ ἀρχῆς διὰ τὴν τοῦ ὄφεως ἐπιβουλὴν ἐκωλύθημεν. *Ἔταξε γὰρ ὁ Θεὸς τὴν φλογίνην ῥομφαίαν φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου ζωῆς*· ἣν παρελθόντες ἀκωλύτως, εἴσω γενοίμεθα (87) τῆς ἀπολαύσεως τῶν καλῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

A habituri, ac jugiter ligno vitæ fruituri, cujus nos initio participes esse insidiæ serpentis prohibuere. *Posuit enim Deus flammeum gladium ad custodiendam viam ligni vitæ* [14]: quo citra impedimentum superato, utinam intus **83** admissi, bonis perfruamur, in Christo Jesu Domino nostro, cui gloria et imperium in sæcula. Amen.

ΟΜΙΛΙΑ Ι'.

Κατὰ ὀργιζομένων (88).

1. Ὥσπερ ἐπὶ τῶν ἰατρικῶν παραγγελμάτων, ὅταν εὐστόχως καὶ κατὰ τὸν λόγον τῆς τέχνης γίγνηται (89), μετὰ τὴν πεῖραν μάλιστα τὸ ἀπ' αὐτῶν ὠφέλιμον διαδείκνυται· οὕτως ἐπὶ τῶν πνευματικῶν παραινέσεων, ἐπειδὰν μάλιστα τὴν ἔκβασιν μαρτυροῦσαν λάβῃ τὰ παραγγέλματα, τότε τὸ σοφὸν αὐτῶν καὶ ὠφέλιμον πρὸς τὴν ἐπανόρθωσιν τοῦ βίου καὶ τὴν τῶν πειθομένων τελείωσιν ἀναφαίνεται. Ἀκούοντες μὲν γὰρ τῶν Παροιμιῶν διαῤῥήδην ἀποφαινομένων, ὅτι *Ὀργὴ ἀπόλλυσι καὶ φρονίμους*· ἀκούοντες δὲ καὶ ἀποστολικῶν παραινέσεων· *Πᾶσα ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ*· καὶ τοῦ Κυρίου λέγοντος τὸν ὀργιζόμενον εἰκῇ τῷ ἀδελφῷ αὐτοῦ ἔνοχον εἶναι τῇ κρίσει· νῦν ὅτε εἰς πεῖραν ἤλθομεν τοῦ πάθους, οὐκ ἐν ἡμῖν γενομένου, ἀλλ' ἔξωθεν ἡμῖν προσπεσόντος ὥσπερ καταιγίδος τινὸς ἀδοκήτου, τότε μάλιστα τὸ θαυμαστὸν τῶν θείων παραγγελμάτων ἐπέγνωμεν. Δόντες μὲν αὐτοὶ τῇ ὀργῇ τόπον, ὥσπερ ῥεύματι βιαίῳ διέξοδον, καταμανθάνοντες δὲ ἐν ἡσυχίᾳ τὴν ἀσχήμονα ταραχὴν τῶν ὑπὸ τοῦ πάθους κατεχομένων, ἐπέγνωμεν ἐπὶ τῶν ἔργων τὴν εὐστοχίαν τοῦ ῥήματος· ὅτι *Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων*. Ἐπειδὰν γὰρ ἅπαξ παρωσάμενον τοὺς λογισμοὺς τὸ πάθος αὐτὸ τὴν δυναστείαν τὴν ψυχῆς παραλάβῃ, ἀποθηριοῖ παντελῶς τὸν ἄνθρωπον, καὶ οὐδὲ ἄνθρωπον εἶναι συγχωρεῖ, οὐκέτι ἔχοντα τὴν ἐκ τοῦ λόγου βοήθειαν. Ὅπερ γὰρ τοῖς ἰοβόλοις ἐστὶν ὁ ἰὸς, τοῦτο τοῖς παροξυνθεῖσιν ὁ θυμὸς γίνεται. Λυσσῶσιν (90) ὥσπερ οἱ κύνες, ᾄττουσιν ὥσπερ οἱ σκορπίοι, δάκνουσιν ὥσπερ οἱ ὄφεις. Οἶδε καὶ ἡ Γραφὴ τοὺς ὑπὸ τοῦ πάθους κεκρατημένους ταῖς τῶν θηρίων προσηγορίαις ἀποκαλεῖν, οἷς ἑαυτοὺς διὰ τῆς πονηρίας ᾠκείωσαν. Κύνας γὰρ ἐννεοὺς, καὶ ὄφεις, γεννήματα ἐχιδνῶν, καὶ τὰ τοιαῦτα προσαγορεύει. Οἱ γὰρ ἕτοιμοι πρὸς τὴν κατ' ἀλλήλων φθορὰν, καὶ τὴν κατὰ τῶν

HOMILIA X.

Adversus eos qui irascuntur.

1. Quemadmodum in medicorum præceptis, cum B apposite et ex artis ratione fiunt, post experientiam maxime eorum utilitas solet ostendi: sic in spiritualibus exhortationibus, ubi maxime monita ac præcepta fuerint exitu testata comprobataque, tunc ea sapienter utiliterque ad vitæ emendationem atque ad obtemperantium perfectionem adhibita fuisse apparet. Etenim cum Proverbiorum audimus disertam sententiam: *Ira perdit et prudentes* [15]; rursus cum audimus apostolicas commonitiones: *Omnis ira et indignatio et clamor tollatur a vobis, cum omni malitia* [16]; item Dominum ipsum, qui eum qui fratri suo temere irascitur, reum esse ait judicii [17]: cum denique experti fuerimus vitium, quod in nobis non gignitur, sed forinsecus in nos tanquam improvisa quædam procella irruit, tunc C maxime divinarum præceptionum miram excellentiam cognoscemus. Quod si ipsi iræ locum veluti fluento vehementi exitum unquam dedimus, ac silentio didicimus eorum qui hoc vitio tenentur indecoram perturbationem, tum reipsa perspectam habuimus dicti hujus solertiam, videlicet quod *Vir iracundus haud honestus est* [18]. Postquam enim hoc vitium, depulsa ratione, dominium animæ semel usurpaverit, hominem prorsus convertit in belluam, et ne hominem quidem esse sinit, cum auxilio rationis privetur. Quod enim venenatis venenum est, hoc idem ira est exasperatis. Fiunt rabidi canum in morem, insiliunt ut scorpii, mordent ut serpentes. Novit et Scriptura eos qui vitio aliquo tenentur, bestiarum nominibus vocare, quibuscum ne- D cessitudinem affinitatemque per nequitiam contraxere. Nam canes mutos [19], serpentes, sobolem viperarum [20], et similibus nominibus ipsos appellat. Qui enim ad mutuum exitium, et ad tribulium suorum perniciem parati sunt, possunt nec injuria

[14] Gen. III, 24. [15] Prov. XV, 1. [16] Ephes. IV, 31. [17] Matth. V, 23. [18] Prov. XI, 25. [19] Isa. LVI, 10. [20] Matth. XXIII, 33.

(87) Reg. primus εἴσω γενώμεθα.

(88) Editi et quatuor mss. κατὰ ὀργιζομένων, *adversus irascentes*. Colb. tertius περὶ ὀργῆς, πρός τινα εὐεμπτώτως ἔχοντα πρὸς τὸ πάθος, *de ira, adversus quemdam qui ad hoc vitium pronus erat*; nec aliter habet Colb. primus, nisi quod in eo pro εὐεμπτώτως legitur εὐόπτως. Coisl. περὶ ὀργῆς, πρός τινας εὐεμπτώτως περὶ τὸ πάθος ἐχόντων, *de ira, adversus quosdam, qui ad hoc vitium proni erant.*

(89) Reg. primus τέχνης γενηται

(90) Editi γίνεται, ὁρμῶσι, πηδῶσι, λυσσῶσιν. Sed illa duo, ὁρμῶσι, πηδῶσι, in mss. non leguntur; nec mihi dubium, quin debeant abesse. Recte igitur, opinor, admonuit Combefisius, has duas voces in ora libri ad vocem ᾄττουσι declarandam primum positas esse: deinde vero in ipsum contextum obrepsisse, in eoque male locatas fuisse.

inter bestias ac venenata numerari, quibus natura odium implacabile inest in homines. Per iram linguæ fiunt effrenatæ et ora incustodita : manus incontinentes, contumeliæ, probra, maledicta, plagæ et reliqua omnia quæ ne numerare quidem ullus potest, vitia sunt ex ira et furore nata. Per iram ensis acuitur; patratur homicidium humana manu; per hanc fratres alii alios ignoravere; parentes quoque et liberi naturæ obliti sunt. Nam irati primum ignorant sese, deinde omnes simul familiares atque necessarios. Ut enim torrentes **84** ad loca cava confluentes, quidquid obvium est transversum trahunt : ita violenti ac impotentes irascentium impetus cunctos similiter invadunt. Non canities iratis est venerationi, non virtus vitæ, non sanguinis conjunctio, non beneficia prius accepta, non alia ulla dignitas. Brevis quædam est insania, ira. Irati scilicet plerumque in apertum malum conjiciunt se ipsi, sua ipsorum commoda ulciscendi studio negligentes. Nam eorum qui ipsis molesti fuerunt, recordatione quasi œstro exstimulati, effervescente in eis ira atque subsiliente, non prius cessant quam damnum aliquod inferant irritanti, aut forte ipsi, si ita contingat, accipiant : quemadmodum sæpe evenit, ut quæ violenter alliduntur, plus accipiant detrimenti quam afferent, dum a rebus renitentibus conquassantur.

2. Quis possit id mali explicare? quomodo scilicet ii qui ad iram proclives sunt, ex levi occasione accensi, vociferantes, ferocientes, ac impudentius venenata quavis bestia irruentes, non prius desistant quam inflammatio per magnam immedicabilemque perniciem, ira in ipsis bullæ in modum disrupta, discutiatur. Neque enim ensis acies, neque ignis, neque aliud quoddam horrendum, furentem ira animum cohibere potest, certe non magis quam eos qui a dæmonibus detenti sunt, a quibus nihil irati neque habitu, neque animi affectu differunt. Nam circa cor quidem in iis qui vindictam anhelant, effervescit sanguis, utpote vi ignis exagitatus ac exæstuans; in superficie autem efflorescens, irascentem in alia forma ostendit, consuetam et notam omnibus formam tanquam personam in scena commutans. Nam illorum et proprii et consueti oculi non cognoscuntur, efferatus est aspectus, atque igne jam micat. Quin et more suum grassantium acuit dentes. Facies est livida, et sanguine suffusa : moles corporis tumida : venæ disrumpuntur, spiritu ab interna tempestate commoto. Vox aspera, et maxime intensa : sermo in-

(91) Unus codex Combef. κατὰ τῶν ὁμογενῶν.
(92) Colb. primus ἐστὶ παθήματα.
(93) Colb. tertius πάντας ὁμοίως. Mox Reg. primus ὥσπερ δὲ αἱ. Subinde duo mss. ὁμοίως χωροῦσαι.
(94) Editio Paris. εἰς προῦπτον, male. Veteres aliquot libri εἰς προῦπτον, bene.
(95) In aliquibus mss. pro παροξύναντι legitur παροξύνοντι.
(95*) Interpres legisse videtur ἐξαπτόμενοι. Edit.

A ὁμοφύλων βλάβην (91), εἰκότως ἂν θηρίοις καὶ ἰοβόλοις συναριθμοῖντο, οἷς ἀδιάλλακτον ἐκ φύσεως ἐνυπάρχει πρὸς ἀνθρώπους τὸ μῖσος. Διὰ θυμὸν ἀχάλινοι γλῶσσαι, καὶ ἀπύλωτα στόματα· χεῖρες ἀκρατεῖς, ὕβρεις, ὀνείδη, κακηγορίαι, πληγαί, τὰ ἄλλα ὅσα οὐδ' ἂν ἐξαριθμήσαιτό τις, ὀργῆς καὶ θυμοῦ ἔκγονά ἐστι πάθη (92). Διὰ θυμὸν καὶ ξίφος ἀκονᾶται· θάνατος ἀνθρώπου ἐκ χειρὸς ἀνθρωπείας τολμᾶται. Διὰ τοῦτον ἀδελφοὶ μὲν ἀλλήλους ἠγνόησαν, γονεῖς δὲ καὶ τέκνα τῆς φύσεως ἐπελάθοντο. Ἀγνοοῦσι μὲν γὰρ ἑαυτοὺς πρῶτον οἱ ὀργιζόμενοι, ἔπειτα καὶ πάντας ὁμοῦ (93) τοὺς ἐπιτηδείους. Ὥσπερ γὰρ αἱ χαράδραι, πρὸς τὰ κοῖλα συῤῥέουσαι, τὸ προστυχὸν παρασύρουσιν· οὕτως αἱ τῶν ὀργιζομένων ὁρμαὶ βίαιοι καὶ ἀκάθεκτοι διὰ πάντων ὁμοίως χωροῦσιν. B Οὐ πολιὰ τοῖς θυμουμένοις αἰδέσιμος, οὐκ ἀρετὴ βίου, οὐκ οἰκειότης γένους, οὐ προλαβοῦσαι χάριτες, οὐκ ἄλλο τι τῶν τιμίων. Μανία τίς ἐστιν ὀλιγοχρόνιος ὁ θυμός. Οἵ γε καὶ εἰς προῦπτον (94) κακὸν ἑαυτοὺς πολλάκις ἐμβάλλουσι, τῇ πρὸς τὴν ἄμυναν σπουδῇ τοῦ καθ' ἑαυτοὺς ἀμελοῦντες. Οἱονεὶ γὰρ οἴστρῳ τῇ μνήμῃ τῶν λελυπηκότων περικεντούμενοι, σφαδάζοντος αὐτοῖς τοῦ θυμοῦ καὶ πηδῶντος, οὐ πρότερον ἀπολήγουσι, πρὶν ἢ κακόν τι δοῦναι τῷ παροξύναντι (95), ἢ πού τι καὶ προσλαβεῖν, ἐὰν τύχῃ· ὥσπερ που πολλάκις τὰ βιαίως καταῤῥηγνύμενα ἔπαθέ τι πλέον ἢ ἔδρασε τοῖς ἀντιτύποις περιθραυσθέντα.

2. Τίς ἂν ἐφίκοιτο τοῦ κακοῦ; ὅπως οἱ ὀξύῤῥοποι C πρὸς θυμὸν ὑπὸ τῆς τυχούσης προφάσεως ἐξαπτόμενον (95*), βοῶντες καὶ ἀγριαίνοντες, καὶ τίνος οὐχὶ ἰοβόλων ἀναιδέστερον ἐφορμῶντες, οὐ πρότερον ἵστανται πρὶν ἢ διὰ μεγάλου καὶ ἀνηκέστου κακοῦ, οἷον πομφόλυγος, αὐτοῖς τῆς ὀργῆς ἐκραγείσης, διαπνευσθῇ τὸ φλεγμαῖνον (96). Οὔτε γὰρ ξίφους ἀκμή, οὔτε πῦρ, οὔτε ἄλλο τι τῶν φοβερῶν, ἱκανὸν τὴν ὑπὸ τῆς ὀργῆς ἐκμανεῖσαν ψυχὴν ἐπισχεῖν· οὐ μᾶλλόν γε ἢ τοὺς ὑπὸ δαιμόνων κατασχεθέντας, ὧν οὐδέν, οὔτε κατὰ τὸ σχῆμα, οὔτε κατὰ τὴν τῆς ψυχῆς διάθεσιν, οἱ ὀργιζόμενοι διαφέρουσιν. Ὀρεγομένοις γὰρ τῆς ἀντιλυπήσεως περιζεῖ μὲν τῇ καρδίᾳ τὸ αἷμα, ὥσπερ βίᾳ πυρὸς κυκώμενον (97) καὶ παφλάζον· πρὸς δὲ τὴν ἐπιφάνειαν ἐξανθῆσαν, ἐν ἄλλῃ μορφῇ τὸν ὀργιζόμενον ἔδειξε, τὴν συνήθη πᾶσι καὶ γνωρίμην D ὥσπερ τι προσωπεῖον ἐπὶ σκηνῆς ὑπαλλάξαν. Ὀφθαλμοὶ μὲν γὰρ ἐκείνοις (98) οἱ οἰκεῖοί τε καὶ συνήθεις ἠγνόηνται· παράφορον δὲ τὸ ὄμμα, καὶ πῦρ ἤδη βλέπει. Καὶ παραθήγει τὸν ὀδόντα, κατὰ τῶν συῶν τοὺς ὁμόσε χωροῦντας. Πρόσωπον πελιδνὸν καὶ ὕφαιμον· ὄγκος τοῦ σώματος ἐξοιδαίνων· φλέβες διαῤῥηγνύμεναι, ὑπὸ τῆς ἔνδοθεν ζάλης κλονουμένου

(96) Reg. primus τὸ φλεγόμενον.
(97) Colb. tertius pro κυκώμενον habet κυκλώμενον. Statim utraque editio ἐξανθεῖσαν, depravate. At mss. aliquot ἐξανθῆσαν, emendate.
(98) Editio Paris. γὰρ ἐκείνους, male. Antiqui libri ἐκείνοις, bene. Quod mox sequitur, καὶ πῦρ ἤδη βλέπει, ita, si vis, ad verbum interpretabere, *et ignem jam videt*. Nec ita multo infra Colb. primus κατὰ τοὺς τῶν συῶν τούς. Subinde Colb tertius πρόσωπον δέ.

τοῦ πνεύματος. Φωνὴ τραχεῖα, καὶ ὑπερτεινομένη, A καὶ ὁ λόγος ἄναρθρος καὶ εἰκῇ προεκπίπτων, οὐ κατὰ μέρος, οὐδὲ εὐτάκτως, οὐδὲ εὐσήμως προϊών. Ἐπειδὰν δὲ εἰς τὸ (99) ἀνήκεστον, ὥσπερ φλὸξ ὕλης ἀφθονίᾳ, τοῖς παροξύνουσιν ἐξαφθῇ, τότε δὴ τότε τὰ οὔτε λόγῳ ῥητὰ οὔτε ἔργῳ φορητὰ ἐπιδεῖν ἐστι θεάματα· χεῖρας μὲν διηρμένας κατὰ τῶν ὁμοφύλων, καὶ πᾶσι μέρεσι τοῦ σώματος ἐπιφερομένας, πόδας δὲ ἀφειδῶς τοῖς καιριωτάτοις ἐναλλομένους, πᾶν δὲ τὸ φανὲν ὅπλον τῇ μανίᾳ γινόμενον. Ἐὰν δὲ καὶ ἐκ τοῦ ἐναντίου τὸ ἴσον κακὸν ἀντιστρατευόμενον εὕρωσιν, ὀργὴν ἄλλην καὶ μανίαν ὁμότιμον· οὕτω δὴ (1) συμπεσόντες ἔδρασαν ἀλλήλους καὶ ἔπαθον, ὅσα εἰκὸς τοὺς ὑπὸ τοιούτῳ δαίμονι στρατηγουμένους παθεῖν. Πηρώσεις γὰρ μελῶν ἢ καὶ θανάτους πολλάκις ἆθλα τῆς ὀργῆς οἱ μαχόμενοι ἀπηνέγκαντο. Ἦρξε χειρῶν ἀδίκων, ὁ B δὲ ἠμύνατο· ὁ δὲ ἀντεπήνεγκεν, ὁ δὲ οὐχ ὑφίεται. Καὶ τὸ μὲν σῶμα ταῖς πληγαῖς διακόπτεται, ὁ δὲ θυμὸς τοῦ ἀλγεινοῦ τὴν αἴσθησιν παραιρεῖται (2). Οὐ γὰρ ἄγουσι σχολὴν πρὸς τὴν ὧν πεπόνθασιν αἴσθησιν, ὅλης αὐτοῖς τῆς ψυχῆς πρὸς τὴν ἄμυναν τοῦ λελυπηκότος κεκινημένης.

3. Μὴ δὴ κακῷ τὸ κακὸν ἰᾶσθε, μηδὲ ἐπιχειρεῖτε ἀλλήλους ὑπερβαίνειν ταῖς συμφοραῖς. Ἐν γὰρ ἁμίλλαις πονηραῖς (3) ἀθλιώτερος ὁ νικήσας, διότι ἀπέρχεται τὸ πλεῖον ἔχων τῆς ἁμαρτίας. Μὴ τοίνυν γένῃ κακοῦ πληρωτὴς ἐράνου, μηδὲ πονηροῦ δανείου πονηρότερος ἐκτιστής. Ὕβρισεν ὀργισθείς; στῆσον τῇ σιωπῇ τὸ κακόν. Σὺ δὲ ὥσπερ ῥεῦμα τὴν ἐκείνου ὀργὴν εἰς τὴν ἰδίαν καρδίαν ὑποδεξάμενος, τοὺς C ἀνέμους μιμῇ, διὰ τῆς ἀντιπνοίας ἀντιδιδόντας τὸ ἐνεχθέν. Μὴ διδασκάλῳ χρήσῃ τῷ ἐχθρῷ, μηδὲ ὃ μισεῖς, τοῦτο ζηλώσῃς. Μηδὲ γένῃ ὥσπερ κάτοπτρον τοῦ ὀργίλου, τὴν ἐκείνου μορφὴν ἐν σεαυτῷ δεικνύς. Ἐρυθρὸς ἐκεῖνος· σὺ δὲ οὐκ ἐφοινίχθης; Ὀφθαλμοὶ ὕφαιμοι· οἱ δὲ σοὶ, εἰπέ μοι (4), γαλήνην βλέπουσι; Φωνὴ τραχεῖα· ἡ δὲ σὴ ἠπία; Οὐδὲ ἡ ἐν ταῖς ἐρημίαις ἠχὼ οὕτως ἀνεκλάσθη ἀκεραία πρὸς τὸν φθεγξάμενον, ὡς ἐπὶ τὸν λοίδορον αἱ ὕβρεις ἐπαναστρέφουσι. Μᾶλλον δὲ ὁ μὲν ἦχος ὁ αὐτὸς ἀπεδόθη· ἡ δὲ λοιδορία μετὰ προσθήκης ἐπάνεισιν. Οἷα γὰρ ἀλλήλους ἐφυβρίζοντες ἀντιφθέγγονται; Ὁ μὲν εἶπεν ἀφανῆ, καὶ ἐξ ἀφανῶν· ὁ δὲ ἀπεκάλεσεν οἰκοτρίβων οἰκότριβα· οὗτος πένητα, ἐκεῖνος ἀλήτην· D οὗτος ἀμαθῆ, ἐκεῖνος παραπλῆγα· ἕως ἂν αὐτοῖς αἱ ὕβρεις, ὥσπερ τοξεύματα, ἐπιλείπωσιν (5). Εἶτα, ἐπειδὰν πᾶσαν λοιδορίαν διὰ τῆς γλώττης ἐκσφενδονήσωσιν, οὕτω λοιπὸν πρὸς τὴν διὰ τῶν ἔργων χωροῦσιν ἄμυναν. Θυμὸς μὲν γὰρ ἐγείρει μάχην,

distinctus, et temere cadens, non paulatim, nec ordine, nec significanter procedens. Postquam autem ira gravius atrociusque exarserit ob ea quibus animus exasperatur, haud secus ac flamma ob materiæ copiam, tum demum neque verbis explicabilia, neque factu tolerabilia spectacula videre licet: manus attolli adversus tribules, ac injici in omnes corporis partes, pedes in præcipua membra citra discrimen insilire, denique quidquid in conspectum venit, id furori ac insaniæ pro armis esse. Quod si ex adverso æquale malum renitens repererint, aliam videlicet iram et parem insaniam; ita demum inter se conserti, mutuo faciunt ac perpetiuntur quæ æquum est perpeti eos, qui sub ejusmodi dæmone militant. Nam mutilationes membrorum, aut etiam plerumque mortem præmia iræ referunt pugnatores. Hic cœpit injustas manus inferre, ille repulit: hic rursus intulit, ille non cedit. Et corpus quidem plagis **85** contunditur: furor vero adimit doloris sensum. Neque enim vacat sibi eorum quæ perpetiuntur, dolorem sentire, toto eorum animo ad ulciscendum molestiæ auctorem commoto.

3. Malum malo ne curetis, neque contendatis vos mutuo inferendis damnis superare. Nam in malis pugnis miserior est qui vicit, quippe quia cum majori peccato abit. Ne igitur referas malum, neque debitum malum pejus persolvas. Contumelia te affecit iratus? Siste silentio malum. Tu contra, iram illius velut quoddam fluentum in animum tuum suscipiens, ventos imitaris, qui, quod illatum est, id reflatu repellunt. Ne inimico magistro utaris, neque quod odio habes, æmuleris: cave fias irati quasi speculum, formam ejus exhibens in temetipso. Rubet ille; an non tu rubefactus es? Suffusi sanguine sunt oculi illius; tuine, quæso, placide vident? Vox ipsius aspera est, num tua lenis ac mitis est? Ne echo quidem in desertis locis æque integra refringitur ad loquentem, atque contumeliæ ad conviciatorem revertuntur. Vel potius sonus quidem idem redditur: sed convicium cum accessione redit. Qualia enim contumeliosi alter alteri vicissim objiciunt? Alter alterum dixit obscurum, et ex obscuris oriundum: hic illum vernam vernarum vicissim appellat: hic pauperem, ille erronem: hic indoctum, ille insanum; idque, quoad contumeliæ velut spicula eos deficiant. Deinde conviciis omnibus per linguam velut per fundam emissis, tum demum ad vindictam re ipsa procedunt. Nam excitat ira rixam, rixa parit convicia, convicia

(99) Colb. primus ἐπὶ τό.
(1) Editi οὕτω δὴ καί. Conjunctio καί in nostris mss. deest.
(2) Editi et duo saltem antiqui libri παραιτεῖται. At codex Coisl. et duo Colbertini παραιρεῖται. Primam lectionem contemptam nolim quidem, sed alia mihi multo magis probatur. Græci enim in significatione auferendi, verbo posteriore potius quam priore uti solent. Statim editi et mss. nonnulli μηδὲ ἐπιχειρῆτε. Alii quidam mss. ἐπιχειρεῖτε.
(3) Antiqui duo libri ἁμίλλαις πονηρίας. Ibidem Reg. primus ἀθλιώτερος ὁ νικῶν· sed additum est in ora libri γρ. καὶ ὁ νικήσας. Nec ita multo post Reg. primus εἰς τὴν σὴν καρδίαν.
(4) Editi et Colb. tertius οἱ δὲ σοὶ, εἰπέ μοι· sed illud, εἰπέ μοι, in quibusdam mss. non legitur. Infra mss. aliquot ἦχος ὁ αὐτός. Abest articulus a vulgatis. Subinde duo mss. Οἷα γὰρ ἀλλήλοις.
(5) Editi ἐπιλίπωσιν. Veteres quatuor libri ἐπιλείπωσιν.

verbera, verbera autem vulnera: denique ex vulneribus mors ipsa plerumque sequitur. Malum a prima origine cohibeamus, iram arte omni ex animis pellentes. Ita enim mala plurima una cum hoc vitio, tanquam cum radice atque principio, exscindere poterimus. Maledixit? Tu benedicas. Percussit? Tu sustine. Despicit, teque facit nihili? Tu tecum cogita constare te ex terra, ac rursus in terram reversurum [21]. Quisquis enim rationibus ejusmodi præmunierit semetipsum, ignominiam quamcunque comperiet veritate inferiorem. Sic namque eo etiam redigetur inimicus, ut ulcisci se nullo modo possit, cum te sis contumeliis conviciisque invulneratum exhibiturus: quin et ipse magnam parabis patientiæ coronam, qui alterius insaniam occasionem tuæ philosophiæ exercendæ facias. Quare, si mihi fidem habes, illatis tibi injuriis aliquid etiam addes. Obscurum te dixit, ingloriumque et nihili hominem, qui infimo loco natus sit? Tu teipsum terram ac cinerem dicito. Illustrior non es patre nostro Abraham, qui se ipse ita appellavit [22]. Indoctum et pauperem et nullius pretii te dixit? Tu te dicas vermem, teque ex stercore habere originem, Davidis verba usurpans [23]. His etiam præclarum **86** Moysis facinus adjice. Ille ab Aaron et Maria maledictis lacessitus, non Deum adversus eos interpellavit, sed pro eis oravit [24]. Quorum mavis esse discipulus, virorumne Deo gratorum beatorumque, an hominum spiritu nequitiæ expletorum? Cum invaserit te conviici ingerendi tentatio, puta teipsum probari, utrum per patientiam ad Deum accedas, an per iram confugias ad adversarium. Da cogitationibus tuis tempus partem optimam eligendi. Aut enim profueris illi per mansuetudinis exemplum: aut, dum contemnes, eum gravius ulciscere. Quid enim inimico acerbius esse potest, quam si inimicum suum videat injuriis ac contumeliis superiorem? Animum ne abjicias, neque patiaris ullum ad te accessum conviciatoribus patere. Sine eum frustra te allatrare, disrumpatur in semetipso. Ut enim qui verberat sensu carentem, sibi ipse irrogat pœnam (nam nec hostem ulciscitur, nec iram sedat): ita quisquis hominem qui injuriis non movetur, probris ac maledictis lacessit, is cupiditatem suam solari ac mollire non potest. Contra, uti dixi, disrumpitur. Quale enim nomen uterque vestrum statim ab iis qui absunt, consequitur? Ille quidem contumeliosus audit, tu vero magnanimus; ille iracundus et morosus, tu patiens et mitis: illum pœnitebit dictorum, te vero nunquam pœnitebit virtutis.

4. Quid attinet plura dicere? Huic maledicentia claudit regnum cœlorum, quippe *Maledici hæ-*

A μάχη δὲ γεννᾷ λοιδορίας, αἱ δὲ λοιδορίαι πληγάς, αἱ δὲ πληγαὶ τραύματα, ἐκ δὲ τραυμάτων πολλάκις θάνατοι. Ἀπὸ τῆς πρώτης ἀρχῆς τὸ κακὸν ἐπίσχωμεν, τὴν ὀργὴν πάσῃ μηχανῇ τῶν ψυχῶν ἐξελόντες. Οὕτω γὰρ ἂν δυνηθείημεν τὰ πλεῖστα τῶν κακῶν, ὥσπερ ῥίζῃ τινὶ καὶ ἀρχῇ, τῷ πάθει τούτῳ συνεκτεμεῖν. Ἐλοιδόρησε; σὺ δὲ εὐλόγησον. Ἐτύπτησε; σὺ δὲ ὑπόμεινον. Διαπτύει καὶ τὸ μηδὲν ἡγεῖταί σε; σὺ δὲ ἔννοιαν λάβε σεαυτοῦ, ὅτι ἐκ γῆς ὑφέστηκας (6), καὶ εἰς γῆν πάλιν ἀναλυθήσῃ. Ὁ γὰρ τούτοις τοῖς λόγοις ἑαυτὸν προκατασχὼν πᾶσαν ἀτιμίαν ἐλάττονα εὑρήσει τῆς ἀληθείας. Οὕτω γὰρ καὶ τῷ ἐχθρῷ ἀμήχανον κατασκευάσεις τὴν ἄμυναν, ἄτρωτον σεαυτὸν ταῖς λοιδορίαις δεικνύς· καὶ σεαυτῷ μέγαν τῆς ὑπομονῆς προξενήσεις τὸν στέφανον, τὴν ἑτέρου μα-
B νίαν ἀφορμὴν οἰκείας φιλοσοφίας ποιούμενος. Ὥστε, ἂν ἐμοὶ πείθῃ, καὶ ἐπιδαψιλεύσῃ τῶν ὕβρεων. Ἀφανῆ σε εἶπε, καὶ ἄδοξον, καὶ μηδένα μηδαμόθεν; σὺ δὲ γῆν εἰπὲ καὶ σποδὸν σεαυτόν. Οὐκ εἶ σεμνότερος τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὃς ἑαυτὸν ταῦτα ἀπεκάλει. Ἀμαθῆ καὶ πτωχὸν καὶ τοῦ μηδενὸς ἄξιον; σὺ δὲ σκώληκα σεαυτὸν εἰπὲ, καὶ ἀπὸ κοπρίας ἔχειν τὴν γένεσιν, τὰ τοῦ Δαβὶδ λέγων ῥήματα. Τούτοις πρόσθες καὶ τὸ τοῦ Μωϋσέως καλόν. Ἐκεῖνος, ὑπὸ Ἀαρὼν καὶ Μαρίας λοιδορηθεὶς, οὐ κατενέτυχε τῷ Θεῷ, ἀλλὰ προσηύχετο ὑπὲρ αὐτῶν. Τίνων βούλει μαθητὴς εἶναι μᾶλλον, τῶν θεοφιλῶν καὶ μακαρίων ἀνδρῶν, ἢ τῶν ὑπὸ τοῦ πνεύματος τῆς πονηρίας πεπληρωμένων; Ὅταν σοι κινηθῇ τῆς λοιδορίας πειρασμὸς, νόμιζε
C κρίνεσθαι σεαυτὸν, πότερον διὰ τῆς μακροθυμίας προσχωρεῖς τῷ (7) Θεῷ, ἢ διὰ τῆς ὀργῆς ἀποτρέχεις πρὸς τὸν ἀντίδικον. Δὸς καιρὸν τοῖς λογισμοῖς σεαυτοῦ τὴν ἀγαθὴν ἐκλέξασθαι μερίδα. Ἢ γὰρ ὠφέλησάς τι κἀκεῖνον τῷ ὑποδείγματι τῆς πραότητος, ἢ χαλεπώτερον ἠμύνω διὰ τῆς ὑπεροψίας. Τί γὰρ ἂν γένοιτο ὀδυνηρότερον τῷ ἐχθρῷ, ἢ τὸν ἐχθρὸν ἑαυτοῦ ὁρᾷν ὕβρεων ὑψηλότερον; Μὴ καταβάλῃς σεαυτοῦ τὴν γνώμην, μηδὲ ἀνάσχῃ γενέσθαι ἐφικτὸς τοῖς ὑβρίζουσιν. Ἔασον αὐτὸν ἄπρακτά σου (8) καθυλακτεῖν· ἐφ' ἑαυτῷ διαῤῥηγνύσθω. Ὥσπερ γὰρ ὁ τύπτων τὸν μὴ ἀλγοῦντα ἑαυτὸν τιμωρεῖται (οὔτε γὰρ τὸν ἐχθρὸν ἠμύνατο, καὶ τὸν θυμὸν οὐκ ἀνέπαυσεν)· οὕτως ὁ τὸν ἀλοιδόρητον ὀνειδίζων παραμυθίαν εὑρεῖν τοῦ πάθους οὐ δύναται. Τοὐναντίον
D μὲν οὖν, ὅπερ ἔφην, καὶ διαπρίεται. Εὐθὺς γὰρ ἐκ τῶν παρόντων οἷα ἑκάτερος ὑμῶν προσαγορεύεται; Ὁ μὲν λοίδορος, σὺ δὲ μεγαλόψυχος· ὁ μὲν ὀργίλος καὶ χαλεπὸς, σὺ δὲ μακρόθυμος καὶ πρᾶος· ὁ μὲν μεταγνώσεται ἐφ' οἷς ἐφθέγξατο, σὺ δὲ οὐδέποτε μεταμελήσῃ (9) τῆς ἀρετῆς.

4. Τί δεῖ τὰ πολλὰ λέγειν; Τῷ μὲν ἀπέκλεισε τὴν τῶν οὐρανῶν βασιλείαν ἡ λοιδορία· *Λοίδοροι γὰρ*

[21] Gen. III, 19. [22] Gen. XVIII, 27. [23] Psal. XXI, 7. [24] Num. XII, 1 seqq.

(6) Reg. primus ἐκ γῆς ὑπέστης.
(7) Sic mss. plerique omnes. Editi προχωρεῖς τῷ.
(8) Colb. primus ἄπρακτά σοι. Ibidem Reg. primus ἐφ' ἑαυτοῦ.
(9) Reg. primus οὐδέποτε μεταμελητήσῃ.

βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· σοὶ δὲ ἡτοί- A μασε τὴν βασιλείαν ἡ σιωπή (10). *Ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.* Ἀμυνόμενος δὲ καὶ εἰς ἴσον ἀντικαθιστάμενος τῷ λοιδόρῳ, τί καὶ ἀπολογήσῃ; Ὅτι παρώξυνε κατάρξας; Καὶ ποίας τοῦτο συγγνώμης ἄξιον; Οὐδὲ γὰρ ὁ πόρνος, ἐπὶ τὴν ἑταίραν τὴν αἰτίαν μετατιθεὶς ὡς πρὸς τὴν ἁμαρτίαν διερεθίσασαν, ἧττον τῆς κατακρίσεως (11) ἀξιοῦται. Οὔτε στέφανοι χωρὶς ἀνταγωνιστῶν, οὔτε πτώματα χωρὶς ἀντιπάλων. Ἄκουε τοῦ Δαβὶδ λέγοντος· *Ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου*, οὐχὶ παρωξύνθην, οὐδὲ ἠμυνάμην, ἀλλ' *Ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν*. Σὺ δὲ παροξύνῃ μὲν ὡς ἐπὶ φαύλῃ τῇ λοιδορίᾳ· μιμῇ δὲ πάλιν ὡς ἀγαθόν. Ἰδοὺ γὰρ ἔπαθες ἃ ἐγκαλεῖς. Ἢ τὸ μὲν ἀλλότριον κακὸν ἐπιμελῶς καταβλέπεις; τὸ δὲ σεαυ- B τοῦ αἰσχρὸν οὐδαμοῦ τιθεῖς; Πονηρὸν ἡ ὕβρις; φεῦγε (12) τὴν μίμησιν. Οὐ γὰρ δὴ τὸ ἕτερον κατάρξαι ἱκανὸν εἰς παραίτησιν. Δικαιότερον μὲν οὖν, ὡς ἐμαυτὸν πείθω, καὶ ἐπιτεῖναι τὴν ἀγανάκτησιν, διότι ὁ μὲν οὐκ εἶχε τὸ σωφρονίζον ὑπόδειγμα· σὺ δὲ, βλέπων ἀσχημονοῦντα τὸν ὀργιζόμενον, οὐκ ἐφυλάξω αὐτοῦ τὴν ὁμοίωσιν, ἀλλ' ἀγανακτεῖς καὶ χαλεπαίνεις καὶ ἀντοργίζῃ· καὶ γίνεταί σου (13) τὸ πάθος ἀπολογία τοῦ προλαβόντος. Αὐτοῖς γὰρ οἷς ποιεῖς, κἀκεῖνον αἰτίας ἀφίης, καὶ σεαυτὸν κατακρίνεις. Εἰ μὲν γὰρ πονηρὸν ὁ θυμὸς, τί οὐκ ἐξέκλινας τὸ κακόν; εἰ δὲ συγγνώμης ἄξιον, τί χαλεπαίνεις τῷ θυμουμένῳ; Ὥστε, εἰ δεύτερος ἦλθες πρὸς τὴν ἀντίδοσιν, οὐδέν σε τοῦτο ὀνήσει. Οὐδὲ γὰρ ἐν τοῖς στεφανίταις ἀγῶσιν ὁ κατάρξας τῶν παλαισμάτων, ἀλλ' ὁ ὑπερ- C βαλλόμενος (14) στεφανοῦται. Καὶ κατακρίνεται τοίνυν οὐχὶ μόνον ὁ καθηγησάμενος τοῦ δεινοῦ, ἀλλ' ὁ καὶ πονηρῷ ἡγεμόνι πρὸς τὴν ἁμαρτίαν ἐξακολουθήσας. Ἐὰν πένητά σε προσείπῃ, εἰ μὲν ἀληθῆ λέγει, κατάδεξαι τὴν ἀλήθειαν· εἰ δὲ ψεύδεται, τί πρὸς σὲ τὸ λεγόμενον; Μήτε πρὸς ἐπαίνους χαυνωθῇς τοὺς ὑπὲρ τὴν ἀλήθειαν· μήτε πρὸς ὕβρεις ἀγριανῇς τὰς οὐχ ἁπτομένας σου. Οὐχ ὁρᾷς τὰ τοξεύματα, πῶς τῶν μὲν στεῤῥῶν καὶ ἀντιτύπων πέφυκε διεκπίπτειν, ἐν δὲ τοῖς ἁπαλοῖς καὶ ὑπείκουσι τὴν ὁρμὴν ὑπεκλύειν; Τοιοῦτον δή τι νόμιζε εἶναι καὶ τὸ τῆς λοιδορίας. Ὁ μὲν ἀντιβαίνων εἰς ἑαυτὸν καταδέχεται· ὁ δὲ ἐνδιδοὺς καὶ ὑπείκων ἐν τῇ ἁπαλότητι τοῦ τρόπου τὴν ἐπ' αὐτὸν φερομένην πονηρίαν διέλυσε. Τί δέ σε D ταράσσει ἡ προσηγορία τοῦ πένητος; Μνήσθητι τῆς φύσεως σεαυτοῦ· ὅτι γυμνὸς εἰς τὸν κόσμον εἰσῆλθες, γυμνὸς καὶ ἀπελεύσῃ. Τί δὲ γυμνοῦ πενιχρότερον; Οὐδὲν ἤκουσας δεινὸν, ἐὰν μὴ σεαυτῷ οἰκειώσῃς (15)

reditatem regni Dei non consequentur [25]: tibi silentium regnum præparavit. *Qui enim sustinuerit usque ad finem, hic salvus erit* [26]. Quodsi par pari referas, et ex æquo insurgas adversus conviciatorem, quam tandem prætendes excusationem? Quod te prior ad iram provocavit? Sed hoc qua venia dignum? Neque enim scortator qui culpam in meretricem transfert, tanquam quæ ad peccatum impulerit, remissius condemnatur. Neque coronæ habentur sine adversariis, neque strages sine hostibus. Audi David dicentem: *Dum consisteret peccator adversum me*, non sum exasperatus, nec ultus sum, sed *Obmutui et humiliatus sum, et silui a bonis* [27]. Tu vero exacerbaris quidem ob convicium velut malum: sed tamen imitaris illud uti bonum. Ecce enim facis quod reprehendis. An alienum malum diligenter intueris? ducis vero pro nihilo tuam ipsius turpitudinem? Nonne malum contumelia? Cave imiteris. Nam incepisse alium, non sufficit ad excusationem. Imo vero æquius est, ut mihi persuadeo, intendi etiam adversum te querelam, quod ille exemplum quo emendaretur, nequaquam habuerit. Tu tamen videns iratum indecore se gerentem, non illius vitasti similitudinem: sed indignaris, et ægre fers, et vicissim irasceris; ideoque tua ipsius perturbatio aggredientis exordientisque defensio fit et excusatio. Nam per ea quæ ipse facis, tum **87** illum liberas culpa, tum te ipse condemnas. Etenim si malum ira est, cur malum non declinasti? Sin autem quidpiam est venia dignum, cur infensus es irascenti? Quare etsi posterior par pari retulisti, nihil inde capies emolumenti. Neque enim in certaminibus in quibus præmium corona proponitur, certaminis inceptor, sed victor coronatur. Idcircoque non solum qui mali auctor fuit, sed etiam qui malum ducem ad peccatum secutus est, condemnatur. Si te pauperem appellaverit, si verum loquatur, perfer veritatem; sin mentitur, quid ad te quod dixit? Neque efferaris ob eas quæ verum excedunt laudes; neque ob contumelias quæ te non attingunt, exaspereris. An non vides quomodo sagittæ duriora, et quæ renituntur, soleant penetrare, in mollibus vero et quæ cedant, impetum suum frangere? Consimile quiddam, convicium esse puta. Qui contra tendit, id in se recipit: qui vero remisse agit ac cedit, morum lenitate illatam sibi injuriam dissolvit. Quid autem te perturbat pauperis cognomen? in mentem veniat tuæ naturæ, quod nudus ingres-

[25] I Cor. VI, 10. [26] Matth. X, 22. [27] Psal. XXXVIII, 2, 3.

(10) Reg. primus ἡτοίμασε τὴν σωτηρίαν ἡ, *præparavit salutem*.

(11) Codex Coisl. et Colb. tertius τῆς κρίσεως. Statim ubi et in editis et in mss. magno inter se consensu legitur πτώματα, legi debere τρόπαια suspicatur vir doctissimus Combefisius: cujus nos conjecturam, nisi libri veteres probiberent, haud inviti sequeremur. Quodsi quispiam, reluctantibus veteribus libris, τρόπαια legere malit, sic vertere poterit, *neque tropæa sine hostibus*. Ibidem duo Colbertini ἄκουε.

(12) Editi φύγε. At mss. nonnulli φεῦγε.

(13) Sic multi libri veteres. Editi γίνεταί σοι.

(14) Reg. primus ὑπερβαλόμενος. Aliquanto post mss. nonnulli ἀλλ' ὁ καὶ πονηρῷ. Articulus in editis non invenitur. Subinde duo mss. ἁμαρτίαν ἀκολουθήσας.

(15) Editi οἰκειώσῃ. At mss. non pauci οἰκειώσῃς. Mox Colb. primus φέρειν γενναίως.

sus es in mundum, nudusque es egressurus [28]. Quid autem nudo pauperius est? Nihil grave audivisti, nisi quod ea quæ dicta sunt, tua solius et propria duxeris. Quis unquam ob paupertatem abductus est in carcerem? Pauperem esse non probrosum est, sed paupertatem generose non ferre. Memor esto Domini, *Qui cum dives esset, propter nos egenus factus est* [29]. Stultum te et indoctum si appellarit, memineris earum quæ a Judæis in veram sapientiam jactæ sunt, injuriarum : *Samaritanus es, et dæmonium habes* [30]. Quod si irasceris, confirmasti probra. Ecquid enim stultius est ira? Sin autem tranquillus et sine ira permanseris, incutis pudorem conviciatori, cum prudentiam reipsa ostenderis atque modestiam. Cæsus alapis es? At enim Dominus quoque. Infectus es sputis? Sed et Dominus noster. *Non enim avertit faciem suam a confusione sputorum* [31]. Structæ tibi sunt sycophantiæ? Utique et judici. Disciderunt tuam tunicam? Exuerunt etiam Dominum meum, et diviserunt inter se ejus vestimenta [32]. Nondum condemnatus es, nondum crucifixus. Desunt tibi multa, ut pervenias ad ipsius imitationem.

A τὰ εἰρημένα. Τίς ποτε ἀπήχθη διὰ πενίαν εἰς δεσμωτήριον; Οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν. Μνήσθητι τοῦ Δεσπότου· ὅτι *Πλούσιος ὢν, ἐπτώχευσε δι' ἡμᾶς*. Ἐὰν ἄφρονά σε καὶ ἀμαθῆ προσαγορεύσῃ, ὑπομνήσθητι τῶν Ἰουδαϊκῶν ὕβρεων, αἷς τὴν ἀληθινὴν σοφίαν ἐλοιδορήσαντο· *Σαμαρείτης εἶ, καὶ δαιμόνιον ἔχεις*. Ἐὰν μὲν οὖν ὀργισθῇς, ἐβεβαίωσας τὰ ὀνείδη· τί γὰρ ὀργῆς ἀφρονέστερον; ἐὰν δὲ μείνῃς ἀόργητος, ᾔσχυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος. Ἐῤῥαπίσθης; καὶ γὰρ καὶ ὁ Κύριος. Ἐνεπτύσθης; καὶ γὰρ ὁ Δεσπότης ἡμῶν. *Οὐ γὰρ ἀπέστρεψε τὸ πρόσωπον* (16) *ἀπὸ αἰσχύνης ἐμπτυσμάτων*. Ἐσυκοφαντήθης; καὶ γὰρ καὶ ὁ κριτής. Περιέῤῥηξάν σου τὸν χιτωνίσκον; Ἀπέδυσάν μου καὶ τὸν Κύριον, B καὶ διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ ἑαυτοῖς. Οὔπω κατεκρίθης, οὔπω ἐσταυρώθης. Πολλά σοι λείπει, ἵνα φθάσῃς αὐτοῦ πρὸς τὴν μίμησιν.

5. Subeant animum tuum horum singula, atque excandescentiam ac tumorem comprimant. Ejusmodi enim præparationes affectionesque, cordis quasi saltus ac pulsus rescindentes, mentem ad constantiam ac tranquillitatem reducunt. Et sane hoc est quod dictum est a Davide : *Paratus sum, et non sum turbatus* [33]. Oportet igitur compescere te insanum ac vecordem animi motum, exemplorum quæ a beatis viris relicta sunt, memorem : quomodo scilicet magnus ille David petulantiam Semei mansuete pertulerit. Non enim tempus dabat commotioni iræ, siquidem cogitationem suam transferebat in Deum. Ait nimirum : *Dominus dixit Semei, ut malediceret Davidi* [34]. Quapropter cum vocaretur vir sanguinum, **88** et vir iniquus, haudquaquam ei succensuit : sed se ipse humiliabat, quasi jure ac merito maledictis contumeliisque lacessitus. Jam vero duo hæc ex animo tuo exime, nec teipsum judicaveris magnis rebus dignum, nec quemquam hominum duxeris tibi dignitate longe inferiorem esse. Sic enim, licet ignominia appetiti, nunquam ad iram concitabimur. Grave quidem fuerit, hominem beneficiis affectum, donisque ac gratiis maximis obligatum, præter ingrati animi vitium adhuc quoque ad convicium atque ad ignominiam, priorem recurrere. Grave plane est : sed illud ma-

5. Τούτων ἕκαστον ὑποτρεχέτω σου τὴν διάνοιαν (17), καὶ καταστελλέτω τὴν φλεγμονήν. Αἱ γὰρ τοιαῦται προπαρασκευαὶ καὶ διαθέσεις, οἷον πηδήματα τῆς καρδίας καὶ σφυγμοὺς ἀφαιροῦσαι, εἰς εὐστάθειαν καὶ γαλήνην τοὺς λογισμοὺς ἐπανάγουσι. Καὶ τοῦτό ἐστιν ἄρα τὸ ὑπὸ τοῦ (18) Δαβὶδ εἰρημένον· ὅτι *Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην*. Δεῖ τοίνυν τὸ μανικὸν καὶ ἔκπληκτον κίνημα τῆς ψυχῆς καταστέλλειν τῇ μνήμῃ τῶν μακαρίων ἀνδρῶν ὑπο- C δειγμάτων· πῶς ὁ μέγας Δαβὶδ πράως ἠνείχετο τῆς παροινίας τοῦ Σεμεεί. Οὐ γὰρ ἐδίδου καιρὸν τῇ ὀργῇ κινηθῆναι, πρὸς τὸν Θεὸν μεταφέρων τὴν ἔννοιαν (19)· ὅτι *Κύριος εἶπε*, φησὶ, *τῷ Σεμεεὶ καταρᾶσθαι τὸν Δαβίδ*. Διόπερ ἀκούων αἱμάτων ἀνὴρ, καὶ ἀνὴρ παράνομος, οὐκ ἐκείνῳ ἐχαλέπαινεν, ἀλλ' ἑαυτὸν ἐταπείνου, ὡς κατὰ τὴν ἀξίαν αὐτῷ τῆς ὕβρεως ἀπαντώσης (20). Δύο δὴ ταῦτα περίελε σεαυτοῦ, μήτε σεαυτὸν μεγάλων ἄξιον κρίνῃς, μήτε ἀνθρώπων τινὰ παρὰ πολὺ ἐλαττοῦσθαί σου κατὰ τὴν ἀξίαν νομίσῃς. Οὕτω γὰρ οὐδέποτε ὁ θυμὸς ἐν ταῖς ἐπαγομέναις ἡμῖν ἀτιμίαις ἐπαναστήσεται. Δεινὸν μὲν τὸν εὐεργετηθέντα, καὶ ταῖς μεγίσταις ὑπόχρεων χάρισι, πρὸς τῷ ἀχαρίστῳ ἔτι καὶ ὕβρεως καὶ ἀτιμίας κατάρξαι. Δεινὸν μὲν, ἀλλὰ τῷ ποιοῦντι μεῖζόν ἐστι D κακὸν ἢ τῷ πάσχοντι. Ἐκεῖνος ὑβριζέτω· σὺ δὲ μὴ ὑβρίζου. Γυμνάσιόν σοι πρὸς φιλοσοφίαν ἔστω τὰ

[28] Job I, 21. [29] II Cor. VIII, 9. [30] Joan. VIII, 48. [31] Isa. L, 6. [32] Matth. XXVII, 31, 35. [33] Psal. CXVIII, 60. [34] II Reg. XVI, 10.

(16) Reg. primus πρόσωπον αὐτοῦ. Mox idem ms. πολλά σοι λείψει.

(17) Antiqui duo libri ἕκαστον ὑποτρέχον σου τὴν διάνοιαν.

(18) Veteres aliquot libri παρὰ τοῦ. Nec ita multo post duo mss. καὶ ἔμπληκτον κίνημα. Subinde editi et Colb. tertius et Coisl. μνήμῃ τῶν μακαρίων ὑποδειγμάτων, *recordatione beatorum exemplorum*. At vero Colb. primus et duo Regii μνήμῃ τῶν μακαρίων παραγγελμάτων, *recordatione beatorum documentorum*. Denique Colb. secundus μνήμῃ τῶν μακαρίων ἀνδρῶν ὑποδειγμάτων, *recordatione relictorum a beatis viris exemplorum* : quæ scriptura verior videri potest.

(19) Editio Basil. et nostri septem mss. μεταφέρων τὴν ἔννοιαν, *cogitationem transferens in Deum*. Editio Paris. μεταφέρων τὴν αἰτίαν, *rei causam transferens in Deum* : quod melius esse non nego. Sed quo melior est hæc lectio, eo magis mihi suspecta est. Vereor enim, ne typographi vocem non ita idoneam alia et meliore et aptiore de suo commutarint.

(20) Colb. primus ὑπαντώσης.

ῥήματα. Ἐὰν μὴ δηχθῇς, ἄτρωτος εἶ. Ἐὰν δὲ καὶ πάθῃς τι τὴν ψυχὴν, ἐν σεαυτῷ κάτασχε τὸ λυπηρόν. *Ἐν ἐμοὶ* γὰρ, φησὶν, *ἐταράχθη ἡ καρδία μου*· τουτέστιν, οὐ διεδόθη πρὸς τὸ ἔξω τὸ πάθος, ἀλλ' οἷόν τι κῦμα εἴσω τῶν αἰγιαλῶν καταχλασθὲν ἐστορέσθη. Καθησύχασόν μοι τὴν καρδίαν ὑλακτοῦσαν καὶ ἀγριαίνουσαν. Αἰδείσθω τὰ πάθη τοῦ ἐν σοὶ λόγου τὴν ἐπιφάνειαν, ὥσπερ τὸ ἐν παισὶν ἄτακτον ἀνδρὸς αἰδεσίμου παρουσίαν. Πῶς ἂν οὖν ἐκφύγοιμεν τὴν ἐκ τοῦ ὀργίζεσθαι βλάβην; Ἐὰν πείσωμεν τὸν θυμὸν μὴ προλαμβάνειν τοὺς λογισμοὺς, ἀλλὰ τούτου πρῶτον ἐπιμελώμεθα, ὡς μηδέποτε αὐτὸν προεκτρέχειν τῆς διανοίας· ἔχωμεν δὲ ὥσπερ ἵππον ὑπεζευγμένον ἡμῖν, καὶ οἷον χαλινῷ τινι τῷ λόγῳ καταπειθῆ, μηδαμοῦ τῆς τάξεως ἐκβαίνοντα τῆς οἰκείας, ἀγόμενον δὲ ὑπὸ τοῦ λόγου, ἐφ' ὅπερ ἂν καθηγῆται (21). Ἔτι γὰρ πρὸς πολλὰ τῶν τῆς ἀρετῆς ἔργων ἐπιτήδειον ἡμῶν τῆς ψυχῆς τὸ θυμοειδὲς, ὅταν, ὥσπερ τις στρατιώτης, παρὰ τῷ στρατηγῷ τὰ ὅπλα θέμενος, ἑτοίμως ἐπὶ τὰ παραγγελλόμενα τὰς βοηθείας παρέχηται, καὶ σύμμαχος ᾖ τῷ λόγῳ κατὰ τῆς ἁμαρτίας. Νεῦρον γάρ ἐστι τῆς ψυχῆς ὁ θυμὸς, τόνον αὐτῇ πρὸς τὴν τῶν καλῶν ἔνστασιν ἐμποιῶν. Εἰ γάρ ποτε λάβοι αὐτὴν ὑφ' ἡδονῆς ἐκλυθεῖσαν, οἱονεὶ βαφῇ σιδήρου (22) στομώσας, αὐστηρὰν αὐτὴν καὶ ἀνδρείαν ἐκ μαλακῆς ἄγαν καὶ ἀνειμένης ἐποίησεν. Οὐ γὰρ, εἰ μὴ (23) θυμωθείης κατὰ τοῦ πονηροῦ, δυνατόν σοι μισῆσαι αὐτὸν ὅσον ἄξιον. Δεῖ γὰρ, οἶμαι, τὴν ἴσην σπουδὴν ἔχειν περί τε τὴν ἀγάπην τῆς ἀρετῆς καὶ περὶ τὸ μῖσος τῆς ἁμαρτίας. Πρὸς ὅπερ μάλιστα χρήσιμος ὁ θυμός· ἐπειδὰν οἷον κύων ποιμένι, οὕτως ὁ θυμὸς τῷ λογισμῷ παρεπόμενος, πρᾶος μένῃ (24) καὶ χειροήθης τοῖς ὠφελοῦσι, καὶ εὐανάκλητος τῷ λογισμῷ, πρὸς μὲν τὴν ἀλλοτρίαν καὶ φωνὴν καὶ ὄψιν ἐξαγριούμενος, κἂν θεραπείαν ἔχειν δοκῇ, τοῦ δὲ συνήθους αὐτῷ καὶ φίλου ἐμβοήσαντος, ὑποπτήσσων. Αὕτη ἀρίστη ἐστὶ καὶ ἔμμετρος (25) τῷ φρονίμῳ τῆς ψυχῆς μέρει παρὰ τοῦ θυμοειδοῦς ἡ συνεργία. Ὁ γὰρ τοιοῦτος ἀδιάλλακτος ἔσται τοῖς ἐπιβούλοις καὶ ἄσπονδος· μηδέποτε τὴν πρὸς τὸ βλάπτον φιλίαν καταδεχόμενος, ἀλλὰ τὴν ἐπίβουλον ἡδονὴν ὥσπερ τινὰ λύκον ὑλακτῶν ἀεὶ καὶ σπαράσσων. Τοιοῦτον μὲν δὴ τὸ ἀπὸ θυμοῦ ὠφέλιμον τοῖς εἰδόσι μεταχειρίζεσθαι. Ἐπεὶ καὶ τῶν ἄλλων δυνάμεων ἑκάστη παρὰ τὸν τρόπον τῆς χρήσεως ἢ κακὸν ἢ ἀγαθὸν τῷ κεκτημένῳ γίνεται. Οἷον, τῷ ἐπιθυμητικῷ τῆς ψυχῆς ὁ μὲν εἰς ἀπόλαυσιν σαρκὸς καὶ τῶν ἀκαθάρτων ἡδονῶν ἀποχρησάμενος βδελυκτὸς καὶ ἀκόλαστος, ὁ δὲ ἐπὶ τὴν ἀγάπην τοῦ Θεοῦ τρέψας, καὶ τὴν ὄρεξιν τῶν

A lum majus est facienti quam patienti. Convicietur ille : tu vero ne conviciare. Sint tibi ejus verba exercitatio ad philosophiam. Si iniquo animo non feras, vulnus nullum accepisti; sin quidpiam animo pateris, tristitiam intra teipsum contine. *In me*, enim, inquit, *turbatum est cor meum* [38] : hoc est, non foras prodiit affectus, sed quasi fluctus quidam intra littora diffractus consedit. Allatrantem et exacerbatum animum velim sedes. Revereantur affectus tui aspectum rationis, non secus ac pueri, si immodestius se gerant, viri venerabilis præsentiam. Qui igitur iracundiæ noxam effugere poterimus? Si iræ suaserimus, ut ne rationem prævertat, imo in primum curam diligentiamque ponamus, ut nunquam præcurrat mentem, sed potius habeamus illam veluti equum nobis subjectum, B et rationi tanquam cuidam freno obtemperantem, nec usquam extra suum ipsius ordinem egredientem, sed a ratione, quovis cunque præeat, abduci se sinentem. Nam animi nostri ira idonea est et utilis ad multa virtutis opera, cum scilicet velut miles aliquis, depositis apud ducem armis, prompte, quo præceptum fuerit, venerit suppetias, et rationi adversus peccatum opem tulerit. Est enim animæ nervus ira, robur ei et vires ad bonas res instanter perseveranterque agendas ministrans. Nimirum si quando animam præ voluptate exsolutam offenderit, eam consolidans ferri quasi tinctura quadam, austeram et fortem ex valde molli exque remissa reddit. Neque enim, nisi ira excandueris adversus C diabolum, fieri unquam potest, ut eum pro merito oderis. Oportet enim, opinor, tanto studio virtutem amari, quanto odio oportet peccatum haberi. Quam in rem ira utilis est maxime; cum ut canis pastorem, ita ira rationem secuta, mitis permaneat, et morigera juvantibus, possitque facile a ratione reduci : contra ad alienam tum vocem, tum faciem exasperetur, etiamsi utraque obsequiosa esse videatur. Sed si inclamet familiaris et amicus, pavet formidatque. Optimum atque **89** prudenti animæ parti accommodatissimum est auxilium illud quod ab irascente animi parte confertur. Nam qui talis fuerit, nunquam cum insidiantibus in gratiam ac concordiam reducetur, nullam unquam cum re ulla D noxia amicitiam admittens, sed insidiosam voluptatem quasi lupum quemdam jugiter allatrans, dilaniansque. Hæc est igitur iræ utilitas iis, qui tractare eam ac moderari noverint. Nam et aliarum facultatum quælibet pro utendi modo aut male, aut

[38] Psal. CXLII, 4.

(21) Veteres aliquot libri ἂν καθηγῆται. Alius ms. et editi καθηγεῖται. Ibidem Reg. primus ἔστι γὰρ οὖν πρός. Colb. primus ἔστι γὰρ πρός.

(22) In editione Paris. oscitantia operarum corrupte legitur σίδηρον, ubi ex mss. legendum est σιδήρου.

(23) Illud, οὐ γὰρ εἰ μή, etc., sic interpretatus est Volaterranus : *Nec enim si contra iniquitatem desit indignatio et ira, satis eam odio quo decet persequi poteris* : quibus ex verbis patet interpretem vocem πονηροῦ sumpsisse pro re mala et iniqua. Sed non animadvertit vir alioqui doctus vocem αὐτόν, quæ et in editis et in mss. legitur, aliud suadere. Etenim si hoc loco vox πονηροῦ accipi deberet pro re iniqua, αὐτό, non αὐτόν scriptum fuisset. Dubium igitur non est, quin voce πονηροῦ intelligi debeat totius iniquitatis parens diabolus.

(24) Editio utraque πρᾶος μένῃ. Veteres quatuor libri πρᾶος μὲν ᾖ.

(25) Reg. primus καὶ εὔμετρος.

bene cedit possidenti. Exempli causa, quisquis concupiscenti animi parte ad carnis delectationem et ad impurarum voluptatum usum abutitur, exsecrabilis est et impudicus; qui vero eam ad Dei dilectionem verterit, et ad æternorum bonorum appetitionem, is dignus est æmulatione, et beatus. Et rursus qui rationalem animi partem probe regit, prudens est ac sapiens; qui vero in proximi perniciem mentem acutam habet, vafer est et maleficus.

A αἰωνίων ἀγαθῶν, ζηλωτὸς καὶ μακάριος (26). Καὶ πάλιν τὸ λογιστικὸν ὁ μὲν καλῶς μεταχειριζόμενος φρόνιμός ἐστι καὶ συνετός· ὁ δὲ ἐπὶ βλάβῃ τῶν πλησίον ἠκονημένος τὸν νοῦν, κακεντρεχής ἐστι καὶ κακοῦργος.

6. Absit igitur, ut ea quæ nobis data sunt ad salutem a Conditore, occasionem nobis ipsis peccati faciamus! Ita ira quoque cum oportet et ut oportet commota, efficit robur, patientiamque et continentiam: sed cum agit præter rectam rationem, insania fit. Quapropter nos etiam Psalmus admonet: *Irascimini, et nolite peccare* [36]. Quin et Dominus ut frustra irascenti judicium minitatur [37]: sic ira, ut ita dicam, vice medicamenti ad ea quæ oportet, uti non prohibet. Illud enim: *Inimicitiam ponam inter te et serpentem* [38]; item illud: *Inimici sitis Madianitis* [39], docentis est, iracundia velut armis utendum esse. Quare Moyses hominum omnium mansuetissimus [40], idololatriam ulturus, Levitarum manus ad fratrum cædem armavit. *Ponat*, inquit, *unusquisque gladium super femur suum, et transite a porta ad portam, et redite per castra: et occidite unusquisque fratrem suum, et unusquisque propinquum suum, et unusquisque proximum suum* [41]. Et paulo post, *Et dixit*, inquit, *Moyses: Implevistis manus vestras hodie Domino, unusquisque in filio, et in fratre suo, ut detur super vos benedictio* [42]. Quid vero Phineen justificavit? Nonne justa ira adversus scortatores? qui alioqui perquam mitis ac mansuetus, posteaquam Zambri cum scorto Madianitide palam et sine verecundia coeuntem vidisset, adeo ut ne contegerent quidem turpitudinis suæ infame spectaculum, hoc non perferens, ira opportune usus est, utroque hasta transfixo [43]. Samuel autem Agag regem Amalec, a Saule præter mandatum Dei servatum, nonne in medium productum ira justa interemit [44]? Sic ira plerumque actionum bonarum est ministra. Rursus zelotes ille Elias quadringentos quinquaginta viros *confusionis* sacerdotes, et quadringentos viros sacerdotes lucorum, mensam Jezabel comedentes, consultissima ac sapienti ira in totius Israelis commodum interfecit [45]. Tu vero fratri tuo irasceris temere, ac sine causa. Quomodo enim sine causa, cum, altero afflante ac provocante, alteri tamen tu succenseas? Atque quod canes factitant, facis: qui lapides mordent, cum non attingant projicientem. Qui instigatur, miserabilis est;

6. Μὴ δὴ οὖν τὰ πρὸς σωτηρίαν ἡμῖν δεδομένα παρὰ τοῦ κτίσαντος ἀφορμὴν ἑαυτοῖς ἁμαρτίας ποιήσωμεν. Οὕτω δὴ καὶ ὁ θυμὸς, ὅτε δεῖ, καὶ ὡς δεῖ κινούμενος, ἀνδρίαν ποιεῖ καὶ ὑπομονὴν καὶ ἐγκράτειαν· παρὰ δὲ τὸν ὀρθὸν λόγον ἐνεργῶν, μανία γίνεται. Διὰ τοῦτο καὶ ἡμᾶς ὁ Ψαλμὸς νουθετεῖ (27)· *Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε.* Καὶ ὁ Κύριος τῷ μὲν
B ὀργιζομένῳ εἰκῇ τὴν κρίσιν ἐπανατείνεται· τὸ δὲ ἐφ' ἃ δεῖ κεχρῆσθαι τῇ ὀργῇ, ὡς ἐν φαρμάκου εἴδει οὐ παραιτεῖται. Τὸ γὰρ, *Ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ τοῦ ὄφεως*· καὶ τὸ, *Ἐχθραίνετε τοῖς Μαδιηναίοις*, διδάσκοντός ἐστι κεχρῆσθαι τῷ θυμῷ ὥσπερ ὅπλῳ. Διὰ τοῦτο Μωϋσῆς ὁ πάντων ἀνθρώπων πραότατος, ἐκδικῶν τὴν εἰδωλολατρείαν, τὰς τῶν Λευϊτῶν χεῖρας πρὸς τὸν τῶν ἀδελφῶν φόνον ἐξώπλισε. *Θέσθω*, φησὶ, *τὴν ῥομφαίαν ἕκαστος ἐπὶ τὸν μηρὸν αὐτοῦ, καὶ διέλθετε ἀπὸ πύλης εἰς πύλην, καὶ ἀνακάμψατε διὰ τῆς παρεμβολῆς· καὶ ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἔγγιστα* (28) *αὐτοῦ.* Καὶ μετ' ὀλίγα· *Καὶ εἶπε*, φησὶ, *Μωϋσῆς*·
C *Ἐπληρώσατε τὰς χεῖρας ὑμῶν* (29) *σήμερον τῷ Κυρίῳ, ἕκαστος ἐν τῷ υἱῷ αὐτοῦ, καὶ ἐν τῷ ἀδελφῷ αὐτοῦ, δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν.* Τί δὲ τὸν Φινεὲς ἐδικαίωσεν; Οὐχ ἡ δικαία ὀργὴ κατὰ τῶν πορνευσάντων; ὃς, τὰ πολλὰ ἐπιεικὴς ὢν καὶ πρᾶος, ἐπειδὴ εἶδε τὴν πορνείαν τοῦ Ζαμβρὶ καὶ τῆς Μαδιανίτιδος ἀναφανδὸν καὶ ἀπηρυθριασμένως γινομένην, οὐδὲ συγκαλυπτόντων αὐτῶν τῆς αἰσχύνης τὴν ἀσχήμονα θέαν, οὐκ ἀνασχόμενος, εἰς δέον ἐχρήσατο τῷ θυμῷ, δι' ἀμφοῖν ἐλάσας τὸν σειρομάστην. Σαμουὴλ δὲ τὸν Ἀγὰγ τὸν βασιλέα τοῦ Ἀμαλὴκ ὑπὸ τοῦ Σαοὺλ παρὰ τὸ πρόσταγμα τοῦ Θεοῦ περισωθέντα οὐχ ὑπὸ δικαίας ὀργῆς εἰς μέσον ἀγαγὼν κατεφόνευσεν; Οὕτω γίνεται πολλάκις ὁ θυμὸς ἀγαθῶν πράξεων ὑπηρέτης. Ἠλίας δὲ ὁ ζηλωτὴς, πεντήκοντα καὶ
D τετρακοσίους ἄνδρας ἱερεῖς *τῆς αἰσχύνης*, καὶ τετρακοσίους ἄνδρας ἱερεῖς τῶν ἀλσῶν, ἐσθίοντας (30) τράπεζαν Ἰεζάβελ, λελογισμένῳ θυμῷ καὶ σώφρονι εἰς ὄφελος παντὸς τοῦ Ἰσραὴλ ἐθανάτωσε. Σὺ δὲ ὀργίζῃ τῷ ἀδελφῷ σου εἰκῇ. Πῶς γὰρ οὐκ εἰκῇ, ἄλλου ἐνεργοῦντος, ἄλλῳ χαλεπαίνων αὐτός; Καὶ ποιεῖς τὸ

[36] Psal. IV, 5. [37] Matth. V, 22. [38] Gen. III, 15. [39] Num. XXV, 17 [40] Num. XII, 3. [41] Exod. XXXII, 27. [42] ibid. 29. [43] Num. XXV, 8. [44] I Reg. XV, 33. [45] III Reg. XVIII, 22-40.

(26) Colb. tertius καὶ μακαριστός, *beatus prædicandus*.

(27) Reg. primus et Colb. tertius Διὰ τοῦτο καὶ ὁ Ψαλμῳδὸς ἡμᾶς νουθετεῖ ὀργίζεσθαι, καὶ μὴ ἁμαρτάνειν.

(28) Sic mss. plerique omnes. Editi ἀδελφὸν αὐτοῦ πλησίον, καὶ ἕκαστος τὸν ἔγγιστα: quod mutilum erat et mancum.

(29) Hunc locum, Ἐπληρώσατε τὰς χεῖρας ὑμῶν, etc., *implevistis manus vestras*, etc., illustrat Ducæus in suis notis.

(30) Regii duo et Colb. primus πεντήκοντα καὶ τετρακοσίους ἄνδρας ἱερέων τῶν ἀλσῶν, ἐσθίοντας. Alii duo mss. et editi ut in contextu, fusius.

τῶν κυνῶν· οἳ τοὺς λίθους δάκνουσι, τοῦ βάλλοντος οὐ προσαπτόμενοι. Ὁ ἐνεργούμενος ἐλεεινός· ὁ δὲ ἐνεργῶν μισητός. Ἐκεῖ τὸν θυμὸν μετάθες ἐπὶ τὸν ἀνθρωποκτόνον, τὸν τοῦ ψεύδους πατέρα, τὸν ἐργάτην τῆς ἁμαρτίας· τῷ δὲ ἀδελφῷ καὶ συμπάθησον, ὅτι, ἐὰν ἐπιμείνῃ τῇ ἁμαρτίᾳ, μετὰ τοῦ διαβόλου παραδοθήσεται τῷ αἰωνίῳ πυρί. Ὥσπερ δὲ τὰ ὀνόματα διάφορα θυμοῦ καὶ ὀργῆς, οὕτω καὶ τὰ ὑπ' αὐτῶν σημαινόμενα πλεῖστον ἀλλήλων διαφέρει. Ἔστι γὰρ θυμὸς μὲν οἷον ἔξαψίς τις καὶ ἀναθυμίασις ὀξεῖα τοῦ πάθους· ὀργὴ δὲ ἔμμονος λύπη καὶ ὁρμὴ διαρκὴς πρὸς τὴν τῶν ἠδικηκότων ἀντίδοσιν, ὥσπερ ὀργώσης τῆς ψυχῆς πρὸς τὴν ἄμυναν. Εἰδέναι οὖν χρὴ, ὅτι κατ' ἀμφοτέρας τὰς διαθέσεις πλημμελοῦσιν οἱ ἄνθρωποι· ἢ μανικῶς καὶ ἐμπλήκτως κατὰ τῶν παροξυνόντων (31) κινούμενοι, ἢ δολερῶς καὶ ἐπιβούλως τοὺς λυπήσαντας ἐνεδρεύοντες· ἅπερ ἀμφότερα φυλακτέον ἡμῖν.

7. Πῶς ἂν οὖν μὴ κινοῖτο πρὸς ἃ μὴ δεῖ τὸ πάθος; Πῶς; Εἰ προπαιδευθείης (32) τὴν ταπεινοφροσύνην, ἣν ὁ Κύριος καὶ λόγῳ διετάξατο, καὶ ἔργῳ ὑπέδειξε· νῦν μὲν λέγων· *Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος ἔστω πάντων ἔσχατος*· νῦν δὲ πράως καὶ ἀκινήτως τοῦ τύπτοντος ἀνεχόμενος. Ὁ γὰρ οὐρανοῦ καὶ γῆς ποιητὴς καὶ δεσπότης, ὁ παρὰ πάσης τῆς νοητῆς καὶ αἰσθητῆς κτίσεως προσκυνούμενος, ὁ *Φέρων τὰ σύμπαντα τῷ ῥήματι τῆς δυνάμεως* (33) *αὐτοῦ*, οὐχὶ ζῶντα ἔπεμψεν αὐτὸν εἰς τὸν ᾅδην, τῆς γῆς ὑποῤῥαγείσης τῷ δυσσεβεῖ, ἀλλὰ νουθετεῖ καὶ διδάσκει· *Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;* Ἐὰν γὰρ ἐθισθῇς πάντων ἔσχατος εἶναι κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, πότε ἀγανακτήσεις ὡς παρὰ τὴν ἀξίαν καθυβρισμένος (34); Ὅταν σε παιδίον νήπιον λοιδορήσῃ, γέλωτος ἀφορμὴν ποιῇ τὰ λοιδορήματα· καὶ ὅταν ὑπὸ φρενίτιδος ἐξεστηκὼς τὴν διάνοιαν φθέγγηται ῥήματα ἀτιμίας, ἐλεεινὸν ἡγῇ μᾶλλον ἢ μίσους ἄξιον. Οὐ τοίνυν τὰ ῥήματα πέφυκε τὰς λύπας κινεῖν, ἀλλ' ἡ κατὰ τοῦ λοιδορήσαντος ἡμᾶς ὑπεροψία, καὶ ἡ ἑκάστου περὶ ἑαυτὸν φαντασία. Ὥστε ἂν ἀφέλῃς τῆς ἑαυτοῦ (35) διανοίας τούτων ἑκάτερον, ψόφος ἐστὶν ἄλλως διακενῆς ἠχῶν τὰ φερόμενα. *Παῦσαι οὖν ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμὸν*, ἵνα φύγῃς τῆς ὀργῆς τὴν πεῖραν, τῆς *Ἀποκαλυπτομένης ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων*. Ἐὰν γὰρ λογισμῷ σώφρονι ἐκτεμεῖν δυνηθῇς τὴν πικρὰν ῥίζαν τοῦ θυμοῦ, πολλὰ τῶν παθῶν τῇ ἀρχῇ ταύτῃ συναναιρήσεις. Καὶ γὰρ τὸ δολερὸν καὶ ὕποπτον, καὶ ἄπιστον καὶ κακόηθες, καὶ ἐπίβουλον καὶ θρασὺ, καὶ πᾶν τὸ τῶν τοιούτων

A qui vero instigat, odio est habendus. Illuc iram transfer in homicidam, mendacii patrem, artificem peccati; fratris vero potius commiserescε, **90** eo quod si in peccato permanserit, una cum diabolo igni æterno tradendus sit. Quemadmodum autem diversa sunt indignationis et iræ nomina : ita quoque subjectæ ipsius notiones, plurimum inter se differunt. Indignatio enim quasi quædam incensio est ac repentina affectus exhalatio ; ira vero, dolor constans, perpetuusque appetitus vicis rependendæ nocentibus, anima velut in vindictam pruriente. Scire itaque operæ pretium est, quod affectu utroque peccant homines, aut furiose ac temere adversus irritantes commoti, aut per dolos ac insidias B eos qui ipsis molestiam exhibent, circumvenientes : quæ duo cavenda nobis sunt.

7. Qui igitur fieri poterit, ut turbulentus ille affectus ad ea quæ non oportet, non cieatur? Quomodo? Si fueris prius humilitatem edoctus, quam Dominus et verbis præcepit, et re ostendit. Quippe modo dicit : *Qui vult inter vos primus esse, sit omnium postremus* [46] : modo vero toleravit cædentem leni animo atque immoto [47]. Nam cœli terræque conditor ac dominus, qui a creatura omni tam spirituali quam in sensum cadenti adoratur, *Portans omnia verbo virtutis suæ* [48], percussorem non misit vivum in inferos, terra ad impium deglutiendum dehiscente, sed C commonefacit ac docet : *Si male locutus sum, testimonium perhibe de malo ; si autem bene, quid me cædis* [49]? Etenim si juxta præceptum Domini postremus omnium esse assueveris, quandonam indignabere, quasi sis præter dignitatem contumeliis divexatus? Cum puer parvulus tibi conviciatur, convicia facis ridendi materiam : quinetiam cum quis præ phrenitide mente lapsus, verba ignominiosa loquitur, ducis illum misericordia quam odio digniorem. Non igitur verba ipsa, sed insurgens adversus conviciatorem superbia, et cujusque de se ipso existimatio molestiam ac negotium solent facessere. Quare si utrumque horum ex animo exemeris ; ea quæ proferuntur, nil aliud sunt, nisi sonitus frustra ac temere editus. D *Desine* igitur *ab ira, et derelinque furorem* [50] : ut iræ periculum effugias, quæ *De cœlo revelatur super omnem impietatem, et injustitiam hominum* [51]. Nam si consilio prudenti amaram iræ radicem exscindere poteris, vitia non pauca una

[46] Marc. IX, 34. [47] Joan. XVIII, 22, 23. [48] Hebr. I, 3. [49] Joan. XVIII, 23. [50] Psal. XXXVI, 8. [51] Rom. I, 18.

(31) Antiqui duo libri παροξυνάντων.
(32) Sic in quatuor mss. legitur, in editis vero εἰ παιδευθείης. Mox Reg. primus καὶ ἔργοις.
(33) Utraque editio et Coisl. et Colb. tertius perinde ut textus sacer τῷ ῥήματι τῆς δυνάμεως, *verbo virtutis suæ*. At Regii secundus et tertius cum Colb. primo τῷ νεύματι τῆς δυνάμεως, *nutu virtutis suæ*, seu *potentiæ suæ*.
(34) Reg. primus ἀξίαν καθυβριζόμενος. Aliquanto post idem codex ἐλεεινὸν ἥγησαι. Reg. secundus ἡγοῦ.
(35) Tres saltem antiqui libri τῆς σεαυτοῦ. Editi et Reg. tertius ἑαυτοῦ. Mox unus ms. Παῦσαι τοίνυν ἀπό. Ibidem Colb. tertius καὶ ἐγκατάλειπε. Subinde idem codex et Reg. primus ἀποκαλυπτομένης ἐξ οὐρανῶν.

cum hoc principio exstirpabis. Nam dolus, suspicio, infidelitas, malignitas, insidiæ, audacia, et omne similium malorum examen, vitii hujus germina sunt. Quare ne accersamus nobis malum tantum, animæ ægritudinem, rationis caliginem, abalienationem a Deo, necessitudinis ignorantiam, belli principium, calamitatum cumulum, malum dæmonem ipsis animis nostris innascentem, et velut impudentem quemdam inquilinum interiora nostra occupantem, atque Spiritui sancto aditum præcludentem. Ubi enim sunt inimicitiæ, lites, iræ, rixæ, contentiones, tumultus irrequietos **91** in animabus gignentes: ibi mansuetudinis Spiritus haud requiescit. Sed beati Pauli admonitioni obtemperantes, omnem iram et indignationem et clamorem cum malitia omni a nobis tollamus [32], efficiamurque in nos invicem humani ac misericordes, exspectantes beatam spem mansuetis promissam (*Beati* siquidem *mites*, *quoniam ipsi possidebunt terram* [33]), in Christo Jesu Domino nostro, cui gloria et imperium in sæcula. Amen.

A πονηρῶν (36) σμῆνος, ταύτης τῆς κακίας ἐστὶν ἀποβλαστήματα. Μὴ δὴ οὖν ἐπεισάγωμεν ἑαυτοῖς κακὸν τοσοῦτον· ἀῤῥωστίαν ψυχῆς, σκότωσιν λογισμῶν, ἀπὸ Θεοῦ ἀλλοτρίωσιν, οἰκειότητος ἄγνοιαν, ἀρχὴν πολέμου, συμφορῶν πλήρωμα, δαίμονα πονηρὸν αὐταῖς ἡμῶν ταῖς ψυχαῖς ἐντικτόμενον, καὶ ὥσπερ τινὰ ἔνοικον ἀναιδῆ προκατέχοντα ἡμῶν τὰ ἔνδον, καὶ τῷ ἁγίῳ Πνεύματι τὴν πάροδον ἀποκλείοντα. Ὅπου γὰρ ἔχθραι, ἔρεις, θυμοί, ἐριθεῖαι, φιλονεικίαι, θορύβους ἀσιγήτους ταῖς ψυχαῖς ἐμποιοῦντα· ἐκεῖ τὸ πνεῦμα τῆς πραΰτητος οὐκ ἀναπαύεται. Πεισθέντες δὲ τῇ παραινέσει τοῦ μακαρίου Παύλου, πᾶσαν ὀργὴν καὶ θυμὸν καὶ κραυγὴν ἄρωμεν ἀφ' ἡμῶν σὺν πάσῃ κακίᾳ, καὶ γενώμεθα εἰς ἀλλήλους χρηστοὶ καὶ εὔσπλαγχνοι, ἀναμένοντες τὴν μακαρίαν ἐλπίδα τὴν τοῖς πραέσιν B ἐπηγγελμένην (*Μακάριοι γὰρ οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν*), ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος (37) εἰς τοὺς αἰῶνας. Ἀμήν.

HOMILIA XI.

De invidia.

1. Bonus est Deus, et bonorum iis qui digni sunt largitor; malus est diabolus, et cujuscunque iniquitatis artifex. Et quemadmodum ex bono consequens est, ut invidia careat: sic invidia diabolum sequitur. Caveamus igitur, fratres, invidiæ vitium, ne socii operum adversarii efficiamur, neve cum ipso inveniamur judicio eodem condemnati. Etenim si superbus in judicium incidit diaboli, quomodo invidus paratum diabolo supplicium effugiet? Nam perniciosius nullum vitium innascitur in hominum animis, quam invidia quæ extraneos minime lædens, primum malum est et domesticum habenti. Ut

ΟΜΙΛΙΑ ΙΑ'.

Περὶ φθόνου (38).

1. Ἀγαθὸς ὁ Θεὸς, καὶ ἀγαθῶν τοῖς ἀξίοις παρεκτικός· πονηρὸς ὁ διάβολος, καὶ κακίας παντοίας δημιουργός. Καὶ ὥσπερ ἕπεται τῷ ἀγαθῷ ἡ ἀφθονία, C οὕτως ἀκολουθεῖ τῷ διαβόλῳ ἡ βασκανία. Φυλαξώμεθα οὖν, ἀδελφοί, τὸ πάθος τοῦ φθόνου, μὴ κοινωνοὶ τῶν ἔργων τοῦ ἀντικειμένου γενώμεθα, καὶ εὑρεθῶμεν τῷ αὐτῷ συγκαταδικαζόμενοι κρίματι. Εἰ γὰρ ὁ τυφωθεὶς εἰς κρῖμα ἐμπίπτει τοῦ διαβόλου, πῶς ὁ φθονερὸς τὴν ἡτοιμασμένην τῷ διαβόλῳ τιμωρίαν ἐκφεύξεται; Φθόνου γὰρ πάθος οὐδὲν ὀλεθριώτερον (39) ψυχαῖς ἀνθρώπων ἐμφύεται· ὃς, ἐλάχιστα (40) λυπῶν τοὺς ἔξωθεν, πρῶτον κακὸν καὶ

[32] Ephes. IV, 31. [33] Matth. v, 4.

(36) Colb. primus τοιούτων πονηριῶν. Alii mss. πονηρῶν.

(37) In utraque editione post vocem κράτος sequuntur illa, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτῶν Πνεύματι, D *cum Patre ipsius experte principii, et sanctissimo bonoque et vivifico ipsorum Spiritu*: sed mihi dubium non est, quin totum illud, σὺν τῷ, etc., habendum sit pro additamento librariorum. Nam præterquam quod hæ voces in nostris sex mss. desunt, orationes suas tanto verborum ambitu concludere non solet Basilius. Accedit etiam, quod vox πανάγιος, si bene commemini, nunquam apud Basilium inveniatur.

(38) Vide infra Rufini interpretationem, p. 726.

(39) Reg. primus οὐδὲν ἀθλιώτερον.

(40) Combefisius asseveranter in suo Ecclesiaste Græco dixerat scripsisse Basilium οὐκ ἐλάχιστα: sed in suo *Basilio recensito* modestius loquitur, nempe hoc modo: Num ὅς οὐκ ἐλάχιστα. Postquam autem hunc locum bene, ut putabat, eo quo diximus modo emendaverat, sic interpretatus est, *quæ* [invidia] *cum non minimum eos lædat, qui extra sunt, primum malum atque proprium habenti exsistit.* Sed, nisi omnia me fallunt, tantum abest ut vocula οὐκ, quam addendam censet Combefisius, necessaria sit, ut etiam ejus loci præclaram sententiam prorsus corrumpat. Docet enim Basilius, extraneos, seu eos quibus invidetur, nullo modo lædi invidia aliorum, nedum dicat ipsos aliorum invidia lædi maxime, seu, ut Combefisii verbis utar, *non minimum.* Igitur vocem ἐλάχιστα hic apud Basilium idem valere, quod apud Latinos vocem *minime*, obscurum non est. Unde sic interpretabimur, *quæ* [invidia] *extraneos minime lædens*, hoc est, *non lædens.* Vox πρῶτος, quæ sine dubio errandi causa fuit Combefisio, non ita intelligi debet, ut invidia primum lædat invidentem, deinde eum cui invidetur: sed sic, ut invidia malum sit maximum, et quod inter mala primas obtineat. Id enim si ita non esset, pugnaret secum Basilius, qui aliquanto post, num. 4, sic loquitur: Οὕτω καὶ τὰ τοῦ φθόνου κινήματα, οὐδὲν λυποῦντα τὸν βασκαινόμενον, αὐτοῦ πληγαὶ γίνονται τοῦ βασκάνου, *ita quoque invidiæ motus nihil lædentes eum cui invidetur, plagæ fiunt invidentis.* Nec prætereundum silentio, voculam οὐκ et in editis et in mss. pariter deesse.

οἰκεῖόν ἐστι τῷ κεκτημένῳ. Ὥσπερ γὰρ ἰὸς (41) σίδηρον, οὕτως ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν ἐξαναλίσκει. Μᾶλλον δὲ ὥσπερ τὰς ἐχίδνας φασὶ τὴν κυήσασαν αὐτὰς γαστέρα διεσθιούσας ἀπογεννᾶσθαι, οὕτω καὶ ὁ φθόνος τὴν ὠδίνουσαν αὐτὸν ψυχὴν πέφυκε δαπανᾷν. Λύπη γάρ ἐστι τῆς τοῦ πλησίον εὐπραγίας ὁ φθόνος. Διόπερ οὐδέποτε ἀνίαι, οὐδέποτε δυσθυμίαι τὸν βάσκανον ἐπιλείπουσιν (42). Εὐφόρησεν ἡ χώρα τοῦ πλησίον; εὐθηνεῖται πᾶσι τοῖς κατὰ τὸν βίον ὁ οἶκος; θυμηδίαι τὸν ἄνδρα οὐκ ἐπιλείπουσι; ταῦτα πάντα τροφὴ τῆς νόσου, καὶ προσθήκη τῆς ἀλγηδόνος ἐστὶ τῷ βασκάνῳ. Ὥστε οὐδὲν διαφέρει ἀνθρώπου γυμνοῦ παρὰ πάντων τιτρωσκομένου. Ἀνδρεῖός τίς ἐστιν; εὐεκτεῖ (43); ταῦτα πλήττει τὸν βάσκανον. Ἕτερος χαριέστερος τὴν μορφήν; ἄλλη πληγὴ τῷ βασκάνῳ. Ὁ δεῖνα τοῖς τῆς ψυχῆς προτερήμασι τῶν πολλῶν ὑπερέχει; ἐπὶ φρονήσει καὶ δυνάμει λόγων ἀποβλέπεται καὶ ζηλοῦται; ἄλλος πλουτεῖ καὶ φιλοτιμεῖται λαμπρῶς ἐν ἐπιδόσεσι καὶ κοινωνίᾳ τῇ πρὸς τοὺς ἐνδεεῖς, καὶ πολὺς αὐτῷ παρὰ τῶν εὐεργετουμένων ὁ ἔπαινος; ταῦτα πάντα πληγαὶ καὶ τραύματα, μέσην αὐτοῦ τύπτοντα τὴν καρδίαν. Καὶ τὸ χαλεπὸν τῆς νόσου, ὅτι οὐδὲ ἐξειπεῖν αὐτὴν δύναται· ἀλλὰ κύπτει (44) μὲν, καὶ κατηφής ἐστι, καὶ συγκέχυται, καὶ ποτνιᾶται, καὶ ἀπόλωλεν ὑπὸ τοῦ κακοῦ. Ἐρωτώμενος δὲ τὸ πάθος, ἐρυθριᾷ δημοσιεῦσαι τὴν συμφορὰν, ὅτι Βάσκανός εἰμι καὶ πικρὸς, καὶ ἐπιτρίβει με τὰ τοῦ φίλου καλὰ, καὶ τοῦ ἀδελφοῦ τὴν εὐθυμίαν ὀδύρομαι, καὶ οὐ φέρω τὴν θέαν τῶν ἀλλοτρίων καλῶν, ἀλλὰ συμφορὰν ποιοῦμαι τὴν τῶν πλησίον εὐημερίαν. Ταῦτα γὰρ ἂν εἴποι, εἰ τὰ ἀληθῆ λέγειν βούλοιτο. Ὧν οὐδὲν (45) ἐξειπεῖν αἱρούμενος, ἐν τῷ βάθει κατέχει τὴν νόσον ὑποσμύχουσαν αὐτοῦ τὰ σπλάγχνα καὶ κατεσθίουσαν.

2. Οὐκοῦν οὔτε ἰατρὸν τῆς νόσου παραλαμβάνει, οὔτε τι φάρμακον ἐξευρεῖν δύναται τοῦ πάθους ἀλεξητήριον, καίτοι πλήρεις αἱ Γραφαὶ τῶν ἰαμάτων τούτων· ἀλλὰ μίαν ἀναμένει τοῦ κακοῦ ῥᾳστώνην, εἴ πού τινα ἴδοι καταπεσόντα τῶν φθονουμένων. Οὗτος ὅρος τοῦ μίσους, ἄθλιον ἰδεῖν ἐκ μακαρίου τὸν βασκαινόμενον, ἐλεεινὸν γενέσθαι τὸν ζηλωτόν. Τότε σπένδεται, καὶ φίλος ἐστὶν, ὅταν δακρύοντα ἴδῃ, ὅταν πενθοῦντα θεάσηται. Καὶ εὐθυμοῦντι μὲν οὐ συνευφραίνεται· ὀδυρομένῳ δὲ συνδακρύει. Καὶ τὴν μεταβολὴν τοῦ βίου, ἐξ οἵων εἰς οἷα μεταπέπτωκε, κατοικτίζεται, οὐχ ὑπὸ φιλανθρωπίας, καὶ τοῦ συμπαθὴς εἶναι, ἐξαίρων τῷ λόγῳ τὰ πρότερα, ἀλλ' ἵνα βαρυτέραν αὐτῷ κατασκευάσῃ τὴν συμφοράν. Τὸ παιδίον μετὰ τὸν θάνατον ἐπαινεῖ, καὶ μυρίοις ἐγκωμίοις ἀποσεμνύνει, ὡς μὲν καλὸν ἰδεῖν, ὡς δὲ εὐμαθὲς, ὡς δὲ πρὸς πάντα εὐάρμοστον· οὐκ ἂν αὐτῷ περιόντι γλῶσσαν εὔφημον χαρισάμενος. Ἐὰν μέντοι πολλοὺς ἴδῃ συντρέχοντας τῷ ἐπαίνῳ, μεταβαλὼν πάλιν, βασκαίνει τῷ τεθνεῶτι. Τὸν πλοῦτον θαυμάζει μετὰ τὴν ἔκπτωσιν. Τὴν ὥραν τοῦ σώματος, ἢ τὴν

A ἔγνω καὶ αὐτὸς διὰ τῆς τοῦ κόσμου σοφίας τὸν Θεόν. *Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται.* Προσβιβάζει δὲ ἡμᾶς τῇ περὶ Θεοῦ ἐννοίᾳ (92), δι' ὧν φησιν· *Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν*· καὶ τὸ, *Ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ*· καὶ τὸ, *Ἤμην παρ' αὐτῷ ἁρμόζουσα· κἀγὼ ἤμην, ᾗ προσέχαιρε.* Ταῦτα γὰρ πάντα, προσωποποιήσας ἡμῖν τὴν σοφίαν, ὑπὲρ τοῦ ἐναργῶς αὐτῆς παραστῆσαι τὴν γνῶσιν, ἀπ' αὐτῆς διαλέγεται. Καὶ ὅλως τὸ, *Κύριος ἔκτισέ με* (93) *ἀρχὴν ὁδῶν αὐτοῦ*, περὶ τῆς ἐμφαινομένης σοφίας τῷ κόσμῳ φησὶ, μονονουχὶ φωνὴν ἀφιείσης διὰ τῶν ὁρωμένων, ὅτι παρὰ Θεοῦ γέγονε, καὶ οὐχ αὐτομάτως ἡ τοσαύτη σοφία τοῖς ἀποτελεσθεῖσιν ἐμπρέπει. Ὡς γὰρ *Οἱ οὐρανοὶ* B *διηγοῦνται δόξαν Θεοῦ, καὶ ποίησιν τῶν χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα* (διηγοῦνται δὲ ἄνευ φωνῆς)· *οὐ γάρ εἰσι λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται* (94) *αἱ φωναὶ αὐτῶν*· οὕτως εἰσί τινες καὶ σοφίας λόγοι τῆς ἀρχεγόνου, τῆς πρὸ τῶν ἄλλων ἐν τῇ δημιουργίᾳ συγκαταβληθείσης τῇ κτίσει. Αὕτη σιωπῶσα βοᾷ τὸν ἑαυτῆς κτίστην καὶ Κύριον, ἵνα δι' αὐτῆς ἀναδράμῃς ἐπὶ τὴν ἔννοιαν τοῦ μόνου σοφοῦ.

4. Ἔστι δέ τις καὶ ἀνθρωπίνη σοφία· ἡ ἐμπειρία τῶν κατὰ τὸν βίον πραγμάτων, καθ' ἣν σοφοὺς λέγομεν τοὺς καθ' ἑκάστην τῶν ὠφελίμων τεχνῶν ἐπιστήμονας. Διόπερ καὶ τὸ πολὺ τῆς βίβλου ἐν τῇ περὶ τῆς σοφίας προτροπῇ τῷ συγγραφεῖ κατανάλωται. *Σοφία ἐν ἐξόδοις ὑμνεῖται* (95), *ἐν δὲ πλατείαις* C *παῤῥησίαν ἄγει· ἐπ' ἄκρων δὲ τειχέων κηρύσσεται.* Ὁρῶν γὰρ τὸ φιλότιμον τῶν ἀνθρώπων, καὶ ὅτι πάντες φυσικῶς τὸ περιφανὲς αὐτῆς ἀσπαζόμεθα, διὰ τῶν ἐπαίνων τῆς σοφίας ἐπεγείρει τὰς ψυχὰς πρὸς τὸ μὴ νωθρῶς μηδὲ παρέργως αὐτῆς ἀντιποιεῖσθαι. Πανταχοῦ αὐτῆς πολὺν εἶναι τὸν λόγον φησὶν, ἐν ὁδοῖς, ἐν ἀγοραῖς, ἐν τοῖς ὀχυρώμασι τῆς πόλεως. Διὰ τοῦτο πύλας λέγει καὶ πλατείας καὶ τείχη, διὰ μὲν τῶν ἐξόδων καὶ τῶν πλατειῶν τὸ περιφανὲς αὐτῆς ὑποφαίνων, διὰ δὲ τῶν τειχῶν τὸ ἀπ' αὐτῆς ὠφέλιμον, καὶ πρὸς πᾶσαν ἀσφάλειαν τοῦ βίου αὔταρκες. Καὶ βουλόμενος ἡμᾶς αὐτῇ προσοικειῶσαι· *Εἶπον*, φησὶ, *τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι*· καὶ πάλιν· *Ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε.* Εἶτα τὸ κοινω- D φελὲς αὐτῆς ἐνδεικνύμενος, καὶ ὅτι πᾶσιν ὁμοίως ἀνεῖται τὸ ἀπ' αὐτῆς ὠφέλιμον· *Ἔσφαξε*, φησὶ, *τὰ*

[70] Rom. I, 20. [71] Prov. III, 19. [72] Prov. VIII, 27-30. [73] ibid. 22. [74] Psal. XVIII, 2, 4. [75] Prov. I, 20. [76] Prov. VII, 4. [77] Prov. IV, 6. [78] Prov. IX, 2.

(92) Colb. tertius προβιβάζει δὲ ἡμῖν τὴν περὶ Θεοῦ ἔννοιαν.

(93) Sic quidem editum invenitur apud LXX, ἔκτισέ με, *creavit me :* sed apud alios interpretes pro ἔκτισε legitur ἐκτήσατο, *possedit me*, nec secus habet Vulgata. Ducæus multa in hunc locum notavit; nec certe indigna sunt quæ legantur.

(94) Hunc locum, ὧν οὐχὶ ἀκούονται, etc., illustrans Ducæus in suis notis, ait ita vertendum esse cum Conario, *quorum ipsorum voces non audiuntur*, aut certe, si Hebraismum et pleonasmum servare velimus, hoc modo, *quorum non audiuntur voces eorum ;* quasi, inquit, dicat David : *Non sunt loquelæ cælorum ullæ, neque sermones, utpote quorum voces non audiuntur, et tamen in omnem terram exivit sonus eorum.* Et ne hæc interpretatio nova videatur, ejus profert veteres duos ac idoneos auctores, Theodotionem et Theodoretum.

(95) Illa, ὑμνεῖται.... κηρύσσεται, active an passive accipiantur, nihil, quod ad sensum attinet, referre arbitramur. Etenim si active sumantur, hæc erit sententia, Sapientia seipsam canit ac prædicat : si passive, hæc verba ita intelligenda erunt, Sapientia canitur ac prædicatur a semetipsa.

ἑαυτῆς θύματα· τουτέστι, στερεὰν τροφὴν ἡτοίμασε τοῖς διὰ τὴν ἕξιν γεγυμνασμένοις τὰ αἰσθητήρια τῆς ψυχῆς. *Ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου.* Κρατῆρα δὲ λέγει τὴν κοινὴν καὶ πάνδημον τῶν ἀγαθῶν μετουσίαν· ὅθεν ὁμοτίμως πᾶσιν ἔξεστι τὸ ἑκάστῳ δυνατὸν καὶ σύμμετρον ἀπαρύεσθαι. *Καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν.* Πάντα δι' ἐμφάσεως λέγει, διὰ τῶν σωματικῶν τὰ πνευματικὰ ἡμῖν παραδεικνύς. Τὴν γὰρ λογικὴν τροφὴν τῆς ψυχῆς τράπεζαν ὀνομάζει, πρὸς ἣν συγκαλεῖ μετὰ ὑψηλοῦ κηρύγματος, τουτέστι, μετὰ δογμάτων οὐδὲν ταπεινὸν οὐδὲ καταβεβλημένον ἐχόντων. *Ὃς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με.* Ὡς γὰρ οἱ ἀσθενοῦντες χρήζουσιν ἰατρικῆς, οὕτω σοφίας οἱ ἄφρονες ἐπιδέονται. Καὶ τό· *Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου* (96) *καὶ ἀργυρίου θησαυρούς*· καὶ τό· *Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστι*· καὶ τό· *Υἱέ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον* (97) *σου*· καὶ τό· *Υἱῷ δὲ σοφῷ εὔοδοι ἔσονται πράξεις.* Καὶ ὅλως ἔξεστί σοι γνῶναι τοῦ λόγου τὴν ἀλήθειαν, ἀναλεξαμένῳ κατὰ σχολὴν τὰ περὶ τῆς σοφίας εἰρημένα τῷ Σολομῶντι. *Ἐπειδὴ δὲ εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία*, καθαίρει πρότερον διὰ τοῦ θείου φόβου τὰς ψυχὰς τῶν μελλόντων τῇ σοφίᾳ προσομιλεῖν. Τὸ γὰρ εἰς τοὺς τυχόντας ῥίπτειν τὰ τῆς σωτηρίας μυστήρια, καὶ πάντας ὁμοίως παραδέχεσθαι, τοὺς μήτε βίῳ καθαρῷ, μήτε λόγῳ ἐξητασμένῳ καὶ ἀκριβεῖ κεχρημένους, ὅμοιόν ἐστιν ὥσπερ ἂν εἰ καὶ ἐν ἀγγείῳ τις ῥυπαρῷ τὸ πολυτίμητον μύρον ἐμβάλλοι. Διὰ τοῦτο, *Ἀρχὴ σοφίας, φόβος Κυρίου.* Φόβος δὲ καθάρσιον ψυχῆς κατὰ τὴν εὐχὴν τοῦ προφήτου λέγοντος· *Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου.* Ὡς ὅπου φόβος ἐνοικεῖ, ἐκεῖ ψυχῆς ἅπασα καθαρότης ἐνίδρυται, πάσης πονηρίας καὶ ἀνοσίου πράξεως (98) ὑποφευγούσης, τῶν τοῦ σώματος μελῶν κινηθῆναι πρὸς ἀτόπους ἐνεργείας, διὰ τὸ τῷ φόβῳ καθηλῶσθαι, μὴ δυναμένων. Ὥσπερ γὰρ ὁ ἐμπεπηγότας ἔχων ἐν ἑαυτῷ τοὺς σωματικοὺς ἥλους ἀνενέργητός ἐστιν ὑπὸ τῶν ὀδυνῶν κατεχόμενος· οὕτως ὁ τῷ φόβῳ τοῦ Θεοῦ κατειλημμένος, οὐχ ὀφθαλμῷ χρήσασθαι πρὸς ἃ μὴ δεῖ, οὐ χεῖρας κινῆσαι πρὸς ἀπηγορευμένας πράξεις, οὐχ ὅλως μικρὸν ἢ μεῖζον ἐνεργῆσαι παρὰ τὸ καθῆκον δύναται, οἷον ὀδύνῃ τινὶ τῇ προσδοκίᾳ τῶν ἀπειληθέντων συμπεπαρμένος.

5. Τοὺς δὲ βεβήλους καὶ συρφετώδεις ἀποπέμπεται τῶν θείων διδασκαλιῶν, λέγων· *Ἄφοβοι δὲ* (99) *ἐν πύλαις αὐλισθήσονται*· καὶ τό· *Ζητήσετε παρὰ κακοῖς σοφίαν, καὶ οὐχ εὑρήσετε*· καὶ πάλιν·

A hoc est, solidum cibum præparavit iis, qui animæ sensus habent exercitatos ob assuetudinem[79]. *Miscuit in craterem suum vinum*[80], *lætificans cor hominis*[81]. Craterem autem appellat communem generalemque bonorum participationem : unde omnibus licet, quantum quisque potest, et quantum cuique congruit, æqualiter haurire. *Et paravit suam mensam*[82]. Omnia per emphasim dicit, spiritualia nobis per corporalia significans. Nam rationalem animæ cibum mensam nominat, ad quam alto cum præconio convocat, hoc est, cum decretis ac institutis nihil humile aut abjectum habentibus. *Qui insipiens est, declinet ad me*[83]. Quemadmodum enim ars medica infirmis necessaria est, sic insipientes sapientia indigent. Et illud : *Melius est enim illam mercari,*
B *quam auri et argenti thesauros*[84]. Item illud : *Pretiosior est lapidibus pretiosis : omne autem pretiosum non est illa dignum*[85]. Et : *Fili, si sapiens fueris tibi, sapiens eris et proximis tuis*[86]. Illud quoque : *Filio sapienti prospere cedent actiones*[87]. Et in summa, tibi licet sermonis veritatem cognoscere, per otium ea quæ de sapientia a Salomone dicta sunt colligenti. *Quoniam vero in malevolam animam non introibit sapientia*[88], prius animas eorum qui sunt cum sapientia collocuturi, per divinum timorem expurgat. Nam projicere in vulgus mysteria salutis, et omnes ex æquo recipere, neque vita pura ornatos, neque exquisita et accurata ratione usos, perinde est ac si quis unguentum pretiosissimum in vas sordidum
C infuderit. Quamobrem *Initium sapientiæ, timor Domini*[89]. Animæ autem expurgatio timor est, **101** juxta prophetæ votum, qui ait : *Confige timore tuo carnes meas*[90]. Nam ubi timor inhabitat, ibi tota animæ munditiies residet, aufugitque omnis pravitas atque actio impia, siquidem membra corporis, quod timore quasi quibusdam clavis confixa sint, ad turpia opera non queunt moveri. Sicut enim qui corporales clavos habet in seipso confixos, nihil agere potest ob eos quibus detinetur dolores : sic qui timore Dei correptus est, non oculo uti ad ea quæ non oportet, non manus movere ad vetitas actiones, non denique quidquam parvum aut magnum præter officium peragere poterit, exspectatione minarum perinde ut dolore quodam transfixus.

D

5. Porro profanos ac vulgus a disciplinis divinis arcet, his verbis : *Qui sine timore sunt, in portis morabuntur*[91]. Illud itidem : *Quæretis apud malos sapientiam, et non invenietis*[92]. Et rursus : *Quæren*

[79] Hebr. v, 14. [80] Prov. ix, 2. [81] Psal. ciii, 15. [82] Prov. ix, 2. [83] ibid. 4. [84] Prov. iii, 13. [85] ibid. 15. [86] Prov. ix, 12. [87] Prov. xiii, 13. [88] Sap. i, 4 [89] Prov. i, 7. [90] Psal. cxviii, 120. [91] Eccli. i, 28. [92] Prov. xiv, 6.

(96) Sic tres mss., nec aliter legitur apud LXX. At editi et Colb. primus ordine inverso ἢ ἀργυρίου καὶ χρυσίου.

(97) Colb. tertius καὶ τῷ πλησίον.

(98) Colbertini primus et tertius πάσης πονηρᾶς καὶ ἀνοσίας πράξεως.

(99) Illud, ἄφοβοι δέ, etc. *Qui sine timore sunt, in portis morabuntur*, in Proverbiis invenire non potuimus.

me mali, et non invenient [93], eo quod purgati non sint divino timore. Quare qui ad percipiendam sapientiam accessurus est, is a nequitiæ ignominiis per salutarem timorem expurgatus accedat. Emersit igitur nobis aliud etiam bonum e Proverbiorum doctrina, timoris silicet adeptio, quæ nobis per sapientiam affertur. Nosse disciplinam, alterum erat inter promissa [94]. Est autem disciplina institutio quædam animæ utilis, plerumque non sine multo labore eam a nequitiæ maculis expurgans, quæ *In præsens quidem non videtur esse gaudii, sed molestiæ ; at postea fructum tranquillum reddit ad salutem, iis qui per illam fuerint exercitati* [95]. Hanc igitur disciplinam nosse, non est mentis cujuslibet, quod plerique, ob difficultatem rerum agendarum animum despondentes, utilitatem eventus præ ruditate ac inscitia non præstolantur : sed ægre ferentes curationis austeritatem, in imperitiæ infirmitatibus permanent. Quapropter voces justorum sunt admiratione dignæ, dicentium : *Domine, ne in furore tuo arguas me : neque in ira tua corripias me* [96]. Non enim deprecantur disciplinam, sed iram. Huic consimile est et illud : *Corripe nos, Domine, verumtamen in judicio, et non in ira* [97]. Illud quoque : *Disciplina Domini aperit aures meas* [98]. Ut enim parvi pueri in discendo negligentes, postquam a magistris aut pædagogis flagro cæsi sunt, attentiores effecti, præceptiones suscipiunt, utque idem documentum ante verbera non audiebatur, sed post flagrorum dolorem, auribus quasi recens apertis, auditu et excipitur, et memoria retinetur : ita accidit et iis qui doctrinam divinam negligunt, ac præcepta aspernantur. Postquam enim experti sunt Dei correctionem ac disciplinam, tunc maxime Dei mandata quæ semper fuerant enuntiata, semperque neglecta, quasi primum eorum auribus illabentia recipiuntur. Eam ob causam, *Disciplina Domini*, inquit, *aperit aures meas*. Quoniam igitur disciplina corripit eum qui se inordinate gerit, uti factitabat Paulus, qui tradebat Satanæ [99], quasi cuipiam carnifici torquenti ac flagello concidenti, ut discerent non blasphemare; rebellem autem reducit, de quo scilicet dictum est : *Post captivitatem suam pœnitentiam egit* [1]; necesse est castigationis vim ac disciplinæ **102** cognoscere, ad quot et ad quanta utilis sit. Itaque utilitatis ipsius gnarus Salomon, ita admonet : *Ne destiteris puerum castigare, quoniam si virga eum cecideris, non morietur. Nam tu virga percuties illum, animam vero illius liberabis a morte* [2]. *Quis enim filius, quem non corripit pater* [3]? Hæc disciplina divitiis multis præstantior apud æquos rerum æstimatores habetur. Quapropter et ait Salomon :

A *Ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑρήσουσι*, διὰ τὸ μὴ ἐκκαθαρθῆναι (1) τῷ θείῳ φόβῳ. Ὥστε, μέλλων προσιέναι τῇ ἀναλήψει τῆς σοφίας, τῷ σωτηρίῳ φόβῳ τὰ ἀπὸ κακίας αἴσχη καθηράμενος προσερχέσθω. Ἀνεφάνη οὖν ἡμῖν καὶ ἕτερον ἀγαθὸν ἐκ τῆς τῶν Παροιμιῶν διδασκαλίας, ἡ τοῦ φόβου ἀνάληψις, διὰ τῆς σοφίας ἡμῖν ἐπεισαχθεῖσα. Δεύτερον ἦν ἐν τοῖς ἐπαγγέλμασι, γνῶναι παιδείαν. Ἔστι δὲ ἡ παιδεία ἀγωγή τις (2) ὠφέλιμος τῇ ψυχῇ, ἐπιπόνως πολλάκις τῶν ἀπὸ κακίας κηλίδων αὐτὴν ἐκκαθαίρουσα, ἥτις *Πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν εἰς σωτηρίαν*. Ταύτην τοίνυν τὴν παιδείαν γνῶναι οὐ τῆς τυχούσης ἐστὶ διανοίας· διότι πολλοὶ, πρὸς τὸ τῶν γινομένων
B ἐπίπονον ἀπαγορεύοντες, τὸ τῆς ἐκβάσεως ὠφέλιμον ὑπὸ ἀμαθίας οὐκ ἀναμένουσιν, ἀλλὰ δυσανασχετοῦντες πρὸς τὸ τῆς ἐπιμελείας αὐστηρὸν, τοῖς τῆς ἀμαθίας ἀῤῥωστήμασιν ἐναπέμειναν. Διὰ τοῦτο θαύματος ἄξιαι τῶν δικαίων αἱ φωναὶ, τῶν λεγόντων· *Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με*. Οὐ γὰρ τὴν παιδείαν παραιτοῦνται, ἀλλὰ τὴν ὀργήν. Τούτῳ παραπλήσιόν ἐστι καὶ τὸ, *Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ*· καὶ τό· *Ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα*. Ὥσπερ γὰρ τῶν παίδων οἱ νήπιοι, κατολιγωροῦντες τῶν μαθημάτων, μετὰ τὰς μάστιγας ἃς οἱ διδάσκαλοι αὐτοῖς ἢ παιδαγωγοὶ προσάγουσι, προσεχέστεροι γενόμενοι, δέχονται τὰ διδάγματα, καὶ ὁ αὐτὸς λόγος πρὸ μὲν τῶν πληγῶν οὐκ ἠκούετο, μετὰ
C δὲ τὰς ἐκ τῶν μαστίγων ὀδύνας, ὡς ἄρτι τῶν ὤτων διανοιγέντων, καὶ παρεδέχθη τῇ ἀκοῇ, καὶ διεφυλάχθη (3) τῇ μνήμῃ· οὕτω καὶ ἐπὶ τῶν παρακουόντων τῆς θείας διδασκαλίας καὶ καταφρονητικῶς πρὸς τὰς ἐντολὰς διακειμένων συμβαίνει. Ἐπειδὰν γὰρ ἐπαχθῇ αὐτοῖς παρὰ τοῦ Θεοῦ ἡ παιδεία, τότε δὴ μάλιστα τὰ ἀεὶ λαλούμενα καὶ ἀεὶ παρακουόμενα (4) τῶν τοῦ Θεοῦ προσταγμάτων, ὡς πρῶτον ἐμπεσόντα αὐτῶν ταῖς ἀκοαῖς, παρεδέχθη. Διὰ τοῦτο, *Ἡ παιδεία Κυρίου*, φησὶν, *ἀνοίγει μου τὰ ὦτα*. Ἐπεὶ οὖν ἡ παιδεία νουθετεῖ τὸν ἄτακτον, ὡς ἐποίει ὁ Παῦλος παραδιδοὺς τῷ Σατανᾷ, οἷον δημίῳ τινὶ στρεβλοῦντι καὶ μαστίζοντι, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν· τὸν δὲ ἀφηνιαστὴν ἐπανάγει, ὡς περὶ οὗ εἴρηται, ὅτι *Ὕστερον αἰχμαλωσίας αὐτοῦ μετενόησεν*· ἀναγκαῖον
D γνῶναι τῆς παιδείας τὴν δύναμιν πρὸς ὅσα ἐστὶ λυσιτελής. Εἰδὼς οὖν τὸ ἀπ' αὐτῆς ὠφέλιμον ὁ Σολομὼν, παραινεῖ· *Μὴ ἀπόσχῃ νήπιον παιδεύειν, ὅτι, ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐκ ἀποθανεῖται. Σὺ μὲν γὰρ ῥάβδῳ πατάξεις αὐτὸν, τὴν δὲ ψυχὴν αὐτοῦ ῥύσῃ ἐκ θανάτου. Τίς γὰρ υἱὸς, ὃν οὐ παιδεύει* (5) *πατήρ*; Αὕτη ἡ παιδεία πολλῶν χρημάτων ἐστὶ τοῖς ὀρθῶς λογιζομένοις τιμιωτέρα. Διό φησιν ὁ Σολομών·

[93] Prov. I, 28. [94] ibid. 2. [95] Hebr. XII, 11. [96] Psal. VI, 1. [97] Jerem. X, 24. [98] Isa. L, 5. [99] I Tim. I, 20. [1] Jerem. XXXI, 19. [2] Prov. XXIII, 13, 14. [3] Hebr. XII, 7.

(1) Colb. primus κεκαθάρθαι.
(2) Alius codex Colb. διαγωγή τις
(3) Reg. primus καὶ ἐφυλάχθη.
(4) Editio Basil. et quinque mss. παρακαλούμενα. Editio Paris. παρακουόμενα.
(5) Reg. primus παιδεύσει, *corripiet*.

Λάβετε παιδείαν, καὶ μὴ ἀργύριον· ἵνα ἐν καιρῷ περιστάσεων (6) ἢ τοῦ σώματος κάμνοντος, ἢ τῶν κατὰ τὸν οἶκον πεπονηκότων, μή ποτε πονηρὰν ἔννοιαν λάβῃς περὶ Θεοῦ, ἀλλ' ἐν ὑπομονῇ πολλῇ δέχῃ αὐτοῦ τὰς πληγὰς, παιδευόμενος ἐφ' οἷς ἥμαρτες, καὶ λέγῃς καὶ σὺ, διὰ τὸ γνῶναι παιδείαν, τό· *Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ*· καὶ τό· *Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με*. Οἷος ἦν ὁ Παῦλος λέγων· *Παιδευόμενοι, καὶ μὴ θανατούμενοι*· καὶ τό· *Ἐλεγχόμενοι, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν*.

6. Ἐπειδὴ δὲ καὶ ἡ τῶν μαθημάτων ἀνάληψις παιδεία λέγεται, κατὰ τὸ γεγραμμένον περὶ τοῦ Μωϋσέως, ὅτι *Ἐπαιδεύθη ἐν πάσῃ σοφίᾳ Αἰγυπτίων*, τὸ μὴ τοῖς τυχοῦσιν ἑαυτὸν μαθήμασιν ἐπιβάλλειν (7), ἀλλὰ γνῶναι τὴν χρησιμωτάτην παιδείαν, οὐ μικρὸν πρὸς σωτηρίαν. Ἤδη γάρ τινες, ἢ γεωμετρίᾳ σχολάζοντες, ἣν ἐξεῦρον Αἰγύπτιοι, ἢ ἀστρολογίᾳ τῇ παρὰ τῶν Χαλδαίων τετιμημένῃ, ἢ ὅλως περὶ σχήματα καὶ σκιὰς τὴν μετεωρολογίαν ἔχοντες (8), τῆς ἐκ τῶν θείων λογίων παιδεύσεως ὑπερεῖδον. Ἀλλὰ καὶ ποιητικὴ, καὶ ῥητορικὴ, καὶ ἡ τῶν σοφισμάτων εὕρεσις πολλοὺς ἀπησχόλησεν· ὧν ὕλη τὸ ψεῦδός ἐστιν. Οὔτε γὰρ ποιητικὴ συστῆναι δύναται ἄνευ τοῦ μύθου· οὔτε ῥητορικὴ ἄνευ τῆς ἐν τῷ λέγειν τέχνης· οὔτε σοφιστικὴ ἄνευ τῶν παραλογισμῶν. Ἐπεὶ οὖν πολλοὶ τῇ περὶ ταῦτα σπουδῇ τῆς περὶ Θεοῦ γνώσεως κατημέλησαν, ἐν τῇ τῶν ματαίων ἐρεύνῃ καταγηράσαντες, ἀναγκαία ἡ τῆς παιδείας ἐπίγνωσις, πρός τε τὴν αἵρεσιν (9) τῆς ὠφελίμου παιδείας, καὶ πρὸς τὴν ἀποφυγὴν τῆς ἀνονήτου (10) καὶ βλαβερᾶς. Ἔστι καὶ νοῆσαι λόγους φρονήσεως τῷ προσέχοντι ταῖς Παροιμίαις, καὶ τὸ ἀπ' αὐτῶν ὠφέλιμον μὴ ἀργῶς δεχομένῳ (11). Τὴν φρόνησιν τοίνυν ἐπιστάμεθα οὖσαν μίαν τῶν γενικῶν ἀρετῶν, καθ' ἣν ἐπιστήμονες γινόμεθα ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων οἱ ἄνθρωποι. Ὁ δὲ φρόνιμος δηλονότι παρωνύμως ἐκ τῆς φρονήσεως προσηγόρευται. Πῶς οὖν φρονιμώτατος ὁ ὄφις πάντων τῶν θηρίων μεμαρτύρηται γεγενῆσθαι;

A *Accipite disciplinam, et non argentum* [4]: ut in tempore calamitatum, aut ægrotante corpore, aut domesticis rebus se male habentibus, nihil unquam pravi de Deo cogites, imo in multa patientia inflictas ab ipso plagas accipias, tanquam ob tua peccata castigatus, utque tu quoque ob cognitam disciplinam dicas illud: *Iram Domini sustinebo, quia peccavi ei* [5]. Et illud: *Bonum mihi, quia humiliasti me* [6]. Qualis erat Paulus, dicens: *Castigati, et morti non traditi* [7]. Et illud: *Dum redarguimur, a Domino corripimur, ut ne cum hoc mundo damnemur* [8].

6. Quoniam autem ipsa etiam doctrinarum perceptio disciplina dicitur, uti scriptum est de Moyse, quod *Eruditus* esset *omni sapientia Ægyptiorum* [9], B non idcirco tamen quibusvis disciplinis animum appellere, sed utilissimam disciplinam cognoscere, plurimum confert ad salutem. Jam enim quidam dediti aut geometriæ, quam invenerunt Ægyptii, aut astrologiæ, quæ apud Chaldæos in pretio fuit, aut denique de figuris umbrisque sublimi quadam ratione disputantes, divinorum oraculorum disciplinam doctrinamque contempsere. Quin etiam poetica, rhetoricaque, et sophismatum inventio multos occupavit, quarum materia mendacium est. Neque enim poetica consistere potest sine fabulis: neque rhetorica sine arte dicendi: neque sophistica sine paralogismis. Quoniam igitur multi ob horum studium Dei notitiam neglexerunt, in vanis rebus investigandis senescentes, idcirco necessaria C est disciplinæ cognitio, tum ad utilem disciplinam seligendam, tum ad eam quæ inutilis est et noxia, fugiendam. Licet quoque intelligere prudentiæ sermones ei, qui attendit Proverbiis, ex eisque impigre utilitatem capit. Prudentiam itaque unam esse scimus ex generalibus virtutibus, qua nos homines bona malaque et indifferentia edocemur. Prudens enim utique a prudentia per derivationem appellatus est. Quomodo igitur serpens bestiarum omnium prudentissimus fuisse perhibetur [10]? Et rursus Domi-

[4] Prov. VIII, 10. [5] Mich. VII, 9. [6] Psal. CXVIII, 71. [7] II Cor. VI, 9. [8] I Cor. XI, 32. [9] Act. VII, 22. [10] Genes. III, 1.

(6) Antiqui duo libri περιστάσεως.

(7) Editio Paris. περιβάλλειν. Editio Basil. et mss. multi ἐπιβάλλειν, rectius.

(8) Utraque editio et aliquot mss. σκιὰς καὶ μετεωρολογίαν ἔχοντες. Colb. tertius σκιὰς τὴν μετεωρολογίαν ἔχοντες, et ita legi oportere arbitror. Non enim mihi dubium est, quin vocula καί redundet in vulgatis. Colb. secundus καὶ μετεωρολογίαν τὴν ματαιολογίαν ἔχοντες, *ac de sublimium rerum tractatione vana disserentes*: quæ scriptura vera esse et germana primo aspectu credi potest. Mihi tamen verisimilius fit παρέλκειν aut vocem μετεωρολογίαν, aut vocem ματαιολογίαν, sed utram, non facile dixerim. Puto autem id ex eo evenisse, quod cum librarius in aliquo exemplari legisset, μετεωρολογίαν, in alio vero ματαιολογίαν, utramque vocem posuerit.

(9) In Colb. tertio pro αἵρεσιν corrupte legitur εὕρεσιν.

(10) Editio utraque ἀποφυγὴν τῆς ἀνονήτου. Veteres quinque mss. τῆς ἀνοήτου, *ad stultam disciplinam fugiendam*. Sed vix dubitari potest, quin D Basilius scripserit ἀνονήτου, *ad fugiendam disciplinam quæ inutilis est*, cum voces ὠφελίμου et ἀνονήτου sibi invicem respondere vel cæco appareat.

(11) Utraque editio et Colb. primus δεχομένῳ τὴν φρόνησιν. Ἔστι γὰρ τὸ συμφέρον νοῆσαι. Τῇ κακίᾳ, φησὶ, νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε. Τὴν φρόνησιν τοίνυν, etc. *Licet enim utilitatem ejus intelligere. Malitia, inquit, parvuli estote, sensibus autem perfecti estote*. I Cor. XIV, 20. Sed totum illud, τὴν φρόνησιν. Ἔστι γάρ.... τέλειοι γίνεσθε, in Regiis primo et secundo et in Colb. tertio non legitur. Mihi autem dubium non est, quin hæc omnia quæ in his mss. desunt, abesse debeant, sic tamen, ut affirmare quidem possim, illud, τὴν φρόνησιν, quod primo loco positum est in editis et in uno Colbertino, prorsus παρέλκειν, suspicer vero illa, Ἔστι γάρ, etc., addita esse primum in ora libri ab aliquo, qui prudentiæ utilitatem ostendere vellet, posteaque has easdem voces in contextum ab aliquo alio librario translatas fuisse.

nus : *Estote prudentes, sicut serpentes* [11]. Imo villicus iniquitatis prudens vocatus est [12]. An non liquet prudentiæ nomen **103** duplex esse? Una enim suum ipsius commodum tuetur, sic tamen, ut simul struat proximo insidias, qualis est serpentis prudentia, caput suum custodientis. Hæc ista videtur astuta quædam esse morum malignitas, quæ cito quod sibi utile est comminiscitur, ac simpliciores deprædatur : quali prudentia fuit villicus iniquitatis. Vera autem prudentia, agendorum et non agendorum cognitio est et secretio : quam qui sequitur, nunquam secedet a virtutis operibus, nunquam exitioso vitii jaculo transfigetur. Itaque qui intelligit prudentiæ sermones, novit qui captiosi sint et ad decipiendum compositi, quinam quoque, qui de optimis in vita agendis nos submoneant : atque mensarii boni more, ut retinebit quod bonum fuerit, ita ab omni specie mala abstinebit [13]. Hæc prudentia tribuit ædificanti domum suam, ut fundamentum ipsius supra petram ponat [14], hoc est, Christi fide suffulciat, ut in imbribus ventisque et fulminum incursibus permaneat immota. Immobilem enim in tentationibus constantiam, tam in iis quæ humanæ sunt, quam in iis quæ nobis e supernis inducuntur, Dominus nobis hujus parabolæ verbis ostendit. Prætereaque nos docet, necessaria non negligere, sed vitæ viaticis præmature instructos, in cordis alacritate sponsi adventum exspectare. Nam, inquit, prudentes virgines, quod oleum in lampadibus haberent, ingressæ sunt cum sponso : stultæ autem, quod imparatæ essent, a thalami gaudio exclusæ sunt [15].

7. Sub hæc, videamus quid sit suscipere versutias sermonum [16]. Sermo quidem verus et a sana mente proficiscens, simplex est et unius ejusdemque rationis, eadem de iisdem semper affirmans : varius vero et artificiosus, cum multum implexus sit et præparatus, sexcentas formas assumit, seque ad gratiam colloquentium conciliandam transformans, versutias innumeras animo versat. Ergo, ut artificiosorum sermonum assultui fortiter resistere possimus, adjumento magno sunt Parœmiæ. Nam qui ipsis intentus est, nec negligenter earum monita auscultat, velut experientia obarmatus, versutias verborum citra noxam ullam

A Καὶ πάλιν ὁ Κύριος· *Γίνεσθε φρόνιμοι, ὡς οἱ ὄφεις*. Καὶ φρόνιμος ὁ οἰκονόμος τῆς ἀδικίας. Ἢ δῆλον, ὅτι διπλοῦν (12) ἐστι τὸ τῆς φρονήσεως ὄνομα; Ἡ μὲν γάρ τίς ἐστι φυλακὴ τοῦ οἰκείου συμφέροντος μετὰ τῆς τοῦ πλησίον ἐπιβουλῆς, οἵα ἡ τοῦ ὄφεως, τὴν κεφαλὴν ἑαυτοῦ συντηροῦντος. Ἥδε τις ἔοικεν εἶναι κακεντρέχεια τρόπων, ὀξέως τὸ ἴδιον λυσιτελὲς ἐξευρίσκουσα, καὶ συναρπάζουσα τοὺς ἀκεραιοτέρους· ὁποία ἡ τοῦ οἰκονόμου τῆς ἀδικίας. Ἡ δὲ ἀληθὴς φρόνησις διάγνωσίς ἐστι τῶν ποιητέων καὶ οὐ ποιητέων· ᾗ ὁ κατακολουθῶν οὐδέποτε μὲν τῶν τῆς ἀρετῆς ἔργων ἐκστήσεται, οὐδέποτε δὲ τῷ ὀλέθρῳ τῆς κακίας περιπαρήσεται. Ὁ τοίνυν νοῶν λόγους (13) φρονήσεως οἶδε μὲν τίνες σοφισματώδεις καὶ ἀπατηλοὶ, τίνες δὲ οἱ περὶ τῶν κατὰ τὸν βίον B πρακτέων τὰ βέλτιστα ἡμῖν ὑποτιθέμενοι· καὶ ὡς δόκιμος τραπεζίτης, τὸ μὲν δόκιμον καθέξει, ἀπὸ δὲ παντὸς εἴδους πονηροῦ ἀφέξεται. Αὕτη ἡ φρόνησις χαρίζεται τῷ οἰκοδομοῦντι τὴν ἑαυτοῦ οἰκίαν, τὸν θεμέλιον αὐτοῦ τιθέναι ἐπὶ τὴν πέτραν, τουτέστι, τῇ πίστει τῇ εἰς Χριστὸν ἐπερείδεσθαι, ὥστε ἀσειστον διαμένειν ἐν βροχαῖς καὶ ἀνέμοις καὶ ποταμῶν προσβολαῖς. Τὸ γὰρ ἐν πειρασμοῖς ἀσάλευτον, τοῖς τε ἀνθρωπίνοις καὶ τοῖς ἄνωθεν ἡμῖν ἐπαγομένοις, διὰ τῶν τοιούτων τῆς παραβολῆς λόγων ὁ Κύριος ἡμῖν ἐνεδείξατο. Διδάσκει δὲ καὶ μὴ καταμελεῖν τῶν ἀναγκαίων, ἀλλὰ πρὸ καιροῦ παρεσκευασμένους τῆς ζωῆς τὰ ἐφόδια, ἐν τῇ ἑτοιμασίᾳ τῆς καρδίας ἀναμένειν τοῦ νυμφίου τὴν παρουσίαν. Αἱ φρόνιμοι γάρ, φησί, C παρθένοι, διὰ τὸ ἔχειν ἐν ταῖς λαμπάσι τὸ ἔλαιον, συνεισῆλθον τῷ νυμφίῳ· αἱ δὲ μωραὶ διὰ τὸ ἀνέτοιμον ἑαυτῶν, τῆς χαρᾶς τοῦ νυμφῶνος ἀπηλλοτριώθησαν (14).

7. Μετὰ τοῦτο, ἴδωμεν τί ἐστι δέξασθαι στροφὰς λόγων. Ὁ μὲν ἀληθὴς λόγος, καὶ ἀπὸ ὑγιοῦς διανοίας προϊὼν, ἁπλοῦς ἐστι καὶ μονότροπος, τὰ αὐτὰ λέγων πάντοτε περὶ τῶν αὐτῶν· ὁ δὲ ποικίλος καὶ ἔντεχνος πολὺ τὸ ἐπίπλοκον καὶ ἐγκατάσκευον ἔχων, μυρία κατασχηματίζεται, καὶ στρέφεται στροφὰς ἀμυθήτους, πρὸς τὸ τῶν ἐντυγχανόντων ἀρέσκον μεταμορφούμενος. Πρὸς οὖν τὸ δύνασθαι ἡμᾶς ἰσχυρῶς ἀντέχειν τῇ ἀπὸ τῶν τεχνικῶν λόγων προσβολῇ μέγα ὄφελος αἱ Παροιμίαι χαρίζονται. Διότι ὁ προσέχων αὐταῖς, καὶ τὰς ἀπ' αὐτῶν παραινέσεις μὴ ἀργῶς προσD ιέμενος, οἱονεὶ καθωπλισμένος τῇ ἐμπειρίᾳ, δέχεται ἀβλαβῶς τὰς στροφὰς τῶν λόγων, μήτε περιτρεπό-

[11] Matth. x, 16. [12] Luc. xvi, 8. [13] I Thess. v, 21. [14] Matth. vii, 25. [15] Matth. xxv, 10 sqq. [16] Prov. i, 3, juxta LXX.

(12) Editio Basil. et quinque mss. ὅτι διπλοῦν, *duplex :* quæ scriptura quin sit integra et incorrupta, nemo dubitabit, qui rem paulo attentius consideraril. Sed ecce Ducæus, qui, cum triplicem prudentiam hoc loco describi falso sibi persuasisset, in editione Paris. pro διπλοῦν edendum curavit τριπλοῦν, *triplex :* quæ mutatio nobis probari nullo modo potest. His igitur vocibus, ἥδε τις, etc., arbitramur non secundum quamdam prudentiam describi : sed quæ sit prior illa, de qua jam sermo habitus est, declarari. Ex quo fit, ut vertendum non sit, *altera vero improbitas morum esse videtur*, sed hoc modo, *hæc autem prudentia improbitas*, etc. Basilius enim non de novo quodam prudentiæ genere loquitur : sed ait solum, eam prudentiam cujus jam mentionem fecit, nihil aliud videri præter improbitatem morum. Velim legantur commentarii hominis Græce doctissimi Gulielmi Budæi pag. 965, ubi docet ὁ δέ τις ὀξύτονον dici pro ὁ δέ, hoc est, *alter*, vel *alius :* at vero ὅδε τις βαρύτονον sumi pro οὗτος, hoc est, *is* aut *hic*.

(13) Colb. tertius νοῶν λόγον. Nec ita multo post duo mss. βίον πρακταίων.

(14) Reg. primus ἀλλοτριώθησαν.

μενος ὑπ' αὐτῶν, μήτε ἐξανιστάμενός που τῆς ἀληθείας. Ὅταν γὰρ ἄλλως μὲν φύσεως ἔχῃ τὰ πράγματα, ἄλλως δὲ οἱ λόγοι περὶ αὐτῶν ἀναπείθωσι, στροφή τίς ἐστι, μᾶλλον δὲ διαστροφὴ, ὑπὸ τοῦ λόγου περὶ τὴν ἀλήθειαν γινομένη. Καὶ ὁ ἄλλος μὲν φαινόμενος, ἄλλος δὲ ὢν κατὰ ἀλήθειαν, στροφαῖς κέχρηται λόγων, ἀπατῶν τοὺς συνόντας, ὥσπερ τοὺς κύνας λαγωοὶ καὶ ἀλώπεκες, ἑτέραν δεικνύντες, καὶ ἑτέραν τρεπόμενοι. Ἢ στροφαί τινές εἰσι λόγων αἱ ἐκ τῆς ψευδωνύμου γνώσεως ἀντιθέσεις. Οὐ καταδεχόμενοι γὰρ τὸ ἁπλοῦν τῆς πνευματικῆς διδασκαλίας, οἱ ἐκ τῆς διαλεκτικῆς πρὸς τὰς ἀντιλογίας ἠκονημένοι, περιτρέπουσι πολλάκις τὴν ἰσχὺν τῆς ἀληθείας τῇ πιθανολογίᾳ τῶν σοφισμάτων. Δέχεται οὖν ταύτας τὰς στροφὰς τῶν λόγων ὁ ταῖς Παροιμίαις ὠχυρωμένος. B Κἂν εὕρῃ ποτὲ προβλήματα, ἰσοπαλεῖς τὰς ἐφ' ἑκάτερον ἐπιχειρήσεις ἔχοντα, ἐν οἷς δυσδιάκριτος τοῦ πιθανωτέρου ἡ εὕρεσις· ὅμως διὰ τὸ ἐγγεγυμνάσθαι (15-16) ταῖς Παροιμίαις, οὐ συγχυθήσεται τὸν νοῦν, κἂν ὅτι μάλιστα δοκῶσιν οἱ προσδιαλεγόμενοι ἐξ ἴσου τὰς ἐκ τῶν ἐπιχειρημάτων πληγὰς ἀλλήλοις ἀντεπιφέρειν.

8. Χαρίζεται ἡ Παροιμία καὶ τὸ νοῆσαι δικαιοσύνην ἀληθῆ. Ἐπεὶ οὖν ἐστι δικαιοσύνη ἕξις ἀπονεμητικὴ τοῦ κατ' ἀξίαν· δυσθήρατον δὲ τοῦτο, τῶν μὲν διὰ τὸ περὶ τὴν φρόνησιν ἐλλειπὲς, οὐκ ἐξευρισκόντων ἑκάστῳ διανεῖμαι τὸ ἴσον, τῶν δὲ, διὰ τὸ προκατέχεσθαι ὑπὸ παθῶν ἀνθρωπίνων, ἀφανιζόντων τὸ δίκαιον, ὅταν πενήτων μὲν καταφρονῶσι, δυνάστας δὲ ἀδικοῦντας μὴ διελέγχωσι (17), C δώσειν ὑπισχνεῖται τοῖς ἑαυτῆς μαθηταῖς ἡ βίβλος τῶν Παροιμιῶν τῆς ἀληθοῦς δικαιοσύνης τὴν γνῶσιν. Καὶ ἐπειδὴ πολλοὶ, τὸν παρὰ τῶν πολλῶν ἔπαινον θηρώμενοι, ἔργῳ μὲν τὴν ἀδικίαν καὶ τὸ πλεονεκτικὸν ὡς ὠφέλιμον προτιμῶσι, σχήματι δὲ καὶ λόγῳ τὴν ἰσότητα καὶ τὴν δικαιοσύνην ὑπερθαυμάζουσιν· οὐδὲ τούτους ἀγνοήσει ὁ τὰς Παροιμίας πεπαιδευμένος, ἀλλὰ γνώσεται τίς ἡ κίβδηλος καὶ νενοθευμένη, καὶ τίς ἡ ἀληθινὴ καὶ ἄδολος δικαιοσύνη. Ἐπεὶ μέντοι πολλοὺς καὶ οἱ ἔξωθεν σοφοὶ κατεβάλοντο (18) λόγους περὶ δικαιοσύνης, καὶ πιθανῶς παρακρούονται τοὺς μὴ δυναμένους τῷ ἀληθεῖ λόγῳ περὶ τοῦ σκέμματος τούτου ἐπακολουθῆσαι, ἐπαγγέλλεται γνωρίσειν ἡ βίβλος τὴν ἀληθῆ δικαιοσύνην, ὥστε τὸ ἐκ τῶν σοφισμάτων ἡμᾶς βλαβερὸν διαδρᾶναι. D Ἤδη δὲ καὶ τὰ νόμιμα τῶν ἐθνῶν, πολλὴν πρὸς ἄλληλα ἔχοντα τὴν διαφορὰν, σύγχυσιν ἐμποιεῖ ταῖς διανοίαις τῶν μὴ τὸν ἀκριβῆ τῆς δικαιοσύνης λόγον κατειληφότων. Ἔνια μὲν γὰρ τῶν ἐθνῶν (19) τὴν πατροφονίαν δικαίαν τίθενται· ἄλλα δὲ τῶν ἐθνῶν πάντα φόνον ὡς ἀνόσιον ἀποτρέπεται. Καὶ τὰ μὲν σωφροσύνην ὑπερτιμᾷ· τὰ δὲ μητράσι καὶ θυγατράσι καὶ ἀδελφαῖς ἐπιμαίνεται. Καὶ ὅλως πολλοὶ, ἀρχαίῳ ἔθει κεκρατημένοι, τὸ μυσαρὸν τῶν γινομένων οὐ διακρίνουσιν. Ἡ δὲ βίβλος αὕτη, διδάσκουσα τὰ περὶ τῆς ἀληθοῦς δικαιοσύνης, ῥύεται τῶν ἐξ ἀλογίας παθῶν τοὺς ἀνθρώπους. Ἔστι δὲ δικαιο-

A excipit, adeo ut neque ab ipsis pervertatur, neque unquam a vero discedat. Cum enim aliter natura se res habent, aliter vero de eis suadent verba, versutia quædam est, vel potius inversio veritatis per sermonem facta. Et qui alius quidem videtur, alius res ipsa est, strophis sermonum utitur, fucum faciens iis quibuscum versatur, perinde ut lepores vulpesque canibus, aliam viam commonstrantes, aliam carpentes. Quin et falsæ scientiæ antitheses strophæ quædam sunt verborum. Etenim cum spiritualis doctrinæ simplicitatem non recipiant ii, qui dialectica ad contradicendum acuti sunt, iidem vim veritatis non raro sophismatum verisimilitudine **104** evertunt. Has igitur sermonum strophas excipit qui Parœmiis munitus est. Imo si quando offendat problemata, æquas utrinque probationes habentia, in quibus verisimilioris inventio judicatu difficilis sit: quoniam tamen exercitatus in Proverbiis est, animo non confundetur, etiamsi disceptantes quam vehementissime æquales argumentorum plagas sibi invicem inferre videantur.

8. Id quoque Parœmia largitur, ut intelligatur justitia vera. Quoniam igitur justitia habitus est, qui pro merito suum cuique distribuit, difficile autem est hoc assequi, partim quod alii ob prudentiæ inopiam non inveniant quomodo cuique distribuant quod æquum est, partim quod alii, affectibus humanis præoccupati, jus aboleant et abrogent tum, cum spretis pauperibus dynastas injuriosos non redarguunt, idcirco Proverbiorum liber suis se discipulis justitiæ veræ cognitionem daturum pollicetur. Et quia plerique laudem vulgi venantes, reipsa quidem injustitiam avaritiamque tanquam quiddam utile præferunt, specie vero et verbis æquitatem ac justitiam valde admirantur: ne hos quidem ignorabit vir Parœmiis eruditus, sed cognoscet quæ adulterina ac spuria, quæ vera ac sincera sit justitia. Quoniam autem externi quoque sapientes multum de justitia disseruere, et probabilibus verbis fallunt eos qui ejus rei quæ expendenda proponitur, rationem veram assequi non possunt, indicaturum se justitiam veram pollicetur liber ille, ut noxam caveamus sophismatum. Jam vero gentium etiam jura haud parum inter se diversa, animis eorum qui accuratam justitiæ rationem non comprehenderunt, perturbationem confusionemque afferunt. Etenim gentes nonnullæ parricidium justum et æquum ducunt; aliquæ omnem cædem uti scelestam aversantur. Aliæ maxime colunt pudicitiam: aliæ in matres filiasque et sorores libidine furunt. Denique plerique prisca consuetudine victi, ausorum suorum exsecrationem ac ignominiam non dignoscunt. Sed hic liber, justitiam veram docens, homines a belluinis illis et insulsis affectibus liberat. Est autem justitia

(15-16) Antiqui duo libri τὸ γεγυμνάσθαι.
(17) Iidem in duobus mss. legitur μὴ ἐλέγχωσι.
(18) Reg. primus κατεβάλλοντο.
(19) Unus codex Reg. μὲν γὰρ ἔθνη.

quædam, quæ inter nos versatur, æqui videlicet distributio. Quanquam etenim id non omnino assequimur; tamen si justissimo consilio in agendo utamur, non aberramus scopo. Est et alia a justo judice cœlitus inducta, tum emendans, tum vicem rependens, quæ ob reconditorum in se dogmatum sublimitatem cognitu valde difficilis est. Hoc enim, opinor, Psalmista dicit: *Justitia tua sicut montes Dei* [17]. Hanc igitur plane veram divinamque justitiam manifestaturum se promittit iis, qui fuerint in Parœmiarum doctrina exercitati.

9. Rursus cum peccata alia sint involuntaria, alia a pravo animo oriantur, non eadem quoque in his regula est æqui. Ponamus enim fornicationem esse judicandam, duasque esse meretrices. Sed una quidem lenoni vendita, necessario in malo versatur, quæstum per corpus hero malo afferens: altera vero sponte se peccato ob voluptatem mancipat. Aliter utique **105** datur venia involuntariis: aliter ea quæ ex prava voluntate fiunt, condemnantur. Rursus unus aliquis peccavit, prave ab initio educatus; quippe et a parentibus injustis procreatus introivit in vitam, et inter verba factaque iniqua nutritus fuit; alter vero multa habens virtutis incitamenta, educationem honestissimam, admonitionem parentum, magistrorum disciplinam, auditionem divinorum sermonum, castigatam moderatamque diætam, et alia quibus anima ad virtutem instituitur; postea tamen delapsus est et ipse in simile peccatum; nonne jure ac merito qui ejusmodi est, supplicio graviori punietur? Nam ille quidem de solis salutaribus subsidiis animo nostro inspersis accusabitur, quod eis non probe sit usus: sed hic insuper, quod omne auxilium sibi datum prodiderit, imprudenterque in pravam vitam abreptus sit. Itaque justitiam veram intelligere, animi est vere magni, mentisque perfectissimæ. Fortasse autem habet et promissionem, fore, ut qui in Proverbiis eruditus fuerit, possit de cætero ad accuratam theologiæ contemplationem animum adjungere. Nam vera justitia Christus est, *Qui factus est nobis sapientia a Deo, et justitia, et sanctificatio, et redemptio* [18]. Accedit etiam ad veræ justitiæ cognitionem, ut judicium dirigatur [19]. Nam fieri non potest, ut qui prius in justitiæ cognitione eruditus non fuerit, ambiguas res recte dijudicare possit. Neque enim Salomon ipse, nisi in seipso æqui ac recti rationes exquisitas habuisset, celeberrimum illud judicium quod de puero inter meretrices protulit, tam recte appositeque potuisset efferre. Cum enim testibus carerent quæ ab utraque dicebantur, ad naturam cucurrit; ejusque ope quæ ignorabantur invenit.

A σύνη, ἡ μέν τις ἐν ἡμῖν στρεφομένη, ἡ τοῦ ἴσου διανομή. Ἐὰν γὰρ καὶ μὴ τυγχάνωμεν αὐτοῦ κατὰ ἀκρίβειαν, ἀλλὰ γνώμῃ τῇ δικαιοτάτῃ ποιοῦντες, οὐκ ἀποπίπτομεν τοῦ σκοποῦ. Ἡ δέ τις οὐρανόθεν ἐπαγομένη παρὰ τοῦ δικαίου κριτοῦ, ἥ τε ἐπανορθωτικὴ καὶ ἡ ἀνταποδοτικὴ, ἧς πολὺ τὸ δυσθεώρητον διὰ τὸ ὕψος τῶν ἐναποκειμένων αὐτῇ δογμάτων. Τοῦτο γὰρ οἶμαι λέγειν τὸν Ψαλμῳδόν· *Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ.* Ἐπαγγέλλεται οὖν ταύτην τὴν ὄντως ἀληθῆ καὶ θείαν δικαιοσύνην φανερὰν καταστήσειν τοῖς ἐγγεγυμνασμένοις τῇ παροιμιώδει διδασκαλίᾳ.

9. Πάλιν ἐπειδὴ τῶν ἁμαρτανομένων τὰ μὲν ἀκούσιά ἐστι, τὰ δὲ ἀπὸ γνώμης πονηρᾶς ἁμαρτάνεται, καὶ ὁ τοῦ δικαίου ὅρος οὐχ ὁ αὐτὸς ἐπὶ τούτοις. Ὑποθώμεθα γὰρ πορνείαν εἶναι τὸ κρινόμενον, καὶ πόρνας B δύο. Ἀλλ' ἡ μὲν, πορνοβοσκῷ πραθεῖσα, πρὸς ἀνάγκην ἐστὶν ἐν τῷ κακῷ, τὴν ἐκ τοῦ σώματος ἐργασίαν τῷ πονηρῷ δεσπότῃ παρεχομένη· ἡ δὲ διὰ τὴν ἡδονὴν ἑκουσίως ἑαυτὴν ἐπιδοῦσα τῇ ἁμαρτίᾳ. Ἄλλως οὖν τὰ ἀκούσια τυγχάνει συγγνώμης, καὶ ἄλλως τὰ ἐκ μοχθηρᾶς προαιρέσεως κατακρίνεται. Πάλιν ὁ μέν τις ἥμαρτε, πονηρῶς τὸ ἐξ ἀρχῆς τεθραμμένος· καὶ γὰρ καὶ ὑπὸ γονέων ἀδίκων εἰς τὸν βίον παρήχθη, καὶ συνετράφη καὶ ῥήμασι καὶ πράξεσι παρανόμοις· ἄλλος δὲ πολλὰ ἔχων τὰ προκαλούμενα αὐτὸν εἰς ἀρετήν· ἀνατροφὴν σεμνοτάτην, νουθέτησιν γονέων, διδασκάλων ἀκρίβειαν, ἀκρόασιν λόγων θειοτέρων, δίαιταν κατεσταλμένην, τὰ ἄλλα οἷς ψυχὴ παιδαγωγεῖται πρὸς ἀρετήν· εἶτα καὶ αὐτὸς C εἰς τὴν ὁμοίαν ἁμαρτίαν ὑπώλισθε· πῶς οὐχὶ βαρυτέρας δικαίως ὁ τοιοῦτος τῆς τιμωρίας ἀξιωθήσεται; Ὁ μὲν γὰρ ἐπὶ μόναις ταῖς κατεσπαρμέναις ἐν ταῖς ἐννοίαις ἡμῶν σωτηρίοις ἀφορμαῖς ἐγκληθήσεται, ὡς οὐ χρησάμενος αὐταῖς ὑγιῶς· ὁ δὲ πρὸς τούτῳ, καὶ ὡς προδεδωκὼς πᾶσαν τὴν δεδομένην αὐτῷ συνέργειαν, καὶ δι' ἀπροσεξίαν εἰς τὸν πονηρὸν βίον κατασυρείς. Τὸ οὖν νοῆσαι τὴν ἀληθῆ δικαιοσύνην μεγάλης ὄντως διανοίας καὶ φρενὸς τελειοτάτης. Μήποτε δὲ καὶ ἐπαγγελίαν ἔχει (20), τὸν τὰ παροιμιακὰ παιδευθέντα δυνήσεσθαι λοιπὸν ἐπιβαλεῖν τῇ ἀκριβείᾳ τῆς θεολογίας. Ἡ γὰρ ἀληθὴς δικαιοσύνη ἐστὶν ὁ Χριστὸς, *Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις.* Συνέζευκται τῷ (21) γνῶναι δικαιοσύνην ἀληθῆ τὸ κρῖμα κατευ- D θῦναι. Ἀμήχανον γὰρ τὸν μὴ προπαιδευθέντα περὶ τοῦ δικαίου δύνασθαι τὰς ἀμφισβητήσεις ὀρθῶς διακρῖναι. Οὐδὲ γὰρ αὐτὸς Σολομὼν, εἰ μὴ εἶχε τοὺς περὶ τοῦ δικαίου λόγους ἀκριβεῖς ἐν ἑαυτῷ, ἠδύνατο τὴν πολυθρύλλητον ἐκείνην κρίσιν οὕτως ὀρθῶς καὶ εὐθυβόλως ἐξενεγκεῖν, ἣν ἔκρινε ταῖς πόρναις περὶ τοῦ παιδίου. Ἐπειδὴ γὰρ ἀμάρτυρα ἦν τὰ παρ' ἑκατέρας λεγόμενα, ἐπὶ τὴν φύσιν ἐχώρησε, καὶ δι' αὐτῆς εὗρε τὰ ἀγνοούμενα (22)· τῆς μὲν ἀλλοτρίας

[17] Psal. xxxv, 7. [18] I Cor. i, 30. [19] Prov. i, 3, juxta LXX.

(20) Hic vox βίβλος subaudienda, *fortasse et habet promissionem hic liber*, Proverbiorum videlicet. Mox Reg. primus λοιπὸν ἐπιβάλλειν. Nec ita multo infra Colb. tertius ὃς ἐγεννήθη σοφία ἡμῖν.

(21) Colb. tertius συνέζευκται δὲ τῷ. Statim editi ἀμήχανον γὰρ καὶ μή. Veteres quatuor libri γὰρ μή. Colb. tertius γὰρ τὸν μή, recte. Subinde idem codex ὀρθῶς διακρίνειν.

(22) Regii primus et secundus τὸ ἀγνοούμενον.

A ἀπαθῶς καταδεξαμένης τοῦ παιδίου τὴν ἀναίρεσιν, τῆς δὲ ἀληθοῦς μητρὸς διὰ τὴν φυσικὴν φιλοστοργίαν οὐδὲ τὴν ἀκοὴν ἀνασχομένης τοῦ πάθους. Ὁ οὖν εἰδὼς τὴν ἀληθῆ δικαιοσύνην, καὶ δι' αὐτῆς διδαχθεὶς τὸ οἰκεῖον ἀπονέμειν ἑκάστῳ, οὗτος δύναται κατευθύνειν τὸ κρῖμα. Ὥσπερ γὰρ ὁ τοξότης πρὸς τὸν σκοπὸν ἀπευθύνει τὸ βέλος, οὔτε ὑπερβολαῖς, οὔτε ἐλλείψεσιν, οὔτε ταῖς ἐφ' ἑκάτερα παρατροπαῖς ἀποπλανῶν τὴν τοξείαν· οὕτως ὁ κριτὴς τοῦ δικαίου καταστοχάζεται, οὔτε πρόσωπα λαμβάνων (γνωρίζειν (23) γὰρ πρόσωπον ἐν κρίσει οὐ καλόν), οὔτε ποιῶν κατὰ πρόσκλισιν (24), ἀλλ' εὐθείας καὶ ἀδιαστρόφους ἐκφέρων τὰς κρίσεις. Καὶ δύο κρινομένων παρ' αὐτῷ, τοῦ τε πλεονεκτοῦντος καὶ τοῦ τὸ ἔλαττον ἔχοντος, ἕστηκεν ὁ κριτὴς ἐπανισῶν αὐτοὺς πρὸς ἀλλήλους, καὶ τοσοῦτον ἀφαιρῶν τοῦ ὑπερέχοντος, B ὅσον ἐλαττούμενον εὑρίσκει τὸν ἀδικούμενον. Ὁ δὲ τὴν ἀληθῆ δικαιοσύνην μὴ ἔχων προεναποκειμένην αὐτοῦ τῇ ψυχῇ, ἀλλ' ἢ χρήμασι διεφθαρμένος, ἢ φιλίᾳ χαριζόμενος, ἢ ἔχθραν ἀμυνόμενος, ἢ δυναστείαν δυσωπούμενος, τὸ κρῖμα κατευθύνειν οὐ δύναται. Πρὸς ὃν ἐρεῖ ὁ ψαλμὸς τό· *Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε* (25), *υἱοὶ τῶν ἀνθρώπων*. Ἔλεγχος γὰρ τῆς τοῦ δικαίου διαθέσεως ἡ περὶ τὸ κρίνειν ὀρθότης. Ὅθεν καὶ αὐτὸς προϊὼν ἀπαγορεύει λέγων· *Στάθμιον μέγα καὶ μικρὸν* (26), *βδελυκτὰ παρὰ Κυρίῳ*, τὸ περὶ τὴν κρίσιν ἄνισον τῇ τῶν σταθμίων προσηγορίᾳ παροιμιακῶς αἰνισσόμενος. Οὐ μόνον δὲ τοῖς δικάζουσι τοῦτο χρήσιμον, ἀλλὰ καὶ ταῖς περὶ ἑκάστου τῶν κατὰ τὸν βίον ἐκλογαῖς. C Ἐπειδή τι ἔχομεν παρ' ἑαυτοῖς κριτήριον φυσικὸν, δι' οὗ τὰ καλὰ τῶν πονηρῶν διακρίνομεν, ἀναγκαῖον ἡμῖν ἐν τῇ ἐκλογῇ τῶν πρακτέων ὀρθὰς ποιεῖσθαι τῶν πραγμάτων τὰς διακρίσεις· καὶ, οἱόν τινα δικαστὴν ἴσῃ καὶ δικαιοτάτῃ γνώμῃ τοῖς ἐναντίοις βραβεύοντα, πείθεσθαι μὲν τῇ ἀρετῇ, καταδικάζειν δὲ τὴν κακίαν (27). Οἷον πορνεία καὶ σωφροσύνη παρὰ σοὶ κρίνεται, καὶ ὑψηλὸς προκαθέζεταί σου ὁ νοῦς πεπιστευμένος τὸ δικαστήριον· καὶ ἡ μὲν ἡδονὴ συνηγορεῖ τῇ πορνείᾳ, ὁ δὲ φόβος τοῦ Θεοῦ τῇ σωφροσύνῃ συνίσταται. Ἐὰν μὲν οὖν καταδικάσῃς τὴν ἁμαρτίαν, δῷς δὲ νικῆσαι τὴν σωφροσύνην, εὐθεῖαν ἐποιήσω τὴν κρίσιν τοῦ πράγματος· ἐὰν δὲ, τῇ ἡδονῇ δοὺς τὴν ῥοπὴν, προτιμοτέραν ἀποφήνῃς τὴν ἁμαρτίαν, σκολιὸν ἐποιήσω τὸ κρῖμα, ὑπόδικος D γενόμενος τῇ ἀρᾷ τοῦ εἰπόντος· *Οὐαὶ οἱ λέγοντες*

Et vero aliena sine ulla commiseratione pueri necem approbabat: vera autem mater ob naturalem caritatem ne cædem quidem audire sustinuit [20]. Qui igitur novit justitiam veram, atque ab ea suum cuique distribuere didicit, is judicium dirigere potest. Ut enim sagittarius jaculum ad scopum dirigit, si neque excedens, neque deficiens, neque in alterutram partem declinans a sagittariorum arte aberrat; sic judex ad id quod justum est collineat, si nullam habeat personarum rationem (personam enim in judicio cognoscere bonum non est [21]), et si in agendo nullo modo in alterutram partem declinet, sed proferat judicia recta nihilque obliqui habentia. Jam si fuerint duo ab ipso judicandi, quorum alter plus æquo, alter minus habeat, stat judex ambos inter se exæquans, et tantum aufert ei qui plus satis habet, quantum ei qui injuriam accepit, deesse deprehendit. Sed qui justitiam veram non habet, in anima sua prius insitam, sed aut pecuniis **106** corruptus est, aut amicitiæ favet, aut inimicitiam ulciscitur, aut potestatem reveretur, is judicium dirigere non potest. Cui in psalmo dicitur: *Si vere utique justitiam loquimini, recta judicate, filii hominum* [22]. Iudicium enim animi ejus, qui erga æquum ac jus bene afficitur, rectitudo est inter judicandum. Unde et ipse in sequentibus prohibet, dicens: *Pondus magnum et parvum, abominabilia apud Dominum* [23], inæqualitatem judicii per ponderum appellationem in proverbii modum adumbrans. Nec hoc solum judicantibus utile est, sed idem confert etiam ad singulas res in vita seligendas. Cum enim habeamus in nobis judicium quoddam naturale, quo bona a malis secernimus; necesse nobis est in iis quæ agenda sunt eligendis, recte quasque res discernere; et, quasi judicem aliquem, qui æquabili ac justissimo animo de contrariis judicet, tum virtuti obsecundare, tum vitium condemnare. Exempli causa, scortatio et pudicitia apud te judicantur, et excelsa tua mens ejusmodi judicio sibi commisso præsidet; atque voluptate scortationi favente, timor Dei suppetias venit castimoniæ. Quod si damnato peccato, victoriam pudicitiæ dederis, de re sententiam rectam tulisti: sin autem ad voluptatem inclinans, præferendum esse peccatum pronunties, obliquum feeisti judicium, obnoxius

[20] III Reg. III, 25 seqq. [21] Prov. XXIV, 23. [22] Psal. LVII, 2. [23] Prov. XX, 10.

(23) Apud LXX pro γνωρίζειν legitur αἰδεῖσθαι, *revereri personam in judicio non est bonum*. Eodem sensu alius interpres scripsit αἰσχύνεσθαι. Sed Aquila, Symmachus et Theodotio habent ἐπιγινώσκειν, *cognoscere*, etc. Colb. tertius γνωρίζειν γὰρ πρόσωπα, *nam cognoscere personas*, etc.

(24) Editio Paris. κατὰ πρόκλησιν, male. Editio Basil. et codex Oliv. cum aliis quatuor mss. πρόσκλησιν, non multo melius. Reg. primus cum sacro textu πρόσκλισιν, optime. Notat vir eruditissimus Ducæus, emendatum fuisse codicem Oliv. in eoque additam fuisse vocem πρόσκλισιν.

(25) Reg. secundus κρίνετε.

(26) Editio Paris. στάθμιον μέγα καὶ μικρὸν, καὶ μέτρα δισσὰ, βδελυκτὰ παρὰ Κυρίῳ, *pondus magnum et parvum, et mensuræ duplices, abominabilia apud Dominum*: sed illud, καὶ μέτρα δισσά, deest in editione Basil. et in nostris quinque codicibus; ob idque has voces delevimus. Pro βδελυκτὰ apud LXX legitur ἀκάθαρτα, *immunda sunt*: sed lectioni Basilianæ favet Vulgata, in qua sic legimus, *Pondus et pondus, mensura et mensura, utrumque abominabile apud Deum*.

(27) Colbertini duo codices τῆς κακίας: quorum unus aliquanto post habet καταδικάσῃς τῆς ἁμαρτίας, alter τὴν ἁμαρτίαν.

exsecrationi ejus, qui dixit: *Væ qui dicitis amarum dulce, et dulce amarum: qui dicitis lucem tenebras, et tenebras lucem* [24].

10. Quoniam igitur, juxta ipsum Salomonem, *Cogitationes justorum judicia sunt* [25], opera est sedulo danda, ut intus in abdito cogitationum foro recta de rebus judicia feramus, habeamusque mentem trutinæ similem, quæ citra inclinationem ullam agenda quæque appendat. Quando quodvis mandatum et oppositum ei vitium judicio tuo permittitur, da victoriam legi Dei contra peccatum. Habendi appetentia major et æquitas judicantur? Pronuntia adversus alienorum cupiditatem, da calculum potiorem virtuti. Dissident inter se convicium et lenitas? Pudorem incute convicio, et antepone lenitatem. Odium et dilectio contendunt? Illud ignominia affectum, quam longissime ablegato, dilectionem vero honore decoratam, tibi ipsi facito familiarem. Simulatio et simplicitas, fortitudo et timiditas, prudentia et stultitia, justitia et injustitia, pudicitia et impudicitia, et, ut brevi dicam, virtus quælibet cum quolibet vitio judicium subit? Tunc igitur judiciorum rectitudinem ostendito in occulto animæ tuæ judicio, præceptumque quasi assessorem adhibens tibi, odium in nequitiam tuum commonstrato, aversans peccata, virtutes præferens. Si enim facis ut in singulis actionibus vincant apud te meliora, beatus eris *In die illa, cum judicabit Dominus occulta hominum secundum Evangelium nostrum, cogitationibus inter se et accusantibus, aut et defendentibus* [26], nec abibis condemnatus ob ullam ad mala inclinationem: sed justitiæ coronis honorabere **107** quibus virtutem per omnem tuam vitam coronaveris. Quot bona conciliabit tibi Proverbiorum liber, qui docet et veram colere justitiam, et judicium dirigere?

11. Ecquid igitur his amplius? *Ut det*, inquit, *innocentibus astutiam, ac puero juveni et sensum et intelligentiam* [27]. Dupliciter intelligimus innocentiam. Aut enim quamdam a peccato alienationem, quæ ratione fit, excogitamus; vitiique velut quadam radice per longam attentionem bonorumque meditationem excisa, ob integram ejus privationem, innocentiæ appellationem accipimus: aut innocentia dicitur, cum mali nondum est experientia, cum sint qui sæpe ob puerilem ætatem aut vitæ alicujus institutum vitia quædam non experiantur. Exempli gratia, puer non novit superbiam, non novit dolum et fallaciam. Rursus sunt qui ruri degentes, non sciunt dolos mercatorum, neque forenses simultates. Qui tales sunt, eos innocentes vocamus;

A *τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν· οἱ λέγοντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς.*

10. Ἐπεὶ οὖν, κατ' αὐτὸν τὸν Σολομῶντα, *Λογισμοὶ δικαίων κρίματα*, ἔνδον ἐν τῷ κεκρυμμένῳ τῶν λογισμῶν κριτηρίῳ σπουδάζειν χρὴ τὰς περὶ τοῦ πράγματος κρίσεις ἀπαρατρέπτους ποιεῖσθαι, καὶ τὸν νοῦν τρυτάνῃ ἔχειν προσεοικότα, ἀκλινῶς ἕκαστον (28) τῶν πρακτέων ζυγοστατοῦντα. Ὅταν ἑκάστη ἐντολὴ παρὰ σοὶ πρὸς τὴν ἀντικειμένην αὐτῇ κακίαν διαδικάζηται, δὸς τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τῆς ἁμαρτίας τὰ νικητήρια. Πλεονασμὸς καὶ ἰσότης κρίνονται; ἀπόφηνε κατὰ τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας, δὸς τὴν βελτίονα ψῆφον τῇ ἀρετῇ. Λοιδορία καὶ μακροθυμία ἀλλήλαις ἀντικαθίστανται; καταίσχυνον τὴν λοιδορίαν, καὶ προτίμησον τὸ μακρόθυμον. B Ἔχθρα καὶ ἀγάπη; τὴν μὲν ἄτιμον ποιήσας, ὑπερόρισον ὡς πορρωτάτω· τὴν δὲ ἀγάπην σεμνύνας, οἰκείαν ποίησον (29) σεαυτῷ. Ὑπόκρισις καὶ ἁπλότης, ἀνδρία καὶ δειλία, φρόνησις καὶ ἀφροσύνη, δικαιοσύνη καὶ ἀδικία, σωφροσύνη καὶ ἀκολασία, καὶ συνελόντι φῆσαι (30), πᾶσα ἀρετὴ πρὸς πᾶσαν κακίαν διαδικάζεται; Τότε δὴ οὖν ἐπίδειξαι τὴν εὐθύτητα τῶν κριμάτων, ἐν τῷ κρυπτῷ σου τῆς ψυχῆς κριτηρίῳ, καὶ οἱονεὶ πάρεδρον σεαυτῷ τὴν ἐντολὴν ποιησάμενος, δεῖξον τὸ μισοπόνηρον· ἀποστρεφόμενος μὲν τὰς ἁμαρτίας, ὑπερτιμῶν δὲ τὰς ἀρετάς. Ἐὰν γὰρ ἐφ' ἑκάστης πράξεως νικᾷν ποιήσῃς παρὰ σοὶ τὰ βελτίονα, μακάριος ἔσῃ *Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ Εὐαγγέλιον ἡμῶν, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων*, C οὐκ ἀπέρχῃ καταδεδικασμένος διὰ τὴν πρὸς τὰ φαῦλα ῥοπὴν, ἀλλὰ τοῖς τῆς δικαιοσύνης τιμηθήσῃ στεφάνοις, οἷς παρὰ πάντα (31) σου τὸν βίον τὴν ἀρετὴν ἐστεφάνωσας. Πηλίκων σοι πρόξενος ἀγαθῶν γενήσεται ἡ βίβλος τῶν Παροιμιῶν, διδάσκουσα τήν τε ἀληθῆ δικαιοσύνην καὶ κρῖμα κατευθύνειν;

11. Τί οὖν πρὸς τούτοις ἔτι; *Ἵνα* (32) *δῷ*, φησὶν, *ἀκάκοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν*. Διττῶς νοοῦμεν τὴν ἀκακίαν. Ἢ γὰρ τὴν ἀπὸ τῆς ἁμαρτίας ἀλλοτρίωσιν λογισμῷ κατορθουμένην, καὶ διὰ μακρᾶς προσοχῆς καὶ μελέτης τῶν ἀγαθῶν οἷόν (33) τινα ῥίζαν τῆς κακίας ἐκτεμόντες, D κατὰ στέρησιν αὐτῆς παντελῆ τὴν τοῦ ἀκάκου προσηγορίαν δεχόμεθα· ἢ ἀκακία ἐστὶν ἡ μήπω τοῦ κακοῦ ἐμπειρία, διὰ νεότητα πολλάκις ἢ βίου τινὸς ἐπιτήδευσιν ἀπείρως τινῶν πρός τινας κακίας διακειμένων. Οἷον ὁ παῖς οὐκ οἶδεν ὑπερηφανίαν, οὐκ οἶδε δόλον καὶ ῥᾳδιουργίαν. Πάλιν εἰσί τινες τῶν τὴν ἀγροικίαν οἰκούντων, οὐκ εἰδότες τὰς ἐμπορικὰς κακουργίας, οὐδὲ τὰς ἐν δικαστηρίῳ διαπλοκάς. Τοὺς τοιούτους ἀκάκους λέγομεν, οὐχ ὡς ἐκ προαιρέσεως

[24] Isa. v, 20. [25] Prov. xii, 5. [26] Rom. ii, 16, 15. [27] Prov. i, 4.

(28) Colb. primus ἕκαστα. Mox duo mss. κακίαν δικάζηται.
(29) Antiqui duo libri οἰκείαν ποίησαι.
(30) Reg. primus συνελόντι φάναι.
(31) Codex idem παρ' ἅπαντα. Mox in Colb. tertio pro ἀρετὴν scriptum invenimus ψυχήν. Aliquanto post editi γεννήσεται. At duo mss. γενήσεται.
(32) Reg. tertius τούτοις ἐστίν; Ἵνα.
(33) Veteres duo libri οἱονεί.

τῆς κακίας κεχωρισμένους, ἀλλ' ὡς μήπω εἰς πεῖραν τῆς πονηρᾶς ἕξεως ἀφιγμένους. Ἄκακος δὲ κυρίως, ὁποῖος ἦν Δαβίδ, λέγων· *Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην*· ὁ πᾶσαν πονηρίαν διὰ τῆς κατ' ἀρετὴν ἀσκήσεως τῆς ἑαυτοῦ ψυχῆς ἀποστήσας, ὃς καὶ τῆς κληρονομίας τῶν ἀγαθῶν ἀξιοῦται. Διότι *Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοὺς πορευομένους ἐν ἀκακίᾳ* (34). Ὁ τοιοῦτος πεποιθὼς ἐρεῖ· *Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην*· καὶ πάλιν· *Κρῖνόν με* (35) *κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί*. Χαρακτηρίζει δὲ τὸν ἄκακον ἡ ἁπλότης τοῦ ἤθους, τὸ γενναῖον, τὸ ἀκατάσκευον. Ὁποῖος ἦν Ἰακώβ· *Ἄπλαστος*, φησὶν (36), *οἰκῶν οἰκίαν*· τουτέστι, τῇ ἐκ τῆς φύσεως ἁπλότητι κεχρημένος, οὐδὲν ἐκ τέχνης ἐπίπλαστον σχῆμα, οἷον προσωπεῖον, ἑαυτῷ πρὸς τὴν τῶν ἐντυγχανόντων ἀπάτην περιτιθείς. Ἐνταῦθα μέντοι ἄκακον ἔοικε λέγειν τὸν ἀπειρόκακον, ὃν καὶ χρείαν ἔχειν φησὶ τῆς ἐπαινετῆς πανουργίας, ἵνα πρὸς τῇ ἐκ φύσεως ἀκεραιότητι καὶ τὸ ἐξ ἐμπειρίας συνετὸν ἐπικτήσηται, καὶ οἷον ὅπλῳ τινὶ τῇ καλῇ πανουργίᾳ πεφραγμένος, δυσάλωτος ᾖ ταῖς ἐπιβουλαῖς τῶν ὑπεναντίων. Δεῖ γάρ, οἶμαι, τὸν τέλειον φρόνιμον μὲν εἶναι πρὸς τὸ ἀγαθὸν, ἀκέραιον δὲ πρὸς τὸ κακόν. Ἐντεῦθεν ὥσπερ (37) ἐκ πηγῆς τινος ἀρυέσθωσαν οἱ ἄκακοι τὴν σώζουσαν πανουργίαν. *Ἀνὴρ γὰρ πανοῦργος θρόνος αἰσθήσεως*· καὶ, *Πανοῦργος δὲ, κακῶν ἐπερχομένων, ἀπεκρύβη*· καὶ, *Ὁ δὲ* (38) *φυλάσσων ἐλέγχους, πανουργότερος*. Ἔστιν οὖν ἡ πανουργία ἐνέργεια πάντων κατ' ἐπιτήδευσιν τεχνικήν· ὥσπερ ἡ κακουργία ἡ μόνου ἐστὶ τοῦ κακοῦ ἐργασία. Ἐπεὶ οὖν πᾶσαν ἐργασίαν παραδέχεται ὁ πανοῦργος, ἐν τοῖς πᾶσι δὲ καὶ τὰ φαῦλά ἐστι, δύο σημαίνει ἡ τοῦ πανούργου προσηγορία. Καὶ ὁ μὲν ἐπὶ βλάβῃ ἑτέρων τῇ ἐπινοίᾳ χρώμενος τῶν ἔργων, πονηρός· ὁ δὲ ἐπαινετὸς πανοῦργος ὁ ὀξέως καὶ συνετῶς τὸ οἰκεῖον ἀγαθὸν ἐξευρίσκων, καὶ τὰς δολίως καὶ ἐπιβούλως παρ' ἑτέρων αὐτῷ βλάβας σκευωρουμένας ἀποδιδράσκων. Πρόσεχε οὖν ἀκριβῶς τῷ τῆς πανουργίας ὀνόματι· καὶ γίνωσκε, ὅτι μέση τις ἕξις ἐστὶ, καθ' ἣν ὁ μὲν ἐκ προθέσεως (39) ὑγιοῦς ἐπ' ὠφελείᾳ ἑαυτοῦ καὶ τῶν πλησίον αὐτῇ κεχρημένος ἀποδεκτὸς, ὁ δὲ ἐπὶ βλάβῃ τῶν πέλας μεταχειριζόμενος αὐτὴν κατεγνωσμένος, ἀφορμῇ πρὸς ἀπώλειαν τῷ ἐπιτηδεύματι χρώμενος.

A non quod voluntate a malitia secesserint, sed quod nondum habitum malum fuerint experti. Innocens autem proprie est, qualis erat David, cujus hæc sunt: *Ego autem in innocentia mea ambulavi* [28]: qui videlicet omnem nequitiam per virtutis exercitationem ab anima sua amoverat, qui et bonorum hæreditatem consequitur. *Dominus* enim *bonis non privabit eos, qui ambulant in innocentia* [29]. Quisquis ejusmodi fuerit, fidenter dicturus est: *Judica me, Domine, quoniam ego in innocentia mea ambulavi* [30]. Ac iterum: *Judica me secundum justitiam meam, et secundum innocentiam meam super me* [31]. Morum autem simplicitas, generositas, carens artificio indoles, character sunt innocentis atque insigne. Cujusmodi erat Jacob: *Fuco carens*, inquit, *habitans domum* [32]: hoc est, utens naturali B simplicitate, nullamque speciem ab arte confictam, quasi quamdam larvam, ad obvios quoslibet decipiendos sibi ipsi circumponens. Hic tamen innocentem dicere videtur hominem mali inexpertum: cui etiam laudabili astutia opus esse ait, ut præter naturalem simplicitatem comparet quoque prudentiam in experimento sitam, bonaque astutia quasi quodam telo communitus, vix possit inimicorum insidiis circumveniri. Oportet enim, puto, perfectum virum, prudentem quidem esse ad bonum, simplicem vero ad malum. Hinc velut ex fonte quodam hauriant innocentes salutarem astutiam. *Vir* enim *astutus thronus est sensus* [33]. Et, *Astutus, malis supervenientibus, abscondit se* [34]. Et, *Qui* C *autem cavet reprehensiones, astutior est* [35]. Est igitur astutia id quo aguntur omnia per artificiosam quamdam industriam, quemadmodum maleficium est id quo malum solum perpetratur. Quoniam igitur actio omnis in astutum **108** cadit, itemque in omnibus mala occurrunt, duo significat astuti nomen. Et qui quidem in aliorum perniciem solertia et artificio utitur, malus est; qui vero actutum ac prudenter suum ipsius bonum deprehendens, noxas dolose ac insidiose sibi ab aliis præparatas evitat, est astutus laude dignus. Itaque ad vocem astutiæ animum diligenter attende; noverisque medium quemdam esse habitum, quo alter quidem astutia ex sano consilio usus in rem suam, et proximi usus, laudandus est: alter vero ipsam ad proximi perniciem adhibens, reprehensioni fit obnoxius, ut qui industria sua ceu quadam perdendi occasione utatur.

12. Πλήρης δὲ ἡ ἱστορία τῆς ἐφ' ἑκάτερα χρήσεως

D 12. Porro hujusce dexteritatis usu plena est

[28] Psal. xxv, 11. [29] Psal. lxxxiii, 13. [30] Psal. xxv, 1. [31] Psal. vii, 9. [32] Gen. xxv, 27. [33] Prov. xii, 23. [34] Prov. xxvii, 12. [35] Prov. xv, 5.

(34) Editio utraque et Colb. primus οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. At Reg. secundus et Colb. tertius pro τοῖς πορευομένοις habent τοὺς πορευομένους, quod sanum et verum judico. Grammatici enim docent duos accusativos cum verbis privandi non raro reperiri. Colb. secundus οὐχ ὑστερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις, etc., *non prohibebit bona ambulantibus in innocentia*; nec aliter legitur apud LXX.

(35) Editi Κρῖνόν με, Κύριε. Vox ultima in mss. non invenitur.

(36) Colb. tertius Ὁ Ἰακὼβ ἄπλαστος ἦν, φησί.

(37) Editi Ἐντεῦθεν οὖν ὥσπερ. Illud οὖν in antiquis deest, idcircoque eam voculam delevimus.

(38) Editi καὶ τό· ὁ δέ. At mss. nostri omnes καὶ, ὁ δέ. Hic LXX pro ἐλέγχους habet ἐντολάς, *qui custodit mandata*. Basilius secutus est Aquilam.

(39) Editi ἐκ προαιρέσεως. At quinque mss. ἐκ προθέσεως, eadem plane sententia. Ibidem Colbertini duo libri ὠφελείᾳ ἑαυτοῦ. Editi αὐτοῦ.

historia in utramque partem. Pulchra est astutia Hebræorum, qui, deceptis Ægyptiis, ut urbium conditarum mercedem receperunt [36], ita materias ad tabernaculum construendum sibi compararunt. Laudabiliter astutia usæ sunt nutrices, quæ mares Hebræorum servavere [37]. Pulchra est astutia Rebeccæ, quæ benedictionem magnam filio conciliavit [38]. Rahab pulchre fuit astuta [39]: pulchre itidem Rachel [40]. Illa, quod exploratores servavit: hæc, quod patrem decepit, et ab idololatria liberavit. At vero Gabaonitæ adversus Israelitas prave astuti exstitere [41]. Mala fuit astutia Absalonis, qui simulatione æquitatis pellexit subditos, ac patri insidiaturus magnam rebellium copiam coegit [42]. Reprehenduntur etiam aliqui, quod inierint consilium astutum et malignum in populum Dei [43]. Cæterum hoc loco astutiam, quæ utiliter adhibetur, Scriptura probat, cum sit quasi armatura ad vitæ negotia, atque per seipsam animas simpliciorum communiat. Nam hanc astutiam si habuisset Eva, serpentis dolis seduci non facile potuisset. Innocentem igitur, qui, quod credat sermoni omni, facile mente corrumpitur, doctrina ejusmodi munit et corroborat: siquidem astutiæ utilitatem ceu quoddam ad vitæ negotia adjumentum ei impertit.

13. Consequens est ut consideremus quomodo puero juveni det sensum et intelligentiam [44]. Duplex cum sit homo, ut ait Apostolus [45], unus exterior, interior alter; necesse nobis est, ætatem etiam, tam secundum eum qui conspicitur, quam secundum eum qui in occulto intelligitur, pariter in utroque accipere. Dicere autem puerum recens natum corporalem sensum recipere, propemodum risum movet. Quem enim sensum largiri potest hic liber, cum et visus, et auditus, et olfactus, et gustus, et tactus statim nobiscum edantur, nec accedant ex doctrina, sed per hos natura animal absolvat? Neque igitur puer corporaliter intelligendus est, neque ullus sensus ex enumeratis: sed de interiore homine accipiendæ ætates sunt. Didicimus enim in multis Scripturæ locis, quemdam animæ statum puerilem esse, alium esse ejusdem vigentis, alium jam senis. Verbi causa, uti a Paulo fuimus edocti [46], pueri erant Corinthii, idcircoque lacte adhuc eis opus erat, primaria scilicet et simpliciore Evangelii doctrina, cum solidam dogmatum escam nondum digerere possent. Adolescens autem animo est, qui prorsus omnibus virtutis **109** partibus absolutus est, qui spiritu fervet, qui ad

A τοῦ ἐπιτηδεύματος. Καλὴ πανουργία τῶν Ἑβραίων κατασοφισαμένων τοὺς Αἰγυπτίους, καὶ τόν τε μισθὸν τῆς ἐργασίας τῶν πόλεων (40) ἀπολαβόντων, καὶ ὕλας ἑαυτοῖς πρὸς τὴν σκηνὴν συμπορισαμένων. Ἐπαινετῶς ἐπανουργεύσαντο αἱ μαῖαι περιποιούμεναι τὰ ἄῤῥενα τῶν Ἑβραίων. Καλὴ πανουργία Ῥεβέκκας τὴν μεγάλην εὐλογίαν τῷ υἱῷ προξενούσης (41). Καλῶς ἐπανουργεύσατο Ῥαάβ· καλῶς Ῥαχήλ· ἡ μὲν τοὺς κατασκόπους περισωσαμένη, ἡ δὲ τὸν πατέρα κατασοφισαμένη, καὶ τῆς εἰδωλολατρείας ἐλευθερώσασα. Πονηρῶς κατεπανουργεύσαντο τοὺς Ἰσραηλίτας οἱ Γαβαωνῖται. Πονηρὰ πανουργία τοῦ Ἀβεσσαλὼμ ἐν σχήματι ἐπιεικείας ὑπαγομένου (42) τοὺς ὑπηκόους, καὶ πλῆθος ἀποστατῶν συναθροίσαντος εἰς ἐπιβουλὴν τοῦ πατρός. Ἐγκαλοῦνται B δέ τινες, ὡς καὶ ἐπὶ τὸν λαὸν τοῦ Θεοῦ καταπανουργευσάμενοι γνώμην. Ἐνταῦθα μέντοι τὴν ἐπ' ὠφελείᾳ παραλαμβανομένην πανουργίαν ὁ λόγος ἐγκρίνει, οἱονεὶ ὅπλον οὖσαν πρὸς τὰ τοῦ βίου πράγματα, καὶ ὀχυροῦσαν δι' ἑαυτῆς τὰς ψυχὰς τῶν ἁπλουστέρων. Εἰ γὰρ εἶχε τὴν πανουργίαν ταύτην ἡ Εὔα, οὐκ ἂν εὐάλωτος ἐγεγόνει ταῖς ἀπάταις τοῦ ὄφεως. Τὸν οὖν ἄκακον, τὸν διὰ τὸ πιστεύειν παντὶ λόγῳ εὔκολον εἰς τὸ φθαρῆναι τὰ νοήματα, ὀχυροῖ ἡ προκειμένη διδασκαλία, οἷον συμμαχίαν αὐτῷ πρὸς τὰ τοῦ βίου πράγματα τὴν ἐκ τῆς πανουργίας ὠφέλειαν παρεχομένη.

13. Ἑξῆς ἐστιν ἐπισκέψασθαι, πῶς παιδὶ νέῳ δίδωσιν αἴσθησιν καὶ ἔννοιαν. Ἐπειδὴ διπλοῦς ὁ ἄνθρωπος, C ὥς φησιν ὁ Ἀπόστολος· ὁ μέν τις ἔξωθεν ὤν, ὁ δὲ ἔνδοθεν, κατά τε τὸν ὁρώμενον, καὶ κατὰ (42*) τὸν ἐν τῷ κρυπτῷ νοούμενον, ἀνάγκη ἡμᾶς καὶ τὰ τῆς ἡλικίας ἐφ' ἑκατέρων παραπλησίως λαμβάνειν. Τὸ μὲν οὖν λέγειν τὸν ἀρτιγενῆ παῖδα αἴσθησιν λαμβάνειν σωματικὴν οὐ πόῤῥω ἐστὶ τοῦ γελοίου. Ποίαν γὰρ τῶν αἰσθήσεων ἡ βίβλος χαρίσασθαι δύναται, καὶ ὄψεως, καὶ ἀκοῆς, καὶ ὀσφρήσεως, καὶ γεύσεως, καὶ ἀφῆς εὐθὺς συναπογεννωμένων ἡμῖν, καὶ οὐκ ἐκ διδασκαλίας προσγινομένων, ἀλλὰ τῆς φύσεως διὰ τούτων ἀπαρτιζούσης τὸ ζῶον; Οὔτε οὖν παῖδα σωματικῶς νοητέον, οὔτε αἴσθησιν μίαν τούτων τῶν ἀπηριθμημένων, ἀλλ' ἐπὶ τὸν ἔσω ἄνθρωπον τὰς ἡλικίας μεταληπτέον. Ἐδιδάχθημεν γὰρ πολλαχοῦ τῆς Γραφῆς καὶ παιδικήν κατάστασιν τῆς ψυχῆς· D καὶ ἄλλην ἀκμαστικήν· καὶ ἄλλην ἤδη πρεσβύτου. Οἷον, ὡς παρὰ Παύλου μεμαθήκαμεν, οἱ ἐν Κορίνθῳ νήπιοι ἦσαν· διόπερ καὶ γάλακτος ἔτι ἐδέοντο, τῆς εἰσαγωγικῆς καὶ ἁπλουστέρας τοῦ Εὐαγγελίου διδασκαλίας, μήπω δυνάμενοι περικρατεῖν στερεᾶς τροφῆς (43) τῆς ἐν δόγμασι. Νεανίσκος δὲ κατὰ ψυχήν ἐστιν ὁ πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς κατηρτισμένος

[36] Exod. XII, 35. [37] Exod. I, 17. [38] Genes. XXVII, 13. [39] Jos. II, 4 sqq. [40] Genes. XXXI, 34 sqq. [41] Jos. IX, 4 sqq. [42] II Reg. XV, 4 sqq. [43] Psal. LXXXII, 4. [44] Prov. I, 4. [45] II Cor. IV, 16. [46] I Cor. III, 1, 2.

(40) In Colb. tertio pro πόλεων scriptum invenimus πόνων.

(41) Colb. primus προξενησάσης. Colbertinus tertius προξενισάσης. Mox hic idem codex διασωσαμένη. Basilius ita laudat πανουργίαν καλήν, ut videri possit et ipse, more Græcorum, mendaciis officiosis favere.

(42) Editi ἐπαγομένου. At quinque mss. ὑπαγομένου.

(42*) Vocem κατὰ ex tribus mss. addidimus.

(43) Colb. tertius στερεωτέρας τροφῆς.

A πρὸς τὸ τέλειον, ὁ τῷ πνεύματι ζέων, ὁ σφριγῶν πρὸς τὰς πράξεις τῆς εὐσεβείας, καὶ ἀκμάζων πρὸς πᾶσαν εὐτονίαν ἀγαθῶν ἔργων· ὃν καὶ βιαστὴν τὸ Εὐαγγέλιον λέγει, δυνάμενον διαρπάσαι τὴν βασιλείαν τῶν οὐρανῶν· ὃν καὶ εἰς τοὺς ὕμνους, ὡς ἐπιτήδειον, τὸ ἅγιον Πνεῦμα παραλαμβάνει· *Νεανίσκοι* γάρ, φησί, *καὶ παρθένοι αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου*. Καὶ ἐν τῷ Ἰωὴλ ἐπαγγελίας ἔχουσι οἱ νεανίσκοι ὁράσεις ὄψεσθαι. Πρεσβύτερος δὲ κατὰ ψυχὴν ὁ τετελειωμένος (43*) κατὰ τὴν φρόνησιν· ὁποῖος ἦν Δανιὴλ, ἐν νεαρῷ τῷ σώματι τὸ ἐκ τῆς συνέσεως σεμνὸν πολιᾶς πάσης αἰδεσιμώτερον ὑποφαίνων. Διό φασι πρὸς αὐτὸν ἐκεῖνοι οἱ πλήρεις ἡμερῶν πονηρῶν· *Δεῦρο, κάθισον* (44) *ἐν μέσῳ ἡμῶν, καὶ ἀπάγγειλον ἡμῖν, ὅτι σοι ἔδωκεν ὁ Θεὸς τὸ πρεσβυτέριον*. Οὐκοῦν B καὶ ἐνταῦθα παῖδα νέον φησὶ τὸν διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἀναγεννηθέντα, καὶ τραφέντα (44*), καὶ γενόμενον ὡς παιδίον, καὶ διὰ τῆς τοιαύτης καταστάσεως εὔθετον ὄντα τῇ βασιλείᾳ τῶν οὐρανῶν. Τῷ δὴ οὕτως ἀρτιγενεῖ βρέφει, τὸ λογικὸν καὶ ἄδολον γάλα ἐπιποθήσαντι, δίδωσιν ἡ βίβλος τῶν Παροιμιῶν δι' αὐτῆς γεγυμνασμένῳ (45) αἴσθησιν καὶ ἔννοιαν· αἴσθησιν μὲν τῶν παρόντων, ἔννοιαν δὲ τῶν μελλόντων. Παιδεύει μὲν γὰρ τὰ ἀνθρώπινα, καὶ αἰσθητικοὺς ποιεῖ τῶν πραγμάτων, ὡς μήτε ἀτόποις ἡδοναῖς δουλεύειν, μήτε περὶ τὰς ματαίας τοῦ κόσμου τούτου δόξας διεπτοῆσθαι. Ἐμποιεῖ δὲ καὶ τοῦ μέλλοντος αἰῶνος ἔννοιαν, καὶ προσβιβάζει (45*) δι' ὧν λέγει τῇ πίστει τῶν ἐπηγγελμένων.

14. Ἐπειδὴ δὲ τὰς τῶν ἡλικιῶν διαφορὰς ἐπὶ τὸν C ἔσω ἄνθρωπον μετελάβομεν, ἀκόλουθόν ἐστι καὶ τὰ τῶν αἰσθήσεων ὀνόματα ἐπὶ τὰς δυνάμεις τῆς ψυχῆς μεταφέρειν. Ὥστε ὅταν λέγῃ, ὅτι *Ἐμοῖς λόγοις παράβαλε σὸν οὖς*, εἰδέναι ἡμᾶς χρὴ, ὅτι τὸ εὐήκοον τῆς ψυχῆς ἐπιζητεῖ, ὡς ὁ (46) Κύριος· *Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω*· καὶ τὸ, *Λόγος σοφὸς εἰς οὖς εὐήκοον*. Διὰ τούτων οὖν καὶ τῶν τοιούτων δίδωσι τῷ νέῳ παιδὶ τὴν τῆς ἀκοῆς αἴσθησιν ὑγιαίνουσαν. Ὅταν δὲ λέγῃ, *Μὴ πρόσεχε φαύλῃ γυναικί*· καὶ πάλιν, *Μὴ ἐρείσῃς σὸν ὄμμα πρὸς αὐτήν*· καὶ, *Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν*· δῆλός ἐστι (46*) τὴν οἱονεὶ ὅρασιν τῆς ψυχῆς τῷ παιδὶ χαριζόμενος. Καὶ ὅταν παραινῇ, ὅτι *Φάγε μέλι, υἱὲ, ἵνα γλυκανθῇ ὁ φάρυγξ σου* (μέλι τροπικῶς ὀνομάζων τὴν θείαν διδασκαλίαν· *Ὡς γλυκέα* γάρ, φησί, *τῷ* D *λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου*)· διὰ τῆς παραινέσεως ταύτης τὴν πνευματικὴν νεῦσιν τῆς ψυχῆς καταρτίζει, περὶ ἧς εἴρηται·

pietatis actiones strenuus est, et ad omnia opera bona fortiter peragenda vegetus: qui et violentus ab Evangelio vocatur [47], valens scilicet rapere regnum cœlorum: quem et sanctus Spiritus velut ad hymnos canendos idoneum assumit: *Juvenes* enim, inquit, *et virgines laudent nomen Domini* [48]. Et in Joele promissum est, fore, ut juvenes visiones videant [49]. Senex autem animo est, qui prudentia perfectus est: qualis erat Daniel, qui in juvenili corpore sapientiam gravitatemque omni canitie venerabiliorem præ se ferebat. Quapropter ei dicunt viri illi pleni dierum malorum: *Veni, sede in medio nostrum, et nuntia nobis, quod tibi Deus dederit honorem senectutis* [50]. Itaque et hic puerum novum dicit eum, qui per lavacrum regenerationis renatus est et educatus, atque ut parvulus effectus, quique per ejusmodi statum idoneus est ad regnum cœlorum. Proverbiorum igitur liber infanti sic recens nato, rationale lac et sincerum appetenti, ubi per se exercitatus est, sensum et intelligentiam impertit: sensum quidem præsentium, intelligentiam vero futurorum. Erudit enim in rebus humanis, tribuitque rerum sensum; sic ut neque turpibus voluptatibus quisquam inserviat, neque mundi hujus inani gloriæ inhiet. Prætereaque futuri sæculi intelligentiam confert, ac sermonibus suis ad promissorum fidem provehit.

14. Sed quoniam ætatum differentias ad internum hominem transtulimus, consequens etiam fuerit, ut sensuum nomina ad animæ potentias transferamus. Itaque cum dicit [51]: *Sermonibus meis admove aurem tuam*, scire nos convenit quod obsequentem animum requirat, haud secus ac Dominus: *Qui habet aures audiendi, audiat* [52]; et illud: *Sermo sapiens in aurem obedientem* [53]. Per hæc igitur et consimilia sanum auditus sensum puero novo dat. Cum vero dicit, *Noli attendere pravæ mulieri* [54]; ac rursus: *Noli defigere in eam obtutum tuum* [55]; item: *Oculi tui recta videant* [56]; largiri se puero animæ quasi visum aperte ostendit. Et cum admonet, *Comede, fili, mel, ut dulcescat guttur tuum* [57] (doctrinam divinam tropice mel appellans: *Quam dulcia* enim, inquit, *faucibus meis eloquia tua, super mel ori meo* [58]); per hanc admonitionem perficit spiritualem animæ gustum, de quo dictum est: *Gustate et videte, quoniam suavis est*

[47] Matth. xi, 12. [48] Psal. cxlviii, 12. [49] Joel ii, 28. [50] Dan. xiii, 50. [51] Prov. xxii, 17. [52] Matth. xiii, 9. [53] Prov. xxv, 12. [54] Prov. v, 2. [55] Eccli. ix, 3. [56] Prov. iv, 25. [57] Prov. xxiv, 13. [58] Psal. cxviii, 103.

(43*) Antiqui duo libri τετελειωμένος. Statim duo mss. αἰδεσιμώτερον ἐπιφαίνων. Alius ἀποφαίνων. Editi ὑποφαίνων.

(44) Regii duo mss. Δεῦρο καθίσας. Unus codex Colb. κάθισον. Alii duo itidem Colbertini et editi κάθησον.

(44*) In utraque editione Basil. et Paris. incorrupte legitur τραφέντα, sed corrupte in veteribus quinque libris scriptum fuit στραφέντα. Mox unus ms. τῷ δὴ οὖν οὕτως.

(45) Editi ἐγγυμνασαμένῳ. Reg. primus γυμνασαμένῳ. At Colbertini secundus et tertius γεγυμνασμένῳ, recte.

(45*) Editi et Reg. secundus προβιβάζει. Alii mss. προσβιβάζει.

(46) Editi ὡς καὶ ὁ. Vocula καὶ in nostris mss. non invenitur.

(46*) Reg. secundus δῆλόν ἐστι. Infra idem codex τροπικῶς ὀνομάζει.

Dominus [59]. Est autem et tactus quidam animæ, quo sapientia eam attingit, amatorem suum velut amplectens. *Ama* enim, inquit, *ipsam, ut te amplexetur* [60]. Et rursus Ecclesiastes, *Tempus est amplectendi et tempus longe discedendi ab amplexu* [61]. Corpora quidem amplexibus impuris coinquinantur: anima vero sapientiæ amplexu tota ex toto ei conjuncta, sanctimonia completur ac puritate. Sic igitur puero juvenculo sensum tribuit. Quomodo **110** vero intelligentiam indit? Nimirum cum dicit: *Non proderunt facultates in die mala* [62]. Injicit enim cordi tuo cogitationem de die illa, in qua tibi pecuniarum copia adjumento non erit, neque eximet te æterna pœna. Aut cum dicit: *Innocentes autem hæreditabunt terram* [63]: terram videlicet illam, cujus etiam mites sunt hæredes, tum juxta Psalmistam dicentem: *Mites autem hæreditabunt terram* [64], tum juxta prædicatam a Domino beatitudinem, *Beati* enim, inquit, *mites, quoniam ipsi possidebunt terram* [65]. Et rursus: *Gloriam sapientes hæreditabunt* [66]. Ita ad bona quæ promissa sunt desideranda exstimulat animam. Hanc intelligentiam puero novo dat, metum quidem minarum quæ peccatoribus intentantur, desiderium vero eorum quæ justis sunt parata. *Hæc enim audiens sapiens, sapientior erit* [67]. Magnam vim Proverbiis ascribit Scriptura, videlicet quod superant sapientum sapientiam, et quod documenta in hoc libro tradita, majora sunt quam quæ apud sapientes reperiuntur. Quare aliorum quidem magistrorum discipuli innumeri exsistunt: ejus vero libri auditores, sapientes sunt. Quoniam autem ambiguum est sapientum nomen (sapientes enim dicuntur etiam mundi hujus sapientes [68], itemque sapientes vocantur [69], qui sapientiam veram Dominum nostrum Jesum Christum per fidem in ipsum receperunt), eos qui a doctrina nostra alieni sunt, ubi ad sanam Parœmiarum doctrinam accesserint, sapientiores fore Scriptura pollicetur, sic ut rerum inanium spreta cognitione, admirationem suam in veritatem transferant. Aut quoniam multis modis sapiens dicitur (etenim et qui sapientiæ desiderio tenetur, et qui jam proficit in sapientiæ contemplatione, et qui jam in eo habitu perfectus est, eodem nomine appellantur), hæc ubi audierit sapiens, sive qui sapientiæ fuerit amator, sive qui jam in ipsa profecerit, futuri sunt sapientiores. Et vero ut multa de rebus divinis dogmata discent, ita multa de humanis docebuntur, hoc ipso libro varie vitium profligante, et rursus multis modis virtutem inducente. Linguam iniquam frenat, oculum erudit prava intuen-

A *Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος*. Ἔστι δέ τις καὶ ἁφὴ τῆς ψυχῆς, καθ' ἣν ἐφάπτεται αὐτῆς ἡ σοφία, οἱονεὶ περιπτυσσομένη τὴν ἑαυτῆς ἐραστήν. *Ἐράσθητι* γάρ, φησιν, *αὐτῆς, ἵνα σε περιλάβῃ*· καὶ πάλιν ὁ Ἐκκλησιαστής, *Καιρὸς τοῦ περιλαβεῖν, καὶ καιρὸς τοῦ μακρυνθῆναι ἀπὸ περιλήψεως*. Σώματα (47) μὲν γὰρ περιπλοκαῖς ἀκαθάρτοις καταμιαίνεται· ψυχὴ δέ, τῇ τῆς σοφίας περιπλοκῇ ὅλη δι' ὅλης πρὸς αὐτὴν ἑνωθεῖσα, ἁγιασμοῦ πληροῦται καὶ καθαρότητος. Οὕτω μὲν οὖν αἴσθησιν παιδὶ χαρίζεται νέῳ. Ἔννοιαν δὲ πῶς ἐμποιεῖ; Ὅταν λέγῃ· *Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ κακῇ* (47*). Ἐμβάλλει γὰρ ἐνθύμιον τῇ καρδίᾳ σου περὶ τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ σοι τὸ πλῆθος τῶν χρημάτων οὐκ ἐπαρκέσει, οὐδὲ ἐξαιρήσεταί σε B τῆς αἰωνίου κολάσεως. Ἢ ὅταν λέγῃ· *Ἄκακοι δὲ κληρονομήσουσι γῆν* (48)· γῆν ἐκείνην, ἧς καὶ οἱ πραεῖς εἰσι κληρονόμοι, κατά τε τὸν Ψαλμῳδὸν τὸν λέγοντα· *Οἱ δὲ πραεῖς κληρονομήσουσι τὴν γῆν*· καὶ κατὰ τὸν μακαρισμὸν τοῦ Κυρίου· *Μακάριοι* γάρ, φησιν, *οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν*· καὶ πάλιν· *Δόξαν σοφοὶ κληρονομήσουσι*. Πρὸς τὴν ἐπιθυμίαν τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν τὴν ψυχὴν διανίστησι. Ταύτην δίδωσι τῷ παιδὶ τῷ νέῳ τὴν ἔννοιαν, φόβον μὲν τῶν τοῖς ἁμαρτωλοῖς ἀπειληθέντων, ἐπιθυμίαν δὲ τῶν τοῖς δικαίοις ἡτοιμασμένων. *Τῶνδε γὰρ ἀκούσας σοφὸς σοφώτερος ἔσται*. Μεγάλην μαρτυρεῖ δύναμιν ταῖς Παροιμίαις ὁ λόγος, ὅτι ὑπερβαίνει τῶν σοφῶν τὴν σοφίαν, καὶ τῶν ἐναποκειμένων αὐτοῖς παιδευμάτων C μείζονά ἐστι τὰ ἐκ τῆς βίβλου ταύτης παραδιδόμενα. Ὥστε τῶν μὲν ἄλλων διδασκάλων οἱ ἄπειροί εἰσι μαθηταί· τῆς δὲ βίβλου ταύτης ἀκροαταί εἰσιν οἱ σοφοί. Ἐπειδὴ δὲ ὁμώνυμόν (48*) ἐστι τὸ τῶν σοφῶν ὄνομα (σοφοὶ γὰρ καὶ οἱ τοῦ κόσμου τούτου λέγονται, σοφοὶ καὶ οἱ τὴν ἀληθινὴν σοφίαν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ τῆς εἰς αὐτὸν πίστεως ὑποδεξάμενοι), τοὺς ἔξωθεν ὄντας τοῦ καθ' ἡμᾶς λόγου, ἐπειδὰν προσέλθωσι τῇ ὑγιαινούσῃ τῶν Παροιμιῶν διδασκαλίᾳ, σοφωτέρους ἔσεσθαι ὁ λόγος κατεπαγγέλλεται· ἀτιμάζοντας μὲν τὴν τῶν ματαίων γνῶσιν, μετατιθέντας δὲ τὸ θαῦμα πρὸς τὴν ἀλήθειαν. Ἢ ἐπειδὴ πολλαχῶς λέγεται ὁ σοφὸς (ὅ τε γὰρ ἐπιθυμῶν σοφίας, καὶ ὁ ἐν προκοπῇ ἤδη ὢν τῶν τῆς σοφίας θεωρημάτων, καὶ ὁ τετελειωμένος κατὰ τὴν ἕξιν, D ὁμοίως προσαγορεύονται [49]), τούτων ἀκούσας ὁ σοφός, εἴτε ὁ ἐραστὴς τῆς σοφίας, εἴτε καὶ ὁ ἤδη διαβεβηκὼς ἐν αὐτῇ, σοφώτεροι ἔσονται, πολλὰ μὲν περὶ τῶν θείων παιδευθέντες δογμάτων, πολλὰ δὲ καὶ περὶ τῶν ἀνθρωπίνων ἐκδιδασκόμενοι, ποικίλως μὲν τὴν κακίαν ἐξοριζούσης τῆς βίβλου, πολυτρόπως δὲ

[59] Psal. XXXIII, 9. [60] Prov. IV, 6, 8. [61] Eccle. III, 5. [62] Prov. XI, 4. [63] Prov. II, 21. [64] Psal. XXXVI, 11. [65] Matth. V, 4. [66] Prov. III, 35. [67] Prov. I, 5. [68] I Cor. I, 20. [69] II Cor. XI, 19.

(47) Colb. primus σῶμα.

(47*) Illa, οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ κακῇ, *non proderunt facultates in die mala*, desunt in editione Romana. Lege Nobilii notas et *Hexapla*.

(48) Illud, ἄκακοι δὲ κληρονομήσουσι γῆν, *innocentes autem hæreditabunt terram*, reperire non est apud LXX, qui ita habent, ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν, *quoniam recti inhabitabunt terram*. Basilius credi potest Symmachum secutus fuisse. Lege notas Nobilii.

(48*) Colb. tertius ἐπειδὴ δὲ ἐπώνυμον.

(49) Colbertini duo libri προσαγορεύεται.

πάλιν ἀντεισαγούσης τὴν ἀρετήν. Γλῶσσαν ἄδικον χαλινοῖ, ὀφθαλμὸν παιδεύει πονηρὰ βλέποντα, χειρῶν ἀδίκων ἄρχειν οὐκ ἐπιτρέπει· ἀργίαν ἀποδιώκει, ἐπιθυμίας ἀτόπους κολάζει, διδάσκει φρόνησιν, διδάσκει ἀνδρίαν, σωφροσύνην ἀποσεμνύνει. Ὁ οὖν ταῦτα παιδευθεὶς, καὶ τήν τε πρὸς τὰ χείρονα διαβολὴν ἰσχυρὰν ἔχων παρ' ἑαυτῷ, καὶ τὴν τοῦ ἀγαθοῦ ἔφεσιν μείζονι τῇ ὁρμῇ, οἷον διά τινος ὑποφωνήσεως, προσκτησάμενος, σοφὸς ὢν διὰ τὴν οἰκείαν ὁρμὴν, σοφώτερος γέγονε διὰ τὴν ἐκ τῆς διδασκαλίας τελείωσιν.

15. *Ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται.* Χρὴ τὸν μέλλοντα προσιέναι τέχνης τινὸς ἀναλήψει τὰς ἐκ τῆς φύσεως ἐπιτηδειότητας ηὐτρεπισμένας ἔχειν· τὸν παλαιστὴν τὴν τοῦ σώματος διάπλασιν καὶ τὴν ἰσχύν· τὸν δρομικὸν τὴν εὐαρμοστίαν τῶν μελῶν καὶ τὴν κουφότητα· οὕτω καὶ τὸν κυβερνήτην τὸ τῆς διανοίας ὀξὺ καὶ εὐπαρακολούθητον. Διὰ τοῦτο οὐ τὸν τυχόντα καλεῖ πρὸς τὴν κυβέρνησιν ὁ λόγος, ἀλλὰ τὸν νοήμονα. Τί δέ ἐστιν ἡ κυβέρνησις, ἢ πάντως ἐπιστήμη ψυχῆς περὶ τὴν ἄστατον φύσιν τῶν ἀνθρωπίνων πραγμάτων, ὅπως αὐτὴν διαπεραιοῦσθαι προσήκει; Πολλαχοῦ γὰρ ὕδατα καὶ θάλασσαν τὸν βίον τοῦτον εὑρίσκομεν ὑπὸ τῆς Γραφῆς ὠνομασμένον, ὡς ἐν τῷ ψαλμῷ· *Ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με· προσελάβετό με ἐξ ὑδάτων πολλῶν.* Πρόδηλον γὰρ, ὅτι τὴν ταραχὴν τοῦ βίου, ὕδατα λέγει. Οὔτε γὰρ τὰ δεξιὰ καὶ περισπούδαστα τοῖς πολλοῖς τὸ ἑστὼς καὶ μόνιμον ἔχει, οὔτε τὰ περιστατικὰ τῶν πραγμάτων καὶ κατηφῆ παγίως ἥδρασται· ἀλλὰ πάντα σάλῳ τινὶ καὶ κλόνῳ καὶ μεταβολαῖς ἀδοκήτοις ὑπόκειται. Ὥσπερ οὖν θάλασσαν ἀμήχανον τὴν αὐτὴν ἐπὶ πολὺ διαρκέσαι (τὴν γὰρ νῦν λείαν καὶ σταθερὰν μικρὸν ὕστερον ὄψῃ (50) βίαις ἀνέμων τραχυνομένην, καὶ μέντοι καὶ τὴν ἀγριαίνουσαν, καὶ βρασσομένην τῷ κλύδωνι, βαθεῖα γαλήνη ταχὺ κατεστόρεσεν)· οὕτω καὶ τὰ τοῦ βίου πράγματα ῥᾳδίως λαμβάνει τὰς περιστροφὰς ἐφ' ἑκάτερα. Διὰ τοῦτο κυβερνήτου χρεία, ἵνα καὶ ἐν γαλήνῃ τοῦ βίου πάντων αὐτῷ κατὰ ῥοῦν (51) προϊόντων, τὰς μεταβολὰς ἐκδέχηται, καὶ μὴ ὡς ἀθανάτοις ἐπαναπαύηται τοῖς παροῦσι, καὶ ἐν τῇ σκυθρωποτέρᾳ καταστάσει μὴ ἀπελπίζῃ ἑαυτὸν, μηδὲ τῇ περισσοτέρᾳ λύπῃ καταποθεὶς ὑποβρύχιος φέρηται. Οὔτε γὰρ (52) ὑγεία σώματος, οὔτε νεότητος ἄνθος, οὐκ εὐθηνία οἴκου, οὐχ ἡ λοιπὴ τοῦ βίου εὐημερία ἐπιπολὺ διαμένει· ἀλλ' ἐν τῇ εὐδίᾳ ταύτῃ τοῦ βίου ὢν, ἐκδέχου ποτὲ καὶ χειμῶνα πραγμάτων. Ἥξει γὰρ νόσος, καὶ ἥξει πενία· οὐκ ἀεὶ κατὰ πρύμναν ἱσταμένου τοῦ πνεύματος· ἀλλὰ καὶ τὸν περίβλεπτον ἐν πᾶσι καὶ ζηλωτὸν ἀδόκητοι πολλάκις ἀδοξίαι καταλαμβάνουσι· καὶ πᾶσαν τὴν εὐημερίαν τοῦ βίου, οἷον σπιλάδες τινὲς, περιστάσεις ἀβούλητοι συνετάραξαν. Καὶ ἡ συνέχεια τῶν κακῶν

tem, manus violentas neminem sinit priorem inferre, otium abigit, desideria turpia reprimit, docet prudentiam, docet fortitudinem, temperantiam adornat. Quare hæc qui edoctus fuerit, oderitque fortiter in semetipso deteriora, et boni desiderium impetu majore velut acclamatione quadam fuerit adeptus, sapiens cùm sit suo ipsius impetu, tamen per perfectionem ex doctrina accedentem sapientior efficitur

15. *Intelligens autem gubernationem obtinebit*[70]. Qui ad artem aliquam assumendam accessurus est, eum oportet aptam expeditamque naturam ad eam exercendam habere; luctatorem, corpus bene constitutum et robustum; cursorem, concinnitatem membrorum atque levitatem; ad eumdemque modum gubernatorem, acumen mentis ac sagacitatem. Quamobrem non quemlibet ad gubernationem vocat Scriptura, sed intelligentem. Quid autem est gubernatio, **111** nisi omnino animi scientia atque ars, circa rerum humanarum instabilitatem, quomodo par sit eam trajicere? Nam locis multis invenimus vitam hanc aquas et mare a Scriptura appellatam, ut in Psalmo : *Misit de summo, et accepit me : assumpsit me de aquis multis*[71]. Etenim vitæ tumultum aquas aperte vocat. Neque enim res secundæ, et quarum studio plerique tenentur, stabilitatem ac diuturnitatem habent, neque res adversæ ac tristes constanter perseverant : sed agitationi cuidam motuique et inopinatis mutationibus obnoxia sunt omnia. Quemadmodum igitur fieri non potest, ut mare diu idem permaneat (quod enim nunc tranquillum ac stabile vides, paulo post conspicies ventorum vi exasperatum ; quod vero efferatum est, et æstu effervescens, mox tranquillitas alta sedat) : sic etiam res mundanæ in utramque partem facile convertuntur. Eam ob causam gubernatore opus est, ut et in vitæ tranquillitate omnibus ex animi sententia procedentibus, mutationes præstoletur, nec in præsentibus tanquam semper permansuris conquiescat, neque de se desperet in statu mœstiore, neque abundantiore tristitia absorptus[72] submergatur. Neque enim corporis valetudo, neque juventutis flos, neque domus felicitas, neque reliqua vitæ prosperitas, diu durat : sed si in hac vitæ serenitate versaris, tamen rerum procellam ac tempestatem aliquando exspecta. Veniet enim morbus, veniet et paupertas, vento non semper a puppi surgente. Sed et virum in omnibus spectabilem ac æmulandum invadunt inexspectata plerumque dedecora, atque improvisi casus quasi quidam turbines omnem vitæ felicitatem interturbant.

[70] Prov. I, 5. [71] Psal. XVII, 17. [72] II Cor. II, 7.

(50) Editi et Colb. tertius ὄψῃ. Alii duo mss. ὄψει. Mox Reg. primus et secundus ῥᾳδίας λαμβάνει. Sed alii duo mss. Colb. et editi ῥᾳδίως.

(51) Veteres quatuor libri κατὰ νοῦν, *ex sententia.* Utraque editio κατὰ ῥοῦν, *secundo flumine.* Quanquam hæ duæ lectiones prima fronte videri possint multum a se differre, constat tamen eis unam et eamdem notionem subjectam esse, eodemque redire.

(52) Utraque editio οὔτε γάρ. Vocula γάρ in nostris mss. non invenitur.

Imo etiam assidua mala sunt tibi fluctuum loco, A quorum alii aliis succedentes vitam tibi exasperant, ac horrendam vitæ tempestatem tibi inducunt. Videbis aliquando et hæc præterlapsa, vitamque in hilaritatem et in vere jucundam tranquillitatem transmutatam. Hic igitur est intelligens gubernator qui subjectæ naturæ habita ratione, ea quæ accidunt, tractat, quique sibi ipse similis semper permanens, neque rebus lætis effertur, neque in ærumnis animo concidit. Rursus etiam ad alia nobis utile est gubernationis beneficium. Novi enim et alios fluctus, et horrendam tempestatem adversus animam insurgentem, tempestatem videlicet, quæ ex vitiosis carnis affectibus oritur. Nam iræ, et timores, et voluptates, et molestiæ ex carnis sensu velut ex violento quodam turbine erumpen- B tes, sæpenumero animam gubernatore carentem submerserunt. Oportet igitur mentem quasi quemdam gubernatorem affectibus præsidentem, carnemque navigii instar **112** conscendentem, et cogitationes quasi clavos perite circumvertentem, fluctus strenue conculcare : itemque in altitudine permanentem, et affectibus prope inaccessam, nequaquam eorum amaritudine veluti salsugine quadam compleri, sed semper orantem dicere : *Eruar ab iis qui oderunt me, et de profundis aquarum. Non me demergat tempestas aquæ : neque absorbeat me profundum* [73].

16. Vis enarrem tibi et aliam navigationem, ad quam necessarium est nobis gubernationis donum? C *Regnum cœlorum simile est homini negotiatori* [74]. Quotquot igitur evangelicam viam ambulamus, mercatores sumus, observandis præceptis comparantes nobis cœlestium possessionem. Oportet igitur nos multas et varias divitias cœlestes colligere, si nolimus affici pudore in lucro exhibendo, perinde atque ii qui talenta acceperant, nolimusque audire : *Serve male et piger* [75] : itemque nitendum, ut impositis mercibus hanc vitam tuto transeamus. Nam multi multa a juventute colligentes, ubi ad mediam fere ætatem progressi sunt, nequitiæ spiritibus adversus eos tentationes excitantibus, tempestatis onus, utpote gubernatione destituti, non sustinuerunt; sed omnium illarum rerum jacturam fecere. Unde alii *Circa fidem nau-* D *fragaverunt* [76], alii, prava voluptate in modum inexspectatæ cujusdam procellæ ingruente, compa-

A ὥσπερ κύματά σοί ἐστιν, ἄλλα ἐπ' ἄλλοις ἐπεγειρόμενα, τραχύνοντά σοι τὸν βίον, καὶ περιϊστῶντα φοβερὸν τῆς ζωῆς σοι τὸν (53) κλύδωνα. Ὄψει ποτὲ καὶ ταῦτα παραδραμόντα, καὶ πρὸς ἱλαρότητα καὶ λευκὴν ὄντως γαλήνην τὸν βίον μεταβληθέντα. Οὗτος οὖν ἐστιν ὁ νοήμων κυβερνήτης, ὁ ἐστοχασμένως τῆς ὑποκειμένης φύσεως μεταχειριζόμενος τὰ συμπίπτοντα (54), καὶ ὅμοιος ἀεὶ αὐτὸς ἑαυτῷ διαμένων, μήτε ἐπαιρόμενος ἐν ταῖς εὐθυμίαις, μήτε καταπίπτων ἐν ταῖς συμφοραῖς. Πάλιν καὶ πρὸς ἕτερα χρήσιμον ἡμῖν ἐστι τὸ ἐκ τῆς κυβερνήσεως ἀγαθόν. Οἶδα γὰρ καὶ ἄλλα κύματα καὶ κλύδωνα φοβερὸν ἐπανιστάμενον τῇ ψυχῇ, τὸν ἐκ τῶν παθῶν τῆς σαρκός. Θυμοὶ γὰρ καὶ φόβοι, καὶ ἡδοναὶ (55) καὶ λῦπαι, οἷον ἔκ τινος ζάλης βιαίας τοῦ τῆς σαρκὸς φρονήματος B προσπεσόντες, πολλάκις τὴν ἀκυβέρνητον ψυχὴν κατεπόντισαν. Δεῖ τοίνυν τὸν νοῦν ὥσπερ τινὰ κυβερνήτην ἄνω καθήμενον τῶν παθῶν (56), καὶ οἱονεὶ πλοίου τῆς σαρκὸς ἐπιβάντα, καὶ ἐμπείρως τοὺς λογισμοὺς οἷον οἴακας περιστρέφοντα, καταπατεῖν μὲν γενναίως τὰ κύματα, ὑψηλὸν δὲ διαμένοντα, καὶ δυσπρόσιτον ὄντα τοῖς πάθεσι, μηδαμῶς τῆς ἀπ' αὐτῶν πικρίας ὥσπερ ἅλμης τινὸς ἀναπίμπλασθαι, ἀλλ' ἀεὶ προσευχόμενον λέγειν· *Ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τῶν βαθέων ὑδάτων. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός.*

16. Βούλει σοι καὶ ἕτερον πλοῦν διηγήσωμαι, πρὸς ὃν ἀναγκαῖον ἡμῖν ἐστι τὸ δῶρον τῆς κυβερνήσεως; C *Ἡ βασιλεία τῶν οὐρανῶν ὁμοία ἐστὶν ἀνδρὶ ἐμπόρῳ.* Πάντες οὖν οἱ τὴν εὐαγγελικὴν ὁδὸν πορευόμενοι ἔμποροί ἐσμεν, διὰ τῆς ἐργασίας τῶν ἐντολῶν τὴν κτῆσιν ἑαυτοῖς τῶν οὐρανίων πραγματευόμενοι. Δεῖ οὖν ἡμᾶς πολὺν καὶ ποικίλον τὸν οὐράνιον πλοῦτον συναγαγεῖν, εἰ μὴ μέλλοιμεν καταισχύνεσθαι ἐν τῇ ἐπιδείξει τῆς ἐργασίας, ὡς οἱ λαβόντες τὰ τάλαντα, μηδὲ ἀκούειν, *Δοῦλε πονηρὲ καὶ ὀκνηρέ*· ἐνθεμένους δὲ τὰ ἀγώγιμα, ἀσφαλῶς πειρᾶσθαι τὴν ζωὴν ταύτην διαπερᾷν. Πολλοὶ γὰρ πολλὰ συναθροίσαντες ἐκ νεότητος, περὶ τὰ μέσα τοῦ βίου γενόμενοι, ἐπαναστάντων αὐτοῖς πειρασμῶν ἐκ τῶν πνευμάτων τῆς πονηρίας, οὐκ ἤνεγκαν τοῦ χειμῶνος τὸ βάρος, διὰ τὸ τὴν κυβέρνησιν αὐτοῖς μὴ παρεῖναι, ἀλλὰ πάντων ἐκείνων τὴν D ζημίαν ὑπέμειναν. Ὅθεν καὶ οἱ μὲν *Περὶ τὴν πίστιν ἐναυάγησαν*· ἄλλοι δὲ σωφροσύνην, ἣν συνήγαγον ἐκ νεότητος, ὥσπερ καταιγίδος τινὸς ἀδοκήτου (57)

[73] Psal. LXVIII, 15, 16. [74] Matth. XIII, 45. [75] Matth. XXV, 26. [76] I Tim. I, 19.

(53) Reg. primus ζωῆς σου τόν.

(54) Illud, ὁ ἐστοχασμένως τῆς ὑποκειμένης φύσεως μεταχειριζόμενος τὰ συμπίπτοντα, male verterat Volaterranus; quæ causa fuit, cur Combefisius ita interpretatus sit : *Ea quæ subjectæ naturæ obveniunt, mentis solertia tractans.* Sed non animadvertit vir doctissimus, se ita vertisse, quasi scriptum esset, ὁ ἐστοχασμένως μεταχειριζόμενος τὰ συμπίπτοντα τῇ ὑποκειμένῃ φύσει, cum tamen scriptum sit, τῆς ὑποκειμένης φύσεως, ex quo fit ut dubitari non possit, quin hic genitivus, τῆς ὑποκειμένης φύσεως, regatur voce ἐστοχασμένως, *considerata natura quæ subjicitur* : hoc est, *ratione habita ejus quæ subjicitur naturæ.* Sic igitur interpretari licet, *qui quæ accidunt, ita tractat, ut subjectam naturam consideret.*

(55) Codices Combefisiani καὶ ἡδοναί. Vocula καί a vulgatis aberat.

(56) Illud, ἄνω καθήμενον τῶν παθῶν, omnes, opinor, sic accipiendum vident, *quasi ex alto vitiosis affectibus præsidentem ac imperantem.*

(57) Sic tres mss. Colbertini. Vox ἀδοκήτου in editis desiderabatur.

τῆς πονηρᾶς ἡδονῆς ἐπιδραμούσης, ἀπώλεσαν. Ἐλεεινότατον θέαμα μετὰ νηστείαν, μετὰ σκληραγωγίαν, μετὰ προσευχὴν ἐκτενῆ, μετὰ δάκρυον δαψιλὲς, μετὰ ἐγκράτειαν ἐτῶν εἴκοσί που ἢ καὶ τριάκοντα (58), δι' ἀπροσεξίαν ψυχῆς καὶ ἀμέλειαν γυμνὸν ἁπάντων ἀποδειχθῆναι, καὶ παραπλήσιον γενέσθαι τὸν τῇ ἐργασίᾳ τῶν (59) ἐντολῶν εὐθηνούμενον ἐμπόρῳ τινὶ μεγαλοπλούτῳ, ὃς τῷ πλήθει τῶν ἀγωγίμων ἐπαγγελλόμενος, ἐξ οὐρίας αὐτῷ τῆς νεὼς φερομένης, τὰ φοβερὰ πελάγη διαδραμὼν, πρὸς αὐτοῖς τοῖς λιμέσι διαῤῥαγέντος τοῦ πλοίου, πάντων ἀθρόως ἔρημος ἀπεδείχθη· ἐὰν καὶ οὗτος τὰ μυρίοις πόνοις καὶ ἱδρῶσι κτηθέντα μιᾷ προσβολῇ δαίμονος ἀπολέσῃ, ὥσπερ τινὶ ἀγρίᾳ λαίλαπι, τῇ ἁμαρτίᾳ βυθισθείς. Πρέπουσα φωνὴ τῷ πᾶσαν (60) ὁμοῦ τὴν ἀρετὴν ναυαγήσαντι· *Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.*

17. Ἔχε οὖν ἀσφαλῶς τῆς ζωῆς τὰ πηδάλια· κυβέρνα τὸν ὀφθαλμόν σου, μήποτέ σοι δι' ὀφθαλμῶν λάβρον ἐμπέσῃ τῆς ἐπιθυμίας τὸ κῦμα· τὴν ἀκοὴν, τὴν γλῶσσαν, μὴ παραδέξῃ τι βλαβερὸν, μηδὲ φθέγξῃ τι τῶν ἀπηγορευμένων. Μή σε ἀνατρέψῃ τοῦ θυμοῦ ἡ ζάλη· μή πού σε ἐπικλύσωσι τῶν φόβων αἱ καταπλήξεις (61), μή σε καταβαπτίσῃ τῆς λύπης τὸ βάρος. Κύματά ἐστι τὰ πάθη, ὧν ὑψηλότερον σεαυτὸν ἀνέχων, ἀσφαλὴς ἔσῃ κυβερνήτης τοῦ βίου. Ἐὰν δὲ μὴ ἐπιστημόνως καὶ εὐσταθῶς ἕκαστον τούτων ἐκκλίνῃς, ὥσπερ τι πλοῖον ἀνερμάτιστον ὑπὸ τῶν ἀεὶ προσπιπτόντων περιφερόμενος, ἐναφανισθήσῃ τῷ πελάγει τῆς ἁμαρτίας. Ἄκουε τοίνυν πῶς ἄν σοι καὶ ἡ τῆς κυβερνήσεως ἐπιστήμη προσγένηται (62). Ἔθος τοῖς ναυτιλλομένοις πρὸς οὐρανὸν ἀναβλέπειν, κἀκεῖθεν λαμβάνειν τὴν ὁδηγίαν τοῦ πλοῦ, ἐν ἡμέρᾳ μὲν ἀπὸ τοῦ ἡλίου, ἐν νυκτὶ δὲ ἀπὸ τῆς Ἄρκτου, ἤ τινος ἄλλου τῶν ἀειφανῶν ἀστέρων· καὶ τούτοις ἀεὶ τεκμαίρεσθαι τὴν εὐθύτητα. Καὶ σὺ τοίνυν πρὸς οὐρανὸν ἔχε τὸ ὄμμα (63), κατὰ τὸν εἰπόντα· *Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.* Ἀπόβλεπε πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης· καὶ οἷόν τισιν ἄστροις περιφανέσι (64) ταῖς ἐντολαῖς τοῦ Κυρίου κατευθυνόμενος, ἀκοίμητον ἔχε τὸ ὄμμα, μὴ διδοὺς ὕπνον τοῖς ὀφθαλμοῖς σου, μηδὲ τοῖς βλεφάροις σου νυσταγμὸν, ἵν' ἔχῃς διαρκῆ τὴν ἐκ τῶν ἐντολῶν ὁδηγίαν. *Λύχνος* γὰρ, φησὶ, *τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.* Ἐὰν γὰρ μηδέποτε ἐπινυστάξῃς τοῖς οἴαξιν, ἕως εἶ ἐν τῷ βίῳ τούτῳ, ἐν τῇ ἀστάτῳ φύσει τῶν τοῦ κόσμου πραγμάτων, καὶ τὴν παρὰ τοῦ Πνεύματος συνέργειαν (65)

A ratam ab juventa castitatem amiserunt. Miserabile spectaculum : aliquem post jejunium, post durum vitæ genus, post prolixas preces, post lacrymas large profusas, post continentiam annorum viginti, aut forte triginta etiam, per animi inconsiderantiam ac incuriam, nudum et spoliatum omnibus inveniri [77]. Item, eum, qui præceptorum quæstu opulentus est, consimilem fieri prædiviti cuipiam mercatori, qui ob copiam mercium lætus, secundo vento navigante nave, horrenda maria emensus, diffracto ad ipsos portus navigio, derepente fuisset nudatus omnibus : siquidem et iste laboribus ac sudoribus parta bona unico dæmonis assultu perdidit, peccato tanquam immani quadam procella immersus. Conveniens vox ei qui omnem B simul virtutem naufragio amisit : *Veni in altitudinem maris, et tempestas demersit me* [78].

17. Tene igitur quam diligenter vitæ gubernacula; guberna oculum tuum, ne quando tibi impetuosus libidinis fluctus per oculos illabatur; aurem, linguam, ne quid excipiat noxii, ne quid eorum quæ vetita sunt loquatur. Cave evertat te iræ æstus; cave obruant te ictus formidinum; cave immergat te onus tristitiæ. Fluctus affectiones sunt animi, quibus altiorem te si constituas, eris securus vitæ gubernator. Sed, si non scite ac constanter horum quodlibet declinaveris, velut navigium quoddam non saburratum, continuis vitæ casibus circumiactus, in peccati pelago submergere. Audi igitur qui fieri possit, tibi ut accedat gubernandi C peritia. Mos est navigantibus in cœlum suspicere, indeque navigationis cursum instituere, interdiu quidem ope solis, noctu vero **113** ope Ursæ, aut alterius cujusvis ex iis quæ semper lucent stellis, horumque ductu semper rectum conjectare. Et tu igitur oculos in cœlum attolle, juxta eum qui dixit : *Ad te levavi oculos meos, qui habitas in cœlis* [79]. Respice ad solem justitiæ, teque Domini mandatis, instar splendidissimorum quorumdam astrorum, dirigentibus, habe oculum insomnem, oculis tuis non præbens somnum, neque palpebris tuis dormitationem [80], ut te perpetuo deducant mandata. *Lucerna* enim, inquit, *pedibus meis lex tua, et lumen semitis meis* [81]. Etenim, si clavo nunquam in- D dormieris, dum in hac vita versabere, in instabili scilicet rerum mundanarum statu, Spiritus opem consequere, qui te ulterius deducet, et lenibus auris atque pacificis tuto transvehet. donec incolumis

[77] II Cor. v, 3. [78] Psal. LXVIII, 3. [79] Psal. CXXII, 1. [80] Psal. CXXXI, 4. [81] Psal. CXVIII, 105.

(58) Editi ἢ τριάκοντα. At mss. tres ἢ καὶ τριάκ.

(59) Colbertini duo codices τῆς ἐργασίας. Nec ita multo post editi et Colbertinus secundus τῆς νηός. Colb. tertius νηώς. Reg. secundus νεώς, Attico more.

(60) Legitur corrupte in vulgatis τῶν πᾶσαν, at incorrupte in mss. τῷ πᾶσαν.

(61) Hic in vulgatis legitur καταιπλήξεις. At mss. multi habent καταπλήξεις. Combefisius velit potius καταιγίδες, *procellæ* : sed hanc conjecturam quamlibet bonam, quod nullo veterum librorum testimonio nixa sit, sequi noluimus.

(62) Regii duo mss. προσγένοιτο. Subinde duo mss. Colbertini ὁδηγίαν τοῦ πλοίου. Alii duo mss. et editi τοῦ πλοῦ, recte.

(63) Sic duo Colbertini et Reg. secundus. Editi ἔχων τὸ βλέμμα. Colb. tertius ἔχων τὸ ὄμμα.

(64) Editi προφανέσι. Veteres aliquot libri περιφανέσι.

(65) Reg. primus παρὰ τοῦ Σωτῆρος συνεργίαν, *opem Salvatoris*. Aliquanto post idem codex ἕως ἄν. Vox ἀτελευτήτους, quæ mox sequitur, deest in aliquibus codicibus.

evadas ad tranquillum illum ac serenum portum voluntatis Dei, cui gloria et imperium in æterna sæcula sæculorum. Amen.

A λήψῃ, προπέμποντος εἰς τὸ ἔμπροσθεν, καὶ πραείαις αὔραις καὶ εἰρηνικαῖς ἀσφαλῶς σε διακομίζοντος, ἕως ἀποσωθῇς πρὸς τὸν ἀκύμονα ἐκεῖνον καὶ εὔδιον λιμένα τοῦ θελήματος τοῦ Θεοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA XIII.

Exhortatoria ad sanctum baptisma.

1. Sapiens ille Salomon, rerum in vita gerendarum tempora distinguens, et singulis quæ fiunt idoneum assignans, ait : *Omnibus tempus est, et tempus omni rei est : tempus pariendi, et tempus moriendi* [82]. Ego vero immutata paululum sapientis sententia, dixerim vobis inter annuntiandum salutare præconium, tempus moriendi esse, et tempus nascendi. Quorsum hic sermo mutatus ? Quia ille quidem de ortu interituque disserens, corpoream naturam secutus, ortum morti præposuit (fieri enim non potest, ut mortem experiatur qui prius natus non sit) : ego vero de generatione spirituali verba facturus, mortem vitæ præpono. Cum enim carne morimur, contingit nobis ut spiritu nascamur, uti ipse quoque Dominus ait : *Ego occidam, et vivere faciam* [83]. Moriamur igitur, ut vivamus. Perimamus affectum carnis, qui Dei legi subjici non potest [84], ut valida spiritus affectio in nobis gignatur, unde vita paxque solet oriri. Sepeliamur una cum Christo, qui pro nobis mortuus est, ut etiam una cum Christo, qui nobis resurrectionis auctor fuit, resurgamus. Tempus aliud aliis quidem rebus idoneum est : proprium somni, proprium vigiliarum, proprium belli, proprium pacis : sed baptismatis tempus tota hominum vita est. Neque enim corpus quod non respirat, vivere, neque anima quæ Conditorem non cognoscit, consistere potest. Dei enim ignoratio animæ mors est. Qui autem non baptizatus, ille nec illuminatus est. Rursus sine luce, nec oculus quæ sua sunt cernit, nec anima Deum contemplari potest. Itaque tempus omne ad salutem per baptisma adipiscendam opportunum est : sive **114** noctem dicas, sive diem, sive horam, sive temporis punctum, sive quidvis minutissimum. Credere tamen par est, id tempus opportunius esse, quod fuerit magis proprium magisque affine. Quid autem majorem habere potest cum baptismate cognationem, quam dies Paschatis? Hæc enim dies monumentum est resurrectionis : baptisma vero vis est atque facultas re-

ΟΜΙΛΙΑ ΙΓ'.

Προτρεπτικὴ εἰς τὸ ἅγιον βάπτισμα.

1. Ὁ μὲν σοφὸς Σολομὼν, τῶν κατὰ τὸν βίον πραγμάτων τοὺς καιροὺς διαιρῶν, καὶ ἑκάστῳ τῶν γινομένων τὸν ἐπιτήδειον ἀφορίζων, ἔφη· *Τοῖς πᾶσιν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγματι· καιρὸς τοῦ τεκεῖν, καὶ καιρὸς τοῦ ἀποθανεῖν·* ἐγὼ δὲ, μι-
B κρὸν τοῦ σοφοῦ τὴν ἀπόφασιν ὑπαλλάξας, εἴποιμι ἂν κηρύσσων ὑμῖν τὸ σωτήριον κήρυγμα, ὅτι καιρὸς τοῦ ἀποθανεῖν, καὶ καιρὸς τοῦ γεννηθῆναι. Τίς δὲ ὁ λόγος (66) τῆς ἐναλλαγῆς; Ὅτι ὁ μὲν περὶ τῶν ἐν γενέσει καὶ φθορᾷ διαλεγόμενος, τῇ σωματικῇ ἑπόμενος φύσει, τὴν γένεσιν προέταξε τοῦ θανάτου (ἀδύνατον γὰρ θανάτου πεῖραν λαβεῖν τὸν μὴ πρότερον γεννηθέντα)· ἐγὼ δὲ, περὶ τῆς πνευματικῆς ἀναγεννήσεως τὸν λόγον ποιεῖσθαι μέλλων, τὸν θάνατον προτίθημι τῆς ζωῆς. Διὰ γὰρ τοῦ ἀποθανεῖν τῇ σαρκὶ περιγίνεται ἡμῖν τὸ γεννηθῆναι τῷ πνεύματι, καθά φησι καὶ ὁ Κύριος· *Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω.* Ἀποθάνωμεν οὖν, ἵνα ζήσωμεν. Ἀποκτείνωμεν τὸ φρόνημα (67) τῆς σαρκὸς, τὸ μὴ δυνάμενον ὑποταγῆναι τῷ νόμῳ τοῦ Θεοῦ, ἵνα τὸ φρόνημα τοῦ πνεύματος ἰσχυρὸν
C ἡμῖν (68) ἐγγένηται, δι' οὗ ζωὴ καὶ εἰρήνη περιγίνεσθαι πέφυκε. Συνταφῶμεν τῷ Χριστῷ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι, ἵνα καὶ συναναστῶμεν τῷ ἡμῖν τὴν ἀνάστασιν προξενήσαντι. Καιρὸς μὲν οὖν ἄλλοις ἄλλος ἐπιτήδειος· ἴδιος ὕπνου, καὶ ἴδιος ἐγρηγόρσεως· ἴδιος πολέμου, καὶ ἴδιος εἰρήνης· καιρὸς δὲ βαπτίσματος ἅπας ὁ τῶν ἀνθρώπων βίος. Οὔτε γὰρ σώματι ζῆν μὴ ἀναπνέοντι δυνατὸν, οὔτε ψυχῇ συνεστάναι, μὴ γνωριζούσῃ τὸν κτίσαντα. Θεοῦ γὰρ ἄγνοια θάνατός ἐστι ψυχῆς. Ὁ δὲ μὴ βαπτισθεὶς οὐ πεφώτισται. Ἄνευ δὲ φωτὸς οὔτε ὀφθαλμὸς τὰ ἑαυτοῦ καθορᾷ, οὔτε ψυχὴ Θεοῦ δέξασθαι δύναται θεωρίαν. Πᾶς μὲν οὖν χρόνος εὐκαιρίαν ἔχει πρὸς τὴν διὰ τοῦ βαπτίσματος σωτηρίαν· κἂν νύκτα εἴπῃς, κἂν ἡμέραν, κἂν ὥραν, κἂν στιγμὴν χρόνου, κἂν τι (69) βραχύτατον. Πολλῷ δὲ
D δήπου εἰκὸς ἐπιτηδειότερον εἶναι τὸν οἰκειότερον. Τί δ' ἂν γένοιτο τῆς ἡμέρας τοῦ Πάσχα συγγενέστερον πρὸς τὸ βάπτισμα; Ἡ μὲν γὰρ ἡμέρα μνημόσυνόν ἐστιν ἀναστάσεως· τὸ δὲ βάπτισμα δύναμίς ἐστι πρὸς τὴν ἀνάστασιν. Ἐν τοίνυν τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς

[82] Eccle. III, 1, 2. [83] Deut. XXXII, 39. [84] Rom. VIII, 7.

(66) Codices quidam Combefisiani pro λόγος habent τρόπος. Legitur quidem et in nostro Reg. primo τίς δὲ ὁ τρόπος, sed additum fuit in ora libri γρ. ὁ λόγος.

(67) Illud, ἀποκτείνωμεν τὸ φρόνημα, etc., sic in Vulgata conversum legimus, *Occidamus prudentiam carnis, ut prudentia spiritus generetur in nobis :* quam interpretationem ascripsimus, ut quisque seligere possit quod sibi magis placiturum sit.

(68) Colb. primus καθαρὸν ἐν ἡμῖν. Editi ἰσχυρὸν ἐν ἡμῖν ἐγγένηται. Reg. tertius ἐν ἡμῖν γένηται. Alii duo mss. ἰσχυρὸν ἡμῖν ἐγγένηται.

(69) Editi κἂν τι. Veteres quinque libri κἂν τό. Aliquanto post Colb. primus et editio Paris. τῇ ἀναστασίμῳ ἡμέρᾳ. Vox ultima in aliis quatuor mss. et in editione Basil. non invenitur.

ἀναστάσεως τὴν χάριν ὑποδεξώμεθα. Διὰ τοῦτο πόῤῥωθεν ἡ Ἐκκλησία τοὺς ἑαυτῆς τροφίμους ὑψηλῷ κηρύγματι συγκαλεῖ, ἵν' οὓς πάλαι ὤδινεν (70), ἀποκυήσῃ τότε, καὶ ἀπογαλακτίσασα αὐτοὺς τῶν λόγων τῆς κατηχήσεως, γεύσῃ τῆς στερεᾶς τῶν δογμάτων τροφῆς. Ἰωάννης ἐκήρυσσε βάπτισμα μετανοίας, καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία· Κύριος κηρύσσει βάπτισμα υἱοθεσίας· καὶ τίς τῶν εἰς αὐτὸν ἠλπικότων οὐχ ὑπακούσεται; Ἐκεῖνο εἰσαγωγικὸν τὸ βάπτισμα· τοῦτο τελειωτικόν. Ἐκεῖνο ἁμαρτίας ἀναχώρησις· τοῦτο οἰκείωσις πρὸς Θεόν. Ἑνὸς ἀνδρὸς ἦν Ἰωάννου τὸ κήρυγμα, καὶ πάντας εἷλκε πρὸς τὴν μετάνοιαν· σὺ δὲ, διὰ προφητῶν διδασκόμενος· *Λούσασθε, καθαροὶ γίνεσθε·* διὰ ψαλμῶν νουθετούμενος· *Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε·* δι' ἀποστόλων εὐαγγελιζόμενος· *Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ* (71) *Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν ἐπαγγελίαν τοῦ ἁγίου Πνεύματος·* ὑπ' αὐτοῦ τοῦ Κυρίου προσλαμβανόμενος, λέγοντος· *Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς* (ταῦτα γὰρ πάντα σήμερον συνέδραμε πρὸς τὴν ἀνάγνωσιν)· ὀκνεῖς καὶ βουλεύῃ καὶ διαμέλλεις; Ἐκ νηπίου τὸν λόγον κατηχούμενος, οὔπω συνέθου τῇ ἀληθείᾳ; Πάντοτε μανθάνων, οὐδέπω ἦλθες πρὸς τὴν ἐπίγνωσιν; Πειραστὴς διὰ βίου, κατάσκοπος μέχρι γήρως, πότε γενήσῃ Χριστιανός; πότε γνωρίσομέν σε ὡς ἡμέτερον; Πέρυσι τὸν παρόντα καιρὸν ἐξεδέχου, νῦν πάλιν ἀναμένεις τὸν ἐπιόντα. Ὅρα μὴ εὑρεθῇς μακροτέρας τῆς ζωῆς τὰς ὑποσχέσεις ποιούμενος. Οὐκ οἶδας τί τέξεται ἡ ἐπιοῦσα· μὴ ἐπαγγέλλου τὰ μὴ σά. Ἐπὶ ζωήν σε καλοῦμεν, ἄνθρωπε· τί ἀποφεύγεις τὴν κλῆσιν; Ἐπ' ἀγαθῶν μετουσίαν· τί ὑπερβαίνεις τὴν δωρεάν; Βασιλεία οὐρανῶν ἤνοικται· ὁ καλῶν ἀψευδής· ἡ ὁδὸς ῥᾳδία, οὐ χρόνου, οὐ δαπάνης, οὐ πραγματείας χρεία· τί μέλλεις; τί ἀναδύῃ; τί φοβῇ τὸν ζυγὸν, ὥσπερ δάμαλίς τις ἀπειρόζυγος; *Χρηστός ἐστιν, ἐλαφρός ἐστιν·* οὐ τρίβει τὸν αὐχένα, ἀλλὰ δοξάζει. Οὐ γὰρ δεσμεῖται ἡ ζεύγλη περὶ τὸν τράχηλον, αὐτεξούσιον ἐπιζητεῖ τὸν ὑφέλκοντα. Ὁρᾷς, ὅτι κατηγορεῖται Ἐφραῖμ (72), ὡς παροιστρῶσα δάμαλις, ὅτι ἄτακτα περιπλανᾶται τὸν τοῦ νόμου ζυγὸν ἀτιμάζων; Ὑπόθες σου τὸν ἀδάμαστον αὐχένα· γενοῦ ὑποζύγιον τοῦ Χριστοῦ, ἵνα μὴ, ἀφειμένος τῆς ζεύγλης, μηδὲ ἐλευθεριάζων τῷ βίῳ, εὐεπιχείρητος ᾖς τοῖς θηρίοις.

2. *Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος.* Γλυκύτητα μέλιτος πῶς ἀναγγείλω (73) τοῖς ἀγνοοῦσι; *Γεύσασθε καὶ ἴδετε.* Αἴσθησις λόγου παν-

A surgendi. Itaque in resurrectionis die suscipiamus resurrectionis gratiam. Quapropter e longinquo Ecclesia alumnos suos præconio alto convocat, ut quos pridem parturiit, tum demum pariat, eisque a primæ institutionis doctrina tanquam a lacte submotis solidam dogmatum escam præbeat degustandam. Joannes prædicabat baptisma pœnitentiæ, ad idque egrediebatur Judæa tota : prædicat Dominus baptisma adoptionis filiorum; ecquis eorum qui in ipso spem reposuere, morem non geret? Baptisma illud vim habebat introducendi : hoc, perficiendi. Illud erat secessus a peccato : hoc conjunctio est cum Deo. Unius viri erat prædicatio Joannis, et omnes ad pœnitentiam traxit : tu vero, qui per prophetas doceris : *Lavamini, mundi estote* [85] : qui per B psalmos admoneris, *Accedite ad eum, et illuminamini* [86] : qui per apostolos faustum illum nuntium audis : *Agite pœnitentiam, et baptizetur unusquisque vestrum in nomine Domini Jesu Christi in remissionem peccatorum, et accipietis promissionem Spiritus sancti* [87] : qui ab ipso Domino invitaris, dicente : *Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos* [88] (hæc enim omnia hodie in lectione concurrerunt) ; differs tamen deliberasque et cunctaris? Tu qui a puero fidei rudimentis imbutus es, nondum assensisti veritati? Tu qui semper ediscis, nondum pervenisti ad cognitionem? Per omnem vitam experimentum capis, ad senectutem usque exploras; quando tandem fies Chri- C stianus? quando agnoscemus te ut nostrum? Anno superiore hoc tempus præstolabare, nunc rursus exspectas venturum. Cave deprehendaris promissa facere vita longiora. Ignoras quid sequens dies parturus sit; ne tibi promitte quæ tua non sunt. Ad vitam te, homo, vocamus; quid fugis vocationem? Ad bonorum participationem; quid donum prætermittis? Apertum est cœlorum regnum : verax est qui vocat : via facilis; non tempore, non sumptu, non labore opus est; quid differs? quid tergiversaris? quid jugum perhorrescis, velut juvenca quædam jugum nondum experta? *Suave est, leve est* [89] : collum non obterit, sed condecorat. Neque enim lignum illud quod a jugo propendet, circa collum ligatur, sed ultro ac libere trahentem poscit. Vides incusari Ephraim tanquam vitulam asylo D percitam, quod legis contempto jugo, inordinate oberret [90]? Subde indomitam cervicem tuam; Christi fias jumentum, ut ne jugo solutus liberamque vitam degens, capi a bestiis facile possis.

2. *Gustate et videte quoniam suavis est Dominus* [91]. Qui fieri poterit, ut mellis dulcedinem exhibeam ignorantibus? *Gustate et videte.* **115** Sensus ra-

[85] Isa. I, 16. [86] Psal. XXXIII, 6. [87] Act. II, 38. [88] Matth. XI, 28. [89] ibid. 30. [90] Ose. IV, 16. [91] Psal. XXXIII, 9.

(70) Editi et Reg. tertius ὤδινεν. Alii tres mss. ὠδίνει.

(71) Regii duo mss. τοῦ Κυρίου ἡμῶν Ἰησοῦ.

(72) Apud Oseam IV, 16, pro Ἐφραΐμ legitur Ἰσραήλ. Sed mirum videri non debet, si hæ duæ voces indiscriminatim adhibeantur, cum utraque pro decem tribubus sumi soleat. Hic ipse propheta voce Ἐφραΐμ usus est, X, 11. Lege Ducæum.

(73) Unus codex Colb. ἀναγγελῶ, *annuntiabo.*

tione omni evidentior est ad experimentum. Judæus circumcisionem non differt propter communicationem illam : *Omnis anima quæ non circumcidetur die octavo, peribit de populo suo* [92] : tu vero circumcisionem non manu factam, sed quæ per baptisma in exspoliatione carnis perficitur [93], differs, posteaquam Dominum ipsum audivisti : *Amen, amen dico vobis, nisi quis natus fuerit per aquam et Spiritum, non intrabit in regnum Dei* [94]. Et illic quidem dolor est et ulcus : sed hic ros animæ, et cordis ulcerati medela. Adoras eum qui pro te mortuus est? Sine igitur una cum ipso sepeliri te per baptisma [95]. Si ei non fueris insertus per similitudinem mortis ejus [96], quomodo resurrectionis eris socius? Israel ille in Moysen baptizatus est in nube et in mari [97], cum tibi commonstraret typos, ac veritatem quæ in extremis temporibus ostendenda erat, quasi signo et charactere impresso, cognoscendam præberet : tu vero fugis baptisma, quod non in mari figuratur, sed in veritate perficitur; non in nube, sed in Spiritu : non in Moysen conservum, sed in Christum conditorem. Israel nisi transisset mare, a Pharaone sejunctus non fuisset : tu quoque nisi per aquam transieris, ab amara diaboli tyrannide non separabere. Non bibisset utique ille ex spirituali petra, si non fuisset per figuram baptizatus : neque tibi dabit quisquam potum verum, nisi fueris vere baptizatus. Comedit ille panem angelorum [98] post baptisma ; tu vero quomodo comedes vivum panem [99], nisi prius baptisma susceperis? Ingressus est ille ad terram promissionis propter baptisma : tu vero quomodo reverteris in paradisum, nisi sis baptismate obsignatus? An non nosti flammeum gladium ad custodiendam viam ligni vitæ appositum fuisse [1], incredulis quidem horrendum et flammantem, credentibus vero accessu facilem et jucunde coruscantem? Imo versatilem [2] illum fecit Dominus : cum enim fidelem viderit, terga dat; cum vero quempiam non obsignatum, aciem obvertit.

3. Elias currum ignis, igneosque equos ad se venientes non expavit : sed ad superna proficisci percupiens, formidanda ausus est, atque læte admodum, cum adhuc in carne viveret, currus flammeos ascendit [3]. Tu vero non igneos currus inscensurus, sed per aquam et Spiritum ad cœlum ascensurus, non accurris ad vocationem? Elias vim baptismatis in ara holocaustorum ostendit non igni, sed aqua victimam totam exurens, cum alioqui ignis natura aquæ adversetur. Postquam enim aqua ter mystice tunc super aram effusa fuisset,

A τὸς ἐναργεστέρα πρὸς πεῖραν. Ὁ Ἰουδαῖος τὴν περιτομὴν οὐχ ὑπερτίθεται διὰ τὴν ἀπειλὴν, ὅτι *Πᾶσα ψυχὴ, ἥτις οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς*· σὺ δὲ τὴν ἀχειροποίητον περιτομὴν ἀναβάλλῃ ἐν τῇ ἀπεκδύσει τῆς σαρκὸς, ἐν τῷ βαπτίσματι τελειουμένην, αὐτοῦ τοῦ Κυρίου ἀκούσας· *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μή τις γεννηθῇ δι' ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ*. Κἀκεῖ μὲν ὀδύνη καὶ ἕλκος· ἐνταῦθα δὲ δρόσος ψυχῆς, καὶ ἕλκους καρδίας ἴαμα. Προσκυνεῖς τὸν ὑπὲρ σοῦ ἀποθανόντα; Οὐκοῦν κατάδεξαι αὐτῷ συνταφῆναι διὰ τοῦ βαπτίσματος. Ἐὰν μὴ σύμφυτος γένῃ τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, πῶς κοινωνὸς γενήσῃ τῆς ἀναστάσεως; Ὁ Ἰσραὴλ ἐκεῖνος εἰς τὸν Μωϋ-
B σῆν ἐβαπτίσθη ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, σοὶ τοὺς τύπους παραδιδοὺς, καὶ χαρακτηρίζων τὴν ἐπ' ἐσχάτων τῶν καιρῶν δειχθησομένην ἀλήθειαν· σὺ δὲ περιφεύγεις τὸ βάπτισμα, οὐκ ἐν θαλάσσῃ τυπούμενον, ἀλλ' ἐν ἀληθείᾳ τελειούμενον· οὐκ ἐν νεφέλῃ, ἀλλ' ἐν τῷ Πνεύματι· οὐκ εἰς Μωϋσῆν τὸν ὁμόδουλον, ἀλλ' εἰς Χριστὸν τὸν ποιήσαντα. Ὁ Ἰσραὴλ εἰ μὴ παρῆλθε τὴν θάλασσαν, οὐκ ἂν ἐχωρίσθη τοῦ Φαραώ· καὶ σὺ, ἐὰν μὴ παρέλθῃς διὰ τοῦ ὕδατος, οὐ χωρισθήσῃ τῆς πικρᾶς τυραννίδος τοῦ διαβόλου. Οὐκ ἂν ἔπιεν ἐκεῖνος ἐκ τῆς πνευματικῆς πέτρας, εἰ μὴ τυπικῶς ἐβαπτίσθη· οὐδέ σοί τις δώσει τὴν ἀληθινὴν πόσιν, ἐὰν μὴ ἀληθινῶς βαπτισθῇς. Ἔφαγεν ἄρτον ἀγγέλων ἐκεῖνος μετὰ τὸ βάπτισμα· σὺ δὲ πῶς βρώσῃ τὸν ζῶντα ἄρτον, ἂν μὴ (74) πρότερον ὑποδέξῃ τὸ
C βάπτισμα; Εἰσῆλθεν ἐκεῖνος εἰς τὴν γῆν τῆς ἐπαγγελίας διὰ τὸ βάπτισμα· σὺ δὲ πῶς ἐπανέλθῃς εἰς τὸν παράδεισον, μὴ σφραγισθεὶς τῷ βαπτίσματι; Ἢ οὐκ οἶδας, ὅτι φλογίνη ῥομφαία τέτακται φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου ζωῆς, τοῖς μὲν ἀπίστοις φοβερὰ καὶ φλογίζουσα, τοῖς δὲ πεπιστευκόσιν εὐπρόσιτος καὶ ἵμερον (75) ἐπιλάμπουσα; Καὶ στρέφεσθαι αὐτὴν ἐποίησεν ὁ Δεσπότης· ὅταν μὲν γὰρ ἴδῃ πιστὸν, τὰ νῶτα δίδωσιν· ὅταν δέ τινα τῶν ἀσφραγίστων, κατὰ στόμα προσαπαντᾷ.

3. Ἠλίας ἅρμα πυρὸς καὶ ἵππους πυρίνους πρὸς αὐτὸν ἐλθόντας (76) οὐ κατεπλάγη, ἀλλ' ἐπιθυμίᾳ τῆς ἄνω πορείας τῶν φοβερῶν κατετόλμησε, καὶ μετὰ περιχαρείας ἐπέβη τῶν φλογίνων ὀχημάτων (77), ὁ
D ἐν σαρκὶ ζῶν ἔτι· σὺ δὲ, οὐ πυρίνων ἁρμάτων ἐπιβήσεσθαι μέλλων, ἀλλὰ δι' ὕδατος καὶ Πνεύματος ἀναβαίνειν εἰς τὸν οὐρανὸν, οὐκ ἐπιτρέχεις τῇ κλήσει; Ἔδειξεν Ἠλίας τοῦ βαπτίσματος τὴν ἰσχὺν ἐπὶ τοῦ βωμοῦ τῶν ὁλοκαυτωμάτων (78), οὐ διὰ πυρὸς, ἀλλὰ δι' ὕδατος τὴν θυσίαν ὁλοκαυτώσας. Ἄλλως μὲν οὖν ἡ τοῦ πυρὸς φύσις τῷ ὕδατι μάχεται· ἐπειδὴ δὲ μυ-

[92] Gen. XVII, 14. [93] Coloss. II, 11. [94] Joan. III, 5. [95] Coloss. II, 12. [96] Rom. VI, 5. [97] I Cor. X, 2. [98] Psal. LXXVII, 25. [99] Joan. VI, 51. [1] Gen. III 24. [2] ibid. [3] IV Reg. II, 11.

(74) Colb. tertius ἐὰν μή.

(75) Editi καὶ ἵμερον. Veteres quinque libri καὶ ἥμερον, nec tamen tot codicum auctoritas impedit, quominus priorem scripturam meliorem aptioremque judicem. Mox Colb. primus ἀλλὰ καὶ στρέφεσθαι.

(76) Codex unus Colb. ἐπ' αὐτὸν ἐλθόντας.

(77) Editi φλογίνων ἁρμάτων. At sex mss. φλογίνων ὀχημάτων.

(78) Reg. tertius et utraque editio τῶν ὁλοκαυτωμάτων. Reg. secundus et alii tres mss. Colbertini τῶν ὁλοκαρπωμάτων. Ibidem Reg. secundus et editi τὴν θυσίαν. Alii quinque mss. τὰς θυσίας.

στικῶς τὸ ὕδωρ τρίτον τότε τοῦ βωμοῦ κατεχύθη, ἀρχὴ ἐγένετο τῷ πυρὶ, καὶ ἐξῆψε τὴν φλόγα ὥσπερ ἔλαιον. *Λάβετέ μοι*, φησὶν, *ὑδρίας, καὶ ἐπιχέετε ἐπὶ τὸ ὁλοκαύτωμα καὶ ἐπὶ τὰς σχίδακας. Καὶ εἶπε· Δευτερώσατε, καὶ ἐδευτέρωσαν· Τρισσώσατε, καὶ ἐτρίσσωσαν* (79)· δεικνύντος τοῦ λόγου, ὅτι διὰ τοῦ βαπτίσματος τῷ Θεῷ οἰκειοῦται ὁ προσαγόμενος, καὶ ὅτι φῶς καθαρὸν καὶ οὐράνιον ἐν (80) ταῖς τῶν προσιόντων ψυχαῖς διὰ τῆς εἰς τὴν Τριάδα πίστεως ἀναλάμπει. Εἰ χρυσὸν τῇ ἐκκλησίᾳ διένεμον, οὐκ ἂν μοι εἶπες· Αὔριον ἥξω, καὶ αὔριον δώσεις· ἀλλ' ἀπῄτεις ἂν ἤδη τὴν διανομὴν κατεπείγων, καὶ ἐδυσφόρεις πρὸς τὴν ὑπέρθεσιν· ἐπειδὴ δὲ οὐχ ὕλης εὔχροιαν, ἀλλὰ ψυχῆς καθαρότητα προτείνεταί σοι ὁ μεγαλόδωρος, προφάσεις πλάττῃ καὶ αἰτίας ἀπαριθμῇ, δέον ἐπιτρέχειν τῷ δώρῳ. Ὢ τοῦ θαύματος! ἀνακαινίζῃ, μὴ χωνευόμενος· ἀναπλάττῃ, μὴ συντριβόμενος· θεραπεύῃ, μὴ ὀδυνώμενος, καὶ οὐ λογίζῃ τὴν χάριν. Εἰ δοῦλος ἀνθρώπων ἦσθα, προεγράφη δὲ δούλοις ἐλευθερία, οὐκ ἂν ἐπὶ τὴν κυρίαν ἀπήντησας, συνηγόρους μισθούμενος, καὶ δικαστὰς παρακαλῶν, ὥστε πάσῃ μηχανῇ πρὸς ἐλευθερίαν ἐξαιρεθῆναι; Ἢ που καὶ ῥάπισμα, τὴν τελευταίαν τῶν δούλων πληγὴν, ὑπὲρ τῆς μετὰ ταῦτα τῶν αἰκισμῶν ἀπαλλαγῆς κατεδέχου. Ἐπειδὴ δὲ δοῦλον ὄντα σε, οὐκ ἀνθρώπων, ἀλλὰ τῆς ἁμαρτίας, καλεῖ πρὸς ἐλευθερίαν ὁ κῆρυξ, ἵνα λύσῃ μέν σε τῆς αἰχμαλωσίας, ἰσοπολίτην δὲ τοῖς (81) ἀγγέλοις ποιήσῃ, καὶ υἱὸν μὲν ἀποδείξῃ τοῦ Θεοῦ εἰσποιηθέντα διὰ τῆς χάριτος, κληρονόμον δὲ τῶν ἀγαθῶν τοῦ Χριστοῦ· οὔπω λέγεις εἶναί σοι καιρὸν δέξασθαι τὰ διδόμενα. Ὢ τῶν πονηρῶν ἐμποδίων! ὢ τῆς αἰσχρᾶς καὶ ἀτελέστου ἀσχολίας! Ἕως πότε ἡδοναί; ἕως πότε ἡδυπάθειαι; Πολὺν ἐζήσαμεν χρόνον τῷ κόσμῳ, ζήσωμεν λοιπὸν καὶ ἑαυτοῖς. Τί ψυχῆς ἀντάξιον; Τί ἰσοστάσιον τῆς βασιλείας τῶν οὐρανῶν; Τίς ἀξιοπιστότερός σοι σύμβουλος τοῦ Θεοῦ; Τίς φρονιμώτερος τοῦ σοφοῦ; ἢ τίς ὠφελιμώτερος τοῦ ἀγαθοῦ; Τίς τοῦ (82) κτίσαντος οἰκειότερος; Οὐδὲ τῇ Εὔᾳ συνήνεγκε τῇ τοῦ ὄφεως συμβουλῇ πεισθῆναι μᾶλλον ἢ τῇ τοῦ Δεσπότου. Ὢ τῆς ἀτοπίας τῶν λόγων! Οὐκ ἄγω σχολὴν ὑγιᾶναι· μήπω μοι δείξῃς τὸ φῶς· μήπω συνάψῃς τῷ Βασιλεῖ. Οὐ ταῦτα λέγεις ἄντικρυς; Μᾶλλον δὲ τὰ τούτων ἀλογιστότερα. Σὺ δὲ, εἰ μὲν ἦς ἐγγεγραμμένος τοῖς δημοσίοις ὀφλήμασι, χρεῶν δὲ ἀποκοπαὶ τοῖς ὑπευθύνοις περιηγγέλθησαν, εἶτά τις ἦν ὁ πρὸς ἐπήρειαν ἄμοιρόν σε ποιῆσαι τῆς συγχωρήσεως ταύτης ἐπιχειρῶν· ἠγανάκτεις ἂν καὶ ἐβόας, ὡς τὸ ἐπιβάλλον σοι μέρος τῆς κοινῆς χάριτος ἀφαιρούμενος. Ἐπειδὴ δὲ οὐ μόνον ἄφεσις τῶν παρελθόντων, ἀλλὰ καὶ δωρεαὶ τῶν μελλόντων προεκηρύχθησαν, αὐτὸς σεαυτὸν ἀδικῶν, ἃ μηδ' ἂν τῶν ἐχθρῶν σοί τις ἐπηρεάσατο (83),

A ignis exstitit origo, atque in modum olei flammam accendit. *Accipite mihi*, inquit, *hydrias, et infundite super holocaustum, et super segmenta lignorum. Et dixit: Secundo facite, et secundo fecerunt: Tertio facite, et tertio fecerunt* [a]. Quibus Scriptura ostendit per baptisma Deo conjungi ac conciliari qui venerit, puramque ac cœlestem lucem in accedentium animis per fidem in Trinitatem refulgere. **116** Quod si aurum ecclesiæ distribuerem, non utique esses mihi dicturus: Cras veniam, et cras dabis: sed jam exposceres, urgens distributionem, et dilationem animo iniquo ferres. Quoniam vero hic ille magnorum donorum largitor non materiam pulchre coloratam, sed animæ puritatem tibi offert, comminisceris excusationes; atque causas et im- B pedimenta recenses, cum ad donum deberes accurrere. O rem miram! renovaris, nec conflaris; reformaris, nec contereris; curaris, nec sentis dolorem, et tamen id beneficii tecum non reputas. Servus hominum si esses, servisque fuisset proposita libertas, nonne occurrisses ad statam diem, conducens patronos, judicesque rogans, ut omni opera assereris in libertatem? Quin et alapam, postremam servorum pœnam perferres, ut in posterum a verberibus liber fieres et immunis. Quoniam autem te servum, non hominum, sed peccati, ad libertatem præco vocat, ut te captivitate solutum ex æquo cum angelis civitate donet, teque efficiat per adoptionis gratiam filium Dei, et bonorum Christi C hæredem: nondum tempus esse hæc dona excipiendi dicis. O impedimenta prava! O turpem et interminatam occupationem! Quousque tandem voluptates? usquequo deliciæ? Viximus multum tempus mundo, reliquum vivamus et nobis ipsis. Ecquid animæ æquiparabile? Quid regno cœlorum comparandum? Quis tibi consiliarius fide dignior quam Deus? Quis prudentior sapiente, aut quis utilior bono? Quis conditore conjunctior? Nec Evæ serpentis consilio credidisse magis quam Domini profuit. O inepta verba! Non vacat sanari, nondum ostendas mihi lucem, nondum conjungas me Regi. Nonne hæc aperte loqueris? Imo etiam his absurdiora. Tu enim si esses tributis publicis obnoxius, nuntiareturque undelibet debitoribus rescissio æris D alieni: deinde esset qui per injuriam privare te hac condonatione conaretur; succenseres utique et clamares, ut qui ea communis beneficii portione, quæ ad te attineret, spoliareris. Postquam vero non præteritorum modo condonatio, sed futurorum etiam largitiones prænuntiatæ sunt; te ipse injuria afficiens, quantum ne ullus quidem inimicus tibi nocuisset, putasne te tibi convenienter consuluisse,

[a] III Reg. XVIII, 34.

(79) Codex Medicæus Τρισσεύσατε, καὶ ἐτρίσσευσαν.

(80) Addita est vocula ἐν ex libris antiquis. Ibidem Colb. tertius ταῖς ἡμῶν προσιόντων

(81) Colb. primus ἰσοπολίτην δέ σε τοῖς. Aliquanto post Colb. tertius δέξασθαί σε.

(82) Colb. primus ἢ τίς τοῦ. Statim mss. nonnulli τῇ τοῦ ὄφεως συμβουλίᾳ. Nec ita multo infra Colb. tertius pro λόγων habet λογισμῶν.

(83) Antiqui tres libri ἐπηράσατο. Editi et Reg. tertius ἐπηρεάσατο, recte. Ibidem utraque editio οἴει προσηκόντως. At nostri sex mss. προσήκοντα, sensu non dissimili.

utiliterque providisse, qui scilicet non admittas condonationem, sed in ære alieno immoriaris? maxime cum scias, quod decies mille talentorum debitor consecutus fuisset condonationem, nisi ipse per suam in conservum inhumanitatem exactionem in se renovasset [5]. Quod ne nobis quoque accidat post acceptum hoc munus, si debitoribus nostris non dimittamus, cavendum, ut donum firmum in nobis ac stabile permaneat.

4. Ingredere in conclave animæ tuæ, revolve gestorum tuorum memoriam. Si multa sunt peccata tua, ne desperes ob multitudinem. *Ubi enim abundavit delictum, superabundavit gratia* [6]; si modo gratiam suscipias. Multum enim debenti, 117 multum remittetur, ut amplius diligat: sin autem parva ac levia, nec ad mortem [7] fuerint peccata tua; cur anxius es de futuro, qui haud ignave præterita pertuleris; idque, cum necdum esses lege instructus? Nunc puta velut in trutina animam tuam appendi, hinc ab angelis, hinc a dæmonibus attractam. Utris, quæso, dabis cordis momentum? Quid apud te vincet? voluptas carnis, an animæ sanctimonia? præsentium oblectatio, an futurorum desiderium? Angeline te suscipient, an detinebunt qui jam tenent? In acie duces tesseram tribuunt sub se militantibus, ut et amici facile se invicem inclament, et si in conflictu fuerint cum hostibus commisti, queant citra confusionem sejungi. Agnoscet te nemo, nosterne sis, an hostium, nisi mysticis signis necessitudinem affinitatemque ostenderis, nisi signatum sit super te lumen vultus Domini [8]. Quomodo vindicabit te angelus? quomodo eripiet ex hostibus, nisi agnoverit signaculum? Quomodo dicturus es tu, Dei sum, si notas ac insignia non exhibeas? An ignoras, exterminatorem domos signatas præteriisse, in his vero quæ signatæ non erant, primogenita occidisse [9]? Thesaurus non obsignatus diripi a furibus facile potest: ovi signo carenti tuto struuntur insidiæ.

5. Juvenis es? Retine juventutem baptismatis freno. Transiit flos ætatis? Cave feceris viatici jacturam, cave amiseris munimentum, cave cogites de undecima hora velut de prima [10]: quandoquidem et eum qui jam primum editur in lucem, mortem ob oculos habere convenit. Si quis medicus promitteret tibi, se artibus quibusdam ac in-

A οἴει προσηκόντως βεβουλεῦσθαι, καὶ λυσιτελῶς ἐντεθυμῆσθαι περὶ σεαυτοῦ, ὅς γε οὐ δέχῃ τὴν ἄφεσιν, ἀλλ' ἐναποθνήσκεις τοῖς ὀφλήμασι; καὶ ταῦτα εἰδὼς, ὅτι ὁ τῶν μυρίων ταλάντων χρεωφειλέτης ἔτυχεν ἂν τῆς ἀφέσεως, εἰ μὴ αὐτὸς ἑαυτῷ τὴν εἴσπραξιν ἐκ τῆς πρὸς τὸν ὁμόδουλον ἀπανθρωπίας ἀνενεώσατο. Ὃ καὶ ἡμῖν φυλακτέον μὴ πάθωμεν, ἐπειδὰν τῆς χάριτος τύχωμεν, μὴ ἀφιέντες (84) τοῖς ὀφειλέταις ἡμῶν, ἵνα βέβαιον ἡμῖν παραμείνῃ τὸ δῶρον.

4. Εἴσελθε εἰς τὸ ταμιεῖόν σου τῆς ψυχῆς, ἀνακίνησόν σου τῶν πεπραγμένων τὴν μνήμην. Εἰ μὲν πολλά σού ἐστι τὰ ἁμαρτήματα, μὴ ἀθυμήσῃς τῷ πλήθει· *Ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις*, ἐὰν δέχῃ τὴν χάριν· τῷ γὰρ ὀφείλοντι πολὺ πολὺ καὶ ἀφεθήσεται, ἵνα περισσότερον ἀγαπήσῃ.
B Εἰ δὲ μικρὰ καὶ εὐτελῆ, καὶ οὐ πρὸς θάνατόν σου τὰ ἁμαρτήματα, τί ἀγωνιᾷς τὸ μέλλον, ὅς γε οὐκ ἀγεννῶς τὰ παρελθόντα διήνεγκας, καὶ ταῦτα οὔπω τῷ νόμῳ παιδαγωγούμενος; Νῦν ὥσπερ ἐπὶ τρυτάνης ἑστάναι νόμιζέ σου τὴν ψυχὴν, ἔνθεν ὑπ' ἀγγέλων, κἀκεῖθεν ὑπὸ δαιμόνων διελκομένην. Τίσιν ἄρα δώσεις τὴν ῥοπὴν τὴν καρδίας; Τί παρὰ σοὶ νικήσει; ἡδονὴ σαρκὸς, ἢ ἁγιασμὸς ψυχῆς; ἀπόλαυσις τῶν παρόντων ἢ τῶν μελλόντων ἐπιθυμία; Ἄγγελοί σε παραλήψονται, ἢ καθέξουσιν οἱ κατέχοντες; Ἐπὶ παρατάξεως οἱ στρατηγοὶ τὸ σύνθημα τοῖς ὑπ' αὐτοὺς (85) διανέμουσιν, ἵνα καὶ οἱ φίλοι ῥᾳδίως ἀλλήλους ἀνακαλῶνται, καὶ πρὸς τοὺς ἐναντίους, ἐὰν ἐν ταῖς συμπλοκαῖς ἀναμιχθῶσιν, εὐκρινὴς δύνηται ὑπάρχειν ὁ χωρισμός. Οὐδεὶς ἐπιγνώσεταί σε, εἰ ἡμέτερος εἶ, ἢ τῶν ὑπ-
C εναντίων, ἐὰν μὴ τοῖς μυστικοῖς συμβόλοις παράσχῃ τὴν οἰκειότητα, ἐὰν μὴ σημειωθῇ ἐπὶ σὲ τὸ φῶς τοῦ προσώπου Κυρίου. Πῶς ἀντιποιηθῇ σου ὁ ἄγγελος; πῶς δὲ ἀφέληται τῶν ἐχθρῶν, ἐὰν μὴ ἐπιγνῷ τὴν σφραγῖδα; Πῶς δὲ σὺ ἐρεῖς, Τοῦ Θεοῦ εἰμι, μὴ ἐπιφερόμενος τὰ γνωρίσματα; Ἢ ἀγνοεῖς, ὅτι τὰς ἐσφραγισμένας οἰκίας ὁ ὀλοθρευτὴς ὑπερέβαινεν, ἐν δὲ ταῖς ἀσφραγίστοις κατεφόνευε τὰ πρωτότοκα; Ἀσφράγιστος θησαυρὸς εὐεπιχείρητος κλέπταις· πρόβατον ἀσημείωτον ἀκινδύνως ἐπιβουλεύεται.

5. Νέος εἶ; ἀσφάλισαι τὴν νεότητα τῷ τοῦ βαπτίσματος χαλινῷ. Παρέδραμεν ἡ ἀκμή; μὴ ζημιωθῇς τὰ ἐφόδια, μὴ ἀπολέσῃς τὸ φυλακτήριον (86), μὴ περὶ τῆς ἑνδεκάτης ὥρας ὡς περὶ πρώτης διανοοῦ· ὅπου
D γε προσήκει καὶ τὸν ἀρχόμενον τοῦ βίου ἐν ὀφθαλμοῖς ἔχειν τὴν τελευτήν. Εἴ τις ἰατρῶν ἐπηγγέλλετό σοι μηχαναῖς τισι καὶ ἐπινοίαις νέον ποιήσειν ἐκ γέ-

[5] Matth. XVIII, 24 sqq. [6] Rom. V, 20. [7] I Joan. V, 17. [8] Psal. IV, 7. [9] Exod. XII, 23. [10] Matth. XX, 12.

(84) Illud, ὃ καὶ ἡμῖν φυλακτέον μὴ πάθωμεν, ἐπειδὰν τῆς χάριτος τύχωμεν, μὴ ἀφιέντες, etc., sic vertit interpres vetus: *Quod ne patiamur, fratres dilectissimi, magnopere animadvertendum posteaquam hanc gratiam adepti sumus, sed debitoribus nostris remittamus, ut firmum*, etc. Ita autem interpretandi hæc ei, opinor, causa fuit, quod hoc loco voculam μή commode exprimere non posset. Mox duo mss. ἡμῖν παραμένῃ.

(85) Editio Paris. ὑπ' αὐτοῖς. At quinque mss. ὑπ' αὐτούς. Quod ibidem legitur, ἵνα καὶ οἱ φίλοι ῥᾳδίως ἀλλήλους ἀνακαλῶνται, id ita vertit Ducæus, Billium secutus, *ut et amici sese invicem facile revocent*: quam virorum doctissimorum interpretationem hic addendam judicavimus, ut si cuipiam magis probaretur, ea uti liceret.

(86) Combefisius, cui interpretatio vetus non placuit, hæc verba, μὴ ἀπολέσῃς τὸ φυλακτήριον, ita interpretatus est, *Ne salutis pignus amiseris*: quæ interpretandi ratio videri potest quædam esse declaratio verborum Basilii, non simplex eorumdem interpretatio. Haud longe vocem ὥρας ex Colb. primo addidimus.

ροντος, οὐκ ἂν ἐπεθύμησας ἐλθεῖν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ σεαυτὸν ὁρᾷν ἔμελλες πρὸς ἀκμὴν ὑποστρέφοντα (87); Ἐπειδὴ δὲ τὴν ψυχήν σου ἀναθαλήσειν ἐπαγγέλλεταί σοι τὸ βάπτισμα, ἣν σὺ ἐπαλαίωσας, καὶ ῥυσὴν αὐτὴν (88) ἐκ τῶν ἀνομιῶν, καὶ ἐσπιλωμένην ἀπέδειξας, καταφρονεῖς τοῦ εὐεργέτου, καὶ οὐ προστρέχεις τῷ ἐπαγγέλματι. Οὐκ ἐπιθυμεῖς ἰδεῖν τί τὸ μέγα θαῦμα τῆς ὑποσχέσεως; πῶς ἄνευ μητρὸς ἀναγεννᾶται ἄνθρωπος; πῶς ὁ παλαιούμενος καὶ φθειρόμενος κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης σφριγᾷ πάλιν, καὶ ἀνηβᾷ, καὶ εἰς τὸ ἀληθινὸν ἄνθος τῆς νεότητος ἐπανέρχεται; Βάπτισμα αἰχμαλώτοις λύτρον, ὀφλημάτων ἄφεσις, θάνατος ἁμαρτίας, παλιγγενεσία ψυχῆς, ἔνδυμα φωτεινὸν, σφραγὶς ἀνεπιχείρητος, ὄχημα πρὸς οὐρανὸν, βασιλείας πρόξενον, υἱοθεσίας χάρισμα. B Τοσούτων ἀγαθῶν καὶ τηλικούτων, ἄθλιε, προτιμοτέραν ἄγεις τὴν ἡδονήν; Νοῶ γάρ σου τὴν ὑπέρθεσιν, κἂν περιστέλλῃ (89) τοῖς ῥήμασιν· αὐτὰ βοᾷ τὰ πράγματα, κἂν τῇ φωνῇ σιωπᾷς. Ἔασον, ἀποχρήσωμαι τῇ σαρκὶ πρὸς τὴν ἀπόλαυσιν τῶν αἰσχρῶν, ἐγκυλισθῶ τῷ βορβόρῳ τῶν ἡδονῶν, αἱμάξω τὰς χεῖρας, ἀφέλωμαι τὰ ἀλλότρια, δολίως πορευθῶ, ἐπιορκήσω, ψεύσωμαι· καὶ τότε τὸ βάπτισμα, ὅταν λήξω ποτὲ τῶν κακῶν, ὑποδέξομαι (90). Εἰ μὲν οὖν καλὸν ἡ ἁμαρτία, φύλασσε ταύτην εἰς τέλος· εἰ δὲ βλαβερὰ τῷ ποιοῦντι, τί ἐπιμένεις τοῖς ὀλεθρίοις; Οὐδεὶς, χολὴν ἐμέσαι ζητῶν, ἐκ πονηρᾶς καὶ ἀκολάστου διαίτης πολυπλασίονα ταύτην ἑαυτῷ συναθροίζει. Καθαίρειν προσῆκε τῶν λυπούντων τὸ σῶμα, οὐ μέντοι κατασκευάζειν C τὴν νόσον μείζονα τῆς δυνάμεως. Φαίνεται ἡ ναῦς μέχρι τίνος τὸ βάρος τῶν ἀγωγίμων ὑφίσταται, τὸ δὲ ὑπὲρ τοῦτο καταβαπτίζει. Φοβήθητι μὴ καὶ σὺ τὰ παραπλήσια πάθῃς, καὶ μείζονα τῆς ἀφέσεως ποιήσας τὰ ἁμαρτήματα (91), πρὸ τῶν ἐλπισθέντων λιμένων ὑποστῇς τὸ ναυάγιον. Οὐ βλέπει Θεὸς τὰ γινόμενα; ἢ οὐ νοεῖ σου τὰ ἐνθυμήματα; ἢ συνεργάζεταί σοι τὰς ἀνομίας; *Ὑπέλαβες ἀνομίαν*, φησὶν, *ὅτι ἔσομαί σοι ὅμοιος* (92). Σὺ δὲ, ἀνδρὸς μὲν θνητοῦ φιλίαν πραγματευόμενος, δι' εὐεργεσίας αὐτὸν προσάγῃ, ἐκεῖνα λέγων καὶ πράττων οἷσπερ ἂν αἴσθῃ χαίροντα· Θεῷ δὲ προσοικειούμενος, καὶ εἰς τὴν υἱοῦ τάξιν ἐλπίζων παραδεχθήσεσθαι, τὰ ἐχθρὰ τῷ Θεῷ

A dustria juvenem te ex sene facturum esse, nonne desiderares illam adesse diem, in qua teipsum visurus esses ad ætatis vigorem reversum? Sed cum baptismus facturum se spondet ac pollicetur, ut anima tua quam vetustate confecisti, ac iniquitatibus rugosam maculosamque reddidisti, ad pristinum florem redeat; aspernaris benefacientem, nec accurris ad promissionem. Itane vero magnum pollicitationis miraculum videre non cupis? quomodo sine matre regeneretur homo? quomodo inveteratus et erroris desideriis [11] corruptus, vigeat rursus, repubescatque, et ad verum juventutis florem revertatur? Baptismus captivis est redemptionis pretium, debitorum condonatio, mors peccati, regeneratio animæ, indumentum lucidum, sigillum quod conatu nullo frangi potest, vehiculum ad cœlum, regni conciliator, adoptionis donum. Tot ac tantis bonis, o miser, voluptatem ducis potiorem? Novi enim procrastinationem tuam, quanquam eam verbis contegis: clamant res ipsæ, tametsi voce taces. Sine, utar corpore ad fruendas turpes libidines, voluter in cœno voluptatum, cruentem manus, diripiam aliena, **118** dolose ambulem, pejerem, mentiar; et tunc cum tandem aliquando a malis destitero, suscipiam baptisma. Quod si peccatum bonum est et honestum, illud ad finem usque serva: sin noxium est patranti, quid in exitiosis immoraris? Nemo bilem evomere cum vult, mala intemperantique diæta eam sibi multo abundantiorem congerit. Par enim fuerit corpus a noxiis purgare, non morbum viribus majorem efficere. Exstat navis interim dum impositarum mercium onus sustentat; si quid ultra accesserit, mergit. Time ne tibi etiam paria accidant; neve si peccata committas venia majora, ante portus speratos naufragium facias. Non videt Deus quæ fiunt? non agnoscit tuas cogitationes? an iniquitates tuas juvat? *Suspicatus es*, inquit, *iniquitatem, quod ero tibi similis* [12]. Tute mortalis viri amicitiam cum ambis, beneficiis eum allicis, dicisque ac facis, quibus gavisurum ipsum intelligis: sed Deo conjungi volens, et in filii locum te receptum iri sperans, si interea tamen quæ Deo inimica

[11] Ephes. IV, 22. [12] Psal. XLIX, 21.

(87) Reg. primus ἐπιστρέφοντα. Mox unus ms. ἀναθάλλειν.

(88) Editio Paris. καὶ ῥύσσειν αὐτὴν, corrupte. Editio Basil. et mss. aut cum duplici σ, καὶ ῥυσσὴν, aut cum unico, καὶ ῥυσὴν, emendate: nam utraque scribendi ratione uti solent. Statim duo mss. ἐπέδειξας.

(89) Colb. tertius περιστέλλῃς.

(90) Colb. tertius δέξομαι.

(91) Miror Volaterranum, qui illud, Φοβήθητι μὴ καὶ σὺ τὰ παραπλήσια πάθῃς, καὶ μείζονα τῆς ἀφέσεως ποιήσας τὰ ἁμαρτήματα, ita Latine reddidit: *Vide ne et tu similia patiaris, majora continuo admittendo, quam ea quæ remittenda tibi per baptismum promittebantur.* Sed hoc non dicit Basilius, nec dicere potuit; cum nullum sit peccatum quantumvis grave, quod baptismate non deleatur. Horum D autem verborum, ut mihi quidem videtur, sententia hæc est: Cave peccata admittas, quæ indignum te venia reddant, sic ut justo Dei judicio ante moriaris, quam baptisma suscipias. Combefisius posteaquam hunc Basilii locum sic interpretatus est, *majora peccans quam pro veniæ ratione*, addit, *ob quæ scilicet excludaris a baptismi gratia*: quam viri cæteroquin doctissimi declarationem non puto cuiquam probatum iri, cum nemo quamlibet scelestus unquam, quod sciam, a baptismi gratia exclusus sit.

(92) Utraque editio: Ὑπέλαβες, ἄνομε, φησὶν, ὅτι ἔσομαί σοι ὅμοιος, *existimasti, o inique, inquit, quod ero tui similis.* Et ita scripsisse quemdam interpretem, ex *Hexaplis* discimus. At nostri sex mss. magno inter se sensu, ὑπέλαβες ἀνομίαν, etc., *Suspicatus es*, inquit, *iniquitatem, quod ero tui similis*, nec aliter legitur apud LXX.

sunt perpetres, et per legis violationem eum dedecores, unde maxime illum offendis, indene ipsius familiaritatem necessitudinemque tibi polliceris? Vide ne liberationis spe, si tibi ipse malorum copiam congesseris, peccatum quidem coacerves, venia vero priveris. *Deus non irridetur* [13]. Cave abutaris gratia ad quæstum. Ne dixeris : Bona est quidem lex, sed jucundius peccatum. Diaboli hamus voluptas est, trahens ad perniciem. Voluptas mater est peccati : peccatum vero stimulus mortis est [14]. Voluptas nutrix est æterni vermis : quæ fruentem se ad tempus quidem demulcet : deinde vero germina felle amariora producit. Nihil aliud clamat procrastinatio nisi illa : Regnet in me primum peccatum, postea regnabit aliquando etiam Dominus. Exhibebo mea membra arma injustitiæ iniquitati [15] : deinde exhibebo ea aliquando etiam arma justitiæ Deo. Sic et Cain offerebat sacrificia, prima in usum commodumque suum, secunda conditori et largitori Deo. Cum idoneus es qui opereris, absumis in peccatis juventutem tuam. Postquam elanguerunt organa, tunc ea Deo offers, cum non amplius potes his ad ullam rem uti, sed ea necesse est torpere ob diutinam tabem, vigore et robore resoluto. Continentia in senectute continentia non est : sed animus ad lasciviendum invalidus. Mortuus non coronatur : nemo ideo justus, quod ei mali faciendi facultas non sit. Vires ac potentia dum tibi suppetunt, fac vincas ratione peccatum. Hoc enim virtus est, declinare a malo, et efficere bonum [16]. Nam cessare a malo, neque 119
laude, neque castigatione ex se dignum est. Peccare si desieris ob ætatem, beneficium est infirmitatis. Laudamus autem eos qui animi proposito boni sunt, non eos, qui necessitate aliqua a malo arcentur. Cæterum quis tibi vitæ limitem præfixit? quis certum senectutis terminum tibi definivit? quis sponsor futurorum apud te adeo fide dignus? An non vides infantes abreptos? an non vides eos qui ætate vigent, abduci, atque de medio tolli? Nullum præfinitum tempus vita habet. Quid exspectas, ut beneficio febris et munere baptisma accipias? quando neque salutaria verba proferre poteris, neque forte tibi clare audire licebit, morbo caput ipsum occupante : non manus ad cœlum attollere, non in pedes erigi, non genu flectere ad adorandum, non commode doceri, non diligenter confiteri, non pacisci cum Deo, non inimico renun-

A πράττων, καὶ διὰ τοῦ νόμου παραβάσεως ἀτιμάζων αὐτὸν, ἐξ ὧν μάλιστα προσκρούεις, ἐκ τούτων ἐλπίζεις τὴν οἰκειότητα; Ὅρα μὴ ἐπ' ἐλπίδι τῆς ἀπολυτρώσεως, πλῆθος κακῶν σεαυτῷ συλλεξάμενος, τὴν μὲν ἁμαρτίαν συναθροίσῃς (93), τῆς δὲ συγχωρήσεως ἀποτύχῃς. *Θεὸς οὐ μυκτηρίζεται.* Μὴ ἐμπορεύου (94) τὴν χάριν. Μὴ εἴπῃς· Καλὸς μὲν ὁ νόμος, ἀλλ' ἡδίων ἡ ἁμαρτία. Ἡδονὴ ἄγκιστρόν ἐστι τοῦ διαβόλου πρὸς ἀπώλειαν ἕλκον. Ἡδονὴ μήτηρ τῆς ἁμαρτίας (95)· ἡ δὲ ἁμαρτία τὸ κέντρον ἐστὶ τοῦ θανάτου. Ἡδονὴ τροφὸς τοῦ αἰωνίου σκώληκος, ἣ πρὸς καιρὸν μὲν καταλεαίνει τὸν ἀπολαύοντα, ὕστερον δὲ πικροτέρας χολῆς ποιεῖται (96) τὰς ἀναδόσεις. Οὐδὲν ἄλλο βοᾷ ἡ ὑπέρθεσις ἢ ταῦτα· βασιλευσάτω ἐν ἐμοὶ πρῶτον ἡ ἁμαρτία, εἶτα βασιλεύσει ποτὲ καὶ ὁ Κύριος. Παρα-
B στήσω μου τὰ μέλη ὅπλα ἀδικίας τῇ ἀνομίᾳ· εἶτα παραστήσω ποτὲ καὶ ὅπλα δικαιοσύνης αὐτὰ τῷ Θεῷ. Οὕτω καὶ Κάϊν (97) προσέφερε τὰς θυσίας· τὰ πρῶτα τῇ ἀπολαύσει τῇ ἑαυτοῦ, τὰ δεύτερα τῷ κτίσαντι καὶ δωρησαμένῳ Θεῷ. Ὅτε δυνατὸς εἶ ἐν ἔργοις, τὴν νεότητά σου ταῖς ἁμαρτίαις προσαναλίσκεις. Ὅτε ἀποκάμῃ τὰ ὄργανα, τότε προσάγεις αὐτὰ τῷ Θεῷ, ὅτε εἰς οὐδὲν αὐτοῖς ἔστι χρήσασθαι, ἀλλ' ἀνάγκη κεῖσθαι διὰ τὸν ἐκ τοῦ χρόνου μαρασμὸν παραλυθέντος (98) τοῦ τόνου. Ἡ ἐν γήρᾳ σωφροσύνη οὐ σωφροσύνη, ἀλλ' ἀκολασίας ἀδυναμία. Νεκρὸς οὐ στεφανοῦται· οὐδεὶς δίκαιος δι' ἀδυναμίαν κακοῦ. Ἕως ἔστι σοι δύναμις, λόγῳ κράτει τῆς ἁμαρτίας. Τοῦτο γάρ ἐστιν ἀρετή· ἔκκλισις ἀπὸ κακοῦ, καὶ ποίησις
C ἀγαθοῦ. Ἡ δὲ ἀργία τῆς πονηρίας οὔτε ἐπαίνων αὐτὴ καθ' ἑαυτὴν, οὔτε κολάσεων ἀξιοῦται. Ἐὰν δι' ἡλικίαν παύσῃ τῆς ἁμαρτίας, τῆς ἀσθενείας ἡ χάρις. Ἐπαινοῦμεν δὲ τοὺς κατὰ προαίρεσιν ἀγαθοὺς, οὐ τοὺς ἀπό τινος ἀνάγκης ἐξειργομένους. Τίς δέ σοι καὶ τὸν ὅρον τῆς ζωῆς ἔπηξε; τίς σοι τὴν προθεσμίαν τοῦ γήρως ὥρισε; τίς οὕτως ἀξιόπιστος παρὰ σοὶ τῶν μελλόντων ἐγγυητής; Οὐχ ὁρᾷς νήπια ἁρπαζόμενα (99), τοὺς ἐν ἡλικίᾳ ἀπαγομένους; Οὐκ ἔχει μίαν προθεσμίαν ὁ βίος. Τί ἀναμένεις πυρετοῦ σοι δῶρον γενέσθαι τὸ βάπτισμα; ὅτε οὐδὲ φθέγξασθαι δυνήσῃ τὰ σωτήρια ῥήματα, τάχα δὲ οὐδὲ ἀκοῦσαι καθαρῶς ἐπιτραπήσῃ, αὐτῇ τῇ κεφαλῇ ἐνοικούσης τῆς νόσου· οὐ χεῖρας ἆραι εἰς οὐρανὸν, οὐκ ἐπὶ πόδας διαναστῆναι, οὐ κλῖναι γόνυ εἰς τὴν προσκύνησιν,
D οὐ διδαχθῆναι χρησίμως, οὐχ ὁμολογῆσαι ἀσφαλῶς, οὐχὶ συνθέσθαι Θεῷ, οὐκ ἀποτάξασθαι τῷ ἐχθρῷ, τάχα δὲ οὐδὲ συνετῶς ἐπακολουθῆσαι μυσταγωγούμενος, ἀμφίβολος ὢν τοῖς παροῦσιν, ἆρα (1) ἤσθου

[13] Galat. VI, 7. [14] I Cor. XV, 56. [15] Rom. VI, 13. [16] I Petr. III, 11.

(93) Antiqui duo libri ἁμαρτίαν ἀθροίσῃς.

(94) Basilius hoc dicit : Noli dono baptismatis ita uti, ut deliciis fruare, genioque indulgeas, et dedas te voluptatibus.

(95) Colb. primus μήτηρ ἐστί.

(96) Colb. tertius ποιεῖ. Ibidem in Reg. primo pro ἀναδόσεις legitur ἀντιδόσεις. Aliquanto post Colb. tertius pro τῷ Θεῷ habet τῷ Κυρίῳ, *Domino* : quæ verba ita scripta sunt in Colb. primo, παραστήσω αὐτά ποτε καὶ ὅπλα δικαιοσύνης τῷ Θεῷ, alio ordine, et clarius.

(97) Reg. primus ὁ Κάϊν. Hoc ipso in loco idem codex πρῶτα μὲν... δεύτερα δέ.

(98) Veteres quatuor libri παραλυθέντα. Editio utraque et Reg. tertius παραλυθέντος. Aliquanto post Colb. tertius οὐδεὶς δικαιοῦται.

(99) Colb. primus ἀναρπαζόμενα.

(1) Editio Paris. ἢ ἆρα. Vocula ἢ in mss. non legitur. Ibidem editio Paris. ἤσθεο... ἔχεις. Editio Basil. et sex mss. ἤσθετο... ἔχει... Colb. tertius recenti admodum manu habet ἤσθου... ἔχεις : quam emendationem, cum nihil melius occurrerit, sequi non dubitavimus.

A τῆς χάριτος, ἢ ἀναισθήτως ἔχεις τῶν γινομένων. Ὅταν δὲ καὶ ἐπιστημόνως τὴν χάριν δέξῃ, τότε τὸ μὲν τάλαντον ἔχεις, τὴν δὲ ἐργασίαν οὐκ ἐπιφέρῃ.

6. Μίμησαι τὸν εὐνοῦχον. Εὗρεν ἐκεῖνος τὸν κατηχοῦντα, καὶ οὐχ ὑπερεῖδε τὴν μάθησιν, ἀλλ' ἐπὶ τὸ ἅρμα ἀνεβιβάσατο τὸν πένητα ὁ πλούσιος, τὸν ἰδιώτην καὶ εὐκαταφρόνητον ὁ σοβαρὸς καὶ ὑπέρογκος· καὶ διδαχθεὶς τὸ Εὐαγγέλιον τῆς βασιλείας, ἐδέξατο μὲν τῇ καρδίᾳ τὴν πίστιν, οὐκ ἀνεβάλετο δὲ τὴν σφραγῖδα τοῦ Πνεύματος. Ἐπειδὴ γὰρ ἀπήντησαν (2) ὕδατι, *Ἰδού*, φησίν, *ὕδωρ*. Ἐκ περιχαρείας ὁ λόγος· Ἰδοὺ τὸ ζητούμενον, *Τί κωλύει με βαπτισθῆναι;* Ὅπου προαίρεσις ἑτοίμη, τὸ κωλύον οὐδέν. Ὁ γὰρ καλῶν φιλάνθρωπος, ὁ διάκονος εὐτρεπὴς (3), ἡ B χάρις ἄφθονος· ἡ προθυμία ἐνυπαρχέτω, καὶ τὸ ἐμποδίζον οὐκ ἔσται. Εἷς ἐστιν ὁ κωλύων, ὁ ἐμφράσσων ἡμῖν τὰς εἰς σωτηρίαν ὁδούς, ὃν νικήσωμεν τῇ συνέσει. Ἐκεῖνος τὸν ὄκνον ἡμῖν ἐμποιεῖ· ἡμεῖς διαναστῶμεν πρὸς ἐργασίαν. Ἐκεῖνος διακένοις ἐπαγγελίαις τὰς καρδίας ἡμῶν ἐξαπατᾷ· ἡμεῖς αὐτοῦ μὴ ἀγνοήσωμεν τὰ νοήματα. Ἦ γὰρ οὐχὶ τὴν μὲν ἁμαρτίαν σήμερον ποιεῖν ὑποβάλλει, τὴν δὲ δικαιοσύνην εἰς τὴν αὔριον πείθει ἡμᾶς ταμιεύεσθαι; Διὰ τοῦτο ὁ Κύριος, ἀναλύων αὐτοῦ τὰς πονηρὰς συμβουλίας, *Σήμερον*, φησίν, *ἐὰν τῆς φωνῆς μου ἀκούσητε*. Ἐκεῖνος λέγει· Τὴν σήμερον ἐμοί, καὶ τὴν αὔριον τῷ Θεῷ. Ὁ Κύριος ἀντιβοᾷ· Σήμερον τῆς ἐμῆς φωνῆς ἀκούσατε (4). Νόησον τὸν ἐχθρόν· οὐ τολμᾷ συμβουλεῦσαι C καθόλου ἀποστῆναι Θεοῦ (οἶδεν, ὅτι βαρὺ τοῦτο ἀκοῦσαι Χριστιανοῖς), ἀλλὰ τέχναις ἀπατηλαῖς μεθοδεύει τὴν ἐπιχείρησιν. Σοφός ἐστι τοῦ κακοποιῆσαι. Συνορᾷ, ὅτι κατὰ τὸ παρὸν ζῶμεν οἱ ἄνθρωποι, καὶ πᾶσα πρᾶξις κατὰ τὸ ἐνεστὼς ἐνεργεῖται. Τὴν οὖν σήμερον κλέπτων ἡμῶν διὰ τῆς μεθοδείας, τῆς αὔριον (5) ἡμῖν τὰς ἐλπίδας περιαφίησιν. Εἶτα, ἐπειδὰν ἡ αὔριον ἔλθῃ, πάλιν ἔρχεται ὁ κακὸς συμμεριστὴς ἡμῶν, ἀξιῶν τὴν σήμερον ἑαυτῷ, τὴν δὲ αὔριον τῷ Κυρίῳ· καὶ οὕτως ἀεὶ τὸ μὲν παρὸν δι' ἡδονῆς ὑφαιρούμενος, τὸ δὲ μέλλον ταῖς ἐλπίσιν ἡμῶν προσαφιείς, λανθάνει ἡμᾶς ἀποβουκολῶν τῆς ζωῆς.

7. Τοιαύτην εἶδον ἐγώ ποτε πανουργίαν ὄρνιθος (6) εὐμηχάνου. Εὐαλώτων γὰρ αὐτῇ τῶν νεοττῶν ὑπαρ- D χόντων δι' ἁπαλότητα, ἑαυτὴν προβαλλομένη ὡς ἕτοιμον θήραμα, καὶ ταῖς χερσὶ τῶν ἀγρευόντων ἐνστρεφομένη, οὔτε ἁλώσιμος ἦν ἐκ τοῦ προχείρου τοῖς θηρευταῖς (7), οὔτε ἀπόγνωσιν αὐτοῖς ἐνεποίει

A tiare, neque forte in recipiendis initiamentis rem scienter prosequi; cum dubitent qui adsunt, utrum senseris gratiam, an sine sensu quæ aguntur accipias. Imo etiam etsi sciens gratiam susciperes, tunc quidem talentum habes, sed lucrum non refers.

6. Imitare eunuchum [17]. Ille invenit qui ipsum prima fidei elementa doceret, nec doctrinam ac documenta aspernatus est: sed in currum evexit pauperem dives, idiotam et aspernabilem magnificus et sumptuosus; atque regni Evangelium edoctus, suscepit corde fidem, non sigillum Spiritus distulit. Cum etiam pervenissent ad aquam, *Ecce*, inquit, *aqua*. Vox ingentis gaudii: Ecce quod quæritur, *Quid prohibet me baptizari?* Ubi prompta voluntas est, quod impediat nihil est. Nam qui B vocat, benignus est: expeditus est minister, uberrima gratia. Studium insit et alacritas, tumque nullum erit impedimentum. Unus est qui prohibet, ille videlicet, qui nobis vias ad salutem obstruit, quem prudentia vincamus. Ille cunctationis ac moræ nobis auctor est; nos ad opus faciendum insurgamus. Ille inanibus promissis corda nostra decipit: nos ejus cogitata ne ignoremus. Nonne suggerit ut hodie perpetremus peccatum, suadet e diverso, ut justitiam in crastinum reservemus? Quapropter Dominus prava ejus consilia evertens, ait: *Hodie si vocem meam audieritis* [18]. Ille dicit: Hodiernum mihi, crastinum Deo. Dominus contra vociferatur: Hodie vocem meam audite. Consi- C dera inimicum; suadere non audet, ut omnino a Deo secedas (novit id auditu Christianis grave esse), sed fraudulentis artibus atque insidiosis aggreditur. Sapiens est ad malefaciendum [19]. Intelligit nos homines in præsenti solum tempore vivere, actionemque omnem in præsenti tempore fieri. Quamobrem hodierna die nobis fraudulenter surrepta, nobis spem crastinæ relinquit. Deinde cum dies crastina venit, rursus accedit malus noster divisor, sibique hodiernum, Domino vero crastinum poscit, atque sic semper **120** præsens quidem per voluptatem subtrahens, futurum vero spei nostræ proponens, imprudentes nos et incautos e vita subducit.

7. Vidi ego aliquando talem callidæ cujusdam D avis astutiam. Nimirum cum pulli ejus essent captu faciles ob teneritudinem, se ipsa objiciebat ut paratam prædam, atque ante venantium manus versans, neque facile poterat a venatoribus capi, neque spem capiendæ prædæ eis adimebat. Sed interea dum ipsos

[17] Act. VIII, 27 sqq. [18] Psal. XCIV, 8. [19] Jerem. IV, 22.

(2) Colb. primus ὑπήντησαν. Notas eruditissimas, quibus Ducæus totam hanc orationem illustrat, legas suadeo.

(3) In Colb. primo et in Reg. itidem primo pro εὐτρεπὴς legitur εὐπρεπής.

(4) Editio Paris. ἀκούσητε. Editio Basil. et sex mss. ἀκούσατε. Quod ait Combefisius, se hoc loco in suis codicibus legisse σήμερον ἐάν, in eo lapsus videri potest. Nam verisimile fit, virum doctum voculam ἐάν, quæ paulo ante legitur, incaute huc transtulisse. Nec ita multo infra Colb. 1 οἶδε γάρ.

(5) Sic mss. omnes. Utraque editio εἰς τὴν αὔριον, *spem nobis in crastinum remittit*.

(6) Ducæus, ut alibi de aliis rebus, ita hoc loco de illa ave docte disserit. Hoc ipso in loco Colb. primus αὐτῆς τῶν. Subinde Colb. tertius προσβαλλομένη.

(7) Antiqui duo libri τοῖς θηραταῖς. Mox Colb. primus τῇ περὶ αὐτήν. Nec ita multo infra Colb. tertius Φοβήθητι καὶ σύ.

spe varie detineret, ac circa se occuparet, fugiendi copiam ac securitatem pullis suis subministravit, ac postremo ipsa quoque simul avolavit. Time ne et tibi similia accidant, qui certa incertorum spe derelinquas. Huc igitur ades dum mihi, teipsum totum ad Dominum transfer; da nomen tuum; Ecclesiæ ascribere. Miles recensetur in catalogo: athleta inscriptus decertat: civis civitate donatus inter tribules annumeratur. Omnibus his obnoxius es, ut miles Christi, ut athleta pietatis, ut cœli municeps. Conscribere in hoc libro, ut in cœlesti transcribaris. Disce, edocearis evangelicam disciplinam, exactam oculorum vigilantiam, linguæ continentiam, corporis servitutem, animi humilitatem, mentis puritatem, iræ exstinctionem. Ad quidpiam si adigeris, superadde[20]: si spoliaris, ne litiga[21]: si haberis odio, dilige[22]: persecutionem si patiaris, sustine[23]; conviciis si afficiaris, obsecra. Fac moriaris peccato[24]: crucifigare cum Christo: dilectionem totam in Dominum transmove. Sed difficilia sunt hæc et gravia. Quid, quæso, rerum bonarum facile est? Quis dormiens tropæum statuit. Quis inter delicias et tibiarum modulos coronis fortitudinis exornatus est? Nemo nisi cucurrerit, sustulit bravium. Gloriam pariunt labores, comparantur coronæ defatigatione. *Per multas tribulationes oportet nos intrare in regnum cœlorum*[25], dico et ego: sed has tribulationes ea quæ in regno cœlorum fruenda est beatitudo excipit, peccati vero labores dolor gehennæ atque tristitia exspectat. Imo etiam si quis diligenter animadvertit, ne ipsa quidem diaboli opera ab iniquitatis operariis sine labore patrantur. Qui sunt castitatis sudores? At sudore madet scortator, absumente illum voluptate. Num continentia tantum demit corpori, quantum exsecrabilis ac rabiosa incontinentia corrumpit? Noctes quidem insomnes peragunt qui pernoctant in precationibus: sed qui invigilant iniquitati, eas longe molestius traducunt. Nam et timor, ne deprehendare, et voluptatum stimulus omnem prorsus requiem fugant. Quod si itineris ad salutem deducentis angustias fugiens, latam amplamque peccati viam persequare; vereor ne latam ad finem usque secutus, consentaneum itineri diversorium reperias. Sed servatu difficilis est thesaurus. Invigila itaque, frater. Habes, si velis, adjutores, precationem ad noctis custodiam, **121** jejunium quod domum custodiat, cantum psalmorum, quo recreetur animus. Hæc tibi socia adjunge. Hæc tecum simul pernoctent ad res pretiosas custodiendas. Quid, dic mihi, nonne melius est ditescentes nos pro supellectilis pretiosæ custodia sollicitudinem pati, quam

A τῆς ἄγρας· ἀλλὰ ταῖς ἐλπίσιν αὐτοὺς ποικίλως παρακατέχουσα, τῇ περὶ ἑαυτὴν ἀσχολίᾳ, τοῖς νεοσσοῖς τὴν ἄδειαν τῆς φυγῆς προεξένησεν, εἶτα τὸ τελευταῖον καὶ αὐτὴ συναπέπτη. Φοβήθητι μὴ καὶ σὺ τὰ παραπλήσια πάθῃς, ἐν ταῖς περὶ τῶν ἀδήλων ἐλπίσι τὰ φανερὰ προϊέμενος. Δεῦρο δὴ οὖν μοι, ὅλον σεαυτὸν μετάθες ἐπὶ τὸν Κύριον· ἐπίδος σεαυτοῦ τὴν ὀνομασίαν· καταγράφηθι μετὰ τῆς Ἐκκλησίας. Ὁ στρατιώτης καταλόγοις ἐναριθμεῖται· ὁ ἀθλητὴς ἐναπογραψάμενος (8) ἀγωνίζεται· ὁ δημότης πολιτογραφηθεὶς τοῖς φυλέταις ἐναριθμεῖται. Πᾶσι τούτοις ὑπεύθυνος εἶ, ὡς στρατιώτης Χριστοῦ, ὡς ἀθλητὴς εὐσεβείας, ὡς τὸ πολίτευμα ἔχων ἐν οὐρανοῖς. Ἀπογράφηθι ἐν ταύτῃ τῇ βίβλῳ, ἵνα μεταγραφῇς εἰς τὴν ἄνω. Μάθε, διδάχθητι εὐαγγελικὴν πολιτείαν, B ὀφθαλμῶν ἀκρίβειαν, γλώσσης ἐγκράτειαν, σώματος δουλαγωγίαν, φρόνημα ταπεινὸν, ἐννοίας καθαρότητα, ὀργῆς ἀφανισμόν. Ἀγγαρευόμενος προστίθει· ἀποστερούμενος μὴ δικάζου· μισούμενος ἀγάπα· διωκόμενος ἀνέχου· βλασφημούμενος παρακάλει. Νεκρώθητι τῇ ἁμαρτίᾳ· συσταυρώθητι τῷ Χριστῷ· ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν Κύριον. Ἀλλὰ χαλεπὰ ταῦτα. Τί δὲ τῶν ἀγαθῶν (9) εὔκολον; Τίς καθεύδων τρόπαιον ἔστησε; Τίς τρυφῶν καὶ καταυλούμενος τοῖς τῆς καρτερίας στεφάνοις κατεκοσμήθη; Οὐδεὶς μὴ δραμὼν ἀνείλετο τὸ βραβεῖον. Πόνοι γεννῶσι δόξαν, κάματοι προξενοῦσι στεφάνους. *Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν* (10), φημὶ κἀγώ· ἀλλὰ ταύτας μὲν τὰς θλίψεις ἡ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν C μακαριότης ἐκδέχεται· τοὺς δὲ τῆς ἁμαρτίας καμάτους τὸ τῆς γεέννης ἐπίπονον καὶ σκυθρωπὸν ἀναμένει. Ἀλλὰ γὰρ ἀκριβῶς σκοποῦντι, οὐδὲ τὰ τοῦ διαβόλου ἔργα τοῖς ἐργάταις τῆς ἀνομίας ἀκμητὶ παραγίνεται. Ποῖοι ἱδρῶτες τῆς σωφροσύνης; Ὁ δὲ πορνεύων καθίδρως ἐστὶ, τῆς ἡδονῆς αὐτὸν ἐκτηκούσης. Τί τοσοῦτον ὑφαιρεῖ (11) τοῦ σώματος ἡ ἐγκράτεια, ὅσον ἡ βδελυρὰ καὶ λυσσώδης ἀκολασία διαφθείρει; Νύκτες δὲ ἄϋπνοι τῶν διανυκτερευόντων ἐν προσευχαῖς· ἀλλὰ πολλῷ χαλεπώτεραι τῶν ἐπαγρυπνούντων ταῖς ἀδικίαις. Ὅ τε γὰρ φόβος τοῦ φωραθήσεσθαι, καὶ ὁ ἐπὶ ταῖς ἡδοναῖς οἶστρος πᾶσαν ἀνάπαυσιν παντελῶς ἀπελαύνει. Εἰ δὲ, φεύγων τὸ στενὸν τῆς ἐπὶ σωτηρίαν φερούσης (12), τὸ εὐρύχωρον διώ- D κεις τῆς ἁμαρτίας, φοβοῦμαι μὴ, μέχρι τέλους τὴν πλατεῖαν ὁδεύσας, ἀκόλουθον εὕρῃς τῇ ὁδῷ τὸ κατάλυμα. Ἀλλὰ δυσφύλακτος ὁ θησαυρός. Καὶ ἐπαγρύπνησον, ἀδελφέ. Ἔχεις συνεργοὺς, ἐὰν θέλῃς, προσευχὴν νυκτοφυλακοῦσαν, νηστείαν οἰκουροῦσαν, ψαλμῳδίαν ψυχαγωγοῦσαν. Ταύτας συμπαράλαβε. Αὗται συναγραυλείτωσάν σοι ἐπὶ τὰς φυλακὰς τῶν

[20] Matth. v, 41. [21] ibid. 40. [22] ibid. 44. [23] I Cor. iv, 12, 13. [24] Rom. vi, 2. [25] Act. xiv, 21.

(8) In duobus codicibus scriptum reperi ἀπογραψάμενος.

(9) Editi τῶν ἐν κόσμῳ ἀγαθῶν. Illud, ἐν κόσμῳ, in nostris sex mss. non legitur, ob idque has duas voces delevimus. Nec ita multo post Reg. primus ἀνεῖλε τό.

(10) Illud, τῶν οὐρανῶν, ex duobus Colbertinis sumptum est, et huic editioni additum.

(11) Reg. primus ἀφαιρεῖ.

(12) Idem codex σωτηρίαν ἀγούσης. Rursus idem codex et alter φοβοῦ: sed in ora Regii primi scriptum fuit γρ. φοβοῦμαι. Subinde Colb. primus τῆς ὁδοῦ.

τιμίων. Τί βέλτιον, εἰπέ μοι, πλουτοῦντας ἡμᾶς ὑπὲρ τῆς φυλακῆς τῶν τιμίων ἀγωνιᾷν, ἢ μηδὲ ἔχειν τὴν ἀρχὴν ὃ φυλάξωμεν; Οὐδεὶς φόβῳ τῶν στερήσεων τὰ ἀγαθὰ ἀπωθεῖται. Οὕτω γὰρ ἂν οὐδὲν τῶν ἀνθρωπίνων συνέστη, εἰ ἐφ' ἑκάστῳ τῶν σπουδαζομένων τὰς ἀποτυχίας ἐλογιζόμεθα. Παράκειται γὰρ τῇ γεωργίᾳ μὲν ἡ ἀφορία, ταῖς ἐμπορίαις δὲ τὰ ναυάγια, τοῖς γάμοις αἱ χηρεῖαι, ταῖς παιδοτροφίαις αἱ ἀτεκνώσεις. Ἀλλ' ὅμως ἐγχειροῦμεν τοῖς ἔργοις, ταῖς χρηστοτέραις ἐλπίσιν ἐπερειδόμενοι· τὴν δὲ τῶν ἐλπισθέντων ἔκβασιν ἀνατιθέντες τῷ τὰ ἡμέτερα οἰκονομοῦντι Θεῷ. Σὺ δὲ λόγῳ μὲν ἀποσεμνύνεις τὸν ἁγιασμόν· ἔργῳ δὲ (13) τοῖς κατεγνωσμένοις ἐνδιατρίβεις. Ὅρα μή ποτέ σοι μεταμελήσῃ τῶν κακῶν βουλευμάτων, ὅτε ὄφελός σοι τῆς μεταμελείας οὐδέν. Σωφρονισάτω σε τὸ τῶν παρθένων ὑπόδειγμα. Ἐκεῖναι τὸ ἔλαιον ἐν τοῖς ἀγγείοις μὴ ἔχουσαι, ὅτε συνεισελθεῖν αὐτὰς ἐχρῆν τῷ νυμφίῳ, τότε ἐνδεῶς ἔχουσαι τῶν ἀναγκαίων ᾐσθάνοντο. Διὸ καὶ μωρὰς αὐτὰς ὁ λόγος ἀπεκάλεσεν, ὅτι, τὸν καιρὸν τῆς τοῦ ἐλαίου χρήσεως εἰς τὸ περιιέναι καὶ συμπορίζειν παραναλώσασαι, ἔλαθον ἑαυτὰς ἀποκλείσασαι τῆς φαιδρότητος τοῦ νυμφῶνος. Μήποτε καὶ σὺ, ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ, καὶ μῆνας ἐκ μηνῶν, καὶ ἡμέραν ἐξ ἡμέρας ὑπερτιθέμενος, καὶ μὴ λαμβάνων τὸ ἔλαιον τὴν τροφὴν τοῦ φωτὸς, ἐμπέσῃς ποτὲ εἰς ἣν οὐ προσδοκᾷς ἡμέραν, ἡνίκα ἂν ἐπιλείπωσί (14) σε λοιπὸν αἱ τοῦ ζῇν ἀφορμαί· ἀπορία δὲ ᾖ πάντοθεν καὶ θλῖψις ἀπαραμύθητος, ἀπειρηκότων μὲν ἰατρῶν, ἀπειρηκότων δὲ τῶν οἰκείων· ὅτε πυκνῷ ἄσθματι καὶ ξηρῷ συνεχόμενος, πυρετοῦ λάβρου διακαίοντος τὰ ἔνδον καὶ ὑποσμύχοντος, στενάξεις μὲν ἀπὸ μέσης καρδίας, τὸν δὲ συλλυπούμενον οὐχ εὑρήσεις. Καὶ φθέγξῃ μέν τι λεπτὸν καὶ ἀδρανὲς, ὁ δὲ ἀκούων οὐκ ἔσται (15)· πᾶν δὲ τὸ λαλούμενον παρὰ σοῦ ὡς παραφροσύνη καταφρονεῖται. Τίς δώσει τὸ βάπτισμα τότε; Τίς ὑπομνήσει κεκαρωμένον τῷ πάθει; Οἱ προσήκοντες ἀθυμοῦσιν, οἱ ἔξω τοῦ πάθους καταφρονοῦσιν, ὁ φίλος ὀκνεῖ τὴν ὑπόμνησιν ὡς ταραχὴν ἐμποιοῦσαν, ἢ που καὶ ἰατρὸς ἐξαπατᾷ, καὶ σεαυτὸν οὐκ ἀπογινώσκεις διὰ τὸ φύσει φιλόζωον. Νὺξ καὶ ἐρημία τῶν βοηθούντων· ὁ βαπτίζων (16) οὐ πάρεστιν. Ὁ θάνατος παρέστηκεν· οἱ ἀπάγοντες κατεπείγουσι. Τίς ὁ ἐξαιρούμενος; Θεὸς, ὁ καταφρονηθείς; Ἀλλ' εἰσακούσεται τότε· σὺ γὰρ αὐτοῦ νῦν εἰσακούεις (17). Προθεσμίαν δώσει; Καλῶς γὰρ ἐχρήσω τῇ δεδομένῃ.

8. *Μηδείς σε ἐξαπατάτω κενοῖς λόγοις*. Ἐπιστήσεται γάρ σοι αἰφνίδιος ὄλεθρος, καὶ ἡ καταστροφὴ ὁμοίως καταιγίδι παρέσται. Ἥξει ἄγγελος κατηφὴς, ἀπ-

A ne habere quidem initio quidquam quod custodiamus? Nemo spoliationis metu repudiat bona. Ita enim nihil rerum humanarum consisteret, si in singulis quorum studio tenemur, adversos casus attenderemus. Nam sterilitas agriculturam, naufragia mercaturam, nuptias viduitas, liberorum educationem orbitas comitatur. Attamen aggredimur opera ipsa, meliori spe innixi: rerum vero exitum Deo nostra moderanti committimus. Tute verbis quidem sanctimoniam magni facis: re vero ipsa in deploratorum perditorumque numero versaris. Vide ne quando te pœniteat malorum consiliorum, cum ex pœnitentia nihil capies utilitatis. Prudentem te reddat virginum exemplum[26]. Illæ oleum in vasis non habentes, cum ingredi illas una cum sponso oporteret, B tum necessariis rebus destitui se animadverterunt. Quapropter Scriptura fatuas etiam eas vocat, quod id tempus quo utendum oleo erat, in circumeundo et comparando insumentes, imprudenter et incaute a thalami gaudio semetipsas excluserunt. Vide ne tu quoque annum de anno, menses de mensibus, diem de die differens, nec oleum luminis alimentum assumens, in diem inexspectatam aliquando incidas, cum jam deficiet te vivendi facultas, eritque undique angustia, et afflictio cujuscunque levamenti expers, desperantibus medicis, desperantibus et propinquis, cum crebro et sicco anhelitu pressus; vehementi febre internas partes inflammante atque succendente; ingemisces quidem pectore imo, sed C qui condoleat reperies neminem. Ac loquere quidem tenue aliquid et remissum: sed non erit qui audiat; quidquid autem proferes, velut deliramentum contemnetur. Quis tum conferet baptisma? Quis monebit te, sopore alto et gravi ex morbo correptum? Mœrent propinqui, morbum alieni contemnunt: monita quasi perturbationem afferentia negligit amicus, aut forte etiam medicus decipit, nec de teipso desperas ob naturalem vitæ amorem. Nox est, nec sunt auxiliarii ulli: non adest qui baptizet. Astat mors, urgent qui abducant. Ecquis te eripiet? Deus, qui contemptus est? Te scilicet tum exaudiet, tu enim eum nunc audis. Tempus præfinitum prorogabit? Scilicet dato tempore probe usus es.

D 8. *Nemo te seducat inanibus verbis*[27]. Nam repentinus tibi imminebit interitus[28], et exitium procellæ simile aderit. Veniet angelus tristis, abducens

[26] Matth. xxv, 1. sqq. [27] Ephes. v, 6. [28] I Thess. v, 3

(13) Illud, ἔργῳ δέ, etc., ita accipi debet: *sed re pro damnato es ac pro reo. Es in deploratis.* Volaterranus sic verterat: *Opere vero cum profanis ac deploratis commercium habes.*

(14) Veteres quinque libri ἐπιλείπωσι. Editi ἐπιλίπωσι. Aliquanto post Colb. primus τὰ ἔνδοθεν.

(15) In duobus Colbertinis pro ἔσται legitur ἐστί. Mox unus ms. ὡς παραφροσύνη καταφανεῖται, *ut deliramentum apparebit*, lectio non mala. Editi et alii duo mss. καταφρονεῖται, *contemnitur*.

(16) Colb. primus εἰ ὁ βαπτίζων. Alii duo mss. ἢ ὁ βαπτίζων. Utraque vocula εἰ et ἢ deest in vulgatis et in Reg. primo. Ibidem Colb. tertius θάνατος πάρεστιν.

(17) Codices Combefisiani ἀκούεις. Alii tres mss. et editi εἰσακούεις. Colb. tertius ἀλλ' οὐκ εἰσακούσεται τότε, οὐ γὰρ αὐτοῦ νῦν εἰσακούεις, *sed non exaudiet tunc, non enim illum nunc audis.* Sed mihi non dubium est quin vocula οὐ addita sit ab aliquo, qui cum non animadverteret hæc dici per ironiam, negantem particulam necessariam duxit. Hoc ipso in loco Colb. primus προθεσμίαν δέ.

violenter, trahensque animam tuam peccatis vinctam, crebro se ad quælibet præsentia obvertentem, ac sine voce gementem, occluso jam gemituum ac lamentorum organo. O quam dilaniabis te ipse! quantum ingemisces! Sed te **122** tuorum consiliorum frustra pœnitebit, cum videbis hinc hilaritatem justorum de egregia donorum distributione lætantium, illinc mœrorem peccatorum qui in altissimis tenebris jacebunt. Quæ tunc dicturus es in dolore cordis tui? Hei mihi, hoc grave peccati onus, cum id exuere ita facile esset, non abjeci! sed horum malorum acervum traxi. Hei mihi, maculas ac sordes non ablui! sed sum peccatis commaculatus. Nunc essem cum angelis: nunc cœlestium bonorum deliciis fruerer. O prava consilia! ob temporariam peccati delectationem æternum excrucior: ob carnis voluptatem igni trador. Justum est judicium Dei: vocabar, et non obediebam: docebar, et animum non attendebam: obtestabantur me, et ego deridebam. Hæc et alia ejusdem generis proferes, deflens temetipsum, si hinc ante baptisma abripiaris. O homo, aut gehennam metue, aut enitere ut regnum adipiscare. Vocationem ne sperne. Cave dixeris: *Habe me excusatum* [29], ob hanc et illam rationem. Causa nulla excusare potest. Mihi quidem subit lacrymari, cum hoc mecum reputo, quod turpitudinis opera ingenti Dei gloriæ præfers, quodque peccato firmissime inhærens ob libidinis delectationem a promissis bonis te ipse excludis, sic ut tibi cœlestis illius Jerusalem bona videre [30] non liceat. Illic innumera angelorum multitudo, primogenitorum cœtus, apostolorum throni, prophetarum sedes, patriarcharum sceptra, martyrum coronæ, justorum laudes. Exopta ut cum his numereris, posteaquam Christi dono ablutus fueris et sanctificatus. Ipsi gloria et imperium in sæcula sæculorum. Amen.

A ἄγων βιαίως καὶ σύρων (18) σου τὴν ψυχὴν δεδεμένην ταῖς ἁμαρτίαις, πυκνὰ μεταστρεφομένην πρὸς τὰ ὧδε, καὶ ὀδυρομένην ἄνευ φωνῆς, τοῦ ὀργάνου λοιπὸν τῶν θρήνων ἀποκλεισθέντος. Ὦ πόσα σπαράξεις σεαυτόν! πόσα στενάξεις! ἄπρακτα μετανοῶν ἐπὶ τοῖς βουλευθεῖσιν, ὅταν ἴδῃς τὴν φαιδρότητα τῶν δικαίων ἐν τῇ λαμπρᾷ διανομῇ τῶν δώρων, καὶ τὴν κατήφειαν τῶν ἁμαρτωλῶν ἐν τῷ σκότει τῷ βαθυτάτῳ. Οἷα ἐρεῖς ἐν τῇ ὀδύνῃ τῆς καρδίας σου τότε; Αἲ μὲ, μὴ ἀποῤῥίψαι τὸ βαρὺ τοῦτο φορτίον τῆς ἁμαρτίας, οὕτω ῥᾳδίας οὔσης τῆς ἀποθέσεως, ἀλλὰ τὸν σωρὸν τῶν κακῶν τούτων ἐφέλκεσθαι. Αἲ μὲ, τὰς κηλῖδας μὴ ἀποπλύνασθαι, ἀλλὰ ἐστιγμένον εἶναι ταῖς ἁμαρτίαις. Νῦν ἂν ἤμην μετὰ τῶν ἀγγέλων· νῦν ἂν τοῖς οὐρανίοις ἀγαθοῖς ἐνετρύφων. Ὦ τῶν B πονηρῶν βουλευμάτων! διὰ πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν ἀθάνατα βασανίζομαι· δι' ἡδονὴν σαρκὸς τῷ πυρὶ παραδίδομαι. Δίκαια ἡ κρίσις τοῦ Θεοῦ· ἐκαλούμην, καὶ οὐχ ὑπήκουον· ἐδιδασκόμην, καὶ οὐ προσεῖχον· διεμαρτύραντό μοι, ἐγὼ δὲ κατεγέλων. Ταῦτα καὶ τὰ τοιαῦτα ἐρεῖς, ἀποκλαιόμενος σεαυτὸν, ἐὰν προαναρπασθῇς τοῦ βαπτίσματος. Ἄνθρωπε, ἢ τὴν γέενναν φοβήθητι, ἢ τῆς βασιλείας ἀντιποιήθητι. Μὴ ἀτιμάσῃς τὴν κλῆσιν. Μὴ εἴπῃς, *Ἔχε με παρῃτημένον* διὰ τὸ καὶ τό. Οὐδεμία πρόφασις ἱκανὴ πρὸς παραίτησιν. Ἐμοὶ δακρύειν ἐπέρχεται, ὅταν ἐνθυμηθῶ, ὅτι τὰ ἔργα τῆς αἰσχύνης προτιμᾷς τῆς μεγάλης δόξης τοῦ Θεοῦ, καὶ διὰ τὸ τῆς ἀκολασίας ἡδὺ δυσαποσπάστως ἔχων τῆς ἁμαρτίας, τῶν ἐν C ἐπαγγελίαις ἀγαθῶν σεαυτὸν ἀποκλείεις, ὡς μὴ ἰδεῖν τὰ ἀγαθὰ τῆς Ἱερουσαλὴμ τῆς ἐπουρανίου. Ἐκεῖ ἀγγέλων μυριάδες, πρωτοτόκων πανηγύρεις, ἀποστόλων θρόνοι, προφητῶν προεδρίαι, σκῆπτρα πατριαρχῶν, μαρτύρων στέφανοι, δικαίων ἔπαινοι. Ἐκείνοις σεαυτὸν ἐπιθύμησον συναριθμηθῆναι (19), ἀπολουσάμενος καὶ ἁγιασθεὶς κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA XIV.

In ebriosos.

1. Movent quidem me ad dicendum vespertina spectacula: sed ex altera parte impetum meum cohibet, alacritatemque retundit priorum laborum inutilitas. Nam et agricola si priora semina enata non sint, ad aliud semen in iisdem arvis rursus spargendum segnior est et tardior. Etenim si ex tot exhortationibus, in quibus tum præterito tempore vos indesinenter adhortati sumus, tum postea per has septem jejuniorum hebdomadas nocte ac die evangelium gratiæ Dei sine ulla intermissione

ΟΜΙΛΙΑ ΙΔ'.

Κατὰ μεθυόντων.

1. Κινεῖ μέν με πρὸς τὸν λόγον τὰ ἑσπερινὰ θεά- D ματα· κατέχει δέ μου πάλιν τὴν ὁρμὴν, καὶ ἀπαμβλύνει τὴν προθυμίαν τῶν προλαβόντων πόνων τὸ ἄκαρπον. Ἐπεὶ καὶ γεωργὸς, τῶν πρώτων αὐτῷ σπερμάτων μὴ ἐκφυέντων, ὀκνηρότερός ἐστι πρὸς τὸ δεύτερον ταῖς αὐταῖς ἀρούραις πάλιν ἐγκαταβάλλειν (20). Εἰ γὰρ ἐπὶ τοσαύταις παραινέσεσιν, ἃς ἔν τε τῷ προλαβόντι χρόνῳ παρακαλοῦντες ὑμᾶς οὐ διελίπομεν, καὶ ἐφεξῆς τῶν ἑπτὰ τούτων τῆς νηστείας ἑβδομάδων νυκτὸς καὶ ἡμέρας διαμαρτυρό-

[29] Luc. xiv, 18. [30] Psal. cxxvii, 5.

(18) Editi κατασύρων. At mss. καὶ σύρων. Haud longe duo mss. Colbertini ὦ πόσα στενάξεις. Vocula ὦ neque in aliis mss. neque in editis reperitur. Reg. primus πόσα δὲ στενάξεις.

(19) Colb. tertius ἐναριθμηθῆναι. Statim Colb. primus Χριστοῦ, ᾧ ἡ δόξα.

(20) Antiqui duo libri ἐγκαταβαλεῖν.

μενοι ὑμῖν (21) τὸ Εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ οὐκ ἐπαυσάμεθα, οὐδὲν γέγονεν ὄφελος· ἐπὶ ποίαις ἐλπίσι διαλεχθῶμεν σήμερον; Ὢ πόσας νύκτας εἰκῆ ἠγρυπνήσατε! πόσας ἡμέρας εἰκῆ συνηθροίσθητε! εἴ γε καὶ εἰκῆ. Ὁ γὰρ ἐν προκοπῇ γενόμενος ἀγαθῶν ἔργων, εἶτα παλινδρομήσας πρὸς τὴν ἀρχαίαν συνήθειαν, οὐ μόνον τὸν ἐπὶ τοῖς πεπονημένοις (22) μισθὸν ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως· ὅτι, γευσάμενος καλὸν Θεοῦ ῥῆμα, καὶ γνώσεως μυστηρίων ἀξιωθεὶς, πάντα προέδωκεν (23), ἡδονῇ βραχείᾳ δελεασθείς. *Ὁ μὲν γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους· δυνατοὶ δὲ*, φησὶ, *δυνατῶς ἐτασθήσονται.* Μία ἑσπέρα, καὶ μία προσβολὴ (24) τοῦ ἐχθροῦ πάντα τὸν πόνον ἐκεῖνον διέλυσε καὶ ἠφάνισε. Ποία οὖν προθυμία τοῦ νῦν λόγου; Ὥστε κἂν ἐσιώπησα, εὖ ἴστε, εἰ μὴ ἐφοβούμην τὸ ὑπόδειγμα τοῦ Ἱερεμίου, ὃς, πρὸς ἀπειθῆ λαὸν φθέγγεσθαι μὴ βουλόμενος, ἔπαθεν ἐκεῖνα ἅπερ αὐτὸς διηγήσατο· ὅτι ἐγένετο αὐτῷ πῦρ ἐν τοῖς ἐγκάτοις, καὶ παρεῖτο πάντοθεν, καὶ οὐκ ἠδύνατο φέρειν. Γυναῖκες ἀκόλαστοι, ἐπιλαθόμεναι τοῦ φόβου τοῦ Θεοῦ, τοῦ πυρὸς τοῦ αἰωνίου καταφρονήσασαι, ἐν ἡμέρᾳ τοιαύτῃ, ὅτε αὐτὰς ἐχρῆν διὰ τὴν ἀνάμνησιν τῆς ἀναστάσεως καθῆσθαι ἐν τοῖς οἴκοις, καὶ ἔννοιαν λαμβάνειν τῆς ἡμέρας ἐκείνης, καθ' ἣν ἀνοιγήσονται μὲν οἱ οὐρανοὶ, ἐπιφανήσεται δὲ ἡμῖν ὁ κριτὴς ἐξ οὐρανῶν, καὶ σάλπιγγες Θεοῦ, καὶ ἀνάστασις νεκρῶν, καὶ κρίσις δικαία, καὶ ἀντίδοσις (25) ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ· ἀντὶ τοῦ ταῦτα ἔχειν ἐν τοῖς διαλογισμοῖς, καὶ καθαίρειν μὲν ἑαυτῶν τὰς καρδίας ἀπὸ πονηρῶν ἐνθυμήσεων, ἐξαλείφειν δὲ τοῖς δάκρυσι τὰ προημαρτημένα, ἑτοιμάζεσθαι δὲ πρὸς τὴν ἀπάντησιν τοῦ Χριστοῦ κατὰ τὴν μεγάλην ἡμέραν τῆς ἐπιφανείας αὐτοῦ, ἀποσεισάμεναι τὸν ζυγὸν τῆς δουλείας τοῦ Χριστοῦ, ῥίψασαι ἀπὸ τῶν κεφαλῶν τὰ τῆς εὐσχημοσύνης καλύμματα, καταφρονήσασαι τοῦ Θεοῦ, καταφρονήσασαι τῶν ἀγγέλων αὐτοῦ, καταναισχυντήσασαι πάσης ἄρρενος ὄψεως, σοβοῦσαι τὰς κόμας, σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, ὀφθαλμῷ ἀσελγεῖ, γέλωτι ἐκκεχυμένῳ (26) πρὸς ὄρχησιν ἐκμανεῖσαι, πᾶσαν νέων ἀκολασίαν ἐφ' ἑαυτὰς προσκαλούμεναι, ἐν τοῖς πρὸ (27) τῆς πόλεως μαρτυρίοις χοροὺς συστησάμεναι, ἐργαστήριον τῆς οἰκείας αὐτῶν ἀσχημοσύνης τοὺς ἡγιασμένους τόπους πεποίηνται. Ἐμίαναν μὲν τὸν ἀέρα τοῖς ᾄσμασι τοῖς πορνικοῖς, ἐμίαναν δὲ τὴν γῆν τοῖς ἀκαθάρτοις

A vobis denuntiavimus, fructus nullus nullaque utilitas emersit; qua spe sermonem hodie habebimus? O quot noctes frustra vigilastis! quot dies frustra convenistis! si tamen frustra. Nam qui in bonis operibus progressum fecit, deinde vero ad consuetudinem antiquam revertitur, non insumptorum modo laborum mercedem amittit, sed fit etiam pœnæ graviori obnoxius; quod cum Dei verbum bonum degustaverit, mysteriorumque cognitione dignatus sit, perdidit omnia, brevi voluptate inescatus. *Nam minimus quidem venia* **123** *ac misericordia dignus est: potentes vero*, inquit, *potenter torquebuntur* [31]. Vespera una, et unus inimici assultus omnem illum laborem dissolvit et evertit. Quæ ergo mihi alacritas nunc ad dicendum? Quare B etiam tacuissem, mihi credite, nisi Jeremiæ timuissem exemplum: qui cum ad populum contumacem verba facere nollet, passus est quæ ipse recenset: quod factus est ignis in ejus visceribus, ac undique dissolvebatur, nec ferre poterat [32]. Mulieres lascivæ, timoris Dei oblitæ, æternum ignem aspernatæ, in illa ipsa die cum ob resurrectionis memoriam oportuerat eas in domibus sedere, ac recordari diei illius, in qua aperientur cœli, et apparebit nobis judex e cœlis, et tubæ Dei, et resurrectio mortuorum, et judicium justum, et redditio unicuique juxta opus suum; cum de his cogitare debuissent, suaque corda a pravis cogitationibus purgare, et priora peccata lacrymis delere, atque ad Christi occursum pro magno illo die apparitio- C nis ejus sese præparare, servitutis Christi excusso jugo, velamentis honestatis a capite rejectis, contempto Deo, spretis ipsius angelis, virilem omnem aspectum citra pudorem ferentes, comas agitantes, trahentes tunicas, ac pedibus simul ludentes, lascivienti oculo, effuso risu, ad saltandum quasi quodam furore concitæ [33], omnem juvenum libidinem in seipsas provocantes, in martyrum basilicis pro mœnibus civitatis choros constituentes, loca sancta officinam obscenitatis suæ effecere. Cantilenis meretriciis ut aerem conspurcarunt, ita terram tripudiis pulsatam pedibus immundis fœdarunt; spectaculum sibi ipsis juvenum turbam undique statuentes, plane inverecundæ, prorsusque insipientes, nullum insaniæ modum omittentes. Hæc D quomodo tacebo? quomodo, ut par est, lugebo? Vinum nobis harum animarum damnum intulit.

[31] Sap. VI, 7. [32] Jerem. XX, 9. [33] Isa. III, 16.

(21) Editio Paris. διαμαρτυρόμενοι ἡμῖν. Libri veteres ὑμῖν.

(22) Colb. tertius προπεπονημένοις. Alii mss. et editi πεπονημένοις.

(23) Illud, πάντα προέδωκεν, ita, si mavis, verte: *omnia prodidit.*

(24) Colb. tertius μία προβολή.

(25) Unus codex Reg. καὶ ἀνταπόδοσις, sic tamen, ut in ora libri scriptum sit γρ. καὶ ἀντίδοσις.

(26) Colb. tertius ἐγκεχυμένῳ. Hunc Basilii locum sic expressit Ambrosius lib. *De Elia et jejunio*, cap. 18, num. 66 et 67: *Illæ in plateis inverecundas etiam viris sub conspectu adolescentulorum intemperantium choros ducunt, jactantes comam, trahentes tunicas.... saltantes pedibus, personantes vocibus, irritantes in se juvenum libidines motu histrionico, petulanti oculo, dedecoroso ludibrio. Spectat corona adolescentum, et fit miserabile theatrum.... cœlum impuro contaminatur aspectu, terra turpi saltatione polluitur, quæ obscenis saltatibus verberatur. Quomodo patienter loquar, pie prætereant, convenienter defleam? Vinum nobis tantarum animarum damna intulit.*

(27) Lege Ducæum in illud, ἐν τοῖς πρό, etc.

Vinum, Dei donum ad infirmitatis levamen sobriis datum, nunc lasciviæ factum est instrumentum intemperantibus.

A ποσιν, ἣν ἐν ταῖς ὀρχήσεσι κατεκρότησαν, θέ...ρον ἑαυταῖς νεανίσκων ὄχλον περιστησάμεναι, σοβάδες ὄντως καὶ παράφοροι παντελῶς (28), μανίας οὐδεμίαν ὑπερβολὴν ἀπολείπουσαι. Ταῦτα πῶς μὲν σιωπήσω; πῶς δὲ κατ' ἀξίαν ὀδύρωμαι; Οἶνος ἡμῖν τῶν ψυχῶν τούτων τὴν ζημίαν ἐποίησεν· οἶνος, τὸ παρὰ Θεοῦ δῶρον εἰς παραμυθίαν τῆς ἀσθενείας δεδομένον τοῖς σωφρονοῦσιν· ὅπλον δὲ νῦν γενόμενον ἀκολασίας τοῖς ἀσελγαίνουσιν.

2. Ebrietas, voluntarius ille dæmon, per voluptatem in animas insiliens, ebrietas, nequitiæ parens, resque virtuti inimica, fortem virum ignavum reddit: pudicum impudicum; justitiam non novit, tollit prudentiam. Quemadmodum enim aqua ignis est adversa: sic immodicum vinum rationem exstinguit. Quapropter pigrabar quidquam contra ebrietatem dicere, non quod malum quoddam sit exiguum, aut contemnendum, sed quod sermo noster nihil esset profuturus. Etenim si ebrius desipit, et vertigine laborat; frustra loquitur qui increpat non audientem. Quos igitur alloquemur? siquidem qui
124 admonitione indiget, ea quæ dicuntur, non auscultat: temperanti vero et sobrio opus non est sermonis auxilio, cum ab hoc vitio purus sit et immunis. Quid igitur capiam consilii in præsenti rerum statu, si et sermo inutilis sit, nec silentium tutum? Negligemus curationem? Sed periculosa est negligentia. Dicamne contra ebrios? Sed in emortuas aures insonabimus. Fortassis igitur sicut in pestilentibus morbis corporum curatores eos quidem qui sani sunt, remediis quibusdam morbum prævenientibus communiunt; iis vero qui morbo jam correpti sunt, manus non adhibent: sic etiam nobis media ex parte utilis est sermo, qui impertiturus sit tutelam et antidotum sanis et integris, non liberationem aut medelam ægrotantibus.

2. Μέθη, ὁ αὐθαίρετος δαίμων, ἐξ ἡδονῆς ταῖς ψυχαῖς ἐμβαλλόμενος, μέθη, κακίας μήτηρ, ἀρετῆς ἐναντίωσις, τὸν ἀνδρεῖον δειλὸν ἀποδείκνυσι, τὸν σώφρονα ἀσελγῆ· δικαιοσύνην οὐκ οἶδε, φρόνησιν ἀναιρεῖ. Ὥσπερ γὰρ ὕδωρ πολέμιόν ἐστι πυρὶ, οὕτως ἀμετρία οἴνου λογισμὸν κατασβέννυσι (29). Διόπερ ὤκνουν τι λέγειν κατὰ μέθης, οὐχ ὡς περὶ μικροῦ τινος κακοῦ ἢ παροφθῆναι ἀξίου, ἀλλ' ὡς οὐδὲν ὄφελος παρεχομένου τοῦ λόγου. Εἰ γὰρ ὁ μεθύων
B παραφρονεῖ καὶ ἐσκότωται, εἰκῇ ῥαψῳδεῖ ὁ ἐπιπλήττων τῷ μὴ ἀκούοντι. Τίσιν οὖν διαλεχθῶμεν; εἴπερ ὁ μὲν χρῄζων τῆς παραινέσεως οὐκ ἀκούει τῶν λεγομένων· ὁ δὲ σωφρονῶν καὶ νήφων οὐ δεῖται (30) τῆς ἐκ τοῦ λόγου βοηθείας, καθαρεύων τοῦ πάθους. Τί οὖν χρήσομαι τοῖς παροῦσιν, εἰ καὶ ὁ λόγος ἄχρηστος, καὶ ἡ σιωπὴ ἄπορος; Παρίδωμεν τὴν ἐπιμέλειαν; Ἀλλ' ἐπικίνδυνος ἡ ἀμέλεια. Ἀλλὰ φθέγξομαί τι κατὰ τῶν μεθυόντων; Ἀλλ' εἰς νεκρὰς ἀκοὰς ἐνηχοῦμεν. Μήποτε οὖν, ὡς ἐπὶ τῶν λοιμικῶν νοσημάτων οἱ τῶν σωμάτων θεραπευταὶ τοὺς μὲν ὑγιαίνοντας τοῖς προφυλακτικοῖς βοηθήμασιν ἀσφαλίζονται, τοῖς δὲ κεκρατημένοις ὑπὸ τοῦ πάθους οὐκ ἐγχειροῦσιν· οὕτω καὶ ὑμῖν ἐξ ἡμισείας ἔχει (31) ὁ
C λόγος τὸ χρήσιμον· φυλακὴν ὑποδεικνὺς τοῖς ἀπαθέσιν, οὐκ ἀπαλλαγὴν καὶ ἴασιν τοῖς ὑπὸ τοῦ πάθους κεκρατημένοις.

3. Quid differs, o homo, a brutis animantibus? Nonne rationis dono, qua a tuo conditore accepta, creaturæ cujuslibet princeps effectus es et dominus? Quisquis igitur se ipse intelligentia ac cognitione privat per ebrietatem, *Comparatus est jumentis insipientibus, et similis factus est illis* [24]. Imo etiam dixerim ego temulentos rationis magis esse expertes quam ipsa pecora: siquidem quadrupedia omnia et bestiæ, certos ac constantes ad coitum motus impetusque habent: quorum vero animum temulentia occupat, et quorum corpus calor præter naturam accedens implet, hi omni tempore et omni hora ad impuros turpesque complexus concitantur, atque ad voluptates. Nec hoc modo

3. Τίνι διενήνοχας τῶν ἀλόγων, ὦ ἄνθρωπε; Οὐ τῇ δωρεᾷ τοῦ λόγου, ἣν λαβὼν παρὰ τοῦ κτίσαντός σε, ἄρχων καὶ κύριος ἐγένου πάσης τῆς κτίσεως; Ὁ τοίνυν ἀφελόμενος ἑαυτοῦ τὴν φρόνησιν διὰ τῆς μέθης, *Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς*. Μᾶλλον δὲ καὶ τῶν βοσκημάτων φαίην ἂν ἔγωγε ἀλογωτέρους εἶναι τοὺς ἐν τῇ μέθῃ· εἴπερ τὰ μὲν τετράποδα πάντα καὶ τὰ θηρία τεταγμένας ἔχει τὰς πρὸς τὴν μίξιν ὁρμὰς, οἱ δὲ ὑπὸ τῆς μέθης τὴν ψυχὴν κατεχόμενοι, καὶ τὸ σῶμα τῆς παρὰ φύσιν θερμότητος ἀναπλήσαντες (32),
D πάντα καιρὸν καὶ πᾶσαν ὥραν πρὸς τὰς ἀκαθάρτους καὶ ἀσχήμονας συμπλοκὰς καὶ ἡδονὰς συνελαύνονται. Καὶ οὐ τοῦτο μόνον τὴν ἀλογίαν αὐτοῖς ἐμποιεῖ,

[24] Psal. XLVIII, 13.

(28) Colb. primus pro παντελῶς habet ἀληθῶς, *vere*.

(29) Colb. tertius λογισμὸν κατασβέννυσι σώφρονα, *prudentem cogitationem exstinguit*.

(30) Colbertini duo mss. οὐδὲν δεῖται.

(31) Editi ἔχῃ. Veteres sex libri ἔχει. Aliquanto post Colb. primus πάθους κρατουμένοις.

(32) Unus ms. pro ἀναπλήσαντες habet ἀναπληρώσαντες. Et inde quoque Ambrosius sumpsit multa, quæ reperias capite 16. Sic enim loquitur: *Hæc (ebrietas) sensus hominum mutat et formas, per hanc fiunt ex hominibus equi adhinnientes. Siquidem naturali vapore corporis calidi et præter naturam vini calore flammati, cohibere se non queunt, et in bestiales libidines excitantur, ut nullum tempus præscriptum habeant, quo deceat indulgere concubitui.... Umbras sæpe transiliunt sicut foveas, nutat his cum facie terra, subito erigi et inclinari videtur.... concurrentibus montibus sibi videntur includi. Murmur in auribus tanquam maris fluctuantis fragor.... Vigilantes somniant, dormientes litigant. Vita his somnium est.* Illud, quod mox sequitur, καὶ ἡδονάς, ex duobus mss. Colbertinis addidimus.

ἀλλὰ καὶ ἡ τῶν αἰσθήσεων παρατροπὴ χείρονα παντὸς κτήνους ἀποδείκνυσι τὸν μεθύοντα. Ποῖον γὰρ βόσκημα οὕτω παραβλέπει καὶ οὕτω παρακούει ὡς ὁ μεθύων; Οὐκ ἀγνοοῦσι μὲν τοὺς οἰκειοτάτους, προστρέχουσι δὲ πολλάκις τοῖς ἀλλοτρίοις ὡς τοῖς συνήθεσιν; Οὐ τὰς σκιὰς διαπηδῶσι πολλάκις ὡς ὀχετοὺς ἢ φάραγγας; Ἦχων δὲ αὐτοῖς (33) καὶ ψόφων, οἱονεὶ θαλάσσης κυμαινούσης, τὰ ὦτα πεπλήρωται· ἡ δὲ γῆ πρὸς τὸ ὄρθιον διανίστασθαι δοκεῖ, καὶ τὰ ὄρη περιτρέχειν ἐν κύκλῳ. Οὗτοι ποτὲ μὲν γελῶσιν ἄπαυστα, ποτὲ δὲ ὀδυνῶνται καὶ κλαίουσιν ἀπαρηγόρητα. Καὶ νῦν μὲν θρασεῖς εἰσι καὶ ἀπτόητοι, νῦν δὲ κατάφοβοι καὶ δειλοί. Τούτοις ὕπνοι μὲν βαρεῖς καὶ δυσανάφοροι καὶ πνιγώδεις, καὶ τῷ ὄντι θανάτου γείτονες, αἱ δὲ γρηγορήσεις (34) τῶν ὕπνων ἀναισθητότεραι. Ἐνύπνιον γὰρ αὐτοῖς ἐστιν ὁ βίος, οἵ γε, ἱμάτιον οὐκ ἔχοντες, οὐδὲ τί φάγωσιν εἰς τὴν αὔριον, βασιλεύουσι καὶ στρατοπέδων ἄρχουσιν ἐν τῇ μέθῃ, καὶ πόλεις οἰκοδομοῦσι, καὶ χρήματα διανέμουσι. Τοιούτων φαντασιῶν καὶ ἀπάτης τοσαύτης περιζέων ὁ οἶνος τὰς καρδίας αὐτῶν πληροῖ. Ἕτεροι δὲ εἰς τὰ ἐναντία περιάγονται πάθη. Δυσέλπιδές εἰσι, καὶ κατηφεῖς, καὶ ὀδυνηροὶ, καὶ δακρυώδεις, καὶ ψοφοδεεῖς, καὶ εὐπτόητοι. Ὁ αὐτὸς οἶνος ἐν διαφόροις σωμάτων ἕξεσι διάφορα τὰ πάθη ταῖς ψυχαῖς ἐργαζόμενος. Οἷς μὲν γὰρ ἂν διάχυσιν τοῦ αἵματος ἐμποιήσας πρὸς τὴν ἐπιφάνειαν ἐξανθήσῃ, φαιδροὺς καὶ ἡδεῖς καὶ γεγανωμένους αὐτοὺς ἀποδείκνυσιν· ὧν δ' ἂν ὑπὸ τοῦ βάρους καταπιλήσῃ τὴν ἕξιν, συστέλλων αὐτῶν καὶ καταπιέζων τὸ αἷμα, πρὸς τὴν ἐναντίαν αὐτοὺς περιάγει διάθεσιν. Καὶ τί δεῖ λέγειν τῶν λοιπῶν παθῶν τὸν ὄχλον; τὰς δυσκολίας τοῦ ἤθους; τὸ εὐπαρόξυντον; τὸ μεμψίμοιρον; τὸ ὀξύῤῥοπον τῆς ψυχῆς; τὴν κραυγήν; τὸν θόρυβον; τὸ πρὸς πᾶσαν ἀπάτην εὐπαράγωγον; τὸ πρὸς τὰς ὀργὰς ἀταμίευτον;

4. Ἡ δὲ πρὸς τὰς ἡδονὰς ἀκρασία ἄντικρυς ὥσπερ ἐκ πηγῆς τοῦ οἴνου φέρεται, καὶ συνεισπίπτει τῷ ἀκράτῳ τῆς ἀσελγείας ἡ νόσος, πᾶσαν βοσκημάτων μανίαν ἐπὶ τὸ θῆλυ δευτέραν τῆς τῶν μεθυόντων ὕβρεως ἀποφαίνουσα· εἴπερ τὰ μὲν ἄλογα γνωρίζει τοὺς ὅρους τῆς φύσεως, οἱ δὲ μεθύοντες ἐν ἄῤῥενι μὲν τὸ θῆλυ, ἐν δὲ τῷ θήλει τὸ ἄῤῥεν ἐπιζητοῦσιν. Οὐδὲ ἐπεξελθεῖν τῷ λόγῳ ῥᾴδιον πᾶσι τοῖς ἐκ τῆς μέθης δεινοῖς. Αἱ μὲν οὖν ἐκ τοῦ λοιμοῦ βλάβαι χρόνῳ ἐγγίνονται (35) τοῖς ἀνθρώποις, κατὰ μικρὸν τοῦ ἀέρος τὴν παρ' ἑαυτοῦ φθορὰν ἐντιθέντος τοῖς σώμασιν· αἱ δὲ παρὰ τοῦ οἴνου εὐθὺς συνεισπίπτουσιν. Οὕτω γὰρ τὴν ψυχὴν ἀπολωλότες, ὡς ὑπὸ πάσης κηλῖδος εἶναι κατεστιγμένοι, ἔτι καὶ αὐτὴν τοῦ σώματος τὴν ἕξιν προσδιαφθείρονται· οὐ μόνον τῇ

A eos brutos reddit et stupidos : sed sensuum etiam eversio temulentum quovis pecore deteriorem efficit. Enimvero quodnam brutum animal videndi audiendique sensu languescit ita, ut temulentus? Nonne ignorant familiarissimos, et sæpe ad alienos velut ad familiares ac necessarios accurrunt? Nonne sæpenumero umbras tanquam rivulos aut convalles transiliunt? Rursus eorum aures sonitu ac strepitu quodam quasi æstuantis maris implentur : terra vero sursum erigi videtur, et montes in orbem circumverti. Hi aliquando quidem rident indesinenter; aliquando vero dolent lugentque insolabiliter. Et modo audaces sunt et intrepidi; modo trepidi timidique. His somni quidem graves sunt, et excussu difficiles, prope suffocantes, planeque

B morti vicini; vigiliæ vero somnis stupidiores. Nam insomnium quoddam est vita ipsorum, qui cum nec vestem habeant, neque quod in crastinum edant, regnant, et exercitibus in ebrietate imperant, construunt urbes, ac pecunias elargiuntur. Visis ejusmodi tantoque errore eorum corda replet vinum. Alii vero in contrarios affectus prolabuntur. Despondent animum, tristes sunt, dolentes, lacrymis se dedentes, formidolosi, et consternatu faciles. Idem vinum pro varia corporum **125** habitudine varios ac diversos affectus in animis parit. In quibus enim, sanguine diffuso, ad superficiem usque effloruerit, eos hilares lætosque et gaudio perfusos reddit : quorum vero habitudinem pondere suo obstruxerit, eos, contracto ac compresso

C sanguine, ad contrariam affectionem transmovet. Et quid opus est reliquarum perturbationum catervam recensere? indolem morosam, animum exacerbatu facilem, mores querulos, repentinam animi mutationem, clamorem, tumultum, proclivitatem ad omnem dolum, animum iras recondere ac frenare nescium.

4. Quin etiam ipsa in fruendis voluptatibus incontinentia ex vino quasi ex fonte manifeste prorumpit; atque una cum mero irrepit impudicitiæ labes, quæ omnem pecorum in feminas insaniam demonstrat procacitate ac lascivia ebriorum minorem esse. Et quidem bruta animal.a naturæ terminos non ignorant : ebrii vero in masculo feminam, in femina masculum requi-

D runt. Sed omnia temulentiæ mala ne verbis quidem persequi ac commemorare facile est. Nam pestilentiæ damna quodam temporis intervallo accedunt hominibus, aere suam ipsius corruptionem paulatim in corpora transferente : sed illata a vino detrimenta simul statim irruunt. Postquam enim animam ita perdidere, ut

(33) Colb. primus ἦχων δὲ αὐτῶν. Mox Reg. primus ὦτα πεπλήρωνται. Vox δυσανάφοροι, quæ mox sequitur, varie a variis scriptoribus accipitur. Alii volunt δυσανάφορος idem valere quod δυσβάστακτος, *difficilis portatu*. Aliis δυσανάφορος est δυσαπάλλακτος, *a quo quis vix liberari potest*. Videtur mihi posterior notio huic loco magis convenire.

(34) Editi γρηγόρσεις. Antiqui duo libri γρηγορήσεις. Reg. primus ἐγρηγόρσεις. Aliquanto post in Colb. tertio pro τοιούτων legitur τοσούτων.

(35) Colb. primus γίνονται. Infra in Colb. codice 1934 e regione vocis πεπλαδηκός legitur σεσηπός : quam vocem librarius addidit, ut indicaret πεπλαδηκός idem valere quod σεσηπός. Ejusdem declarationum reperias exempla multa in libris antiquis : quod notavi, ut monerem has quarumdam vocum declarationes pro variis lectionibus sumi non debere.

sint omnigenis maculis compuncti, præterea ipsam quoque corporis habitudinem corrumpunt. Etenim non ob immodicas solum voluptates quibus velut furore quodam ad salacitatem concitantur, contabescunt ac diffluunt : sed ob ipsam etiam molem ac tumorem, corpus nimio humore repletum laxumque et vitali vigore solutum circumferunt. Horum lividi sunt oculi, subpallida superficies cutis, spiritus impeditus ac coagmentatus, lingua resoluta, clamor indistinctus, titubantes pedes velut puerorum, spontaneæ superfluitatum egestiones quasi ab inanimatis profluentes. Ob luxum miserabiles, miserabiliores quam qui in mari tempestate jactantur, quos fluctus alii aliis succedentes, ac demergentes, ex undis emergere non sinunt. Hunc ad modum horum quoque animæ vino madentes submerguntur. Quapropter ut jactata tempestate navigia cum plus æquo onerantur, onere ejecto necesse est allevari : ita et hi ea quæ ipsos gravant, necessario egerunt. Vix enim vomitu et dejectione ab onere liberantur, tanto miserabiliores infeliciter navigantibus, quantum hi quidem ventos et mare et externa impedimenta causantur : ille vero ebrietatis tempestatem sibi ipsis sponte asciscunt. Qui a dæmone obsidetur, miseratione dignus est : ebrius vero eadem perpetiens, ne dignus quidem est cujus misereamur, quandoquidem cum voluntario dæmone colluctatur. Hi præterea quædam ebrietatis pharmaca componunt, operam industriamque in eo ponentes, non ut ne
126 quid mali a vino patiantur, sed ut ipsorum ebrietas jugis sit et assidua. Enim vero, saltem quod ad potandi tempus attinet, exigua eis est dies, brevis itidem nox vel hiberna. Denique hujus mali finis nullus est. Nam ipsum se merum promovet ad amplius. Nam enim levat necessitatem : sed alterius potus necessitatem inevitabilem inducit, exurens inebriatos, semperque desiderium plus bibendi provocans. Sed dum inexplebilem bibendi sitim sibi comparare cogitant, contra atque animo destinarunt accidit. Nam assiduo deliciarum usu suos sensus languidos reddunt ac retusos. Sicut enim nimius fulgor visum hebetat, et sicut qui ab ingenti sono ac fragore obtunduntur, ob immodicum percussum eo deveniunt, ut nihil omnino audiant : sic etiam hi præ nimio voluptatis studio imprudentes et incauti voluptatem amittunt. Vinum namque, etsi merum, ipsis est insipidum et aquæ simile : cum vero vinum recens sumitur, videtur tepidum ; id etsi recentissimum est, etsi nix ipsa, tamen flammam ex immodico vino intus in ipsis accensam exstinguere non potest. *Cui væ? cui tumultus? cui judicia? cui molestiæ et*

A ὑπερβολῇ τῶν ἡδονῶν ἐξοιστρουσῶν ἐπὶ λαγνείας ἐκτετηκότες καὶ διαῤῥέοντες, ἀλλὰ καὶ αὐτῷ τῷ ὄγκῳ πεπλαδηκὸς καὶ βρυῶδες καὶ τοῦ ζωτικοῦ τόνου λελυμένον τὸ σῶμα φέροντες. Τούτων πελιδνοὶ οἱ ὀφθαλμοί· ὕπωχρος δὲ ἡ ἐπιφάνεια· πνεῦμα προσεστηκός (36)· γλῶσσα παρειμένη, καὶ κραυγὴ ἄσημος· ἀκροσφαλεῖς οἱ πόδες καθάπερ οἱ τῶν παίδων· ἐκκρίσεις δὲ τῶν περιττωμάτων αὐτόματοι ὥσπερ ἀπὸ ἀψύχων ῥέουσαι. Ἐλεεινοὶ τῆς τρυφῆς, ἐλεεινότεροι τῶν ἐν πελάγει χειμαζομένων, οὓς ἄλλα ἐξ ἄλλων διαδεχόμενα καὶ ἐπιβαπτίζοντα κύματα ἀναφέρειν οὐκ ἐπιτρέπει τοῦ κλύδωνος. Οὕτω δὴ καὶ τούτων αἱ ψυχαὶ ὑποβρύχιοι φέρονται βεβαπτισμέναι τῷ οἴνῳ. Διόπερ ὡς τὰ χειμαζόμενα πλοῖα, ἐπειδὰν ὑπέραντλα γένηται, ἀναγκαίως τῇ ἐκβολῇ τοῦ φόρ-
B του κουφίζεται· οὕτω καὶ τούτοις ἀναγκαῖαι τῶν βαρυνόντων αἱ ἀποθέσεις. Ἐμοῦντες γὰρ καὶ ἀποβλύζοντες, μόλις ἐλευθεροῦνται τοῦ βάρους· τοσοῦτον τῶν δυσπλοούντων ἐλεεινότεροι, ὅσον οἱ μὲν ἀνέμους καὶ θάλασσαν καὶ τὰς ἔξωθεν ἀνάγκας ἐπαιτιῶνται· οἱ δὲ αὐθαίρετον ἐπισπῶνται τὸν ἐκ τῆς μέθης χειμῶνα. Ὁ δαιμονῶν ἐλεεινός· ὁ δὲ μεθύων, τὰ αὐτὰ πάσχων, οὐδὲ τοῦ ἐλεεῖσθαι ἄξιος, αὐθαιρέτῳ δαίμονι προσπαλαίων. Οἳ καὶ μέθης συντιθέασι φάρμακα, οὐχὶ τὸ μὴ παθεῖν τι δεινὸν ἀπὸ τοῦ οἴνου, ἀλλὰ τὸ μὴ διαλείπειν (37) μεθύοντες μηχανώμενοι. Ὀλίγη μὲν γὰρ αὐτοῖς ἡ ἡμέρα· μικρὰ δὲ ἡ νὺξ καὶ ἡ χειμέριος, πρός γε τὸν τοῦ πότου χρόνον. Τέλος δὲ οὐκ ἔστι τοῦ κακοῦ. Αὐτὸς γὰρ ἑαυτὸν ὁ οἶνος ἐπὶ τὸ
C πλεῖον προάγει (38). Οὐ γὰρ τὴν χρείαν παραμυθεῖται, ἀλλ' ἑτέρου πότου χρείαν ἀπαραίτητον ἐμποιεῖ· ἐκκαίων τοὺς μεθύοντας, καὶ ἀεὶ πρὸς τὴν τοῦ πλείονος ἔφεσιν προκαλούμενος. Ἀπλήρωτον δὲ τοῦ πίνειν τὴν ὄρεξιν ἔχειν ἐπινοοῦντες, τὸ ἐναντίον πάσχουσιν ἢ προῄρηνται. Τῷ γὰρ συνεχεῖ τῆς τρυφῆς τὰς αἰσθήσεις ἀπομαραίνουσιν. Ὡς γὰρ τὸ ἄγαν λαμπρὸν ἀμαυροῖ τὰς ὄψεις, καὶ ὥσπερ οἱ τοῖς μεγάλοις ψόφοις καταχρουόμενοι τῇ ἀμετρίᾳ τῆς πληγῆς εἰς τὸ μηδὲ ἀκούειν παντελῶς περιάγονται· οὕτω καὶ οὗτοι λελήθασιν ἑαυτοὺς ὑπὸ τῆς ἄγαν φιληδονίας (39) τὴν ἡδονὴν ἀπολέσαντες. Ἄποιος μὲν γὰρ αὐτοῖς καὶ ὑδατώδης ὁ οἶνος, κἂν ἄκρατος ᾖ· χλιαρὰ δὲ τοῦ νεαροῦ ἡ ἀντίληψις, κἂν τὸ ἀκραιφνέστατον ᾖ, κἂν αὐτὴ χιών, κατασβέσαι τὴν ἔνδον ἐν αὐτοῖς (40) ἐκ τῆς
D ἀμετρίας τοῦ οἴνου καιομένην φλόγα μὴ δυναμένη. *Τίνι οὐαί; τίνι θόρυβος; τίνι κρίσεις; τίνι ἀηδίαι καὶ λέσχαι; τίνι συντρίμματα διακενῆς; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; Οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνῳ, καὶ κατασκοπούντων ποῦ πότοι γίνονται;* Τὸ οὐαὶ θρηνῶδές ἐστι ἐπίφθεγμα. Θρήνου δὲ ἄξιοι οἱ μεθύοντες, διότι *Μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι.* Θόρυβος δὲ διὰ τὴν ἐκ τοῦ οἴνου ταραχὴν ἐγγινομένην τοῖς λογισμοῖς. Καὶ

(36) Legitur προστεστηκός in editione Paris. pro προσεστηκός, uti habent veteres quatuor libri. Reg. tertius παροστετηκός. Editio Basil. παρεστηκός.
(37) Unus ms. διαλιπεῖν.
(38) Reg. primus προσάγει.
(39) Colb. tertius τῆς ἄγαν φιλοινίας, *præ immodico vini amore*. Alii tres mss. et editi φιληδονίας.
(40) Antiqui duo libri τὴν ἔνδοθεν αὐτοῖς. Mox editio Basil. et quatuor mss. μὴ δυναμένη. Reg. primus οὐ δυναμένη. Editio Paris. οὐ δύναται. Subinde Colb. primus καὶ τῶν κατασκοπουμένων.

ἀηδίαι διὰ τὰς πικρὰς ἐκ τῆς τοῦ πίνειν ἡδονῆς ἀναδόσεις. A Τούτων γὰρ δεσμοῦνται μὲν οἱ πόδες, δεσμοῦνται δὲ χεῖρες ἐκ τῶν ἐπιπεμπομένων αὐτοῖς παρὰ τῆς (41) μέθης ῥευμάτων. Καίτοι καὶ πρὸ τούτων τῶν παθῶν, παρ' αὐτὸν τὸν καιρὸν τοῦ πίνειν, τὰ τῶν φρενιτικῶν αὐτοῖς συμπίπτει πάθη. Ὅταν γὰρ πλήρεις αἱ μήνιγγες γένωνται τῆς αἰθάλης, ἣν ὁ οἶνος ἐξατμιζόμενος ἀναφέρει, βάλλεται μὲν ὀδύναις ἀφορήτοις ἡ κεφαλή· μένειν δὲ ὀρθὴ ἐπὶ τῶν ὤμων μὴ δυναμένη, ἄλλοτε ἐπ' ἄλλα (42) καταπίπτει, τοῖς σπονδύλοις ἐνολισθαίνουσα. Λέσχην δὲ λέγει τὴν ἄμετρον ἐν τοῖς συμποσίοις καὶ ἐμφιλόνεικον ὁμιλίαν. Καὶ συντρίμματα διακενῆς γίνεται τοῖς οἰνόφλυξιν (43), οὐ δυναμένοις ὀρθοῦσθαι ὑπὸ τῆς μέθης. Ἀνατρέπονται γὰρ εἰς παντοῖα πτωμάτων σχήματα, ὥστε ἀναγκαῖον αὐτοὺς ἐπὶ τοῦ σώματος συντρίμ- B ματα ἔχειν διακενῆς.

tricæ? cui contritiones supervacuæ? cujus lividi oculi? Nonne immorantium in vino, et explorantium ubi compotationes fiant [35]? Væ, lamentationis vox est. Lamentatione quidem digni sunt ebrii, quod ebriosi regnum Dei conseculuri non sint [36]. Tumultus vero fit ob turbationem ex vino rationi accedentem. Et inde molestiæ, quod amaræ digestiones ex vini voluptate huc illuc repant. Horum namque ligantur pedes, ligantur manus per suscitatas sibi ab ebrietate fluxiones. Imo enim ante hæc infortunia, ipso bibendi tempore, idem quod phrenetici perpetiuntur. Postquam enim fuligine, quam vinum exhalans sursum emittit, repletæ sunt cerebri membranæ, caput ut intolerabilibus doloribus corripitur, ita super humeros rectum manere non valens, huc illuc super vertebras nutans, jactatur. Tricas autem dicit immoderatam in conviviis ac contentiosam garrulitatem. Denique contritiones inaniter fiunt ebriis, cum erigere se præ ebrietate non queant. Nam evertuntur, atque variis modis cadunt, unde ipsis necesse est inaniter contritiones in corpore habere.

5. Ἀλλὰ τίς (44) εἴπῃ ταῦτα τοῖς οἰνοπλήκτοις; Καρηβαροῦσι γὰρ ἐκ τῆς κραιπάλης, νυστάζουσι, χασμῶνται, ἀχλὺν βλέπουσι, ναυτιῶσι. Διὰ τοῦτο οὐχ ἀκούουσι τῶν διδασκάλων πολλαχόθεν αὐτοῖς ἐμβοώντων· *Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία·* καὶ πάλιν· *Ἀκόλαστον οἶνος, καὶ ὑβριστικὸν μέθη.* Ὧν παρακούοντες, αὐτόθεν ἔχουσι τὰς ἐπικαρπίας τῆς μέθης. Οἰδαίνει μὲν γὰρ ὁ ὄγκος, ὀφθαλμοὶ δίυγροι, στόμα ξηρὸν καὶ διακαές. Ὥσπερ γὰρ αἱ χαράδραι, ἕως μὲν ἂν αὐταῖς ἐπιῤῥέωσιν (45) οἱ χείμαῤῥοι, πλήρεις εἶναι δοκοῦσι, παρελθούσης δὲ τῆς C πλημμύρας, ξηραὶ καταλιμπάνονται· οὕτω καὶ τοῖς οἰνόφλυξι τὸ στόμα (46), ἐλλιμνάζοντος μὲν τοῦ οἴνου, πλῆρές ἐστί πως καὶ δίυγρον, μικρὸν δὲ παραδραμόντος, ξηρὸν καὶ ἄνικμον ἀπελέγχεται. Παρασυρόμενον δὲ ἀεὶ καὶ κατακλυζόμενον τῇ ἀμετρίᾳ τοῦ οἴνου, καὶ τὴν ζωτικὴν ἰκμάδα προσαποβάλλει. Ποία γὰρ κατασκευὴ ἀνθρώπου οὕτως ἰσχυρὰ, ὥστε τοῖς ἐκ τῆς μέθης κακοῖς ἀντισχεῖν; Τίς γὰρ μηχανὴ τὸ ἀεὶ θερμαινόμενον καὶ ἀεὶ διάβροχον τῷ οἴνῳ γινόμενον (47) σῶμα μὴ οὐχὶ ἔκπλυτον καὶ ἐξίτηλον καὶ διεῤῥυηκὸς γενέσθαι; Ἐντεῦθεν οἱ τρόμοι καὶ αἱ ἀσθένειαι· κοπτομένου γὰρ αὐτοῖς τοῦ πνεύματος ὑπὸ τῆς ἀμετρίας τοῦ οἴνου, καὶ τῶν νεύρων λυομένων τῆς συντονίας, ὁ κλόνος τῷ σύμπαντι ὄγκῳ τοῦ σώματος ἐπιγίνεται. Τί τὴν κατάραν τοῦ Κάϊν ἐφ' ἑαυ- D

5. Sed quis hæc dixerit vino obrutis? Nam gravantur capite ex crapula, dormitant, oscitant, offusam oculis caliginem habent, nauseant. Quapropter non audiunt magistros, qui ipsis undelibet inclamant : *Nolite inebriari vino, in quo est luxuria* [37]. Ac rursus : *Luxuriosum vinum, et contumeliosa ebrietas* [38]. Quibus contemptis, statim fructum referunt ebrietatis. Nam intumescit corporis moles, humidi sunt oculi, os siccum est et perustum. Ut enim cava, dum in se torrentes confluunt, plena esse videntur; sed ubi exundatio præteriit, sicca aridaque relinquuntur ; ita et ebriosorum os, restagnante vino, plenum quodam modo est, et madidum, sed simul ut paululum effluxit, siccum et humoris expers deprehenditur. Imo cum semper vitietur, et immodico vino obruatur, etiam humorem vitalem amittit. Quæ enim hominis constitutio tam valida, ut temulentiæ malis obsistat? Quibus enim artibus fieri possit, ut corpus semper incalescens, **127** semperque vino madens, non efficiatur evanidum, exoletumque et fluxum? Hinc tremores debilitatesque : siquidem præ immodico vino spiritu in eis præciso atque interrupto, nervorumque exsoluto robore, agitatio ac tremor toti corporis moli accedit. Quid vis Caini maledictionem tibi ipse asciscere, tremens ac vagabundus

[35] Prov. XXIII, 29, 30. [36] I Cor. VI, 10. [37] Ephes. V, 18. [38] Prov. XX, 1.

(41) Colb. primus ἀπὸ τῆς. Nec ita multo infra duo mss. συνεισπίπτει πάθη.

(42) Illud, ἐπ' ἄλλα, additum fuit ex libris antiquis. Hoc ipso in loco unus ms. τοῖς σφονδύλοις. — Mox, pro ἐμφιλόνεικα, ἐμφιλόνεικον reposuimus, sicque correxerat Thesaurus Steph. Edit.

(43) Colb. tertius τοῖς οἰνοφύλαξιν.

(44) Verborum illorum, ἀλλὰ τίς, etc. hæc est sententia : Quis dicendo efficere poterit, ut ebrii hæc intelligant? — Infra locum Epistolæ ad Ephes. juxta Græcum textum Novi Testamenti correximus, scribendo μεθύσκεσθε, loco formæ activæ μεθύσκετε, quæ, repugnante sensu, legebatur. Edit.

(45) Antiqui duo libri ἐπιῤῥέουσιν. Mox Reg. primus ξηραὶ καταλείπονται.

(46) *Τὸ στόμα.* Legendum σῶμα, ut patet ex his quæ præcedunt et sequuntur, præcipue vero ex commentario *in Isaiam*, num. 153, ubi eadem occurrit sententia. Maran.

(47) Reg. primus οἴνῳ γενόμενον. Statim editi διεῤῥυκός. Libri veteres διεῤῥυηκός. Nec ita multo infra editio Paris. κοπτομένου γάρ : sed vocula γὰρ neque in editione Basil. neque in quinque mss. invenitur. Ibidem Reg. primus ἀπὸ τῆς ἀμετρίας.

per totam vitam [59]? Corpus enim quod naturali fulcro destituitur, circumagi necesse est et contremiscere.

6. Usquequo vinum? usquequo ebrietas? Periculum est tandem cœnum lutumque pro homine fias, ita totus admistus vino es, unaque pariter putruisti, vinum ex quotidiana crapula obolens, et hoc corruptum, perinde ut vasa nulli omnino usui idonea. Hos Isaias luget : *Væ qui surgunt mane, et siceram persequuntur, qui exspectant vesperam : vinum enim comburet eos. Num cum cithara et tibiis vinum bibunt, opera autem Domini non respiciunt, et opera manuum ejus non considerant* [60]. Potum omnem qui inebriare potest, solent Hebræi siceram appellare. Itaque qui ineunte die explorant ubi compotationes fiant, et œnopolia ac cauponas collustrant, seque mutuo ad compotandum conjungunt, et omnem animi curam in hæc insumunt, hos propheta deplorat, quod tempus nullum sibi ipsi ad Dei miracula consideranda reservent. Nec enim oculis eorum vacat suspicere in cœlum, ejusque pulchritudinem condiscere, et omnem rerum conditarum ornatum expendere, ut recto horum ordine opificem intelligant : sed statim incipiente die conviviorum suorum loca variis tapetibus ac floridis aulæis ornant ; atque studium ac diligentiam in poculis apparandis ostendunt, vasa ad refrigerandum vinum, craterasque et phialas velut in pompa aliqua ac conventu publico disponentes, ut vasorum diversitas ipsis satietatem obtegat, et alternatio poculorum ac permutatio eos diu in bibendo detineat. Quinetiam adsunt quidam convivii magistri, ac pincernarum principes et architriclini : imo ordo in confusione, ac dispositio in re incomposita excogitatur, ut quemadmodum sæculi magistratibus ex satellitibus major auctoritas accedit, sic etiam, ebrietati velut reginæ cuidam famulitio tradito, dedecus ejus ac turpitudinem quam diligentissime contegant. Præterea coronæ, flores, unguenta, suffitus, et innumera quædam externa oblectamenta perditos diutius occupant. Deinde convivio longius progrediente, oriuntur

A τὸν (48) ἐπισπᾶσαι, τρέμων καὶ περιφερόμενος διὰ παντὸς τοῦ βίου; Οὐ γὰρ ἔχον τὸ σῶμα τὸν ἐκ τῆς φύσεως στηριγμὸν, ἀναγκαίως περιδονεῖται καὶ κατασείεται.

6. Μέχρι πότε οἶνος; μέχρι τίνος μέθη; Κινδυνεύεις λοιπὸν βόρβορος εἶναι ἀντὶ ἀνθρώπου, οὕτως ὅλος (49) ἀνεμίχθης τῷ οἴνῳ, καὶ συγκατεσάπης αὐτῷ, ἐκ τῆς καθημερινῆς κραιπάλης οἴνου ἀπόζων, καὶ τούτου διεφθαρμένου, ὥσπερ τῶν ἀγγείων τὰ ἀχρηστότατα. Τούτους Ἡσαΐας ὀδύρεται· *Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωΐ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει· μετὰ γὰρ κιθάρας καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι.* Σίκερα πᾶν τὸ δυνάμενον μέ-B θην ἐμποιῆσαι πόμα τοῖς Ἑβραίοις ὀνομάζειν σύνηθες. Οἱ οὖν ἀρχομένης ἡμέρας περισκοποῦντες, ποῦ πότοι γίνονται, καὶ οἰνοπώλια καὶ καπηλεῖα περιαθροῦντες, καὶ ἀλλήλους ἐπὶ τὸ πίνειν παραλαμβάνοντες, καὶ πᾶσαν τῆς ψυχῆς τὴν μέριμναν περὶ τὴν τῶν τοιούτων φροντίδα καταναλίσκοντες, οὗτοι (50) ὑπὸ τοῦ προφήτου καταθρηνοῦνται, ὡς καιρὸν οὐδένα ἑαυτοῖς πρὸς τὴν τῶν θαυμασίων τοῦ Θεοῦ κατανόησιν ἀπολείποντες. Οὐ γὰρ ἄγουσι σχολὴν οἱ ὀφθαλμοὶ αὐτῶν ἀνανεῦσαι πρὸς οὐρανὸν, καὶ τὰ ἐν αὐτῷ κάλλη καταμαθεῖν, καὶ πᾶσαν τὴν ἐν τοῖς οὖσι διακόσμησιν ἐπισκέψασθαι, ὥστε ἐκ τῆς τούτων εὐταξίας τὸν δημιουργὸν ἐννοῆσαι· ἀλλ' εὐθὺς ἀρχομένης ἡμέρας κοσμοῦσιν ἑαυτῶν τὰ συμπόσια τάπησι ποικίλοις καὶ ἀνθίνοις παραπετάσμασι, σπουδήν τε καὶ ἐπιμέλειαν C εἰς τὴν τῶν ἐκπωμάτων παρασκευὴν ἐπιδείκνυνται, ψυκτῆρας καὶ κρατῆρας καὶ φιάλας, ὥσπερ ἐν πομπῇ τινι (51) καὶ πανηγύρει, διατιθέντες, ὡς ἂν τὸ τῶν ἀγγείων διάφορον τὸν κόρον αὐτοῖς ὑποκλέπτῃ, καὶ ἡ τῶν ἐκπωμάτων ὑπαλλαγὴ καὶ μετάβασις ἱκανὴν αὐτοῖς εἰς τὸ πίνειν διατριβὴν ἐμποιῇ. Συμποσίαρχοι δέ τινες ἐπὶ τούτοις καὶ ἀρχιοινοχόοι, καὶ ἀρχιτρίκλινοι· καὶ τάξις ἐν ἀταξίᾳ, καὶ διάθεσις ἐν ἀκόσμῳ πράγματι ἐπινενόηται, ἵν', ὥσπερ ταῖς ἀρχαῖς ταῖς ἔξωθεν ἐκ τῶν δορυφορούντων ἡ σεμνότης συναύξεται, οὕτω καὶ τῇ μέθῃ οἷον βασιλίδι τινὶ θεραπείαν περιστήσαντες, τὸ ἐπονείδιστον αὐτῆς τῷ D ὑπερβάλλοντι τῆς σπουδῆς περιστέλλωσι. Στέφανοι

[59] Genes. IV, 14. [60] Isa. V, 11, 12.

(48) Editi ἐπὶ σεαυτόν. At mss. quatuor ἐφ' ἑαυτόν.

(49) Veteres quinque libri ὅλος. Editi ὅλως. Aliquanto post Reg. primus τῷ πρωΐ.

(50) Unus codex Colb. οὗτοι νῦν.

(51) Ambrosium, ut se dabat occasio, alia e Basilii orationibus imitatum esse, alia interpretatum, satis norunt eruditi. Nec dubium quin Latinus orator cum ita scriberet num. 46 : *Assistunt pueri coma nitentes ex gente barbarica ad hos usus electi, per singularum distincti ætatum vices. Cernas populorum diversorum ordines, aciem ordinatam putes, vasa exposita argentea, pompam arbitreris :* non, inquam, dubium quin imitandum sibi proposuerit illud Basilii, ψυκτῆρας καὶ κρατῆρας καὶ φιάλας ὥσπερ ἐν πομπῇ τινι.... συμποσίαρχοι δέ τινες ἐπὶ τούτοις καὶ ἀρχιοινοχόοι καὶ ἀρχιτρίκλινοι· καὶ τάξις ἐν ἀταξίᾳ. Hic antiquas editiones secuti sumus : a quibus nova in aliquo dissentit. Ubi enim in antiquis legitur, *per singularum distincti ætatum vices*, nova ita habet, *per singularum distantias ætatum vices*. Similiter ea quæ mox sequuntur Basilii verba: Εἶτα πόῤῥω προϊόντος τοῦ πότου, ἅμιλλαι περὶ τοῦ πλείονος, φιλονεικίαι καὶ ἀγωνίσματα, ἀλλήλους ὑπερβάλλεσθαι φιλοτιμουμένων κατὰ τὴν μέθην· καὶ ὁ ἀγωνοθετῶν αὐτοῖς διάβολος, καὶ ἆθλον τῆς νίκης ἡ ἁμαρτία... οἱ ἡττηθέντες μεθύουσιν· οἱ νικῶντες μεθύουσιν, et ipsa quoque Ambrosius aut ad verbum expressit, aut imitatus est, cum ita scripsit, num. 47 : *Deinde procedente potu longius contentiusque, diversa et magna certamina, quis bibendo præcellat.* Num. 48 : *Agonothetes illis furor est.... victoriæ præmium culpa*... Num. 49 : *Victores victique omnes ebrii jacent.* Statim tres mss. ὥσπερ ἐν. Editi ὡς ἐν.

ἐπὶ τούτοις καὶ ἄνθη καὶ μύρα καὶ θυμιάματα, καὶ μυρίαι τινὲς ἔξωθεν θυμηδίαι, πλείονα τὴν ἀσχολίαν τοῖς ἀπολλυμένοις (52) παρασκευάζουσιν. Εἶτα πόῤῥω προϊόντος τοῦ πότου, ἅμιλλαι περὶ τοῦ πλείονος, φιλονειχίαι καὶ ἀγωνίσματα, ἀλλήλους ὑπερβάλλεσθαι φιλοτιμουμένων κατὰ τὴν μέθην· καὶ ὁ ἀγωνοθετῶν αὐτοῖς ὁ διάβολος, καὶ ἆθλον τῆς νίκης ἡ ἁμαρτία. Ὁ γὰρ πλείονα τὸν ἄκρατον ἐκχεόμενος (53), οὗτος φέρεται κατὰ τῶν ἄλλων τὰ νικητήρια. Ὄντως *Ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν*. Φιλονειχοῦσι μὲν γὰρ ἀλλήλοις, ἀμύνονται δὲ ἑαυτούς. Ποῖος λόγος ἐφικέσθαι τῆς αἰσχρότητος τῶν γινομένων δύναται; Πάντα ἀλογίας γέμει, πάντα συγχύσεως· οἱ ἡττηθέντες μεθύουσιν, οἱ νικῶντες (54) μεθύουσιν, οἱ ὑπηρέται καταγελῶσιν. Ἡ χεὶρ ἀπείρηκε, τὸ στόμα οὐχ ὑποδέχεται, ἡ γαστὴρ διαῤῥήγνυται, καὶ τὸ κακὸν οὐχ ὑφίησι. Τὸ ἄθλιον σῶμα, τοῦ φυσικοῦ τόνου παραλυθὲν, ἀπόῤῥυτόν ἐστι πανταχόθεν, τὴν ἐκ τῆς ἀμετρίας βίαν μὴ ὑπομένον.

A de ampliore potu certamina contentionesque et lites, dum se mutuo ebrietate superare conantur: atque certaminum horum præfectus **128** diabolus est, et victoriæ præmium peccatum. Nam qui plus exhaurit meri, is ab aliis reportat victoriam. Revera *Gloria in confusione ipsorum* [41]. Contendunt enim inter se, ac se ipsi ulciscuntur. Quæ oratio, eorum quæ fiunt, assequi possit turpitudinem? Omnia sunt insipientia referta, omnia confusione: victi victoresque ebrii sunt, derident ministri. Labat manus, os non suscipit, venter disrumpitur, nec tamen malum mitescit. Miserum corpus naturali vigore exsolutum undelibet diffluit, haud sustinens immodici potus violentiam.

7. (55) Ἐλεεινὸν θέαμα Χριστιανῶν ὀφθαλμοῖς ἀνὴρ ἀκμάζων καθ' ἡλικίαν, σφριγῶν τῷ σώματι, στρατιωτικοῖς καταλόγοις ἐμπρέπων, φοράδην οἴκαδε κομιζόμενος, μὴ δυνάμενος ὀρθοῦσθαι, μηδὲ τοῖς ἰδίοις ποσὶν ἀπιέναι (56). Ἀνὴρ φοβερὸς εἶναι ὀφείλων τοῖς πολεμίοις, γέλωτός ἐστιν ἀφορμὴ τοῖς κατ' ἀγορὰν παιδίοις· ἄνευ σιδήρου καταβέβληται, ἄνευ πολεμίων πεφόνευται. Ἀνὴρ ὁπλίτης, αὐτὸ τῆς ἡλικίας ἄγων τὸ ἄνθος, οἴνου γέγονε παρανάλωμα, ἕτοιμος (57) παθεῖν τοῖς ἐχθροῖς ὅσα βούλονται. Μέθη, λογισμῶν ὄλεθρος, ἰσχύος διαφθορὰ, γῆρας ἄωρον, ὀλιγοχρόνιος θάνατος. Τί γὰρ ἄλλο εἰσὶν οἱ μεθύοντες ἢ τὰ εἴδωλα τῶν ἐθνῶν; *Ὀφθαλμοὺς ἔχουσι, καὶ οὐ βλέπουσιν· ὦτα ἔχουσι, καὶ οὐκ ἀκούουσι·* χεῖρες παραλέλυνται, οἱ πόδες ἀπενεκρώθησαν. Τίς ὁ ταῦτα ἐπιβουλεύσας; τίς ὁ τῶν κακῶν τούτων αἴτιος; τίς ὁ τὸ τῆς μανίας ἡμῖν (58) φάρμακον ἐγκεράσας; Ἄνθρωπε, παρά-

B 7. Miserabile Christianorum oculis spectaculum: vir ætate florens, validus corpore, inter militares ordines clarus, aliorum manibus domum deportatur, quod erigere se non queat, neque suis ipsius pedibus abire. Vir qui terrori hostibus esse debuerat, pueris in foro ridendi occasionem præbet; sine ferro prostratus est, sine hostibus enectus. Vir armiger, in ipso ætatis flore consistens, a vino consumptus est et confectus, quidquid hostes voluerint perpeti paratus. Ebrietas rationis pernicies, roboris lues, senectus immatura, exigui temporis mors. Quid enim aliud sunt temulenti nisi idola gentium? *Oculos habent, et non vident: aures habent, et non audiunt* [42]; manus resolutæ sunt, pedes emortui. Ecquis hæc machinatus est? quis auctor C est horum malorum? quis hoc insaniæ pharmacum nobis admiscuit? O homo, convivium aciem effe-

[41] Philipp. v, 19. [42] Psal. cxiii, 5, 6.

(52) Illud, τοῖς ἀπολλυμένοις, de rebus accipiendum esse putat Combefisius: id tamen mihi videtur commodius intelligi de personis, *perditos homines et desperatos diutius occupant*. Aliorum erit judicium. Aliquanto post Reg. primus ἀλλήλους ὑπερβαλέσθαι.

(53) Editi et duo mss. ἐγχεάμενος, *qui infudit*. At Colb. primus et Reg. secundus ἐκχεόμενος, *qui exhaurit*: quæ scriptura videtur nobis et verior esse et melior.

(54) Colb. primus οἱ νικηταί. Colb. tertius οἱ νικήσαντες.

(55) Ambrosius, cum librum *De Elia et jejunio* scriberet, et alia quædam ex hac oratione sumpsit, quæ omnia adnotare animus non est: ascribam tamen aliqua, quæ studiosis non injucunda fore spero. Sic igitur loquitur cap. 13, num. 50: *Spectaculum triste Christianorum oculis et miserabilis species. Cernas juvenes terribiles visu hostibus, de convivio portari foras... Quos mane insignes armis spectaveras, vultu minaces, eosdem vesperi cernas etiam a puerulis impune rideri, sine ferro vulneratos, sine pugna interfectos, sine hoste turbatos, sine senectute tremulos, in ipso juventutis flore nascente.* Cætera quidam sana, et ex Græcis bene expressa: sed de illo, *in ipso juventutis flore nascente*, aliter videtur. Quid enim attinuit addere vocem *nascente*, cum satis esset dixisse, *in ipso juventutis flore*?

Certe id participium prorsus παρέλκειν nemo, opinor, homo non videt. Hæc igitur, cur hanc lectionem reprobem, una causa est: altera, quod post illud, *flore*, sequi debeat vox aliqua, quæ respondeat vocibus *vulneratos, interfectos, turbatos, tremulos*. Cum igitur editio Romana et mss. nonnulli, ut ex notis Ambrosianis constat, habeant *marcentes* pro *nascente*, ita legi debere censeo, *in ipso juventutis flore marcentes*. Nam a librariis ex *marcentes* incaute factum esse *nascente*, obscurum non est. Et quidem vox *marcentes* et huic loco maxime convenit, et vocibus *vulneratos, interfectos, turbatos, tremulos*, optime respondet. Hoc nostrum judicium non D parum adjuvat, quod Ambrosius ut reliqua, Ἀνὴρ, φοβερὸς εἶναι ὀφείλων τοῖς πολεμίοις, γέλωτός ἐστιν ἀφορμὴ τοῖς κατ' ἀγορὰν παιδίοις· ἄνευ σιδήρου καταβέβληται, ἄνευ πολεμίων πεφόνευται, aperte expressit, ita illud, Ἀνὴρ ὁπλίτης, αὐτὸ τῆς ἡλικίας ἄγων τὸ ἄνθος, οἴνου γέγονε παρανάλωμα, expressisse putandus est. Omnes enim, ni fallor, facile fatebuntur παρανάλωμα, quod ad vim sententiæ attinet, hoc loco idem valere quod *marcentes*, seu *arentes*, uti in quibusdam editionibus legitur.

(56) Editi ποσὶν ἀπιέναι. Regii duo mss. ἐπιέναι. Alii duo Colbertini ποσὶν ἐπιμῆναι, corrupte.

(57) Colb. primus καὶ ἕτοιμος. Nec ita multo infra idem codex Τί γὰρ ἂν ἄλλο.

(58) Idem liber μανίας ὑμῖν. At mss. et editi ἡμῖν.

cisti. Juvenes ejicis ductos manu tanquam vulneratos e prælio, juventutis florem vino enecasti. Ac vocas quidem veluti amicum ad cœnam, ejicis autem mortuum, exstincta a vino illius vita. Cum autem vino exsatiati esse putantur, tum bibere incipiunt, et pecudum more bibunt quasi a fonte sponte manante, et scatebras numero æquales accumbentibus ministrante. Nam procedente jam convivio, adolescens habens egregios humeros, nondum ebrius, prægrandem vini refrigerati phialam afferens, huc ingreditur : qui depulso ipsorum pocillatore, stans in medio, per obliquos tubos parem compotoribus distribuit ebrietatem. Novus hic est rei modum nullum habentis modus, ut data pari portione inter se mutuo luxurient, nec possit alter quisquam alterum bibendo superare. Nam distributis inter se tubis, et sibi quisque obversum tubum suscipientes, tanquam ex **129** quodam lacu more boum uno spiritu bibunt, tantum gutture attrahere festinantes, quantum sibi desuper vas refrigeratorium per argenteas fistulas demittit. Respice ad tuum miserum ventrem : disce suscipientis vasis magnitudinem, videlicet quod cotylæ unius cavo circumscribatur. Ad trullam ne respicias, eam exhausturus, sed ad tuum ipsius ventrem, quod jamdudum expletus sit. Quapropter, *Væ qui surgunt mane, et siceram persequuntur, qui exspectant vesperam* [63], et diem in ebrietate transigunt, sic ut nullum sibi dent tempus ad opera Domini inspicienda, neque ad opera manuum ejus consideranda. *Vinum enim eos comburet* [64], quod vini calor carni accedens, igniculus fiat ignitorum inimici jaculorum. Vinum enim rationem demergit et mentem : vitiosos vero affectus ac libidines quasi quoddam apum examen exsuscitat. Quis enim currus, ab equuleis tractus, adeo temere fertur, auriga excusso? Quodnam navigium gubernatore destitutum, a fluctibus huc illuc exagitatum, non tutius est temulento?

8. Per ejusmodi mala, viri simul et mulieres, constitutis choris communibus, animabusque vinoso dæmoni traditis, se mutuo libidinum spiculis consauciarunt. Risus utrinque, cantilenæ obscenæ, meretricii gestus ad libidinem provocantes. Rides, dic mihi, ac gaudes gaudium impudicum, cum lacrymari ob præterita et ingemiscere oporteret? Canis meretricias cantilenas, psalmis et hymnis, quos didicisti, ablegatis. Moves pedes, et more insanientium exsilis, ducisque quas non deberes choreas,

A ταξιν ἐποίησας τὸ συμπόσιον. Ἐκβάλλεις τοὺς νεανίσκους χειραγωγουμένους, ὡς τραυματίας ἀπὸ πολέμου· ἐνέκρωσας τὴν ἀκμὴν τῆς νεότητος ἀπὸ οἴνου· καὶ καλεῖς μὲν ὡς φίλον ἐπὶ τὸ δεῖπνον, ἐκβάλλεις δὲ νεκρὸν, οἴνῳ τὴν ζωὴν αὐτοῦ κατασβέσας. Ὅταν δὲ νομισθῶσι διακορεῖς (59) εἶναι τοῦ οἴνου, τότε τοῦ πίνειν ἄρχονται, καὶ πίνουσι τὸν τῶν κτηνῶν τρόπον, ὡς ἀπὸ κρήνης αὐτοσχεδίου, ἰσαρίθμους τοῖς ἀνακειμένοις τοὺς κρουνοὺς ἀφιείσης. Προϊόντος γὰρ ἤδη τοῦ πότου, ἐπεισέρχεταί τις αὐτοῖς νεανίας, γενναῖος τοὺς ὤμους, οὔπω μεθύων, φιάλην φέρων εὐμεγέθη οἴνου κατεψυγμένου· ὅς, τὸν οἰνοχόον αὐτῶν παρωσάμενος, καταστὰς (60) εἰς τὸ μέσον, διὰ σκολιῶν σωλήνων ἴσην τοῖς συμπόταις διανέμει τὴν μέθην. Καινὸν τοῦτο τῆς ἀμετρίας τὸ μέτρον, ἵνα B κατ' ἰσομοιρίαν ἀλλήλοις συνασελγαίνωσι, μηδένα ὑπερβάλλειν ἐν τῷ πίνειν τὸν ἕτερον. Διελόμενοι γὰρ τὰς ὑδρορρόας, καὶ τὴν πρὸς ἑαυτὸν ἕκαστος τετραμμένην ὑποδεξάμενοι, ὥσπερ ἀπό τινος δεξαμενῆς ἀπνευστὶ πίνουσιν ὡς οἱ βόες, τοσοῦτον ὑφέλκειν (61) ἐπειγόμενοι τοῖς λαιμοῖς, ὅσον αὐτοῖς ἄνωθεν ὁ ψυκτὴρ διὰ τῶν ἀργυρέων ὀχετῶν ἐπαφίησι. Κατάκυψόν σου πρὸς τὴν ἀθλίαν γαστέρα· κατάμαθε τοῦ ὑποδεχομένου ἀγγείου τὸ μέγεθος· ὅτι μιᾶς κοτύλης (62) ἔχει κοιλότητα. Μὴ πρὸς τὴν οἰνοχόην ἀφόρα, πότε κενώσῃς, ἀλλὰ πρὸς τὴν σεαυτοῦ κοιλίαν, ὅτι πάλαι πεπλήρωται. Διὰ τοῦτο, *Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωῒ καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ*, καὶ διημερεύοντες ἐν τῇ μέθῃ· ὡς μηδένα καιρὸν ἑαυτοῖς παρέχειν εἰς τὸ τὰ ἔργα Κυρίου ἐμβλέ- C πειν. καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ κατανοεῖν. *Ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει*· διότι τὸ ἐκ τοῦ οἴνου θερμὸν, ἐγγινόμενον τῇ σαρκὶ, ἔξαμμα γίνεται τῶν πεπυρωμένων βελῶν τοῦ ἐχθροῦ. Τὸν μὲν γὰρ λογισμὸν καὶ τὸν νοῦν ὁ οἶνος καταβαπτίζει· τὰ δὲ πάθη καὶ τὰς ἡδονὰς ὥσπερ τι σμῆνος μελισσῶν ἐπεγείρει. Ποῖον γὰρ ἅρμα πώλων οὕτως ἀτάκτως φέρεται, ἀποβαλὸν (63) τὸν ἡνίοχον; Ποῖον δὲ πλοῖον ἀκυβέρνητον, ὑπὸ τῶν κυμάτων, ὡς ἂν τύχῃ, φερόμενον, οὐκ ἀσφαλέστερόν ἐστι τοῦ μεθύοντος;

8. Ἀπὸ τοιούτων κακῶν, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, κοινοὺς συστησάμενοι χοροὺς, δαίμονι οἰνηρῷ τὰς ψυχὰς παραδόντες, ἀλλήλους ταῖς ἀκίσι τῶν παθῶν ἀντετίτρωσκον. Γέλωτες παρ' ἀμφοτέρων, ᾄσματα D αἰσχρὰ, σχήματα πορνικὰ, ἐρεθίζοντα πρὸς ἀσέλγειαν. Γελᾷς, εἰπέ μοι, καὶ τέρπῃ τέρψιν ἀκόλαστον, δακρύειν δέον (64) καὶ στένειν ἐπὶ τοῖς φθάσασιν; Ἄσματα πόρνης φθέγγῃ, ἐκβαλὼν τοὺς ψαλμοὺς καὶ τοὺς ὕμνους, οὓς ἐδιδάχθης. Κινεῖς πόδας, καὶ ἐξάλλῃ ἐμμανῶς (65), καὶ χορεύεις ἀχόρευτα, δέον τὰ γόνατα

[63] Isa. v, 11. [64] ibid.

(59) In Reg. tertio e regione vocis διακορεῖς legitur κεκορεσμένοι, sic ut posterior vox prioris declaratio sit.

(60) Sic mss. multi. Editi et Colb. primus καὶ στάς. Mox Colb. primus διανέμει τὸν οἶνον, *distribuit vinum* : quod optimum judicarem, nisi vox ἴσην, quæ in omnibus mss. legitur, necessario substantivum femininum postularet.

(61) Colb. tertius ἐφέλκειν.

(62) Sunt qui existiment novem circiter uncias liquoris in cotyla contineri : quantum fere heminа continere dicitur a quibusdam; nec enim ea de re satis inter se conveniunt eruditi.

(63) Antiqui duo libri ἀποβάλλον.

(64) Reg. primus δακρύειν δεῖ.

(65) Colb. tertius ἐκμανῶς. Mox idem codex πρὸς τὰς προσκυνήσεις.

κάμπτειν εἰς τὴν προσκύνησιν; Τίνας ὀδύρωμαι; A τὰς κόρας τὰς ἀπειρογάμους; ἢ τὰς ἐν τῷ ζυγῷ τοῦ γάμου κατεχομένας; Αἱ μὲν γὰρ ἐπανῆλθον, τὴν παρθενίαν οὐκ ἔχουσαι· αἱ δὲ τὴν σωφροσύνην τοῖς ἀνδράσιν οὐκ ἐπανήγαγον. Εἰ γάρ πού τινες καὶ τῷ σώματι τὴν ἁμαρτίαν διέφυγον, ἀλλὰ πάντως γε ταῖς ψυχαῖς τὴν φθορὰν ὑπεδέξαντο. Ταῦτά μοι καὶ περὶ τῶν ἀῤῥένων εἰρήσθω. Εἶδε κακῶς, ἐθεάθη (66) κακῶς. *Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν.* Εἰ αἱ ἀπὸ ταυτομάτου συντυχίαι τοῖς περιέργως κατασκοποῦσι τοσοῦτον ἔχουσι κίνδυνον, αἱ κατ' ἐπιτήδευσιν ἀπαντήσεις, ὥστε ἰδεῖν γυναῖκας ἀσχημονούσας ὑπὸ τῆς μέθης, καὶ κατασχηματιζομένας πρὸς ἔκλυσιν, καὶ μέλη τεθρυμμένα ᾀδούσας, δυνάμενα καὶ μόνον ἀκουσθέντα πάντα οἶστρον ἡδονῆς ἐμποιῆσαι τοῖς ἀκολάστοις, τί ἐροῦσιν, ἢ τί ἀπο- B λογήσονται, ἐκ τοιούτων θεαμάτων μυρίων ἑσμὸν τῶν κακῶν συλλεξάμενοι; Οὐχ, ὡς διὰ τοῦτο ἐμβλέψαντες, ἵνα τὰς ἐπιθυμίας ἐγείρωσιν (67); Οὐκοῦν ὑπόδικοί εἰσι, κατὰ τὴν ἀπαραίτητον ἀπόφασιν τοῦ Κυρίου, τῷ κρίματι τῆς μοιχείας. Πῶς ὑμᾶς ἡ Πεντηκοστὴ ὑποδέξεται, οὕτω τοῦ Πάσχα καθυβρισθέντος; Ἡ Πεντηκοστὴ τοῦ Πνεύματος ἔσχε τοῦ ἁγίου τὴν ἐναργῆ καὶ πᾶσι γνωρίμην ἐπιδημίαν· σὺ δὲ, προλαβὼν, σεαυτὸν οἰκητήριον τοῦ ἀντικειμένου ἐποίησας πνεύματος, καὶ ἐγένου ναὸς εἰδώλων, ἀντὶ τοῦ γενέσθαι ναὸς Θεοῦ διὰ τῆς ἐνοικήσεως τοῦ Πνεύματος τοῦ ἁγίου. Ἐπεσπάσω τὴν ἀρὰν τοῦ προφήτου εἰπόντος ἐκ προσώπου τοῦ Θεοῦ, ὅτι *Στρέψω τὰς ἑορτὰς αὐτῶν εἰς πένθος.* Πῶς τῶν οἰκετῶν ἄρξετε (68), αὐτοὶ C δουλεύοντες ἐπιθυμίαις ἀνοήτοις καὶ βλαβεραῖς ὡς ἀνδράποδα; Πῶς τοὺς παῖδας νουθετήσετε, ἀνουθέτητον ζωὴν καὶ ἀδιάτακτον ζῶντες; Τί οὖν; Ἐν τούτοις ὑμᾶς καταλείπω; Ἀλλὰ φοβοῦμαι, μή πως ὁ μὲν ἀνυπότακτος στραγότερος γένηται (69), ὁ κατανενυγμένος τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ. *Ἴαμα* γὰρ, φησὶ, *καταπαύσει ἁμαρτίας μεγάλας.* Ἡ νηστεία τὴν μέθην θεραπευσάτω· ψαλμὸς τὴν αἰσχρὰν μελῳδίαν· δάκρυον γενέσθω τοῦ γέλωτος ἴαμα· ἀντὶ τῆς ὀρχήσεως τὸ γόνυ κλινέσθω· ἀντὶ τοῦ κρότου τῶν χειρῶν τὸ στῆθος τυπτέσθω· ἀντὶ τοῦ κόσμου τῆς ἐσθῆτος ἡ ταπείνωσις. Ἐπὶ πᾶσιν ἡ ἐλεημοσύνη ἐξαγοραζέτω σε ἀπὸ τῆς ἁμαρτίας. *Λύτρον* γὰρ *ἀνδρὸς ὁ ἴδιος αὐτοῦ πλοῦτος.* Πολλοὺς ἐργάτευσον τῶν θλιβομένων εἰς τὴν κοινωνίαν D τῆς προσευχῆς, εἰ ἄρα σοι ἀφεθήσεται ἡ ἐπίνοια τῆς κακίας. Ὅτε ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν· (ἡ δὲ παιδιὰ αὐτῶν εἰδωλολατρεία ἦν·) τότε οἱ Λευῖται, κατὰ τῶν ἀδελφῶν ἑαυτοὺς ἐξοπλίσαντες, εἰς ἱερωσύνην τὰς χεῖρας ἑαυτῶν

cum genua flexa oportuisset ad adorandum? Utras lugebo? puellasne nuptiarum inexpertas, an connubii jugo subditas? Illæ quidem amissa virginitate reversæ sunt; hæ vero pudicitiam maritis haud retulerunt. Nam si quæ forte peccatum vitarunt corpore, omnino tamen in animis corruptionem susceperunt. Hæc et de viris a me dicta sint. Aspexit nequiter, nequiter conspectus est. *Qui aspexerit mulierem ad concupiscendum, jam mœchatus est* [45]. Si ob fortuitos casus tantum periculum impendet obiter conspicientibus, quantum futurum est ob occursus qui de industria fiunt, ut videant mulieres præ ebrietate se indecore gerentes, suosque gestus componentes ad lasciviam, et cantilenas molles canentes, quæ vel auditæ solum, omne voluptatis œstrum lascivientibus ingerere possunt? Quid dicent, aut quid causabuntur, qui ex ejusmodi spectaculis ingens malorum examen sibi collegere? Nonne se ideo aspexisse, ut concupiscentiam excitarent? Obnoxii igitur sunt judicio adulterii secundum inevitabilem Domini sententiam. Quomodo vos Pentecoste excipiet, qui in Pascha fuistis ita contumeliosi? In Pentecoste Spiritus sancti adventus manifestus **130** fuit et notus omnibus : tu vero in antecessum temet adversarii spiritus habitaculum effecisti, et templum factus es idolorum, cum debuisses templum Dei fieri per Spiritus sancti inhabitationem [46]. Accersivisti exsecrationem prophetæ, in Dei persona dicentis : *Convertam solemnitates eorum in luctum* [47]. Quomodo servis imperabitis, cum vos quasi mancipia stolidis ac exitiosis cupiditatibus inserviatis? Quomodo castigabitis liberos, cum vos incastigatam vitam atque incompositam vivatis? Quid igitur? Num vos in his relinquam? Sed vereor, ne forte qui immoriger est, fiat inde impudentior; qui vero compunctus est, tristitia abundantiore absorbeatur [48]. Nam, inquit, *Medela sedabit peccata magna* [49]. Jejunio curetur ebrietas; psalmo, cantilena obscena; lacrymæ sint risus remedium; pro saltatione genu flectatur; pro manuum plausu pectus percutiatur; pro vestitus ornatu ostendatur humilitas. In primis redimat te a peccato eleemosyna [50]. Nam *Pretium redemptionis viri, sunt suæ ipsius divitiæ* [51]. Plures eorum, qui in ærumnis versantur, fac habeas socios precationis, si forte nequitiæ consilium tibi remittatur. Quando sedit populus ad edendum et bibendum, et surrexerunt ad ludendum [52] (ludus autem ipsorum idololatria erat) : tunc Levitæ in suos fratres armati, manus suas in sacerdotium consecrarunt. Itaque et vobis

[45] Matth. v, 28. [46] Rom. viii, 11. [47] Amos viii, 10. [48] II Cor. ii, 7. [49] Eccle. x, 4. [50] Dan. iv, 24. [51] Prov. xiii, 8. [52] Exod. xxxii, 6.

(66) Colb. primus pro ἐθεάθη habet ἐθέλχθη, *allectus est*, non ita recte. Ibidem Reg. primus ἐμβλέψας γυναῖκα.

(67) Colb. primus ἐγείρωσι, καὶ διὰ τοῦτο προδήλως· οὐκοῦν. Sed totum illud, καὶ διὰ τοῦτο προδήλως, peregrinum esse et absonum, nemo, opinor, negabit. Statim, ubi et in editis et in mss. legitur ἐναργῆ, sine dubio interpres vetus legerat ἐνεργῆ, cum sic vertat, *adventum efficacem habet.*

(68) Antiqui tres libri ἄρξητε.... νουθετησητε.

(69) Utraque editio ῥαθυμότερος γένηται, *fiat segnior*. At quinque Mss. στραγότερος γένηται, *fiat impudentior*. Notandum tamen in ora Colbertini primi scriptum inveniri ῥαθυμότερος. Codex Coisl. στρατηγότερος.

qui Dominum timetis, quotquot nunc de actionum improbatarum turpitudine doluistis, illud præcipimus : Si videritis quos stultitiæ gestorum suorum pœniteat, eorum misereamini tanquam vestrorum membrorum ægrotantium : sin pervicaces ac vestram pro ipsis mœstitiam spernentes, *Exite de medio eorum, et separemini, et immundum ne tangatis* [53] : ut sic illi quidem pudore affecti, suam ipsorum pravitatem cognoscant : vos vero mercedem æmulationis Phinees recipiatis [54], justo judicio Dei ac Salvatoris nostri Jesu Christi, cui gloria et imperium in sæcula sæculorum. Amen.

A ἐτελέσωσαν. Καὶ ὑμῖν τοίνυν τοῖς φοβουμένοις τὸν Κύριον, ὅσοι νῦν ἐπεστυγνάσατε ἐπὶ τῇ ἀσχημοσύνῃ τῶν καταγνωσθέντων, ἐκεῖνο διαστελλόμεθα· Ἐὰν μὲν ἴδητε μετανοοῦντας ἐπὶ τῇ ἀτοπίᾳ τῶν πεπραγμένων, συμπαθήσατε ὡς οἰκείοις μέλεσι νενοσηκόσιν· ἐὰν δὲ ἀπαυθαδιαζομένους καὶ καταφρονοῦντας τῆς ὑμετέρας ἐπ' αὐτοῖς λύπης, *Ἐξέλθετε* (70) *ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε*· ἵνα οὕτως οἱ μὲν ἐντραπέντες εἰς ἐπίγνωσιν ἔλθωσι τῆς οἰκείας κακίας· ὑμεῖς δὲ τοῦ ζήλου τοῦ Φινεὲς τὸν μισθὸν ὑποδέξησθε, διὰ τῆς δικαιοκρισίας τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA XV.

De fide.

1. Dei quidem jugiter meminisse, res pia est, et qua Dei amans animus nunquam exsatiatur : quæ vero sunt Dei, sermone prosequi audax cœptum fuerit; cum mens nostra longo intervallo a rerum dignitate absit, rursusque sermo obscure ac imperfecte intellecta exprimat. Itaque si intelligentiam nostram longe superet rerum magnitudo, sermo autem ab ipsa intelligentia superetur, quomodo silere necesse non fuerit, ne forte theologiæ dignitas ex verborum tenuitate periclitari videatur? Dei quidem gloria afficiendi cupido quibusvis ratione præditis insita est natura : sed rei pro dignitate tractandæ impares sunt ex æquo omnes. Quanquam autem pietatis studio alter alteri præstamus : nemo tamen ita cæcutit, seque ita seducit,
131 ut ad summum comprehensionis apicem pervenisse se existimet; imo quanto magis videbitur cognitione ac scientia proficere, tanto amplius suam imbecillitatem sentiet. Talis erat Abraham, talis erat Moyses : quibus cum licuit Deum videre, quantum videre homini fas est, tunc maxime uterque humilem se præstitit. Abraham quidem nominat semet terram ac cinerem [55] : Moyses vero se dicit hominem voce gracili et lingua tarda [56]. Videbat enim eam esse linguæ debilitatem, quæ rerum intellectarum magnitudini enarrandæ inservire non posset. Sed quia auris omnis nunc aperta est ad theologiam audiendam, nec Ecclesia satiatur ejusmodi auditionibus, confirmans quod ab Ecclesiaste dictum est : *Non implebitur auris auditu* [57], dicere

B

ΟΜΙΛΙΑ ΙΕ'.

Περὶ πίστεως (71).

1. Θεοῦ μεμνῆσθαι μὲν διηνεκῶς, εὐσεβὲς καὶ κόρον οὐκ ἔχον τῇ φιλοθέῳ ψυχῇ· λόγῳ δὲ διεξιέναι τὰ περὶ Θεοῦ, τολμηρόν· τῆς μὲν διανοίας πολλῷ τῷ μέτρῳ τῆς ἀξίας τῶν πραγμάτων ἀποπιπτούσης, πάλιν δὲ τοῦ λόγου ἀμυδρῶς παριστῶντος τὰ νοηθέντα. Εἰ οὖν ἡ μὲν διάνοια ἡμῶν παρὰ πολὺ τοῦ μεγέθους τῶν πραγμάτων ἀπολιμπάνεται, ὁ δὲ λόγος ἐλάττων ἐστὶ καὶ αὐτῆς τῆς διανοίας (71*)· πῶς οὐκ ἀναγκαία ἡ σιωπὴ, μήποτε ἐν τῇ τῶν ῥημάτων εὐτελείᾳ δόξῃ κινδυνεύειν τῆς θεολογίας τὸ θαῦμα; Ἡ μὲν οὖν τοῦ δοξάζειν τὸν Θεὸν ἐπιθυμία πᾶσι τοῖς λογικοῖς (72) κατὰ φύσιν ἐνέσπαρται· τοῦ δὲ πρὸς ἀξίαν εἰπεῖν πάντες ὁμοίως ἀπολιμπάνονται. Τῇ δὲ
C περὶ τὴν εὐσέβειαν προθυμίᾳ ἕτερος ἑτέρου διενηνόχαμεν· οὐδεὶς δὲ οὕτως τετύφλωται, καὶ (72*) φρεναπατᾷ ἑαυτὸν, ὥστε οἴεσθαι ἐπὶ τὸ ἀκρότατον ἀναβεβηκέναι τῆς καταλήψεως· ἀλλ' ὅσῳπερ ἂν δόξῃ προκόπτειν ἐπὶ τὴν γνῶσιν, τοσούτῳ πλέον (73) αὐτοῦ τῆς ἀσθενείας αἰσθήσεται. Τοιοῦτος ἦν Ἀβραὰμ, τοιοῦτος ἦν Μωϋσῆς· ὅτε ἰδεῖν Θεὸν ἠδυνήθησαν, ὡς ἰδεῖν δυνατὸν ἀνθρώπῳ, τότε μάλιστα ἑαυτὸν ἑκάτερος ἐξηυτέλιζεν· ὁ μὲν Ἀβραὰμ γῆν καὶ σποδὸν (73*) ἑαυτὸν ὀνομάζων, ὁ δὲ Μωϋσῆς ἰσχνόφωνον λέγων καὶ βραδύγλωσσον. Ἑώρα γὰρ τῆς γλώσσης αὐτοῦ τὸ ἀσθενὲς, ὑπηρετεῖν τῷ μεγέθει τῶν νοηθέντων μὴ δυναμένης. Πλὴν ἀλλ' ἐπειδὴ πᾶσα ἀκοὴ ἤνοικται νῦν πρὸς θεολογίας ἀκρόασιν, καὶ κόρος
D οὐκ ἔστι τῇ Ἐκκλησίᾳ τῶν τοιούτων ἀκροαμάτων, βεβαιούσῃ τὸν τοῦ Ἐκκλησιαστοῦ λόγον, ὅτι *Οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως*, ἀναγκαῖον λέ-

[53] Isa. LII, 11; II Cor. VI, 17. [54] Num. XXV, 11. [55] Gen. XVIII, 27. [56] Exod. IV, 10. [57] Eccle. I, 8.

(70) Colb. tertius τῆς ἡμετέρας.... αἴσθησθε, ἐξέλθατε. Alii duo mss. et editi ut in contextu.

(71) Vide infra interpretationem Rufini. Edit.

(71*) Illud ὁ δὲ λόγος ἐλάττων ἐστὶ καὶ αὐτῆς τῆς διανοίας, sic, velim accipias : Rursus si sermo ne exprimere quidem possit quæ imperfecte intellectu consecuti sumus.

(72) Editio Paris. et Colb. primus λογικοῖς καὶ ἀλόγοις, *ratione præditis, et eadem carentibus.* At illud, καὶ ἀλόγοις, deest in editione Basil. et in quatuor libris veteribus : quod melius visum est.

(72*) Utraque editio τετύφλωται καί, etc., *ita cæcutit.* Codex Coisl. et alii tres τετύφωται, etc., *ita superbit.* Reg. secundus τετύφλωται ὥστε φρεναπατᾷν ἑαυτὸν ὡς, et ita quoque legitur in Reg. primo, sed secundis curis duntaxat. Colb. primus τετύφλωται ὥστε φρεναπατᾷν ἑαυτὸν, ὥστε. Difficile dictu est, scripseritne Basilius τετύφλωται, an τετύφωται : sed sine periculo indiscriminatim hoc aut illo modo legi potest.

(73) Colb. primus τοσούτῳ μᾶλλον. Ibidem Colb. tertius ἑαυτοῦ.

(73*) Editi γῆν ἑαυτὸν καὶ σποδόν. At mss. ut in contextu, alio ordine. Aliquanto post Colb. primus ἀκοὴ ἀνέῳκται.

γειν (74) εἰς δύναμιν. Ἐροῦμεν δὲ, οὐχ ὅσος ἐστὶν ὁ A Θεὸς, ἀλλ' ὅσον ἡμῖν ἐφικτόν. Οὐδὲ γὰρ, ἐπειδὴ τὸν μεταξὺ οὐρανοῦ καὶ γῆς τόπον διαβῆναι ὅλον τοῖς ὀφθαλμοῖς ἀδυνατοῦμεν, ἤδη καὶ ὅσον δυνάμεθα καθορᾷν παραιτούμεθα· οὕτω καὶ νῦν διὰ μικρῶν ῥημάτων τὴν εὐσέβειαν ἀποπληρώσωμεν, τῷ δὲ μεγαλείῳ τῆς φύσεως συγχωρήσωμεν ἔχειν κατὰ παντὸς λόγου τὰ νικητήρια. Οὐδὲ γὰρ αἱ τῶν ἀγγέλων γλῶσσαι (75), αἵτινές ποτέ εἰσιν, οὐδὲ αἱ τῶν ἀρχαγγέλων, μετὰ πάσης ὁμοῦ τῆς λογικῆς φύσεως συναχθεῖσαι, πολλοστοῦ μέρους ἐφικέσθαι δυνήσονται, μὴ ὅτι τῷ παντὶ ἑαυτὰς ἐξισῶσαι. Σὺ δὲ, εἰ βούλει περὶ Θεοῦ λέγειν τι ἢ ἀκούειν, ἄφες τὸ σῶμα σεαυτοῦ, ἄφες τὰς σωματικὰς αἰσθήσεις, κατάλειπε τὴν γῆν, κατάλειπε (76) τὴν θάλασσαν, κάτω σεαυτοῦ ποίησον τὸν ἀέρα, παράδραμε ὥρας, καιρῶν B εὐταξίας, τὰς περὶ γῆν διακοσμήσεις· ὑπὲρ τὸν αἰθέρα γενοῦ· διάβηθι τοὺς ἀστέρας, τὰ περὶ αὐτοὺς θαύματα, τὴν εὐκοσμίαν αὐτῶν, τὰ μεγέθη, τὰς χρείας ὅσας παρέχονται τῷ παντὶ, τὴν εὐταξίαν, τὴν λαμπρότητα, τὴν θέσιν, τὴν κίνησιν· ὅπως πρὸς ἀλλήλους σχέσεως ἢ ἀποστάσεως ἔχουσι. Πάντα διαβὰς τῷ λόγῳ, τὸν οὐρανὸν ὑπερκύψας, καὶ ὑπεράνω τούτου γενόμενος, μόνῃ διανοίᾳ περίβλεψαι τὰ ἐκεῖ κάλλη, στρατιὰς ἐπουρανίους, χοροστασίας ἀγγέλων, τὰς τῶν ἀρχαγγέλων ἐπιστασίας, τὰς δόξας τῶν κυριοτήτων, τὰς προεδρίας τῶν θρόνων, τὰς δυνάμεις, τὰς ἀρχὰς, τὰς ἐξουσίας. Διαδραμὼν τὰ σύμπαντα, καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν ἀνανεύσας τοῖς λογισμοῖς, καὶ ἐπέκεινα (77) τούτων τὸν νοῦν ἀνυψώσας, ἐννόη- C σον τὴν θείαν φύσιν· ἑστῶσαν, ἄτρεπτον, ἀναλλοίωτον, ἀπαθῆ, ἁπλῆν, ἀσύνθετον, ἀδιαίρετον, φῶς ἀπρόσιτον (78), δύναμιν ἄφατον, μέγεθος ἀπεριόριστον, δόξαν ὑπεραστράπτουσαν, ἀγαθότητα ἐπιθυμητὴν, κάλλος ἀμήχανον, σφοδρῶς μὲν τῆς τετρωμένης ψυχῆς καθαπτόμενον, λόγῳ δὲ δηλωθῆναι πρὸς ἀξίαν ἀδύνατον.

pro virili necesse est. Dicemus autem, non quantus est Deus, sed quantum possumus nos assequi. Nec enim quoniam medium hunc inter cœlum et terram locum oculis totum collustrare non possumus, continuo, certe quoad ejus fieri potest, conspicere nolumus: sic etiam nunc paucis verbis pietati faciamus satis, sed in toto sermone victoriam dignitati naturæ atque amplitudini concedamus. Neque enim linguæ angelorum, quæcunque illæ sunt, neque archangelorum, eæque cum tota simul rationali natura coactæ, ad minimam partem pertingere poterunt, nedum toti explicandæ pares sint. Tu vero si quid voles de Deo dicere, aut audire; dimitte corpus tuum, dimitte corporeos sensus, relinque terram, relinque mare, aerem infra teipsum colloca, prætergredere ætates, temporum constitutos ordines, terræ ornamenta: supra æthera tollere, transcende stellas, omnia quæcunque in eis admirationi sunt, earum ornatum, magnitudinem, quidquid ex eis orbis universus capit utilitatis, rectum ordinem, splendorem, situm, motum, quomodo inter se conjungantur, aut sejungantur a se invicem. Omnia mente ac ratione prætergressus, transvolans cœlum, illoque effectus excelsior, cogitatione sola pulcherrima quæque circumspice, exercitus cœlestes, choros angelorum, archangelorum dignitates, gloriam dominationum, thronorum sedes, virtutes, principatus, potestates. Prætermissis omnibus, emergente ratione supra omnem creaturam, mente ultra hæc erecta, contemplare divinam naturam: stantem, immutabilem, varietatis expertem, affectionum vacuam, simplicem, compositioni nulli obnoxiam, indivisibilem, lucem inaccessam [58], potentiam ineffabilem, magnitudinem finibus nullis circumscriptam, gloriam supermicantem, bonitatem desiderabilem, pulchritudinem singularem, qua quidem animus sauciatus vehementer percellatur, sed quæ pro dignitate verbis explicari non possit.

2. Ἐκεῖ Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, ἡ ἄκτιστος φύσις, τὸ δεσποτικὸν ἀξίωμα, ἡ φυσικὴ ἀγαθότης. Πατήρ· ἡ πάντων ἀρχὴ, ἡ αἰτία τοῦ εἶναι τοῖς οὖσιν, ἡ ῥίζα τῶν ζώντων. Ὅθεν προῆλθε ἡ πηγὴ τῆς ζωῆς, ἡ σοφία, ἡ δύναμις, ἡ εἰκὼν ἡ D ἀπαράλλακτος τοῦ ἀοράτου Θεοῦ, ὁ ἐκ τοῦ Πατρὸς γεννηθεὶς Υἱὸς, ὁ ζῶν Λόγος, ὁ Θεὸς ὢν, καὶ πρὸς τὸν Θεὸν ὤν· ὢν, οὐχὶ προσγενόμενος (79)· ὑπάρχων πρὸ τῶν αἰώνων, οὐχὶ προσκτηθεὶς ὕστερον· Υἱὸς, οὐχὶ κτῆμα· ποιητὴς, οὐχὶ ποίημα· κτίστης,

2. Illic Pater et Filius et Spiritus sanctus, increata natura, Dominica majestas, naturalis bonitas. Pater omnium principium, eorum quæ exsistunt causa, radix viventium. Unde prodiit vitæ fons, sapientia, virtus, Dei invisibilis in omnibus simillima imago [59], Filius ex Patre genitus, vivens Verbum, Deus exsistens, et exsistens **132** apud Deum [60]: exsistens, non adventitius: exsistens ante sæcula, non postea acquisitus; Filius, non possessio; opifex, non opificium; creator, non crea-

[58] I Tim. VI, 16. [59] Coloss. I, 15. [60] Joan. I, 2.

(74) Veteres aliquot libri ἀνάγκη λέγειν. Mox Colb. tertius οὐχ ὅσον.
(75) Colb. primus ἀγγέλων φωναί.
(76) Antiqui tres libri κατάλειπε τὴν.... κατάλειπε. Editi κατάλιπε... κατάλιπε.
(77) Editi καὶ τὰ ἐπέκεινα. Vocula τά in omnibus mss. deest.
(78) Reg. primus et duo Colbertini φῶς οἰκῶν. Vitiosum autem id esse cum viderent typographi Parisienses, qui Regio primo codice utebantur, de suo, opinor, ita emendarunt: φῶς οἰκοῦσαν ἀπρόσιτον. At in editione Basil. et in Regiis secundo et tertio, inque Colb. tertio verius et simplicius scribitur φῶς ἀπρόσιτον.
(79) Colb. primus προγενόμενος, haud recte. Mox unus ms. οὐχὶ δὲ κτίσμα.

tura : omnia exsistens, quæcunque est Pater, Filius, inquam, et Pater. Observa mihi has proprietates. Manens igitur in eo quod est Filius, omnia est Pater, secundum ipsius Domini vocem, dicentis : *Omnia quæcunque habet Pater, mea sunt* [61]. Revera enim omnia quæ archetypo exemplari adsunt, imaginis sunt. *Vidimus* enim, inquit evangelista, *gloriam ejus, gloriam quasi Unigeniti a Patre* [62] : hoc est, non ex dono et munere data ei sunt miracula, sed ex naturæ communione Filius habet paternæ divinitatis majestatem. Nam accipere, commune est et creaturæ : habere autem ex natura, proprium est geniti. Itaque ut Filius, naturaliter possidet quæ sunt Patris : ut Unigenitus, omnia in seipso comprehendit, cum nihil quidquam cum altero dividatur. Ex ipsa igitur Filii appellatione discimus naturæ esse consortem, non jussu creatum, sed sine ullo intervallo ex substantia splendentem, sine ullo temporis spatio cum Patre conjunctum, æqualem in bonitate, æqualem in potestate, consortem majestatis. Ecquid enim, nisi sigillum et imago, ostendens in se Patrem totum? Quæcunque autem postea, hominum dispensans salutem, quam nobis per carnem conspicuus effectus exhibuit, ita tibi ex corporis constitutione edisserit, ut dicat missum se esse, et nihil a seipso facere posse, et accepisse se mandatum et alia id genus, ne ullam tibi occasionem præbeant ad imminuendam Unigeniti divinitatem. Nam humilis ille ad tuam infirmitatem accessus, dignitatem potentis minuere non debet : sed naturam intellige congruenter Deo convenienterque, verba vero humiliora de incarnatione accipe. De quibus si vellemus nunc accurate tractare, incauti ac imprudentes multam, imo infinitam verborum copiam ad susceptum argumentum aggereremus.

3. Sed ad propositum revertamur. Mens quæ a terrenis affectionibus pura esse potuerit, omnemque intelligibilem creaturam relinquere, et quasi piscis aliquis e profundo ad summam superficiem enatare, jam in creationis puritate constituta, illic videbit Spiritum sanctum, ubi Filius est, et ubi Pater : qui et ipse omnia coessentialiter secundum naturam habet, bonitatem, rectitudinem, sanctimoniam, vitam. Nam, inquit, *Spiritus tuus bonus* [63].

A οὐχὶ κτίσμα· πάντα ὢν ὅσα ἐστὶν ὁ Πατήρ· Υἱὸς, εἶπον, καὶ Πατὴρ (80). Φύλασσέ μοι ταύτας τὰς ἰδιότητας. Μένων (81) οὖν ἐν τῷ εἶναι Υἱὸς, πάντα ἐστὶν ὅσα ἐστὶν ὁ Πατὴρ, κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ Κυρίου εἰπόντος· *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι*. Τῷ ὄντι γὰρ τῆς εἰκόνος ἐστὶ πάντα, ὅσα πρόσεστι τῇ πρωτοτύπῳ μορφῇ. *Ἐθεασάμεθα* γὰρ, φησὶν ὁ εὐαγγελιστὴς, *τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός*· τουτέστιν, οὐκ ἐκ δωρεᾶς καὶ χάριτος δοθέντων αὐτῷ τῶν θαυμάτων, ἀλλ' ἐκ τῆς κατὰ φύσιν κοινωνίας ἔχοντος τοῦ Υἱοῦ τῆς πατρικῆς θεότητος τὸ ἀξίωμα. Τὸ μὲν γὰρ λαβεῖν κοινὸν καὶ πρὸς τὴν κτίσιν· τὸ δὲ ἔχειν ἐκ φύσεως ἴδιον τοῦ γεννηθέντος. Ὡς μὲν οὖν Υἱὸς, φυσικῶς κέκτηται τὰ τοῦ Πατρός· ὡς δὲ Μονογενὴς, ὅλα ἔχει B ἐν ἑαυτῷ συλλαβὼν, οὐδενὸς καταμεριζομένου πρὸς ἕτερον. Ἐξ αὐτῆς τοίνυν τῆς Υἱοῦ (82) προσηγορίας διδασκόμεθα, ὅτι τῆς φύσεώς ἐστι κοινωνός· οὐ προστάγματι κτισθεὶς, ἀλλ' ἐκ τῆς οὐσίας ἐκλάμψας ἀδιαστάτως, ἀχρόνως τῷ Πατρὶ συνημμένος, ἴσος ἐν ἀγαθότητι, ἴσος ἐν δυνάμει, κοινωνὸς τῆς δόξης. Καὶ τί γὰρ, ἀλλ' ἢ σφραγὶς καὶ εἰκὼν, ὅλον ἐν ἑαυτῷ δεικνὺς τὸν Πατέρα; Ὅσα δέ σοι μετὰ ταῦτα ἀπὸ τῆς σωματικῆς κατασκευῆς διαλέγεται (83), τὴν τῶν ἀνθρώπων σωτηρίαν οἰκονομῶν, ἣν διὰ σαρκὸς ἐπιφανεὶς ἡμῖν ἐπεδείξατο, ἀποστελλόμενον λέγων ἑαυτὸν, καὶ μηδὲν δυνάμενον ἀφ' ἑαυτοῦ ποιεῖν, καὶ ἐντολὴν λαβόντα, καὶ ὅσα τοιαῦτα, μή σοι παρεχέτω ἀφορμὰς πρὸς τὸ κατασμικρύνειν τοῦ Μονογενοῦς τὴν C θεότητα. Οὐ γὰρ ἡ πρὸς τὸ σὸν ἀσθενὲς συγκατάβασις ἐλάττωσις ὀφείλει γίνεσθαι τῆς ἀξίας τοῦ δυνατοῦ· ἀλλὰ τὴν μὲν φύσιν νόει θεοπρεπῶς, τὰ δὲ ταπεινότερα τῶν ῥημάτων δέχου οἰκονομικῶς. Περὶ ὧν εἰ βουληθείημεν ἐν τῷ παρόντι πρὸς ἀκρίβειαν διηγεῖσθαι, λάθοιμεν ἂν ἑαυτοὺς πολύ τι καὶ ἀπέραντον πλῆθος λόγων ἐπεισάγοντες τῇ ὑποθέσει.

3. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανίωμεν. Ὅτι διάνοια ἡ δυνηθεῖσα τῶν τε ὑλικῶν καθαρεῦσαι παθῶν, καὶ τὴν νοητὴν κτίσιν (84) πᾶσαν καταλιπεῖν, καὶ οἷόν τις ἰχθὺς ἀπὸ τοῦ βυθοῦ πρὸς τὴν ἄνω ἐπιφάνειαν ἀνανήξασθαι, ἐν τῷ καθαρῷ τῆς κτίσεως γενομένη, ἐκεῖ ὄψεται τὸ Πνεῦμα τὸ ἅγιον, ὅπου Υἱὸς, καὶ ὅπου Πατὴρ (85), πάντα ἔχον καὶ αὐτὸ συνουσιωμένως (86) κατὰ τὴν φύσιν, τὴν ἀγαθότητα, τὴν εὐθύτητα, τὸν ἁγιασμὸν, τὴν ζωήν. D *Τὸ Πνεῦμα* γὰρ

[61] Joan. XVI, 15. [62] Joan. I, 14. [63] Psal. CXLII, 10.

(80) Reg. primus et Colb. itidem primus Υἱὸν εἶπον καὶ Πατέρα, *Filium dixi et Patrem*. Alii quatuor mss. et utraque editio Υἱὸς, εἶπον, καὶ Πατήρ.

(81) Reg. tertius et Colb. primus ἰδιότητας· ἐκ γὰρ πολυλογίας οὐκ ἐκφεύξεται ἁμαρτία μένων, *nam multiloquio non vitabitur peccatum*. Prov. X, 19. Utraque editio simpliciter ut in contextu. Nec enim quidquam mutandum censuimus, rati hunc Scripturæ locum primum in ora libri positum fuisse, et deinde loco suo inepte motum, in contextum insiluisse.

(82) Codex Coisl. et Colb. secundus cum utraque editione τῆς Υἱοῦ. Alii quinque mss. τῆς Υἱός· sic ut vox Υἱός, quod aiunt, hoc loco absolute et indeclinabiliter sumatur.

(83) Editi διαλέγηται. At mss. sex διαλέγεται.

(84) Conjicit eruditissimus Dan. Wyttenbach. legendum esse τὴν ἀνόητον κτίσιν. Videsis ejus annot. ad Platonis *Phædonem*, pag. 302. EDIT.

(85) Editio utraque et Colb. tertius ὅπου Υἱὸς καὶ ὅπου Πατήρ. Alii duo mss. inverso ordine ὅπου Πατὴρ καὶ ὅπου Υἱός. In aliis duobus mss. additur articulus ὁ Πατήρ.... ὁ Υἱός.

(86) Editio Paris. συνημμένος, corrupte. Editio Basil. et Colb. primus et Reg. itidem primus συνημμένως, *conjunctim*, non male. Alii quinque mss. συνουσιωμένως, *coessentialiter*, seu *in una et eadem essentia*, significantius.

σου, φησὶν, τὸ ἀγαθόν· καὶ πάλιν, *Πνεῦμα εὐθές*· A καὶ πάλιν, *Τὸ Πνεῦμα τὸ ἅγιον*. Καὶ ὁ Ἀπόστολος (87)· *Ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς*. Τούτων οὐδὲν ἐπίκτητον αὐτῷ, οὐδὲ ὕστερον ἐπιγενόμενον πρόσεστιν· ἀλλ' ὥσπερ ἀχώριστον τῷ πυρὶ τὸ θερμαίνειν, καὶ τῷ φωτὶ τὸ λάμπειν· οὕτω καὶ τῷ Πνεύματι τὸ ἁγιάζειν, τὸ ζωοποιεῖν, ἡ ἀγαθότης, ἡ εὐθύτης. Ἐκεῖ τοίνυν ἕστηκε τὸ Πνεῦμα, ἐκεῖ, ἐν τῇ μακαρίᾳ φύσει, οὐ μετὰ πλήθους ἀριθμούμενον, ἀλλ' ἐν τῇ Τριάδι θεωρούμενον· μοναδικῶς ἐξαγγελλόμενον, οὐχ ἐμπεριειλημμένον τοῖς συστήμασιν. Ὡς γὰρ Πατὴρ εἷς, καὶ Υἱὸς εἷς· οὕτως ἓν καὶ τὸ ἅγιον Πνεῦμα. Τὰ δὲ λειτουργικὰ πνεύματα καθ' ἕκαστον τάγμα πλῆθος ἡμῖν ὑποφαίνει δυσεξαρίθμητον. Μὴ τοίνυν ζήτει ἐν τῇ κτίσει τὸ ὑπὲρ τὴν κτίσιν· μὴ B καταγάγῃς τὸ ἁγιάζον μετὰ τῶν ἁγιαζομένων. Τοῦτο πληροῖ ἀγγέλους, πληροῖ ἀρχαγγέλους, ἁγιάζει δυνάμεις, ζωοποιεῖ τὰ σύμπαντα. Τοῦτο εἰς πᾶσαν κτίσιν μεριζόμενον, καὶ ἄλλως ὑπ' ἄλλου μετεχόμενον, οὐδὲν ἐλαττοῦται παρὰ τῶν μετεχόντων. Πᾶσι μὲν τὴν παρ' ἑαυτοῦ χάριν δίδωσιν· οὐκ ἀναλίσκεται δὲ εἰς τοὺς μετέχοντας· ἀλλὰ καὶ οἱ λαβόντες πληροῦνται (88), καὶ αὐτό ἐστιν ἀνενδεές. Καὶ ὥσπερ ὁ ἥλιος ἐπιλάμπων τοῖς σώμασι, καὶ ποικίλως ὑπ' αὐτῶν μετεχόμενος, οὐδὲν ἐλαττοῦται παρὰ τῶν μετεχόντων· οὕτω καὶ τὸ Πνεῦμα πᾶσι τὴν παρ' ἑαυτοῦ χάριν παρέχον, ἀμείωτον μένει καὶ ἀδιαίρετον. Πάντας φωτίζει πρὸς τὴν τοῦ Θεοῦ κατανόησιν, ἐμπνεῖ τοῖς προφήταις, νομοθέτας σοφίζει, ἱερέας τελειοῖ, ἐνισχύει βασιλεῖς, καταρτίζει δικαίους, σεμνύνει σώ- C φρονας, ἐνεργεῖ χαρίσματα ἰαμάτων, ζωοποιεῖ τοὺς νεκροὺς, λύει τοὺς πεπεδημένους, υἱοθετεῖ τοὺς ἠλλοτριωμένους. Ταῦτα διὰ τῆς ἄνωθεν γεννήσεως ἐνεργεῖ. Ἐὰν τελώνην λάβῃ πιστεύοντα, εὐαγγελιστὴν ἀποδείκνυσιν· ἐὰν ἐν ἁλιεῖ γένηται, θεολόγον ἀποτελεῖ· ἐὰν διώκτην εὕρῃ μετανοοῦντα, ἀπόστολον ἐθνῶν ἀπεργάζεται (89), κήρυκα πίστεως, σκεῦος ἐκλογῆς. Δι' αὐτοῦ οἱ ἀσθενεῖς ἰσχυροί· οἱ πτωχοὶ πλουτίζουσιν· οἱ ἰδιῶται τῷ λόγῳ σοφώτεροί εἰσι τῶν σοφῶν. Παῦλος ἀσθενής, ἀλλὰ διὰ τὴν παρουσίαν τοῦ Πνεύματος τὰ σουδάρια τοῦ χρωτὸς αὐτοῦ ἴασιν παρεῖχε τοῖς ὑποδεχομένοις. Πέτρος καὶ αὐτὸς σῶμα περικείμενος ἀσθενείας (90), ἀλλὰ διὰ τὴν ἐνοικοῦσαν χάριν τοῦ Πνεύματος ἡ ἐκπίπτουσα τοῦ σώματος σκιὰ ἀπεδίωκε τὰς νόσους τῶν καταπονου- D μένων. Πτωχὸς Πέτρος καὶ Ἰωάννης· οὐ γὰρ εἶχον ἀργύριον, οὐδὲ χρυσίον (91)· ἀλλ' ἐχαρίζοντο ὑγίειαν πολλῶν χρυσίων τιμιωτέραν. Παρὰ πολλῶν γὰρ λα-

Ac rursus, *Spiritum rectum* [64]. Rursusque, *Spiritum sanctum* [65]. Quin et Apostolus : *Lex Spiritus vitæ* [66]. Horum nihil ascititium ei, nec quidquam postea adventitium adest; sed quemadmodum calefactio separari ab igne non potest, nec splendor a luce : sic nec a Spiritu sanctificatio, vivificatio, bonitas, rectitudo. Illic **133** igitur Spiritus consistit, illic in beata natura; non cum multitudine numeratur, sed in Trinitate conspicitur, solitarie enuntiatur, non in turmis ac cœtibus comprehenditur. Ut enim Pater unus est, et Filius unus : sic unus etiam Spiritus sanctus. At vero administri spiritus in singulis ordinibus multitudinem, quæ vix numerari potest, nobis exhibent. Quod igitur supra creaturam est, id in creatura ne quæras : ne cum sanctificatis deprimas quod sanctificat. Ille replet angelos, replet archangelos, sanctificat potestates, vivificat omnia. Ille in omnem creaturam divisus, cum aliter alius particeps ejus fiat, nihil tamen a participantibus minuitur. Omnibus quidem gratiam suam largitur, non tamen insumitur in participantes, sed et qui acceperunt, replentur, et ipsi nihil quidquam deest. Et quemadmodum sol cum corpora illustrat, et ab eis varie participatur, nihil minuitur a participantibus : ita etiam Spiritus gratiam suam omnibus impertiens, integer manet et indivisus. Omnibus lumen dat ad assequendam Dei notitiam, afflat prophetas, legislatores sapientiam docet, sacerdotes consecrat, corroborat reges, justos perficit, prudentes cohonestat, operatur dona sanationum, vivificat mortuos, solvit compeditos, alienos adoptat in filios. Hæc operatur per supernam generationem. Si publicanum credentem nactus fuerit, reddit evangelistam [67]; si inciderit in piscatorem, theologum facit [68]; si persecutorem pœnitentem offenderit, efficit apostolum gentium, præconem fidei, vas electionis [69]. Per ipsum debiles evadunt fortes, pauperes ditescunt, idiotæ et sermonis rudes sapientia sapientibus præstant. Paulus infirmus; et tamen ob Spiritus præsentiam, corporis ipsius sudaria sanitatem afferebant suscipientibus [70]. Petrus erat et ipse corpore infirmo circumdatus : sed per inhabitantem Spiritus gratiam, umbra e corpore prolapsa morbos ægrotantium fugabat [71]. Pauperes Petrus et Joannes (non enim eis erat argentum, neque aurum [72]) : sed tamen largiebantur sanitatem multis nummis aureis præstantiorem. Nam claudus ille a multis accepto auro, erat adhuc men-

[64] Psal. L, 12. [65] ibid. 13. [66] Rom. VIII, 2. [67] Matth. IX, 9. [68] Matth. IV, 19. [69] Act. IX, 15. [70] Act. XIX, 12. [71] Act. V, 15. [72] Act. III, 6.

(87) Veteres aliquot libri καὶ ὁ Παῦλός φησιν· Ὁ. Mox Reg. primus ἐπιγινόμενόν ἐστιν. Colb. tertius habet quoque ἐστίν. Subinde duo mss. οὕτω καὶ τῷ. Vocula καὶ aberat a vulgatis.

(88) Colb. tertius et Reg. primus λαβόντες πεπλήρωνται. Aliquanto post iidem mss. cum Reg. tertio τὴν ἑαυτῶν χάριν.

(89) Colb. tertius ἐργάζεται. Statim tres aut quatuor mss. διὰ τούτου οἱ ἀσθενεῖς. Nec ita multo infra Reg. primus πτωχοὶ πλουτίζονται.

(90) Antiqui duo libri σώματος περικείμενος ἀσθένειαν. Alii quatuor mss. ita ut edendum curavimus.

(91) In duobus mss., pro οὐδὲ χρυσίον legitur ἢ χρυσίον. Mox editi πολλῷ χρυσίου. Antiqui tres libri πολλῶν χρυσίων. Colb. primus πολλοῦ χρυσίου. Haud longe editi χρυσόν. At mss. χρυσίον.

dicus : sed recepto a Petro beneficio, saliens quasi cervus, Deumque laudans, mendicare desiit. Non noverat Joannes mundi sapientiam, tamen per Spiritus potentiam protulit verba, quæ sapientia nulla potest contueri. Ille et in cœlo consistit, et terram replet, et ubique adest, nec usquam continetur. Totus in unoquoque inhabitat, et totus cum Deo est. Dona ministrat non ministri more : sed sua ipsius auctoritate partitur munera. *Dividit* enim, inquit, *peculiariter unicuique, prout vult* [73]. Mittitur quidem in dispensatoris et œconomi modum : sed agit propria potestate. Precemur illum, ut animis nostris adsit, nec ullo tempore nos deserat, per gratiam Domini nostri Jesu Christi : cui gloria et imperium in sæcula sæculorum. Amen.

A δὼν χρυσίον ὁ χωλὸς, ἔτι προσαίτης ἦν· παρὰ δὲ Πέτρου δεξάμενος τὴν χάριν, ἐπαύσατο προσαιτῶν, ἀλλόμενος ὥσπερ ἔλαφος, καὶ αἰνῶν τὸν Θεόν. Οὐκ ᾔδει Ἰωάννης τὴν τοῦ κόσμου σοφίαν, ἀλλ' ἐφθέγξατο ῥήματα τῇ δυνάμει τοῦ Πνεύματος (92), οἷς οὐδεμία σοφία προσβλέψαι δύναται. Τοῦτο καὶ ἐν οὐρανῷ ἕστηκε, καὶ τὴν γῆν πεπλήρωκε, καὶ πανταχοῦ πάρεστι, καὶ οὐδαμοῦ περιέχεται. Ὅλον ἑκάστῳ ἐνοικεῖ, καὶ ὅλον ἐστὶ μετὰ τοῦ Θεοῦ. Οὐ λειτουργικῶς διακονεῖ τὰς δωρεὰς, ἀλλ' αὐθεντικῶς διαιρεῖ τὰ χαρίσματα. *Διαιρεῖ γὰρ*, φησὶν, *ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται*. Ἀποστέλλεται μὲν οἰκονομικῶς, ἐνεργεῖ δὲ αὐτεξουσίως. Τοῦτο παρεῖναι ταῖς ψυχαῖς ἡμῶν εὐξώμεθα, καὶ μηδένα καιρὸν ἡμᾶς ἀπολιμπάνειν ἐν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα
B καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

134 HOMILIA XVI.

In illud, « In principio erat Verbum » [74].

1. Omnis quidem Evangeliorum vox reliquis documentis a Spiritu traditis magnificentior est et præstantior, quod in his per servos prophetas locutus sit ad nos, in Evangeliis vero Dominus ipse per se nos allocutus sit. Sed qui inter ipsos evangelicos præcones vocalissimus est, quique auditu omni majora, et intelligentia omni altiora locutus est, Joannes est, ille tonitrui filius, cujus audivimus exordium, quod ex Evangelii libro lectum est : *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum* [75]. Novi multos ex iis etiam qui a veritatis doctrina alieni sunt, quique de sapientia mundana gloriantur, hæc et admiratos esse, et scriptis suis inserere ausos fuisse. Fur est enim diabolus; ac nostra, cum fabularum narrator sit, ad suos vates effert. Quod si carnalis sapientia verborum vim tantopere est admirata, quid nos Spiritus discipuli faciemus? Obiterne audiemus, et exiguam quamdam vim in eis inesse existimabimus? Ecquis ita stupidus fuerit, qui tantam sententiæ pulchritudinem tamque incomprehensibilem dogmatum altitudinem non miretur; nec veram eorum comprehensionem concupiscat? At enim admirari pulchra difficile non est : sed ea quæ admirationi fuere perfecte intelligere, hoc arduum est atque perdifficile. Nam et solem hunc sensibilem nemo est qui non laudet : quandoquidem ejus magnitudine et pulchritudine et radiorum æqualitate et

ΟΜΙΛΙΑ ΙϚ'.

Εἰς τὸ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος » (93).

1. Πᾶσα μὲν ἡ τῶν Εὐαγγελίων φωνὴ μεγαλοφυεστέρα τῶν λοιπῶν τοῦ Πνεύματος διδαγμάτων, καθ' ὅτι ἐν ἐκείνοις μὲν διὰ τῶν δούλων ἡμῖν ἐλάλησε τῶν προφητῶν, ἐν δὲ τοῖς Εὐαγγελίοις αὐτοπροσώπως διελέχθη ἡμῖν ὁ Δεσπότης. Αὐτοῦ γε μὴν τοῦ εὐαγγελικοῦ κηρύγματος ὁ μεγαλοφωνότατος, καὶ πάσης μὲν ἀκοῆς μείζονα, πάσης δὲ διανοίας ὑψηλότερα φθεγξάμενος, Ἰωάννης ἐστὶν, ὁ υἱὸς τῆς βροντῆς· οὗ τὸ προοίμιον τῆς εὐαγγελικῆς συγγραφῆς ἄρτι
C ἀναγνωσθὲν ἠκούσαμεν· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*. Ταῦτα οἶδα πολλοὺς καὶ τῶν ἔξω τοῦ λόγου τῆς ἀληθείας μέγα φρονούντων ἐπὶ σοφίᾳ κοσμικῇ καὶ θαυμάσαντας, καὶ τοῖς ἑαυτῶν συντάγμασιν ἐγκαταμῖξαι (94) τολμήσαντας. Κλέπτης γὰρ ὁ διάβολος, καὶ τὰ ἡμέτερα ἐκφερομυθῶν πρὸς τοὺς ἑαυτοῦ ὑποφήτας. Εἰ οὖν ἡ σαρκίνη σοφία τοσοῦτον ἐθαύμασε τῶν ῥημάτων τὴν δύναμιν, τί ποιήσωμεν (95) ἡμεῖς οἱ μαθηταὶ τοῦ Πνεύματος, ἐὰν παρέργως ἀκούσωμεν καὶ μικράν τινα τὴν ἐνυπάρχουσαν αὐτοῖς δύναμιν εἶναι λογισώμεθα; Καὶ τίς οὕτως ἀναισθησίαν νοσῶν, ὥστε τοιοῦτον (96) κάλλος ἐννοίας καὶ βάθος δογμάτων οὕτως ἀνέφικτον μὴ οὐχὶ καταπλαγῆναι, καὶ
D ἐπιθυμῆσαι αὐτῶν τῆς ἀληθοῦς καταλήψεως; Ἀλλὰ γὰρ οὐχὶ τὸ θαυμάσαι τὰ καλὰ δύσκολον, ἀλλὰ τὸ ἐν ἀκριβεῖ κατανοήσει γενέσθαι τῶν θαυμασθέντων, τοῦτο χαλεπὸν καὶ δυσέφικτον. Ἐπεὶ καὶ τὸν ἥλιον τοῦτον τὸν αἰσθητὸν οὐδεὶς μέν ἐστιν ὃς οὐχ ὑπερ-

[73] I Cor. XII, 11. [74] Joan. I, 1. [75] ibid.

(92) Reg. primus et Colb. itidem ἀλλ' ᾔδει τὰ ῥήματα τῆς δυνάμεως τοῦ Πνεύματος, *sed noverat verba potentiæ Spiritus*, quam scripturam judicamus quidem bonam, sed tamen ea non utimur, quod causa nulla sit cur vulgata mutetur, præsertim cum ipsam mss. multi tueantur.

(93) Sic mss. nonnulli. Alii duo εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, *in Evangelium Joannis*, qui titulus longo commentario conveniret magis, quam brevi orationi. Editio Paris. εἰς τὴν ἀρχὴν τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου, *in principium Evangelii secundum Joannem*.

(94) Antiqui tres libri ἐγκαταμῖξαι. Alius ἐγκατατάξαι. Utraque editio et Colb. secundus ἐγκαταλέξαι : quarum lectionum omnium eadem est sententia.

(95) Sic mss. quatuor. Editi ποιήσομεν... ἀκούσομεν... λογισόμεθα. Ibidem quinque mss. ἐὰν παρέργως. Vocula ἐάν in vulgatis desideratur.

(96) Editi ὡς τοιοῦτον. Antiqui sex libri ὥστε.

ἐπαινεῖ, τὸ μέγεθος αὐτοῦ καὶ τὸ κάλλος, καὶ τῶν ἀκτίνων τὴν συμμετρίαν, καὶ τὸ ἀποστίλβον αὐτοῦ φῶς κατασπαζόμενος (97)· ἐὰν μέντοι βιαιότερον φιλονεικήσῃ τῷ κύκλῳ ἀντεξάγειν ἑαυτοῦ τὰς τῶν ὀμμάτων βολὰς, οὐ μόνον οὐ κατόψεται τὰ περισπούδαστα, ἀλλὰ καὶ τὴν ἀκρίβειαν τῆς ὄψεως προσδιαφθείρας οἰχήσεται. Τοιοῦτόν τί μοι δοκῶ τὴν διάνοιαν πάσχειν, τὴν φιλονεικοῦσαν ἀκριβῆ ποιεῖσθαι τῶν προκειμένων ῥημάτων τὴν ἐξέτασιν. *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*. Τίς ἐννοήσει ἀξίως τὰ περὶ τῆς ἀρχῆς; Ποία ῥημάτων δύναμις εὑρεθῇ ὁμοτίμως δυναμένη παραστῆσαι τὸ νοηθέν; Μέλλων παραδιδόναι ἡμῖν τὰ περὶ τῆς θεολογίας τοῦ Υἱοῦ τοῦ Θεοῦ, οὐδεμίαν ἀρχὴν ἄλλην τῷ λόγῳ ἢ τὴν ἀρχὴν τῶν ὅλων ἔδωκεν. Ἤδει (98) τοὺς ἐπιφυομένους τῇ δόξῃ τοῦ Μονογενοῦς τὸ Πνεῦμα τὸ ἅγιον· προῄδει τοὺς μέλλοντας ἡμῖν προφέρειν τὰ σοφίσματα, τὰ ἐπὶ καταστροφῇ τῶν ἀκουόντων αὐτοῖς μεμηχανημένα (99). Ὅτι, Εἰ ἐγεννήθη, οὐκ ἦν· καὶ, Πρὸ τοῦ γεννηθῆναι, οὐκ ἦν· καὶ, Ἐξ οὐκ ὄντων τὴν ὑπόστασιν ἔλαβε. Τοιαῦτα δὲ φθέγγονται γλῶσσαι ἠκονημέναι διὰ πιθανολογίας ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. Ἵνα τοίνυν μηδενὶ λέγειν ἐξῇ τὰ τοιαῦτα, προλαβὸν τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Εὐαγγελίου, *Ἐν ἀρχῇ*, φησὶν, *ἦν ὁ Λόγος*. Ἐὰν κρατῇς ταύτην τὴν φωνὴν, οὐδὲν οὐ μὴ πάθῃς δεινὸν παρὰ τῶν κακοτέχνων. Ἐὰν γὰρ λέγῃ ἐκεῖνος, Εἰ ἐγεννήθη, οὐκ ἦν· σὺ εἰπὲ, *Ἐν ἀρχῇ ἦν*. Ἀλλὰ, φησὶ, πρὶν ἢ γεννηθῆναι (1) πῶς ἦν; Σὺ μὴ ἀφῇς τὸ, *Ἦν*· μὴ καταλίπῃς τὸ, *Ἐν ἀρχῇ*. Ἀρχῆς ἡ κορυφὴ οὐ καταλαμβάνεται· ἀρχῆς τὸ ἐξώτερον οὐχ εὑρίσκεται. Μὴ παραλογίσηταί σέ τις τῷ πολυσήμῳ τῆς λέξεως. Πολλαὶ γὰρ ἀρχαὶ πολλῶν πραγμάτων κατὰ τὸν βίον τοῦτον· ἀλλὰ μία ἀρχὴ ἐπὶ πάντων, ἡ ἐπέκεινα (2). *Ἀρχὴ* γὰρ *ὁδοῦ ἀγαθῆς*, εἶπεν ἡ Παροιμία. Ἀλλ' ὁδοῦ μὲν ἀρχὴ ἡ πρώτη κίνησις, ὅθεν ἀρχόμεθα τῆς πορείας, ἧς τὸ κατόπιν δυνατόν ἐστιν εὑρεῖν. Καὶ, *Ἀρχὴ σοφίας φόβος Κυρίου*. Ἔστι καὶ ταύτης τῆς ἀρχῆς ἕτερόν τι προκείμενον· τῆς γὰρ τῶν τεχνῶν ἀναλήψεως ἀρχή ἐστιν ἡ στοιχείωσις. Στοιχεῖον οὖν ἐστι τῆς σοφίας ὁ φόβος τοῦ (3) Κυρίου· ἀλλὰ ταύτης τῆς ἀρχῆς ἐστί τι πρεσβύτερον, ἡ κατάστασις τῆς ψυχῆς, τοῦ μήπω σοφισθέντος καὶ τὸν φόβον τοῦ Θεοῦ ἀνειληφότος. Ἀρχαὶ (4) λέγονται καὶ αἱ πολιτικαὶ δυναστεῖαι, αἱ τῶν ἀξιωμάτων ὑπεροχαί. Ἀλλ' αὗται αἱ ἀρχαὶ, τινῶν εἰσιν ἀρχαὶ, καὶ πρός τι ἑκάστη. Ἀρχὴ γὰρ τῆς γραμμῆς

splendida luce magnopere delectatur. Attamen si in ipsius orbem oculorum obtutus figere vehementius contenderit, non solum exoptata visurus non est; sed visus etiam integritatem corrumpet. Tale aliquid arbitror accidere menti ei, quæ accuratius scrutari conatur hæc verba: *In principio erat Verbum.* Quis quæ ad principium spectant, ut par est, intelliget? Quænam verborum vis inveniatur, quæ pro rei dignitate possit cogitata exprimere? Traditurus nobis Joannes quæ ad theologiam Filii Dei attinent, nullum aliud orationis exordium nisi principium universorum prætulit. Spiritus sanctus noverat qui essent adorturi Unigeniti gloriam; præviderat qui essent nobis objecturi sophismata, quæ ipsi ad subvertendos auditores excogitassent. Nimirum, Si genitus est, non erat: et, Antequam gigneretur, non erat: item, Ex non exsistentibus subsistentiam accepit. Linguæ enim per verba suasoria exacutæ magis quam anceps quivis gladius, loquuntur talia. Ne igitur similia cuiquam dicere liceat, Spiritus sanctus hæc in Evangelio occupans dixit: **135** *In principio*, inquit, *erat Verbum*. Hanc vocem si tenueris, nihil a maleficis illis patieris mali. Nam si ille dixerit, Si genitus est, non erat: tu dicito, *In principio erat*. Sed, inquit, priusquam genitus esset, quomodo erat? Tu ne dimittas illud, *Erat:* ne dereliqueris illud, *In principio*. Principii summitas non apprehenditur: quod extra et ultra principium sit, non invenitur. Ne quis te decipiat varia vocis significatione. Nam rerum multarum multa sunt principia in hac vita: sed unum est principium supra omnia, quod ultra est. Nam, inquit Parœmia, *Principium viæ bonæ*[76]. Sed viæ principium est primus motus, unde iter ordimur, cujus prior pars potest reperiri. Et, *Principium sapientiæ timor Domini*[77]. Præjacet autem et huic principio aliud quoddam, cum perceptionis artium principium sit prima elementorum institutio. Elementum igitur sapientiæ timor Domini est: sed hoc principio est aliquod antiquius, animæ scilicet status, ejus, qui nondum sapientiam edoctus est, nec Dei timorem adeptus. Principia dicuntur etiam civiles potentatus, videlicet præcelsæ dignitates: sed hæc principia, aliquorum sunt principia, et unumquodque eorum aliquo refertur. Etenim lineæ principium punctum est, et superficiei principium linea, et

[76] Prov. xvi, 5. [77] Psal. cx, 10.

(97) Editi et mss. κατασπαζόμενος· quæ vox a verbo ἀσπάζεσθαι deducitur, *amore teneri, delectari.* Id cum non animadverteret Combefisius, cumque sibi visus esset legere κατασκεψάμενος, sic interpretatus est: *splendorem suspiciens.* Vetus interpres verterat, *splendorem admiratus.*

(98) Utraque editio operarum incuria ἤδη, *jam.* Libri veteres ᾔδει, *noverat,* optime.

(99) Editi et duo mss. μεμηχανευμένα. Alii tres mss. μεμηχανημένα.

(1) Antiqui duo libri πρὶν γεννηθῆναι.

(2) Utraque editio et tres mss. ἀρχὴ ἡ ἐπὶ πάντων ἐπέκεινα. Alii quatuor mss. ἀρχὴ ἐπὶ πάντων ἡ ἐπέκεινα.

(3) Utraque editio σοφίας φόβος ὁ τοῦ. At mss. quinque ut in contextu.

(4) Ejus loci consonantiam videre si quis cupit, ei auctor sum, ut Græca legat. Quæ enim hic scribuntur, optime quidem dici possunt Græce, ut multiplicem intelligentiam vocis ἀρχή, quæ modo principium, modo principatum ditionemque significat: sed male sonant si exprimantur Latine, quod voci *principium* multiplex notio apud Latinos subjecta non sit.

corporis principium superficies, et orationis compositæ principia, elementa.

2. Non certe ejusmodi est illud principium. Nulli enim alligatum est, servit nulli, cum nullo conspicitur : sed liberum est; dominum non habet; exsolutum est omni ad aliud relatione, menti insuperabile; quod cogitationibus transcendere non est, ultra quod nihil quidquam reperiri potest. Nam si mentis cogitatione contenderis principium prævertere, comperies id tibi præire, et prius cogitatis occurrere. Sine mentem tuam, quantum velit, excurrere, et extendere se ad superiora : deinde post innumeros errores ac multos inanes conatus, eam ad se iterum reversam invenies, quod principium se posterius ac inferius reddere non possit. Principium enim semper cogitato ulterius superiusque esse deprehenditur. *In principio* igitur *erat Verbum*. O rem miram! Ut ex æquo inter se conjunctæ sunt voces omnes! Illud, *Erat*, idem valet quod illud, *In principio*. Ubi est blasphemus? ubi adversus Christum pugnans lingua, quæ dicit : Erat aliquando, cum non esset? Audi Evangelium : *In principio erat Verbum*. Quod si *in principio erat*, quando non erat? **136** Ipsorumne lugebo impietatem, an inscitiam exsecrabor? At antequam gigneretur, non erat. Nosti scilicet quando genitum sit, quo quid prius possis tempori attexere? Etenim illud, *Antequam*, vox est temporis, alterum alteri antiquitate præponens. Quomodo autem par fuerit temporis conditorem generationem habere temporis vocibus subjectam? *Erat* igitur *in principio*. Quod si ab hac voce, *Erat*, non discesseris, blasphemiæ malignæ aditum nullum dabis. Ut enim qui in mari versantur, cum inter duas anchoras fluctuant, tempestatem aspernantur : ita et tu hanc pravam turbationem, quæ vitam hominum per nequitiæ spiritus invasit, quæque multorum fidem exagitat, deridebis, si modo in horum verborum propugnaculo tanquam in portu ac statione animam tuam tenueris.

3. Jam inquirit mens nostra, Quis erat in principio? *Verbum*, inquit. Quale verbum? humanumne verbum, an verbum angelorum? Enimvero indicat nobis Apostolus angelis quoque suam esse linguam,

A τὸ σημεῖον· καὶ ἀρχὴ τῆς ἐπιφανείας ἡ γραμμή· καὶ ἀρχὴ τοῦ σώματος ἡ ἐπιφάνεια· καὶ τοῦ κατὰ σύνθεσιν λόγου ἀρχαὶ τὰ στοιχεῖα.

2. Οὐ μὴν κἀκείνη τοιαύτη ἡ ἀρχή. Οὐδενὶ γὰρ προσδέδεται· οὐδενὶ δουλεύει· μετ' οὐδενὸς θεωρεῖται· ἀλλ' ἐλευθέρα ἐστίν· ἀδέσποτος, λελυμένη τῆς πρὸς ἕτερον σχέσεως· ἀνυπέρβατος διανοίᾳ (5), ἣν οὐκ ἔστιν ὑπερβῆναι τοῖς λογισμοῖς, ἧς οὐκ ἔστιν ἐξευρεῖν τὰ ἐπέκεινα. Ἐὰν γὰρ φιλονεικήσῃς τῇ φαντασίᾳ τοῦ νοῦ παραδραμεῖν τὴν ἀρχὴν, εὑρήσεις αὐτὴν προτρέχουσάν σου, καὶ προαπαντῶσαν τοῖς λογισμοῖς. Ἄφες σεαυτοῦ τὸν νοῦν δραμεῖν ὅσον βούλεται, καὶ διαταθῆναι ἐπὶ τὰ ἄνω· εἶτα εὑρήσεις αὐτὸν μυρία πλανηθέντα, καὶ πολλὰ κενεμβατήσαντα, καὶ πάλιν ἐπανιόντα πρὸς ἑαυτὸν, διὰ τὸ μὴ δύνασθαι
B κατωτέραν ἑαυτοῦ τὴν ἀρχὴν ποιῆσαι. Διότι ἀεὶ τοῦ νοουμένου ἐξωτέρα καὶ πλείων εὑρίσκεται (6) ἡ ἀρχή. *Ἐν ἀρχῇ* τοίνυν *ἦν ὁ Λόγος*. Ὢ τοῦ θαύματος! Πῶς πᾶσαι ἀλλήλαις ὁμοτίμως αἱ φωναὶ συνεζεύχθησαν! Τὸ, *Ἦν*, ἴσον δύναται τοῦ, *Ἐν ἀρχῇ*. Ποῦ ὁ βλάσφημος; ποῦ ἡ χριστομάχος γλῶττα; ἡ λέγουσα, Ἦν ποτε, ὅτε οὐκ ἦν (7); Ἄκουε τοῦ Εὐαγγελίου, *Ἐν ἀρχῇ ἦν* (8). Εἰ δὲ *ἐν ἀρχῇ ἦν*, πότε οὐκ ἦν; Τὴν ἀσέβειαν αὐτῶν στενάξω, ἢ τὴν ἀμαθίαν βδελύξομαι; Ἀλλὰ πρὸ τοῦ γεννηθῆναι, οὐκ ἦν. Οἶδας γὰρ πότε ἐγεννήθη, ἵνα τὸ πρὶν δυνηθῇς ἐπενεγκεῖν τῷ χρόνῳ (9); Τὸ γὰρ, *Πρὸ τοῦ*, χρονική ἐστι φωνὴ, ἕτερον ἑτέρου προτιθεῖσα εἰς παλαιότητα. Τὸν δὲ τοῦ χρόνου ποιητὴν πῶς εὔλογον (10) ταῖς
C χρονικαῖς προσηγορίαις ὑποκειμένην ἔχειν τὴν γέννησιν; *Ἐν ἀρχῇ* τοίνυν *ἦν*. Ἐὰν μὴ ἀποστῇς τοῦ *Ἦν*, οὐδεμίαν παρείσδυσιν δώσεις τῇ πονηρᾷ βλασφημίᾳ. Ὥσπερ γὰρ οἱ θαλαττεύοντες, ὅταν ἐπὶ δύο σαλεύωσιν ἀγκυρῶν, καταφρονοῦσι τοῦ κλύδωνος· οὕτω καὶ σὺ τῆς πονηρᾶς ταύτης ταραχῆς, τῆς ἐκ τῶν πνευμάτων τῆς πονηρίας ἐγγινομένης τῷ βίῳ, καὶ διασαλευούσης τῶν πολλῶν τὴν πίστιν, καταγελάσῃ, ἐὰν τῇ ἀσφαλείᾳ τῶν ῥημάτων τούτων τὴν ψυχὴν ἔχῃς ἐνορμισθεῖσαν.

3. Ἐπιζητεῖ δὲ ἡμῶν ἡ διάνοια, τίς ἦν ἐν ἀρχῇ; *Ὁ Λόγος*, φησί. Ποῖος λόγος; ὁ ἀνθρώπινος λόγος; ἀλλ' ὁ τῶν ἀγγέλων λόγος; Καὶ γὰρ ᾐνίξατο ἡμῖν
D ὁ Ἀπόστολος, ὡς καὶ τῶν ἀγγέλων ἰδίαν ἐχόντων

(5) Antiqui duo libri et utraque editio ἀνυπέρθετος διανοίᾳ : quam falsam scripturam secutus Combefisius, sic verterat in suo Ecclesiaste Græco : *Subitaneus primusque mentis conceptus*. At Colbertini primus et tertius cum Reg. secundo ἀνυπέρβατος διανοίᾳ, *menti insuperabilis*, seu *ad quod mens pertingere non potest*, emendate. Aliquanto post Reg. primus νοῦν διαδραμεῖν.

(6) Utraque editio καὶ πλείων εὑρίσκεται. At nostri septem mss. καὶ πλειόνων εὑρίσκεται.

(7) Illa, *erat aliquando*, *quando non erat*, quæ Græcis plane respondent, videri posse obscura scribit vir eruditissimus Ducæus, atque hæc clarius exprimi apud Hieronymum epist. 58. in Dialogo adversus Luciferianos, hoc modo : *Si quis dixerit, Erat tempus, quando non erat Filius, anathema sit*. Sed Combefisius monet se non videre cur illa loquendi ratio, *erat aliquando*, sit subobscurior, hæc vero, *erat tempus*, clara sit atque perspicua. Ibidem Reg. primus τοῦ εὐαγγελιστοῦ.

(8) In tribus Colbertinis mss. legitur Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Sed illud, ὁ Λόγος, in aliis nostris mss. et in vulgatis deest, neque eas voces necessarias puto. Aliquanto post mss. βδελύξομαι. Alius et editi βδελύξωμαι.

(9) Colb. tertius τῷ ἀχρόνῳ. Alii mss. et editi τῷ χρόνῳ. Illud, ἀχρόνῳ, scriptum fuisse arbitror ab aliquo, qui ejus loci sententiam non satis perspiceret, nec animadverteret dici hæc ironice : *Nosti scilicet quando genitum sit Verbum, cum potueris aliquod tempus excogitare, quod ejus generationem præcesserit*.

(10) Colb. tertius πῶς ἂν εἴη τῶν εὐλόγων. Mox idem codex ἔχειν τὴν γένεσιν.

γλῶσσαν, εἰπών· *Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων*. Ἀλλὰ καὶ τοῦ (11) *Λόγου* διπλῆ τίς ἐστιν ἔννοια. Ὁ μὲν γάρ τίς ἐστιν ὁ διὰ τῆς φωνῆς προφερόμενος, οὗτος ὁ μετὰ τὸ προενεχθῆναι τῷ ἀέρι ἐναπολλύμενος· ὁ δέ τίς ἐστιν ὁ ἐνδιάθετος, ἐνυπάρχων ἡμῶν ταῖς καρδίαις· ὁ ἐννοηματικός. Καὶ ἄλλος, ὁ τεχνικὸς λόγος. Ὅρα μήποτέ σε παρακρούσηται (12) τὸ ὁμώνυμον τῆς φωνῆς. Πῶς γὰρ ἦν ἐν ἀρχῇ ὁ ἀνθρώπινος λόγος, τοῦ ἀνθρώπου κάτω που λαβόντος τὴν ἀρχὴν τῆς γενέσεως; Πρὸ ἀνθρώπου θηρία· πρὸ ἀνθρώπου κτήνη, τὰ ἑρπετὰ πάντα· ὅσα χερσαῖα, καὶ ὅσα ἔνυδρα, πετεινὰ τοῦ οὐρανοῦ, ἀστέρες, ἥλιος, σελήνη, βοτάναι, σπέρματα, γῆ, θάλαττα, οὐρανός. Οὐ τοίνυν ἐν ἀρχῇ ἦν ὁ ἀνθρώπινος λόγος, ἀλλ' οὐδὲ ὁ τῶν ἀγγέλων. Πᾶσα γὰρ ἡ κτίσις κατωτέρα τῶν αἰώνων ἐστὶ, τὴν ἀρχὴν τοῦ εἶναι λαβοῦσα παρὰ τοῦ κτίσαντος. Ὁ δὲ ἐν καρδίᾳ λόγος, καὶ αὐτὸς ἑκάστου τῶν νοηθέντων ἐστὶ νεώτερος. Ἀλλ' ἄκουε τοῦ λόγου θεοπρεπῶς. Περὶ γὰρ τοῦ Μονογενοῦς διαλεγόμενός σοι, Λόγον εἶπεν αὐτόν. Ὥσπερ οὖν καὶ φῶς μετ' ὀλίγον ἐρεῖ, καὶ ζωὴν, καὶ ἀνάστασιν, καὶ οὔτε φῶς ἀκούσας, ἐπὶ τὸ αἰσθητὸν τοῦτο καὶ ὀφθαλμοῖς ὁρατὸν καταφέρῃ, οὔτε ζωὴν ἀκούσας, τὴν κοινὴν ταύτην νοεῖς, ἣν καὶ τὰ ἄλογα ζῇ· οὕτω καὶ Λόγον ἀκούων, φύλαξαι μήποτε τῇ σῇ ἀσθενείᾳ τῆς διανοίας πρὸς χαμαιζήλους καὶ ταπεινὰς διανοίας ὑπενεχθῇς. Ἀλλ' ἐρεύνα τὴν διάνοιαν τοῦ ῥήματος. Διὰ τί Λόγος; Ἵνα δειχθῇ, ὅτι ἐκ τοῦ νοῦ προῆλθε. Διὰ τί Λόγος; Ὅτι ἀπαθῶς ἐγεννήθη. Διὰ τί Λόγος; Ὅτι εἰκὼν τοῦ γεννήσαντος, ὅλον ἐν ἑαυτῷ δεικνὺς τὸν γεννήσαντα (13), οὐδὲν ἐκεῖθεν ἀπομερίσας, καὶ τέλειος ὑπάρχων καθ' ἑαυτόν· ὡς καὶ ὁ ἡμέτερος λόγος ὅλην ἡμῶν ἀπεικονίζει τὴν ἔννοιαν. Ἃ γὰρ κατὰ καρδίαν ἐνενοήσαμεν, ταῦτα τῷ ῥήματι προηνέγκαμεν, καὶ ἔστι τοῦ ἐν τῇ καρδίᾳ νοήματος ἀπεικόνισμα τὸ λαλούμενον. Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας ὁ λόγος προφέρεται (14). Καὶ ἔστιν ἡ μὲν καρδία ἡμῶν οἷον πηγή τις, ὁ δὲ προφερόμενος λόγος οἷον ὁλκός τις ἐκ τῆς πηγῆς ταύτης ῥέων. Τοσοῦτον οὖν τὸ ἀποῤῥέον, ὅσον τὸ πρώτως ἀναφερόμενον (15)· καὶ οἷον τὸ κεκρυμμένον, τοσοῦτον καὶ τὸ φαινόμενον. Λόγον οὖν εἶπεν, ἵνα τὴν ἀπαθῆ σοι γέννησιν τοῦ Πατρὸς παραστήσῃ, καὶ τὴν τελείαν ὕπαρξίν σοι τοῦ Υἱοῦ θεολογήσῃ (16), καὶ τὴν ἄχρονον συνάφειαν τοῦ Υἱοῦ πρὸς Πατέρα διὰ τούτων ἐνδείξηται. Καὶ γὰρ ὁ ἡμέτερος λόγος τοῦ νοῦ γέννημα, ἀπαθῶς γεννώμενος· οὔτε γὰρ τέμνε-

A cum ait: *Si linguis hominum loquar et angelorum* [78]. Jam vero *verbi* duplex est intelligentia: alterum enim voce profertur, quod posteaquam prolatum est, in aere perit: alterum vero internum est, inque animis nostris insitum, verbum scilicet mentis. Est et aliud verbum, oratio artificiosa. Vide ne te decipiat vox ambigua. Quomodo enim erat in principio verbum humanum, cum homo principium ortus atque originem posterius acceperit? Ante hominem bestiæ, ante hominem pecora, reptilia omnia tum terrestria tum aquatica, volucres cœli, stellæ, sol, luna, herbæ, semina, terra, mare, cœlum. Non igitur in principio erat verbum humanum, sed ne angelorum quidem. Nam creatura omnis posterior sæculis est, accepto a conditore B exsistendi principio. Verbum autem quod insitum in animo est, et ipsum singulis quæ intellecta sunt, recentius est. Sed verbum prout Deo convenit interpretare. Nam cum de Unigenito ad te loqueretur, Verbum ipsum dixit. Quemadmodum igitur et lucem paulo post dicet, et vitam, et resurrectionem; neque tamen, cum audis lucem, ad sensibilem hanc et oculis visibilem lucem recurris; neque cum vitam audis, communem hanc intelligis, quam bruta etiam animalia vivunt: ita quoque cum Verbum audis, cave incidas mentis imbecillitate in terrenas humilesque cogitationes, sed vocis significationem perscrutare. Cur Verbum? Ut perspicuum sit processisse ex mente. Cur Verbum? Quia citra passionem genitum est. Cur Verbum? C Quia imago est genitoris, totum in seipso genitorem ostendens, nihil inde separans, et per se perfectum exsistens: quemadmodum et verbum nostrum totius nostræ cogitationis refert imaginem. Etenim quæ in corde cogitavimus, ea verbo proferimus, idque quod loquimur, reconditi in corde conceptus imago est et simulacrum. Nam ex cordis abundantia promitur verbum. Ac **137** quidem cor nostrum est veluti fons quidam: prolatum vero verbum, est veluti rivulus aliquis, qui ex hoc fonte emanat. Tantum igitur est id quod profluit, quantum id quod primum emergit; et quale est id quod occultum est, tale est quoque quod apparet. Verbum igitur dixit, tibi ut ostendat D Patris generationem passioni non subjici, teque doceat divinam Filii substantiam perfectam esse, denique ut per hæc æternam Filii cum Patre con-

[78] I Cor. XIII, 1.

(11) Colb. primus ἀλλὰ γὰρ τοῦ. Aliquanto post editi et duo mss. ἀέρι ἀπολλύμενος. Alii quatuor mss. ἐναπολλύμενος. Subinde editi Ὅρα οὖν. Vox ultima in mss. non invenitur.

(12) Colb. primus παρακρούσῃ. Haud longe vocem ὅσα ex libris duobus Colbertinis addidimus. Subinde unus mss. βοτάνη.

(13) Colb. primus τὸν γεννηθέντα, male. Nec ita multo infra Colb. tertius τοῦτο τῷ ῥήματι.

(14) Colbertini duo mss. λόγος προφέρεται. Alii et editi φέρεται. Mox iidem duo mss. ἐκ τῆς πηγῆς τοῦ νοῦ ῥέων.

(15) Antiqui tres libri πρώτως φερόμενον. Mox mss. nonnulli καὶ οἷον τὸ κεκαλυμμένον.

(16) In verbo illo, θεολογήσῃ, videtur inesse vis aliqua propria, quasi Basilius dicat: Joannes apostolus substantiam Filii tam divinam exhibet, ut cæcutiat necesse sit, qui non videt eam cum perfecta divinitate conjunctam esse, sic ut Filii divinitas Patris divinitati par sit omnino et æqualis. Quod sequitur, ἐν τῇ ἰδίᾳ συστάσει, sic interpretari licet, *in sua substantia*, aut *in sua naturali constitutione*, aut *in sua natura*, hoc est *in se*.

junctionem commonstret. Nam et verbum nostrum, mentis fetus, citra passionem generatur; neque enim secatur, neque dividitur, neque fluit, sed mens tota in sua natura permanens, verbum totum et absolutum producit, atque id verbum quod procedit, omnem mentis generantis virtutem in se complectitur. Postquam igitur tantum ad Unigeniti theologiam ex verbi voce desumpseris, quantum pium fuerit, tum quidquid alienum esse ac dissentaneum repereris, id devita, omnique studio prætergredere. *In principio erat Verbum.* Quodsi dixisset: In principio erat Filius, tibi in mentem una cum Filii appellatione venisset quædam passionis cogitatio. Quoniam enim quæ apud nos generant, tempore generant, et cum passione generant, idcirco hæc occupaturus, *Verbum* dixit, suspiciones absonas in antecessum corrigens, ut animam tuam illæsam servaret.

A ται, οὔτε μερίζεται, οὔτε ῥέει· ἀλλὰ μένων ὅλος ὁ νοῦς ἐν τῇ ἰδίᾳ συστάσει, ὅλον τὸν λόγον καὶ ἀπηρτισμένον ὑφίστησι· καὶ προελθὼν ὁ λόγος, πᾶσαν τοῦ γεννήσαντος νοῦ τὴν δύναμιν ἐν ἑαυτῷ περιέχει. Ὅσον οὖν εὐσεβὲς, τοσοῦτον λαβὼν πρὸς τὴν τοῦ (17) Μονογενοῦς θεολογίαν ἐκ τῆς τοῦ λόγου φωνῆς· ὅπερ ἂν εὕρῃς ἀπεμφαῖνον καὶ ἀνάρμοστον φαινόμενον, τοῦτο παραίτησαι, καὶ ὑπέρβηθι μηχανῇ πάσῃ. *Ἐν ἀρχῇ ἦν ὁ Λόγος.* Εἰ δὲ εἶπεν· Ἐν ἀρχῇ ἦν ὁ Υἱὸς, τῇ προσηγορίᾳ τοῦ Υἱοῦ συνεισῆλθεν ἄν σοι ἡ περὶ τοῦ πάθους ἔννοια. Ἐπειδὴ γὰρ (18) παρ' ἡμῖν τὰ γεννῶντα χρόνῳ γεννᾷ, καὶ ἐμπαθῶς γεννᾷ, διὰ τοῦτο προλαβὼν, *Λόγον* εἶπε, προδιορθούμενος τὰς ἀπρεπεῖς ὑπολήψεις, ἵνα σου τὴν ψυχὴν ἄτρωτον διασώσηται.

4. *Et Verbum erat apud Deum.* Rursus, *Erat*, ob eos qui impie dicunt quod non erat. Ubi erat *Verbum?* Non in loco: quandoquidem in loco non continentur quæ circumscribi non possunt. Sed ubi erat? *Apud Deum.* Neque Pater in loco, neque Filius in ambitu ullo, aut certa circumscriptione comprehenditur: sed infinitus Pater, infinitus est Filius. Quidquid cogitaveris, et quocunque spiritu tuo perrexeris, omne id Deo plenum invenies: ubique offendes pariter coextensam Filii hypostasim. *Et Verbum erat apud Deum.* Admirare cujuscunque vocis accuratum delectum. Non dixit: In Deo erat Verbum, sed *Apud Deum*, ut hypostaseos proprietatem declararet. Non dixit: In Deo, ut ne confundendæ hypostaseos daret occasionem. Nam prava illa est blasphemia eorum, qui commiscere omnia conantur; dicuntque Patrem et Filium et Spiritum sanctum, unum esse subjectum, atque rei uni nomina diversa ascribi. Impietas pessima, nec minus fugienda quam eorum qui ore blasphemo affirmant Filium Dei Deo et Patri secundum substantiam dissimilem esse. *Et Verbum erat apud Deum.* Deinde posteaquam Verbi vocem ad ostendendam generationis apathiam adhibuit, statim et noxam eam quæ ex Verbi nomine accedere poterat, curavit. Atque semet quasi ex blasphemantium calumnia **138** eximens, Quid, inquit, est Verbum? *Deus erat Verbum.* Ne mihi artificiose comminiscare quasdam verborum distinctiones, neve maligno tuo artificio convicium ullum doctrinæ Spiritus asper-

B 4. *Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν.* Πάλιν τὸ, *Ἦν*, διὰ τοὺς βλασφημοῦντας, ὅτι οὐκ ἦν. Ποῦ ἦν *ὁ Λόγος;* Οὐκ ἐν τόπῳ· οὐ γὰρ περιέχεται τόπῳ τὰ ἀπερίγραπτα. Ἀλλὰ ποῦ ἦν; *Πρὸς τὸν Θεόν.* Οὔτε ὁ Πατὴρ ἐν τόπῳ, οὔτε ὁ Υἱὸς ἐν περιοχῇ τινι καὶ περιγραφῇ ὁμολογουμένῃ κατειλημμένος· ἀλλ' ἄπειρος μὲν ὁ Πατὴρ, ἄπειρος δὲ ὁ Υἱός. Πᾶν ὅπερ ἂν νοήσῃς, καὶ ὅπουπερ ἂν πορευθῇς τῷ πνεύματί σου, τοῦ Θεοῦ εὑρήσεις πεπληρωμένον· πανταχοῦ συμπαρεκτεινομένην εὑρήσεις τοῦ Υἱοῦ τὴν ὑπόστασιν. *Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν.* Θαύμασον τὴν ἀκρίβειαν ἑκάστης φωνῆς· οὐκ εἶπεν, Ἐν τῷ Θεῷ ἦν ὁ Λόγος· ἀλλὰ, *Πρὸς τὸν Θεόν*· ἵνα τὸ ἰδιάζον τῆς ὑποστάσεως παραστήσῃ. Οὐκ εἶπεν, Ἐν τῷ C Θεῷ, ἵνα μὴ πρόφασιν δῷ τῇ συγχύσει τῆς ὑποστάσεως. Πονηρὰ γὰρ κἀκείνη ἡ βλασφημία τῶν φύρειν τὰ πάντα ἐπιχειρούντων, καὶ ἓν τὸ ὑποκείμενον (19) λεγόντων, Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, προσηγορίας δὲ διαφερούσας τῷ ἑνὶ πράγματι ἐπιφημίζεσθαι. Πονηρὰ ἡ ἀσέβεια, καὶ φευκτὴ οὐχ ἧττον τῶν ἀνόμοιον εἶναι κατ' οὐσίαν τὸν Υἱὸν τοῦ Θεοῦ τῷ Θεῷ καὶ Πατρὶ βλασφημούντων. *Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν.* Εἶτα συγχρησάμενος τῇ τοῦ Λόγου φωνῇ πρὸς τὴν παράστασιν τῆς κατὰ τὴν γέννησιν (20) ἀπαθείας, ταχὺ καὶ τὸ ἐκ τοῦ Λόγου βλάβος ἐγγινόμενον ἡμῖν παρεμυθήσατο. Καὶ οἷον ἀφαρπάζων αὐτὸν τῆς συκοφαντίας τῶν βλασφημούντων, Τί, φησὶν, ἐστὶν ὁ Λόγος; *Θεὸς ἦν ὁ Λόγος.* Μή μοι τεχνολόγει διαφοράς τινας (21) λόγων, μηδὲ ἐκ τῆς D σῆς κακοτεχνίας προστρίψῃς τινὰ βλασφημίαν τῇ

(17) Antiqui duo libri et editi εἰς τὴν τοῦ. Alii quatuor mss. πρὸς τὴν τοῦ. Haud longe editi et duo mss. ὑπέρβηθι. Alii tres ὑπέρβα.

(18) Addita est vocula γάρ ex duobus codicibus.

(19) Libri vulgati, quibus fortasse Reg. primus addi potest, καὶ ἓν τὸ ὑποκείμενον, *unum subjectum esse.* Reg. tertius et Colb. itidem tertius cum Coisl. καὶ ἐν τῷ ὑποκειμένῳ, *in subjecto esse:* ubi ἐν, *in*, depravate positum videtur pro ἕν, *unum*. Colb. primus et alii duo mss. καὶ ἓν τῷ ὑποκειμένῳ, *dicentium Patrem et Spiritum sanctum esse aliquid unum subjecto*. Facile quidem intelligitur voculam ἐν, quam alii aliter acceperunt, locum his variis lectionibus dedisse: sed quomodo legi debeat, non ita liquet. Puto autem parum referre, utrum legatur ἓν τὸ ὑποκείμενον, *unum subjectum esse*, an τῷ ὑποκειμένῳ, *unum esse subjecto*, cum sensus eodem semper recidat. Hactenus de scribendi ratione. Quod autem ad ipsam sententiam attinet, mihi dubium non est quin hic confutentur Sabelliani: quod in causa est, cur suspicer hic voce ὑποκείμενον nihil aliud nisi ὑπόστασιν significari, hoc est, *personam*. Mox mss. nonnulli προσηγορίας δὲ διαφόρους.

(20) In Colb. tertio scriptum invenimus κατὰ γένεσιν.

(21) Antiqui tres libri διαφοράς τινων. Haud procul Colb. primus τινὰς βλασφημίας.

διδασκαλίᾳ τοῦ Πνεύματος. Ἔχεις τὴν ἀπόφασιν· ὑποτάγηθι τῷ Κυρίῳ. *Θεὸς ἦν ὁ Λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.* Πάλιν ἀνακεφαλαιοῦται ἐν ὀλίγοις ῥήμασι πᾶσαν ἑαυτοῦ τὴν θεολογίαν, ἣν περὶ τοῦ Μονογενοῦς ἡμῖν ὁ εὐαγγελιστὴς παρέδωκεν. *Οὗτος* τίς (22); *Οὗτος*, ὁ Λόγος ὁ Θεός. Ἐπειδὴ γάρ σοι διήρθρωσε τὴν περὶ αὐτοῦ ἔννοιαν, οἷον ἐντυπώσας σου τῇ ψυχῇ διὰ τῆς διδασκαλίας τὰ ἀγνοούμενα, καὶ ἐνοικίσας τὸν Λόγον Χριστὸν (23) ἐν τῇ καρδίᾳ σου, *Οὗτός* φησι. Ποῖος *οὗτος*; Μὴ ἔξω διαβλέψῃ, διὰ τῆς δεικτικῆς φωνῆς τὸν ὑποδεικνύμενόν σοι περισκοπῶν, ἀλλ' εἴσελθε εἰς τὰ κρυπτὰ τῆς σεαυτοῦ ψυχῆς, καὶ ὃν ἐδιδάχθης Θεὸν τὸν ἐν ἀρχῇ ὄντα, τὸν ὡς Λόγον προελθόντα, τὸν πρὸς τὸν Θεὸν ὄντα, τοῦτον γνωρίσας καὶ καταπλαγεὶς, καὶ προσκυνήσας (24) τὸν σεαυτοῦ Δεσπότην, τόν σοι διὰ τῆς διδασκαλίας ἐνιδρυθέντα, γνώριζε, ὅτι οὗτος ἦν ἐν ἀρχῇ· τουτέστιν, ἀεὶ πρὸς τὸν Θεὸν, τὸν ἑαυτοῦ Πατέρα. Ταύτας μοι τὰς ὀλίγας φωνὰς (25) διασώσατε, ὥσπερ σφραγῖδα ταῖς μνήμαις ὑμῶν ἐνσημηνάμενοι. Αὗται ἀῤῥαγέστατον ἔσονται τειχίον πρὸς τὰς τῶν ἐπιβουλευόντων καταδρομάς· αὗται φυλακτήριόν εἰσι τῶν ψυχῶν σωτήριον τοῖς προβαλλομένοις αὐτάς. Ἂν τίς σοι προσελθὼν λέγοι (26)· Οὐκ ὤν, ἐγεννήθη· εἰ γὰρ ἦν, πῶς ἐγεννήθη; ὡς δαιμόνων φωνὴν ἀποτρέπου τὴν κατὰ τῆς δόξης τοῦ Μονογενοῦς βλασφημίαν. Αὐτὸς δὲ ἐπανελθὼν ἧκε πρὸς τὰς τῶν Εὐαγγελίων φωνάς· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.* Τέταρτον εἰπὲ τὸ, Ἦν (27), καὶ καταργήσεις αὐτῶν τὸ, Οὐκ ἦν. Οὗτοι ἄσειστοι μενέτωσαν οἱ θεμέλιοι τῆς πίστεως. Τούτοις ἐποικοδομήσομεν, Θεοῦ διδόντος, καὶ τὰ λειπόμενα. Οὐ γάρ ἐστι δυνατὸν περὶ πάντων ὑμῖν εἰς ἅπαξ διαλεχθῆναι, μήποτε τῇ ἀμετρίᾳ τοῦ λόγου ἄχρηστα ποιήσωμεν ὑμῖν τὰ φιλοπόνως συνειλεγμένα. Ἀτονοῦσα γὰρ ἡ διάνοια πάντων ὁμοῦ περιδράξασθαι, ὅμοιον πάσχει γαστρὶ τῇ διὰ τὴν ὑπερβολὴν τοῦ κόρου εἰς πέψιν ἀγαγεῖν τὰ παραπεμφθέντα μὴ δυναμένῃ. Εὔχομαι οὖν ὑμᾶς γλυκανθῆναι μὲν τῇ γεύσει, ὠφεληθῆναι δὲ τῇ ἀναδόσει. Αὐτὸς δὲ ἕστηκα ὑμῖν ἕτοιμος πρὸς τὴν διακονίαν τῶν λειπομένων, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[79] Joan. I, 1, 2.

A gas. Habes sententiam : subditus esto Domino. *Deus erat Verbum : hoc erat in principio apud Deum* [79]. Rursus evangelista omnem suam theologiam quam de Unigenito nobis tradidit, paucis verbis in summam redigit. Quodnam *Hoc? Hoc*, Verbum Deus. Postquam enim ejus tibi conceptum distincte expressit, in tuoque animo per doctrinam quasi insculpsit quæ ignorabas, ac Verbum Christum in tuum cor velut in domum introduxit, ita demum hanc vocem profert, *Hoc*. Quale *Hoc?* Foras ne respice, eum, qui per demonstrantem vocem tibi ostenditur, circumspecturus : sed in occultos animæ tuæ recessus ingredere, et quem didicisti Deum in principio exsistere, procedere velut Verbum, apud Deum versari, hunc cognoscens admi- B ransque, et tuum Dominum in te per doctrinam residentem adorans, scito quod hic erat in principio : hoc est, semper apud Deum Patrem suum. Has mihi paucas voces servate, illas quasi sigillum in vestra memoria imprimentes. Hæ futuræ sunt murus firmissimus adversus insidiantium incursus : hæ animarum sunt salutare munimentum, iis, qui ipsas prætendent ac opponent. Si quis te adorsus dixerit : Cum non esset, genitus est, si enim erat, quomodo genitus est? hanc istam adversus gloriam Unigeniti calumniam dæmonum quasi vocem aversare. Tu autem reversus confugito ad Evangeliorum voces : *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum. Hoc erat in* C *principio apud Deum.* Dic quater, *Erat*, atque hoc eorum convicium, Non erat, facies irritum. Hæc fidei fundamenta maneant inconcussa. Super hæc, Deo dante, ædificabimus et reliqua. Neque enim possumus omnia vobis simul explanare ; ne forte quæ diligenter a vobis collecta sunt, oratione prolixiore irrita reddamus. Mens enim quæ apprehendendis simul omnibus impar est, haud aliter se habet ac venter, qui ob nimiam saturitatem sumptos cibos concoquere non potest. Opto igitur ut hæc et gustando dulcescant, et concoquendo prosint. Ego autem vobis ea quæ supersunt, paratus sum ministrare : in Christo Jesu Domino nostro, cui gloria et imperium in sæcula sæculorum. Amen.

(22) Hic usi sumus interpunctione, quæ reperitur in Colbertinis secundo et tertio : quippe visa est nobis aptior, quam quæ legitur in aliis tum editis tum mss.

(23) Sic mss. non pauci. Vox Χριστόν in editis desideratur. Mss. Colb. primus ἔξω περιβλέψῃ.

(24) Colbertini duo mss. καταπλαγεὶς προσκύνησον. Aliquanto post Reg. primus Οὗτος ἦν ὁ ἐν ἀρχῇ.

(25) Reg. primus τὰς λογικὰς φωνάς, male. Mox D idem codex σφραγῖδα ταῖς γνώμαις ὑμῶν. Nec ita multo infra unus mss. ἔσονται τεῖχος. Ibidem Reg. primus τῶν ἐπιβούλων καταδρομάς.

(26) Unus codex λέγῃ. Haud longe Reg. primus φωνὴν ἀποστρέφου.

(27) Editi τέταρτον τὸ εἰπὲ, Ἦν. At mss. tres uti in contextu. Mox editi et duo mss. ἐποικοδομήσομεν. Alii quatuor mss. ἐποικοδομήσωμεν.

HOMILIA XVII.

In Barlaam martyrem.

1. Antea quidem sanctorum mors planctu et lacrymis cohonestabatur. Joseph deflevit acriter mortuum Jacob [80], atque Moysis mortem Judæi haud parum planxere [81]; multis quoque lacrymis
139 Samuelem condecorarunt [82] : nunc vero exsultamus in sanctorum obitu. Tristium namque natura post crucem mutata est; nec amplius sanctorum mortem lamentis prosequimur : sed tripudiis divinis circum illorum sepulcra choreas ducimus. Somnus enim justis mors est. Imo potius ad vitam meliorem profectio. Hinc martyres, dum mactantur, exsultant. Nam desiderium vitæ beatioris dolorem cædis enecat. Ad coronas martyr respicit, non ad pericula; non horret plagas, sed palmas numerat; non videt lictores in terra flagris cædentes, sed angelos e cœlo gratulantes animo intuetur; præmia æterna spectat, non temporalia pericula. Splendidum et apud nos jam arrhabonem obtinent, cum inter divinas acclamationes omnium plausu celebrentur, populumque frequentissimum e sepulcris congregent.

2. Hoc ipsum sane in forti ac strenuo Barlaam hodie factum est. Insonuit enim bellica martyris tuba, et pietatis milites, ut cernitis, convocavit. Annuntiatus præconio est jacens Christi athleta, et statim Ecclesiæ theatrum ad convolandum impulit. Et quemadmodum fidelium Dominus aiebat : *Qui credit in me, etiamsi mortuus fuerit, vivet* [83]; mortuus est strenuus ille Barlaam, et tamen conventus publicos congregat : consumptus in sepulcro est, et tamen invitat ad convivium. Nunc tempus nobis est exclamandi : *Ubi sapiens? ubi scriba? ubi conquisitor hujus sæculi* [84]? Vir agrestis nobis est

ΟΜΙΛΙΑ ΙΖ'.

Εἰς Βαρλαὰμ μάρτυρα (28).

A

1. Πρότερον μὲν τῶν ἁγίων οἱ θάνατοι κοπετοῖς ἐκοσμοῦντο καὶ δάκρυσιν· ἔκλαυσε σφοδρῶς Ἰωσὴφ τὸν Ἰακὼβ τεθνεῶτα (29), ἐκόψαντο καὶ τὴν Μωϋσέως τελευτὴν οὐ μικρῶς Ἰουδαῖοι· πολλοῖς καὶ τὸν Σαμουὴλ τετιμήκασι δάκρυσι· νῦν δὲ ταῖς τῶν ὁσίων τελευταῖς ἐνσκιρτῶμεν. Ἡ γὰρ τῶν λυπηρῶν μετὰ τὸν σταυρὸν μεταβέβληται φύσις. Οὐκέτι θρήνοις τοὺς τῶν ἁγίων δορυφοροῦμεν (30) θανάτους, ἀλλ' ἐνθέοις χορείαις τοῖς ἐκείνων ἐπορχούμεθα τάφοις. Ὕπνος γὰρ τοῖς δικαίοις ὁ θάνατος. Μᾶλλον δὲ πρὸς κρείττονα ζωὴν ἐκδημία. Ἐντεῦθεν σκιρτῶσι σφαττόμενοι μάρτυρες. Ὁ γὰρ τῆς μακαριωτέρας ζωῆς (31)
B πόθος τὴν τῆς σφαγῆς ὀδύνην νεκρὰν ἀπεργάζεται. Οὐ βλέπει τοὺς κινδύνους, ἀλλὰ τοὺς στεφάνους ὁ μάρτυς· οὐ φρίττει τὰς πληγὰς, ἀλλ' ἀριθμεῖ τὰ βραβεῖα· οὐχ ὁρᾷ τοὺς κάτω μαστιγοῦντας δημίους, ἀλλὰ τοὺς ἄνωθεν εὐφημοῦντας ἀγγέλους φαντάζεται· οὐ σκοπεῖ τῶν κινδύνων τὸ πρόσκαιρον (32), ἀλλὰ τὸ τῶν ἐπάθλων αἰώνιον. Λαμπρὸν καὶ παρ' ἡμῖν ἤδη τὸν ἀῤῥαβῶνα καρποῦνται, ταῖς παρὰ πάντων ἐνθέοις εὐφημίαις κροτούμενοι, καὶ μυρίους ἐκ τάφων σαγηνεύοντες δήμους (33).

2. Τοῦτο δὴ τὸ τῷ γενναίῳ τήμερον Βαρλαὰμ πεπραγμένον. Ἤχησε γὰρ ἡ πολεμικὴ τοῦ μάρτυρος σάλπιγξ, καὶ τοὺς τῆς εὐσεβείας ὁπλίτας, ὡς ὁρᾶτε, συνήγαγεν. Ὁ τοῦ Χριστοῦ κείμενος ἀθλητὴς ἐκηρύχθη, καὶ τὸ τῆς Ἐκκλησίας ἀνεπτέρωσε θέατρον.
C Καὶ ὡς ἔλεγε (34) τῶν πιστῶν ὁ Δεσπότης· *Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται*· τέθνηκεν ὁ γενναῖος Βαρλαὰμ, καὶ συγκροτεῖ πανηγύρεις· κατανάλωται τάφῳ, καὶ συγκαλεῖ πρὸς ἑστίασιν. Νῦν ἡμῖν ἀναβοῆσαι καιρός· *Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου;* Ἄγροικος ἡμῖν σήμερον ὁ ἀήττητος τῆς εὐσεβείας

[80] Genes. L, 1. [81] Deut. XXXIV, 8. [82] I Reg. XXV, 1. [83] Joan. XI, 25. [84] I Cor. I, 20.

(28) Noster Reg. secundus εἰς τὸν ἅγιον Βαρλαὰμ τὸν ἐν Ἀντιοχείᾳ μαρτυρήσαντα, *in sanctum Barlaam, qui Antiochiæ martyrium passus est*. Hanc orationem pulchram sane et elegantem esse nemo negaverit : sed Basilii an Chrysostomi sit, dubitari potest. Ea de re in Præfatione nostro more disputamus.

(29) Colb. primus Ἰακὼβ τεθνηκότα. Mox editi οἱ Ἰουδαῖοι. Articulus in mss. non invenitur. Nec ita multo infra editi ἐπὶ ταῖς.... σκιρτῶμεν. In eo autem consentiunt antiqui libri, quod in omnibus vocula ἐπὶ desit : sed in duobus pro σκιρτῶμεν scriptum invenimus ἐνσκιρτῶμεν, et ita edere libuit.

(30) Editi et tres mss. δορυφοροῦμεν, *comitamur satellitum in morem*. Reg. primus δωροφοροῦμεν, *donamus*, seu *cohonestamus*. Mox unus ms. aut alter ἐπαυχώμεθα τάφοις. Haud longe editi ὕπνος δέ. At mss. Ὕπνος γάρ. Subinde, ubi in editis et in uno veteri libro legitur κρείττω, in aliis quibusdam scriptum reperi κρείττονα

(31) Colb. primus Ὁ γὰρ τῆς μακαριωτέρας καταστάσεως ἔρως, *felicioris cujusdam status amor*.

(32) Antiqui tres libri κινδύνων τὸ πρόσφορον. At Colb. primus et editi πρόσκαιρον, recte.

D
(33) Utraque editio et Reg. tertius λαμπρὸν καὶ παρ' ἡμῖν ἤδη τὸν ἀῤῥαβῶνα καρποῦται ταῖς παρὰ πάντων ἐνθέοις εὐφημίαις κροτούμενος, καὶ μυρίους ἐκ τάφων σαγηνεύων δεσμίους, *vinctos quam plurimos congregans*; nec secus habet Reg. primus, nisi quod in eo pluraliter legitur καρποῦνται... κροτούμενοι... σαγηνεύοντες. Colb. primus δ.... καρποῦνται..., ἐκ τάφου σαγηνεύοντες δήμους. Reg. secundus λαμπρὸν καὶ παρ' ἡμῖν ἥδιστον καὶ τερπνὸν ἀῤῥαβῶνα καρποῦται... σαγηνεύων δήμους : at in reliquis nihil dissentit ab editis. Codex quidam Combef. ἐκ τάφου σαγηνεύων δήμους. Ita hunc locum resarcire visum est, ut ex aliquibus mss. numerum multitudinis mutuaremur, ex fide vero quorumdam codicum pro δεσμίους edendum curaremus δήμους. Quibus aliter videbitur, aliter legant, per nos licet.

(34) Colb. primus θέατρον. Καλῶς ἔλεγε... Δεσπότης Χριστός. Aliquanto post Reg. primus καὶ μετὰ θάνατον συγκροτεῖ. Subinde Colb. primus pro ἑστίασιν habet τράπεζαν.

διδάσκαλος (35), ὃν εἷλκε μὲν τύραννος ὡς εὐάλωτον θήραμα, ἔγνω δὲ μετὰ τὴν πεῖραν (36) ὁπλίτην ἀχείρωτον· ὃν ἐγέλα μὲν παρακεκομμένα φθεγγόμενον, ἔφριξε δὲ ἀγγελικὰ νεανιευόμενον. Οὐ γὰρ συνεβαρβάριζεν ὁ τρόπος τῷ τῆς γλώττης ὀργάνῳ, οὐδὲ ταῖς συλλαβαῖς συγχωλεύων ὁ λογισμὸς ἑωρᾶτο· ἀλλ' ἦν δεύτερος Παῦλος, μετὰ τοῦ Παύλου (37) φθεγγόμενος· *Εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει.* Ἐνάρκησαν μαστίζοντες δήμιοι, ἀλλ' ἀκμαιότερος ὁ μάρτυς εὑρίσκετο· αἱ τῶν ξεόντων ἐξενευρίζοντο χεῖρες, ἀλλ' ὁ τοῦ ξεομένου λογισμὸς οὐκ ἐκάμπτετο. Τὰς τῶν νεύρων αἱ μάστιγες ἁρμονίας παρέλυσαν, ἀλλ' ὁ τῆς πίστεως ἀκριβέστερον ἐπεσφίγγετο τόνος. Διασκαπτόμεναι πλευραὶ (38) δεδαπάνηντο, ἀλλ' ἡ τοῦ φρονήματος ἤνθει φιλοσοφία. Τῆς σαρκὸς αὐτοῦ τὸ πλέον νενέκρωτο, ἀλλ' ὡς μήπω τῶν ἀγώνων ἀρξάμενος ἤκμαζεν. Ὅταν γὰρ ὁ τῆς εὐσεβείας ἔρως τὴν ψυχὴν προκατάσχῃ, ἅπαν αὐτῇ πολέμων καταγέλαστον εἶδος, καὶ πάντες αὐτὴν ὑπὲρ τοῦ ποθουμένου καταξέοντες τέρπουσι μᾶλλον ἢ πλήττουσι. Μαρτυρεῖ μοι τῶν ἀποστόλων ὁ πόθος, τερπνὰς αὐτοῖς ποτε τὰς παρὰ Ἰουδαίων ἐργαζόμενος μάστιγας. *Ἐπορεύοντο* γάρ, φησί, *χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν* (39) *ἀτιμασθῆναι.* Τοιοῦτος καὶ ὁ σήμερον ἡμῖν ὁπλίτης ὑμνούμενος· εὐφροσύνην τὰς κολάσεις ἡγούμενος, ῥόδοις τισὶ βάλλεσθαι νομίζων ταῖς μάστιξι· τὰς τῆς ἀσεβείας αἰκίας (40) δραπετεύων ὡς βέλη, καπνοῦ σκιὰν τὸν δικαστικὸν θυμὸν λογιζόμενος· τάγματα δορυφόρων ἀπηγριωμένα γελῶν· ὡς ἐπὶ στεφάνοις τοῖς κινδύνοις χορεύων· ταῖς πληγαῖς ὡς τιμαῖς εὐφραινόμενος· ταῖς σφοδροτέραις τιμωρίαις ὡς βραβείοις ἐνσκιρτῶν λαμπροτέροις· ξίφη διαπτύων γυμνούμενα· χεῖρας δημίων ὡς κηροῦ μαλακωτέρας δεχόμενος· κολαστήριον ξύλον ὡς σωτήριον ἀσπαζόμενος· κλείσμασι δεσμωτηρίων (41) ὡς λειμῶσι τερπόμενος· βασάνων ἐπινοίαις ὡς ἀνθέων ποικιλίαις ἡδόμενος· πυρὸς εὐτονωτέραν δεξιὰν κεκτημένος· ὃ δὴ τελευταῖον αὐτῷ παρὰ τῶν πολεμούντων προσῆκτο μηχάνημα. Βωμὸν γὰρ πρὸς τὴν τῶν δαιμόνων σπονδὴν ἀνακαύσαντες, ἱστᾶσι παρ' αὐτῷ (42) ἀγαγόντες τὸν μάρτυρα, καὶ τῷ βωμῷ

A hodie invictus magister pietatis, quem ut prædam captu facilem tyrannus trahebat, sed expertus, eum agnovit armigerum insuperabilem: quem deridebat rustice loquentem, sed angelico robore vigentem reformidavit. Nec enim una cum linguæ organo barbarus erat animus, neque una cum syllabis mens claudicare videbatur: sed alter erat Paulus, cum Paulo dicens: *Etsi imperitus sermone, sed non scientia* [88]. Obtorpuerunt carnifices cædendo; sed martyr inveniebatur vegetior. Fatiscebant lacerantium manus, sed ejus qui lacerabatur animus non flectebatur; flagra compagem exsolverunt nervorum, sed fidei vigor tenacius astringebatur. Perfossa latera absumebantur: sed mentis philosophia efflorebat. Enecta erat carnis illius pars major; at B quasi necdum certamina exorsus, vigebat. Cum enim pietatis amor animam occupat, tum ipsa omne pugnarum genus irridet; et quicunque illam rei adamatæ causa cædunt, delectant magis quam excruciant. Testimonio mihi est illud **140** apostolorum desiderium, quo Judæorum verbera olim suavia ipsis et grata reddebantur. *Ibant* enim, inquit, *gaudentes a conspectu concilii, quod digni habiti essent qui pro ejus nomine contumeliam paterentur* [89]. Talis est et ille miles qui hodie nobis celebratur. Hic tormenta pro gaudio duxit: hic dum cæderetur, rosis peti se rebatur. Impietatis damna tanquam tela fugiebat; judicis iram habebat pro fumi umbra. Satellitum efferatos ordines irridebat, qui scilicet C ob pericula velut ob coronas tripudiaret. Plagis affectus perinde lætabatur, ac si honore afficeretur. Suppliciis acrioribus ita exsultavit, quasi præmia lautissima accepisset. Despuebat gladios nudos, manus tortorum sustinebat tanquam cera molliores, supplicii lignum velut salutare osculabatur, septis carcerum ceu pratis gaudebat, excogitatis tormentis veluti variis floribus oblectabatur. Dexteram habuit igne firmiorem: quod postremum tormentum ei ab inimicis admotum est. Etenim libamen dæmonibus facturi ignem aræ cum imposuissent, adductum martyrem ante eam sistunt, atque dextram supinam super altare protendere jubentes, manu velut ærea ara abusi sunt, ardente

[88] II Cor. XI, 6. [89] Act. V, 41.

(35) Antiqui duo libri et editi ἡ ἀήττητος τῆς εὐσεβείας διδασκαλία, male. Codices Combefisiani ὁ ἀήττητος τῆς εὐσεβείας διδάσκαλος, bene, nec aliter in nostro Reg. secundo legitur, nisi quod articulus ante vocem ἀήττητος eo in libro non invenitur. Paulo post idem Reg. secundus ὡς αἰχμάλωτον θήραμα.

(36) Utraque editio et Reg. tertius μετὰ τὴν θήραν, *post prædam*, corrupte. At Colb. primus et Reg. secundus μετὰ τὴν πεῖραν, *post experimentum*, incorrupte.

(37) Colb. primus τοῦ Παύλου. Articulus in editis desideratur. Mox unus ms. ἰδιώτης εἰμί.

(38) Reg. primus διακοπτόμεναι πλευραί. Aliquanto post Colb. primus ἀγώνων ἁψάμενος, sensu non dissimili. Subinde in uno ms. pro πολέμων legitur πολεμίων

D (39) Colb. primus ὀνόματος Χριστοῦ κατηξ., *pro nomine Christi.* Statim Reg. secundus ὁ σημερινὸς ἡμῖν.

(40) Utraque editio et duo mss. ἀσεβείας σκιάς, *impietatis umbras.* Colb. primus ἀσεβείας αἰκίας *impietatis damna, noxas;* et ita, opinor, legi præstat, ne vox σκιά bis continenter legatur. Mox idem Codex ὡς στεφάνῳ.

(41) Rursus idem Codex κλείσμασι δεσμωτηρίοις.

(42) Utraque editio παρ' αὐτῷ. Antiqui tres libri παρ' αὐτόν. Mox utraque editio et Reg. tertius χαλκῷ θυσιαστηρίῳ, *ara ærea.* Colb. primus et Reg. secundus χαλκῷ θυμιατηρίῳ, *thuribulo æreo.* Suspicari fortasse quispiam possit hoc loco legendum esse θυμιατηρίῳ, *thuribulo;* nec diffitebimur videri hanc vocem primo aspectu magis convenire: tamen cum

thure in ea maligne imposito. Sperabant enim fore, A ut vi ignis devicta manus thus in aram necessario ac velociter excuteret. Heu varias impiorum præstigias! Quoniam, inquiunt, vulneribus innumeris animum pervicacis illius luctatoris non fleximus, illius certe manum per flammam flectamus. Quoniam artibus diversis animum non concussimus, certe igni admotam dexteram quatiamus. Sed ne illa quidem spes his miseris profuit. Etenim flamma quidem manum perrosit: sed tamen manus permansit flammam quasi cinerem ferens. Non dedit tergum sævienti igni fugitivorum in morem: sed immota perstitit contra flammam strenue dimicans, atque martyri facultatem dans Prophetæ verba proferendi: *Benedictus Dominus Deus meus, qui docet manus meas ad prœlium, et digitos meos ad bellum*[87]. B Ignis enim cum manu confligebat; sed ignis vincebatur. Flammam inter et dexteram martyris instruebatur lucta; sed dextera novam quamdam luctaminum victoriam habebat: quandoquidem per mediam manum transeunte flamma, manus adhuc ad luctam porrigebatur. O manum igne pertinaciorem! o manum ab igne flecti nesciam! o ignem a manu vinci edoctum? Vi ignis ferrum emollitum cedit: æs paret ignis potentiæ; vinci ab eodem et lapidum durities solet. Nunc vero ignis vehementia quæ domat omnia, dexteram exurens nequaquam flexit.

τὴν δεξιὰν ὑπτίαν ἐπαιωρῆσαι κελεύσαντες, ὡς χαλκῷ θυσιαστηρίῳ τῇ χειρὶ κατεχρήσαντο, λιβανωτὸν αὐτῇ κακούργως ἐνθέντες φλεγόμενον. Ἤλπιζον γὰρ τῇ τοῦ πυρὸς βίᾳ τὴν χεῖρα καταπαλαισθεῖσαν, ἀνάγκῃ τῷ βωμῷ ταχέως λιβανωτὸν ἐπαφήσειν. Φεῦ τῆς πολυπλόκου τῶν ἀσεβῶν μαγγανείας! Ἐπειδὴ μυρίοις, φησὶ, τὴν (43) γνώμην οὐκ ἐκάμψαμεν τραύμασι, κάμψωμεν ἐν φλογὶ τοῦ φιλονείκου παλαιστοῦ κἂν τὴν χεῖρα. Ἐπειδὴ ποικίλαις μηχαναῖς τὴν ψυχὴν οὐκ ἐσείσαμεν, τὴν δεξιὰν γοῦν πυρὶ προσαγαγόντες σαλεύσωμεν. Ἀλλ' οὐδὲ ταύτης οἱ δείλαιοι τῆς ἐλπίδος ἀπώναντο. Ἡ μὲν γὰρ φλὸξ τὴν χεῖρα διέτρωγεν (44)· ἔμενε δὲ ἡ χεὶρ, ὡς τέφραν τὴν φλόγα βαστάζουσα. Οὐκ ἔδωκε τῷ πολεμοῦντι πυρὶ κατὰ τοὺς φυγάδας τὰ νῶτα, ἀλλ' ἄτρεπτος εἱστήκει κατὰ φλογὸς ἀριστεύουσα, καὶ τὰς τοῦ Προφήτου λέγειν τῷ μάρτυρι διδοῦσα φωνάς· *Εὐλογητὸς Κύριος ὁ Θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, καὶ τοὺς δακτύλους μου εἰς πόλεμον.* Πῦρ γὰρ χειρὶ συνεπλέκετο, καὶ τοῦ πυρὸς τὰ τῆς ἥττης εὑρίσκετο. Φλογὶ καὶ μάρτυρος δεξιᾷ συνεκροτεῖτο πάλη, ἀλλ' ἦν τῆς δεξιᾶς καινή τις τῶν παλαισμάτων ἡ νίκη, τῆς μὲν φλογὸς διὰ μέσου τῆς χειρὸς ἐκπιπτούσης, τῆς χειρὸς δὲ ἔτι τεταμένης (45) πρὸς πάλην. Ὦ χειρὸς φιλονεικοτέρας πυρός! ὦ χειρὸς, κάμπτεσθαι πυρὶ μὴ μαθούσης! ὦ πυρὸς, ἡττᾶσθαι χειρὶ διδαχθέντος! Σίδηρος τῇ τοῦ πυρὸς εἴκει τυραννίδι χαυνούμενος· χαλκὸς τῇ τοῦ πυρὸς παραχωρεῖ δυναστείᾳ· οἶδε τούτῳ καὶ λίθων ἀντιτυπία νικᾶσθαι. Ἀλλ' ὁ πάντα τοῦ πυρὸς βιαζόμενος τόνος μάρτυρος τὴν δεξιὰν τεταμένην οὐκ ἔκαμψε κατακαίων.

3. Ob id jure optimo posset martyr ad Dominum C clamare: *Tenuisti manum dexteram meam*, **141** *et in voluntate tua deduxisti me, et cum gloria suscepisti me*[88]. Quomodo te, o strenue Christi miles, appellabo? Vocabo statuam? Sed multum imminuero tuam constantiam. Ignis enim receptam in se statuam emollit: dexteram vero tuam, ut saltem moveri videretur, non adegit. Ferreumne nominabo? Sed hanc similitudinem fortitudine tua reperio inferiorem. Nam tu solus flammæ suasisti, ut ne manum domaret: tu solus habuisti dexteram aræ loco; tu solus ardente dextra dæmonum facies alapis percussisti, et tunc quidem in prunas commutata manu, eorum capita colliquefecisti; nunc vero ea in cineres redacta, ipsorum exercitus calcans excæcas. Quid autem puerili balbutie victorem D

3. Εἰκότως ἂν ὁ μάρτυς ἐπὶ τούτῳ πρὸς τὸν Δεσπότην βοήσειεν· *Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με.* Τί σε, ὦ γενναῖε τοῦ Χριστοῦ στρατιῶτα, προσείπω; Ἀνδριάντα καλέσω; Πολύ σε τῆς καρτερίας ἠλάττωσα. Τὸν μὲν (46) γὰρ πῦρ μαλάττει δεξάμενον· σοῦ δὲ τὴν δεξιὰν ὀφθῆναι μόνον κινουμένην οὐκ ἔπεισεν. Ἂν σιδηροῦν ὀνομάσω, καὶ τὴν τοιαύτην τῆς σῆς ἀνδρίας εὑρίσκω λειπομένην εἰκόνα. Σὺ γὰρ μόνος ἔπεισας φλόγα μὴ βιάζεσθαι χεῖρα· σὺ μόνος ἐκτήσω θυσιαστήριον δεξιάν· σὺ μόνος δεξιᾷ φλεγομένῃ τὰ τῶν δαιμόνων ἐῤῥάπισας πρόσωπα, καὶ τότε μὲν ἀπηνθρακωμένῃ χειρὶ τὰς ἐκείνων κεφαλὰς συγκατέτηξας (47)· νῦν δὲ τεφρωθείσῃ ταύτῃ τὰς αὐτῶν στρατιὰς ἀποτυφλοῖς καταπατῶν. Ἀλλὰ τί παιδικοῖς ἐλαττῶ τὸν

[87] Psal. CXLIII, 1. [88] Psal. LXXII, 24.

vox θυσιαστηρίῳ in sequentibus repetatur, nec tunc mss. ab editis dissideant, potius θυσιαστηρίῳ legi debere arbitramur. Nec quanquam moveat vox *ara*, cum nomine aræ intelligi possit ara parva, quæ non ita multum magnitudine a thuribulo differret: qua de re aliorum erit judicium.

(43) Colb. primus et alter μυρίοις τισὶ τήν. Hoc ipso in loco mss. tres οὐκ ἐκλάσαμεν. Editio utraque οὐκ ἐκάμψαμεν, eodem sensu.

(44) Colb. primus χεῖρα διέτρησεν, *manum perforavit*. Lectio satis idonea. Ibidem Reg. primus ἔμεινε.

(45) Reg. primus ἔτι τετραμμένης. Mox utraque editio κάμπτεσθαι πυρός, male. At mss. πυρί, bene. Nec ita multo infra duo mss. τῇ τῆς φλογὸς εἴκει.

(46) Utraque editio τὸ μέν, depravate: at in mss. emendate legitur τὸν μὲν, ἀνδριάντα videlicet. Aliquanto infra editio Paris. et Reg. secundus ἂν σίδηρον, *vocabone ferrum?* Editio Basil. ἂν σιδηροῦν, *vocabone ferreum*, bene.

(47) Editi et Reg. tertius συγκατέτηξας, *colliquefecisti*. Alii tres mss. aut etiam tribus plures συγκατέφλεξας, *combussisti*. Poterit ad suum quisque arbitrium hoc aut illo modo legere, cum utraque scriptura satis apta esse videatur.

A ἀριστέα ψελλίσμασι (48); Ταῖς μεγαλοπρεπεστέραις τοίνυν τὸν εἰς αὐτὸν ὕμνον παραχωρήσωμεν γλώτταις· τὰς μεγαλοφωνοτέρας τῶν διδασκάλων ἐπ' αὐτῷ καλέσωμεν σάλπιγγας. Ἀνάστητέ μοι νῦν, ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι· τὴν τοῦ στρατηγοῦ κολοβωθεῖσαν εἰκόνα ταῖς ὑμετέραις μεγαλύνατε τέχναις. Ἀμαυρότερον παρ' ἐμοῦ τὸν στεφανίτην γραφέντα τοῖς τῆς ὑμετέρας σοφίας περιλάμψατε χρώμασιν. Ἀπέλθω τῇ τῶν ἀριστευμάτων τοῦ μάρτυρος παρ' ὑμῶν νενικημένος γραφῇ· χαίρω τὴν τοιαύτην (49) τῆς ὑμετέρας ἰσχύος σήμερον νίκην ἡττώμενος. Ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκριβέστερον παρ' ὑμῶν γραφομένην τὴν πάλην· ἴδω φαιδρότερον ἐπὶ τῆς ὑμετέρας τὸν παλαιστὴν γεγραμμένον εἰκόνος. Κλαυσάτωσαν δαίμονες, καὶ νῦν ταῖς τοῦ μάρτυρος ἐν ὑμῖν ἀριστείαις B πληττόμενοι. Φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ καὶ νικῶσα δεικνύσθω. Ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

magnum deprimo? Locum martyris laudandi cedamus linguis magnificentioribus, atque vocaliores doctorum tubas ad id præconium invitemus. Exsurgite nunc mihi, o præclari athleticorum gestorum pictores. Mutilatam hujus ducis imaginem artibus vestris adornate. Coronatum athletam obscurius a me depictum, solertiæ vestræ coloribus illustrate. Velim abeam victus a vobis, egregia martyris facta pictura repræsentaturis: gaudeam tali hodie per vestram dexteritatem victoria superatus. Videam manus et ignis inter se luctam a vobis accuratius expressam: videam luctatorem in vestra imagine splendidius depictum. Plorent dæmones, ob martyris victorias per vos hodieque prostrati. Manus ardens et victrix denuo eis ostendatur. Depingatur in tabella et certaminum præfectus Christus; cui gloria in sæcula sæculorum. Amen.

ΟΜΙΛΙΑ ΙΗ'.

Εἰς Γόρδιον τὸν μάρτυρα (50).

1. Νόμος ἐστὶ φύσεως ταῖς μελίσσαις μὴ ἀπαίρειν τῶν σίμβλων πρὶν ἂν ὁ βασιλεὺς αὐτῶν τῆς πτήσεως ἀφηγήσηται. Ἐπεὶ οὖν καὶ τὸν λαὸν Κυρίου εἶδον νῦν πρῶτον ἐπὶ τὰ οὐράνια ἄνθη, τοὺς μάρτυρας, ἐξιόντα, ζητῶ τὸν ἡγεμόνα. Τίς ὁ κινήσας τὸν πολὺν τοῦτον ἑσμόν; τίς ὁ τὴν χειμερινὴν κατ- C ήφειαν εἰς ἐαρινὴν φαιδρότητα μεταστήσας; Νῦν γὰρ δὴ πρῶτον ὁ λαὸς, οἱονεὶ σίμβλων τινῶν, τῆς πόλεως προχυθέντες, τὸν προπόλεον κόσμον (51), τὸ σεμνὸν τοῦτο καὶ πάγκαλον τῶν μαρτύρων στάδιον, πανδημεὶ κατειλήφασιν. Ἐπεὶ οὖν καὶ ἡμᾶς ἀναστῆσαν ἤγαγε τὸ θαῦμα τοῦ μάρτυρος, ἐκλαθομένους τῆς ἀσθενείας, δεῦρο δὴ καὶ αὐτοὶ τῇ κατὰ δύναμιν φωνῇ, οἷόν τινι ἄνθει τῶν τοῦ ἀνδρὸς ἔργων περιβομβήσωμεν, ὅσιά τε ποιοῦντες καὶ τοῖς παροῦσιν ἅμα κεχαρισμένα· *Ἐγκωμιαζομένου γὰρ δικαίου, εὐφρανθήσονται λαοί*, ὁ σοφὸς ἡμῖν ἀρτίως ἔλεγε Σολομών. Καίτοιγε ἠπόρουν κατ' ἐμαυτὸν, τί ποτε ἄρα βούλεται τῷ παροιμιαστῇ τὸ αἴνιγμα. Ἆρα, ὅτι, ῥήτορός τινος ἢ λογογράφου δεινοῦ D συνθέντος λόγον πρὸς τὴν τῶν ἀκουόντων ἔκπληξιν, ἤχῳ τινὶ κεκομψευμένῳ καταχτυποῦντι τὰς ἀκοὰς, εὐφραίνονται οἱ λαοὶ, τήν τε εὕρεσιν τῶν νοημάτων, καὶ τὴν διάθεσιν, καὶ τὸ τῆς λέξεως πομπικὸν καὶ

HOMILIA XVIII.

In Gordium martyrem.

1. Naturæ lex est apibus, ab alvearibus non prius abire, quam rex earum volatui præierit. Quoniam igitur et Domini populum vidi nunc primum ad cœlestes flores martyres exeuntem, quæro ducem. Quis concitavit magnum hoc examen? quis hibernam mœstitiam verna hilaritate commutavit? Nam nunc primum populus ex urbe tanquam ex alvearibus quibusdam effusus ad suburbanum decus, augustum hoc et perpulcrum martyrum stadium, frequentissimus convenit. Itaque cum nos quoque excitatos ac debilitatis oblitos adduxerit martyris miraculum; age sane et ipsi, voce pro viribus edita, bombitemus quasi circum florem gestorum viri illius, operam et piam et astantibus gratam navantes. *Dum* enim *laudatur justus*, *lætabuntur populi* [89], dicebat nobis modo sapiens ille Salomon; **142** quanquam apud me ipse addubitabam quidnam sibi velit hoc ænigma parœmiastæ. An dicat populum lætari alicujus rhetoris aut oratoris periti, qui orationem ad admirationem audientibus movendam composuerit, sono quodam, eoque eleganti, auresque circumstrepenti: quod scilicet tum sententiarum inventionem atque dispositionem, tum dictionis pompam atque harmonicum concentum

[89] Prov. xxix, 2.

(48) Colb. primus Ἀλλὰ τί παιδικοῖς ἐλαττώμασι τὸν μάρτυρα ἐγκωμιαζόμενον. Ibidem idem codex Ταῖς μεγαλοπρεπεστέραις τοίνυν. Aberat τοίνυν a vulgatis. Rursus ibidem idem codex et alii duo Regii τὸν εἰς αὐτὸν ὕμνον, emendate. Alius ms. et editi τῶν εἰς αὐτὸν ὕμνων, corrupte. Vox αὐτῷ, quæ mox sequitur, non alio quam ad vocem ὕμνον referri debet.

(49) Utraque editio et Reg. secundus τῇ τοιαύτῃ... νίκῃ. Alii tres mss. τὴν τοιαύτην... νίκην.

(50) Reg. primus Τοῦ αὐτοῦ ἐγκώμιον εἰς τὸν ἅγιον μάρτυρα Γόρδιον, *Ejusdem panegyricus in sanctum martyrem Gordium.* Alii mss.: Τοῦ αὐτοῦ εἰς Γόρδιον τὸν μάρτυρα, *Ejusdem panegyricus in Gordium martyrem.*

(51) Utraque editio τὸν προπύλαιον κόσμον. At sex saltem mss. προπόλεον, et ita edere libuit, etsi probe scio legi in vulgatis lexicis non προπόλεος, sed προπόλιος. Reg. secundus προπόλεων: quæ scriptura licet falsa, nostram tamen scribendi rationem et ipsa quoque confirmat.

mire probat? Sed certe hoc nunquam dixerit, cum nusquam tali dicendi genere usus sit; nec nos hortatus est, ut magnificis verbis et splendidis laudes beatorum prosequamur: qui scilicet pedestrem dictionem locutionemque ornatu carentem ubique prætulerit. Quid igitur est quod dicit? Quod lætantur populi lætitia spirituali, si solum egregia justorum facinora revocent in memoriam: quandoquidem iis quæ audiunt, ad æmulationem imitationemque bonorum inducuntur. Nam virorum qui bene in republica versati sunt historia, quasi quamdam lucem salutem consecuturis affert ad viam vitæ dirigendam. Quapropter simulatque, narrante ipso Spiritu, vitam Moysis audivimus, statim fuimus æmulati virtutem viri, illaque morum mansuetudo [90] unicuique optanda visa est atque laudanda. Et quidem ex verborum amplificatione reliquorum hominum conflantur elogia: sed quod ad justos attinet, gestarum a se rerum veritas satis fuerit ad egregiam eorum veritatem demonstrandam. Quare cum vitas eorum qui pietate claruerunt, enarramus, primum per servos Dominum afficimus gloria; deinde justos testimonio eorum quæ nobis nota sunt laudamus, postremo populum recte factorum auditione exhilaramus. Est enim hortamentum ad castitatem vita Josephi [91]: incitamentum vero ad fortitudinem historia Sampsonis est [92].

2. Divina igitur schola legem non novit præconiorum: sed gestorum testimonium loco præconiorum habet; quippe quod et sanctis ad laudem sufficiat, et contendentibus ad virtutem satis impertiat utilitatis. Præconiorum namque lex est, patriam investigare, genus ex alto repetere, et educationem referre: sed lex nostra, propinquorum prætermissa mentione, ex iis quæ cuique propria sunt, elogium ac laudationem complet. Quid enim ego inde splendidior sum et illustrior, si quando urbs gravia magnaque certamina sustinuit, ac fusis hostibus tropæa clara erexit? quid tum, si habet situm ita opportunum, ut et in hieme et in æstate commoda sit? Quod si etiam eadem et virorum ferax sit, et alendis pecoribus idonea, quid mihi ex iis emolumenti? Sed et equorum gregibus omnes quæ sub sole sunt regiones superat. Quid hæc tandem possunt nos ad virtutem hominibus convenientem promovere? An non etiam si de vicini cujuspiam montis cacuminibus disserimus, quomodo nubes transcendant, et quam longissime porrigantur in aerem, nos ipsos decipiemus tum, cum ex his laudes viris tribuerimus? Maxime
143 omnium ridiculum est, spreto a justis orbe toto, nos ex paucis eorum quæ contempserunt, laudes eorum celebrare. Recordatio igitur satis

A πρὸς ἁρμονίαν κεχροτημένον ἀποδεχόμενοι; Ἢ τοῦτο μὲν οὐκ ἂν εἶπέ ποτε ὁ μηδαμοῦ τῷ τοιούτῳ εἴδει τῶν λόγων χρησάμενος· οὐδ' ἂν προέτρεψεν ἡμᾶς πανηγυρικῶς ἐμπομπεύειν (52) τοῖς ἐγκωμίοις τῶν μακαρίων ὁ τὸ πεζὸν τῆς λέξεως καὶ τὸ τῆς φωνῆς ἀκατάσκευον πανταχοῦ προτιμήσας. Τί οὖν ἐστιν, ὅ φησιν; Ὅτι εὐφραίνονται λαοὶ εὐφροσύνην πνευματικὴν ἐπὶ μόνῃ τῇ ὑπομνήσει τῶν τοῖς δικαίοις κατωρθωμένων, εἰς ζῆλον καὶ μίμησιν τῶν ἀγαθῶν, ἀφ' ὧν ἀκούουσιν, ἐναγόμενοι. Ἡ γὰρ τῶν εὐπολιτεύτων ἀνδρῶν ἱστορία οἷόν τι φῶς τοῖς σωζομένοις πρὸς τὴν τοῦ βίου ὁδὸν ἐμποιεῖ. Διότι ὁμοῦ τε ἠκούσαμεν διηγουμένου τοῦ Πνεύματος τὸν Μωϋσέως βίον, καὶ εὐθὺς ἡμᾶς ζῆλος εἰσῆλθε τῆς ἀρετῆς τοῦ ἀνδρὸς, καὶ τὸ πρᾶον τοῦ τρόπου ζηλωτὸν ἑκάστῳ καὶ μα-
B καριστὸν κατεφάνη. Τοῖς μὲν γὰρ ἄλλοις ἀνθρώποις ἐκ τῆς τῶν λόγων αὐξήσεως συνίσταται τὰ ἐγκώμια· τοῖς δικαίοις δὲ ἀρκεῖ τῶν πεπραγμένων αὐτοῖς ἡ ἀλήθεια πρὸς τὸ δεῖξαι αὐτῶν τὸ ὑπερβάλλον τῆς ἀρετῆς. Ὥστε, ὅταν διηγώμεθα τοὺς βίους τῶν διαπρεψάντων ἐν εὐσεβείᾳ, δοξάζομεν πρῶτον τὸν Δεσπότην διὰ τῶν δούλων· ἐγκωμιάζομεν δὲ τοὺς δικαίους διὰ τῆς μαρτυρίας ὧν ἴσμεν, εὐφραίνομεν δὲ τοὺς λαοὺς διὰ τῆς ἀκοῆς τῶν καλῶν. Προτροπὴ γὰρ πρὸς σωφροσύνην ὁ βίος τοῦ Ἰωσὴφ, καὶ πρὸς ἀνδρίαν παράκλησις τὰ τοῦ Σαμψὼν διηγήματα.

2. Οὐκ οἶδεν οὖν ἐγκωμίων νόμον τὸ θεῖον διδασκαλεῖον (53), ἀλλὰ τὴν μαρτυρίαν τῶν πεπραγμένων
C ἀντ' ἐγκωμίων λογίζεται, ὡς καὶ τοῖς ἁγίοις ἐξαρκοῦσαν πρὸς ἔπαινον, καὶ τοῖς ὡρμημένοις πρὸς ἀρετὴν αὐτάρκη οὖσαν εἰς ὠφέλειαν. Ἐγκωμίων μὲν γὰρ νόμος πατρίδα διερευνᾶσθαι (54), καὶ γένος ἀναζητεῖν, καὶ ἀγωγὴν διηγεῖσθαι· ὁ δὲ ἡμέτερος νόμος, τοὺς τῶν γειτόνων λόγους κατασιγάσας, ἀπὸ τῶν ἰδίων ἑκάστου τὴν μαρτυρίαν πληροῖ. Τί γὰρ ἐγὼ παρὰ τοῦτο σεμνότερος, εἰ ἡ πόλις ποτὲ χαλεποὺς καὶ μεγάλους ἀγῶνας διενεγκοῦσα, λαμπρὰ κατὰ τῶν πολεμίων ἀνέστησε (55) τρόπαια; τί δὲ, εἰ θέσεως εὐκαίρως ἔχει, ὡς πρὸς χειμῶνά τε εἶναι καὶ θέρος ἐπιτηδείαν; Εἰ δὲ καὶ ἡ αὐτὴ ἀνδρῶν τέ ἐστιν εὔφορος, καὶ βοσκήματα τρέφειν αὐτάρκης, τί μοι ἐκ τούτων ὄφελος; Ἀλλὰ καὶ ταῖς τῶν ἵππων ἀγέλαις τῆς ὑφ' ἡλίῳ κρατεῖ. Τί οὖν ἡμᾶς δύναται
D ταῦτα τὴν ἀνθρωπείαν ἀρετὴν βελτίους ποιῆσαι; Ἤ που καὶ τὰς τοῦ γείτονος ὄρους κορυφὰς διηγούμενοι, ὡς ὑπερνεφεῖς τέ εἰσι καὶ ἐπὶ πολὺ τοῦ ἀέρος διανεστήκασιν, ἑαυτοὺς ἀπατήσομεν (56) ὡς τοῖς ἀνδράσι διὰ τούτων ἐκπληροῦντες τὸν ἔπαινον; Πάντων ἐστὶ καταγελαστότατον, ὅλου τοῦ κόσμου παρὰ τῶν δικαίων ὑπεροφθέντος, ἡμᾶς ἐξ ὀλίγων τῶν ἀτιμασθέντων πληροῦν αὐτοῖς τὰ ἐγκώμια. Ἀρκεῖ τοίνυν ἡ μνήμη πρὸς ὠφέλειαν διηνεκῆ. Οὐ γὰρ δὴ ἐκείνοις

[90] Num. xii, 3. [91] Genes. xxxix, 8. [92] Jud. xiv, 5 sqq.

(52) Unus codex ἐκπομπεύειν. Ibidem in Colb. primo pro μακαρίων legitur ἁγίων.
(53) Colb. tertius διδασκάλιον.
(54) Reg. primus διερευνᾷν. Paulo post idem codex διηγήσασθαι. Alius ms. pro ἀγωγήν habet διαγωγήν.
(55) Unus liber vetus ἔστησε.
(56) Editi et unus ms. ἀπατήσομεν. Alii quatuor mss. ἀπατήσωμεν.

χρεία προσθήκης εἰς εὐδοκίμησιν, ἀλλ' ἡμῖν τοῖς ἐν τῷ βίῳ ἀναγκαία ἡ μνήμη διὰ τὴν μίμησιν. Ὥσπερ γὰρ τῷ πυρὶ αὐτομάτως ἕπεται τὸ φωτίζειν, καὶ τῷ μύρῳ τὸ εὐωδεῖν· οὕτω καὶ ταῖς ἀγαθαῖς πράξεσιν ἀναγκαίως ἀκολουθεῖ τὸ ὠφέλιμον. Καίτοι οὐδὲ τοῦτο μικρὸν, ἀκριβῶς τυχεῖν τῆς ἀληθείας τῶν τότε. Ἀμυδρὰ γάρ τις φήμη (57) πρὸς ἡμᾶς διεδόθη, τὰς ἐπὶ τῶν ἀγώνων ἀνδραγαθίας τοῦ ἀνδρὸς διασώζουσα. Καί πως δοκεῖ τὸ καθ' ἡμᾶς τῷ (58) τῶν ζωγράφων προσεοικέναι. Καὶ γὰρ ἐκεῖνοι, ἐπειδὰν ἐξ εἰκόνων μεταγράφωσι τὰς εἰκόνας, πλεῖστον, ὡς εἰκὸς, τῶν ἀρχετύπων ἀπολιμπάνονται· καὶ ἡμᾶς, αὐτῆς τῆς θέας τῶν πραγμάτων ἀπολειφθέντας, κίνδυνος οὐ μικρὸς τὴν ἀλήθειαν ἐλαττῶσαι. Ἀλλ' ἐπειδὴ ἐνέστηκεν ἡ ἡμέρα ὑπόμνησιν φέρουσα μάρτυρος, ἐπιφανῶς τοῖς ὑπὲρ Χριστοῦ μαρτυρίοις ἐναθλήσαντος, εἴπωμεν ὅσα οἴδαμεν. Οὗτος ἔφυ μὲν ἀπὸ τῆς πόλεως ταύτης, ὅθεν καὶ μᾶλλον αὐτὸν ἀγαπῶμεν, διότι οἰκεῖος ἡμῖν ὁ κόσμος ἐστίν. Ὥσπερ γὰρ τὰ εὔκαρπα τῶν φυτῶν, οὓς ἂν ἐκθρέψῃ καρποὺς, τῇ οἰκείᾳ γῇ παρατίθεται· οὕτω καὶ οὗτος ἐκ τῶν λαγόνων τῆς ἡμετέρας ἀναδραμὼν, καὶ πρὸς μήκιστον ὕψος τῆς δόξης διαναστὰς, τῇ ἐνεγκούσῃ καὶ θρεψαμένῃ τῶν οἰκείων τῆς εὐσεβείας καρπῶν τὴν ἀπόλαυσιν ἐχαρίσατο. Καλοὶ μὲν γὰρ καὶ οἱ ἐκ τῆς ὑπερορίας καρποὶ, ὅταν ἡδεῖς τε (59) ὦσι καὶ τρόφιμοι· πολλῷ μέντοι ἡδίους τῶν ἐπηλύδων οἱ ἡμεδαποὶ καὶ ἐγχώριοι, πρὸς τῇ ἀπολαύσει ἔτι καὶ καλλωπισμόν τινα ἡμῖν διὰ τῆς οἰκειότητος χαριζόμενοι. Ἐγκατειλεγμένος δὲ (60) στρατείᾳ ἐπιφανεῖ, ὡς ἑκατὸν στρατιωτῶν ἀρχὴν πιστευθῆναι, καὶ σώματος ῥώμῃ καὶ ψυχῆς ἀνδρίᾳ τοῖς στρατιωτικοῖς καταλόγοις ἐμπρέπων. Ἐπεὶ δὲ (61) ὁ τότε τύραννος τὸ πικρὸν καὶ ἀνήμερον τῆς ψυχῆς μέχρι τοῦ πολέμου τῆς Ἐκκλησίας ἐξέτεινε, καὶ ἦρε χεῖρα θεομάχον κατὰ τῆς εὐσεβείας, κηρύγματα δὲ ἦν πανταχοῦ, καὶ διαγράμματα ἥπλωτο κατὰ πᾶσαν ἀγορὰν καὶ πάντα τόπον ἐπίσημον, μὴ προσκυνεῖσθαι Χριστὸν, ἢ θάνατον εἶναι τὴν ζημίαν τοῖς προσκυνοῦσι· καὶ πρόσταγμα ἦν ὑποκύπτειν εἰδώλοις ἅπαντας, καὶ λίθους καὶ ξύλα χαράγματι τέχνης μεμορφωμένα θεοὺς ἡγεῖσθαι, ἢ τοὺς μὴ πειθομένους πάσχειν ἀνήκεστα· σύγχυσις δὲ ἦν καὶ ταραχὴ διὰ πάσης τῆς πόλεως, καὶ λεηλασίαι κατὰ τῶν εὐσεβούντων· χρήματα διηρπάζετο, πληγαῖς τὰ τῶν φιλοχρίστων σώματα κατεξαίνετο, γυναῖκες εἵλκοντο διὰ μέσης τῆς (62) πόλεως· οὐ νεότης ἐλεεινὴ, οὐ γῆρας αἰδέσιμον ἦν·

A fuerit perpetuæ utilitatis percipiendæ. Nec enim jam opus illis est, ut quidpiam ipsis ad commendationem accedat : sed nobis in hac vita commorantibus ad eos imitandos necessaria recordatio est. Quemadmodum enim ignem naturaliter comitatur illustratio, et unguentum bonus odor : ita quoque bona opera utilitas necessario sequitur. Quanquam ne hoc quidem parvi momenti est, veritatem eorum quæ tunc gesta sunt diligenter assequi. Nam tenuis quædam fama, qua viri illius in certaminibus præclara facinora conservantur, ad nos usque pervenit. Atque quodammodo videmur nos pictoribus consimiles esse. Illi enim cum ex imaginibus imagines depingunt, plurimum, ut constat, desciscunt ab archetypis : sic et periculum B non exiguum est, ne nos, qui res ipsas non conspeximus, imminuamus veritatem. At quando adest dies memoriam referens martyris, qui splendide in suis pro Christo testimoniis decertavit, dicamus quæcunque novimus. Hic natus est ex hac urbe; unde etiam eo magis illum diligimus quod proprium nobis ornamentum sit. Quemadmodum enim feraces arbores eos quos nutriunt fructus propriæ terræ ferunt acceptos : sic etiam hic ex nostræ terræ sinu egressus, et ad summam gloriæ altitudinem evectus, patriæ quæ se produxit ac educavit, proprios pietatis fructus dedit fruendos. Boni quidem sunt externi etiam fructus, si et suaves fuerint, et alimento abundantes; sed tamen externis multo jucundiores sunt nostrates ac vernaculi, qui, C quod ad nos attineant, præter suavitatem videntur adhuc decus quoddam nobis et ornamentum conferre. Erat autem militiæ ascriptus, in qua locum insignem tenuit; ita ut militibus centum esset præfectus, corporisque robore et animi fortitudine inter militares ordines clareret. Cum igitur tyrannus qui tunc imperabat, amaritudinem animi atque crudelitatem usque ad Ecclesiæ bellum extenderet, tolleretque adversus pietatem manum Deo infensam, et denuntiaretur ubique ac ediceretur in omni foro et in omni loco insigni, ut ne adoraretur Christus, alioquin morte multarentur cultores; cumque præceptum esset, ut omnes adorarent idola, haberentque pro diis lapides et ligna artis D cælatura conformata, alioquin si qui dicto audientes non essent, perferrent intolerabilia; cum denique confunderetur turbareturque civitas **144**

(57) Illud, Ἀμυδρὰ γάρ τις φήμη, etc., ita Latine reddidit interpres vetus, *nam obscura quædam fama viri hujus præclara facta conservans, ad nos usque venit :* qua in interpretatione vox *obscura*, ut verum fatear, mihi nullo modo placet. Nam fit non raro, ut quod obscurum est, hoc idem dubium sit et incertum. Sic igitur interpretari malim, *nam tenuis quædam fama, qua viri illius in certaminibus præclara facinora conservantur, ad nos usque pervenit*, ut Basilius hoc dicat, ne defuisse quidem tum, cum concionaretur, qui quæ narraret et vidissent et audivissent : sed tamen perpaucos superstites fuisse ob temporis diuturnitatem, quæ effecerat, ut pars maxima senio confecti jam interiissent. Illa igitur fama dicebatur ἀμυδρά, non quod obscura esset aut incerta, sed quod paucorum testium oculatorum testimonio niteretur.

(58) Sic mss. multi. Editi vero τὰ καθ' ἡμᾶς τοῖς. Statim tres mss. μεταγράφουσι.

(59) Sic mss. duo. Vocula τε deerat in vulgatis.

(60) *Ἐγκατειλεγμένος δέ.* Supplendum ἦν, notandumque illud esse redditionem hujus commatis: Οὗτος ἔφυ μέν..., intermediis per parenthesin appositis. EDIT.

(61) Editi ἐπειδὴ ὁ. Unus ms. ἐπεὶ δὲ ὁ. Alius ἐπεὶ δή ὁ.

(62) Editio Paris. διὰ πάσης τῆς. Veteres quinque libri διὰ μέσης τῆς.

A tota, piique essent prædæ expositi, diriperentur pecuniæ, plagis dilaniarentur corpora Christianorum, traherentur mulieres per mediam civitatem; tum juventus non concitabat misericordiam, nulla senectutis reverentia erat, sed qui nihil admiserant mali, maleficorum subibant supplicia. Angusti erant carceres, desertæ erant domus opulentæ, solitudines refertæ profugis. Crimen autem hæc tolerantium erat pietas. Et pater prodebat filium, et patrem filius indicabat: fratres in fratres furebant, et servi in dominos suos insurgebant. Atque dira quædam nox genus hominum ita invaserat, ut omnes, diabolo ad insaniam adigente, se invicem ignorarent. Diruebantur ædes precationis manibus impiorum, evertebantur altaria, nec erat oblatio ulla, neque suffitus, non locus sacrificandi, B sed tristitia ingens velut nebula quædam occupabat omnia, fugabantur Numinis cultores, omnis chorus pietatis erat consternatus: sed dæmones tripudiabant, nidoribus ac sanguine omnia coinquinantes. Tunc strenuus ille vir, antevertens judiciorum necessitatem, abjecto cingulo extorris erat. Spreto igitur magistratu, spreta gloria, spretis divitiis omnis generis, propinquis, amicis, famulis, deliciis vitæ, reliquis, quorum studio homines tenentur, ad profundissimas ac hominibus impervias solitudines confugit, actam cum bestiis vitam societate idololatrarum ducens mansuetiorem, imitatus zelotem Eliam, qui cum idololatriam videret Sidoniæ invalescentem, in montem Choreb profugit, degebatque in spelunca, conquirens Deum, donec vidit optatissimum, quantum homini fas est Deum videre [93].

ἀλλ' οἱ μηδὲν ἀδικοῦντες τὰ τῶν κακούργων ὑπέμενον, ἐστενοχωρεῖτο τὰ δεσμωτήρια, ἔρημοι ἦσαν οἱ εὐθηνούμενοι τῶν οἴκων, αἱ δὲ ἐρημίαι πλήρεις τῶν φυγαδευομένων· ἔγκλημα δὲ ἦν τοῖς ταῦτα πάσχουσιν ἡ εὐσέβεια, καὶ πατὴρ παρεδίδου παῖδα, καὶ πατέρα υἱὸς κατεμήνυεν, ἀδελφοὶ κατ' ἀλλήλων ἐμαίνοντο, καὶ δοῦλοι δεσπόταις ἑαυτῶν ἐπανίσταντο· δεινὴ δέ τις νὺξ κατειλήφει τὸν βίον, πάντων ἀγνοησάντων ἀλλήλους ἐκ τῆς τοῦ διαβόλου φρενοβλαβείας· κατεβάλλοντο μὲν οἶκοι προσευχῆς ὑπὸ χειρῶν ἀνοσίων, ἀνετρέπετο δὲ θυσιαστήρια, καὶ οὐκ ἦν προσφορὰ οὐδὲ θυμίαμα, οὐ (63) τόπος τοῦ καρπῶσαι, ἀλλὰ κατήφεια δεινή, ὥσπερ τις νεφέλη, τὰ πάντα κατεῖχεν· ἀπελήλαντο μὲν οἱ τοῦ θείου θεραπευταὶ, διεπτόητο δὲ πᾶς τῆς εὐσεβείας θίασος, δαίμονες δὲ κατεχόρευον, κνίσσαις καὶ αἵμασι τὰ πάντα καταμιαίνοντες· τότε ὁ γενναῖος (64) οὗτος προλαβὼν τὴν ἐκ τῶν δικαστηρίων ἀνάγκην, ῥίψας τὴν ζώνην, ὑπερόριος ἦν, ὑπεριδὼν δυναστείας, ὑπεριδὼν δόξης, πλούτου παντοδαποῦ, συγγενείας, φίλων, οἰκετῶν, ἀπολαύσεως βίου, πάντων ὅσα ἀνθρώποις ἐστὶ περισπούδαστα, πρὸς τὰς βαθυτάτας καὶ ἀνθρώποις ἀβάτους ἐρημίας ἀπέδραμε, τὸν μετὰ τῶν θηρίων βίον τῆς πρὸς τοὺς εἰδωλολατροῦντας κοινωνίας ἡμερώτερον ἡγησάμενος, κατὰ τὸν ζηλωτὴν Ἠλίαν· ὅς, ὅτε εἶδεν ἐπικρατοῦσαν τὴν εἰδωλολατρείαν τῆς Σιδωνίας, ἐπὶ τὸ ὄρος ἀνέδραμε τὸ Χωρὴβ, καὶ ἐν τῷ σπηλαίῳ διῆγεν, ἐκζητῶν τὸν Θεὸν, ἕως εἶδε τὸν περιπόθητον, ὡς ἰδεῖν ἀνθρώπῳ Θεὸν δυνατόν.

C 3. Talis igitur erat et Gordius, qui fugit tumultus civiles, turbam forensem, magistratuum fastum, tribunalia, calumniatores, vendentes, ementes, jurantes, mentientes, verborum turpitudinem, facetias et reliqua omnia, quæ populosæ urbes secum trahunt ita ut cymbæ a magnis navibus trahuntur. Qui cum purgasset aures, purgasset oculos, corque ante omnia purgasset, ut posset Deum videre, ac beatus efficeretur; vidit ex revelatione, didicit mysteria, non ab hominibus, neque per homines, sed magno usus præceptore Spiritu veritatis. Unde cum vitam reputasset, quam inutilis sit, quam vana, quam omni somnio et umbra fragilior, exstimulatus est vehementius ad supernam vocationem concupiscendam. Ac veluti athleta, jam se D jejuniis, vigiliis, precationibus, assiduaque et indesinenti oraculorum Spiritus meditatione satis exercitatum esse, atque ad certamen unctum, animadvertens, illam ipsam diem in qua tota plene civitas, dæmonis bellum amantis diem festum celebratura, certamenque equestre spectatura, theatrum

3. Τοιοῦτος οὖν ἦν καὶ ὁ Γόρδιος, ἀποφυγὼν θορύβους πολιτικοὺς, ὄχλον ἀγοραῖον, ἀρχοντικοὺς τύφους, τὰ δικαστήρια, τοὺς συκοφάντας, τοὺς πωλοῦντας, τοὺς ὠνουμένους, τοὺς ὀμνύοντας, τοὺς ψευδομένους, τὴν αἰσχρολογίαν, τὴν εὐτραπελίαν, τἄλλα ὅσα, ὥσπερ ἐφόλκια, αἱ πολυάνθρωποι τῶν πόλεων ἐπισύρονται. Καθαρεύων τὰ ὦτα, καθαρεύων τοὺς ὀφθαλμούς· καὶ πρό γε πάντων τὴν καρδίαν κεκαθαρμένος, ἵνα Θεὸν ἰδεῖν δυνηθῇ, καὶ μακάριος γένηται· εἶδε δι' ἀποκαλύψεων, ἐδιδάχθη τὰ μυστήρια, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων, ἀλλ' ἔχων τὸν μέγαν διδάσκαλον τὸ Πνεῦμα τῆς ἀληθείας. Ὅθεν ἐλθὼν εἰς ἔννοιαν τοῦ βίου, ὡς ἀνωφελὴς, ὡς μάταιος, ὡς ὀνείρου παντὸς καὶ σκιᾶς ἀδρανέστερος, ἠρεθίσθη σφοδρότερον πρὸς τὴν ἐπιθυμίαν τῆς ἄνω κλήσεως. Καὶ οἷον (64*) ἀθλητὴς, αἰσθόμενος ἑαυτοῦ ἱκανῶς γυμνασθέντος καὶ ἀλειψαμένου πρὸς τὸν ἀγῶνα, ταῖς νηστείαις, ταῖς ἀγρυπνίαις, ταῖς προσευχαῖς, τῇ διηνεκεῖ καὶ ἀπαύστῳ μελέτῃ τῶν λογίων τοῦ Πνεύματος, τηρήσας τὴν ἡμέραν ταύτην, ἐν ᾗ πανδημεὶ πᾶσα ἡ πόλις ἑορτὴν ἄγουσα φιλοπο-

[93] III Reg. xix, 1 seqq.

(63) In duobus mss. pro οὐ legitur οὐδέ. Aliquanto post editio Paris. οἱ τοῦ Θεοῦ. At sex mss. et editio Basil. οἱ τοῦ θείου. Hoc ipso in loco Colb. tertius πάσης εὐσεβείας.

(64) *Τότε ὁ γενναῖος*. Redditio periodi quæ ab Ἐπεὶ δὲ ὁ τότε τύραννος incipiens, per varia, quæ sequuntur, commata evolvitur. Edit.

(64*) Unus codex et editi καὶ οἷον. At mss. non pauci καὶ οἱονεί.

λέμῳ δαίμονι κατειλήφει θέατρον (65), ἀγῶνα ἱππικὸν θεωμένη. Ἐπεὶ οὖν πᾶς ὁ δῆμος ἄνω συνειλεκτο, οὐκ Ἰουδαῖος ἀπῆν, οὐχ Ἕλλην· καὶ Χριστιανῶν δὲ πλῆθος οὐκ ὀλίγον αὐτοῖς συνανεφύρετο, οἱ ἀφυλάκτως βιοῦντες, καὶ καθήμενοι μὲν μετὰ συνεδρίου ματαιότητος, μὴ ἐκκλίνοντες δὲ συστροφὰς πονηρευομένων, οἳ καὶ τότε παρῆσαν θεαταὶ τοῦ τάχους τῶν ἵππων, καὶ τῆς ἐμπειρίας τῶν ἡνιόχων· ἀλλὰ καὶ δούλους ἀνῆκαν δεσπόται, καὶ παῖδες ἐκ διδασκαλείων πρὸς τὴν θέαν ἔτρεχον (66), παρῆν δὲ καὶ γυναικῶν ὅσον δημῶδες καὶ ἄσημον, πλῆρες δὲ ἦν τὸ στάδιον, καὶ πάντες ἤδη πρὸς τὴν θέαν τῆς τῶν ἵππων ἁμίλλης ἦσαν συντεταμένοι· τότε δὴ ὁ γενναῖος (67) ἐκεῖνος καὶ μέγας τὴν ψυχὴν, μέγας τὸ φρόνημα, ἄνωθεν ἐκ τῶν ὀρέων ἐπικαταβὰς τῷ θεάτρῳ, οὐ κατεπλάγη τὸν δῆμον, οὐκ ἐλογίσατο πόσαις χερσὶ πολεμίαις ἑαυτὸν παραδίδωσιν· ἀλλ' ἀτρόμῳ τῇ καρδίᾳ καὶ γαύρῳ τῷ φρονήματι, οἱονεὶ πέτρας συνεχεῖς, ἢ δένδρα πολλὰ, τοὺς τὸ στάδιον περικαθημένους παραδραμὼν, εἰς τὸ μέσον κατέστη, βεβαιῶν τὸν λόγον (68), ὅτι *Δίκαιος ὡς λέων πέποιθε*. Καὶ οὕτως ἀπτόητος ἦν τὴν ψυχὴν, ὥστε, ἐν περιφανεῖ τοῦ θεάτρου γενόμενος, ἀτρέπτῳ τῇ παῤῥησίᾳ ἐξεβόησε τὴν φωνὴν ἐκείνην, ἧς μέχρι τοῦ νῦν εἰσί τινες οἱ ἀκούσαντες· *Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι*· δηλῶν διὰ τούτων, ὅτι οὐ πρὸς ἀνάγκην ἤχθη πρὸς τοὺς κινδύνους, ἀλλ' ἑκουσίως ἐπέδωκεν ἑαυτὸν τῷ ἀγῶνι· μιμησάμενος τὸν Δεσπότην, ὃς ἐν τῷ σκότει τῆς νυκτὸς ἀγνοούμενος τοῖς Ἰουδαίοις ἑαυτὸν κατεμήνυσεν.

4. Εὐθὺς μὲν οὖν ἐπέστρεφε τὸ θέατρον τῷ παραδόξῳ τῆς θέας, ἀνὴρ ἀπηγριωμένος τὴν ὄψιν, διὰ τὴν χρονίαν ἐν τοῖς ὄρεσι δίαιταν αὐχμηρὰν ἔχων τὴν κεφαλὴν, βαθὺς τὴν ὑπήνην, τὴν ἐσθῆτα ῥυπῶν, κατεσκληκὼς ἅπαν τὸ σῶμα, βακτηρίαν φέρων, καὶ πήραν ἐνημμένος· οἷς πᾶσιν ἐπέπρεπέ (69) τις χάρις, ἐκ τοῦ ἀφανοῦς αὐτὸν περιλάμπουσα. Ὡς δ' οὖν ἐγνώσθη ὅστις ἐστὶν, εὐθὺς βοὴ συμμιγὴς παρὰ πάντων ἤρθη· τῶν μὲν οἰκείων τῆς πίστεως ὑπὸ περιχαρείας κροτούντων, τῶν δὲ πολεμούντων τῇ ἀληθείᾳ εἰς τὸν κατ' αὐτοῦ φόνον τὸν δικαστὴν παρορμώντων, καὶ προκαταδικαζόντων εἰς θάνατον. Πάντα δ' οὖν βοῆς καὶ θορύβου πεπλήρωτο· παρώφθησαν (70) μὲν ἵπποι, παρώφθησαν δὲ ἡνίοχοι· ἡ δὲ τῶν ἁρμάτων ἐπίδειξις ψόφος μάταιος ἦν. Οὐδενὸς γὰρ ἐσχόλαζεν ὀφθαλμὸς ἄλλο τι βλέπειν ἢ Γόρδιον, οὔτε τις ἀκοὴ ἄλλο τι ἠνείχετο ἀκούειν ἢ

δεινὸν ἐπιτείνεται, ἄλλως δὲ καὶ (27) τότε βορέου αὐτὴν ἐπιπνέοντος, ἐκέλευσε πάντας γυμνωθέντας ὑπὸ τὸ αἴθριον ἐν μέσῃ τῇ πόλει πηγνυμένους ἀποθανεῖν. Πάντως (28) δὲ ἴστε, οἱ πεπειραμένοι χειμῶνος, ὡς ἀφόρητόν ἐστι τῆς βασάνου τὸ εἶδος. Οὐδὲ γὰρ δυνατὸν ἄλλοις ἐνδείξασθαι ἢ τοῖς προαποκείμενα ἔχουσιν ἐκ τῆς πείρας αὐτῆς τῶν λεγομένων τὰ ὑποδείγματα. Σῶμα γὰρ κρύει παραπεσὸν πρῶτον μὲν ὅλον ἐστὶ πελιδνὸν, πηγνυμένου τοῦ αἵματος· ἔπειτα κλονεῖται καὶ ἀναβράσσεται, ὀδόντων ἀρασσομένων, σπωμένων δὲ τῶν ἰνῶν, καὶ παντὸς τοῦ ὄγκου ἀπροαιρέτως συνελκομένου. Ὀδύνη δέ τις δριμεῖα, καὶ πόνος ἄῤῥητος αὐτῶν καθικνούμενος τῶν μυελῶν, δυσφορωτάτην ποιεῖται τοῖς πηγνυμένοις τὴν αἴσθησιν. Ἔπειτα ἀκρωτηριάζεται (29), ὥσπερ ἀπὸ πυρὸς, καιομένων τῶν ἄκρων. Ἀποδιωκόμενον γὰρ τὸ θερμὸν ἀπὸ τῶν περάτων τοῦ σώματος, καὶ συμφεῦγον ἐπὶ τὸ βάθος, τὰ μὲν, ὅθεν ἀπέστη, νεκρὰ καταλείπει, τὰ δὲ, ἐφ' ἃ συνωθεῖται, ὀδύναις δίδωσι (30), κατὰ μικρὸν τοῦ θανάτου διὰ τῆς πήξεως προσιόντος. Τότε τοίνυν αἴθριοι (31) διανυκτερεύειν κατεδικάσθησαν, ὅτε λίμνη μὲν, περὶ ἣν ἡ πόλις κατῴκισται, ἐν ᾗ ταῦτα διήθλουν οἱ ἅγιοι, οἷόν τι πεδίον ἱππήλατον ἦν, μεταποιήσαντος αὐτὴν τοῦ κρυστάλλου· καὶ ἠπειρωθεῖσα τῷ κρύει, ἀσφαλῶς ὑπὲρ νῶτον πεζεύειν παρείχετο τοῖς περιοίκοις· ποταμοὶ δὲ ἀέναα ῥέοντες, τῷ κρυστάλλῳ δεθέντες, τῶν ῥεέθρων ἔστησαν· ἥ τε (32) ἁπαλὴ τοῦ ὕδατος φύσις πρὸς τὴν τῶν λίθων ἀντιτυπίαν μετεποιήθη· βορέου δὲ δριμεῖαι πνοαὶ τὸ ἔμψυχον ἅπαν ἐπὶ τὸν θάνατον ἤπειγον (33).

6. Τότε τοίνυν ἀκούσαντες τοῦ προστάγματος (καὶ σκόπει μοι ἐνταῦθα τῶν ἀνδρῶν τὸ ἀήττητον), μετὰ χαρᾶς ἀποῤῥίψαντες ἕκαστος καὶ τὸν τελευταῖον χιτῶνα, πρὸς τὸν διὰ τοῦ κρύους ἐχώρουν θάνατον, ὥσπερ ἐν σκύλων διαρπαγῇ ἀλλήλοις ἐγκελευόμενοι.

(27) Editi ἄλλως τε καί. Antiqui sex libri ἄλλως δὲ καί. Statim ubi in antiquis editionibus legitur ἐν μέσῃ τῇ πόλει, *in media civitate*, vir doctissimus Vossius legi oportere ait ἐν μέσῃ τῇ λίμνῃ, *medio in stagno*, uti scriptum inveniri affirmat in libro antiquissimo : sed vulgatam lectionem nostri mss. omnes magno inter se consensu tuentur.

(28) Editi πάντες. At libri antiqui πάντως.

(29) Editio Paris. et Reg. tertius liber et optimus et vetustissimus ἀκρωτηριάζεται, nec aliter legitur in ora codicum Anglicorum. At utraque editio Basil. et Med. et Oliv. et alii quatuor mss. ἀκροτηριάζεται· quam ultimam scribendi rationem vitiosam esse judicat Henricus Stephanus in *Thesauro*. Ibidem unus ms. ὑπὸ πυρός.

(30) Editio Paris. et Angl. τοῖς δὲ.... ὀδύνας δίδωσι. Alii quatuor mss. τὰ δὲ ἐφ' ἃ.... ὀδύνας δίδωσι. Editio Basil. et Med. et Oliv. et Colb. tertius ut in contextu : ad verbum, *eas vero partes ad quas impellitur, doloribus tradit.* Mox mss. tres προσιόντος. Alius et editi προϊόντος.

(31) Illud, Τότε τοίνυν αἴθριοι, etc., ita Latine reddidit interpres : *Igitur sancti Dei sub dio pernoctare in stagno quodam jussi sunt, quod pro mœnibus civitatis erat.* Sed hoc non dixit Basilius. Ait solum, beatos hos martyres ex judicis sententia sub dio pernoctasse eo tempore, quo stagnum, circa quod condita erat civitas, gelu constiterat. Errandi causa fuit illud, ἐν ᾗ : quod multi ita interpretati sunt, quasi referendum esset ad vocem λίμνη, ἐν ᾗ λίμνῃ, *in quo stagno*, cum tamen dubitari merito non possit, quin ad vocem πόλις quam proxime se-D quitur, referri debeat, ἐν ᾗ πόλει, *in qua civitate.* Scio quidem omnes fere auctoritatem sequi Ephræmi diaconi, qui ait quadraginta illos martyres in stagno frigori expositos fuisse : sed cum non exstent ipsa sanctissimi illius scriptoris opera, sed eorum duntaxat interpretatio quædam non ita perfecta, longe præstat sequi Basilium, qui aperte dicit fortissimos illos viros martyrium media in civitate pertulisse, non in stagno. Accedit etiam, quod illa Ephræmi diaconi sententia vix quoque conciliari possit cum verbis Gregorii Nysseni, tomo III, p. 502, sub finem, et pag. 511, circa medium. Lege Præfationem.

(32) Codices nonnulli et editi ἥ τε. Alii ἡ δέ.

(33) Typographi Parisienses ex Anglicis quibusdam libris ediderunt ἐπῆγον, *deducebant :* sed et in editione Basileensi et in Gallicis sex mss. constanter legitur ἤπειγον, *urgebant :* quod verius esse et melius arbitramur.

Μὴ γὰρ ἱμάτιον, φησὶν, ἀποδυόμεθα, ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμεθα, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης. Εὐχαριστοῦμέν σοι (34), Κύριε, τῷ ἱματίῳ τούτῳ τὴν ἁμαρτίαν συναποβάλλοντες. Ἐπειδὴ διὰ τὸν ὄφιν ἐνεδυσάμεθα, διὰ τὸν Χριστὸν ἐκδυσώμεθα. Μὴ ἀντισχώμεθα ἱματίων διὰ τὸν παράδεισον ὃν ἀπωλέσαμεν. Τί ἀνταποδῶμεν τῷ Κυρίῳ; Ἐξεδύθη ἡμῶν καὶ ὁ Κύριος. Τί μέγα δούλῳ τὰ τοῦ Δεσπότου παθεῖν; Μᾶλλον δὲ καὶ αὐτὸν τὸν Κύριον ἡμεῖς ἐσμεν οἱ ἐκδύσαντες. Στρατιωτῶν γὰρ ἐκεῖνο τὸ τόλμημα, ἐκεῖνοι ἐξέδυσαν καὶ διεμερίσαντο τὰ ἱμάτια. Ἀνάγραπτον οὖν ἡμῶν κατηγορίαν δι' ἑαυτῶν ἀπαλείψωμεν. Δριμὺς ὁ χειμὼν, ἀλλὰ γλυκὺς ὁ παράδεισος· ἀλγεινὴ ἡ πῆξις, ἀλλ' ἡδεῖα ἡ ἀνάπαυσις (35). Μικρὸν ἀναμείνωμεν, καὶ ὁ κόλπος ἡμᾶς θάλψει τοῦ πατριάρχου (36). Μιᾶς νυκτὸς ὅλον αἰῶνα ἀνταλλαξώμεθα. Καυθήτω ὁ πούς, ἵνα διηνεκῶς μετ' ἀγγέλων χορεύῃ· ἀποῤῥυήτω ἡ χεὶρ, ἵνα ἔχῃ παῤῥησίαν πρὸς τὸν Δεσπότην ἐπαίρεσθαι. Πόσοι τῶν στρατιωτῶν τῶν ἡμετέρων ἐπὶ παρατάξεως ἔπεσον (37), βασιλεῖ φθαρτῷ τὴν πίστιν φυλάττοντες; ἡμεῖς δὲ ὑπὲρ τῆς εἰς τὸν ἀληθινὸν βασιλέα πίστεως τὴν ζωὴν ταύτην οὐ προησόμεθα; Πόσοι τὸν τῶν κακούργων ὑπέστησαν θάνατον, ἁλόντες ἐπ' ἀδικήμασιν; ἡμεῖς δὲ ὑπὲρ δικαιοσύνης τὸν θάνατον οὐχ ὑποίσομεν; Μὴ ἐκκλίνωμεν, ὦ συστρατιῶται, μὴ δῶμεν (38) νῶτα τῷ διαβόλῳ. Σάρκες εἰσὶ, μὴ φεισώμεθα· ἐπειδὴ δεῖ πάντως ἀποθανεῖν, ἀποθάνωμεν ἵνα ζήσωμεν. *Γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου* (39), *Κύριε*· καὶ προσδεχθείημεν, ὡς θυσία ζῶσα, εὐάρεστός σοι, τῷ κρύει τούτῳ ὁλοκαυτούμενοι, καλὴ ἡ προσφορὰ, καινὸν τὸ ὁλοκαύτωμα, οὐ διὰ πυρὸς, ἀλλὰ διὰ κρύους ὁλοκαρπούμενον. Τούτους τοὺς παρακλητικοὺς ἐνδιδόντες ἀλλήλοις, καὶ ἄλλος ἄλλῳ ἐγκελευόμενοι, ὥσπερ τινὰ προφυλακὴν ἐν πολέμῳ πληροῦντες, τὴν νύκτα (40) παρέπεμπον, φέροντες τὰ παρόντα γενναίως, χαίροντες τοῖς ἐλπιζομένοις, καταγελῶντες τοῦ ἀντιπάλου. Μία δὲ ἦν

A enim, inquiunt, vestem exuimus: sed veterem hominem, qui secundum desideria erroris corrumpitur, deponimus [16]. Gratias tibi agimus, Domine, quod una cum hoc amictu abjiciamus peccatum. Quoniam propter serpentem induti fuimus [17], exuamur propter Christum. Vestes tenacius ne retineamus, ob paradisum, quem amisimus. Quid retribuemus Domino [18]? Exutus est quoque Dominus noster. Quid magnum servo, ea quæ Dominus perpessus est, perpeti? Imo vero nos sumus, qui ipsum Dominum exuimus [19]. Militum enim est illud scelus, illi exuerunt, diviseruntque vestes [20]. Quamobrem nostram accusationem litteris proditam per nos ipsos deleamus. Acris est hiems, at dulcis paradisus: congelatio aspera, sed jucunda requies. Paululum B exspectemus, et nos sinus patriarchæ confovebit. Unam noctem æternitate tota mutemus. Exuratur pes, ut perpetuo cum angelis tripudiet: diffluat manus, ut sese ad Dominum attollendi fiduciam habeat. Quot e nostris commilitonibus in acie ceciderunt, imperatori mortali servata fide? nos vero vitam istam pro fide in verum regem non projiciemus? Quot mortem maleficorum pertulerunt, in sceleribus deprehensi? nos vero pro justitia mortem non sustinebimus? Ne declinemus, o commilitones, terga ne demus diabolo. Carnes sunt, ne pepercerimus; cum mori omnino necesse sit, moriamur ut vivamus. *Fiat sacrificium nostrum in conspectu tuo, Domine* [21]; suscipiamurque velut hostia vivens [22], accepta tibi, hoc isto frigore C holocaustum effecti, oblatio pulchra, novum holocaustum, frigore, non igni consumptum. Hos sermones consolatorios inter se conferentes, et alter alterum exhortantes, actis velut in bello excubiis quibusdam, noctem transmittebant, ferentes præsentia strenue, speratis gaudentes, deridentes hostem. Unum **154** autem erat omnium votum. Quadraginta ingressi sumus in stadium, quadra-

[16] Ephes. IV, 22. [17] Gen. III, 21. [18] Psal. CXV, 12. [19] Matth. XXVII, 28. [20] ibid. 35. [21] Dan. III, 40. [22] Rom. XII, 1.

(34) Editio Paris. εὐχαριστοῦμέν σοι. Vox σοι ab omnibus libris veteribus abest.

(35) Editi et mss. non pauci ἡ ἀπόλαυσις, *fruitio*. Codex Coisl. et Colb. tertius ἡ ἀνάπαυσις, *requies*; et ita quoque scriptum invenimus in ora Regii primi, sic ut lectio utraque eo in libro reperiatur.

(36) Antiqui duo libri πατριάρχου Ἀβραάμ· at in aliis quatuor perinde ut in vulgatis vox Ἀβραάμ deest. Hæc autem vox cum ad integritatem sententiæ nihil faciat, addi aut omitti potest. Quod sequitur, μιᾶς νυκτός, etc., credi non debet pugnare cum verbis Gregorii Nysseni, qui hos martyres tribus diebus frigoris vim tolerasse narrat tomo III, pag. 512. Nam hæc verba, μιᾶς νυκτός, etc., Basilii non sunt verba, sed ipsorum martyrum, qui initio se ob frigoris asperitatem judicarent morituros: in quo eos falli Deus permisit, ut majorem mercedem consequerentur. Notandum et illud, in tribus codicibus pro ἀνταλλαξώμεθα scriptum inveniri ἀντικαταλλαξώμεθα.

(37) Unus codex ἔπεσαν. Statim mss. omnes φυλάσσοντες, aut φυλάττοντες. Editi φυλάξαντες.

(38) Editi μὴ δῶμεν τόπον, *ne demus locum*. At nostri sex mss. μὴ δῶμεν νῶτα, *ne demus terga*.

(39) Reg. primus ἐνώπιόν σου σήμερον, Κύριε, *hodie coram te, Domine*. Nec ita multo infra editio Paris. καλὴ ἡ θυσία. Antiqui sex libri καλὴ ἡ προσφορά. Haud longe duo mss. κρύει ὁλοκαυτούμενον.

D (40) Hic ingenue fatebor duos fratres Basilium et Gregorium mihi videri vix inter se conciliari posse. Gregorius enim eo quem dixi loco conceptis verbis ait beatorum martyrum supplicium tribus diebus perseverasse: Basilius vero non obscure indicat id una nocte fuisse terminatum. Nam, inquit, *noctem transmittebant, ferentes præsentia strenue*, etc. Atque aliquanto infra, hoc idem apertius Pater gravissimus significat, ubi docet sanctos martyres tum demum crematos fuisse incipiente die. Cum enim Basilius de unica nocte mentionem fecerit, dies ille, quo incipiente ait sanctos martyres igni fuisse traditos, non videtur de alio intelligi posse, quam de eo, qui hanc ipsam noctem secutus est. Ex quo fit, ut martyres, de Basilii sententia, non post tres dies, sed post horas fere duodecim, die incipiente, combusti sint. Ego igitur duos fratres inter se conciliare non aggrediar. Velim provinciam hanc suscipiant peritiores.

ginta coronemur, o Domine. Ne unus quidem desit huic numero. Venerabilis est hic numerus, quem quadraginta dierum jejunio honorasti [23], per quem lex ingressa est in mundum [24]. Elias cum Dominum per quadraginta dies in jejunio conquisisset, ipsum vidit [25]. Et hæc quidem erat illorum precatio : sed unus ex eorum numero cruciatui succumbens, ineffabilem luctum deserto ordine, sanctis dereliquit. Verum non sivit Dominus eorum preces irritas esse atque inefficaces. Nam cui martyrum concredita custodia erat, is non longe e quodam gymnasio, dum se calefaceret, rei exitum observabat, milites eos qui ad ipsum confugerent suscipere paratus. Nam et hoc quoque excogitatum fuerat, ut in propinquo balneum esset, quo remedium promptum sententiam mutantibus denuntiaretur. Sed quod maligne adversariis excogitatum est, videlicet, ut talem certaminis locum adinvenirent, in quo paratum levamen robur decertantium atque constantiam labefacturum esset : hoc martyrum patientiam splendidiorem reddidit. Non enim is cui necessaria desunt, tolerans est : sed is, qui inter bonorum fruendorum copiam in malis ferendis perseverat.

7. Cum autem hi decertarent, ille vero eventum observaret, spectaculum mirum vidit, virtutes quasdam e cœlis descendentes, et velut a rege munera magna militibus distribuentes : quæ aliis quidem omnibus dona dispertiebant, sed tamen unum reliquerunt non donatum, judicantes indignum cœlestibus honoribus : qui statim animo ob dolorem concidens, transfugit ad adversarios. Miserabile spectaculum justis, miles transfuga, vir strenuissimus captus, direpta a lupo ovis Christi : atque illud miserabilius, quod et æternam vitam amisit, et ne hac quidem fruitus est, carne ipsius ad caloris accessum statim exsoluta. Et hic quidem vitæ amans, frustra admisso scelere, cecidit : sed lictor ut vidit eum abscessisse, et ad balneum accurrisse, semet substituit in locum desertoris, et indumentis abjectis se ipse nudis admiscuit, idem quod sancti clamans, *Christianus sum*. Atque repentina hac mutatione astantes obstupefaciens, ut numerum complevit, ita illorum de emollito transfuga mœrorem accessione sua delinivit, imitatus eos qui in acie versantur, qui, uno aliquo in prima acie cadente, confestim replent phalangem, ut ne inter ipsos ordinum densitas defectu illius interrumpatur. Fecit igitur et ipse quiddam non dissimile. Vidit cœlestia miracula, agnovit veritatem, confugit ad Dominum, annu-

A πάντων εὐχή. Τεσσαράκοντα εἰσήλθομεν εἰς τὸ στάδιον, οἱ τεσσαράκοντα στεφανωθείημεν, Δέσποτα. Μὴ λείψῃ τῷ ἀριθμῷ μηδὲ εἷς. Τίμιός ἐστιν, ὃν ἐτίμησας τῇ νηστείᾳ τῶν τεσσαράκοντα ἡμερῶν, δι' οὗ νομοθεσία εἰσῆλθεν εἰς τὸν κόσμον. Τεσσαράκοντα ἡμέραις ἐν νηστείᾳ Ἠλίας ἐκζητήσας τὸν Κύριον (41), τῆς θέας ἔτυχεν. Καὶ ἡ μὲν ἐκείνων εὐχὴ τοιαύτη· εἷς δὲ τοῦ ἀριθμοῦ, ὀκλάσας πρὸς τὰ δεινὰ, λειποταχτήσας ᾤχετο, πένθος ἀμύθητον τοῖς ἁγίοις καταλιπών. Ἀλλ' οὐ γὰρ ἀφῆκεν αὐτῶν ἀτελεῖς γενέσθαι τὰς δεήσεις ὁ Κύριος. Ὁ γὰρ τὴν φυλακὴν τῶν μαρτύρων πεπιστευμένος, ἐγγύθεν ἀπό τινος γυμνασίου διαθαλπόμενος, ἀπεσκόπει τὸ μέλλον, ἕτοιμος προσδέχεσθαι τῶν στρατιωτῶν τοὺς προσφεύγοντας. Καὶ γὰρ αὖ καὶ τοῦτο, ἐγγύθεν εἶναι B λουτρὸν, ἐπενοήθη, ὀξεῖαν τὴν βοήθειαν τοῖς μεταβαλλομένοις ἐπαγγελλόμενον. Ὅπερ μέντοι τοῖς ἐναντίοις κακούργως ἐπενοήθη, τοιοῦτον ἐξευρεῖν τῆς ἀθλήσεως τόπον, ἐν ᾧ τὸ ἕτοιμον τῆς παραμυθίας ἐκλύειν ἔμελλε τῶν ἀγωνιζομένων τὴν ἔνστασιν· τοῦτο λαμπροτέραν ἐδείκνυε (42) τὴν ὑπομονὴν τῶν μαρτύρων. Οὐ γὰρ ὁ ἀπορῶν τῶν ἀναγκαίων καρτερικὸς, ἀλλ' ὁ ἐν ἀφθονίᾳ τῆς ἀπολαύσεως ἐγκαρτερῶν τοῖς δεινοῖς.

7. Ὡς δὲ οἱ μὲν ἠγωνίζοντο, ὁ δὲ ἐπετήρει τὸ ἐκβησόμενον, εἶδε θέαμα ξένον, δυνάμεις τινὰς ἐξ οὐρανῶν κατιούσας, καὶ οἷον παρὰ βασιλέως δωρεὰς μεγάλας διανεμούσας τοῖς στρατιώταις· αἳ τοῖς μὲν ἄλλοις πᾶσι διῄρουν τὰ δῶρα, ἕνα δὲ μόνον ἀφῆκαν C ἀγέραστον, ἀνάξιον κρίνασαι τῶν οὐρανίων τιμῶν· ὃς εὐθὺς, πρὸς τοὺς πόνους ἀπαγορεύσας, πρὸς τοὺς ἐναντίους ἀπηυτομόλησεν. Ἐλεεινὸν θέαμα τοῖς δικαίοις ὁ στρατιώτης φυγὰς, ὁ ἀριστεὺς αἰχμάλωτος, τὸ Χριστοῦ πρόβατον θηριάλωτον· καὶ τό γε ἐλεεινότερον, ὅτι καὶ τῆς αἰωνίου ζωῆς διήμαρτε, καὶ οὐδὲ ταύτης ἀπήλαυσεν, εὐθὺς αὐτῷ τῆς σαρκὸς ἐν τῇ προσβολῇ τῆς θέρμης διαλυθείσης. Καὶ ὁ μὲν φιλόζωος ἔπεσεν ἀνομήσας διακενῆς· ὁ δὲ δήμιος, ὡς εἶδεν αὐτὸν ἐκκλίναντα, καὶ πρὸς (43) τὸ βαλανεῖον ἀποδραμόντα, ἑαυτὸν εἰς τὴν τοῦ λειποταχτήσαντος χώραν ἀντικατέστησε, καὶ ῥίψας τὰ περιβόλαια, τοῖς γυμνοῖς ἑαυτὸν ἐγκατέμιξε, κράζων τὴν αὐτὴν βοὴν τοῖς ἁγίοις· *Χριστιανός εἰμι*. Καὶ τῷ ἀθρόῳ τῆς μεταβολῆς ἐκπλήξας τοὺς συμπαρόντας, τόν τε D ἀριθμὸν ἀνεπλήρωσε, καὶ τὴν ἐπὶ τῷ καταμαλακισθέντι λύπην τῇ παρ' ἑαυτοῦ προσθήκῃ παρεμυθήσατο, μιμησάμενος τοὺς ἐπὶ παρατάξεως, οἳ, τοῦ κατὰ τὴν πρώτην ἀσπίδα πεσόντος, εὐθὺς ἀναπληροῦσι τὴν φάλαγγα, ὡς μὴ τὸν συνασπισμὸν αὐτοῖς διακοπῆναι τῷ λείποντι. Τοιοῦτον δή τι καὶ αὐτὸς ἐποίησεν. Εἶδε τὰ οὐράνια θαύματα, ἐπέγνω τὴν

[23] Matth. IV, 2. [24] Exod. XXXIV, 28. [25] III Reg. XIX, 8.

(41) Colb. tertius ἐκζητήσας τὸν Θεόν. Mox utraque editio et Anglic. πένθος ἀπαραμύθητον· quam scripturam Ducæus ait ferri posse, sicque interpretatur, *intolerabilem reliquit*. Veteres quinque libri Gallici ἀμύθητον, *luctum inenarrabilem reliquit*, optime. Monere juvat, Regium tertium prima quidem manu habuisse ἀμύθητον· sed inepte correctum fuisse, sic ut nunc illo in libro legatur ἀπαραμύθητον.

(42) Codices non pauci ἐδείκνυ. Editi ἐδείκνυε.

(43) Utraque editio καὶ τὴν πρός. Libri antiqui καὶ πρός. Statim editio Paris. συνεγκατέμιξε. At sex mss. simpliciter ἐγκατέμιξε.

A ἀλήθειαν, προσέφυγε τῷ Δεσπότῃ, συνηριθμήθη τοῖς μάρτυσι. Τὰ τῶν (44) μαθητῶν ἀνενεώσατο. Ἀπῆλθεν Ἰούδας, καὶ ἀντεισήχθη Ματθίας. Μιμητὴς ἐγένετο Παύλου, ὁ χθὲς διώκτης, σήμερον εὐαγγελιζόμενος. Ἄνωθεν ἔσχε καὶ αὐτὸς τὴν κλῆσιν, *Οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου*. Ἐπίστευσεν εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐβαπτίσθη εἰς αὐτὸν, οὐχ ὑπὸ ἄλλου, ἀλλ' ὑπὸ τῆς οἰκείας πίστεως· οὐκ ἐν ὕδατι, ἀλλ' ἐν τῷ ἰδίῳ αἵματι.

8. Καὶ οὕτως, ἡμέρας ἀρχομένης, ἔτι ἐμπνέοντες (45) τῷ πυρὶ παρεδόθησαν, καὶ τὰ τοῦ πυρὸς λείψανα ἐπὶ τὸν ποταμὸν ἀπερρίφη· ὥστε διὰ πάσης τῆς κτίσεως διεξελθεῖν τῶν μακαρίων τὴν ἄθλησιν. Ἐπὶ τῆς γῆς ἠγωνίσαντο, τῷ ἀέρι ἐνεκαρτέρησαν, τῷ πυρὶ παρεδόθησαν, τὸ ὕδωρ αὐτοὺς ὑπεδέξατο. B Ἐκείνων ἐστὶν ἡ φωνή· *Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν*. Οὗτοί εἰσιν οἱ τὴν καθ' ἡμᾶς χώραν διαλαβόντες, οἱονεὶ πύργοι τινὲς συνεχεῖς, ἀσφάλειαν ἐκ τῆς τῶν ἐναντίων καταδρομῆς παρεχόμενοι, οὐχ ἑνὶ τόπῳ ἑαυτοὺς κατακλείσαντες, ἀλλὰ πολλοῖς (46) ἤδη ἐπιξενωθέντες χωρίοις, καὶ πολλὰς πατρίδας κατακοσμήσαντες. Καὶ τὸ παράδοξον, οὐ καθ' ἕνα διαμερισθέντες (47) τοῖς δεχομένοις ἐπιφοιτῶσιν· ἀλλ' ἀναμιχθέντες ἀλλήλοις, ἡνωμένως χορεύουσιν. Ὢ τοῦ θαύματος! Οὔτε ἐλλείπουσι τῷ ἀριθμῷ, οὔτε πλεονασμὸν ἐπιδέχονται. Ἐὰν εἰς ἑκατὸν (48) αὐτοὺς διέλῃς, τὸν οἰκεῖον ἀριθμὸν οὐκ ἐκβαίνουσιν· ἐὰν εἰς ἓν συναγάγῃς, τεσσαράκοντα καὶ οὕτω μένουσι, κατὰ τὴν τοῦ πυρὸς φύσιν. C Καὶ γὰρ ἐκεῖνο καὶ πρὸς τὸν ἐξάπτοντα μεταβαίνει, καὶ ὅλον ἐστὶ παρὰ τῷ ἔχοντι· καὶ οἱ τεσσαράκοντα καὶ πάντες εἰσὶν ὁμοῦ, καὶ πάντες εἰσὶ παρ' ἑκάστῳ. Ἡ ἄφθονος εὐεργεσία, ἡ μὴ δαπανωμένη χάρις· ἑτοίμη βοήθεια Χριστιανοῖς, ἐκκλησία μαρτύρων, στρατὸς τροπαιοφόρων, χορὸς δοξολογούντων (49). Πόσα ἂν ἔκαμες, ἵνα ἕνα που εὑ-

meratus est inter martyres. Discipulorum renovavit facta. Abiit Judas, et ei subrogatus est Matthias [26]. **155** Imitator effectus est Pauli, heri persecutor, hodie Evangelii præco [27]. Habuit et ipse ex supernis vocationem, *Non ab hominibus neque per hominem* [28]. Credidit in nomine Domini nostri Jesu Christi : baptizatus est in ipsum, non ab alio, sed a propria fide, non in aqua, sed in proprio sanguine.

8. Ita demum, ineunte die, adhuc spirantes igni traditi sunt, atque reliquiæ ignis in fluvium projectæ fuere, ut beatorum certamen per omnem creaturam transiret. Decertarunt in terra, tolerantiam ostenderunt in aere, traditi igni sunt, aqua ipsos excepit. Illorum est vox illa : *Transivimus per ignem et aquam, et eduxisti nos in refrigerium* [29]. Hi sunt qui regionem nostram obtinentes, veluti densæ quædam turres ipsam adversus hostium incursum tuto communiunt, non in uno loco seipsos concludentes, sed multis locis jam hospitio excepti, regionesque multas adornantes. Et quod mirum est, non singulatim divisi accedunt ad suscipientes, sed inter se commisti conjunctim tripudiant. O rem miram! Neque numero pauciores sunt, neque plures. Eos in centum si diviseris, proprium numerum non excedunt : si in unum collegeris, nihilominus tamen quadraginta permanent, non aliter atque ignis natura. Nam et ille ad accendentem transit, et totus est apud habentem : sic etiam quadraginta, et omnes simul sunt, et omnes apud singulos sunt. Beneficentia uberrima, donum quod non absumitur, paratum auxilium Christianis, ecclesia martyrum, exercitus tropæa gestantium, chorus laudes divinas celebrantium. Quantum impendisses laboris, ut reperires unum aliquem, qui pro te Dominum exoraret? Sunt quadraginta, precationem concor-

[26] Act. I, 26. [27] Act. V, 20. [28] Galat. I, 1. [29] Psal. LXV, 12.

(44) Colb. primus τὸ τῶν. Nec ita multo post antiqui tres libri δι' ἀνθρώπου. Alius et editi δι' ἀνθρώπων. Haud longe Colb. primus ἐβαπτίσθη βάπτισμα δι' αἵματος εἰς αὐτόν, *baptizatus est baptismate sanguinis in ipsum*. Sed non valde dubito quin illud, βάπτισμα δι' αἵματος, ex aliquo glossemate fluxerit.

(45) Quod ait vir eruditissimus Tillemontius, videri in verbis, ἔτι ἐμπνέοντες, vitii aliquid inesse, de eo mihi cum illo non omnino convenit. Aio igitur Basilium cum locupletissimis auctoribus Gregorio, Ephræmo et Gaudentio, qui traditos igni fuisse martyres jam mortuos dicunt, conciliari satis commode posse. Notum est enim, hominem, qui ita graviter ægrotat, ut depositus jam et desperatus sit, haberi pro mortuo, imo etiam sæpius mortuum dici. Ex quibus colligitur, sanctos martyres, cum jam animam agerent eo tempore, quo igni traditi sunt, mortuos dici potuisse. Præterea beati martyres, cum alii aliis essent robustiores, sine dubio non uno et eodem tempore mortui sunt. Fieri ergo potuit, ut cum igni traditi sunt, jam mortui essent debiliores, adhuc vero paululum respirarent valentiores. Id autem si semel concedatur, indiscriminatim, parte pro toto accepta, aut mortui dici potuerunt, aut non mortui. Ut ut hæc sunt, arbitror Basilium scripsisse ἔτι ἐμπνέοντες, cum ita habeant omnes tum calamo notati, tum typis descripti libri. Certe quoties omnes libri, et impressi et veteres, inter se consentiunt, ab his discedere periculosum duco, nisi forte aliunde constet aliter legi oportere.

(46) Unus codex ἀλλ' ἐν πολλοῖς. Hic autem locus ita intelligendus est, ut cineres sanctorum martyrum multis in locis dispersi fuisse dicantur.

D (47) In antiquis duobus libris pro διαμερισθέντες legitur διαιρεθέντες. Statim Colb. primus et editi Ὢ τοῦ καινοῦ θαύματος! Alii sex mss. simpliciter Ὢ τοῦ θαύματος!

(48) Utraque editio et unus codex Reg. εἰς ἕκαστον, et ita legit interpres, qui hunc locum ita Latine reddidit : *si in singulos ipsos diviseris*. At Colbertini tres codices et alii duo Regii εἰς ἑκατόν, *si in centum*, etc., recte.

(49) Unus codex Colb. et editi δοξολογούντων τὸν Κύριον. At illud, τὸν Κύριον, in aliis quinque mss. non legitur. Hoc ipso in loco Colb. primus εἰπέ μοι πόσα ἄν. Priores duæ voces ab aliis mss. absunt et a vulgatis. Subinde editi ἤδη σύμφωνον. Vocula ἤδη in veteribus libris omnibus deest ; ob idque eam delevimus. Quæ sequuntur verba, ὁ θλιβόμενος ἐπὶ τοὺς τεσσαράκοντα, etc., quisquis attente legerit, bona fide, si verum dicere velit, fatebitur, hic, ut in aliis quibusdam Basilii locis, invocationem sanctorum et probari et commendari. Lege Ducæum,

dem sursum emittentes. Ubi duo aut tres congregati sunt in nomine Domini, illic est in medio ipsorum[30]. Ubi vero quadraginta fuerint, quis de Dei præsentia ambigat? Qui angustia aliqua premitur, ad quadraginta martyres confugit; qui lætatur, recurrit ad eosdem: ille quidem ut a malis liberetur; hic vero, ut res sibi secundæ esse pergant. Hic mulier pia pro liberis orans deprehenditur: peregrinanti marito reditum, infirmo salutem petit. Fiant cum martyribus preces vestræ. Adolescentes imitentur æquales suos: patres talium filiorum patres esse exoptent: matres matris bonæ ediscant exemplum. Mater unius illorum beatorum, cum vidisset alios jam frigore consumptos, suum vero filium **156** adhuc spirantem, tum ob robur, tum ob animum in ferendis malis acrem, cumque eum lictores, quod forte consilium mutare potuisset, relinquerent, ipsa suis ipsius manibus sublatum imposuit currui, in quo reliqui simul jacentes ad rogum ferebantur, vere martyris mater. Non enim ignave flevit, nec quidquam humile, aut illo temporis articulo indignum locuta est. Sed, Abi, inquit, o fili, viam bonam cum æqualibus, cum contubernalibus; ne disjungaris a chorea: ne reliquis serius Domino sistaris. Revera radicis bonæ bonum germen. Ostendit generosa mater, quod eum pietatis dogmatibus magis quam lacte enutriverit. Atque is quidem sic educatus, sic a pia matre deductus est: diabolus vero pudore affectus abiit. Nam commota in illos creatura omni, omnia invenit horumce virorum virtute superata, noctem vento gravi agitatam, regionem frigidam, tempestatem anni, corporum nuditatem. O chorus sanctus, o sacer ordo, o confertissimum et infractum agmen, o communes generis humani custodes, boni curarum socii, precum fautores, legati potentissimi, stellæ orbis terrarum, Ecclesiarum flores! Non vos terra operuit, sed cœlum suscepit: apertæ sunt vobis paradisi portæ. Dignum spectaculum exercitu angelorum, dignum patriarchis, prophetis, justis, viri, qui in ipso juventutis flore contempta vita, præ parentibus, præ liberis, Dominum dilexerunt. Ætatem illam dum agerent, in qua spes vivendi habetur, aspernati sunt temporariam vitam, ut Deum glorificarent in suis ipsorum membris, spectaculum mundo angelisque et hominibus effecti[31]. Erexerunt

A ρης ὑπὲρ σοῦ δυσωποῦντα τὸν Κύριον; Τεσσαράκοντά εἰσι, σύμφωνον ἀναπέμποντες προσευχήν. Ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου, ἐκεῖ ἐστιν ἐν μέσῳ αὐτῶν. Ὅπου δὲ τεσσαράκοντα, τίς ἀμφιβάλλει Θεοῦ παρουσίαν; Ὁ θλιβόμενος ἐπὶ τοὺς τεσσαράκοντα καταφεύγει, ὁ εὐφραινόμενος ἐπ' αὐτοὺς ἀποτρέχει (50)· ὁ μὲν, ἵνα λύσιν εὕρῃ τῶν δυσχερῶν· ὁ δὲ, ἵνα φυλαχθῇ αὐτῷ τὰ χρηστότερα. Ἐνταῦθα γυνὴ εὐσεβὴς ὑπὲρ τέκνων εὐχομένη καταλαμβάνεται, ἀποδημοῦντι ἀνδρὶ τὴν ἐπάνοδον αἰτουμένη, ἀῤῥωστοῦντι τὴν σωτηρίαν. Μετὰ μαρτύρων γενέσθω τὰ αἰτήματα ὑμῶν. Οἱ νεανίσκοι τοὺς ἡλικιώτας μιμείσθωσαν· οἱ πατέρες, τοιούτων εἶναι παίδων πατέρες εὐχέσθωσαν· αἱ μητέρες, καλῆς μητρὸς διήγημα διδαχθήτωσαν (51). Μήτηρ ἑνὸς B τῶν μακαρίων ἐκείνων, θεασαμένη τοὺς ἄλλους ἤδη τῷ κρύει τελειωθέντας, τὸν δὲ ἑαυτῆς υἱὸν (52) ἔτι ἐμπνέοντα ὑπό τε ῥώμης καὶ τῆς πρὸς τὰ δεινὰ καρτερίας, καταλιμπανόντων αὐτὸν τῶν δημίων ὡς δυνάμενόν γε μεταβουλεύσασθαι, αὐτὴ ταῖς οἰκείαις χερσὶν ἀραμένη, ἐπέθηκε τῇ ἁμάξῃ, ἐφ' ἧς οἱ λοιποὶ συγκείμενοι πρὸς τὴν πυρὰν ἤγοντο, μάρτυρος ὄντως μήτηρ. Οὐ γὰρ δάκρυον ἀφῆκεν ἀγεννές· οὐδ' ἐφθέγξατο ταπεινόν τι καὶ ἀνάξιον τοῦ καιροῦ· ἀλλ', Ἄπιθι, φησὶν, ὦ παῖ, τὴν ἀγαθὴν πορείαν μετὰ τῶν ἡλικιωτῶν, μετὰ τῶν συσκήνων· μὴ ἀπολειφθῇς τῆς χορείας· μὴ δεύτερος τῶν ἄλλων ἐμφανισθῇς τῷ Δεσπότῃ. Ὄντως ἀγαθῆς ῥίζης ἀγαθὸν βλάστημα. Ἔδειξεν ἡ γενναία μήτηρ, ὅτι δόγμασιν εὐσεβείας ἐξέθρεψεν αὐτὸν μᾶλλον ἢ γάλακτι. Καὶ ὁ μὲν οὕτω τραφεὶς C οὕτω προεπέμφθη παρὰ μητρὸς εὐσεβοῦς· ὁ δὲ διάβολος ἀπῆλθε κατῃσχυμμένος. Ἅπασαν γὰρ ἐπ' αὐτοὺς κινήσας τὴν κτίσιν, πάντα εὗρεν ἡττώμενα τῆς τῶν ἀνδρῶν ἀρετῆς, νύκτα δυσήνεμον, πατρίδα χειμέριον, τὴν ὥραν τοῦ ἔτους, τῶν σωμάτων τὴν γύμνωσιν. Ὢ χορὸς ἅγιος! ὢ σύνταγμα (53) ἱερόν! ὢ συνασπισμὸς ἀῤῥαγής! ὢ κοινοὶ φύλακες τοῦ γένους τῶν ἀνθρώπων! ἀγαθοὶ κοινωνοὶ φροντίδων, δεήσεως συνεργοὶ, πρεσβευταὶ δυνατώτατοι, ἀστέρες τῆς οἰκουμένης, ἄνθη τῶν Ἐκκλησιῶν. Ὑμᾶς (54) οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' οὐρανὸς ὑπεδέξατο· ἠνοίγησαν ὑμῖν παραδείσου πύλαι. Ἄξιον θέαμα τῇ στρατιᾷ τῶν ἀγγέλων, ἄξιον πατριάρχαις, προφήταις, δικαίοις, ἄνδρες ἐν αὐτῷ τῷ ἄνθει τῆς νεότητος, τοῦ D βίου καταφρονήσαντες, ὑπὲρ γονεῖς, ὑπὲρ τέκνα τὸν Κύριον ἀγαπήσαντες. Αὐτὸ τῆς ἡλικίας ἄνοντες τὸ

[30] Matth. XVIII, 20. [31] I Cor. IV, 9.

(50) Unus codex κατατρέχει.

(51) Editio Paris. διδασκέτωσαν, *doceant*. Libri veteres omnes διδαχθήτωσαν, *doceantur*, recte.

(52) Utraque editio ἑαυτῆς υἱόν. Vox υἱόν in nostris omnibus mss. deest. Ea autem vox, nisi valde fallor, in contextum irrepsit e margine, ubi posita fuerat, ut moneremur ipsam subaudiendam esse. Quod hic ait Basilius, unum martyrem adhuc respirasse, cum cæteri jam frigore consumpti essent et confecti, id ita intelligi debet, ut hi quidem respirarent, sed citra ullam spem sanitatis recipiendæ, ille vero sic, ut vires recuperare posse crederetur. Alioquin enim Basilius pugnantia loqueretur, qui paulo ante dixerit sanctos martyres adhuc respirasse tum, cum traditi sunt igni. Martyr autem ille qui adhuc respirasse dicitur, vocatur in Actis Melito.

(53) Editio Basil. et sex mss. ὢ σύνταγμα. Editio Paris. ὢ σύστημα.

(54) Veteres quinque libri et alii duo Duc. ἐκκλησιῶν ὑμᾶς. Editio Paris. fusius ἐκκλησιῶν. Ἐγὼ δή φημι νοητά τε καὶ αἰσθητά. Ὑμᾶς. Sed non valde admodum dubito, quin intermedia verba addita sint ab Anglic.

βιώσιμον, ὑπερεῖδον τῆς προσκαίρου ζωῆς, ἵνα δοξάσωσι τὸν Θεὸν ἐν τοῖς μέλεσιν ἑαυτῶν· θέατρον γενόμενοι τῷ κόσμῳ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις, τοὺς πεπτωκότας ἤγειραν, τοὺς ἀμφιβόλους ἐβεβαιώσαντο, τοῖς εὐσεβέσι τὴν ἐπιθυμίαν ἐδιπλασίασαν. Ἓν ὑπὲρ τῆς εὐσεβείας ἅπαντες ἀναστήσαντες τρόπαιον, ἑνὶ καὶ τῷ στεφάνῳ τῆς δικαιοσύνης κατεκοσμήθησαν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A collapsos, ambigentes confirmarunt, piis religiosisque desiderium altero tanto majus reliquere. Omnes uno tropæo pro pietate erecto, una etiam justitiæ corona exornati sunt, in Christo Jesu Domino nostro, cui gloria et imperium in sæcula sæculorum. Amen.

ΟΜΙΛΙΑ Κʹ.

Περὶ ταπεινοφροσύνης (55).

1. Ὤφειλεν ἄνθρωπος ἐν τῇ παρὰ Θεῷ δόξῃ μεμενηκέναι, καὶ εἶχεν ἂν ὕψος οὐκ ἐπίπλαστον, ἀλλ' ἀληθινὸν, δυνάμει Θεοῦ μεγαλυνόμενος, σοφίᾳ θείᾳ φαιδρυνόμενος, αἰωνίᾳ ζωῇ καὶ τοῖς ἀγαθοῖς εὐφραινόμενος. Ἐπειδὴ δὲ τὴν τῆς θείας δόξης ἐπιθυμίαν μετέθηκε, καὶ μείζονα προσδοκήσας, καὶ σπεύσας ὅπερ οὐκ ἐδύνατο λαβεῖν, ἀπώλεσεν ὅπερ ἔχειν ἐδύνατο· μεγίστη σωτηρία αὐτῷ, καὶ τῆς νόσου θεραπεία, καὶ πρὸς τὸ ἐξ ἀρχῆς ἐπάνοδος, ἀτυφία, καὶ τὸ μὴ φαντάζεσθαι δόξης τινὸς περιβολὴν δι' ἑαυτοῦ, ἀλλὰ ζητεῖν παρὰ Θεοῦ. Οὕτω γὰρ διορθώσει τὸ πταῖσμα, οὕτως ἰάσεται τὸ νόσημα· οὕτως ἀναδραμεῖται πρὸς τὴν ἱερὰν, ἣν κατέλιπεν, ἐντολήν. Ἀλλ' ὁ καταβαλὼν ἐλπίδι δόξης ψευδοῦς τὸν ἄνθρωπον (56) διάβολος οὐ παύεται τοῖς αὐτοῖς ἐρεθίσμασιν ἐκκαλούμενος, καὶ μυρία μηχανήματα πρὸς τοῦτο ἐξευρίσκων· μέγα μὲν ἐπιδεικνὺς αὐτῷ, χρημάτων περιβολὴν, ἵνα ἐπὶ τούτῳ μεγαλύνηται καὶ περὶ τοῦτο σπουδάζῃ· ὅπερ ἐστὶν οὐδὲν μὲν εἰς δόξαν, μέγα δὲ εἰς κίνδυνον. Χρημάτων γὰρ πορισμὸς πλεονεξίας μὲν ὑπόθεσις· κτῆσις δὲ οὐδὲν εἰς εὐδοξίαν· ἀλλὰ μάτην τυφλοῖ, διακενῆς ἐπαίρει, φλεγμονῇ τινι παραπλήσιον πάθος ἐργάζεται περὶ τὴν ψυχήν. Οὐ γὰρ ὑγιὴς ὄγκος οὐδὲ ὠφέλιμος ὁ τῶν φλεγμαινόντων σωμάτων, ἀλλὰ νοσώδης, ἐπιβλαβὴς, ἀρχὴ κινδύνου, καὶ πρόφασις ἀπωλείας. Τοιοῦτο καὶ περὶ ψυχὴν ὑπερηφανία. Καὶ γὰρ οὐ μόνον ἐπὶ χρήμασιν ἔπαρσις γίνεται, οὐδὲ μόνον ταῖς ἀπὸ τῶν χρημάτων κομπώδεσι διαίταις τε καὶ περιβολαῖς ἐπαίρονται ἄνθρωποι, πολυτελεῖς ὑπὲρ τὴν χρείαν παρατιθέμενοι τραπέζας τρυφηλὰς, οὐκ ἀναγκαίας περιβαλλόμενοι τὰς ἐσθῆτας, οἴκων μεγέθη κατασκευάζοντες καὶ κάλλει ποικίλλοντες, οἰκετῶν ἀκολούθων πλήθη καὶ κολάκων ἀναριθμήτων ἐξηρτημένοι συστήματα· ἀλλὰ καὶ χειροτονητοῖς ἀξιώμασιν ὑπὲρ φύσιν ὑψοῦνται. Εἰ δῆμος ἀξίωμα δῷ· εἴ τινος προεδρίας ἀξιώσειε, καὶ τὸ τῆς ὑπεροχῆς ἀξίωμα ψηφίσαιτο αὐτῷ· καὶ ἐνταῦθα δὴ, καθάπερ ὑπερβάλλοντες τὴν ἀνθρώπειον (57) φύσιν, μόνον τὴν οὐκ ἐπὶ νεφελῶν ἱδρῦσθαι νο-

HOMILIA XX.

De humilitate.

1. Utinam homo mansisset in ea quam apud Deum habebat gloria, habuisset sublimitatem non fictam, sed veram : potentia Dei nobilitatus, sapientia B divina illustratus, vita æterna illiusque bonis oblectatus. Sed ubi divinæ gloriæ desiderium transmutavit, et majorem sperans, et accipere festinans quod assequi nequibat, amisit quod habere poterat : maxima salus homini, morbique medela, et reditus ad primum statum, est humilem esse, nulliusque gloriæ apparatum a se comminisci, sed a Deo quærere. Ita enim erratum corriget, ita morbo medebitur, ita ad præceptum sacrum, quod deseruit, recurret. Postquam autem diabolus spe falsæ gloriæ **157** hominem dejecit, non cessat eum iisdem irritamentis provocare, et innumera ad hoc machinamenta comminisci. Et quidem divitiarum copiam ceu magnum quiddam ei ostendit ut inde efferatur, illicque studium ponat : quod tamen nihil confert ad C gloriam, imo potius in magnum periculum adducit. Nam pecuniarum comparatio avaritiæ quidem materia est, nec tamen earum possessio ad existimationem bonam quidquam facit : imo vero vane excæcat, frustra extollit, morbum inflammationi cuipiam non dissimilem in anima producit. Tumor enim corporum inflammatorum nec sanus est, nec utilis : sed morbosus et noxius, periculi origo, et causa interitus. Tale quid et in anima facit superbia. Etenim non e pecuniis solum nascitur elatio; nec solum ob pecunias magnifico victu et amictu superbiunt homines, mensas instruentes sumptuosiores quam necessitas exigat, easdemque delicatas, induentes vestes non necessarias, ædes amplas D exstruentes, ornantesque vario cultu, ingentem famulorum subsequentium turmam, innumerorumque adulatorum globum post se trahentes : verum etiam ob dignitates quas per suffragia obtinuere, ultra quam natura sinit, efferuntur. Plebs dignitatem si dederit, si quo jure præsidendi cohonestaverit, si decreverit præstantissimum quemdam honorem, et

(55) Editi simpliciter περὶ ταπεινοφροσύνης, *de humilitate.* At Colb. primus περὶ ταπεινοφροσύνης, καὶ πῶς δεῖ σωφρονεῖν, *de humilitate, et quomodo oporteat modeste se gerere.* Regii secundus et tertius πῶς δεῖ σωφρονεῖν, *quomodo oporteat modestia uti.*

(56) Combefisiani aliquot codices τὸν ἄνθρωπον, *hominem dejecit*, Adamum videlicet : in quo omne simul hominum genus dejecit. Editi et Reg. secundus et tertius cum Colb. primo τοὺς ἀνθρώπους, *homines dejecit*, videlicet, per casum Adami. Mox Reg. primus τοῖς ἑαυτοῦ ἐρεθίσμασιν.

(57) Noster Reg. primus cum reliquis Combefisianis τὴν ἀνθρώπειον. Editi et Reg. secundus ἀνθρωπείαν. Reg. tertius ἀνθρωπίνην. Mox editio Paris. μόνον οὐκ ἐπὶ τὴν νεφελῶν. Editio Basil. μόνον οὐ τὴν ἐπὶ νεφ. Veteres quatuor libri μόνον τὴν οὐκ

hic certe quasi humanam naturam transcendentes, tantum non ipsis nubibus insidere se arbitrantur, homines subjectos pro scabello ducentes, seque attollentes in ipsos collatæ sibi dignitatis auctores, et adversus eos, quorum opera eximii quidam viri esse videntur, insolescentes. Agunt rem dementiæ plenam, cum habeant gloriam somnio debiliorem, circumdenturque splendore nocturnis visis inaniore: qui scilicet populi nutu confletur, et nutu ejusdem dissolvatur. Ejusmodi erat demens ille Salomonis filius, ætate juvenis, mentis prudentia junior, qui cum populo imperium mitius petenti durius comminatus esset, et per minas regnum amisisset, unde regnaturum se augustius sperabat, inde ex dignitate quam habebat, dejectus est[32]. Reddit autem hominem insolentem et manuum vis, et celeritas pedum, et corporis venustas: quæ a morbis abolentur, et tempore absumuntur; nec animadvertit quod *Omnis caro fenum sit, et omnis gloria hominis, sicut flos feni. Aruit fenum et flos decidit*[33]. Talis erat gigantum ob robur ac vires arrogantia[34], talis erat quoque stolidi illius Goliath superbia Deo infensa[35]. Talis erat et Adonias de pulchritudine gloriabundus[36], et Absalom prolixitate comæ superbiens[37].

2. Imo vero quod inter alia mortalium bona videtur maximum esse ac constantissimum, sapientia et prudentia, id quoque habet vanam elationem, paratque sublimitatem non veram cum harum rerum habeatur ratio nulla, si Dei desit sapientia. Nam diabolo ipsi male cessit adhibitum in hominem artificium; et quod machinatus est **158** contra hominem, id struxit insciens adversus semetipsum: siquidem non tantum nocuit ei, quem a Deo et a vita æterna abalienaturum se speraverat, quantum se ipse prodidit, transfuga a Deo factus, et morti æternæ addictus. Atque laqueo quem Domino struxit, captus ipse est, crucifixus in ea cruce, in qua crucifixurum se rebatur; et ea morte mortuus qua Dominum speravit a se occisum iri. Quod si mundi princeps, primus ille et maximus et invisibilis sapientiæ mundanæ magister capitur suis ipsius artificiis, et ad insipientiam extremam redigitur: multo magis ejus discipuli atque æmulatores, etiamsi innumeris commentis utantur, *Dicentes se esse sapientes, stulti facti sunt*[38]. Adhibet artes malas Pharao ad Israelem disperdendum: sed non animadvertit inde irritam fore suam astutiam, unde nihil hujusmodi exspectabat. Et infans ejus jussu ad mortem expositus, clam in domo regia nutritur[39]: qui et illius

A μίζουσι, πάτημα τοὺς ὑποκειμένους ἀνθρώπους ἡγούμενοι, καὶ κατὰ τῶν τὴν ἀξίαν δεδωκότων αὐτοῖς ἐπαιρόμενοι, καὶ δι' ὧν εἶναι δοκοῦσί τινες, κατὰ τούτων ἀλαζονευόμενοι· πρᾶγμα πλῆρες ἀνοίας ὑπομένοντες, ὀνείρου σαθροτέραν ἔχοντες δόξαν, καὶ ματαιοτέραν φασμάτων νυκτερινῶν περιβεβλημένοι λαμπρότητα, νεύματι δήμου συνισταμένην, καὶ νεύματι διαλυομένην. Οἷος ἦν ὁ παράφρων ἐκεῖνος, ὁ τοῦ Σολομῶντος υἱὸς, ὁ νέος τὴν ἡλικίαν, καὶ τὰς φρένας νεώτερος, ὁ τῷ δήμῳ ζητοῦντι πραοτέραν ἡγεμονίαν ἀπειλήσας χαλεπωτέραν, καὶ διὰ τῆς ἀπειλῆς ἀπολέσας τὴν βασιλείαν, δι' ἧς προσεδόκησε βασιλικώτερος ὀφθήσεσθαι, διὰ ταύτης καθαιρεθεὶς ἧς εἶχεν ἀξίας. Θρασύνει δὲ ἄνθρωπον καὶ χειρῶν δύναμις, καὶ τάχος ποδῶν, καὶ σώματος εὐμορφία· νόσων παραναλώματα, καὶ χρό-

B νου δαπανήματα· καὶ οὐκ αἰσθάνεται, ὅτι *Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε*. Τοιαῦται γιγάντων ἐπὶ δυνάμει ἀλαζονεῖαι, καὶ Γολιὰθ ἀνοήτου φρόνημα θεομάχον, καὶ ὁ κάλλει μέγα φρονῶν Ἀδωνίας, καὶ μεγέθει κόμης ἐπαιρόμενος Ἀβεσσαλώμ.

2. Ὃ δὲ δοκεῖ τῶν ἄλλων τῶν ὑπαρχόντων ἀνθρώποις καλῶν μέγιστον εἶναι καὶ βεβαιότερον, ἡ σοφία καὶ ἡ (58) φρόνησις, καὶ τοῦτο ματαῖον (58*) ἔχει τὴν ἔπαρσιν, καὶ ὕψος οὐκ ἀληθὲς παρασκευάζει· τῆς παρὰ Θεοῦ σοφίας ἀπούσης, εἰς οὐδὲν τούτων λογιζο-

C μένων. Διαπίπτει μὲν γὰρ αὐτῷ τῷ διαβόλῳ τὸ κατὰ τοῦ ἀνθρώπου σόφισμα, καὶ καθ' ἑαυτοῦ τεχνάσας ἔλαθεν ὃ κατὰ τοῦ ἀνθρώπου μεμηχάνηται, οὐδὲν τοσοῦτον ἐκεῖνον ζημιώσας, ὃν ἤλπισεν ἀπαλλοτριώσειν Θεοῦ καὶ ζωῆς αἰωνίου, ὅσον ἑαυτὸν προδοὺς, ἀποστάτης Θεοῦ γεγονὼς, καὶ θανάτῳ καταδικασθεὶς αἰωνίῳ. Καὶ τὴν κατὰ τοῦ Κυρίου στήσας παγίδα, διὰ ταύτης ἑάλω, σταυρωθεὶς ἐν ᾧ σταυρώσειν προσεδόκησε, καὶ ἀποθανὼν ἐν ᾧ τὸν Κύριον ἤλπισεν ἀναιρήσειν θανάτῳ. Εἰ δὲ ὁ τοῦ κόσμου ἄρχων, ὁ πρῶτος καὶ μέγιστος καὶ ἀόρατος τῆς κοσμικῆς σοφίας σοφιστὴς, ἁλίσκεται τοῖς ἑαυτοῦ σοφίσμασιν, εἰς τὴν ἐσχάτην περιιστάμενος ἀφροσύνην, πολλῷ μᾶλλον οἱ ἐκείνου μαθηταὶ καὶ ζηλωταὶ, κἂν μυρία σοφίσωνται, *Φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν*.

D Κατασοφίζεται Φαραὼ (59) ἐπ' ὀλέθρῳ Ἰσραήλ· ἀλλ' ἔλαθεν ὁ κατασοφισμὸς αὐτῷ διαλυθεὶς, ὅθεν οὐ προσεδόκησε. Καὶ βρέφος ἐκτεθὲν διὰ τὸ πρόσταγμα αὐτοῦ εἰς θάνατον λανθάνει τρεφόμενον ἐπὶ τῆς οἰκίας τῆς βασιλικῆς, καὶ καθαιροῦν τὴν ἐκείνου δύναμιν καὶ τὴν τοῦ παντὸς ἔθνους, καὶ τὸν Ἰσραὴλ ἐξάγον εἰς

[32] III Reg. XII, 4, 14. [33] Isa. XL, 6, 7. [34] Gen. VI, 4; Sap. XIV, 6. [35] I Reg. XVII, 4. [36] III Reg. I, 5 sqq. [37] II Reg. XIV, 26. [38] Rom. I, 22. [39] Jud. IX, 1 seqq.

ἐπὶ νεφελῶν· ubi post voculam τὴν supplendum est illud, ἑαυτῶν φύσιν, *suam ipsorum naturam collocari*, seu *collocari se*.

(58) Antiqui duo libri καὶ ἡ. Deest articulus in vulgatis. *Sapientia et prudentia*, humana scilicet.

(58*) *Καὶ τοῦτο ματαῖον*. Ed. Paris. 1839 legit ματαίαν, rectius. EDIT.

(59) Vox Φαραὼ reperitur in Colb. primo et in Reg. itidem primo, hoc modo, Φαραὼ ἐπ' ὀλέθρῳ Φαραὼ, *Pharao in sui ipsius Pharaonis perniciem*. Editi et Reg. secundus ut in contextu.

σωτηρίαν. Ὁ δὲ ἀνδροφόνος Ἀβιμέλεχ, ὁ τοῦ Γεδεὼν (60) νόθος υἱὸς, ὁ τοὺς ἑβδομήκοντα παῖδας τοὺς γνησίους ἀποκτείνας, καὶ σοφὸν τοῦτο νομίσας ἐξευρηκέναι πρὸς τὸ βεβαίως τὴν βασιλείαν κατασχεῖν, συντρίβει μὲν τοὺς συνεργοὺς αὐτῷ τοῦ φόνου γενομένους, συντρίβεται δὲ ὑπ' αὐτῶν· καὶ τέλος ἀπόλλυται χειρὶ γυναικὸς καὶ λίθου βολῇ. Καὶ ἐσοφίσαντο πάντες Ἰουδαῖοι κατὰ τοῦ Κυρίου βούλευμα ὀλέθριον, ἑαυτοῖς λέγοντες· *Ἐὰν ἀφῶμεν οὕτως* (61), *πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὸν τόπον καὶ τὸ ἔθνος.* Ἐκ τούτου τοῦ βουλεύματος ἐπὶ τὴν Χριστοκτονίαν ἐλθόντες, ὡς τὸ ἔθνος αὐτοὶ καὶ τὴν χώραν διασώσοντες, ἀπολώλασι δι' ὧν ἐβουλεύσαντο, καὶ ἐκ τῆς χώρας ἀνάστατοι, καὶ τῶν νόμων ἀλλότριοι καὶ τῆς λατρείας γεγενημένοι. Καὶ ὅλως ἐν μυρίοις ἄν τις καταμάθοι (62) παραδείγμασι σαθρὸν τὸ τῆς ἀνθρωπίνης σοφίας πλεονέκτημα, μικρόν τε καὶ ταπεινὸν μᾶλλον ἢ μέγα καὶ ὑψηλόν.

3. Ὥστε οὐδεὶς εὖ φρονῶν, οὔτε ἐπὶ τῇ σοφίᾳ τῇ ἑαυτοῦ μέγα φρονήσει, οὔτε ἐπὶ τοῖς ἄλλοις τοῖς προειρημένοις, ἀλλὰ πεισθήσεται τῇ καλλίστῃ παραινέσει τῆς μακαρίας Ἄννης καὶ τοῦ προφήτου Ἱερεμίου· *Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ.* Ἀλλὰ τί τὸ καύχημα τὸ ἀληθές; καὶ ἐν τίνι μέγας ὁ ἄνθρωπος; *Ἐν τούτῳ*, φησὶ, *καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν, ὅτι ἐγὼ Κύριος.* Τοῦτο ὕψος ἀνθρώπου, τοῦτο δόξα καὶ μεγαλειότης, ἀληθῶς γνῶναι τὸ μέγα, καὶ τούτῳ προσφύεσθαι, καὶ δόξαν τὴν παρὰ τοῦ Κυρίου τῆς δόξης ἐπιζητεῖν. Λέγει δὲ ὁ Ἀπόστολος· *Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω*, λέγων ὅτι *Χριστὸς ἡμῖν ἐγενήθη σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις· ἵνα καθὼς γέγραπται, Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.* Αὕτη γὰρ δὴ ἡ τελεία καὶ ὁλόκληρος καύχησις ἐν Θεῷ, ὅτε μήτε ἐπὶ δικαιοσύνῃ τις ἐπαίρεται τῇ ἑαυτοῦ, ἀλλ' ἔγνω μὲν ἐνδεῆ ὄντα ἑαυτὸν δικαιοσύνης ἀληθοῦς, πίστει δὲ μόνῃ τῇ εἰς Χριστὸν δεδικαιωμένον (63). Καὶ καυχᾶται Παῦλος ἐπὶ τῷ καταφρονῆσαι τῆς ἑαυτοῦ δικαιοσύνης, ζητεῖν δὲ τὴν διὰ Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει, τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφιζόμενος τῷ θανάτῳ αὐτοῦ, εἴ πως καταντήσει (64) εἰς τὴν ἐξανάστασιν

A et gentis totius eversa potentia, esset Israelem incolumem educturus. Abimelech vero, homicida ille, Gedeonis spurius filius, qui legitimos septuaginta filios occiderat, hocque ad stabiliendam regni possessionem sapienter excogitatum fuisse putaverat, ut cædis illius adjutores conterit, ita ab ipsis conteritur, ac tandem mulieris manu et lapidis ictu perit. Quin et Judæi omnes consilium sibi exitiosum contra Dominum architectati sunt, cum dicerent : *Si siverimus sic, omnes credent in eum : et venient Romani, et tollent nostrum locum et gentem* [60]. Post hoc consilium occidentes Christum, velut gentem ac regionem servaturi, hoc ipso consilio utramque perdidere, tum e regione pulsi, tum a legibus ac cultu Dei abalienati. Et in summa, B ex innumeris exemplis discere cuique licet, prærogativam sapientiæ humanæ debilem esse, parvamque et humilem magis quam magnam ac sublimem.

3. Itaque nemo prudens, neque de sapientia sua efferet se, neque de cæteris quas ante nominavi rebus : sed obtemperabit optimæ admonitioni beatæ Annæ ac Jeremiæ prophetæ. *Ne glorietur sapiens in sapientia sua : et ne glorietur fortis in fortitudine sua : et ne glorietur dives in divitiis suis* [61]. Sed quænam est vera gloriatio, et in quo magnus est homo? *In hoc*, inquit, *glorietur qui gloriatur, si cognoscit ac intelligit quod ego sim Dominus* [62]. Hæc est sublimitas hominis, hæc est gloria atque maC jestas, vere cognoscere quod magnum est, eique adhærere, et gloriam a Domino gloriæ conquirere. Ait enim Apostolus : *Qui gloriatur, in Domino glorietur* [63]; ubi dicit : *Christus factus est nobis sapientia a Deo, et justitia, et sanctificatio, et redemptio : ut quemadmodum scriptum est, Qui gloriatur, in Domino glorietur* [64]. Hæc est enim perfecta ac integra in Deo gloriatio, cum quis non ob suam justitiam extollitur, sed novit destitui se quidem vera justitia, verum sola in Christum fide justificatum esse. Atque **159** in hoc gloriatur Paulus, quod justitiam suam contemnat : quærat vero eam, quæ per Christum est, quæ ex Deo est, justitiam in fide [65] : ut cognoscat illum, et virtutem resurrectionis ejus, et communionem afflictionum ipsius, D conformis factus morti ejus, si quo modo ad resurrectionem mortuorum pertingat. Hic cecidit superbiæ altitudo omnis. Nihil unde gloriari queas,

[60] Joan. XI, 48. [61] I Reg. II, 3; Jer. IX, 23. [62] ibid. 24. [63] I Cor. I, 31. [64] ibid. 30. [65] Philip. III, 9.

(60) Reg. primus ὁ τοῦ Γεδεῶνος. Abimelech in Judicum libro IX, 1, filius Jerobaal dicitur.

(61) Editio Paris. ἀφῶμεν τοῦτον οὕτως. Vox τοῦτον neque in editione Basil. neque in nostris quatuor mss. legitur.

(62) Editi et Reg. tertius καταμάθῃ. Alii tres mss. καταμάθοι. Aliquanto post unus ms. μεγάλα φρονήσει. Alter μεγαλοφρονήσει. Alii duo μέγα φρονήσει. Editi μέγα φρονήσῃ.

(63) Quod ait hoc loco Basilius, hominem sola in Christum fide justificari, id, nisi explicetur, potest simpliciores in errorem inducere. Notandum igitur, Basilium id sibi in hac oratione proponere, ut ostendat nos in nostris operibus gloriari non posse. Quare hoc dicit : Etsi jejunas, etsi stipem erogas, etsi alia id genus recte facis, non propterea justificabere; sed accedat oportet fides, non quod fides sola sine operibus justificet, sed quod ad justificationem necessario requiratur.

(64) Antiqui duo libri καταντήσῃ. Editi et Reg. tertius καταντήσει. Ibidem editi ἐξανάστασιν τῶν νεκρῶν. At mss. quatuor ἐξανάστασιν τὴν ἐκ νεκρῶν.

relictum est tibi, o homo, cujus videlicet gloriatio ac spes sita in eo sit, ut mortifices tua omnia, quærasque futuram in Christo vitam: cujus cum habeamus primitias, jam in his sumus, omnino in gratia ac dono Dei viventes. Et Deus quidem est, *Qui operatur in nobis et velle et efficere, pro bona voluntate* [46]. Rursus Deus sapientiam suam quam in nostram gloriam prædestinavit, revelat per Spiritum suum [47]. Præstat Deus vires ac robur in laboribus. *Abundantius omnibus laboravi*, inquit Paulus; *non ego autem, sed gratia Dei, quæ est mecum* [48]. Eximit Deus de periculis præter omnem humanam spem. *Ipsi*, inquit, *in nobismetipsis responsum mortis habuimus ut non simus fidentes in nobis, sed in Deo, qui suscitat mortuos: qui ex tanta morte nos eripuit, et eripit: in quem speramus quoniam et adhuc eripiet* [49].

A τὴν ἐκ νεκρῶν. Ἐνταῦθα πέπτωκε πᾶν ὕψος ὑπερηφανίας. Οὐδὲν ὑπολέλειπταί σοι πρὸς ἀλαζονείαν, ὦ ἄνθρωπε, ᾧ τὸ καύχημα καὶ ἡ ἐλπὶς ἐν τῷ νεκρῶσαι μὲν πάντα τὰ σεαυτοῦ, ζητῆσαι δὲ τὴν (65) ἐν Χριστῷ ζωὴν τὴν μέλλουσαν· ἧς ἀπαρχὰς ἔχοντες, ἤδη ἐν τούτοις ἐσμὲν, τὸ ὅλον ἐν χάριτι ζῶντες καὶ δωρεᾷ Θεοῦ. Καὶ Θεὸς μέν ἐστιν, *Ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας*· Θεὸς δὲ τὴν ἑαυτοῦ σοφίαν τὴν προωρισμένην εἰς δόξαν ἡμῶν ἀποκαλύπτει διὰ τοῦ ἰδίου Πνεύματος. Θεὸς δὲ τὴν ἐν πόνοις δίδωσι δύναμιν. *Περισσότερον πάντων ἐκοπίασα*, φησὶ Παῦλος· *οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί*. Θεὸς δὲ ἐξαιρεῖται κινδύνων παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα. *Αὐτοί*, φησὶν, *ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς· ὃς ἐκ τηλικούτου θανάτου ἐῤῥύσατο ἡμᾶς, καὶ ῥύσεται* (66), *εἰς ὃν ἠλπίκαμεν, ὅτι καὶ ἔτι ῥύσεται.*

4. Quid igitur, dic quæso, te ipse quasi de tuis ipsius bonis effers, cum deberes pro acceptis donis gratiam largitori habere? *Quid enim habes, quod non accepisti? Quod si etiam accepisti, quid gloriaris quasi non acceperis* [50]? Non tu Deum cognovisti per tuam justitiam: sed Deus cognovit te propter suam bonitatem. *Cum cognoveritis Deum*, inquit, *quin potius cogniti sitis a Deo* [51]. Non tu apprehendisti Christum per virtutem, sed Christus te per suum adventum apprehendit. *Insequor*, inquit, *si etiam apprehendam, in quo et apprehensus sum a Christo* [52]. *Non vos me elegistis*, inquit Dominus, *sed ego elegi vos* [53]. An quoniam honore affectus es, gloriaris et misericordiam occasionem arripis superbiendi? Et tunc cognoscas teipsum, quis sis, velut Adam ejectus e paradiso [54], velut Saul desertus a Spiritu Dei [55], velut Israel a radice sancta resectus. *Fide*, inquit, *stas: noli altum sapere, sed time* [56]. Judicium sequitur gratiam; et quomodo datis usus fueris, expendit judex. Quod si ne hoc quidem intelligis, fuisse te gratiam consecutum, aut si præ nimia stupiditate tuam ipsius virtutem existimas gratiam esse, non es beato Petro apostolo præstantior. Nec enim Dominum amore majori prosequi poteris, quam qui ita vehementer dilexit ut etiam voluerit pro ipso mori. Sed quoniam animo elatiore locutus est, cum dixit: *Et si omnes scandalizati fuerint in te, ego tamen nunquam scandalizabor* [57], timiditati humanæ traditus est, ceciditque in inficiationem, lapsu eru-

B 4. Τί οὖν ἐπαίρεις, εἰπέ μοι, σαυτὸν ὡς ἐπὶ καλοῖς ἰδίοις, ἀντὶ τοῦ χάριν ἐπὶ τοῖς δώροις ὁμολογεῖν τῷ δεδωκότι; *Τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;* Οὐ σὺ Θεὸν ἔγνως διὰ δικαιοσύνης, ἀλλὰ Θεός σε διὰ χρηστότητα ἔγνω. *Γνόντες*, φησὶ, *Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ*. Οὐ σὺ Χριστὸν κατείληφας διὰ τῆς ἀρετῆς, ἀλλὰ Χριστός σε διὰ τῆς παρουσίας κατείληφε. *Διώκω*, φησὶν, *εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ. Οὐχ ὑμεῖς με ἐξελέξασθε*, φησὶν ὁ Κύριος, *ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς*. C Ἀλλ' ὅτι τετίμησαι, μέγα φρονεῖς, καὶ τὸν ἔλεον πρόφασιν ὑπερηφανίας λαμβάνεις; Καὶ τότε γνώσῃ σεαυτὸν (67) ὅστις εἶ, ὡς Ἀδὰμ ἐκβληθεὶς ἐκ τοῦ παραδείσου, ὡς Σαοὺλ καταλειφθεὶς ὑπὸ Πνεύματος Θεοῦ, ὡς Ἰσραὴλ τῆς ἁγίας ῥίζης ἀποτμηθείς. *Τῇ πίστει*, φησὶν, *ἕστηκας· μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ*. Κρίσις ἕπεται χάριτι, καὶ ὅπως ἐχρήσω τοῖς χαρισθεῖσιν, ὁ κριτὴς ἐξετάσει. Εἰ δὲ μηδὲ τοῦτο αὐτὸ συνίῃς, ὅτι χάριτος τετύχηκας, ἀλλ' ἴδιον ποιῇ κατόρθωμα τὴν χάριν ὑπερβολῇ τῆς ἀναισθησίας, οὐκ εἶ τοῦ μακαρίου τιμιώτερος ἀποστόλου Πέτρου. Οὐδὲ γὰρ ἀγάπῃ τῇ πρὸς τὸν Κύριον ὑπερβαλέσθαι δυνήσῃ τὸν οὕτω σφοδρῶς ἀγαπῶντα, ὡς καὶ ὑπεραποθνήσκειν ἐθέλειν. Ἀλλ' ὅτι μεγαλοφρονέστερον ἐφθέγξατο, λέγων, D *Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἀλλ' ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι*, παρεδόθη τῇ ἀνθρωπίνῃ δειλίᾳ, καὶ πέπτωκεν εἰς ἄρνησιν, σωφρονιζόμενος τῷ σφάλματι πρὸς εὐλάβειαν (68), καὶ διδασκόμενος φείδεσθαι τῶν ἀσθενούν-

[46] Philip. II, 13. [47] I Cor. II, 7, 10. [48] I Cor. XV, 10. [49] II Cor. I, 9, 10. [50] I Cor. IV, 7. [51] Galat. IV, 9. [52] Philipp. III, 12. [53] Joan. XV, 16. [54] Gen. III, 24. [55] I Reg. XVI, 14. [56] Rom. XI, 20. [57] Matth. XXVI, 33.

(65) Editio Paris. πάντα τὰ ἑαυτοῦ θελήματα, ζῆσαι δὲ τήν. Reg. tertius πάντα τὰ ἑαυτοῦ, ζῆσαι. Alii tres mss. cum editione Basileensi ita, ut edendum curavimus. Satis autem mihi verisimile fit, vocem θελήματα a typographis adjectam fuisse. Quod mox sequitur, ἐν τούτοις ἐσμέν, *in his sumus*, ita intelligi oportet: *Nostra conversatio jam in cœlis est, jamque versamur in bonis futuræ vitæ.*

(66) Antiqui tres libri ἡμᾶς καὶ ῥύσεται.... καὶ ἔτι ῥύσεται. Rursus hoc ipso in loco tres mss. ἠλπίκαμεν. Editi ἠλπίσαμεν.

(67) Editio Paris. τότε γνῷς σεαυτόν. Editio Basil. γνώσῃς αὐτόν. Unus e Coïsliniani γνώσῃ ἑαυτόν. Reg. primus γνώσῃ σεαυτόν. Denique Reg. secundus et Colb. primus γνῷς.

(68) Unus codex Reg. πρὸς εὐσέβειαν. Editi et reliqui mss. εὐλάβειαν.

των, τῷ καὶ τὴν ἑαυτοῦ καταμαθεῖν ἀσθένειαν, καὶ γνῶναι σαφῶς, ὅτι καθάπερ ἐν τῷ πελάγει καταποντιζόμενος, ἐκουφίσθη τῇ τοῦ Χριστοῦ δεξιᾷ, οὕτως ἐν τῷ κλύδωνι τοῦ σκανδαλισμοῦ κινδυνεύσας ἀπολέσθαι δι' ἀπιστίας, ἐφυλάχθη δυνάμει Χριστοῦ, ὃς καὶ προεῖπεν αὐτῷ τὸ συμβησόμενον, λέγων· *Σίμων, Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο τοῦ σινιάσαι ὑμᾶς ὡς τὸν σῖτον. Κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ* (69) *ἡ πίστις σου, καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου.* Καὶ Πέτρος μὲν οὕτως ἐλεγχθεὶς, δικαίως ἐβοηθεῖτο, πρὸς ἀπόθεσιν ἀλαζονείας καὶ φειδὼ τῶν ἀσθενούντων ἐκπαιδευόμενος· ὁ δὲ Φαρισαῖος ἐκεῖνος, ὁ βαρὺς καὶ καθ' ὑπερβολὴν ὑπερήφανος, ὁ μὴ μόνον ἐφ' ἑαυτῷ θρασυνόμενος, ἀλλὰ καὶ τὸν τελώνην ἐπὶ Θεοῦ διασύρων, ἀπώλεσε τῆς δικαιοσύνης τὸ καύχημα διὰ τὸ τῆς ὑπερηφανίας ἔγκλημα. Καὶ κατῆλθεν ὁ τελώνης δεδικαιωμένος ὑπὲρ αὐτὸν, ὅτι τὸν ἅγιον ἐδόξαζε Θεὸν, καὶ οὐδὲ ἀναβλέπειν ἐτόλμα, ἀλλ' ἱλασμὸν ἐζήτει μόνον, κατήγορος ὢν ἑαυτοῦ καὶ τῷ σχήματι καὶ τῇ κατὰ στήθους πληγῇ, καὶ τῷ ζητεῖν οὐδὲν ἄλλο πλὴν ἱλασμόν. Ὅρα δὴ οὖν καὶ φυλάττου τὸ παράδειγμα τῆς χαλεπῆς δι' ὑπερηφανίαν ζημίας. Ἐζημιώθη τὴν δικαιοσύνην ὑπερηφανευσάμενος, ἀπώλεσε τὸν μισθὸν θρασυνόμενος· ἠλαττώθη τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ, μεγαλύνας ἑαυτὸν ὑπὲρ ἐκεῖνον, καὶ οὐκ ἀναμείνας τὴν παρὰ Θεοῦ κρίσιν, ἀλλὰ τὴν παρὰ αὐτοῦ ἐξενεγκών. Σὺ δὲ κατ' οὐδενὸς ἐπαρθήσῃ ποτὲ, οὐδὲ κατὰ τῶν ἄγαν ἁμαρτωλῶν. Ῥύεται πολλάκις ἡ ταπεινοφροσύνη τὸν ἡμαρτηκότα πολλὰ καὶ μεγάλα. Μὴ οὖν σεαυτὸν δικαιώσῃς ὑπὲρ ἕτερον, μήποτε, δικαιωθεὶς τῇ σεαυτοῦ ψήφῳ, τῇ τοῦ Θεοῦ κατακριθῇς. *Οὐκ ἀνακρίνω*, φησὶν, *ἐμαυτὸν*, ὁ Παῦλος. *Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. Ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστιν.*

5. Οἴει κατορθοῦν ἀγαθόν; Εὐχαρίστει τῷ Θεῷ, μὴ κατὰ τοῦ πλησίον ἐπαίρου. *Τὸ ἔργον ἑαυτοῦ* (70), φησὶ, *δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον.* Τί γὰρ ὤνησας τὸν πλησίον, ὅτι πίστιν ὡμολόγησας, ἢ φυγὴν ὑπέμεινας διὰ ὄνομα Χριστοῦ, ἢ τοῖς νηστείας ἐνεκαρτέρησας πόνοις; Οὐχ ἑτέρου τὸ κέρδος, ἀλλὰ σόν. Φοβήθητι τῆς τοῦ διαβόλου πτώσεως τὴν ὁμοίωσιν· ὃς, ἐπαρθεὶς κατὰ τοῦ ἀνθρώπου, πέπτωκεν ὑπ' ἀνθρώπου (71), καὶ παραδέδοται πάτημα τῷ πεπατημένῳ. Τοιαύτη καὶ τῶν Ἰσραηλιτῶν ἡ πτῶσις. Ἐπαιρόμενοι γὰρ κατὰ τῶν ἐθνῶν, ὡς ἀκαθάρτων, ἀκάθαρτοι γεγόνασιν ἀληθῶς· τὰ δὲ ἔθνη

A diendus ad metum atque ad cautionem, edocendusque infirmis parcere et **160** debilibus, quod et suam cognovit infirmitatem, et perspicue intellexit quod quemadmodum, cum in pelago mergeretur, per Christi dexteram erutus est, ita in scandali procella ob incredulitatem in pereundi periculum veniens, Christi virtute servatus sit: qui ei etiam prædixerat quod erat futurum, his verbis: *Simon, Simon: ecce Satanas expetivit, ut cribraret vos sicut triticum. Et ego rogavi pro te, ut non deficiat fides tua: et tu aliquando conversus, confirma fratres tuos* [58]. Ac Petrus quidem sic reprehensus, accepit opem merito, et auxilium, ut fastum deponere, et infirmis parcere disceret. Rursus Pharisæus ille, impudens et supra modum superbus, non B in seipso solum confidens, sed publicano etiam coram Deo conviciatus, justitiæ gloriam ob superbiæ crimen amisit. Sed descendit publicanus justificatus præ eo, quod gloriam Deo sancto daret, et ne attollere quidem auderet oculos, sed propitiationem solum exposceret: quippe et habitu, et percutiendo pectore, et alia nulla re præter propitiationem quæsita se ipse accusabat [59]. Vide igitur et cave exemplum gravis damni, ob superbiam. Justitiæ fecit jacturam, quod ultra modum superbiret; amisit mercedem, quod fideret sibi plus æquo; humili postpositus est et peccatori, quod se pluris quam illum faceret, nec Dei exspectaret judicium, sed suum ipsius proferret. Tu vero adversus neminem unquam te efferas, et ne adversus eos quidem qui C magni sunt peccatores. Qui multis magnisque peccatis obnoxius est, eum sæpe liberat humilitas. Itaque ne te ipse præ altero justificaveris; nequando Dei sententia, etsi tua justificatus, condemnere. *Non judico meipsum*, inquit Paulus. *Nihil enim mihi conscius sum: sed non in hoc justificatus sum. Qui autem judicat me, Dominus est* [60].

5. Perpetrasse te boni aliquid arbitraris? Age gratias Deo, ne extolle te contra proximum. *Opus suum*, inquit, *probet unusquisque, et tum in semetipso tantum gloriam habebit, et non in alio* [61]. Quid enim proximum juvisti, quod fidem es confessus, aut exsilium perpessus ob Christi nomen, aut jejunii labores constanter pertulisti? Lucrum tuum D est, non alterius. Time ne similiter cadas atque diabolus, qui elatus contra hominem, ab homine prostratus est, et vice scabelli traditus est conculcato. Talis est et Israelitarum casus. Cum enim adversus gentes velut immundas efferrentur, vere immundi facti sunt: gentes vero effectæ sunt mundæ.

[58] Luc. XXII, 31, 32. [59] Luc. XVIII, 11-14. [60] I Cor. IV, 3, 4. [61] Galat. VI, 4.

(69) Codices aliquot ἐκλείπῃ. Editi ἐκλίπῃ. Mox editi ποτὲ καὶ ἐπιστ. At mss. ποτὲ ἐπιστρέψας. In Vulgata vox ὑμᾶς videtur posita loco non suo. Ita enim in ea legitur: Σίμων, Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς, τοῦ σινιάσαι ὡς τὸν σῖτον, *Simon, Simon, ecce Satanas expetivit vos, ut cribraret sicut triticum.* Sed melius, ut videtur, apud Basilium, in quo vox ὑμᾶς locata invenitur post verbum σινιάσαι, *Ecce Satanas expetivit, ut cribraret vos sicut triticum.*

(70) Antiqui tres libri ἑαυτοῦ. Editi αὐτοῦ.

(71) Editio utraque et Combefisiani duo mss. cum aliis duobus Regiis aut ὑπ' ἀνθρώπου, aut ὑπὸ ἀνθρώπου, ad verbum, *cecidit ab homine*, hoc est, *prostratus est ab homine*. At Reg. primus ὑπὸ τὸν ἄνθρωπον, *cecidit subter hominem.*

Ac illorum quidem justitia sicut pannus menstruatæ facta est :[62] gentium vero iniquitas impietasque deleta est per fidem. In summa, memineris veri illius proverbii : *Superbis Deus resistit, humilibus vero dat gratiam*[63]. Habe in promptu sententiam Domini : *Omnis qui se humiliat, exaltabitur; et qui se exaltat, humiliabitur*[64]. Ne tui ipsius fias judex iniquus, neque ad gratiam expende : si videare tibi quidquam boni habere, numerata illa re, delictisque oblivioni ultro traditis, neque ob recte facta hodierna insolescas, neque recentium aut veterum malefactorum **161** tibi veniam concedas : sed cum præsens reddiderit te elatum, revoca in memoriam antiquam agendi rationem, sicque stolidus tuus tumor cessabit. Et, si proximum peccantem videris, cave consideres ipsius peccatum solum : sed etiam quæ fecit aut facit recte, cogita; et sæpe eum deprehendes teipso meliorem, expensis rebus omnibus, non una duntaxat parte examinata. Neque enim Deus hominem in parte expendit : *Ego* enim, inquit, *opera et cogitationes eorum venio congregaturus*[65]. Quin etiam cum Josaphat aliquando ob præsens peccatum increparet, meminit quoque recte factorum ipsius, his verbis : *Verumtamen verba bona inventa sunt in te*[66].

A κεκάθαρται. Καὶ τῶν μὲν ἡ δικαιοσύνη γέγονεν ὡς ῥάκος ἀποκαθημένης, τῶν δὲ ἐθνῶν ἡ ἀνομία καὶ ἡ ἀσέβεια διὰ πίστεως ἐξήλειπται. Καθόλου μέμνησο τῆς ἀληθοῦς παροιμίας· *Ὑπερηφάνοις Θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.* Ἔχε τοῦ Κυρίου τὸ ῥῆμα πρόχειρον· *Πᾶς ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται· καὶ ὁ* (72) *ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται.* Μὴ γίνου κριτὴς ἄνισος σεαυτοῦ, μηδὲ πρὸς χάριν ἐξέταζε· εἰ μέν τι δοκεῖς ἔχειν καλὸν, τοῦτο ἐν ψήφῳ τιθεὶς, τῶν δὲ πταισμάτων ἑκὼν ἐπιλανθανόμενος, μηδὲ ἐφ' οἷς μὲν σήμερον κατορθοῖς μεγαλυνόμενος, ἐφ' οἷς δὲ πρώην καὶ πάλαι κακῶς εἰργάσω, συγχώρησιν σεαυτῷ διδούς· ἀλλ' ὅταν σε τὸ παρὸν ἐπάρῃ, τὸ παλαιὸν εἰς ἀνάμνησιν ἀγέτω, καὶ παύσῃ τῆς ἀναισθήτου φλεγμονῆς. Καὶ B εἰ τὸν πέλας ἁμαρτάνοντα θεωρήσεις (73), μὴ τοῦτο μόνον αὐτοῦ σκοπήσῃς· ἐνθυμήθητι δὲ καὶ ὅσα πέπραχεν ἢ πράττει καλῶς, καὶ πολλάκις εὑρήσεις αὐτὸν ἀμείνονα σεαυτοῦ, διὰ πάντων ἐξετάζων, καὶ μὴ μερικὰ ψηφιζόμενος (74). Οὐδὲ γὰρ Θεὸς μερικῶς ἐξετάζει τὸν ἄνθρωπον· *Ἐγὼ γὰρ*, φησὶ, *τὰ ἔργα καὶ τοὺς λογισμοὺς αὐτῶν ἔρχομαι συναγαγεῖν.* Καὶ τῷ Ἰωσαφὰτ ἐπιτιμήσας ποτὲ διὰ τὴν παραπόδας ἁμαρτίαν, ἐμνήσθη καὶ τῶν κατωρθωμένων αὐτῷ, λέγων· *Πλὴν ἀλλὰ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί.*

6. Hæc et similia adversus superbiam nobismetipsis semper accinamus, demittentes nos ipsos ut exaltemur, imitantes Dominum, qui de cœlo in extremam humilitatem descendit, et vice versa ex humilitate ad decentem altitudinem evectus est. Comperimus enim Domini gesta omnia nos ad humilitatem instruere. Infans cum esset, statim in spelunca, et ne in lecto quidem, sed in præsepi jacuit. In domo fuit fabri lignarii et matris pauperis, matri subditus et illius sponso : docebatur, audiebat quibus sibi opus non erat : interrogabat, sed ita tamen, ut interrogans esset admirationi ob sapientiam. Subdebatur Joanni, et Dominus a servo baptisma accipiebat : insurgentium in se resistebat nulli, neque potestatem ineffabilem, qua præditus erat, exercebat : sed concedebat quasi potentioribus, et temporariæ potestati potentiam ei convenientem permittebat. Sistebatur pontificibus in rei habitu : ducebatur ad præsidem, et judicium subibat, et cum potuisset calumniatores redarguere, silentio ferebat calumnias. Conspuebatur a servis vilissimisque mancipiis, morti tradebatur, eique apud homines turpissimæ. Sic omnia ab ortu ad finem

6. Ταῦτα καὶ τὰ τοιαῦτα πρὸς τὴν ὑπερηφανίαν ἐπᾴδωμεν ἑαυτοῖς ἑκάστοτε, καθαιροῦντες ἑαυτοὺς ἵν' ὑψωθῶμεν, μιμούμενοι τὸν ἐξ οὐρανοῦ καταβάντα C Κύριον πρὸς τὴν ἐσχάτην ταπεινότητα, καὶ τοὐναντίον ἐκ ταπεινότητος εἰς ὕψος αἴσιον ἐξογκούμενοι (75). Πάντα γὰρ δὴ πρὸς ταπεινοφροσύνην παιδεύοντα τὰ τοῦ Κυρίου εὑρίσκομεν. Βρέφος ὢν, εὐθὺς ἐν σπηλαίῳ, καὶ οὐδὲ ἐπὶ κλίνης, ἀλλ' ἐπὶ φάτνης· ἐν οἴκῳ τέκτονος καὶ μητρὸς πενιχρᾶς, ὑποτασσόμενος τῇ μητρὶ καὶ τῷ ταύτης μνηστῆρι· διδασκόμενος, ἀκούων ὧν οὐκ ἐδεῖτο, ἐπερωτῶν δὲ ὅμως, καὶ διὰ τῆς ἐρωτήσεως ἐπὶ τῇ σοφίᾳ θαυμαζόμενος· ὑποτασσόμενος Ἰωάννῃ, καὶ βάπτισμα παρὰ τοῦ δούλου δεχόμενος ὁ Δεσπότης· οὐδενὶ τῶν ἐπανισταμένων ἀνθιστάμενος, οὐδὲ τὴν ἄφατον ἐξουσίαν, ἣν εἶχεν, ἐπανατεινόμενος· ἀλλ' ὡς δυνατωτέροις ὑποχωρῶν, καὶ τῇ προσκαίρῳ ἐξουσίᾳ τὸ κατ' D αὐτὴν ἰσχυρὸν ἐπιτρέπων· ἐπὶ τῶν ἀρχιερέων ἱστάμενος ἐν σχήματι δικαζομένου, ἡγεμόνι προσαγόμενος καὶ κρίσιν ὑποφέρων, καὶ παρὸν ἐλέγχειν τοὺς συκοφαντοῦντας, σιωπῇ φέρων τὰς συκοφαντίας· ἐμπτυόμενος ὑπὸ δούλων καὶ παιδαρίων εὐτελεστάτων, θανάτῳ παραδιδόμενος, καὶ θανάτῳ τῷ παρὰ

[62] Isa. LXIV, 6. [63] Prov. III, 34; Jac. IV, 6; I Petr. V, 5. [64] Luc. XIV, 11. [65] Isa. LXVI, 18. [66] II Paralip. XIX, 3.

(72) Unus Colb. ὁ δέ, vocula καί omissa.

(73) Sic rescribendum duximus pro edito θεωρήσῃς, quod ad poetarum dialectum pertinet. EDIT.

(74) Unus Reg. μικρὰ ψηλαφιζόμενος.

(75) Veteres tres libri cum utraque editione αἴσιον ἐξογκούμενοι. At Colb. primus αἴσιον ἐξελκόμενοι. Sensus postulat ut pro ἐξογκούμενοι legamus ἐξογκούμενον, *evectum* Dominum. Erratumne sit librariorum, an hoc dictum sit per *attractionem*, videbunt alii. Vocem autem αἴσιον ita Latine reddidit Combefisius, *ad eximiam ac singularem celsitudinem provexit*. Sed si semel recedendum sit ab ea quam vox αἴσιος usitate habet significatione, malim vertere, *ad summam celsitudinem*.

ἀνθρώποις αἰσχίστῳ. Οὕτω τὸν ἄνθρωπον διεξῆλθε πάντα τὰ ἀπὸ (76) γενέσεως εἰς τέλος· καὶ μετὰ τοσαύτην ταπεινοφροσύνην ὕστερον τὴν δόξαν ἐκφαίνει, συνδοξάζων ἑαυτῷ τοὺς συναδοξήσαντας. Ὧν οἱ μακάριοι μαθηταὶ πρῶτοι, πένητες καὶ γυμνοὶ τὴν οἰκουμένην διαδραμόντες, οὐκ ἐν σοφίᾳ λόγου, οὐκ ἐν ἀκολούθων πλήθει, μόνοι, καὶ ἀλῆται, καὶ ἔρημοι, γῆν τε καὶ θάλατταν ἐξαμείβοντες, μαστιζόμενοι, λιθοβολούμενοι, διωκόμενοι, τέλος ἀναιρούμενοι. Ταῦτα ἡμῖν πατρῷα καὶ θεῖα παιδεύματα. Πρὸς τὴν τούτων ἔλθωμεν μίμησιν, ἵν' ἡμῖν ἐκ τῆς ταπεινότητος ἀνατείλῃ δόξα αἰώνιος, ἡ τελεία καὶ ἀληθὴς Χριστοῦ δωρεά.

7. Πῶς οὖν εἰς τὴν σωτήριον ταπεινοφροσύνην καταβησόμεθα, τὸν ὀλέθριον ὄγκον τῆς ὑπερηφανίας καταλιπόντες; Ἐὰν διὰ πάντων ἀσκῶμεν τὸ τοιοῦτο, καὶ μηδὲν παρορῶμεν ὡς οὐ παρὰ τοῦτο βλαβησόμενοι. Τοῖς γὰρ ἐπιτηδεύμασιν ὁμοιοῦται ψυχή, καὶ πρὸς ἃ πράττει, τυποῦται, καὶ πρὸς ταῦτα σχηματίζεται. Ἔστω σοι καὶ σχῆμα, καὶ ἱμάτιον, καὶ βάδισμα, καὶ καθέδρα, καὶ τροφῆς κατάστασις, καὶ στρωμνῆς παρασκευή, καὶ οἶκος, καὶ τὰ ἐν οἴκῳ σκεύη πάντα πρὸς εὐτέλειαν ἠσκημένα· καὶ λόγος, καὶ ᾠδή, καὶ ἡ τοῦ πλησίον ἔντευξις, καὶ ταῦτα πρὸς μετριότητα μᾶλλον ἢ πρὸς ὄγκον ὁράτω. Μή μοι κόμπους ἐν λόγῳ σοφιστικούς, μηδὲ ἐν ᾠδαῖς ἡδυφωνίας ὑπερβαλλούσας, μηδὲ διαλέξεις ὑπερηφάνους καὶ βαρείας· ἀλλ' ἐν ἅπασιν ὑφαίρει τοῦ μεγέθους· χρηστὸς πρὸς τὸν φίλον, ἤπιος πρὸς τὸν οἰκέτην, ἀνεξίκακος πρὸς τοὺς θρασεῖς, φιλάνθρωπος πρὸς τοὺς ταπεινούς, παρηγορῶν κακουμένους, ἐπισκεπτόμενος τοὺς ἐν ὀδύναις, μηδένα καθάπαξ ὑπερορῶν, γλυκὺς ἐν προσηγορίᾳ, φαιδρὸς ἐν ἀποκρίσει, δεξιός, εὐπρόσιτος ἅπασι, μήτε σεαυτοῦ διεξιὼν ἐγκώμια, μηδὲ ἑτέρους λέγειν παρασκευάζων, μηδὲ λόγον ἄσεμνον ἀποδεχόμενος, ἐπικαλύπτων ὅσα δυνατὸν τῶν σεαυτοῦ πλεονεκτημάτων· ἐπὶ δὲ τοῖς ἁμαρτήμασι κατηγορῶν σεαυτοῦ, καὶ μὴ τοὺς ἑτέρων ἐλέγχους ἀναμένων, ἵνα γένῃ κατὰ τὸν δίκαιον τὸν ἑαυτοῦ κατήγορον ἐν πρωτολογίᾳ, ἵνα ᾖς κατὰ τὸν Ἰὼβ, ὃς οὐ διετράπη πολυοχλίαν πόλεως, ἐπ' αὐτῶν ἐξαγορεῦσαι τὸ ἴδιον πταῖσμα. Μὴ βαρὺς ἐν ἐπιτιμήσεσι γίνου, μηδὲ ταχέως, μηδὲ ἐμπαθῶς ἐξελέγχων (αὔθαδες γὰρ τὸ τοιοῦτον), μηδὲ ἐπὶ μικροῖς καταδικάζων, ὡς ἀκριβοδίκαιος (77) αὐτὸς ὑπάρχων· τοὺς ἐν παραπτώματι προσλαμβανόμενος, καὶ πνευματικῶς καταρτίζων αὐτούς, ὡς ὁ Ἀπόστολος παραινεῖ· *Σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς*· τοσαύτην ποιούμενος σπουδὴν μὴ δοξάζεσθαι παρὰ ἀνθρώποις, ὅσην ἕτεροι περὶ τοῦ δοξάζεσθαι, εἴ γε

A usque ætatem hominis absumpsere: sed post tantam humilitatem, gloriam tandem ostendit, ignominiæ socios in societatem gloriæ suæ admittens. Quorum primi sunt beati discipuli, qui pauperes et nudi orbem terrarum percurrerunt, non in sapientia sermonis, non cum sectatorum frequentia, soli, vagi ac desolati, terram ac mare peragrantes, flagris cæsi, lapidibus petiti, divexati, occisi denique. Hæc nobis sunt paterna documenta et divina. Hæc imitemur, ut nobis per humilitatem accedat gloria æterna, perfectum illud ac verum Christi donum.

7. Quomodo ergo ad salutarem humilitatem deveniemus, exitioso superbiæ tumore derelicto? Si B quid ejusmodi exercuerimus in omnibus, nec quidquam neglexerimus tanquam nullum inde damnum perpessuri. Anima enim studiis similis fit atque exercitationibus, et ad ea quæ efficit, formatur fingiturque. Tibi et habitus, et vestitus, et incessus, et sessio, et victus ratio et lecti apparatus, et domus, et omnis **162** ædium supellex instructa sit ad tenuitatem. Quin et sermo, et cantus, et congressus cum proximo, et hæc quoque ad modestiam magis quam ad fastum composita esse videantur. Ne mihi in sermone sophisticam jactantiam, aut in cantilenis nimiam vocis suavitatem, aut superbam ac gravem disceptandi rationem ostendas: sed fac reseces in omnibus amplitudinem atque magni- C ficentiam, officiosus in amicum, mitis erga famulum, patiens erga petulantes, humanus erga humiles, consolans afflictos, invisens dolore affectos, neminem omnino contemnens, suavis in compellando, hilaris in respondendo, comis, præbens omnibus facilem accessum, neque narrans laudes tuas, neque alios ad narrandum subornans, neque admittens inhonestum sermonem, eximias tuas dotes, quoad ejus fieri poterit, obtegens. Contra, ob peccata te ipse accusa [67]; et ne exspectes aliorum reprehensionem, ut justum initio sermonis seipsum accusantem imitere, ut Jobo similis sis [68], quem non puduit ejus quæ in civitate erat multitudinis: sed erratum suum coram ipsis evulgavit. Ne sis in objurgando gravis, neque cito, neque animo com- D moto redarguas (hoc enim resipit arrogantiam quamdam), neque ob res parvi momenti condemnes, tanquam si ipse perfecte justus exsistas. Complectere delinquentes, ac spiritualiter ipsos instaura, uti monet Apostolus: *Considerans teipsum, ne et tu tenteris* [69]. Tantum studii in eo ponito ut

[67] Prov. XVIII, 17. [68] Job XXXI, 34. [69] Galat. VI, 1.

(76) Utraque editio πάντα τῶν ἀπό. At Combefisiani codices πάντα τὸν ἀπό· quod ita interpretatur vir doctissimus Combefisius, *Sic, quæ sunt hominis transegit omnia ab ortu nativitatis in finem.* At Colb. primus πάντα τὰ ἀπό. Ad verbum, *Omnia quæ evenerunt ab ortu ad finem usque, hominem sic pertransierunt.* Hoc est, Christus homo sic in operibus humilibus totam vitam transegit.

(77) Illud, ὡς ἀκριβοδίκαιος, si mavis, ita interpretabere, *Velut summo jure agens atque inclementius.* Vox αὐτός in causa fuit, cur ita interpretati simus, *Tanquam si ipse perfecte justus exsistas* Nam vox αὐτός vix sinit, ut hic locus aliter verti possit. Quod mox sequitur, καταρτίζων αὐτούς, ita Latine reddi potest ex Vulgata, *instruens ipsos.*

ne apud homines gloria afficiare, quantum cæteri ut gloriam adipiscantur, si quidem memineris Christi, qui dicit mercedem apud Deum amitti, cum quis sponte claritatem apud homines atque splendorem sibi comparat, bonumque idcirco facit ut conspiciatur ab hominibus. *Recipiunt* enim, inquit, *mercedem suam* [70]. Itaque ne tibi ipse damnum afferas, claritatem volens apud homines obtinere. Quandoquidem Deus est spectator magnus, ambias gloriam consequi apud Deum: splendidam quippe mercedem retribuit. At adeptus es præclaram dignitatem, hominesque colunt te atque observant, et gloriam dant? Esto subditis similis, *Non velut dominium*, inquit, *in cleris exercens* [71], neque te geras more mundanorum principum. Nam qui vult primus esse, eum omnium servum esse Dominus jussit [72]. Sed, ut verbo dicam, persequere humilitatem ita, ut ejus amatorem decet. Ama illam, et gloria te afficiet. Sic iter es rite facturus ad veram gloriam, quæ est in angelis, et apud Deum. Confitebitur autem te Christus tanquam discipulum suum, coram angelis [73]; tibique dabit gloriam, si humilitatem imiteris ipsius, qui dixit: *Discite a me, quia mitis sum, et humilis corde, et invenietis requiem animabus vestris* [74]: cui gloria et imperium in sæcula sæculorum. Amen.

A μέμνησαι τοῦ Χριστοῦ, ζημίαν λέγοντος εἶναι τοῦ παρὰ Θεῷ μισθοῦ, τὴν ἑκούσιον παρὰ ἀνθρώποις ἐπιφάνειαν, καὶ τὸ ποιεῖν ἀγαθὸν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· *Ἀπέχουσι* γάρ, φησίν, *τὸν μισθὸν αὐτῶν*. Μὴ τοίνυν ζημίου σεαυτόν, ἐπὶ ἀνθρώπων φαίνεσθαι βουλόμενος. Ἐπειδὴ Θεὸς μέγας θεατής, φιλοδόξησον ἐπὶ Θεοῦ· λαμπρὸν γὰρ ἀποδίδωσι τὸν μισθόν. Ἀλλὰ προεδρίας ἠξιώθης, καὶ περιέπουσί σε ἄνθρωποι καὶ δοξάζουσι; Γίνου τοῖς ὑπηκόοις ἴσος, *Μὴ ὡς κατεξουσιάζων τῶν κλήρων*, φησί, μηδὲ κατὰ τοὺς κοσμικοὺς ἄρχοντας. Τὸν γὰρ θέλοντα πρῶτον εἶναι, δοῦλον εἶναι πάντων (78) ὁ Κύριος ἐκέλευσε. Καθόλου δὲ εἰπεῖν, οὕτω δίωξον τὴν ταπεινοφροσύνην, ὡς ἐραστὴς αὐτῆς. Ἐράσθητι αὐτῆς, καὶ δοξάσει σε. Οὕτω καλῶς ἐπὶ δόξαν ὁδεύσεις τὴν ἀληθῆ, τὴν ἐν ἀγγέ- B λοις, τὴν παρὰ Θεῷ. Ὁμολογήσει δέ σε Χριστὸς ὡς ἴδιον μαθητὴν ἐπὶ τῶν ἀγγέλων, καὶ δοξάσει σε, ἂν γένῃ τῆς ταπεινοφροσύνης αὐτοῦ μιμητής, τοῦ λέγοντος· *Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν*· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

163 HOMILIA XXI.

Quod rebus mundanis adhærendum non sit, et de incendio extra Ecclesiam facto.

1. Ego quidem, dilectissimi, putabam fore, ut, dum frequenter sermonis stimulos vehementius admoveo, vobis viderer molestus esse et morosus, tanquam qui nimiam quamdam dicendi libertatem ostendam, quæ neque hospitem deceat, neque virum similibus vitiis obnoxium: vos tamen fuistis reprehensionibus ad benevolentiam provocati, et plagas a lingua nostra inflictas fomitem majoris studii fecistis. Nec mirum quidquam est et insolens. Estis enim in rebus spiritus sapientes. *Argue autem sapientem, et diliget te* [75], inquit alicubi in suis scriptis Salomon. Quapropter, fratres, etiam nunc exhortatione eadem utor, volens vos, quoad ejus facere potero, a diaboli retibus abducere. Nam magnum ac varium bellum nobis, dilectissimi, quotidie infert hostis veritatis. Infert autem, uti scitis, dum cupiditates nostras jacula adversum nos efficit, semperque vires a nobis ad nos lædendos mutuatur. Quoniam enim magnam potentiæ illius partem indissolubilibus legibus Dominus colligavit, nec sivit ipsum impetu suo humanum genus e terra simul delere, jam invidus ille per nostram insipientiam a nobis furtim reportat victoriam. Et

ΟΜΙΛΙΑ ΚΑ'.

Περὶ τοῦ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς, καὶ περὶ τοῦ γενομένου ἐμπρησμοῦ (79) *ἔξωθεν τῆς Ἐκκλησίας.*

C 1. Ἐγὼ μὲν ᾤμην, ἀγαπητοί, σφοδρότερον ἑκάστοτε τοῦ λόγου τὸ κέντρον προσάγων, λυπηρός τις εἶναι δόξειν ὑμῖν, ὡς περιττήν τινα παῤῥησίαν ἐπιδεικνύμενος, καὶ οὔτε ξένῳ πρέπουσαν, οὔτε ἀνδρὶ κατειλημμένῳ παραπλησίοις ἐγκλήμασιν· ὑμεῖς δὲ ἐκ τῶν ἐλέγχων εἰς εὔνοιαν ἠρεθίσθητε (80), καὶ τὰς ἀπὸ τῆς γλώττης πληγὰς ὑπέκκαυμα πόθου πεποίησθε πλείονος. Καὶ οὐδὲν ξένον. Ἐστὲ γὰρ σοφοὶ τὰ τοῦ πνεύματος. *Ἔλεγχε δὲ σοφόν, καὶ ἀγαπήσει σε*, φησί που τῶν αὐτοῦ λόγων ὁ Σολομών. Διὰ τοῦτο, ἀδελφοί, καὶ νῦν ἐπὶ τὴν αὐτὴν ἥκω παραίνεσιν, ὅπηπερ ἂν οἷός τε ὦ, τῶν τοῦ διαβόλου δικτύων ὑμᾶς ἀπάγειν βουλόμενος. Πολὺν γάρ, ἀγαπητοί, καὶ ποικίλον ἐφ' ἡμέραν ἡμῖν ὁ τῆς ἀληθείας ἐχθρὸς D προσάγει τὸν πόλεμον. Προσάγει δέ, ὡς ἴστε, τὰς ἡμετέρας ἐπιθυμίας καθ' ἡμῶν βέλη ποιούμενος, καὶ παρ' ἡμῶν εἰς τὸ βλάπτειν ἡμᾶς ἀεὶ λαμβάνων ἰσχύν. Ἐπειδὴ γὰρ τὸ πολὺ τῆς ἐκείνου δυνάμεως ὁ Δεσπότης νόμοις ἀλύτοις κατέδησε, καὶ οὐκ εἴασεν εἰς ἅπαξ ὁρμήσαντα τὸ γένος ἐκτρῖψαι τῆς γῆς, κλέπτει τὴν καθ' ἡμῶν νίκην λοιπὸν ἐκ τῆς ἡμετέρας ἀνοίας ὁ βάσκανος. Καὶ καθάπερ οἱ πονηροὶ καὶ πλεονεκτικοὶ τῶν ἀνθρώπων, οἷς ἔργον μέν ἐστι καὶ προαί-

[70] Matth. VI, 2. [71] I Petr. V, 3. [72] Marc. X, 44. [73] Luc. XII, 8. [74] Matth. XI, 29. [75] Prov. IX, 8.

(78) Editi πάντων ἀνθρώπων. Vox ultima in antiquis libris deest.

(79) Editio Paris. ἐμπυρισμοῦ. At Colb. primus et Anglic. ἐμπρησμοῦ. Illud, καὶ περὶ τοῦ γενομένου, etc., in antiquis duobus libris desideratur.

(80) Ἠρεθίσθητε. Ediderat Garnerius, sine augmento, ἐρεθίσθητε, quod est forma imperativi. Nos indicativum, postulante sensu, restituimus. EDIT.

ρεσις ἐκ τῶν ἀλλοτρίων πλουτεῖν, δύναμις δὲ οὐ πάρεστιν ὥστε μετὰ παῤῥησίας βιάζεσθαι, ταῖς ὁδοῖς ἐφεδρεύειν εἰώθασι· καὶ εἰ ἴδωσί τι χωρίον περὶ αὐτὰς, ἢ φάραγξι βαθείαις διεῤῥωγὸς, ἢ φυτῶν πυκνότητι σύσκιον, εἰς τοῦτο καταδυόμενοι, καὶ τὴν ἐκ πολλοῦ πρόοψιν τῶν ὁδοιπορούντων τοιούτοις ὑποτεμνόμενοι προκαλύμμασιν, ἀθρόον ἐπιπηδῶσιν αὐτοῖς, ὥστε μὴ πρότερον δυνηθῆναί τινα τοὺς τοῦ κινδύνου βρόχους ἰδεῖν πρὶν εἰς τούτους πεσεῖν· οὕτως ὁ δυσμενὴς ἄνωθεν ἡμῖν καὶ πολέμιος τὰς τῶν κοσμικῶν τέρψεων ὑποτρέχων σκιὰς, αἳ περὶ τὴν ὁδὸν τοῦ βίου τούτου πεφύκασι δειναὶ κρύψαι λῃστὴν, καὶ τὸν ἐπιβουλεύοντα ποιῆσαι λαθεῖν, ἐντεῦθεν ἀπροόπτως τὰς τῆς ἀπωλείας ὑποσπείρει παγίδας ἡμῖν. Δεῖ τοίνυν ἡμᾶς, εἴπερ ἐθέλοιμεν (81) ἀσφαλῶς τὴν ὑποκειμένην ὁδὸν τοῦ βίου διαδραμεῖν, καὶ παραστῆσαι Χριστῷ τὴν ψυχήν τε ὁμοῦ καὶ τὸ σῶμα τῆς ἐκ τῶν τραυμάτων αἰσχύνης ἐλεύθερα, καὶ τοὺς ἐπὶ τῇ νίκῃ στεφάνους λαβεῖν, ἐγρηγορότας περιάγειν ἀεὶ πανταχόσε τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς καὶ πάντα ὑποπτεύειν ὅσα τερπνὰ, καὶ παρατρέχειν εὐθὺς, καὶ μηδενὶ προσερείδειν τὴν ἔννοιαν, μηδὲ εἰ χρυσὸς φαίνοιτο χύδην προκείμενος, ἕτοιμος εἰς τὰς τῶν βουλομένων χεῖρας ἐλθεῖν (*Πλοῦτος* γὰρ, φησὶν, *ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίᾳ* [82])· μηδὲ εἰ γῆ βλαστάνουσα πᾶσαν τρυφὴν, καὶ πολυτελεῖς δεικνύουσα σκηνὰς (*Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανῷ, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Χριστόν*)· μηδὲ εἰ χορεῖαι, καὶ κῶμοι, καὶ μέθαι, καὶ καταυλούμεναι τράπεζαι (*Ματαιότης* γὰρ, φησὶν, *ματαιοτήτων, τὰ πάντα ματαιότης*)· μηδὲ εἰ σωμάτων κάλλη προτείνοιτο, παρὰ πονηρῶν ψυχῶν ἐνοικούμενα (*Ἀπὸ προσώπου γὰρ γυναικὸς ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε* (83), φησὶν ὁ Σοφός)· μηδὲ εἰ δυναστεῖαι καὶ τυραννίδες, καὶ δορυφόρων ἢ κολάκων ἑσμοί· μηδὲ εἰ θρόνος ὑψηλὸς καὶ λαμπρὸς, ὑποζεύξας ἔθνη καὶ πόλεις εἰς δουλείαν ἑκούσιον (*Πᾶσα γὰρ σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε*). Τούτοις γὰρ δὴ πᾶσι τοῖς οὕτω τερπνοῖς ὁ κοινὸς ὑποκάθηται δυσμενὴς, ἀναμένων εἴ ποτε (84), τοῖς ὁρωμένοις δελεασθέντες, τῆς μὲν εὐθείας ἐκτραπῶμεν ὁδοῦ, πρὸς δὲ τὸν ἐκείνου λόχον ἑαυτοὺς ἀποκλίνωμεν. Καὶ δέος πολὺ μή ποτε, προσδραμόντες ἀφυλάκτως αὐτοῖς, καὶ τὴν ἐκ τῆς ἀπολαύσεως τέρψιν οὐδὲν ἡγησάμενοι βλαβερὸν, ἐγκεκρυμμένον τῇ πρώτῃ γεύσει τὸ τοῦ δόλου καταπίωμεν ἄγκιστρον· εἶτα ὑπὸ τούτου τὰ μὲν ἑκόντες, τὰ δὲ ἄκοντες, προσδεθῶμεν αὐτοῖς, καὶ πρὸς τὸ φοβερὸν τοῦ λῃστοῦ καταγώγιον τὸν θάνατον λάθωμεν ἑλκυσθέντες ὑπὸ τῶν ἡδονῶν.

A quemadmodum improbi homines atque avari, quorum opera ac propositum est ex alienis ditescere, sed quibus non suppetit potentia ut violentiam apertam exerceant, vias insidiose occupare solent, et si viderint in eis locum quempiam, aut vallibus profundis diffractum, aut arborum densitate umbrosum, eo recipientes se, et longe ante ejusmodi tegumentis, quominus viatores prævideant, impedientes, confertim et ex improviso in illos insiliunt, ne quisquam periculi laqueos priusquam in illos inciderit, possit videre : sic ille qui nobis ab initio infensus est et hostis, voluptatum mundanarum umbras subiens, quæ in hujus vitæ via ad occultandum prædonem et ad dandas insidiatori latebras idoneæ esse solent, inde inopinato interitus
B laqueos nobis subjicit. Itaque si modo velimus substratam vitæ viam tuto percurrere, atque animam simul et corpus vulnerum turpitudine immunia offerre Christo, coronasque ob victoriam accipere, oportet nos animi oculos semper undecunque vigilantes circumagere, et res omnes jucundas habere suspectas, ac statim præterire, et ad nullam animum appellere, ne si aurum quidem videatur fuse sparsum, quod in cupientium manus venire paratum sit (*Divitiæ* enim, inquit, *si affluant, nolite cor apponere* [76]) ; neque si proferat terra delicias omnes ac sumptuosa tabernacula (nam *Nostra conversatio in cœlo est, unde etiam Salvatorem* 164
exspectamus Christum [77]) ; neque si choreæ, et comessationes, et ebrietates, et mensæ tibiarum mo-
C dulis resonantes proponantur (*Vanitas* enim, inquit, *vanitatum, omnia vanitas* [78]) ; neque si offerantur corpora formosa, in quibus animæ pravæ inhabitent (*A facie* enim *mulieris velut a facie serpentis fuge*, inquit Sapiens [79]) ; neque si potentatus dominatusque, ac satellitum aut adulatorum turmas exspectare liceat, neque si promittatur altus thronus atque splendidus, gentes ac civitates voluntariæ servituti subjiciens (*Omnis* enim *caro fenum, et omnis gloria hominis quasi flos feni ; aruit fenum, et flos cecidit* [80]). Etenim sub his omnibus adeo jucundis communis ille hostis latitat, exspectans num quando rebus conspectis illecti, via recta derelicta, nos ipsos in illius insidias conjicia-
D mus. Quin etiam metuendum valde est, nequando ad hæc incaute accurrentes, nihilque noxii in fruenda illa jucunditate inesse rati, doli hamum deglutiamus in primo gustu occultatum : deinde, ne ab hoc tracti, partim libentes, partim inviti his rebus alligemur, inscientesque a voluptatibus ad horrendum latronis hospitium trahamur, ad mortem scilicet.

[76] Psal. LXI, 11. [77] Philip. III, 20. [78] Eccle. I, 2. [79] Eccli. XXI, 2. [80] Isa. XL, 6, 7.

(81) Veteres duo libri ἐθέλομεν. Alius ἐθέλωμεν. Alius cum vulgatis ἐθέλοιμεν. Aliquanto post unus codex et editi ἐπὶ τῇ νίκῃ. Alii tres mss. ἐπὶ τῆς νίκης.

(82) Editi et duo mss. καρδίᾳ. Codex unus καρδίαν. Mox Reg. primus τρυφὴν καὶ ἀπόλαυσιν, καὶ πολυτελεῖς.... ἐν οὐρανοῖς ὑπάρχει.

(83) Apud LXX paulo aliter legitur Eccle. XXI, 2 : ὡς ἀπὸ προσώπου ὄφεως, φεῦγε ἀπὸ ἁμαρτίας, *tanquam a facie colubri, fuge a peccato :* a qua interpretatione non recedit Vulgata.

(84) Editio Paris. ἀναμένων εἰ πότε. Vocula εἰ neque in editione Basil. neque in nostris quatuor mss. invenitur.

2. Quare necessarium est et utile omnibus, fratres, nos more viatorum aut cursorum succinctos, et undelibet levitatem animabus nostris ad cursum hunc perficiendum conciliantes, ad viæ finem recta festinare. Nec quisquam fingere me nomina nova suspicetur, quod humanam vitam viam nunc vocavi; cum et David propheta sic vitam nominaverit: qui nunc quidem alicubi ita dicit, *Beati immaculati in via, qui ambulant in lege Domini* [81] : nunc vero ad Dominum suum clamat, *Viam iniquitatis amove a me, et lege tua miserere mei* [82]. Rursus alicubi Dei adversum eos qui sibi infesti erant, celerem opem collaudans et ad lyram hilare aptans, dicebat : *Et quis Deus præter Deum nostrum? Deus qui præcingit me virtute, et posuit immaculatam viam meam* [83] : ratus, nec immerito, vitam quam homines ubicunque terrarum degunt, sive egregiam, sive pravam, ita esse appellandam. Quemadmodum enim qui aliquod iter haud remisse susceptum conficiunt, gressus pedum ad cursum peragendum certatim ulterius promoventes, jugiterque gressum humi prius fixum veloci alterius translatione posteriorem reddentes, pertingunt facile ad viæ finem : ita qui in vitam a conditore introducti sunt, statim in ipso initio particulas temporis ingredientes, ac priorem semper posteriorem relinquentes, ad vitæ terminum perveniunt. Annon etiam præsens vita vobis videtur continua quædam et porrecta via esse, et iter ætatibus quasi quibusdam mansionibus interstinctum? quod ut profectionis initium partum maternum unicuique exhibet, ita cursus finem tentoria sepulcrorum ostendit, atque huc omnes conducit, alios citius, serius alios, et hos quidem per omnia temporis intervalla profectos, illos vero ne in primis quidem vitæ stationibus commoratos. Et alias quidem vias quæ ex urbe ad urbem ducunt, licet declinare, et per eas non **165** proficisci, si quis ita volet : hæc vero, etiamsi nos differre cursum voluerimus, eos qui in se incedunt viatores violenter apprehensos ad destinatam a Domino metam trahit; nec fieri potest, dilectissimi, ut is qui semel extra portam ad hanc vitam deducentem egressus est, idque iter inivit, non etiam ad illius terminum perveniat : sed unusquisque nostrum ubi e materno sinu exivit, statim temporis fluento illigatus rapitur, semper a tergo diem quam vixit relinquens, nec unquam ad hesternam, etiamsi velit, reverti valens. Nos autem lætamur cum progredimur ulterius, et permutata ætate quasi nonnihil acquirentes, gaudemus; ac beatum quiddam ducimus, cum quis ex puero vir, et ex viro senex factus est. Sed fugit nos tantum vitæ

A 2. Ὥστε ἀναγκαῖον καὶ λυσιτελὲς ἅπασιν, ἀδελφοὶ, καθάπερ ὁδοιπόρους ἢ δρομέας στειλαμένους ἡμᾶς, καὶ πανταχόθεν τὸ κοῦφον ταῖς ψυχαῖς πρὸς τὸν δρόμον τοῦτον ἐπινοήσαντας, ἀμεταστρέπτως (85) ἐπὶ τὸ τῆς ὁδοῦ πέρας ἐπείγεσθαι. Καί με μηδεὶς ὑπολάβοι καινῶν ὀνομάτων γίνεσθαι ποιητὴν, ὅτι τὴν ἀνθρωπίνην ζωὴν ὁδὸν ἐκάλεσα νῦν, ἐπεὶ καὶ Δαβὶδ ὁ προφήτης οὕτω τὸν βίον ὠνόμασε· νῦν μὲν ὧδέ πη λέγων· *Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου*· νῦν δὲ πρὸς τὸν ἑαυτοῦ Δεσπότην βοῶν· *Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.* Ποτὲ δὲ ὑμνῶν τὴν ὀξεῖαν τοῦ Θεοῦ κατὰ τῶν ἐπηρεαζόντων βοήθειαν, καὶ τῇ λύρᾳ προσάγων (86) μεθ' ἡδονῆς, *Καὶ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;* ἔλεγεν· *Ὁ Θεὸς ὁ*
B *περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου*· πανταχοῦ τὴν ἐπὶ γῆς τῶν ἀνθρώπων διατριβὴν, ἢ θαυμαζομένην ἢ φαύλην, οὕτω δεῖν προσαγορεύειν ἡγούμενος εἰκότως. Ὥσπερ γὰρ οἵ τινα συντεταμένην πορείαν ἀνύοντες, ἐπὶ τὰ πρόσω τὰς τῶν ποδῶν βάσεις ἁμιλλωμένας ἀλλήλαις εἰς δρόμον ἀμείβοντες, καὶ τὴν ἀεὶ προτέραν ἐπὶ τῆς γῆς ἐρεισθεῖσαν δευτέραν ἀποδεικνύντες τῇ ταχείᾳ μεταθέσει τῆς ἄλλης, ῥᾳδίως ἐπὶ τὸ τῆς ὁδοῦ τέρμα χωροῦσιν· οὕτως οἱ πρὸς τὸ ζῆν παραχθέντες ὑπὸ τοῦ κτίσαντος, εὐθὺς ἐν ἀρχῇ τοῖς τοῦ χρόνου τμήμασιν ἐπεμβαίνοντες, καὶ τὸ πρότερον ἀεὶ καταλιμπάνοντες ὕστερον, ἐπὶ τὸ πέρας φθάνουσι τῆς ζωῆς. Ἢ οὐχὶ καὶ ὑμῖν δοκεῖ συνεχής τις ὁδὸς ὑφηπλῶσθαι
C ἡ παροῦσα ζωὴ, καὶ πορεία διειλημμένη ταῖς ἡλικίαις καθάπερ σταθμοῖς, ἀρχὴν μὲν ἑκάστῳ τῆς ὁδοιπορίας παρέχουσα τὰς τῶν μητρῴων ὠδῖνας, τέρμα δὲ ὑποδεικνῦσα τοῦ δρόμου τὰς τῶν τάφων σκηνὰς, καὶ πρὸς ἐκείνας ἅπαντας ἄγουσα, τοὺς μὲν θᾶττον, τοὺς δὲ βραδύτερον, καὶ τοὺς μὲν διὰ πάντων τῶν τοῦ χρόνου διαστημάτων ὁδεύσαντας, τοὺς δὲ οὐδὲ τοῖς πρώτοις ἐναυλισθέντας τοῦ βίου σταθμοῖς; Τὰς μὲν οὖν ἄλλας ὁδοὺς, ὅσαι πρὸς πόλιν ἐκ πόλεως ἄγουσιν, ἔστιν ἐκκλῖναι, καὶ μὴ ὁδεῦσαι τὸν μὴ βουλόμενον· αὕτη δὲ, κἂν ἡμεῖς ἀναβάλλεσθαι βουληθῶμεν τὸν δρόμον, περιλαβοῦσα πρὸς βίαν, ἐπὶ τὸ τεταγμένον ὑπὸ τοῦ Δεσπότου πέρας ἕλκει τοὺς ἐπ' αὐτῆς· καὶ οὐκ ἔστιν, ἀγαπητοὶ, τὸν ἅπαξ ὑπεκδραμόντα τὴν ἐπὶ τόνδε τὸν βίον φέρουσαν πύλην,
D καὶ τῆς ὁδοῦ ταύτης ἐπιβάντα, μὴ καὶ πρὸς τὸ τέλος ταύτης ἐλθεῖν· ἕκαστος δὲ ἡμῶν, μετὰ τὸ (87) τοὺς μητρῴους κόλπους ἀποφυγεῖν, εὐθὺς τοῖς τοῦ χρόνου ῥεύμασιν ἐνδεθεὶς ὑποσύρεται, κατόπιν ἀεὶ τὴν βεβιωμένην ἡμέραν ἐῶν, καὶ πρὸς τὴν χθὲς ἐπανελθεῖν οὐδέποτε, κἂν θελήσοι, δυνάμενος. Ἡμεῖς δὲ ἡδόμεθα μὲν ἐπὶ τὰ πρόσω φερόμενοι, καὶ τὰς ἡλικίας ἀμείβοντες, ὥς τι προσλαμβάνοντες, χαίρομεν· καὶ μακάριον κρίνομεν, ὅταν ἐκ παιδὸς μὲν ἀνὴρ, ἐκ

[81] Psal. CXVIII, 1. [82] ibid. 29. [83] Psal. XVII, 32, 33.

(85) Unus ms. ἀμετατρέπτως. Mox mss. duo ὑπολάβῃ. Alius cum editis ὑπολάβοι.

(86) Editio Paris. λύρᾳ προσᾴδων, *ad lyram canens, lyra canens.* At editio Basil. et nostri quatuor mss, προσάγων *ad lyram aptans. componens.* Ibidem editio Paris. ἢ τίς. Editi et mss. quatuor καὶ τίς

(87) Editi μετὰ τοῦ. Libri antiqui μετὰ τό.

δὲ ἀνδρὸς γένηταί τις πρεσβύτης· ἀγνοοῦμεν δὲ ἄρα, τοσοῦτον ἀπολλύντες ἑκάστοτε τῆς ζωῆς, ὅσον ἐζήσαμεν, καὶ οὐκ αἰσθανόμεθα δαπανωμένου τοῦ βίου, καίτοιγε ἀεὶ μετροῦντες αὐτὸν ἀπὸ τοῦ παραδραμόντος καὶ παραῤῥεύσαντος, οὐδὲ ἐννοοῦμεν, ὡς ἄρα ἄδηλον ὁπόσον ὁ πρὸς τὴν ὁδοιπορίαν ταύτην ἐκπέμψας ἡμᾶς ἐνδοῦναι τῷ δρόμῳ χρόνον βουλήσεται, καὶ πότε ἑκάστῳ τῶν δρομέων ἀνοίξει τῆς εἰσόδου τὰς πύλας, καὶ ὅτι δεῖ παρεσκευασμένους ἐφ' ἡμέραν εἶναι πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν ἡμᾶς, καὶ τὸ τοῦ Δεσπότου νεῦμα περιμένειν ἑστῶσι τοῖς ὀφθαλμοῖς. *Ἔστωσαν* γάρ, φησίν, *αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι· καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα, ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ.*

3. Οὐδὲ ἐθέλομεν σκοπεῖν ἀκριβῶς, ποῖα μὲν κοῦφα φορτία πρὸς τὸν τοιοῦτον δρόμον ἡμῖν καὶ συμμεθίστασθαι δύναται τοῖς συλλέξασι, καὶ τὸν ἐκεῖ περιχαρῆ ποιεῖ βίον ἡμῖν, ἴδια (88) τῶν κτησαμένων γινόμενα· ποῖα δὲ βαρέα καὶ δυσχερῆ καὶ προσηλωμένα τῇ γῇ, καὶ οὐ πεφυκότα τοῖς ἀνθρώποις οἰκειοῦσθαι καθάπαξ, οὐδὲ συγχωρούμενα διὰ τῆς στενῆς ἐκείνης πύλης ἀκολουθῆσαι τοῖς ἔχουσιν. Ἀλλ' ὅσα μὲν συλλέγειν ἐχρῆν, κατελίπομεν· ὧν δὲ ὑπεροροᾷν προσήκει, ταῦτα συλλέγομεν· καὶ ἃ μὲν ἡμῖν ἑνωθῆναι, καὶ κόσμος ὄντως γενέσθαι δύναται συμφυὴς ψυχῇ τε καὶ σώματι, τούτοις οὐδὲ προσέχομεν· ἃ δὲ ἀλλότρια μένει διηνεκῶς, μόνην ἡμῖν ἐναποματτόμενα τὴν αἰσχύνην, ταῦτα ἀθροίζειν ἐπιχειροῦμεν, μοχθοῦντες διακενῆς, καὶ πονοῦντες πόνον, οἱονεί τις ἑαυτὸν ἀπατῶν, εἰς τετρημένον πίθον ἀντλεῖν ἐθελήσειε. Τοῦτο γὰρ δήπου γνώριμον οἶμαι καὶ νηπίοις πᾶσιν, ὡς οὐδὲν τῶν ἐν τῷ βίῳ (89) τερπνῶν, ἐφ' οἷς οἱ πλείους μεμήνασιν, ἡμέτερον ὄντως ἐστὶν, ἢ γίνεσθαι πέφυκεν· ἀλλ' ὁμοίως ἁπάντων ἀλλότρια φαίνεται, τῶν τε ἀπολαύειν δοκούντων, τῶν τε οὔτε προσπελαζόντων αὐτοῖς. Οὐδὲ γὰρ εἰ χρυσόν τινες ἐν τῷ βίῳ συναγάγοιεν ἄπλετον, ἴδιος αὐτῶν μένει διηνεκῶς· ἀλλ' ἢ ζῶντας ἔτι πανταχόθεν αὐτὸν περισφίγγοντας ἀποδιδράσκει, πρὸς τοὺς δυνατωτέρους μεταῤῥυεὶς, ἢ πρὸς τῷ θανάτῳ γεγενημένους ἤδη καταλιμπάνει, καὶ οὐκ ἐθέλει τοῖς κτησαμένοις συνεκδημεῖν. Ἀλλ' οἱ μὲν ὑπὸ τοῦ πρὸς βίαν χωρίζοντος τὰς ψυχὰς τῆς ταλαιπώρου ταύτης σαρκὸς ἑλκόμενοι πρὸς τὴν ἀναγκαίαν ὁδὸν, πυκνὰ μεταστρεφόμενοι πρὸς τὰ χρήματα, τοὺς ἐκ νεότητος ἐπ' αὐτοῖς ἱδρῶτας ἀποδακρύουσιν· ὁ πλοῦτος δὲ εἰς ἑτέρων χεῖρας ὁρᾷ, μόνον ἐκείνοις τὸν ἐπὶ τῇ συλλογῇ μόχθον καὶ τὸ τῆς πλεονεξίας ἔγκλημα προστριψάμενος. Οὔτε εἰ ἐπὶ (90) γῆς πλέθρα κτήσαιτό τις μυρία, καὶ μεγαλοπρεπεῖς οἰκίας, καὶ ζώων ἀγέλας παντοδαπῶν, καὶ τὴν ἐν ἀνθρώποις ἅπασαν περιβάλοιτο δυναστείαν, ἀπολαύει

A spatium a nobis amitti, quantum viximus, sicque inscientibus nobis vita absumitur, quanquam semper ipsam ex eo quod ante actum est, quodque jam præterfluxit, metiamur: neque cogitamus quam incertum sit, quantum nobis temporis ad hunc cursum impertire velit qui nos ad hoc iter perficiendum misit, et quando cuilibet cursori sit introitus portas aperturus, et quod oporteat nos quotidie ad profectionem hinc faciendam præparatos esse, et Domini nutum oculis fixis exspectare. *Sint* enim, inquit, *lumbi vestri præcincti, et lucernæ ardentes: et vos similes hominibus exspectantibus dominum suum, quando revertatur a nuptiis, ut, cum venerit, et pulsaverit, confestim aperiant ei*[8*].

B

3. Neque diligenter considerare volumus, quæ sarcinæ leves sint nobis ad hunc cursum, et tales, ut cum colligentibus transferri possint, reddantque, cum possidentium sint propriæ, futuram vitam perquam hilarem: quæ vero graves sint et molestæ, atque humi defixæ, et ejusmodi, ut suapte natura hominum propriæ nunquam esse possint, nec possessores suos per angustam illam portam subsequi permittantur. Sed tamen reliquimus quæ colligenda erant: quæ vero contemnere par fuerat, collegimus. Et quæ nobiscum copulari, vereque esse possunt ornamentum animæ simul et corpori conveniens, his ne attendimus quidem:

C quæ vero perpetuo aliena manent, solam nobis infamiam inurentia, ea coacervare nitimur; inanem operam sumentes, atque ejusmodi suscipientes laborem, perinde ut si quispiam se ipsum seducens, in pertusum dolium infundere voluerit. Notum enim ac perspectum vel pueris omnibus esse opinor, nihil eorum quæ in vita jucunda sunt, et quorum gratia plerique insaniunt, vere nostrum esse, aut ex se esse posse: sed constare, ipsa omnibus pariter extranea esse, tum iis qui eis frui videntur, tum iis qui ne illa quidem attingunt. Nec enim si qui in vita plurimum auri congesserint, id ipsorum proprium perpetuo manet: sed etsi undecunque constrictum, aut fugit a viventibus adhuc, transiens ad potentiores, aut jam mor-

D ti proximos deserit, nec vult **166** una cum iis qui ipsum compararunt, peregre proficisci. Sed hi quidem ab eo, qui vi animas a misera hac carne separat, ad ineluctabilem migrationem tracti, frequenter convertentes se ad pecunias, sudores quos a juventute ob eas emisere, deplorant: divitiæ vero in alienas manus commigrant, posteaquam solum illis colligendi laborem atque avaritiæ crimen adsciverint. Neque si quis innumera terræ jugera

[8*] Luc. XII, 35, 36.

(88) Hic virtutes ac recte facta intelliguntur, quæ propria sunt pietatem colentium.

(89) Edit. βίῳ τούτῳ. Vox ultima in veteribus libris non legitur.

(90) Voculam ἐπί ex antiquis libris addidimus.

possideat, et magnificas ædes, et animantium greges omnis generis, fueritque humano omni potentatu septus, his perpetuo fruitur, sed ab ipsis ad breve tempus accepto nomine, aliis iterum opes cedit, ipsum vero exigua tellus recondit. Imo etiam sæpe ante sepulturam, et antequam hinc discedat, videbit sua bona ad alios, eosque fortasse inimicos, transire. An ignoramus quam multi agri, quam multæ ædes, quam multæ gentes ac civitates, etiam adhuc viventibus qui ea possederant, aliorum dominorum nomina prioribus exutis induerint? et quemadmodum ii qui olim servituti addicebantur, conscenderint principatus thronum, qui vero domini herique vocabantur, si cum subditis sederint, bene secum actum arbitrati sint, ac succubuerint suis ipsorum servis, rebus, velut in tesserarum circumactu, derepente transmutatis?

A δι' αἰῶνος αὐτῶν· ἐπ' ὀλίγον δὲ ἀπὸ τούτων ὀνομασθεὶς, ἄλλοις πάλιν τῆς εὐπορίας ἐκστήσεται, βραχεῖαν γῆν αὐτὸς ὑποδύς, πολλάκις δὲ καὶ πρὸ τοῦ τάφου, καὶ πρὸ τῆς ἐντεῦθεν ἀπαναστάσεως, εἰς ἑτέρους, καὶ πολεμίους τυχὸν, τὴν εὐπραγίαν ὄψεται μεταβαίνουσαν. Ἢ οὐχ ἴσμεν ὁπόσοι μὲν ἀγροὶ, πόσαι δὲ οἰκίαι, πόσα δὲ ἔθνη καὶ πόλεις, καὶ ζώντων ἔτι τῶν κτησαμένων, ἑτέρων ὀνόματα μετημφιάσαντο δεσποτῶν; καὶ ὡς οἱ μὲν πάλαι δουλεύοντες ἐπὶ τὸν τῆς ἀρχῆς θρόνον ἀνέβησαν, οἱ δὲ κύριοι καὶ δεσπόται καλούμενοι στῆναι μετὰ τῶν ἀρχομένων ἠγάπησαν, καὶ τοῖς ἑαυτῶν δούλοις ὑπέκυψαν, ὥσπερ ἐν κύβων περιτροπαῖς, μεταχθέντων (91) ἄφνω τῶν πραγμάτων αὐτοῖς;

4. Jam vero ea quæ nobis ad cibum ac potum excogitata sunt, et quidquid petulantes divitiæ ultra necessitatem ad ingrati nihilque continentis ventris obsequium adinvenere, quando nostra sunt, etiamsi perpetuo infunduntur? Quæ ubi gustum in transitu duntaxat modica quadam voluptate affecerint, mox tanquam molesta ac superflua ægre ferimus, festinanterque foras ejicimus, ut in summum vitæ discrimen venientes, si in visceribus diu permanerent. Mortem enim non paucis intulit satietas, fuitque in causa, cur nihil amplius degustarent. Lasciva denique cubilia, impurique complexus, et omnia rabiosæ atque insanientis animæ opera, nonne naturæ sunt detrimentum plane evidens, et pernicies clara, et dotum quæ cuique vere propriæ sunt abalienatio ac imminutio, cum corpus tenuetur in complexibus, et alimento congruentissimo atque ad conservanda membra accommodatissimo spolietur? Itaque unumquemque illorum qui cubilibus impudicis volutantur, statim post facinus, cum œstrum elanguit carnis, mensque, detestabili fine obtento eorum quæ tentavit, recolligit sese tanquam ex ebrietate aut tempestate quadam, et, ubinam sit, considerandi otium nacta est, incontinentiæ suæ valde admodum pœnitet. Sentit enim corpus et imbecillius factum esse, et ad munera necessaria obeunda pigrum ac prorsus debile. Hoc igitur cum ipsi quoque pædotribæ intelligerent, continentiæ legem in palæstris sanxerunt, adolescentium corpora a voluptatibus tuta servantem, eisque certantibus ne aspicere quidem elegantes formas permittentem, si vellent capita sua coronis exornare, quod incontinentia risum in luctatione afferat, non coronam.

4. Τά γε μὴν εἰς βρῶσιν ἡμῖν ἐπινενοημένα καὶ B πόσιν, καὶ πάντα, ὅσα πέρα τῆς χρείας ὁ πλοῦτος ὑβρίζων ἐμηχανήσατο πρὸς θεραπείαν τῆς ἀχαρίστου καὶ μηδὲν στεγούσης γαστρὸς, πότ' ἂν ἡμέτερα γένοιτο, κἂν ἐπαντλῆται διηνεκῶς; Ἅ γε μικράν τινα τῇ γεύσει μόνον ἐναποθέμενα κατὰ τὴν πάροδον ἡδονὴν, εὐθὺς ὡς ὀχληρὰ καὶ περιττὰ δυσχεραίνομεν, καὶ μετὰ σπουδῆς ἔξω ποι βάλλομεν, ὡς εἰ τοῖς σπλάγχνοις ἐγχρονίσοι, τὰ μέγιστα περὶ τοῦ ζῆν κινδυνεύσοντες (92). Πολλοῖς γοῦν ὁ κόρος ἤγαγε θάνατον, καὶ τοῦ μηδενὸς ἀπολαύειν ἔτι γεγένηται πρόξενος. Κοῖται δὲ ἀσελγεῖς, καὶ βέβηλοι συμπλοκαὶ, καὶ πάντα ὅσα λυττώσης ἔργα καὶ παραφόρου ψυχῆς, οὐχὶ πρόδηλος πάντη (93) ζημία τῇ φύσει, καὶ C βλάβη περιφανὴς, καὶ τῶν ἰδίων ὄντως ἑκάστου μᾶλλον ἀλλοτρίωσίς τε καὶ μείωσις, ἐλαττουμένου τοῦ σώματος ἐν ταῖς μίξεσι, καὶ τῆς γνησιωτάτης καὶ συνεκτικωτάτης τῶν μελῶν ἀποσυλωμένου τροφῆς; Τοιγαροῦν ἑκάστου τῶν ταῖς ἀσελγέσιν ἐγκαλινδηθέντων εὐναῖς, μετὰ τὴν πρᾶξιν εὐθὺς, ὅταν ὁ μὲν τῆς σαρκὸς οἶστρος ἀπομαρανθῇ, πρὸς τὸ βδελυρὸν δὲ ὧν ἐνεχείρησε πέρας ἐλθὼν ὁ νοῦς, ὥσπερ ἐκ μέθης ἢ χειμῶνός τινος, τοῦ λογίσασθαι, ποῖ ποτέ ἐστι, λάβοι σχολὴν, σφοδρός τις εἰσέρχεται τῆς ἀκρασίας μετάμελος. Ἀδρανεστέρου τε γὰρ αἰσθάνεται γεγενημένου τοῦ σώματος, καὶ πρὸς τὴν τῶν ἀναγκαίων ἐργασίαν νωθροῦ, καὶ παντάπασιν ἀσθενοῦς. Τοῦτο δὴ ἄρα καὶ τοῖς παιδοτρίβαις κατανοήσασιν ὁ τῆς D σωφροσύνης ἐν ταῖς παλαίστραις γέγραπται νόμος (94), ἄσυλα παρὰ τῶν ἡδονῶν τοῖς νεανίσκοις φυλάττων τὰ σώματα, καὶ οὐκ ἐπιτρέπων ἀγωνιζομένοις αὐτοῖς, οὐδὲ ὅσον προσβλέψαι ταῖς λαμπούσαις μορφαῖς, εἴγε ἐθέλοιεν στεφανωθῆναι τὴν κεφαλὴν, ὡς τῆς ἀκρασίας γέλωτα ἀγούσης ἐν τῷ παλαίειν, οὐ στέφανον.

5. Hæc quidem tanquam aliena omnino atque inania, et quæ nullius propria esse possint, operæ pretium est clausis oculis prætenire: eorum vero quæ vere nostra sunt, convenit **167** curam mul-

5. Ταῦτα μὲν ὡς ἀλλότρια πάντη καὶ περιττὰ, καὶ οὐδενὸς ἴδια γενέσθαι δυνάμενα, παρατρέχειν καλὸν, τοὺς ὀφθαλμοὺς ἐπιμύσαντας· τῶν δὲ ὄντως ἡμετέρων πρόνοιαν προσήκει ποιεῖσθαι πολλήν. Τί δὲ ὄντως

(91) Reg. primus περιτροπαῖς μετατεθέντων.
(92) Antiqui tres libri κινδυνεύοντες. At Reg. secundus et editi κινδυνεύσοντες. Mox. Colb. primus Κοῖται δὲ καί.
(93) Editi παντί. At mss. πάντη.
(94) Lege Ducæum in illud, γέγραπται νόμος.

ἡμέτερον; Ψυχή τε, ᾗ ζῶμεν, λεπτή τις οὖσα καὶ νοερὰ, καὶ οὐδὲν δεομένη τῶν βαρυνόντων· καὶ σῶμα, τὸ ταύτῃ δοθὲν ὄχημα πρὸς τὸν βίον παρὰ τοῦ κτίσαντος. Τοῦτο γὰρ ἄνθρωπος· νοῦς ἐνδεδεμένος προσφόρῳ καὶ πρεπούσῃ σαρκί. Τοῦτο ὑπὸ τοῦ πανσόφου τεχνίτου τῶν ὅλων ἐν τοῖς μητρῴοις ἡμῶν πλάττεται κόλποις. Τοῦτο εἰς φῶς ἐκ τῶν σκοτεινῶν ἐκείνων θαλάμων ὁ τῶν ὠδίνων ἄγει καιρός. Τοῦτο ἄρχειν ἐτάχθη τῶν ἐπὶ γῆς. Τούτῳ γυμνάσιον ἀρετῆς ἡ κτίσις ὑφήπλωται. Τούτῳ κεῖται νόμος, μιμεῖσθαι τὸν πλάστην εἰς δύναμιν, καὶ τὴν ἐν οὐρανοῖς εὐταξίαν σκιαγραφεῖν ἐπὶ γῆς. Τοῦτο, ἐντεῦθεν καλούμενον, ἀπανίσταται. Τοῦτο τῷ τοῦ πέμψαντος Θεοῦ παρίσταται βήματι. Τοῦτο εὐθύνεται· τοῦτο δέχεται τὴν τῶν ἐνταῦθα πεπολιτευμένων ἀντίδοσιν. Καὶ τὰς ἀρετὰς δὲ ἡμέτερα κτήματα γινόμενα εὕροι τις ἂν, ὅταν ἐξ ἐπιμελείας συνυφανθῶσι τῇ φύσει· καὶ οὔτε ἐπὶ γῆς μοχθοῦντας ἡμᾶς ἀπολιμπάνειν ἐθέλουσιν, ἢν μὴ πρὸς βίαν αὐτὰς ἑκόντες ἀποδιώξωμεν ταῖς τῶν χειρόνων ἐπαγωγαῖς· ἐκεῖσέ τε ἐπειγομένων προτρέχουσι, καὶ τοῖς ἀγγέλοις τὸν κτησάμενον (95) συντάττουσι, καὶ λάμπουσι δι' αἰῶνος ὑπὸ τοῖς τοῦ κτίσαντος ὀφθαλμοῖς. Πλοῦτος δὲ, καὶ δυναστεία, καὶ περιφάνεια, καὶ τρυφὴ, καὶ πᾶς ὁ τοιοῦτος ὄχλος, ὁ καθ' ἡμέραν ἐκ τῆς ἡμετέρας ἀνοίας αὐξανόμενος, οὔτε συμπροῆλθε πρὸς τὸν βίον ἡμῖν, οὔτε συναπῆλθέ τισιν, ἀλλὰ τὸ τῷ δικαίῳ πάλαι ῥηθὲν ἐπὶ παντὸς ἀνθρώπου πέπηγε καὶ κρατεῖ· *Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι.*

6. Ὁ μὲν οὖν ἄριστα βουλευόμενος, τῆς ψυχῆς ὅτι μάλιστα φροντίσει, καὶ τοῦτο διὰ πάντων πειράσεται σώζειν εἰλικρινές τε καὶ γνήσιον· τῆς σαρκὸς δὲ ἢ λιμῷ τηκομένης, ἢ κρυμῷ καὶ θάλπει προσπαλαιούσης, ἢ νόσοις ἀλγυνομένης, ἢ πασχούσης τι παρά τινων βίαιον (96), ὀλίγον ποιήσεται τὸν λόγον, τὸ τοῦ Παύλου φωνῶν ἐφ' ἑκάστου τῶν δυσχερῶν, καὶ φθεγγόμενος· *Εἰ καὶ ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος φθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέραν καθ' ἡμέραν.* Καὶ οὔτε τοὺς ὑπὲρ τοῦ ζῆν κινδύνους προϊόντας ὁρῶν, φανήσεται δεδιὼς, ἀλλ' ἑαυτῷ λέξει θαρρῶν· *Οἴδαμεν, ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς.* Εἰ δέ τις ἐθέλοι φείδεσθαι καὶ τοῦ σώματος, ὡς μόνου κτήματος ἀναγκαίου ψυχῇ, καὶ συνεργοῦντος αὐτῇ πρὸς τὸ ζῆν ἐπὶ γῆς, μικρὰ πρὸς τὰς τούτου χρείας ἐπιστραφήσεται, καὶ ὥστε συνέχειν μόνον αὐτὸ, καὶ τῇ τῆς ψυχῆς ὑπηρεσίᾳ διὰ μετρίας ἐπιμελείας ἐῤῥωμένον τηρεῖν, μὴ μέντοιγε ἐπιτρέπειν ὑπὸ κόρου σκιρτᾶν. Εἰ δὲ ἴδοι ποτὲ ταῖς τοῦ πλείονος καὶ πέρα τοῦ λυσιτελοῦντος ἐπιθυμίαις φλεγόμενον, βοήσει πρὸς αὐτὸ τὸ τοῦ Παύλου νομοθετῶν· *Οὐδὲν*

A tam habere. Quid autem vere nostrum est? Anima, qua vivimus, quæ tenuis est ac intelligens, cuique nihil eorum quæ gravant opus est, et corpus quod ei pro vehiculo ad transigendam vitam a conditore datum est. Hoc enim homo est, mens accommodæ ac congruenti carni illigata. Hoc a sapientissimo universorum opifice in utero materno formatur. Hoc in lucem ex tenebrosis illis thalamis educit pariendi tempus. Hoc, rebus terrenis ut imperaret, constitutum est. Huic substrata creatura est ad virtutis exercitium. Huic posita lex est, ut pro viribus imitetur conditorem, atque disciplinam cœlestem in terris adumbret. Hoc abscedit, hinc evocatum. Hoc ad Dei qui ipsum misit, tribunal sistitur: hoc in judicium vocatur: hoc eo-
B rum quæ per vitam patravit debitam mercedem recipit. Atque virtutes quoque possessiones nostras fieri deprehenderit quis, ubi fuerint cum natura diligenter contextæ; et neque laborantes nos in terra volunt deserere, nisi vitiis introductis eas per vim sponte fugaverimus, et ad futuram vitam festinantes præcurrunt, et collocant inter angelos suum possessorem, et sub conditoris oculis æternum fulgent. Divitiæ vero, et potentatus, et claritudo, et deliciæ, et omnis ejusmodi turba quotidie per nostram insipientiam augescens, neque introivit nobiscum in vitam, neque cum illis unquam abiit: sed in unoquoque homine fixum et ratum manet, quod olim a justo dictum est: *Nudus egressus sum ex utero matris meæ, nudus etiam rever-*
C *tar* [85].

6. Itaque qui sibi optime consulit, curabit animam quam maxime, hocque modis omnibus et sincerum et genuinum servare conabitur: carnis vero sive fame conficiatur, sive cum frigore aut calore luctetur, sive a morbis excrucietur, sive violentum quid ab aliquibus perpetiatur, rationem parvam habebit, illud Pauli in singulis adversitatibus proferens, ac dicens: *Licet exterior homo noster corrumpatur, interior tamen renovatur de die in diem* [86]. Et ubi venire se in vitæ periculum viderit, haudquaquam apparebit timidus: sed sibi ipse confidenter dicturus est: *Scimus quod si terrestris nostra domus hujus tabernaculi dissolvatur, ædificationem ex Deo habemus: domum non manufactam, æter-*
D *nam in cœlis* [87]. Si quis tamen voluerit corpus etiam commiserari, tanquam quod una possessio sit, quæ animæ necessaria est, eique ad vitam in terra degendam suppetias fert, exiguam necessitatum ejus curam suscipiet, ut illud et contineat tantum, et per mediocrem curam sanum conservet ad animæ ministerium, non ita autem ut ipsum satietate lascivire sinat. Quod si viderit illud plurium desiderio incendi, idque citra necessitatem,

[85] Job I, 11. [86] II Cor. IV, 16. [87] II Cor. V, 1.

(95) Editio Basil. et Colb. primus ἀγγέλοις τοῦ κτισαμένου, *eosque qui festinaverunt, cum angelis conditoris collocant.* Alii tres mss. τοῦ κτησαμένου. Editio Paris. τὸν κτησάμενον.

(96) Colb. primus τινων βιαίων, *a quibusdam violentis.* Nec ita multo post Reg. tertius κινδύνους προσιόντας.

ei reclamabit, præscribens illud Pauli : *Nihil intulimus in hunc mundum; conspicuum est, quod neque auferre quidquam possumus. Habentes autem alimenta, et quibus tegamur,* **168** *his contenti erimus* [88]. Etenim si hæc perpetuo corpori occinat, inclametque, illud et morigerum et semper ad profectionem cœlestem expeditum reddet, eritque auxilio majori ad ea quæ proposita sunt obeunda munia : sin autem insolens ac protervum esse permiserit, et quibusvis quotidie tanquam immanem quamdam bestiam oppleri, tum demum ipsius pondere ad terram violenter vergente attractus, jacebit inaniter ingemiscens. Quin et ad Dominum adductus, et terreni illius itineris sibi commissi fructum rogatus, nec reddere valens, plurimum lamentabitur, etenim perpetuis tenebris habitabit, delicias, eorumque fallaciam non parum incusans, quibus salutis tempus sibi ademptum est. Sed nihil tunc utilitatis ex lacrymis capiet. *In inferno* enim *quis tibi confitebitur?* inquit David [89].

A *εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον· δῆλον, ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.* Ταῦτα μὲν γὰρ ἐπᾴδων αὐτῷ συνεχῶς καὶ βοῶν, εὐήνιόν τε αὐτὸ καὶ κοῦφον ἀεὶ πρὸς τὴν οὐράνιον ὁδοιπορίαν ἐργάσεται, καὶ μᾶλλον εἰς τὰ προκείμενα κτήσεται συνεργόν· εἰ δὲ ὑβρίζειν αὐτὸ συγχωρήσοι, καὶ πάντων ἐφ' ἡμέραν ἐμπίπλασθαι, καθάπερ τι θηρίον ἀνήμερον, ὕστερον ταῖς βιαίοις αὐτοῦ πρὸς γῆν ἀνθολκαῖς συνεπισπασθεὶς, κείσεται στένων ἀνόνητα (97). Καὶ πρὸς τὸν Δεσπότην ἀχθεὶς, καὶ τῆς ἐπὶ γῆς πορείας τῆς ἐνδοθείσης αὐτῷ τὸν καρπὸν ἀπαιτούμενος, εἶτα οὐκ ἔχων δοῦναι, θρηνήσει μακρὰ, καὶ σκότος οἰκήσει διηνεκὲς, πολλὰ τῇ τρυφῇ καὶ τῇ ταύτης πλάνῃ μεμφόμενος, ὑφ' ἧς τὸν
B τῆς σωτηρίας ἐσυλήθη καιρόν· οὐδὲν δὲ ἐκ τῶν δακρύων ἔτι κερδαίνων. *Ἐν γὰρ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;* φησὶν ὁ Δαβίδ.

7. Caveamus igitur quam celerrime fieri poterit, ne nos ipsi sponte suffocemus. Quod si quispiam jam olim inescatus, aut divitiarum pulverem inique apud se coacervavit, earumque curis illigavit animum, aut lasciviæ scelus quod vix elui potest, naturæ adjunxit, aut criminibus aliis semet exsatiavit : is, dum adhuc tempus est, antequam ad integrum exitium perveniat, deponat majorem sarcinarum partem, et priusquam navis submergatur, mercium indecore congestarum faciat jacturam, atque operarios marinos imitetur. Illi enim, etiamsi necessariorum aliquid in navi vehant, tamen si ex pelago insurgat in se effervescens quædam tempestas, et navem pondere pressam minetur obruere, quam velocissime possunt, onus magna ex parte allevant, ac merces indiscriminatim jaciunt in mare, ut navim reddant fluctibus superiorem, et animabus solis atque corporibus, si modo fieri possit, vitandi periculi locum præbeant. Imo etiam hæc apud nos et statuere et exsequi longe magis nobis quam illis convenit. Illi enim quidquid tandem ejecerint, illico amittunt, et de cætero incidunt inviti in paupertatem, nos vero quo citius pravum hoc onus projecerimus, eo ampliores præstantioresque divitias animabus nostris accumulabimus. Scortatio namque, et quæcunque talia sunt, ejecta pereunt, et eo deveniunt ut ne sint quidem amplius, cum lacrymis deleantur : sanctimonia vero et justitia in illorum postea locum transeunt, res leves, et quæ fluctibus nullis queant obvolvi. Neque vero pecuniæ probe ejectæ pereunt effundentibus ac projicientibus : sed quasi in alias quasdam onerarias naves tutiores, paupe-

7. Φύγωμεν οὖν ὅπως ἔνι τάχους, μὴ ἑαυτοὺς ἑκόντες συμπνίξωμεν. Εἰ δ' ἄρα τις καὶ πάλαι δελεασθεὶς, ἢ πλούτου κόνιν ἐξ ἀδικίας ἐφ' ἑαυτὸν συνεφόρησε (98), καὶ τὸν νοῦν ταῖς τούτου μερίμναις κατέδησεν, ἢ μύσος ἀσελγείας προσῆψε τῇ φύσει δυσέκνιπτον, ἢ τῶν ἄλλων ἐγκλημάτων ἐπλήρωσεν ἑαυτόν· οὗτος, ὡς ἔτι καιρὸς, πρὶν ἐλθεῖν εἰς τελείαν ἀπώλειαν, ἀποθέσθω τῶν φορτίων τὰ πλείονα, καὶ πρὶν ὑποβρύχιον γενέσθαι τὸ σκάφος, ἐκβολὴν ποιησάσθω τῶν ἀγωγίμων, ἃ μὴ δεόντως συνέλεξε,
C καὶ μιμησάσθω τοὺς τῆς θαλάττης ἐργάτας. Ἐκεῖνοι γὰρ, εἰ καί τι τῶν ἀναγκαίων ἐπὶ τῆς νηὸς ἄγοντες τύχοιεν, κλύδων δὲ ἐπαναστῇ ζέων ἐκ τοῦ πελάγους αὐτοῖς, καὶ καλύπτειν ἀπειλήσῃ (99) πεπιεσμένην τῷ φόρτῳ τὴν ναῦν, ὅπως ἔχουσι τάχους, τὸ πολὺ τοῦ βάρους ἀποσκευάζουσι, καὶ τὴν ἐμπορίαν ἀφειδῶς ἀντλοῦσιν εἰς θάλασσαν, ὥστε ὑψηλοτέραν ποιῆσαι τὴν ναῦν τοῦ κύματος, καὶ μόναις ταῖς ψυχαῖς, εἴπερ οἷόν τε, καὶ τοῖς σώμασιν ἐκ τοῦ κινδύνου δοῦναι φυγήν (1). Πολλῷ δὲ ἐκείνων δήπου μᾶλλον ταῦτα ἡμᾶς βουλεύεσθαί τε προσήκει καὶ πράττειν. Ἐκεῖνοι μὲν γὰρ ὅπερ ἂν ἀποῤῥίψωσιν, εὐθέως ἀπώλεσαν, καὶ περιΐσταται λοιπὸν βίᾳ πενίας αὐτοῖς· ἡμεῖς δὲ ἐφ' ὅσον ἂν τὸν πονηρὸν ἐξαντλή-
D σωμεν φόρτον, πλείονα καὶ βελτίονα ταῖς ψυχαῖς πλοῦτον ἐπισωρεύσομεν. Πορνεία μὲν γὰρ, καὶ ὅσα τοιαῦτα, ῥιφέντα διόλλυται, καὶ πρὸς τὸ μηδὲ εἶναι χωρεῖ, λυθέντα τοῖς δάκρυσιν· ἁγιότης δὲ καὶ δικαιοσύνη λοιπὸν εἰς τὸν ἐκείνων μεθίσταται χῶρον, πράγματα κοῦφα, καὶ οὐκ εἰδότα κύμασι καλυφθῆναί τισι. Τὰ χρήματά γε μὴν, ἐκβληθέντα καλῶς, οὔτε ἀπόλλυται τοῖς ἐκβαλοῦσι καὶ ῥίψασιν· ἀλλ', ὥσπερ εἰς ὁλκάδας ἄλλας ἀσφαλεστέρας τινὰς, τὰς

[88] I Tim. VI, 7, 8. [89] Psal. VI, 6.

(97) Editi ἀνόνητα. Antiqui tres libri ἀνόητα, et ita legerat interpres.

(98) Unus Colb. ἐφ' ἑαυτὸν συνήγαγεν, sensu haud dissimili.

(99) Editi ἀπειλήσει. At mss. ἀπειλήσῃ.

(1) Editi et Reg. secundus δοῦναι φυγήν. Alii tres mss. φυγεῖν.

τῶν πενήτων μετατεθέντα γαστέρας, διασώζεται καὶ A φθάνει πρὸς λιμένας ἐλθόντα, καὶ φυλάττεται τοῖς ἐκβάλλουσι, κόσμος, οὐ κίνδυνος.

8. Βουλευσώμεθα τοίνυν, ἀγαπητοὶ, περὶ ἑαυτούς (2) τι φιλάνθρωπον, καὶ τὸ τῆς εὐπορίας ἄχθος, εἴπερ ὅλως ἐθέλοιμεν ποιήσασθαι κέρδος ἡμέτερον, πολλοῖς διανείμωμεν, οἳ βαστάσουσί τε αὐτὸ περιχαρῶς, καὶ τοῖς τοῦ Δεσπότου κόλποις, ἀσύλοις ταμείοις, ἐναποκλείσουσιν, *Ὅπου σὴς οὐκ ἀφανίζει, οὐδὲ λῃσταὶ διορύττουσιν, οὐδὲ κλέπτουσι*. Δῶμεν ἐξουσίαν ὑπερχυθῆναι βουλομένῳ πρὸς τοὺς δεομένους τῷ πλούτῳ. Μὴ παραδράμωμεν τοὺς ἐν ὀφθαλμοῖς ἡμῶν ἔτι καὶ νῦν κειμένους Λαζάρους, μηδὲ τῶν ψιχίων τῆς ἡμετέρας τραπέζης ἀρκούντων αὐτοῖς εἰς κόρον βασκήνωμεν· μηδὲ, τὸν ἀνήμερον B ἐκεῖνον ζηλώσαντες πλούσιον, πρὸς τὴν αὐτὴν ἐκείνῳ τῆς γεέννης φλόγα μετέλθωμεν. Ἐπεὶ πολλὰ μὲν τοῦ Ἀβραὰμ δεηθησόμεθα τότε, πολλὰ δὲ ἑκάστου τῶν βεβιωκότων καλῶς· οὐδὲν δὲ ἔσται κέρδος ἡμῖν τῆς βοῆς· *Ἀδελφὸς γὰρ οὐ λυτροῦται* (3), *λυτρώσεται ἄνθρωπος;* Ἐρεῖ δὲ ἕκαστος ἐκείνων ἡμῖν κεκραγώς· Μὴ ζήτει φιλανθρωπίαν, ἣν αὐτὸς ἐφ' ἑτέρων ἠγνόησας· μηδὲ βούλου λαβεῖν οὕτω μεγάλα σὺ τῶν ἐλαττόνων φεισάμενος. Ἀπόλαυε τούτων ὧν ἐν τῷ βίῳ συνέλεξας. Δάκρυε νῦν, ἐπειδὴ τότε δακρύοντα τὸν ἀδελφὸν ὁρῶν οὐκ ἠλέησας. Ταῦτα ἐροῦσι, καὶ δικαίως, ἡμῖν. Δέδοικα δὲ ἐγὼ, μὴ καὶ πικροτέροις ἡμᾶς τούτων βάλωσι ῥήμασιν, ἐπειδὴ καὶ νικῶμεν ἐκεῖνον, ὡς ἴστε, τῇ πονηρίᾳ τὸν πλούσιον. Οὐδὲ γὰρ φειδόμενοι καθ- C άπαξ πλούτου, τοὺς ἐῤῥιμμένους χαμαὶ παρατρέχομεν ἀδελφοὺς, οὐδὲ τοῖς παισὶν ἢ τοῖς ἄλλοις οἰκείοις τὴν εὐπορίαν φυλάττοντες, ἀποκλείομεν τοῖς δεομένοις τὰς ἀκοάς· ἀλλὰ τὴν δαπάνην μετατιθέντες ἐπὶ τοῖς χείροσι, καὶ τὸ φιλότιμον ἀκόνην πονηρίας ποιούμενοι τοῖς ταύτην ἐπιτηδεύουσι. Πόσαι γὰρ ἢ πόσοι τῶν ἐνίων περιεστήκασι τράπεζαν! οἱ μὲν αἰσχροῖς ῥήμασι τὸν ἑστιάτορα θέλγοντες, οἱ δὲ ἀτόποις βλέμμασί τε καὶ σχήμασι τὸ τῆς ἀκρασίας ἐκκαίοντες πῦρ· οἱ δὲ τοῖς εἰς ἀλλήλους σκώμμασι γέλωτα τῷ κεκληκότι κατασκευάζειν ἐθέλοντες· ἄλλοι δὲ ἐψευσμένοις ἐπαίνοις ἀπατῶντες (4) αὐτόν. Καὶ οὐ τὸ μὲν οὕτως ἑστιαθῆναι λαμπρῶς μόνον κερδαίνουσιν, ἀλλὰ καὶ τὰς χεῖρας πεπληρωμένας πολυτελῶν D δώρων κατάγουσι, καὶ μανθάνουσι παρ' ἡμῶν, ὅτι λυσιτελεῖ μᾶλλον τῶν ἀρετῶν τὰ τοιαῦτα μετιέναι καὶ πράττειν αὐτοῖς. Εἰ δὲ παρασταίη πένης ἡμῖν,

rum videlicet ventres, exportatæ conservantur, et ad portus perveniunt, custodiunturque jacientibus, quibus ornamento sunt, non periculo.

8. Statuamus igitur de nobismetipsis, dilectissimi, humanius quiddam, et divitiarum onus, si modo nobis prodesse plane velimus, multis distribuamus : qui illud et transvehent perquam læte, et in Domini sinu, velut in promptuariis tutissimis recondent, *Ubi tinea non demolitur, neque fures effodiunt, neque furantur* [90]. Divitiis effundi in egenos cupientibus per nos liceat. Ob oculos nostros hodieque jacentes Lazaros ne prætereamus, neque eis mensæ nostræ micas [91], **169** quæ ad ipsos saturandos sufficiunt, invideamus, atque immitem illum divitem imitati, ad eamdem atque ipse gehennæ flammam veniamus. Nam multum quidem tunc Abrahamum rogabimus, multum etiam quoscunque qui vitam suam probe transegerint : sed lucrum nullum ex nostro clamore consecuturi. *Frater* enim *non redimit, redimet homo* [92]? Unusquisque autem illorum clamans dicturus nobis est : Commiserationem quam ipse erga alios ignorasti, ne quæras, neque velis accipere adeo magna, tu, qui a minoribus erogandis abstinuisti. Collectis in vita bonis fruere. Lacrymare nunc, cum tunc lacrymantem fratrem intuens, ejus non sis misertus. Hæc dicent nobis, nec injuria. Imo vereor ne nos impetant acerbioribus etiam verbis, cum divitem illum, ut scitis, improbitate superemus. Neque enim, ut divitiis prorsus parcamus, humi prostratos fratres præterimus : neque ut opes nostras liberis aut aliis propinquis servemus, aures precibus egenorum occludimus ; sed ut ad deteriora transmota impensa, munificentiam pravitatis incitamentum faciamus iis, qui eam sectantur. Quot enim utriusque sexus quorumdam mensam circumstant! quorum alii obscenis verbis oblectant convivatorem, alii indecoris et obtutibus et gestibus incontinentiæ ignem accendunt, alii dicteriis mutuis volunt risum invitanti movere, alii laudibus falsis eum circumveniunt. Nec hoc modo lucri faciunt, ut convivio ita splendido excipiantur : sed manus etiam pretiosis muneribus plenas referunt; et discunt ex nobis, esse sibi utilius prosequi talia et efficere, quam virtutem colere. Quod si in nostrum conspectum pauper venerit, qui vix etiam præ fame loquatur, aversamur hominem

[90] Matth. VI, 20. [91] Luc. XVI, 20. [92] Psal. XLVIII, 8.

(2) Editi περὶ ἑαυτῶν. Antiqui tres libri ἑαυτούς. Alius αὐτούς.

(3) Colb. primus οὐ λυτρώσεται, *non redimet homo*. Vocula οὐ non reperitur neque in aliis tribus mss. neque in vulgatis. Suspicor autem particulam οὐ additam fuisse ab aliquo, qui ejus loci sententiam non assequeretur. Etenim non intelligebat fieri posse, ut homo redimeret : in quo ipsum errasse non puto. Sed in eo mihi videtur peccasse, quod debuisset potius notam interrogationis post vocem ἄνθρωπος ponere : ut sit sensus, *Si non redimit frater, redimetne homo?* Neque vero hoc dicimus conjectura aliqua ducti : sed re ipsa interrogationis nota in antiquis duobus libris invenitur.

(4) Ubi in utraque editione legitur ἐπαίνοις πλάττοντες, ibi vitii aliquid subesse recte judicavit Combefisius : sed quod addit, pro πλάττοντες, legi suo periculo oportere aut πλάζοντες, aut βλάπτοντες, aut πράττοντες, in eo falli videtur. Nec rectius legitur in antiquis tribus libris : quorum in primo scriptum fuit ἐπαίνοις πράττοντες, in aliis vero duobus, ἐπαίνοις σπαράττοντες. At Reg. primus recte habet ἐπαίνοις ἀπατῶντες, *falsis laudibus decipientes*. Paulo ante in antiquis duobus libris legitur τοῖς ἀλλήλων σκώμμασι.

eamdem atque nos naturam habentem, fastidimus, festinanter transimus, quasi veriti, ne si etiam lentius gradiamur, ejusdem miseriæ efficiamur participes. Et si in terram oculos, calamitate pudorem ei incutiente, dimiserit, eum hypocrisis dicimus artificem esse : si vero libere ac confidenter, fame graviter exstimulatus, aspexerit nos, econtrario impudentem appellamus ac violentum. Et si integris vestibus a quopiam sibi datis contectus fuerit, quasi inexplebilem repellimus, ac juramus paupertatem ab illo simulari : si vero panniculis putridis amiciatur, rursus abigimus uti male olentem, et quamvis Conditoris nomen precibus suis admisceat, continuoque interposita religione oret, ne in similes ærumnas incidamus, tamen immisericordem nostram voluntatem flectere non potest. Quapropter gehennæ ignem graviorem quam qui divitem illum combussit [93], reformido. Quod si tempus permitteret, satisque esset virium, illius vobis, uti Scriptura docuit, explicata historia tota, loquendi muneri satisfecissem : **170** nunc vero tempus est defatigatos vos dimittere. Ipsi autem si quid ob mentis simul ac linguæ imbecillitatem prætermissum a nobis sit, id animo impressum in quorumdam pharmacorum morem animarum vulneribus admovete. *Da enim sapienti occasionem, et sapientior erit*, inquit Scriptura [94]. *Potens est autem Deus omnem gratiam abundare facere in vobis, ut in omnibus semper omnem sufficientiam habentes, abundetis in omne opus bonum* [95].

9. Verum jam ad portum, ut videtis, deductam orationem nostram fratres quidam ad consilii suasionisque cursum revocant, jubentes, ne quæ heri miracula a Domino facta sunt, prætereamus, neque tropæum a Servatore contra diaboli rabiem erectum obticeamus; sed demus vobis inter hymnos canendos exsultandi occasionem. Nam, ut scitis, diabolus iterum suam in nos rabiem ostendit, ignisque flamma armans semetipsum, septa oppugnavit Ecclesiæ. At rursus communis mater vicit, et id machinamenti intorsit in ipsum hostem, nec quidquam ille effecit, nisi quod odium suum prodidit. Gratia reflatu repressit vim hostis atque impetum; permansit templum illæsum. Non potuit admota ab hoste tempestas concutere petram, super quam Christus gregis sui ovile ædificavit [96]. Inter nos se etiam nunc collocavit, qui olim in Babylone fornacem ignis exstinxit [97]. Quantum putatis ingemiscat hodie diabolus, conatus ejus quem sibi in animum induxerat, non assecutus finem. Nam vicinum Ecclesiæ rogum hostis ille incendit, ut prosperos nostros successus infestaret. Jam flamma violentis illius flatibus undecunque excitata, super

A μόλις ὑπὸ τοῦ λιμοῦ καὶ φθεγγόμενος, ἀποστρεφόμεθα τὸν ὁμοφυῆ, βδελυττόμεθα, μετὰ σπουδῆς ἀποτρέχομεν, ὥσπερ δεδοικότες μὴ καὶ τῆς δυσπραγίας αὐτῆς ἐκ τοῦ σχολαίτερον βαδίσαι μετάσχωμεν. Καὶ, εἰ μὲν εἰς γῆν νεύσοι, τὴν συμφορὰν αἰσχυνόμενος, ὑποκρίσεως εἶναι λέγομεν ἐργάτην αὐτόν· εἰ δὲ μετὰ παῤῥησίας προσβλέψοι διὰ τὸ βαρὺ τοῦ λιμοῦ κέντρον ἡμᾶς, ἀναιδῆ πάλιν καλοῦμεν καὶ βίαιον. Καὶ, εἰ μὲν τύχοι καλυπτόμενος ὑγιέσιν ἐσθήμασιν δεδωκότος τινὸς, ὡς ἄπληστον ἀπελαύνομεν, καὶ ὀμνύμεθα προσποιεῖσθαι πενίαν αὐτόν· εἰ δὲ σκεπάζοιτο σεσηπόσι ῥακίοις, ὡς ὀδωδότα πάλιν διώκομεν, καὶ οὔτε τὸ τοῦ κτίσαντος ὄνομα ταῖς ἱκετηρίαις ἐκεῖνος ἀναμιγνὺς, οὔτε τὸ μὴ τοιούτοις πάθεσι περιπεσεῖν ἡμᾶς ἐξορκῶν συνεχῶς, δύναται τὴν ἀνελεῆ κάμψαι
B προαίρεσιν. Διὰ ταῦτα ὑφορῶμαι βαρύτερον τῆς γεέννης τὸ πῦρ ἤπερ ἐκεῖνος ὁ πλούσιος. Εἰ μὲν οὖν ὁ καιρὸς ἐνεδίδου, δύναμίς τε ἀρκοῦσα ὑπῆν, πάντα ἂν ὑμῖν τὰ κατ' ἐκεῖνον, ὅπως ἔδειξεν ἡ Βίβλος, ἐπεξελθὼν ἀπέδωκα τὴν ἐργασίαν τῶν λόγων· νῦν δὲ ὥρα διαφεῖναι πεπονηκότας ὑμᾶς. Αὐτοὶ δὲ εἰ καί τι παραλελοίπαμεν δι' ἀσθένειαν ἐννοίας ἅμα καὶ γλώττης, ἑαυτοῖς ἀναπλάττοντες, ὥσπερ τινὰ φάρμακα τοῖς τῶν ψυχῶν προσαγάγετε τραύμασι. *Δίδου γὰρ σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται*, φησὶν ἡ Γραφή. *Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα, ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν.*

C 9. Ἀλλὰ γὰρ ἤδη πρὸς λιμένας ἡμῖν, ὡς ὁρᾶτε, καταχθέντα τὸν λόγον, εἰς τὸν τῆς συμβουλῆς δρόμον αὖθις ἀδελφοί τινες ἐπανάγουσι, μὴ παραδραμεῖν τὰ χθὲς ὑπὸ τοῦ Δεσπότου θαυματουργηθέντα κελεύοντες, μηδὲ σιγῆσαι τὸ τρόπαιον, ὃ κατὰ τῆς τοῦ διαβόλου λύττης ἔστησεν ὁ Σωτήρ· δοῦναι δὲ ἀφορμὴν τῶν τῆς ὑμνῳδίας σκιρτημάτων ὑμῖν. Πάλιν μὲν γὰρ, ὡς ἴστε, τὴν οἰκείαν ὁ διάβολος καθ' ἡμῶν ἐπεδείξατο (5) λύτταν, καὶ φλογὶ πυρὸς ὁπλίσας ἑαυτὸν, τοῖς τῆς Ἐκκλησίας σηκοῖς ἐπεστράτευσε. Πάλιν δὲ ἡ κοινὴ μήτηρ ἐνίκησε, καὶ τῷ πολεμίῳ περιέτρεψε τὸ μηχάνημα, καὶ οὐδὲν ὑπῆρξεν αὐτῷ πλὴν τοῦ δημοσιεῦσαι τὴν ἔχθραν. Ἀντέπνευσεν ἡ χάρις ταῖς τοῦ πολεμίου ῥοπαῖς·
D ἔμεινεν ὁ νεὼς (6) ἀπαθής. Οὐχ ἴσχυσεν ὁ προσαχθεὶς ὑπὸ τοῦ πολεμίου χειμὼν τινάξαι τὴν πέτραν ἐφ' ἧς ὁ Χριστὸς τὴν τῆς ἑαυτοῦ ποίμνης ᾠκοδόμησε μάνδραν. Ἐτάχθη καὶ νῦν μεθ' ἡμῶν ὁ καὶ πάλαι σβέσας ἐν Βαβυλῶνι τὴν κάμινον. Πῶς οἴεσθε στένει σήμερον ὁ διάβολος, οὐκ ἀπολαύσας ἐφ' ᾧπερ ἠβουλήθη τῆς ἐγχειρήσεως; Γείτονα μὲν γὰρ τῆς Ἐκκλησίας ὁ δυσμενὴς ἀνῆψε πυρὰν, ἵνα ταῖς ἡμετέραις εὐπραγίαις λυμήνηται· καὶ πανταχόθεν ἡ

[93] Luc. XVI, 24. [94] Prov. IX, 9. [95] II Cor. IX, 8. [96] Matth. XVI, 18. [97] Dan. III, 49.

(5) Unus Colb. ἐνεδείξατο. Vox σηκός, quæ mox sequitur, significat hoc loco interiorem templi partem.

(6) Veteres duo libri ὁ ναός. Statim duo itidem mss. ἐφ' ᾗ. Alii duo et editi ἐφ' ἧς. Subinde scriptum invenitur in uno Combefisiano et in aliis tribus mss. μεθ' ἡμῶν, ubi in vulgatis legitur μεθ' ὑμῶν, *vobiscum*, non ita recte.

φλὸξ ἀναῤῥιπιζομένη ταῖς βιαίοις ἐκείνου πνοαῖς, ὑπερεχεῖτο τῶν ὑποκειμένων αὐτῇ, καὶ τὸν ἀέρα τὸν ἐγγὺς ἐπενέμετο, ψαῦσαι τῶν ἀνακτόρων ἀναγκαζομένη, καὶ πρὸς κοινωνίαν ἡμᾶς καθέλκουσα τῆς συμφορᾶς. Ὁ Σωτὴρ δὲ ἐπὶ τὸν ἀνάψαντα ταύτην ῥυῆναι πεποίηκε, καὶ συστεῖλαι τὴν μανίαν αὐτοῦ εἰς ἑαυτὸν πάλιν προσέταξε. Καὶ τὸ μὲν τῆς ἐπιβουλῆς τόξον ηὐτρέπισεν ὁ πολέμιος (7)· ἀφεῖναι δὲ τὸ βέλος κεκώλυται· μᾶλλον δὲ ἀφῆκε μὲν, ἀντέστραπται δὲ ἐπὶ τὴν ἑαυτοῦ κεφαλήν. Αὐτὸς ἀπολαύει τῶν πικρῶν ἐκείνων δακρύων, ἅπερ ἡμῖν παρεσκεύασεν. Ἀλλὰ ποιήσωμεν, ἀδελφοὶ, τὸ τραῦμα τῷ δυσμενεῖ φορτικώτερον, ἐπιτείνωμεν τὸ πένθος αὐτοῦ. Τὸ δὲ ὅπως, λέξω μὲν ἐγὼ, πράξατε δὲ ὑμεῖς. Εἰσί τινες ἐκ τῆς ἐπικρατείας τοῦ πυρὸς ἀναρπασθέντες ὑπὸ τοῦ κτίσαντος, καὶ μηδεμίαν ἔχοντες περιλελειμμένην αὐτοῖς βίου λοιπὸν ἀφορμὴν, ἀλλὰ μόνῃ τῇ ψυχῇ καὶ τῷ σώματι διαφυγόντες τὸν κίνδυνον. Ἡμεῖς τοίνυν ὅσοι τῆς τῶν δυσχερῶν ἄγευστοι πείρας ἐμείναμεν, κοινὴν ἐκείνοις προθῶμεν τὴν εὐπορίαν τὴν ἑαυτῶν. Ἐναγκαλισώμεθα τοὺς περισωθέντας μόλις τῶν ἀδελφῶν, εἴπωμεν πρὸς ἕκαστον ἕκαστος· *Νεκρὸς ἦν, καὶ ἀνέζησεν· ἀπολωλὼς, καὶ εὑρέθη*· καὶ τὸ συγγενὲς σῶμα σκεπάσωμεν. Ἀντιστήσωμεν ταῖς τοῦ δυσμενοῦς ἐπηρείαις τὴν ἡμετέραν παράκλησιν, ἵνα καὶ βλάπτων ἐκεῖνος μηδὲν μέγα βλάψαι δοκῇ, καὶ πολεμήσας, μηδένα δεῖξαι νενικημένον, καὶ περιελὼν τὴν εὐπορίαν τῶν ἀδελφῶν, ὑπὸ τῆς ἡμετέρας φιλοτιμίας φανείη νικώμενος.

A materiam sibi subjectam diffundebatur, ac depascebatur aerem vicinum, ædem sacram attingere coacta, nosque protrahens in calamitatis societatem: sed in eum qui incendit Servator ipsam contorsit, jussitque rursus vesaniam suam in seipsum vertere. Ac quidem insidiarum arcum appararat adversarius, sed emittere jaculum prohibitus est; imo potius immisit quidem, at in illius caput retortum est. Amaras illas lacrymas, quas nobis præparavit, sortitus ipse est. Sed inimico infligamus, fratres, vulnus quoddam gravius, intendamus illi luctum. Quomodo id possit fieri, dicam quidem ego, vos vero exsequamini. Sunt qui erepti fuere ex ignis potentia a Conditore, nec ullum eis de cætero vitæ subsidium superest, sed animam B solam et corpus periculo subduxere. Nos ergo, quotquot adversitatem illam experti non sumus, facultates nostras illis communes faciamus. Amplectamur fratres vix servatos, dicamus quisque cuique: *Mortuus erat, et revixit; perierat, et inventus est* [24]; atque corpus nostro affine contegamus. Opponamus vi inimici atque injuriis nostram consolationem, ut etiam cum nocuit ille, magnum nullum detrimentum intulisse videatur, nec quemquam ostendat quem pugnando vicerit, sed disperditis fratrum facultatibus, liberalitate nostra victus comperiatur.

10. Ὑμεῖς δὲ οἱ διαφυγόντες τὸν κίνδυνον, ἀδελφοὶ, μὴ σφόδρα ἄχθεσθε τοῖς συμβεβηκόσι κακοῖς, μηδὲ κατασεισθῆτε τὴν ἔννοιαν, ἀλλ' ἀποτινάξασθε τὴν τῆς λύπης ἀχλὺν, καὶ τὰς ψυχὰς ἀναῤῥώσατε λογισμοῖς ἀνδρειοτέροις χρησάμενοι, καὶ τὸ συμβεβηκὸς στεφάνων ποιήσασθε πρόφασιν. Ἂν γὰρ ἀκατάσειστοι μείνητε, καὶ τῇ πίστει φανήσεσθε δοκιμώτεροι, καθάπερ χρυσὸς εὐγενὴς ἐκ τοῦ πυρὸς ἀναλάμψαντες, καὶ τῷ δυσμενεῖ τὴν αἰσχύνην αὐξήσετε μᾶλλον, ὡς οὐδὲ δάκρυον ὑμῖν (8) δυνηθέντι κινῆσαι, δι' ὧν ἐπεβούλευσεν. Ἀναμνήσατε τῆς τοῦ Ἰὼβ ἑαυτοὺς καρτερίας. Εἴπατε πρὸς ἑαυτοὺς ἅπερ ἐκεῖνος· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο.* Καὶ μηδεὶς ἐξ ὧν ἔπαθεν ἀναπεισθῇ λογίσασθαί τε καὶ λέγειν, ὡς ἄρα οὐδεμία πρόνοια τάττει τὰ καθ' ἡμᾶς, μηδὲ κατηγορείτω τῆς οἰκονομίας τοῦ Δεσπότου καὶ κρίσεως· ἀλλ' εἰς τὸν ἀθλητὴν ἐκεῖνον ὁράτω, κἀκεῖνον σύμβουλον ποιείσθω τοῦ κρείττονος. Ἀναλογιζέσθω τοὺς ἀγῶνας ἅπαντας ἐφεξῆς, ἐφ' οἷς ἐκεῖνος ἠρίστευσε· καὶ πόσοις βέλεσιν ὑπὸ τοῦ διαβόλου βληθεὶς, οὐκ ἐδέξατο καιρίαν πληγήν. Περιεῖλε μὲν γὰρ αὐτοῦ τὴν εὐπραγίαν τῶν οἰκείων, καταχῶσαι δὲ αὐτὸν ταῖς ἐπαλλήλοις τῶν κακῶν ἐβουλεύσατο φήμαις. Ἔτι

C 10. Vos autem, fratres, qui hoc periculum evasistis, ne multum doleatis de his quæ acciderunt **171** malis, neque mente commoveamini: sed mœroris excutite caliginem, ac generosius quiddam cogitantes, animas vestras corroborate; et quod accidit, id in coronarum occasionem vertite. Nam, si inconcussi persliteritis, haud secus ac egregium aurum ex igne resplendentes, et fide probatiores deprehendemini, et majori pudore estis adversarium affecturi, qui suis insidiis ne lacrymam quidem ciere vobis potuerit. Patientiam Jobi vobis in memoriam revocate. Dicite vobis ipsi, quæ ille: *Dominus dedit, Dominus abstulit: sicut Domino placuit, ita et factum est* [25]. Nec quisquam his quæ sibi contigere adducatur ut cogitet ac dicat D res nostras providentia nulla gubernari; neque Domini administrationem ac judicium incuset: sed in athletam illum intueatur, ipsumque sibi cogitationum meliorum consiliarium adhibeat. Reputet omnia ex ordine certamina, in quibus ille victor exstitit, et quot jaculis a diabolo petitus, letalem nullam plagam acceperit. Evertit quidem illius domesticam prosperitatem, eumdemque alternis adversitatum nuntiis obruere statuerat. Cum

[24] Luc. xv, 24. [25] Job I, 21.

(7) Editio utraque Paris. et Basil. ηὐτρέπισεν ὁ διάβολος. Veteres quatuor libri ηὐτρέπισεν ὁ πολέμιος. Vox διάβολος videtur primum posita fuisse in ora libri, ut moneremur diabolum hoc loco indicari, sed postmodum hæc vox e margine in contextum irrepsit. Nec ita multo post mss. duo τὴν αὐτοῦ.

(8) Editi, δάκρυον ἡμῖν. Antiqui duo libri, ὑμῖν.

enim prior cladem aliquam adhuc annuntiaret, nuntius alter rerum deteriorum tristitiam afferens veniebat, malaque connectebantur inter se, et calamitates undarum incursum imitabantur, atque priusquam priores lacrymæ sedarentur, aliarum afferebatur occasio. Sed justus tempestatis excepto impetu, et undarum vi in spumam commutata, velut scopulus stabat, emittebatque ad Dominum gratam illam vocem: *Dominus dedit, Dominus abstulit: sicut Domino placuit, ita et factum est*, nec quidquam eorum quæ accidebant, lacrymis dignum duxit. Ubi vero advenit qui narraret quemadmodum filiis et filiabus convivantibus violentus quidam ventus oblectationis domum conquassasset, tunc solum scidit vestem, ostendens condolentem naturam, atque iis agendis declarans patrem esse se liberorum amantem. Attamen etiam tunc terminum ac modum imponens dolori, et piis illis vocibus quod evenerat ornans, dicebat: *Dominus dedit, Dominus abstulit: sicut Domino placuit, ita et factum est*, tantum non clamans in hunc modum: Pater vocatus sum dum voluit qui me patrem effecit. Statuit rursus sobolis mihi coronam auferre, haud repugno quominus sua auferat. Obtineat quod Domino visum est: ipse est generis conditor, ego organum. Quid necesse est, servus cum sim, dolere me frustra, ac de sententia quam nequeo irritam facere, conqueri? Verbis ejusmodi quasi jaculis justus ille diabolum confodit.

11. Postquam autem iterum inimicus eum vidit esse victorem, nec ulla harum ærumnarum concuti posse, tentationis admovit machinamentum carni ipsi, et corpore infandis vulneribus percusso effecit, ut ex eo vermium fontes scaturirent, virumque ex regio throno deturbatum in sterquilinio collocavit. Ille vero vel talibus **172** angustiis lacessitus, permansit immotus; et lacerato corpore, pietatis thesaurum in recondito animæ recessu inviolatum servabat. Cum igitur non haberet quod jam faceret hostis, insidiarum veterum recordatur; atque ad impium ac blasphemum consilium uxoris animum pertrahens, opera illius aggrediebatur athletam concutere. Ac illa quidem temporis diuturnitati cedens, justo astitit, humi prona, manus super iis quæ videbat complodens, pietatis ei fructus exprobrans, hinc veterem rei familiaris opulentiam recensens, illinc mala præsentia commonstrans, et qualem ex qualibus sortitus esset vitam, et quam pro multis sacrificiis mercedem a Domino recepisset. Et semper verba pusillo quidem mulierum animo digna proferebat: sed ta-

A γὰρ τοῦ προτέρου τὴν τοιάνδε συμφορὰν ἐξαγγέλλοντος, ἕτερος ἄγγελος ἤρχετο, χειρόνων πραγμάτων φέρων κατήφειαν· ἀλλήλοις τε ἐπισυνήπτετο τὰ δεινὰ, καὶ τὴν τῶν κυμάτων ἐπιδρομὴν ἐζήλουν αἱ συμφοραὶ, καὶ πρὶν ἢ παυθῆναι τὸ πρότερον δάκρυον, ἑτέρου προσήγετο πρόφασις. Ὁ δίκαιος δὲ ὥσπερ τις πρόβολος εἱστήκει, τὰς τοῦ χειμῶνος ὑποδεχόμενος προσβολὰς, καὶ ἀλλοιῶν εἰς ἀφρὸν τῶν κυμάτων τὴν βίαν, καὶ τὴν εὐγνώμονα πρὸς τὸν Δεσπότην ἠφίει φωνήν· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο·* καὶ οὐδὲν τῶν συμβαινόντων δακρύων ἠξίωσεν. Ἐπειδὴ δὲ ἧκέ τις ἀγγέλλων, ὡς τοῖς παισὶ καὶ ταῖς θυγατράσιν εὐωχουμένοις ἐπετίναξε πνεῦμά τι βίαιον (9) τὸ τῆς εὐφροσύνης δωμάτιον, τότε μό-
B νον τὴν ἐσθῆτα διέῤῥηξε, τὸ τῆς φύσεως ἐπιδεικνύμενος συμπαθὲς, καὶ ὅτι πατὴρ εἴη φιλόστοργος οἷς ἔπραττε μαρτυρόμενος. Πλὴν καὶ τότε ταῖς λύπαις ὅρον καὶ μέτρον ἐπιτιθεὶς, καὶ ταῖς εὐσεβέσιν ἐκείναις φωναῖς κοσμῶν τὸ γινόμενον, ἔλεγεν· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο*, μονονουχὶ τοιαῦτα βοῶν· Ἐκλήθην πατὴρ ἐφ' ὅσον ὁ τοῦτό με ποιήσας ἐβούλετο χρόνον. Περιελεῖν μου τὸν ἐκ τῆς γονῆς στέφανον ἐβουλεύσατο πάλιν, οὐ διαμάχομαι περὶ τῶν ἰδίων αὐτῷ. Κρατείτω τὰ τῷ Δεσπότῃ δοκοῦν· αὐτός ἐστιν ὁ πλάστης τοῦ γένους, ἐγὼ δὲ ὄργανον. Τί με χρὴ δοῦλον ὄντα δυσχεραίνειν ἀνόνητα, καὶ μέμφεσθαι ψῆφον ἣν οὐ δύναμαι λύειν; Τοιούτοις τὸν διάβολον ὁ δίκαιος κατηκόντιζε ῥή-
C μασιν.

11. Ἐπειδὴ δὲ αὐτὸν νικῶντα εἶδε πάλιν ὁ δυσμενὴς, καὶ οὐδενὶ τούτων τιναχθῆναι δυνάμενον, αὐτῇ τῇ σαρκὶ τὸ τῆς πείρας προσῆγε (10) μηχάνημα, καὶ τὸ σῶμα μαστίξας ἀῤῥήτοις πληγαῖς, σκωλήκων ἀναδίδοσθαι πηγὰς ἐξ αὐτοῦ παρεσκεύασε· καὶ τῶν τῆς βασιλείας θρόνων τὸν ἄνδρα καταγαγὼν, ἐπὶ κοπρίας ἐκάθισεν. Ὁ δὲ, καὶ τοιούτοις βαλλόμενος πάθεσιν, ἀκίνητος ἔμεινε· καὶ σπαραττομένου τοῦ σώματος, ἄσυλον ἐφύλαττε τὸν τῆς εὐσεβείας θησαυρὸν ἐν τῷ κρυπτῷ τῆς ψυχῆς. Οὐκ ἔχων τοίνυν ὅ τι ποιήσει λοιπὸν ὁ πολέμιος, ἐπὶ τὴν τῆς ἀρχαίας ἐπιβουλῆς ἔρχεται μνήμην, καὶ τὴν τοῦ γυναίου διάνοιαν ὑποσύρας (11) εἰς ἀσεβῆ γνώμην καὶ βλάσφημον, δι'
D ἐκείνης σαλεύειν ἐπειρᾶτο τὸν ἀθλητήν. Καὶ ἡ μὲν πρὸς τὸν μακρὸν χρόνον (12) ἀπαγορεύσασα, τῷ δικαίῳ παρίστατο, κάτω νενευκυῖα, καὶ τὰς χεῖρας ἐπὶ τοῖς ὁρωμένοις συγκρούουσα, καὶ τοὺς τῆς εὐσεβείας αὐτῷ καρποὺς ὀνειδίζουσα, καὶ καταλέγουσα μὲν τὴν παλαιὰν εὐθηνίαν τῶν οἰκείων, ὑποδεικνύουσα δὲ τὰ παρόντα κακὰ, καὶ οἷον ἐξ οἵων ἔλαχε βίον, καὶ τίνα τῶν πολλῶν θυσιῶν ἐδέξατο παρὰ τοῦ Δεσπότου μισθὸν, ἔλεγέ τε ἀεὶ τῆς μὲν τῶν γυναικῶν ὀλιγο-

(9) Unus Colb. pro βίαιον habet νότιον, *austrinus*. Mihi autem dubium non est quin vox νότιον addita quoque fuerit primum in libri ora ab aliquo, qui ejus venti violentiam magis exprimere vellet: sed ea, ut aliæ multæ, postmodum in contextum fluxit.

(10) Veteres quatuor libri προσῆγε. Editi προσῆγαγε. Aliquanto post Colb. primus τοῦ.... θρόνου.

(11) Unus codex Reg. διάνοιαν ἀποσύρας.

(12) Editio Paris. μακρὸν πόνον, *diutinum dolorem cum non posset ferre amplius*: sed qua auctoritate nixa sit hæc scriptura, nescio. Editio Basil. et nostri quatuor mss. μακρὸν χρόνον.

A ψυχίας ἄξια ῥήματα, ταράξαι δὲ πάντα ἄνδρα δυνάμενα, καὶ περιτρέψαι καὶ γενναίαν διάνοιαν· πλανῆτις γὰρ καὶ λάτρις περιέρχομαι, ἡ βασιλὶς δουλεύω, καὶ πρὸς τὰς τῶν ἐμῶν οἰκετῶν χεῖρας ἠνάγκασμαι βλέπειν, καὶ τρέφουσα πάλαι πολλοὺς, ἀγαπητῶς ἐκ τῶν ἀλλοτρίων παρατρέφομαι νῦν· καὶ ὅτι καλὸν εἴη καὶ χρήσιμον, ἀσεβέσι χρησάμενον ῥήμασιν ἑαυτὸν τῆς γῆς ἐκτεμεῖν, τὸ τῆς τοῦ κτίσαντος ὀργῆς ἀκονήσαντα ξίφος, ἢ διακαρτεροῦντα πρὸς τὰ δεινὰ, τὸν ἐν τοῖς ἀγῶσι μόχθον ἑαυτῷ καὶ τῇ συνοικούσῃ μηκύνειν. Ὁ δὲ, ἐπὶ τούτοις τοῖς ῥήμασιν ἀχθεσθεὶς, ὡς ἐπ' οὐδενὶ τῶν προτέρων κακῶν, καὶ θυμοῦ τὸ βλέμμα πληρώσας, καὶ πρὸς τὴν γυναῖκα καθάπερ πρὸς πολεμίαν ἀποστραφεὶς, τί φησιν; Ἵνα τί ὡς μία τῶν ἀφρόνων γυναικῶν ἐφθέγξω; Κατάθου, φησὶν, ὦ γύναι, τὴν συμβουλήν. Μέχρι τίνος τὴν κοινὴν ἐν οἷς λέγεις B ὑβρίζεις ζωήν; Ἐψεύσω καὶ τὴν ἐμὴν, ὡς οὐκ ηὐχόμην, ἀναστροφὴν, διέβαλες ἐν οἷς ἐλάλησας καὶ τὸν ἐμὸν βίον. Ἐξ ἡμισείας ἠσεβηκέναι νενόμικα νῦν, ἐπειδήπερ ἓν μὲν σῶμα ἀμφοτέρους ἡμᾶς (13) ὁ γάμος ἐποίησε, σὺ δὲ εἰς βλασφημίαν κατέπεσες. *Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;* Ἀνάμνησον τῶν φθασάντων σεαυτὴν ἀγαθῶν. Ἀντισήκωσον τὰ κρείττω τοῖς χείροσιν. Οὐδενὸς ἀνθρώπων ὁ βίος διόλου μακάριος. Τὸ διὰ παντὸς εὖ πράττειν μόνου Θεοῦ· Σὺ δὲ, εἰ τοῖς παροῦσιν ἀλγεῖς, ἀπὸ τῶν προλαβόντων σαυτὴν παραμύθησαι. Νῦν δακρύεις, ἀλλ' ἐγέλασας πρότερον· νῦν πτωχεύεις, ἀλλ' ἐπλούτησας πρότερον. Ἔπιες τὸ διειδὲς νᾶμα τοῦ βίου, καὶ τὸ θολερὸν τοῦτο πίνουσα καρτέρησον. Οὐδὲ τὰ τῶν ποταμῶν ῥεύματα διόλου C φαίνεται καθαρά. Ποταμὸς δὲ, ὡς οἶσθα, ὁ βίος ἡμῶν, ῥέων ἐνδελεχῶς καὶ κύμασιν ἀλλεπαλλήλοις πληρούμενος (14). Τὸ μὲν γὰρ αὐτοῦ προέῤῥευσεν ἤδη, τὸ δὲ ἔτι πορεύεται· καὶ τὸ μὲν ἄρτι προέκυψε τῶν πηγῶν, τὸ δὲ μέλλει· καὶ πρὸς τὴν κοινὴν ἅπαντες τοῦ θανάτου σπεύδομεν θάλατταν. *Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;* Ἀναγκάζομεν τὸν κριτὴν ὅμοια χορηγεῖν πράγματα δι' αἰῶνος ἡμῖν; Διδάσκομεν τὸν Δεσπότην, ὅπως χρὴ διεξάγειν τὸν ἡμέτερον βίον; Αὐτὸς τῶν οἰκείων ψήφων ἔχει τὴν ἐξουσίαν. Ὅπως βούλεται τάττει τὰ καθ' ἡμᾶς. Σοφὸς δέ ἐστι, καὶ τὸ λυσιτελοῦν ἐπιμετρεῖ τοῖς οἰκέταις.

12. Μὴ περιεργάζου τοῦ Δεσπότου τὴν κρίσιν. D Ἀγάπα μόνον τὰ παρὰ τῆς αὐτοῦ σοφίας οἰκονομούμενα. Ὅπερ ἂν δῷ σοι, τοῦτο δέχου μεθ' ἡδονῆς. Δεῖξον ἐν τοῖς ἀλγεινοῖς, ὡς καὶ τῆς εὐφροσύνης ἀξία τῆς πρόσθεν ἐτύγχανες. Ταῦτα ὁ Ἰὼβ λέγων, ἀπεκρούσατο καὶ ταύτην τοῦ διαβόλου τὴν προσβολὴν, καὶ τελείαν αὐτῷ τῆς ἥττης αἰσχύνην ἐπήγαγε. Τί οὖν ἐντεῦθεν συνέβαινεν; Ἔφυγε αὖθις ἡ νόσος αὐτὸν, ὡς εἰκῇ προσελθοῦσα, καὶ μηδὲν ἀνύσασα πλέον. Ἀνέθαλεν εἰς δευτέραν ἥβην ἡ σάρξ· ἤνθησεν ὁ βίος πάλιν πᾶσι τοῖς ἀγαθοῖς, καὶ διπλασίων ἐπὶ τὸν οἶκον

A lia tamen, quæ virum omnem perturbare, et animum vel fortem subvertere possent. Vaga, inquiebat, et ancilla oberro, regina servio, et ad meorum famulorum manus respicere coacta sum, et quæ multos olim nutrivi, bene nunc mecum agi existimo si enutriar ex alienis. Addebat, melius esse ac utilius si de terra se ipse exscinderet, impiis verbis utendo, et gladium iræ Conditoris exacuendo, quam si malorum tolerantia sibi ipsi et uxori certaminum laborem proroget. Ille vero his verbis magis quam ullo malorum priorum offensus, et vultum ira replente, ad uxorem velut hostem conversus, quid dicit? Quare tanquam una de stultis mulieribus locuta es [1]? Depone, o mulier, inquit, illud consilium. Quousque dictis tuis dede- B corabis vitam communem? Violasti, quod Deus avertisset, conversationem meam atque societatem, et tuis istis verbis vitam meam etiam calumnia aspersisti. Videor nunc mihi dimidia ex parte impie egisse: siquidem unum quidem corpus utrosque nos nuptiæ præstiterunt, sed tu prolapsa es in blasphemiam. *Si bona suscepimus de manu Domini, mala non sustinebimus* [2]? Redigas tibi in memoriam præterita bona. Compensa bona malis. Nullius hominis vita beata est omnino. Semper felicem esse, solius Dei est. Tu igitur si ob præsentia dolore afficeris, ex præteritis te ipsa consolare. Nunc lacrymaris, at prius risisti: nunc pauper es, at prius fuisti dives. Bibisti limpidum vitæ laticem, jam turbidum bibens animo æquo pa- C tiare. Ne fluviorum quidem fluenta perpetuo apparent pura. Est autem fluvius vita nostra, ut nosti, continue fluens, ac fluctibus alternatim sibi succedentibus referta. Etenim jam pars præterfluxit, pars adhuc transit: pars jam emersit e fontibus, pars vero emersura est, et ad commune mortis mare festinamus omnes. *Si bona suscepimus de manu Domini, mala non sustinebimus?* Cogimusne judicem nobis perpetuo paria suppeditare? Docemusne Dominum, quomodo debeat vitam nostram moderari? Decreta sua penes ipsum sunt. Res nostras pro suo arbitratu regit. Est enim sapiens; et quod utile est, id suis servis admetitur.

12. Cave curiosius perscruteris Domini judi- D cium. Æqui bonique fac solum quæ ab illius sapientia dispensantur. Quidquid dederit tibi, cum gaudio accipe. Ostende in adversis exstitisse 173
te lætitia pristina dignam. His dicendis repulit Job et hunc diaboli assultum, et integrum ei pudorem de illata clade incussit. Quid igitur hinc evenit? Fugit iterum ab illo morbus, tanquam qui accessisset frustra, nec quidquam amplius effecisset. Reversa caro in alteram pubertatem revixit: floruit rursus vita bonis omnibus, et duplicatæ divi-

[1] Job II, 10. [2] ibid.

(13) Vocem ἡμᾶς ex antiquis duobus libris addidimus.

(14) Editio Paris. πλημμυρούμενος. Veteres quatuor libri πληρούμενος. Statim Reg. secundus et Colb primus τὸ μὲν γὰρ αὐτοῦ. Vox ultima deest in vulgatis.

tiæ undecunque in domum confluxerunt, ut quasi A nihil amisisset, unam partem haberet, pars vero altera justo esset patientiæ merces. Sed cur et equos, et mulos, et camelos, et oves, et agros et omnes opulentiæ delicias duplo recepit, liberorum vero numerus mortuis par prodiit? Quoniam bruta animalia et caducæ omnes divitiæ penitus interierant : liberi vero licet mortui, optima sui parte vivebant. Itaque aliis filiis filiabusque iterum a Conditore ornatus, etiam hanc possessionem habebat duplicatam. Alii enim parentibus in vita afferebant lætitiam : alii, qui scilicet præivissent, genitorem exspectabant, omnes Job circumstaturi, ubi humanæ vitæ judex congregaverit Ecclesiam universalem, ubi tuba adventum regis denuntians, edito in sepulcris sonitu vehementiore, corporum B depositum reposcet. Tunc et nunc qui videntur mortui esse, viventibus citius sistentur opifici universorum. Idcirco, opinor, cum reliquas opes geminatas ei admensus fuisset, liberos tamen numero pares ei sufficere judicavit. Vides quot et quanta justus ille Job per patientiam sibi congesserit bona? et tu igitur, si quid tibi molesti ex hesterno igne, qui dæmonum insidiis incensus est, accidit, id patienter ferto, et quam damnum intulit tristitiam cogitationibus melioribus consopito. Et juxta id quod scriptum est, *Jacta super Dominum curam tuam, et ipse te enutriet* [1]. Ipsum decet gloria in sæcula sæculorum. Amen.

πανταχόθεν ὁ πλοῦτος συνέῤῥευσεν, ἵνα τὸ μὲν ὡς μηδὲν ἀπολωλεκὼς ἔχῃ, τὸ δὲ ὑπάρξῃ τῆς καρτερίας τῷ δικαίῳ μισθός. Διὰ τί δὲ ἵππους μὲν, καὶ ἡμιόνους, καὶ καμήλους, καὶ πρόβατα, καὶ γεώργια, καὶ πᾶσαν τὴν τῆς περιουσίας τρυφὴν ἐκ τοῦ διπλασίονος ὑπεδέξατο, ὁ τῶν παίδων δὲ ἀριθμὸς ἴσος τοῖς ἀποθανοῦσιν ἐβλάστησεν; Ὅτι τὰ μὲν ἄλογα κτήνη, καὶ πᾶς ὁ πλοῦτος διαφθειρόμενος, εἰς τελείαν ἦλθεν ἀπώλειαν· οἱ παῖδες δὲ, καὶ τεθνεῶτες, ἔζων τῷ καλλίστῳ μέρει τῆς φύσεως (15). Κοσμηθεὶς οὖν αὖθις ἑτέροις υἱοῖς καὶ θυγατράσιν ὑπὸ τοῦ κτίσαντος, καὶ τοῦτο εἶχε κτῆμα διπλοῦν. Οἱ μὲν γὰρ παρῆσαν τὴν ἐν τῷ βίῳ τοῖς γεννήσασιν εὐφροσύνην παρέχοντες, οἱ δὲ προοδεύσαντες ἀνέμενον τὸν φυτεύσαντα· τότε πάντες περιστησόμενοι τὸν Ἰὼβ, ὅταν ὁ κριτὴς τῆς ἀνθρωπίνης ζωῆς συναγάγῃ τὴν Ἐκκλησίαν τὴν πάνδημον· ὅταν ἡ σάλπιγξ, ἡ τὴν τοῦ βασιλέως ἐπιδημίαν σημαίνουσα, τοῖς τάφοις σφοδρότερον ἐμβοήσασα, τὴν τῶν σωμάτων ἀπαιτήσῃ (16) παρακαταθήκην. Τότε καὶ οἱ νῦν εἶναι δοκοῦντες νεκροὶ θᾶττον τῶν ζώντων παραστήσονται τῷ τῶν ὅλων δημιουργῷ. Διὰ τοῦτο, οἶμαι, διπλοῦν τὸν ἄλλον πλοῦτον ἐπιμετρήσας (17) αὐτῷ, τοῖς παισὶν ἀρκεῖσθαι τοῖς ἴσοις αὐτὸν ἐδικαίωσεν. Ὁρᾷς ὁπόσα ὁ δίκαιος Ἰὼβ ἐκ τῆς ὑπομονῆς ἑαυτῷ συνέλεξεν ἀγαθά; Καὶ σὺ τοίνυν, εἴ τί σοι προσεπέλασε δυσχερὲς ἀπὸ τοῦ χθὲς ἀναφθέντος πυρὸς ἐκ τῆς τῶν δαιμόνων ἐπιβουλῆς, τοῦτο καρτέρησον, καὶ τὴν ἐκ τοῦ πάθους ἀνίαν κρείττοσι κατεύνασον λογισμοῖς· καὶ κατὰ τὸ γεγραμμένον, *Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει.* Αὐτῷ πρέπει (18) ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

AD ADOLESCENTES,

Quomodo possint ex gentilium libris fructum capere.

C

1. Invitant me multa, ut dem vobis, adolescentes, consilium de iis quæ optima judico, quæque vobis morem gesturis profutura esse existimavi. Cum enim id ætatis sim, fuerimque jam exercitatus multis rebus, et mutationem illam, qua omnia docentur, satis superque in utramque partem sim expertus, hinc factus sum rerum humanarum peritus, sic ut vitam recens instituentibus quasi viam tutissimam ostendere possim. Præterea statim post parentes necessitudine naturæ et propinquitate vobis ita conjunctus sum, ut ego non minori vos benevolentia prosequar, quam vestri patres : vos vero, nisi forte mea de vobis existimatio me deci- D

ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΥΣ (19),

Ὅπως ἂν ἐξ Ἑλληνικῶν ὠφελοῖντο λόγων (*).

1. Πολλά με τὰ παρακαλοῦντά ἐστι ξυμβουλεῦσαι ὑμῖν, ὦ παῖδες, ἃ βέλτιστα εἶναι κρίνω, καὶ ἃ ξυνοίσειν ὑμῖν ἑλομένοις πεπίστευκα. Τό τε γὰρ ἡλικίας οὕτως ἔχειν, καὶ τὸ διὰ πολλῶν ἤδη γεγυμνάσθαι πραγμάτων, καὶ μὴν καὶ τὸ τῆς πάντα παιδευούσης ἐπ' ἄμφω μεταβολῆς ἱκανῶς μετασχεῖν, ἔμπειρόν με εἶναι τῶν ἀνθρωπίνων πεποίηκεν, ὥστε τοῖς ἄρτι καθισταμένοις τὸν βίον ἔχειν ὥσπερ ὁδοῦ τὴν ἀσφαλεστάτην ὑποδεικνύναι. Τῇ τε παρὰ τῆς φύσεως οἰκειότητι εὐθὺς μετὰ τοὺς γονέας ὑμῖν τυγχάνω, ὥστε μήτε αὐτὸς (20) ἔλαττόν τι πατέρων εὐνοίας νέμειν ὑμῖν, ὑμᾶς τε (21) νομίζω, εἰ μή τι ὑμῶν διαμαρτάνω τῆς γνώμης, μὴ ποθεῖν τοὺς τεκόντας, πρὸς ἐμὲ βλέ-

[1] Psal. LIV, 23.

(15) Illud, τῷ καλλίστῳ μέρει τῆς φύσεως, ita, si mavis, interpretari potes, *optima naturæ parte.*
(16) Veteres aliquot libri ἀπαιτήσῃ. Editi ἀπαιτήσει. Mox codices nonnulli καὶ οἱ νῦν. Deerat articulus in vulgatis. Subinde duo mss. περιστήσονται τὸν.... δημιουργόν, *circumstabunt opificem.*
(17) Colb. primus ἐπιμερίσας.
(18) Sic libri veteres. Vox πρέπει deest in vulgatis.

(19) Reg. primus et tertius ὁμιλία εἰς τούς, etc. Sed nomen homiliæ huic libello convenire nullo modo posse, res ipsa loquitur. Reg. secundus τοῦ αὐτοῦ εἰς τοὺς νέους, ὅπως. Editio utraque ut in contextu. Vide Ducæum in hunc libellum.
(20) Utraque editio μήτε αὐτόν. Antiqui sex libri αὐτός.
(21) Vulg. δέ. EDIT.

(*) Eximiam hanc orationem, ad mss. in Bibliotheca Regia asservatos collatam Parisiis, anno 1819, in-8°, edidit C. A. F. Fremion, in Facultate Parisiensi humaniorum litterarum professor. Ejus editionem in recensione textus sequimur; codicum vero ab eo adhibitorum notitiam et varias lectiones infra exhibemus. EDIT. PATR.

ποντας. Εἰ μὲν οὖν προθύμως δέχοισθε τὰ λεγόμενα, A τῆς δευτέρας τῶν ἐπαινουμένων ἔσεσθε παρ' Ἡσιόδῳ τάξεως· εἰ δὲ μή, ἐγὼ μὲν οὐδὲν ἂν εἴποιμι δυσχερές, αὐτοὶ δὲ μέμνησθε τῶν ἐπῶν δηλονότι, ἐν οἷς ἐκεῖνός φησι (21*)· Ἄριστον μὲν εἶναι τὸν παρ' ἑαυτοῦ τὰ δέοντα ξυνορῶντα· ἐσθλὸν δὲ κἀκεῖνον τὸν τοῖς παρ' ἑτέρων ὑποδειχθεῖσιν ἑπόμενον· τὸν δὲ πρὸς οὐδέτερον ἐπιτήδειον, ἀχρεῖον εἶναι πρὸς ἅπαντα.

2. Μὴ θαυμάζετε δέ, εἰ καὶ καθ' ἑκάστην ἡμέραν εἰς διδασκάλους φοιτῶσι, καὶ τοῖς ἐλλογίμοις τῶν παλαιῶν ἀνδρῶν, δι' ὧν καταλελοίπασι λόγων, συγγινομένοις ὑμῖν, αὐτός τι παρ' ἐμαυτοῦ λυσιτελέστερον ἐξευρηκέναι φημί. Τοῦτο μὲν οὖν αὐτὸ καὶ ξυμβουλεύσων ἥκω, τὸ μὴ δεῖν εἰς ἅπαξ τοῖς ἀνδράσι B τούτοις, ὥσπερ πλοίου τὰ πηδάλια τῆς διανοίας ὑμῶν παραδόντας, ᾗπερ ἂν ἄγωσι, ταύτῃ συνέπεσθαι· ἀλλ' ὅσον ἐστὶ χρήσιμον αὐτῶν δεχομένους, εἰδέναι τί χρὴ καὶ παριδεῖν. Τίνα οὖν ἐστι ταῦτα, καὶ ὅπως διακρινοῦμεν, τοῦτο δὴ καὶ διδάξω ἔνθεν ἑλών. Ἡμεῖς, ὦ παῖδες, οὐδὲν εἶναι χρῆμα παντάπασι τὸν ἀνθρώπινον βίον τοῦτον ὑπολαμβάνομεν, οὔτ' ἀγαθόν τι νομίζομεν ὅλως, οὔτ' ὀνομάζομεν, ὃ τὴν συντέλειαν ἡμῖν ἄχρι τούτου παρέχεται. Οὔκουν προγόνων (22) περιφάνειαν, οὐκ ἰσχὺν σώματος, οὐ κάλλος, οὐ μέγεθος, οὐ τὰς παρὰ πάντων ἀνθρώπων τιμάς, οὐ βασιλείαν αὐτήν, οὐχ ὅ τι ἂν εἴποι τις τῶν ἀνθρωπίνων, μέγα, ἀλλ' οὐδὲ εὐχῆς ἄξιον κρίνομεν, ἢ τοὺς ἔχοντας ἀποβλέπομεν· ἀλλ' ἐπὶ μακρότερον πρόϊμεν ταῖς ἐλπίσι, καὶ πρὸς ἑτέρου βίου παρασκευὴν (23) ἅπαντα C πράττομεν. Ἃ μὲν οὖν ἂν συντελῇ πρὸς τοῦτον ἡμῖν, ἀγαπᾶν τε καὶ διώκειν παντὶ σθένει χρῆναί φαμεν· τὰ δὲ οὐκ ἐξικνούμενα πρὸς ἐκεῖνον, ὡς οὐδενὸς ἄξια παρορᾷν. Τίς δὴ οὖν οὗτος ὁ βίος, καὶ ὅπῃ καὶ ὅπως αὐτὸν βιωσόμεθα, μακρότερον μὲν ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν ἐφικέσθαι, μειζόνων δὲ ἢ καθ' ὑμᾶς ἀκροατῶν ἀκοῦσαι. Τοσοῦτόν γε μὴν εἰπών, ἱκανῶς ἂν ἴσως ὑμῖν ἐνδειξαίμην, ὅτι πᾶσαν ὁμοῦ τήν, ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, τῷ λόγῳ τις συλλαβὼν καὶ εἰς ἓν ἀθροίσας εὐδαιμονίαν, οὐδὲ πολλοστῷ μέρει τῶν (24) ἀγαθῶν ἐκείνων εὑρήσει παρισουμένην, ἀλλὰ πλεῖον τοῦ ἐν ἐκείνοις ἐλαχίστου τὰ σύμπαντα τῶν τῇδε καλῶν κατὰ τὴν ἀξίαν ἀφεστηκότα, ἢ καθ' ὅσον σκιὰ καὶ ὄναρ τῶν ἀληθῶν ἀπολείπεται. Μᾶλλον δέ, D ἵν' οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, ὅσῳ ψυχὴ τοῖς πᾶσι τιμιωτέρα σώματος, τοσούτῳ καὶ τῶν βίων ἑκατέρων ἐστὶ τὸ διάφορον. Εἰς δὴ τοῦτον ἄγουσι μὲν ἱεροὶ λόγοι, δι' ἀποῤῥήτων (25) ἡμᾶς ἐκπαιδεύοντες· ἕως γε μὴν ὑπὸ τῆς ἡλικίας ἐπακούειν τοῦ βάθους τῆς διανοίας αὐτῶν οὐχ οἷόν τε, ἐν ἑτέροις οὐ πάντῃ διεστηκόσιν, ὥσπερ ἐν σκιαῖς τισι καὶ κατόπτροις, τῷ τῆς ψυχῆς ὄμματι τέως προγυμναζόμεθα, τοὺς ἐν τοῖς τακτικοῖς τὰς μελέτας ποιουμένους μιμούμενοι·

piat, arbitror, si me respicitis, parentes minime desideraturos. **174** Itaque, si animo alacri verba mea exceperitis, inter eos qui ab Hesiodo laudantur, secundum locum obtinebitis: sin minus, ut ego nihil molesti dicam, ita vos carminum illorum reminiscamini, in quibus ait ille: Optimum quidem esse eum qui ex seipso ea quæ decent perspicit; bonum vero eum qui demonstrata ab aliis sequitur; eum denique qui ad neutrum idoneus est, ad omnia inutilem esse.

2. Neque vero miremini, si vobis quotidie ad præceptores euntibus, et cum veteribus viris, iisque præstantissimis consuescentibus, per ea quæ reliquerunt scripta, dicam me ex me ipso conducibilius quiddam adinvenisse. Accedo igitur, id vobis consilii daturus, ut ne semel vestri animi gubernaculum his viris permittentes quasi navigii alicujus, quacunque duxerint, hac sequamini: sed quidquid in eis utile fuerit carpentes, cognoscatis quid etiam contemni oporteat. Quæ igitur sint hæc, quoque modo discernamus, hoc jam docebo, inde exorsus. Nos, adolescentes, humanam hanc vitam nihil omnino esse arbitramur, nec quidquam bonum omnino putamus, aut nominamus, quod utilitatis nobis aliquid solum in hoc ævo afferat. Non avorum splendorem, non vires corporis, non pulchritudinem, non magnitudinem, non honores delatos ab omnibus hominibus, non regnum ipsum, non quidquid humanum dici potest, magnum nobis videtur, imo ne votis quidem dignum censemus, neque habentes respicimus: sed spe procedimus longius, et ad alteram vitam comparandam facimus omnia. Quæ igitur prodesse nobis possunt ad illam acquirendam, ea et amplecti, et totis viribus prosequi oportere dicimus: quæ vero ad eam non attinent, velut pretii nullius digna contemnere. Quæ autem hæc vita sit, et ubi et quomodo nobis ducenda, ut fuerit longius exponere quam præsens institutum sinat, ita fuerit auditorum majorum quam vos estis, audire. Tantum dicam, atque ex hoc fortasse vobis satis ostendero, quod si quispiam omnem simul ex quo homines nati sunt felicitatem sermone complexus, in unum coacervaverit, eam tamen comperiet ne minimæ quidem bonorum illorum parti æquiparandam esse: sed omnia præsentis vitæ bona plus a minimo futurorum dignitate distare, quam a rebus veris umbra et somnium. Imo vero ut exemplo magis idoneo utar, quanto anima omnibus præstat corpori, tanta est et utriusque vitæ differentia. Ad hanc autem deducunt sermones sacri, per arcana nos erudientes. Sed, dum per ætatem non licet intelligentiæ eorum altitudinem audire et assequi, interim in aliis scriptis non omnino diversis quasi in umbris quibus-

(21*) *Ἔργ. καὶ ἡμ.*, v. 291-295.

(22) Editi οὐκοῦν προγόνων. Unus e Combefisianis οὔκουν προγόνων. Nec ita multo post Colb. tertius ἄξιον εἶναι.

(23) Unus Reg. βίου κατασκευήν. Mox unus ms. συντελεῖ. Subinde unus Combefisianus τίς δὲ οὗτος. Alii duo et editi τίς δὲ οὖν οὗτος.

(24) Colb. primus μέρει τῷ μεγέθει τῶν. Aliquanto post editi ἀξίαν ἐφεστηκότα. Libri veteres ἀφεστηκότα, recte.

(25) Colbertini secundus et tertius ἀποῤῥήτων δογμάτων. Sed ultima vox neque in vulgatis, neque in aliis veteribus libris invenitur.

dam et speculis in antecessum animi intuitu exerceamur, eos, qui in militari disciplina **175** exercentur, imitati : qui ubi in manuum motu atque saltationibus experientiam adepti fuerint, in certaminibus ex hac ipsa ludicra disciplina fructum percipiunt. Et certe putandum est certamen certaminum omnium maximum nobis propositum esse, pro quo agenda nobis sunt omnia et laborandum pro viribus ut ad id præparemur, atque poetis, et historicis, et rhetoribus, et hominibus omnibus utendum, unde utilitas aliqua ad animam curandam accessura sit. Quemadmodum enim infectores quidquid tingendum est prius curis quibusdam præparant, et ita demum colorem sive purpureum sive quempiam alium inducunt : eodem modo et nos quoque, si indelebilis in nobis honesti gloria omni tempore permansura est, his externis ante ininiati, deinde sacras et arcanas doctrinas ediscemus : et solem velut in aqua videre assueti, sic luci ipsi oculos admovebimus. Quod si mutua quædam convenientia intersit inter doctrinas, earum nobis cognitio valde utilis fuerit : sin minus, certe earum inter se collatarum discrimen internosse, ad potiorem firmandam non parum contulerit. Sed cuinam rei comparata doctrina utraque, possis imaginem assequi? Certe quemadmodum arboris propria virtus est, tempestivo fructu scatere, et tamen folia etiam circum ramos exagitata aliquid eis ornamenti conciliant : ita et animæ quoque primarius fructus est veritas ipsa, sed tamen haud ingratus est externæ sapientiæ amictus, tanquam si folia quædam fructui et umbraculum et aspectum non inamœnum præbeant. Dicitur igitur et Moyses ille perquam eximius, cujus nomen apud omnes homines ob sapientiam maximum est, exercitato in Ægyptiorum disciplinis animo [1], ita ad ejus *qui est* contemplationem devenisse. Similiter autem posterioribus quoque temporibus sapientem Danielem sapientiam Chaldæorum in Babylone edoctum [2], ita demum doctrinas sacras attigisse tradunt. Sed quod externæ hæ disciplinæ non sint animabus inutiles, sat dictum est : consequens est ut jam dicamus, quomodo ipsarum participes fieri vos oporteat. Primum quidem rebus omnibus quæ a poetis dicuntur (ut hinc initium sumam), varia cum dicant, nequaquam ordine adjiciendus animus est : sed ubi facta aut dicta virorum bonorum vobis narraverint, eos et diligere et imitari operæ pretium est, et quam maxime nitendum ut tales efficiamur ; sed

A οἵ γε (26), ἐν χειρονομίαις καὶ ὀρχήσεσι τὴν ἐμπειρίαν κτησάμενοι, ἐπὶ τῶν ἀγώνων τοῦ ἐκ τῆς παιδιᾶς ἀπολαύουσι κέρδους. Καὶ ἡμῖν δὴ οὖν ἀγῶνα προκεῖσθαι πάντων ἀγώνων μέγιστον νομίζειν χρεὼν, ὑπὲρ οὗ πάντα ποιητέον ἡμῖν καὶ πονητέον εἰς δύναμιν ἐπὶ τὴν τούτου παρασκευὴν, καὶ ποιηταῖς, καὶ λογοποιοῖς, καὶ ῥήτορσι, καὶ πᾶσιν ἀνθρώποις ὁμιλητέον, ὅθεν ἂν μέλλῃ πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν ὠφέλειά τις ἔσεσθαι. Ὥσπερ οὖν οἱ δευσοποιοὶ, παρασκευάσαντες πρότερον θεραπείαις τισὶν ὅ τί ποτ' ἂν ᾖ τὸ δεξόμενον τὴν βαφὴν, οὕτω τὸ ἄνθος ἐπάγουσιν, ἄν τε ἁλουργὸν, ἄν τέ τι ἕτερον ᾖ· τὸν αὐτὸν δὴ καὶ ἡμεῖς τρόπον, εἰ μέλλοι ἀνέκπλυτος ἡμῖν (27) ἅπαντα τὸν χρόνον ἡ τοῦ καλοῦ παραμένειν δόξα, τοῖς ἔξω δὴ τούτοις προτελεσθέντες, τηνικαῦτα τῶν B ἱερῶν καὶ ἀποῤῥήτων ἐπακουσόμεθα παιδευμάτων· καὶ οἷον ἐν ὕδατι τὸν ἥλιον ὁρᾷν ἐθισθέντες, οὕτως αὐτῷ προσβαλοῦμεν τῷ φωτὶ τὰς ὄψεις. Εἰ μὲν οὖν ἐστί τις οἰκειότης πρὸς ἀλλήλους τοῖς λόγοις, προὔργου ἂν (28) ἡμῖν αὐτῶν ἡ γνῶσις γένοιτο· εἰ δὲ μὴ, ἀλλὰ τό γε, παράλληλα θέντας, καταμαθεῖν τὸ διάφορον, οὐ μικρὸν εἰς βεβαίωσιν τοῦ βελτίονος. Τίνι μέντοι καὶ παρεικάσας τῶν παιδεύσεων ἑκατέραν, τῆς εἰκόνος ἂν τύχοις; Ἤπου καθάπερ φυτοῦ οἰκεία μὲν ἀρετὴ τῷ καρπῷ βρύειν ὡραίῳ, φέρει δέ τινα κόσμον καὶ φύλλα τοῖς κλάδοις περισειόμενα· οὕτω δὴ καὶ ψυχῇ προηγουμένως μὲν καρπὸς ἡ ἀλήθεια, οὐκ ἄχαρί γε μὴν οὐδὲ τὴν θύραθεν σοφίαν περιβεβλῆσθαι, οἷόν τινα φύλλα σκέπην τε τῷ καρπῷ καὶ ὄψιν οὐκ ἄωρον παρεχόμενα. Λέγεται τοίνυν καὶ Μωϋσῆς C ἐκεῖνος ὁ πάνυ, οὗ μέγιστόν ἐστιν ἐπὶ σοφίᾳ παρὰ πᾶσιν ἀνθρώποις ὄνομα, τοῖς Αἰγυπτίων μαθήμασιν ἐγγυμνασάμενος τὴν διάνοιαν, οὕτω προσελθεῖν τῇ θεωρίᾳ *τοῦ ὄντος*. Παραπλησίως δὲ τούτῳ κἂν τοῖς κάτω χρόνοις τὸν σοφὸν Δανιὴλ ἐπὶ Βαβυλῶνός φασι (29) τὴν σοφίαν Χαλδαίων καταμαθόντα, τότε τῶν θείων ἅψασθαι παιδευμάτων. Ἀλλ' ὅτι μὲν οὐκ ἄχρηστον ψυχαῖς μαθήματα τὰ ἔξωθεν δὴ ταῦτα, ἱκανῶς εἴρηται· ὅπως γε μὴν αὐτῶν μεθεκτέον ὑμῖν, ἑξῆς ἂν εἴη λέγειν. Πρῶτον μὲν οὖν τοῖς παρὰ τῶν ποιητῶν (ἵν' ἐντεῦθεν ἄρξωμαι), ἐπεὶ παντοδαποί τινές εἰσι κατὰ τοὺς λόγους, μὴ (30) πᾶσιν ἐφεξῆς προσέχειν τὸν νοῦν· ἀλλ' ὅταν μὲν τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις ἢ λόγους ὑμῖν διεξίωσιν, ἀγαπᾷν τε καὶ ζηλοῦν, καὶ D ὅτι μάλιστα πειρᾶσθαι τοιούτους εἶναι· ὅταν δὲ ἐπὶ μοχθηροὺς ἄνδρας ἔλθωσι, τὴν μίμησιν ταύτην δεῖ (31) φεύγειν, ἐπιφρασσομένους τὰ ὦτα, οὐχ ἧττον ἢ τὸν Ὀδυσσέα φασὶν ἐκεῖνοι τὰ τῶν Σειρήνων μέλη. Ἡ γὰρ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια ὁδός τίς

[1] Act. VII, 22. [2] Dan. I, 4.

(26) Basilius hoc dicit, Christianum ita adjuvari profana poetarum et oratorum doctrina, ut milites gesticulandi saltandique arte in suis exercitationibus adjuvantur. Vide Ducæum.

(27) Sic Colbertini secundus et tertius. Editi et alii mss. ἡμῖν ἡ, quod decurtatum erat et mutilum.

(28) Editio utraque προὔργον ἄν. Antiqui tres libri προὔργου.

(29) Unus Reg. φησί.

(30) Editio utraque εἰσί. Μή. Veteres quinque libri ita ut edendum curavimus.

(31) Colbertini duo libri et Reg. primus ἔλθωσι τῇ μιμήσει, ταῦτα δεῖ, etc., sic ut vox μιμήσει referatur ad verbum ἔλθωσι, quasi ejus loci hæc esset sententia : *Cum autem devenerint ad flagitiosos homines per imaginem eorum*, hoc est, *eos depingendo* Unus codex a Combefisio collatus ἔλθωσι, τὴν μίμησιν ταύτην, etc., quam scripturam meliorem esse ait vir doctissimus. Editi ἔλθωσι τῇ μιμήσει, ταύτην δεῖ.

ἐστιν ἐπὶ τὰ πράγματα. Διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι. Οὐ τοίνυν ἐπαινεσόμεθα τοὺς ποιητὰς, οὐ λοιδορουμένους, οὐ σκώπτοντας, οὐκ ἐρῶντας ἢ μεθύοντας μιμουμένους, οὐχ ὅταν τραπέζῃ πληθούσῃ καὶ ᾠδαῖς ἀνειμέναις τὴν εὐδαιμονίαν ὁρίζωνται (32). Πάντων δὲ ἥκιστα περὶ θεῶν τι διαλεγομένοις προσέξομεν, καὶ μάλισθ' ὅταν ὡς περὶ πολλῶν τε αὐτῶν διεξίωσι καὶ τούτων οὐδὲ ὁμονοούντων. Ἀδελφὸς γὰρ δὴ παρ' ἐκείνοις διαστασιάζει πρὸς ἀδελφὸν, καὶ γονεὺς πρὸς παῖδας, καὶ τούτοις αὖθις πρὸς τοὺς τεκόντας πόλεμός ἐστιν ἀκήρυκτος. Μοιχείας δὲ θεῶν καὶ ἔρωτας καὶ μίξεις ἀναφανδὸν, καὶ ταύτας γε μάλιστα τοῦ κορυφαίου πάντων καὶ ὑπάτου Διὸς, ὡς αὐτοὶ λέγουσιν, ἃ κἂν (33) περὶ βοσκημάτων τις λέγων ἐρυθριάσειε, τοῖς ἐπὶ σκηνῆς καταλείψομεν.

A cum ad flagitiosos homines devenerint, tunc obturatis auribus cavendum ne imitemur, non minus quam Ulyssem aiunt illi Sirenum cantus cavisse. Nam sermonibus pravis assuescere, quædam via est ad ipsa facta. Quapropter custodia omni servanda anima est, ne per sermonum voluptatem quidquam vitiosum imprudentes suscipiamus, perinde ut qui melle admisto sumunt venena. Non igitur poetas **176** laudabimus, cum conviciantur, cavillanturque: non cum amasios aut ebrios depingunt: non cum felicitatem affluenti mensa atque cantilenis dissolutis metiuntur. Sed minime omnium, poetis de diis disserentibus intenti erimus; et maxime cum de illis tanquam de multis, iisque ne inter se quidem consentientibus habuerint B sermonem. Frater enim adversus fratrem apud illos seditionem concitat atque discordiam, et pater adversus liberos, hisque rursus adversus parentes implacabile bellum est. Adulteria autem deorum amoresque et apertos complexus, et maxime congressus Jovis, qui, ut ipsi dicunt, princeps est omnium et supremus (quæ si quis dicat vel de brutis animalibus, erubuerit), actoribus scenicis relinquamus.

3. Ταυτὰ δὴ ταῦτα λέγειν καὶ περὶ συγγραφέων ἔχω· καὶ μάλισθ' ὅταν ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων λογοποιῶσι. Καὶ ῥητόρων δὲ τὴν περὶ τὸ ψεύδεσθαι τέχνην οὐ μιμησόμεθα. Οὔτε γὰρ ἐν δικαστηρίοις, οὔτ' ἐν ταῖς ἄλλαις πράξεσιν ἐπιτήδειον ἡμῖν (34) τὸ ψεῦδος, τοῖς τὴν ὀρθὴν ὁδὸν καὶ ἀληθῆ προελομένοις τοῦ βίου, οἷς τὸ μὴ δικάζεσθαι νόμῳ προστεταγμένον ἐστίν. Ἀλλ' ἐκεῖνα αὐτῶν μᾶλλον ἀποδεξόμεθα, ἐν οἷς ἀρετὴν ἐπῄνεσαν, ἢ πονηρίαν διέβαλον (35). Ὡς γὰρ τῶν ἀνθέων τοῖς μὲν λοιποῖς ἄχρι τῆς εὐωδίας ἢ τῆς χρόας ἐστὶν ἡ ἀπόλαυσις, ταῖς μελίτταις δ' ἄρα καὶ μέλι λαμβάνειν ἀπ' αὐτῶν ὑπάρχει· οὕτω δὴ κἀνταῦθα τοῖς μὴ τὸ ἡδὺ καὶ ἐπίχαρι μόνον τῶν τοιούτων λόγων διώκουσιν ἔστι τινὰ καὶ ὠφέλειαν ἀπ' αὐτῶν εἰς τὴν ψυχὴν ἀποθέσθαι. Κατὰ πᾶσαν δὴ οὖν τῶν μελιττῶν τὴν εἰκόνα, τῶν λόγων ὑμῖν μεθεκτέον. Ἐκεῖναί τε γὰρ οὔτε ἅπασι τοῖς ἄνθεσι παραπλησίως ἐπέρχονται, οὔτε μὴν οἷς ἂν ἐπιπτῶσιν ὅλα φέρειν ἐπιχειροῦσιν, ἀλλ' ὅσον αὐτῶν ἐπιτήδειον πρὸς τὴν ἐργασίαν λαβοῦσαι, τὸ λοιπὸν χαίρειν ἀφῆκαν. Ἡμεῖς τε, ἢν σωφρονῶμεν (36), ὅσον οἰκεῖον ἡμῖν καὶ συγγενὲς τῇ ἀληθείᾳ παρ' αὐτῶν κομισάμενοι, ὑπερβησόμεθα τὸ λειπόμενον. Καὶ καθάπερ τῆς ῥοδωνιᾶς τοῦ ἄνθους δρεψάμενοι τὰς ἀκάνθας ἐκκλίνομεν, οὕτω καὶ ἐπὶ τῶν τοιούτων λόγων ὅσον χρήσιμον καρπωσάμενοι, τὸ βλαβερὸν φυλαξώμεθα (37). Εὐθὺς οὖν ἐξ ἀρχῆς ἐπισκοπεῖν ἕκαστον τῶν μαθημάτων, καὶ συναρμόζειν τῷ τέλει προσῆκε, κατὰ τὴν Δωρικὴν παροιμίαν, *τὸν λίθον ποτὶ τὰν σπάρτον ἄγοντας*. Καὶ ἐπειδήπερ δι' ἀρετῆς ἡμᾶς ἐπὶ (38) τὸν βίον καθεῖναι δεῖ τὸν

3. Eadem certe et de historicis dicere habeo, præsertim cum ad audientium animum oblectandum historias conscribunt. Nec etiam rhetorum mentiendi artem imitabimur. Etenim neque in judiciis, neque in aliis actionibus conveniens nobis fuerit mendacium, qui rectam ac veram vitæ viam amplexi simus, et quibus non litigare lege præceptum sit. Sed illa magis probabimus, in quibus virtutem laudaverint, aut C vituperarint vitium. Ut enim reliqui solo florum bono odore aut colore perfruuntur, apes vero mel etiam ex eis excerpere norunt: ita hic quoque, qui non solam ejusmodi librorum jucunditatem ac suavitatem consectantur, iis licet aliquid etiam utilitatis ex illis in anima reponere. Omnino igitur ad apum exemplum, his libris utendum vobis est. Illæ enim neque floribus omnibus ex æquo insidunt, neque etiam ad quos advolarint, eos totos auferre conantur: sed cum ex eis quantum idoneum est ad opus, semel collegere, reliquum dimittunt. Nos quoque si sapimus, ubi quantum nobis congruit, ac veritati affine est, ex his scriptis collegerimus, reliquum prætermittemus. Et quemadmodum in decerpendo roseti flore sentes devitamus: sic et in D talibus sermonibus quidquid utile est carpentes, noxium vitemus. Statim igitur ab initio disciplinas singulas considerare, et ad finem accommodare, operæ pretium est, ut est in Dorico proverbio, *lapidem ad funiculum ducentes*. Et quando per virtutem ad nostram illam vitam pervenire nos oportet, de hac autem multa poetis, multa historicis, multo plura philosophis decantata sunt, ad ejusmodi sermones

(32) Editi ὁρίζονται. At mss. multi ὁρίζωνται.
(33) Sic veteres quinque libri. Editi ἃς κἄν.
(34) Editio Paris. ἐπιτήδειον ὑμῖν. At mss. quatuor ἡμῖν.
(35) Unus mss. ἢ κακίαν διέβαλον. Mox Colb. tertius καὶ τῆς.
(36) Reg. primus ἵνα σωφρονῶμεν. Nec ita multo post Colb. tertius λόγων τὸ ἡδὺ λαβόντες τὸ βλαβερόν.
(37) Editi φυλαξόμεθα. At mss. multi φυλαξώμεθα. Statim Colb. tertius περισκοπεῖν.
(38) Editio Paris. ἡμᾶς ἐπί. Editio Basil. et duo mss. ἡμῖν ἐπί. Alii quatuor mss. ἀρετῆς ἐπὶ τὸν βίον ἡμῖν καθεῖναι, alio ordine.

maxime adjungendus animus est. Nec enim utilitas parva est, familiaritatem quamdam atque consuetudinem virtutis ingenerari adolescentum animis, cum soleant inconcussa permanere talium documenta, alte in eis ob animorum teneritudinem impressa insculptaque. Ecquid tandem aliud Hesiodum cogitasse putabimus, cum illos versus ab omnibus decantatos composuit, nisi ut adhortaretur adolescentes ad virtutem? Aspera quidem, inquit, primum est et accessu difficilis, multoque sudore ac labore plena, atque ardua via, quæ deducit ad virtutem. Quapropter non est cujusvis ad eam viam accedere, ob acclivitatem : neque ei, qui accessit, facile est ad extremum pervenire. Sed, cum semel summum attigerit, intueri licebit quam lævis et pulchra **177** sit, quam facilis et expedita, jucundiorque itinere alio ad vitium ducente : quod statim ob viciniam arripi posse dixit idem ille poeta. Mihi enim videtur, cum hæc litteris proderet, nihil aliud sibi proposuisse, quam ut hortaretur nos ad virtutem, invitaretque omnes ut essent boni, et ne laboribus fracti, ante obtentum finem desistamus. Atque etiam si quis alius similiter virtutem celebravit, ejus sermones velut in idipsum ferentes recipiamus.

4. Jam vero, ut ego a viro quodam, qui assequendi mentem poetæ peritus erat, audivi, tota Homeri poesis virtutis laus est; in eoque omnia præter id quod ornandi sermonis gratia adjectum est, huc tendunt, maxime autem ubi Cephallenorum ducem e naufragio nudum servatum exhibuit. Primum quidem narrat reginam eum, simul ut in conspectum venit, reveritam esse, tantum aberat ut pudere eum deberet, quod nudus solusque conspiceretur, cum virtus vestium loco eum exornaret. Deinde a reliquis quoque Phæacibus tanti æstimatum esse, ut relictis deliciis in quibus vivebant, suspicerent illum omnes, æmularenturque, nec ullum tunc in Phæacibus fuisse, qui aliud quidquam optaret magis quam ut Ulysses esset, idque e naufragio servatus. In his enim aiebat ille mentis poetæ interpres, Homerum tantum non clamantem dicere : Habenda est vobis, o homines, virtutis cura, quæ et una cum naufrago enatat, et in terram ejectum nudum felicibus Phæacibus reddit venerabiliorem. Et profecto res sic se habet. Nam possessiones reliquæ non sunt possessorum magis quam quorumlibet aliorum, velut in tesserarum ludo huc et illuc translatæ. Virtus autem ex possessionibus sola est, quæ nequeat auferri : tum vivo tum mortuo astans.

A ἡμέτερον, εἰς ταύτην δὲ πολλὰ μὲν ποιηταῖς, πολλὰ δὲ συγγραφεῦσι, πολλῷ δὲ ἔτι πλείω φιλοσόφοις ἀνδράσιν ὕμνηται, τοῖς τοιούτοις τῶν λόγων μάλιστα προσεκτέον. Οὐ μικρὸν γὰρ τὸ ὄφελος, οἰκειότητά τινα καὶ συνήθειαν ταῖς τῶν νέων ψυχαῖς τῆς ἀρετῆς ἐγγενέσθαι· ἐπείπερ ἀμετάστατα πέφυκεν εἶναι τὰ τῶν τοιούτων (39) μαθήματα, δι' ἁπαλότητα τῶν ψυχῶν εἰς βάθος ἐνσημαινόμενα. Ἢ τί ποτε ἄλλο διανοηθέντα τὸν Ἡσίοδον ὑπολάβωμεν ταυτὶ ποιῆσαι τὰ ἔπη, ἃ πάντες ᾄδουσιν, ἢ οὐχὶ προτρέποντα τοὺς νέους ἐπ' ἀρετήν; Ὅτι τραχεῖα μὲν πρῶτον καὶ δύσβατος, καὶ ἱδρῶτος συχνοῦ καὶ πόνου πλήρης, ἡ πρὸς ἀρετὴν φέρουσα, καὶ ἀνάντης, ὁδός. Διόπερ οὐ παντὸς, οὔτε προσβῆναι αὐτῇ διὰ τὸ ὄρθιον, οὔτε, προσβάντι, ῥᾳδίως ἐπὶ τὸ ἄκρον ἐλθεῖν. Ἄνω δὲ γε-
B νομένῳ ὁρᾷν ὑπάρχει, ὡς μὲν λεία τε καὶ καλὴ, ὡς δὲ ῥᾳδία τε καὶ εὔπορος, καὶ τῆς ἑτέρας ἡδίων τῆς ἐπὶ τὴν κακίαν ἀγούσης, ἣν ἀθρόον (40) εἶναι λαβεῖν ἐκ τοῦ σύνεγγυς ὁ αὐτὸς οὗτος ποιητὴς ἔφησεν (41). Ἐμοὶ μὲν γὰρ δοκεῖ οὐδὲν ἕτερον ἢ προτρέπων ἡμᾶς ἐπ' ἀρετὴν, καὶ προκαλούμενος ἅπαντας ἀγαθοὺς εἶναι, ταῦτα διελθεῖν, καὶ ὥστε μὴ καταμαλακισθέντας πρὸς τοὺς πόνους προαποστῆναι τοῦ τέλους. Καὶ μέντοι καὶ εἴ τις ἕτερος ἐοικότα τούτοις τὴν ἀρετὴν ὕμνησεν, ὡς εἰς ταὐτὸν (42) ἡμῖν φέροντας τοὺς λόγους ἀποδεχώμεθα.

4. Ὡς δὲ ἐγώ τινος ἤκουσα δεινοῦ καταμαθεῖν ἀνδρὸς ποιητοῦ διάνοιαν, πᾶσα μὲν ἡ ποίησις τῷ Ὁμήρῳ ἀρετῆς ἐστιν ἔπαινος, καὶ πάντα αὐτῷ πρὸς
C τοῦτο φέρει, ὅ τι μὴ πάρεργον· οὐχ ἥκιστα δὲ ἐν οἷς τὸν στρατηγὸν τῶν Κεφαλλήνων πεποίηκε γυμνὸν ἐκ τοῦ ναυαγίου περισωθέντα, πρῶτον μὲν αἰδέσαι τὴν βασιλίδα φανέντα μόνον· τοσούτου δεῖν αἰσχύνην ὀφλῆσαι γυμνὸν ὀφθέντα μόνον, ἐπειδήπερ (43) αὐτὸν ἀρετὴ ἀντὶ ἱματίων κεκοσμημένον ἐποίησε· ἔπειτα μέντοι καὶ τοῖς λοιποῖς Φαίαξι τοσούτου ἄξιον νομισθῆναι, ὥστε, ἀφέντας τὴν τρυφὴν ᾗ συνέζων, ἐκεῖνον (44) ἀποβλέπειν καὶ ζηλοῦν ἅπαντας, καὶ μηδένα Φαιάκων ἐν τῷ τότε εἶναι ἄλλο τι ἂν εὔξασθαι μᾶλλον, ἢ Ὀδυσσέα γενέσθαι, καὶ ταῦτα ἐκ ναυαγίου περισωθέντα. Ἐν τούτοις γὰρ ἔλεγεν ὁ τοῦ ποιητοῦ τῆς διανοίας ἐξηγητὴς, μονονουχὶ βοῶντα λέγειν τὸν Ὅμηρον, ὅτι Ἀρετῆς ὑμῖν ἐπιμελητέον, ὦ ἄνθρωποι, ἣ καὶ ναυαγήσαντι συνεκνήχεται, καὶ ἐπὶ τῆς
D χέρσου γενόμενον γυμνὸν (45) τιμιώτερον ἀποδείξει τῶν εὐδαιμόνων Φαιάκων. Καὶ γὰρ οὕτως ἔχει. Τὰ μὲν ἄλλα τῶν κτημάτων, οὐ μᾶλλον τῶν ἐχόντων ἢ καὶ οὑτινοσοῦν τῶν ἐπιτυχόντων ἐστὶν, ὥσπερ ἐν παιδιᾷ κύβων τῇδε κἀκεῖσε μεταβαλλόμενα· μόνη δὲ κτημάτων ἡ ἀρετὴ ἀναφαίρετον, καὶ ζῶντι καὶ τελευτήσαντι παραμένουσα. Ὅθεν δὴ καὶ Σόλων

(39) Colb. tertius τὰ τῶν τηλικούτων.... ἁπαλότητα ψυχῆς.
(40) Antiqui duo libri et editi ἀθρόαν. Alii tres ἀθρόον.
(41) In *Ἔργοις καὶ ἡμέραις*, v. 285-290.
(42) Editi εἰς τοῦτον, male. Regii tres mss. et Colb. secundus εἰς ταυτόν, bene. Mox in quibusdam mss. legitur ἀποδεχώμεθα : in aliis vero ἀποδεχόμεθα.

(43) Codex Oliv. et Colb. tertius ὀφθέντα, ἐπειδήπερ. Alii mss. et editi ὀφθέντα μόνον. Lege *Odyss. Z.*
(44) Colbertini duo εἰς ἐκεῖνον. Vocula εἰς neque in vulgatis neque in aliis mss. legitur. Ad sensum quod attinet, nihil refert utrum addatur, necne. Haud longe editio Paris. εὔξεσθαι, male. At mss. εὔξασθαι, optime.
(45) Colb. tertius γυμνὸν ὀφθέντα.

μοι δοκεῖ πρὸς τοὺς εὐπόρους εἰπεῖν τό·

Ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεὶ,
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει (46).

Παραπλήσια δὲ τούτοις καὶ τὰ Θεόγνιδος, ἐν οἷς φησι τὸν Θεὸν, ὅντινα δὴ καὶ φησὶ, τοῖς ἀνθρώποις τὸ τάλαντον ἐπιῤῥέπειν ἄλλοτε ἄλλως, ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δὲ μηδὲν ἔχειν. Καὶ μὴν καὶ ὁ Κεῖός που σοφιστὴς Πρόδικος (47) τῶν ἑαυτοῦ συγγραμμάτων ἀδελφὰ τούτοις εἰς ἀρετὴν καὶ κακίαν ἐφιλοσόφησεν· ᾧ δὴ καὶ αὐτῷ τὴν διάνοιαν προσεκτέον· οὐ γὰρ ἀπόβλητος ὁ ἀνήρ. Ἔχει δὲ οὕτω πως ὁ λόγος αὐτῷ, ὅσα ἐγὼ τοῦ ἀνδρὸς τῆς διανοίας μέμνημαι, ἐπεὶ τά γε ῥήματα οὐκ ἐπίσταμαι, πλήν γε δὴ ὅτι ἁπλῶς οὕτως εἴρηκεν ἄνευ μέτρου. Ὅτι νέῳ ὄντι τῷ Ἡρακλεῖ κομιδῇ, καὶ σχεδὸν ταύτην ἄγοντι τὴν ἡλικίαν, ἣν καὶ ὑμεῖς νῦν, βουλευομένῳ ποτέραν τράπηται τῶν ὁδῶν, τὴν διὰ τῶν πόνων ἄγουσαν πρὸς ἀρετὴν, ἢ τὴν ῥάστην, προσελθεῖν δύο γυναῖκας, ταύτας δὲ εἶναι Ἀρετὴν καὶ Κακίαν· εὐθὺς μὲν οὖν καὶ σιωπώσας ἐμφαίνειν ἀπὸ τοῦ σχήματος τὸ διάφορον. Εἶναι γὰρ τὴν μὲν ὑπὸ κομμωτικῆς διεσκευασμένην εἰς κάλλος, καὶ ὑπὸ τρυφῆς διαῤῥεῖν, καὶ πάντα ἑσμὸν ἡδονῆς ἐξηρτημένην ἄγειν· ταῦτά τε οὖν δεικνύναι, καὶ ἔτι πλείω τούτων ὑπισχνουμένην, ἕλκειν ἐπιχειρεῖν τὸν Ἡρακλέα πρὸς ἑαυτήν· τὴν δ' ἑτέραν κατεσκληκέναι, καὶ αὐχμεῖν, καὶ σύντονον βλέπειν, καὶ λέγειν τοιαῦτα ἕτερα· ὑπισχνεῖσθαι γὰρ οὐδὲν ἀνειμένον, οὐδὲ ἡδὺ, ἀλλ' ἱδρῶτας μυρίους καὶ πόνους καὶ κινδύνους διὰ πάσης ἠπείρου τε καὶ θαλάσσης. Ἆθλον δὲ τούτων εἶναι θεὸν γενέσθαι, ὡς ὁ ἐκείνου λόγος· ᾗπερ δὴ καὶ (48) τελευτῶντα τὸν Ἡρακλέα ξυνέπεσθαι. Καὶ σχεδὸν ἅπαντες, ὧν δὴ καὶ λόγος τίς ἐστιν ἐπὶ σοφίᾳ, ἢ μικρὸν ἢ μεῖζον, εἰς δύναμιν ἕκαστος ἐν τοῖς ἑαυτῶν συγγράμμασιν, ἀρετῆς ἔπαινον διεξῆλθον, οἷς πειστέον καὶ πειρατέον ἐπὶ τοῦ βίου δεικνύναι τοὺς λόγους. Ὡς ὅ γε τὴν ἄχρι ῥημάτων παρὰ τοῖς ἄλλοις φιλοσοφίαν ἔργῳ βεβαιῶν

Οἶος πέπνυται· τοὶ δὲ σκιαὶ ἀΐσσουσι (49).

Καί μοι δοκεῖ τὸ τοιοῦτον παραπλήσιον εἶναι, ὥσπερ ἂν εἰ ζωγράφου θαυμαστόν τι οἷον κάλλος ἀνθρώπου μεμιμημένου, ὁ δὲ αὐτὸς εἴη (50) τοιοῦτος ἐπὶ τῆς ἀληθείας, οἷον ἐπὶ τῶν πινάκων ἐκεῖνος ἔδειξεν. Ἐπεὶ τό γε λαμπρῶς μὲν ἐπαινέσαι τὴν ἀρετὴν εἰς τὸ μέσον, καὶ μακροὺς ὑπὲρ αὐτῆς ἀποτείνειν λόγους, ἰδίᾳ δὲ τὸ ἡδὺ πρὸ τῆς σωφροσύνης, καὶ τὸ πλέον ἔχειν πρὸ τοῦ δικαίου τιμᾷν, ἐοικέναι φαίην ἂν ἔγωγε τοῖς ἐπὶ σκηνῆς ὑποκρινομένοις τὰ δράματα· οἳ ὡς βασιλεῖς καὶ δυνάσται πολλάκις εἰσέρχονται, οὔτε

A Unde et Solon mihi videtur illud ad divites dicere :

Sed nos divitiis non commutabimus ullis
Partam virtutem : nam semper firma manebit
At vero huc illuc humana pecunia transit.

Consimiles autem his sunt et Theognidis versus, in quibus dicit Deum (quemcunque tandem ille Deum dicat) hominibus alio et alio modo trutinam degravare, interdum illos divitiis affluere, interdum nihil habere. Quin et Ceus sophista Prodicus alicubi in suis scriptis affinia his in virtutem ac vitium conscripsit : qui et ipse audiendus attento animo est, cum vir sit non contemnendus. Hæc autem dicit, quantum ego viri sententiam memoria teneo, siquidem verba ipsa non memini, nisi quod hæc simpliciter absque metro enarrarit. B Nimirum ad Herculem juvenem, et fere eam ætatem, quam nunc vos, agentem, et utram viam, hancne quæ per labores ad virtutem ducit, an alteram illam facillimam carperet, **178** deliberantem, mulieres duas accessisse, eas autem esse Virtutem ac Vitium, et ipsas tacentes discrimen quod inter se intererat, habitu ipso confestim declarasse. Unam quidem a comendi arte pulchritudinis comparandæ causa exornari, et deliciis diffluere, omneque voluptatis examen secum copulatum ducere, isthæc ostendere, et plura his adhuc pollicentem conari Herculem ad se trahere : alteram vero macram et squalidam esse, et habere oculos intentos, et talia alius generis proferre, polliceri nihil remissum, nihil jucundum, C sed permultos sudores laboresque, ac pericula tota terra marique subeunda : præmium autem horum esse, deum fieri (ut quidem ille loquitur); denique hanc ipsam Herculem secutum esse. Et fere quotquot sese ob sapientiam spectabiles aliquo modo præstitere, singuli pro viribus, aut minus aut amplius, virtutis laudem in suis scriptis reliquerunt, quibus obtemperandum est, eorumque sermones ipsa vita exprimere conandum. Nam qui philosophiam verbotenus apud alios manentem facto confirmarit, sapit solus, reliqui velut umbræ volitant. Hocque mihi videtur esse ejusmodi, tanquam si pictor admirandum quiddam, puta hominis pulchritudinem, imitatus sit : hic autem ipse talis vere exsistat, qualem ille in tabulis expressit. D Nam magnifice in propatulo virtutem collaudare, et orationes longas de ea habere, privatim vero voluptatem temperantiæ præferre, et quæstum justitiæ anteponere, hoc ego dixerim simile esse actoribus scenicis personas quasdam sustinentibus, qui plerumque velut reges et dynastæ introducuntur, cum

(46) Et Plutarchus quoque in *Solonis Vita*, c. 3, hos versus tribuit Soloni : sed tamen inter Theognidis *Gnomas* versu 316 legi, jam pridem notavit Ducæus. Nec ita multo post in Colb. tertio e regione vocis ἔμπεδον legitur βέβαιον. Librarius autem cum hanc vocem in margine addidit, nihil aliud sibi proposuisse videtur, nisi ut moneret ἔμπεδον idem valere quod βέβαιον.

(47) Sic Colb. secundus et tertius cum Reg. tertio. Vox Πρόδικος deest in vulgatis. Notat quoque Combefisius, nomen Πρόδικος in suo cod. Maz. reperiri : sed cum mihi verisimile fiat hunc codicem unum aliquem e nostris esse, ipsum numerare nolui. Lege Ducæum.

(48) Unus Colb. δὴ οὖν καί.

(49) Versus est Homeri *Ὀδυσσ. Κ*, 495, qui scriptus est de Tiresia vate Thebano.

(50) Colb. tertius αὐτός τις εἴη. Mox idem codex ἐπαινεῖν τήν.

neque reges sint, neque dynastæ, et forte omnino ne liberi quidem. Ad hæc musicus non lubens tolerarit sibi esse dissonam lyram : neque præfectus chori chorum sibi astare, qui quam maxime concinnus non sit. A se igitur quisque dissidebit ipse, nec vitam cum verbis consentientem exhibebit : sed lingua quidem juravit, mens vero injurata est, dicet ex Euripide; et videri potius bonus quam esse studebit. Atqui hic est extremus injustitiæ terminus, si qua fides Platoni habenda est, quempiam videri justum, qui non sit. Sermones igitur qui rerum honestarum complectuntur præcepta, sic recipiamus. Et quoniam bonæ quoque priscorum hominum actiones aut memoriæ successione ad nos usque conservantur, aut in poetarum aut historicorum monumentis custodiuntur, ne utilitas quidem, quæ hinc nasci potest, desit nobis. Verbi gratia, homo quidam circumforaneus conviciis Periclem consectabatur, hic autem non attendebat, et die tota perstitit uterque, ille quidem permultis probris incessens, hic vero nequaquam curans. Deinde vespere jam facto, tenebrisque obortis, vix discedentem Pericles facem præferens deduxit, ne sibi inutilis foret exercitatio philosophiæ. Rursus quidam Euclidi Megarensi iratus, mortem ei **179** minitatus est, ac juravit : hic rursum juravit facturum se ut sibi ille placaretur ac infestus esse desineret. Quam utile fuerit talium exemplorum aliquid in memoriam venire, cum vir jam ab ira detinetur! Nam credendum non est tragœdiæ temere dicenti : *In hostes ira armat manum :* sed longe satius ne irasci quidem omnino. Quod si id facile factu non est, rationem certe velut frenum iræ objicientes, efferri eam ulterius ne permittamus.

5. Sed rursus orationem reducamus ad actionum bonarum exempla. Percutiebat quidam Sophronisci filium Socratem in ipsam faciem, facto sæpius impetu : hic autem nihil repugnavit, sed sivit ebriosum illum iram suam exsatiare, sic ut intumesceret jam ejus vultus præ plagis, esselque saniosus. Ubi autem ille a verberibus destitisset, Socrates quidem nihil aliud fecisse dicitur, quam fronti suæ quasi statuæ inscripsisse auctorem, *Talis faciebat*, seque hoc modo vindicasse. Hæc fere cum tendant eodem ac nostra, operæ pretium esse censeo viros tantos nobis esse imitandos. Illud enim Socratis germanum est præcepto illi, maxillam cædenti præbere oportere et alteram[6], nedum ulciscamur nos. Periclis autem factum, aut Euclidis, est huic simile, quod persequentes sustinere, et ipsorum iram

A βασιλεῖς ὄντες, οὔτε δυνάσται, οὐδὲ μὲν συν, τυχὸν, ἐλεύθεροι τὸ παράπαν. Εἶτα μουσικὸς μὲν οὐκ ἂν ἑκὼν δέξαιτο ἀνάρμοστον αὐτῷ τὴν λύραν εἶναι· καὶ χοροῦ κορυφαῖος, μὴ ὅτι μάλιστα συνᾴδοντα τὸν χορὸν ἔχειν. Αὐτὸς δέ τις ἕκαστος διαστασιάσει πρὸς ἑαυτὸν, καὶ οὐχὶ τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται· ἀλλ' ἡ γλῶττα (51) μὲν ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος, κατ' Εὐριπίδην ἐρεῖ· καὶ τὸ δοκεῖν ἀγαθὸς πρὸ τοῦ εἶναι διώξεται. Ἀλλ' οὗτός ἐστιν ὁ ἔσχατος τῆς ἀδικίας ὅρος, εἴ τι δεῖ Πλάτωνι πείθεσθαι, τὸ δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα. Τοὺς μὲν οὖν τῶν λόγων, οἳ τὰς τῶν καλῶν ἔχουσιν ὑποθήκας, οὕτως ἀποδεχώμεθα. Ἐπειδὴ δὲ καὶ πράξεις σπουδαῖαι τῶν παλαιῶν ἀνδρῶν ἢ μνήμης ἀκολουθίᾳ πρὸς ἡμᾶς διασώζονται, ἢ ποιητῶν ἢ συγγραφέων φυ-

B λαττόμεναι λόγοις, μηδὲ τῆς ἐντεῦθεν ὠφελείας ἀπολειπώμεθα. Οἷον, ἐλοιδόρει τὸν Περικλέα τῶν ἐξ ἀγορᾶς τις ἀνθρώπων· ὁ δὲ οὐ προσεῖχε· καὶ εἰς πᾶσαν διήρκεσε (52) τὴν ἡμέραν, ὁ μὲν ἀφειδῶς πλύνων αὐτὸν τοῖς ὀνείδεσιν, ὁ δὲ οὐ μέλων αὐτῷ. Εἶτα ἑσπέρας ἤδη καὶ σκότους ἀπαλλαττόμενον μόλις ὑπὸ φωτὶ παρέπεμψε Περικλῆς, ὅπως αὐτῷ μὴ διαφθαρείη τὸ πρὸς φιλοσοφίαν γυμνάσιον. Πάλιν τις Εὐκλείδῃ τῷ Μεγαρόθεν παροξυνθεὶς θάνατον ἠπείλησε, καὶ ἐπώμοσεν· ὁ δὲ ἀντώμοσεν ἦ μὴν ἱλεώσασθαι αὐτὸν, καὶ παύσειν χαλεπῶς πρὸς αὐτὸν ἔχοντα. Πόσου ἄξιον τῶν τοιούτων τι παραδειγμάτων εἰσελθεῖν τὴν μνήμην, ἀνδρὸς ὑπὸ ὀργῆς ἤδη κατεχομένου! Τῇ τραγῳδίᾳ γὰρ οὐ πιστευτέον ἁπλῶς

C λεγούσῃ· *Ἐπ' ἐχθροὺς θυμὸς ὁπλίζει χεῖρα*· ἀλλὰ μάλιστα μὲν μηδὲ διανίστασθαι πρὸς θυμὸν τὸ παράπαν· εἰ δὲ μὴ ῥᾴδιον τοῦτο, ἀλλ' ὥσπερ χαλινὸν αὐτῷ τὸν λογισμὸν ἐμβάλλοντας, μὴ ἐᾷν ἐκφέρεσθαι περαιτέρω.

5. Ἐπαναγάγωμεν δὲ τὸν λόγον αὖθις πρὸς τὰ τῶν σπουδαίων πράξεων παραδείγματα. Ἔτυπτέ τις τὸν Σωφρονίσκου Σωκράτην εἰς αὐτὸ τὸ πρόσωπον ἐμπεσὼν ἀφειδῶς· ὁ δὲ οὐκ ἀντῆρεν, ἀλλὰ παρεῖχε τῷ παροινοῦντι τῆς ὀργῆς ἐμφορεῖσθαι, ὥστε ἐξοιδεῖν ἤδη καὶ ὕπουλον αὐτῷ τὸ πρόσωπον ὑπὸ τῶν πληγῶν (53) εἶναι. Ὡς δ' οὖν ἐπαύσατο τύπτων, ἄλλο μὲν οὐδὲν ὁ Σωκράτης ποιῆσαι, ἐπιγράψαι δὲ τῷ μετώπῳ λέγεται, ὥσπερ ἀνδριάντι, τὸν δημιουργὸν, *Ὁ δεῖνα ἐποίει*· καὶ τοσοῦτον (54) ἀμύνασθαι. Ταῦτα

D σχεδὸν εἰς ταὐτὸν τοῖς ἡμετέροις φέροντα πολλοῦ ἄξιον εἶναι μιμήσασθαι τοὺς τηλικούτους φημί. Τουτὶ μὲν γὰρ τὸ τοῦ Σωκράτους ἀδελφὸν ἐκείνῳ τῷ παραγγέλματι, ὅτι τῷ τύπτοντι κατὰ τῆς σιαγόνος καὶ τὴν ἑτέραν παρέχειν προσῆκε, τοσούτου δεῖν ἀπαμύνασθαι· τὸ δὲ τοῦ Περικλέους ἢ τὸ Εὐκλείδου (55)

[6] Matth. v, 39.

(51) Ducæus, ut solet, hunc locum, ἀλλ' ἡ γλῶττα, etc., in suis notis docte et exquisite illustrat.

(52) Colb. tertius διήρκεσαν, *perstiterunt*. Editi et alii mss. διήρκεσε. Si leges διήρκεσε, supplenda est vox ἑκάτερος, *perstitit uterque*. Subinde Colb. secundus prima manu ἀφειδῶς ἐλαύνων.

(53) Colb. tertius πληγῶν ἃς ἔλαβεν. Nec ita multo post idem codex ὥσπερ ἐν ἀνδριάντι. Notam quam in hunc locum, ὁ δεῖνα ἐποίει, addidit vir eruditissimus Ducæus, legere poterunt curiosi.

(54) Utraque editio et Reg. tertius τοσούτου. At Colbertini duo et Reg. primus τοσοῦτον.

(55) In Colb. tertio legitur Εὐκλείδους : at et editi et alii mss. habent Εὐκλείδου. Haud longe editio utraque, hoc est, Paris. et Basil. εὔχεσθαι τούτοις ἀγαθά. Libri veteres εὔχεσθαι τὰ ἀγαθά.

τῷ τοὺς διώκοντας ὑπομένειν, καὶ πράως αὐτῶν τῆς A ὀργῆς ἀνέχεσθαι· καὶ τῷ τοῖς ἐχθροῖς εὔχεσθαι τὰ ἀγαθὰ, ἀλλὰ μὴ ἐπαρᾶσθαι. Ὡς ὅ γε ἐν τούτοις προπαιδευθεὶς οὐκ ἔτ' ἂν ἐκείνοις ὡς ἀδυνάτοις διαπιστήσειεν. Οὐκ ἂν παρέλθοιμι τὸ τοῦ Ἀλεξάνδρου, ὃς, τὰς θυγατέρας Δαρείου αἰχμαλώτους λαβὼν, θαυμαστόν τι (56) οἷον τὸ κάλλος παρέχειν μαρτυρουμένας, οὐδὲ προσιδεῖν ἠξίωσεν· αἰσχρὸν εἶναι κρίνων, τὸν ἄνδρας ἑλόντα, γυναικῶν ἡττηθῆναι. Τουτὶ γὰρ εἰς ταὐτὸν ἐκείνῳ φέρει, ὅτι ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναικὶ, κἂν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, ἀλλὰ τῷ γε τὴν ἐπιθυμίαν τῇ ψυχῇ παραδέξασθαι οὐκ ἀφίεται τοῦ ἐγκλήματος. Τὸ δὲ τοῦ Κλεινίου, τῶν Πυθαγόρου γνωρίμων ἑνὸς, χαλεπὸν πιστεῦσαι ἀπὸ ταὐτομάτου συμβῆναι τοῖς ἡμετέροις, ἀλλ' οὐχὶ μιμησαμένου σπουδῇ. Τί δὲ ἦν ὃ ἐποίησεν B ἐκεῖνος; Ἐξὸν δι' ὅρκου τριῶν ταλάντων ζημίαν ἀποφυγεῖν, ὁ δὲ ἀπέτισε μᾶλλον ἢ ὤμοσε, καὶ ταῦτα εὐορκεῖν μέλλων· ἀκούσας, ἐμοὶ δοκεῖν, τοῦ προστάγματος τὸν ὅρκον ἡμῖν ἀπαγορεύοντος. Ἀλλ', ὅπερ ἐξ ἀρχῆς ἔλεγον, πάλιν εἰς ταὐτὸν ἐπανίωμεν· οὐ πάντα ἐξῆς παραδεκτέον ἡμῖν, ἀλλ' ὅσα χρήσιμα. Καὶ γὰρ αἰσχρὸν τῶν μὲν σιτίων τὰ βλαβερὰ διωθεῖσθαι, τῶν δὲ μαθημάτων, ἃ τὴν ψυχὴν ἡμῶν τρέφει, μηδένα λόγον ἔχειν, ἀλλ' ὥσπερ χειμάῤῥουν παρασύροντας ἅπαν τὸ προστυχὸν ἐμβάλλεσθαι. Καίτοι τίνα ἔχει λόγον κυβερνήτην μὲν οὐκ εἰκῇ τοῖς πνεύμασιν ἐφιέναι, ἀλλὰ πρὸς ὅρμους εὐθύνειν τὸ σκάφος, καὶ τοξότην κατὰ σκοποῦ βάλλειν, καὶ μὲν δὴ καὶ χαλκευτικόν τινα ἢ τεκτονικὸν ὄντα τοῦ κατὰ C τὴν τέχνην ἐφίεσθαι τέλους· ἡμᾶς δὲ καὶ τῶν τοιούτων δημιουργῶν ἀπολείπεσθαι, πρός γε τὸ συνορᾷν δύνασθαι τὰ ἡμέτερα; Οὐ γὰρ δὴ τῶν μὲν χειρωνακτῶν ἔστι τι (57) πέρας τῆς ἐργασίας, τοῦ δὲ ἀνθρωπίνου βίου σκοπὸς οὐκ ἔστι, πρὸς ὃν ἀφορῶντα πάντα ποιεῖν καὶ λέγειν χρὴ τόν γε μὴ τοῖς ἀλόγοις παντάπασι προσεοικέναι μέλλοντα. Ἢ οὕτως ἂν εἴημεν ἀτεχνῶς κατὰ τῶν πλοίων τὰ ἀνερμάτιστα, οὐδενὸς ἡμῖν νοῦ ἐπὶ τῶν τῆς ψυχῆς οἰάκων καθεζομένου, εἰκῇ κατὰ τὸν βίον ἄνω καὶ κάτω περιφερόμενοι· ἀλλ' ὥσπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, εἰ δὲ βούλει, τῆς μουσικῆς, ἐκείνων εἰσὶ τῶν ἀγώνων αἱ μελέται, ὧνπερ οἱ στέφανοι πρόκεινται, καὶ οὐδεὶς (58) γε πάλην ἀσκῶν ἢ παγκράτιον, εἶτα κιθαρίζειν ἢ αὐλεῖν μελετᾷ. Οὔκουν ὁ Πολυδάμας γε, D ἀλλ' ἐκεῖνος πρὸ τοῦ ἀγῶνος τοῦ Ὀλυμπιάσι τὰ ἅρματα ἵστη τρέχοντα, καὶ διὰ τούτων τὴν ἰσχὺν ἐκράτυνε. Καὶ ὅ γε Μίλων ἀπὸ τῆς ἀληλιμμένης ἀσπίδος οὐκ ἐξωθεῖτο, ἀλλ' ἀντεῖχεν ὠθούμενος οὐχ ἧττον ἢ οἱ ἀνδριάντες οἱ τῷ μολύβδῳ συνδεδεμένοι. Καὶ ἁπαξαπλῶς αἱ μελέται αὐτοῖς παρασκευαὶ τῶν ἄθλων ἦσαν. Εἰ δὲ τὰ Μαρσύου (59) ἢ τὰ Ὀλύμπου

leniter tolerare oporteat: huic rursus, quod inimicis bene, non male precari debeamus[7]. Quare quisquis in his fuerit prius eruditus, præceptis illis, tanquam quæ fieri non possint, non denegabit amplius fidem. Neque vero præterierim Alexandri factum, qui cum filias Darii captivas haberet, quarum incredibilis pulchritudo fuisse prædicatur, ne aspicere quidem dignatus est: turpe esse judicans, virorum victorem vinci a mulieribus. Hoc spectat eodem atque illud, quod qui aspexerit mulierem libidinose, quanquam adulterium opere non commisit, quoniam tamen concupiscentiam in animum admisit, crimine non vacet[8]. Quin et illud Cliniæ, qui unus e Pythagoræ discipulis est, vix crediderim cum nostris institutis fortuito consentire, non consulto ea imitari. Ecquid autem erat, quod fecit ille? Jurejurando cum ei liceret talentorum trium effugere multam, solvere maluit quam jurare, idque cum non esset falso juraturus; præceptum quo nobis jusjurandum interdicitur[9], ut mihi videtur, edoctus. Sed ad hoc idem quod initio dicebam, rursus revertamur: non omnia ex ordine, sed solum quæ utilia sunt, suscipienda nobis esse. Turpe namque fuerit rejicere nos cibos exitiosos, disciplinarum vero quæ animam nostram nutriunt, rationem nullam habere, sed torrentis in morem quidquid obvium est trahentes, id in animum recondere. Et quidem quomodo rationi consentaneum est, ut nauclerus non temere se ventis permittat, sed ad portum dirigat scapham, sagittariusque in scopum intendat, et faber ferrarius aut lignarius finem artis appetat: nos vero inferiores simus **180** opificibus ejusmodi, cum certe res nostras intelligere possumus? Itane artificum operi inerit finis quispiam, humanæ vero vitæ scopus nullus est, cujus intuitu omnia facere ac dicere oporteat eum qui brutis animalibus omnino similis esse nolit? Aut sic temere instar navigiorum non saburratorum, mente nostra ad animæ gubernacula non sedente, sursum ac deorsum per vitam circumferremur; sed quemadmodum in gymnicis certaminibus, inque musicis, si ita placet, eorum certaminum quorum coronæ proponuntur, exercitationes fiunt, nec quisquam ad luctam exercens se, aut ad pancratium, subinde cithara aut tibia canere meditatur. Non Polydamas certe, sed ille ante certamen in Olympiis currus agitatos retinebat, et inde vires ac robur intendebat. Milo quoque a scuto illito non dimovebatur, sed impulsus resistebat, non minus quam statuæ eæ quæ plumbo colligantur. Et uno verbo, exercitatione præparabantur ad certamina. Quod si, pulvere ac gymnasiis relictis, ad sonos modos-

[7] Matth. v, 44. [8] ibid. 28. [9] ibid. 33.

(56) Ita libri antiqui. Vocula τι in editis desideratur.

(57) Illud τι e priscis libris additum est. Aliquanto post quatuor aut quinque mss. παντάπασι προσεοικέναι. Vox prior in vulgatis deerat.

(58) Editi στέφανοι, καὶ οὐδείς. At mss. tres στέφανοι πρόκεινται, καὶ οὐδείς. Subinde unus ms. ἰσχὺν ἐκρατύνετο.

(59) Unus ms. τὰ Μαρσίου. Editi et alii mss. τὰ Μαρσύου.

que Marsyæ aut Olympi Phrygum curiosius attendissent, num statim fuissent coronas ac gloriam assecuti, aut cavissent ne in corpore ridiculi viderentur? Contra, Timotheus cantu dimisso, in palæstris non degebat. Neque enim ita omnibus musica præstitisset, cui scilicet tanta inesset artis peritia, ut et animum per concitatam austeramque harmoniam ad iram excitaret, et rursus demulceret emollireṭque per remissam, cum vellet. Hac item arte, cum aliquando Phrygios modos Alexandro incinuisset, incitasse eum dicitur ad arma inter cœnandum : et rursus reduxisse ad convivas, cantu remisso. Vim adeo magnam et in musica, et in gymnicis certaminibus ad finem consequendum exercitatio præbet.

6. Quoniam vero coronarum memini et athletarum, illi laboribus sexcentis super sexcentos exantlatis, et undecunque aucto sibi robore, posteaquam multum gymnicis laboribus desudarunt, plagasque multas in exercitiorum loco accepere, et victum non jucundissimum, sed a magistris exercitiorum præscriptum sumpsere, et ne longum faciam, ubi in reliquis ita vixerunt, ut ipsorum vita ante certamen certaminis exercitatio sit, tunc exuunt se ad stadium, nullum non laborem, nullum non periculum adeuntes, ut oleastri, aut apii, aut alterius cujusvis rei similis accipiant coronam, et victores per præconem renuntientur. Nobis autem, quibus proposita sunt vitæ præmia, eaque tam et ob multitudinem et ob magnitudinem miranda, ut verbis explicari non possint, si in utramque aurem dormimus, et valde licenter vivimus, dabiturne hæc præmia manu altera arripere? Ita enim et laudanda esset deses vita, et Sardanapalus ille haberetur omnium felicissimus, aut etiam Margites ille, si lubet, quem Homerus ait neque arasse, **181** neque fodisse, neque aliud quidquam eorum quæ in vitæ commodum cedunt, peregisse, si tamen Homeri hæc sint. Nonne potius verus est Pittaci sermo, qui difficile esse dixit bonum esse? Etenim nobis reipsa multos labores perpessis vix tandem licebit bona illa assequi, quorum antea dicebam nullum exemplum in humanis reperiri. Non igitur incuriose vivendum nobis est, neque spes magnæ otio brevi commutandæ, nisi velimus probra sustinere, pœnasque subire, non hic quidem apud homines (quanquam et hoc parvum non est saltem prudenti ac cordato), sed in judicii locis, sive sub terra, sive ubivis constituta sint. Enimvero a recto decoroque præter animi sententiam qui aberrarit, forte veniam aliquam obtinebit a Deo : qui vero fuerit consulto mala amplexus, implacabiliter supplicia

A τῶν Φρυγῶν περιειργάζοντο κρούματα, καταλιπόντες τὴν κόνιν καὶ τὰ γυμνάσια, ταχὺ (60) γ' ἂν στεφάνων ἢ δόξης ἔτυχον, ἢ διέφυγον τὸ μὴ καταγέλαστοι εἶναι κατὰ τὸ σῶμα; Ἀλλ' οὐ μέντοι οὐδὲ ὁ Τιμόθεος, τὴν μελῳδίαν ἀφεὶς, ἐν ταῖς παλαίστραις διῆγεν. Οὐ γὰρ ἂν τοσοῦτον ὑπῆρξεν αὐτῷ διενεγκεῖν ἁπάντων τῇ μουσικῇ, ᾧ γε τοσοῦτον περιῆν τῆς τέχνης, ὥστε καὶ θυμὸν ἐγείρειν διὰ τῆς συντόνου καὶ αὐστηρᾶς ἁρμονίας, καὶ μέντοι καὶ χαλᾷν καὶ μαλάττειν (61) πάλιν διὰ τῆς ἀνειμένης, ὁπότε βούλοιτο. Ταύτῃ τοι καὶ Ἀλεξάνδρῳ ποτὲ τὸ Φρύγιον ἐπαυλήσαντα, ἐξαναστῆσαι αὐτὸν ἐπὶ τὰ ὅπλα λέγεται μεταξὺ δειπνοῦντα, καὶ ἐπαναγαγεῖν πάλιν πρὸς τοὺς συμπότας, τὴν ἁρμονίαν χαλάσαντα. Τοσαύτην ἰσχὺν ἔν τε μουσικῇ καὶ τοῖς γυμνικοῖς ἀγῶσι πρὸς τὴν
B τοῦ τέλους κτῆσιν ἡ μελέτη παρέχεται.

6. Ἐπεὶ δὲ στεφάνων καὶ ἀθλητῶν ἐμνήσθην, ἐκεῖνοι, μυρία παθόντες ἐπὶ μυρίοις, καὶ πολλαχόθεν τὴν ῥώμην ἑαυτοῖς συναυξήσαντες, πολλὰ μὲν γυμναστικοῖς ἐνιδρώσαντες πόνοις, πολλὰς δὲ πληγὰς ἐν παιδοτρίβου λαβόντες, δίαιταν δὲ οὐ τὴν ἡδίστην, ἀλλὰ τὴν παρὰ τῶν γυμναστῶν αἱρούμενοι, καὶ τἄλλα, ἵνα μὴ διατρίβω λέγων, οὕτω διάγοντες, ὡς τὸν πρὸ τῆς ἀγωνίας βίον μελέτην εἶναι τῆς ἀγωνίας, τηνικαῦτα ἀποδύονται πρὸς τὸ στάδιον, καὶ πάντα πονοῦσι καὶ κινδυνεύουσιν, ὥστε κοτίνου λαβεῖν στέφανον, ἢ σελίνου, ἢ ἄλλου τινὸς τῶν τοιούτων, καὶ νικῶντες ἀναῤῥηθῆναι παρὰ τοῦ κήρυκος. Ἡμῖν δὲ, οἷς ἆθλα τοῦ βίου πρόκειται οὕτω θαυμαστὰ πλήθει
C τε καὶ μεγέθει, ὥστε ἀδύνατα εἶναι ῥηθῆναι λόγῳ, ἐπ' ἄμφω καθεύδουσι, καὶ κατὰ πολλὴν διαιτωμένοις ἄδειαν, τῇ ἑτέρᾳ λαβεῖν τῶν χειρῶν ὑπάρξει; Πολλοῦ μέν τ' ἂν ἄξιον ἦν ἡ ῥᾳθυμία τῷ βίῳ, καὶ ὅ γε Σαρδανάπαλος (62) τὰ πρῶτα πάντων εἰς εὐδαιμονίαν ἐφέρετο, ἢ καὶ ὁ Μαργίτης, εἰ βούλει, ὃν οὔτ' ἀροτῆρα, οὔτε σκαπτῆρα, οὔτε ἄλλο τι τῶν κατὰ τὸν βίον ἐπιτηδείων εἶναι Ὅμηρος ἔφησεν, εἰ δὴ Ὁμήρου ταῦτα. Ἀλλὰ μὴ ἀληθὴς μᾶλλον ὁ τοῦ Πιττακοῦ λόγος, ὃς χαλεπὸν ἔφησεν (63) ἐσθλὸν ἔμμεναι; Διὰ πολλῶν γὰρ δὴ τῷ ὄντι πόνων διεξελθοῦσι μόλις ἂν τῶν ἀγαθῶν ἐκείνων τυχεῖν ἡμῖν περιγένοιτο, ὧν ἐν τοῖς ἄνω λόγοις οὐδὲν εἶναι παράδειγμα τῶν ἀνθρωπίνων ἐλέγομεν. Οὐ δὴ οὖν ῥᾳθυμητέον ἡμῖν, οὐδὲ τῆς ἐν βραχεῖ ῥᾳστώνης μεγάλας ἐλπίδας ἀνταλλα-
D κτέον, εἴπερ μὴ μέλλοιμεν ὀνείδη τε ἕξειν καὶ τιμωρίας ὑφέξειν, οὔτι παρὰ τοῖς ἀνθρώποις ἐνθάδε (καίτοι καὶ τοῦτο οὐ μικρὸν τῷ γε νοῦν ἔχοντι), ἀλλ' ἐν τοῖς, εἴτε ὑπὸ γῆν, εἴτε καὶ ὅπου δὴ τοῦ παντὸς ὄντα τυγχάνει, δικαιωτηρίοις (64). Ὡς τῷ μὲν ἀκουσίως τοῦ προσήκοντος ἁμαρτόντι κἂν συγγνώμη τις ἴσως παρὰ τοῦ Θεοῦ γένοιτο· τῷ δὲ ἐξεπίτηδες τὰ χείρω προελομένῳ οὐδεμία παραίτησις τὸ μὴ οὐχὶ πολλαπλασίω τὴν κόλασιν ὑποσχεῖν. Τί οὖν ποιῶμεν; φαίη

(60) Combefisius dubitat utrum legendun sit ταχύ, an τάχα : sed si habeatur ratio veterum librorum, dubium non est quin legi oporteat ταχύ, cum ita scriptum sit in omnibus. Notam interrogationis ex editione Basileensi apposuimus post vocem σῶμα.

(61) Colb. tertius καὶ ἐκμαλάττειν. Mox idem codex Ταῦτά τοι καὶ τὸ ἐναγώνιον Ἀλεξάνδρῳ. At editi et alii tres mss. ut in contextu.

(62) Unus ms. Σαρδανάπαλλος. Mox in Colb. tertio pro Μαργίτης legitur Μαργαρίτης.

(63) Colb. tertius ὅς χαλεπόν φησιν.

(64) Editio utraque δικαστηρίοις. Veteres quinque libri δικαιωτηρίους.

τις ἄν. Τί ἄλλο γε ἢ τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν, πᾶσαν σχολὴν ἀπὸ τῶν ἄλλων ἄγοντας (65);

7. Οὐ δὴ οὖν τῷ σώματι δουλευτέον, ὅτι μὴ πᾶσα ἀνάγκη· ἀλλὰ τῇ ψυχῇ τὰ βέλτιστα ποριστέον, ὥσπερ ἐκ δεσμωτηρίου τῆς πρὸς τὰ τοῦ σώματος πάθη κοινωνίας (66) αὐτὴν διὰ φιλοσοφίας λύοντας, ἅμα δὲ καὶ τὸ σῶμα τῶν παθῶν κρεῖττον ἀπεργαζομένους. Γαστρὶ μέν γε τὰ ἀναγκαῖα ὑπηρετοῦντας, οὐχὶ τὰ ἥδιστα προσῆκεν, ὡς οἵ γε τραπεζοποιούς τινας καὶ μαγείρους περινοοῦντες, καὶ πᾶσαν διερευνώμενοι γῆν τε καὶ θάλασσαν, οἷόν τινι χαλεπῷ δεσπότῃ φόρους ἀπάγοντες, ἐλεεινοὶ τῆς ἀσχολίας, τῶν ἐν ᾅδου κολαζομένων οὐδὲν πάσχοντες ἀνεκτότερον, ἀτεχνῶς εἰς πῦρ ξαίνοντες, καὶ κοσκίνῳ φέροντες ὕδωρ, καὶ εἰς τετρημένον (67) ἀντλοῦντες πίθον, B οὐδὲν πέρας τῶν πόνων ἔχοντες· κουρὰς δὲ καὶ ἀμπεχόνας ἔξω τῶν ἀναγκαίων περιεργάζεσθαι ἢ δυστυχούντων ἐστὶ, κατὰ τὸν Διογένους λόγον, ἢ ἀδικούντων. Ὥστε καλλωπιστὴν εἶναι καὶ ὀνομάζεσθαι ὁμοίως αἰσχρὸν ἡγεῖσθαί φημι δεῖν τοὺς τοιούτους, ὡς τὸ ἑταιρεῖν ἢ ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν. Τί γὰρ ἂν διαφέροι τῷ γε νοῦν ἔχοντι ξυστίδα ἀναβεβλῆσθαι, ἤ τι τῶν φαύλων ἱμάτιον φέρειν, ἕως ἂν (68) μηδὲν ἐνδέῃ τοῦ πρὸς χειμῶνά τε εἶναι καὶ θάλπος ἀλεξητήριον; Καὶ τἄλλα δὴ τὸν αὐτὸν τρόπον μὴ περιττότερον τῆς χρείας κατεσκευάσθαι, μηδὲ περιέπειν τὸ σῶμα πλέον ἢ ὡς ἄμεινον τῇ ψυχῇ. Οὐχ ἧττον γὰρ ὄνειδος ἀνδρὶ, τῷ γε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίῳ, καλλωπιστὴν καὶ φιλοσώματον C εἶναι, ἢ πρὸς ἄλλο τι τῶν παθῶν ἀγεννῶς διακεῖσθαι. Τὸ γὰρ τὴν πᾶσαν σπουδὴν εἰσφέρεσθαι, ὅπως ὡς κάλλιστα αὐτῷ τὸ σῶμα ἕξοι, οὐ διαγινώσκοντός (69) ἐστιν ἑαυτὸν, οὐδὲ συνιέντος τοῦ σοφοῦ παραγγέλματος, ὅτι οὐ τὸ ὁρώμενόν ἐστιν ὁ ἄνθρωπος, ἀλλά τινος δεῖται περιττοτέρας σοφίας, δι' ἧς ἕκαστος ἡμῶν, ὅστις ποτέ ἐστιν, ἑαυτὸν ἐπιγνώσεται. Τοῦτο δὲ μὴ καθηραμένοις τὸν νοῦν ἀδυνατώτερον ἢ λημῶντι πρὸς τὸν ἥλιον ἀναβλέψαι. Κάθαρσις δὲ ψυχῆς, ὡς ἀθρόως τε εἰπεῖν καὶ ὑμῖν ἱκανῶς, τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάζειν· μὴ ὀφθαλμοὺς ἑστιᾷν ταῖς ἀτόποις τῶν θαυματοποιῶν ἐπιδείξεσιν, ἢ σωμάτων θέαις ἡδονῆς κέντρον ἐναφιέντων, μὴ διὰ τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖν. Ἀνελευθερίας γὰρ δὴ καὶ ταπεινότητος ἔκγονα πάθη D ἐκ τοῦ τοιοῦδε τῆς μουσικῆς εἴδους ἐγγίνεσθαι πέφυκεν. Ἀλλὰ τὴν ἑτέραν μεταδιωκτέον ἡμῖν, τὴν ἀμείνω τε καὶ εἰς ἄμεινον φέρουσαν, ᾗ καὶ Δαβὶδ χρώμενος, ὁ ποιητὴς τῶν ἱερῶν ᾀσμάτων, ἐκ τῆς μανίας, ὥς φασι, τὸν βασιλέα καθίστη. Λέγεται δὲ καὶ Πυθαγόραν, κωμασταῖς περιτυχόντα μεθύουσι, κελεῦσαι

A longe majora perferet. Quid igitur faciemus? dicet aliquis. Quid aliud, nisi ut animæ curam geramus, ab omnibus aliis vacantes?

7. Non igitur corpori inserviendum, nisi omnino necesse sit; sed ea quæ potiora sunt, animæ sunt tribuenda, ita ut ipsam ex ea quam cum corporis affectionibus habet communione, tanquam ex carcere per philosophiam eximamus, simulque etiam corpus vitiis atque libidinibus reddamus inexpugnabile. Ventri quidem ministranda sunt necessaria, non quæ sunt perquam jucunda, velut ii qui quosdam mensarum structores coquosque exquirunt, totamque terram ac mare vestigant, velut moroso hero tributa pendentes, digni miseratione ob ejusmodi occupationem, haud remissius quam qui in inferno versantur, excruciati, plane dissecantes ignem, cribro ferentes aquam, et in pertusum dolium infundentes, laborum finem nullum habentes. Comas autem ac vestimenta plus satis curare, aut, ut ait Diogenes, adversa fortuna utentium est, aut injustorum. Quare cincinnatum esse et appellari, æque turpe censendum dico, atque scortari, aut alienis nuptiis insidiari. Quid enim ejus qui mente præditus est interest, utrum tenui ac sumptuosa veste induatur, an pallium vile gestet, modo et frigori et calori arcendo satis sit? Et ad hunc modum reliqua quoque ultra necessitatem non sunt excolenda, nec corporis habenda est major cura, quam quantum animæ prosit. Nam comptum esse et corporis amatorem, viro hac illa appellatione vere digno non minus probrosum fuerit, quam alteri cuivis vitio ignave obnoxium esse. Nam omne studium huc conferre ut corpus quam optime se habeat, non hominis est semet cognoscentis, neque intelligentis sapientem illam admonitionem, qua docemur, quod sub aspectum cadit, id hominem non esse, sed requiri sapientiam quamdam præstantiorem, qua quisque nostrum seipsum qualis tandem sit agnoscat. Hoc autem difficilius est mentem non puram habentibus, quam lippienti solem aspicere. Est autem animæ purgatio, ut **182** semel, et quantum vobis satis sit, dicam, voluptates per sensus irrepentes aspernari, non oculos pascere insulsis præstigiatorum ostentationibus, aut corporum stimulum voluptatis immittentium aspectu, non per aures harmoniam corruptam in animam infundere. Vitia enim quæ illiberalis dejectique animi fetus sunt, ex hoc musicæ genere solent oriri. Sed musica altera, quæ et melior exsistit, et ad melius perducit, consectanda nobis est: qua usus David, sacrorum carminum auctor, furorem regis atque

(65) Antiqui duo libri ἄγοντες.

(66) Colb. tertius πρὸς τὸ σῶμα κοινωνίας. Nec ita multo post Regii primus et secundus cum Colb. tertio ἥδιστα προσῆκεν. Vox ultima deest in aliis mss. atque in vulgatis.

(67) Editi et Colb. tertius εἰς τετριμμένον, *in dolium fractum*. At Regii secundus et tertius εἰς τετρημένον, *in dolium pertusum*: quam scripturam veram esse et genuinam quotidianus loquendi usus probat. Aliquanto post Colb. tertius φημὶ δεῖν τοὺς τηλικούτους.

(68) Vocula ἂν addita est ex Colb. tertio. Ibidem editi ἐνδέει. At mss. ἐνδέῃ. Nec ita multo infra editi τῷ γε ἀληθῶς. Libri veteres τῷ γε ὡς ἀληθῶς.

(69) Paulo aliter legitur in Colb. tertio, nempe hoc modo: αὐτοῦ τὸ σῶμα... γινώσκοντος. Haud longe editi ἀλλά τινος δεῖ. At Reg. tertius et aliter δεῖται.

insaniam, ut aiunt, sedavit [10]. Ferunt etiam Pythagoram, cum in comessatores temulentos incidisset, jussisse tibicinem comessationi præsidentem, mutata harmonia, Doricos modos eis canere : ipsos autem ita hoc cantu resipuisse, ut, abjectis corollis, pudore suffusi domum reverterentur. Alii vero more Corybantum ad tibiam insaniunt ac debacchantur. Ita hoc differt, sanis aut pravis cantilenis aures impleri ! Quare eam, quæ nunc viget, musicam minus quam quidvis turpissimum experiri debetis. Pudet me etiam interdicere, ne suffitus omnis generis, qui olfactui voluptatem afferant, admisceantur aeri, et ne unguentis vos ipsos inficiatis. Quid autem quis dixerit de non perquirendis tactus gustusque voluptatibus, nisi quod cogant eos qui his captandis vacant, ad ventrem et ad ea quæ sub ventre sunt, pecorum more, pronos ac propensos vivere? Uno verbo, totum corpus contemnendum est ei, qui in ipsius voluptatibus quasi in cœno nolit volutari, aut tantum ei indulgendum est, in quantum, inquit Plato, philosophiæ inservit, non longe aliter locutus atque Paulus, qui monet nullam corporis habendam curam ad cupiditatum materiam [11]. Etenim qui corporis, ut se optime habeat, curam gerunt, animam autem illo usuram nullius pretii parvipendunt, quid differunt ab iis qui instrumentis aptandis dant operam, artem vero per hæc operantem negligunt ? Quapropter ratione plane contraria corpus castigandum est et cohibendum, haud secus ac impetus cujusdam belluæ; atque ii tumultus qui ab ipso in anima excitantur, ratione veluti flagro compescendi sunt, non autem habenis voluptati omnino laxatis negligenda mens est, adeo ut quasi auriga qui ab equis effrenis violenterque agitatis abreptus sit, ducatur. Nec abs re erit Pythagoræ meminisse, qui cum didicisset aliquem ex familiaribus sese et exercitationibus et escis valde admodum saginare, et carnosum reddere : Sic, inquit, non desines graviorem tibimetipsi carcerem exstruere? Unde dicunt et Platonem provenientis a corpore noxæ præscium, insalubrem Atticæ locum Academiam de industria elegisse, ut nimis bonum corporis statum quasi superfluam quamdam vitis feracitatem amputaret. Ego autem corporis habitudinem summe bonam etiam periculosam esse a medicis audivi.

A τὸν αὐλητὴν τὸν τοῦ κώμου κατάρχοντα, μεταβαλόντα τὴν ἁρμονίαν, ἐπαυλῆσαί σφισι τὸ Δώριον· τοὺς δὲ οὕτως ἀναφρονῆσαι ὑπὸ τοῦ μέλους, ὥστε, τοὺς στεφάνους ῥίψαντας, αἰσχυνομένους ἐπανελθεῖν. Ἕτεροι δὲ πρὸς αὐλὸν κορυβαντιῶσι καὶ ἐκβακχεύονται. Τοσοῦτόν ἐστι τὸ διάφορον ὑγιοῦς ἢ μοχθηρᾶς μελῳδίας ἀναπλησθῆναι (70) ! Ὥστε τῆς νῦν δὴ κρατούσης ταύτης ἧττον ὑμῖν μεθεκτέον ἢ οὑτινοσοῦν τῶν αἰσχίστων. Ἀτμούς γε μὴν παντοδαποὺς ἡδονὴν ὀσφρήσει φέροντας τῷ ἀέρι καταμιγνύναι, ἢ μύροις ἑαυτοὺς ἀναχρώννυσθαι, καὶ ἀπαγορεύειν αἰσχύνομαι. Τί δ' ἄν τις εἴποι περὶ τοῦ μὴ χρῆναι τὰς ἐν ἁφῇ καὶ γεύσει διώκειν ἡδονάς, ἢ ὅτι καταναγκάζουσιν αὗται τοὺς περὶ τὴν ἑαυτῶν θήραν ἐσχολακότας, ὥσπερ τὰ θρέμματα, πρὸς τὴν γαστέρα καὶ τὰ ὑπ' αὐτὴν συν-
B νενευκότας (71) ζῆν; Ἑνὶ δὲ λόγῳ, παντὸς ὑπεροπτέον τοῦ σώματος τῷ μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλλοντι, ἢ τοσοῦτον ἀνθεκτέον αὐτοῦ, ὅσον, φησὶ Πλάτων, ὑπηρεσίαν φιλοσοφίᾳ (72) κτωμένου, ἐοικότα που λέγων τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν χρῆναι τοῦ σώματος πρόνοιαν ἔχειν εἰς ἐπιθυμιῶν ἀφορμήν. Ἢ τί διαφέρουσιν οἱ τοῦ μὲν σώματος, ὡς ἂν κάλλιστα ἔχοι, φροντίζουσι, τὴν δὲ χρησομένην αὐτῷ ψυχὴν ὡς οὐδενὸς ἀξίαν περιορῶσι, τῶν περὶ τὰ ὄργανα σπουδαζόντων, τῆς δὲ δι' αὐτῶν ἐνεργούσης τέχνης καταμελούντων; Πᾶν μὲν οὖν τοὐναντίον κολάζειν αὐτὸ καὶ κατέχειν, ὥσπερ θηρίου τὰς ὁρμάς, προσῆκε, καὶ τοὺς ἀπ' αὐτοῦ θορύβους ἐγγινομένους τῇ ψυχῇ οἱονεὶ μάστιγι τῷ λογισμῷ καθικνουμένους κοιμίζειν, ἀλλὰ μὴ πάντα χαλινὸν
C ἡδονῆς ἀνέντας περιορᾷν τὸν νοῦν, ὥσπερ ἡνίοχον, ὑπὸ δυσηνίων ἵππων ὕβρει φερομένων παρασυρόμενον ἄγεσθαι· καὶ τοῦ Πυθαγόρου μεμνῆσθαι (73), ὃς, τῶν συνόντων τινὰ καταμαθὼν γυμνασίοις τε καὶ σιτίοις ἑαυτὸν εὖ μάλα κατασαρκοῦντα, οὕτως ἔφη· Οὐ παύσῃ χαλεπώτερον σεαυτῷ κατασκευάζων τὸ δεσμωτήριον; Διὸ δὴ καὶ Πλάτωνά φασι, τὴν ἐκ σώματος βλάβην προϊδόμενον, τὸ νοσῶδες χωρίον τῆς Ἀττικῆς τὴν Ἀκαδημίαν καταλαβεῖν ἐξεπίτηδες, ἵνα τὴν ἄγαν εὐπάθειαν τοῦ σώματος οἷον ἀμπέλου τὴν εἰς τὰ περιττὰ φορὰν περικόπτοι (74). Ἐγὼ δὲ καὶ σφαλερὰν εἶναι τὴν ἐπ' ἄκρον εὐεξίαν ἰατρῶν ἤκουσα.

8. Cum igitur nimia illa corporis cura et corpori ipsi inutilis sit, et animæ officiat, ei submittere se et obsequi manifesta fuerit insania. Sed, si hoc contemnere studeremus, vix aliud quidquam humanum

D 8. Ὅτε τοίνυν ἡ ἄγαν αὕτη τοῦ σώματος ἐπιμέλεια αὐτῷ τε ἀλυσιτελὴς τῷ σώματι, καὶ πρὸς τὴν ψυχὴν ἐμπόδιόν ἐστι· τό γε ὑποπεπτωκέναι τούτῳ καὶ θεραπεύειν μανία σαφής. Ἀλλὰ μὴν εἰ τούτου

[10] I Reg. xvi, 23. [11] Rom. xiii, 14.

(70) Pro ἀναπλησθῆναι legitur in Colb. tertio ἀναπληρῶσαι. Mox idem ms. τῶν προδήλως αἰσχίστων.

(71) Antiqui tres libri συννενευχότα, nempe θρέμματα. Alii duo mss. et editi συννενευχότας.

(72) Editi et mss. non pauci φιλοσοφία, et sic quoque primum scripserat librarius in Colb. secundo, sed ipse ita emendavit, ut nunc legatur φιλοσοφίας. Ibidem editio Paris. κτωμένου. Editio Basil. et Regii duo mss. itemque alii duo Colbertini κτωμένους.

(73) Et hic quoque Colb. tertius a reliquis mss. dissidet. Ita igitur in hoc veteri libro legitur, οὐκ ἀγεννὲς καὶ τοῦ Πυθαγόρου μεμνῆσθαι. Mox utraque editio οὐ παύσει. Libri veteres παύσῃ.

(74) Editio Paris. περικόπτῃ. At mss. περικόπτοι.

γε ὑπερορᾷν μελετήσαιμεν (75), σχολῇ γ' ἄλλο τι τῶν ἀνθρωπίνων θαυμάσαιμεν. Τί γὰρ ἔτι χρησόμεθα πλούτῳ, τὰς διὰ τοῦ σώματος ἡδονὰς ἀτιμάζοντες; Ἐγὼ μὲν οὐχ ὁρῶ, πλὴν εἰ μὴ, κατὰ τοὺς ἐν τοῖς μύθοις δράκοντας, ἡδονήν τινα φέροι θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν. Ὅ γε μὴν ἐλευθερίως πρὸς τὰ τοιαῦτα διακεῖσθαι πεπαιδευμένος, πολλοῦ ἂν δέοι ταπεινόν τι καὶ αἰσχρὸν ἔργῳ ἢ λόγῳ ποτὲ προελέσθαι. Τὸ γὰρ τῆς χρείας περιττότερον, κἂν Λύδιον ᾖ ψῆγμα, κἂν τῶν μυρμήκων ἔργον τῶν χρυσοφόρων, τοσούτῳ πλέον ἀτιμάσει, ὅσῳπερ ἂν ἧττον προσδέηται· αὐτὴν δὲ δήπου τὴν χρείαν τοῖς τῆς φύσεως ἀναγκαίοις, ἀλλ' οὐ ταῖς ἡδοναῖς ὁριεῖται. Ὡς οἵ γε τῶν ἀναγκαίων ὅρων ἔξω γενόμενοι (76), παραπλησίως τοῖς κατὰ τοῦ πρανοῦς φερομένοις πρὸς οὐδὲν στάσιμον ἔχοντες ἀποβῆναι, οὐδαμοῦ τῆς εἰς τὸ πρόσω φορᾶς ἵστανται· ἀλλ' ὅσῳπερ ἂν πλείω προσπεριβάλωνται, τοῦ ἴσου δέονται ἢ καὶ πλείονος πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν, κατὰ τὸν Ἐξηκεστίδου Σόλωνα, ὅς φησι·

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται.

Τῷ δὲ Θεόγνιδι πρὸς ταῦτα διδασκάλῳ χρηστέον, λέγοντι·

Οὐκ ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι, ἀλλά μοι εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Ἐγὼ δὲ καὶ Διογένους ἄγαμαι τὴν πάντων ὁμοῦ τῶν ἀνθρωπίνων ὑπεροψίαν, ὅς γε καὶ βασιλέως τοῦ (77) μεγάλου ἑαυτὸν ἀπέφηνε πλουσιώτερον, τῷ ἐλαττόνων ἢ ἐκεῖνος κατὰ τὸν βίον προσδεῖσθαι. Ἡμῖν δὲ ἄρα, εἰ μὴ τὰ Πυθίου τοῦ Μυσοῦ προσείη τάλαντα, καὶ πλέθρα γῆς τόσα καὶ τόσα, καὶ βοσκημάτων ἑσμοὶ πλείους ἢ ἀριθμῆσαι, οὐδὲν ἐξαρκέσει. Ἀλλ', οἶμαι, προσήκει (78) ἀπόντα τε μὴ ποθεῖν τὸν πλοῦτον, καὶ παρόντος, μὴ τῷ κεκτῆσθαι μᾶλλον φρονεῖν, ἢ τῷ εἰδέναι αὐτὸν διατίθεσθαι. Τὸ γὰρ τοῦ Σωκράτους εὖ ἔχει· ὃς μέγα φρονοῦντος πλουσίου ἀνδρὸς ἐπὶ τοῖς χρήμασιν, οὐ πρότερον αὐτὸν θαυμάσειν ἔφη, πρὶν ἂν καὶ ὅτι κεχρῆσθαι τούτοις ἐπίσταται πειραθῆναι. Ἢ Φειδίας μὲν καὶ Πολύκλειτος, εἰ τῷ χρυσίῳ μέγα ἐφρόνουν καὶ τῷ ἐλέφαντι, ὧν ὁ μὲν Ἠλείοις τὸν Δία, ὁ δὲ τὴν Ἥραν Ἀργείοις ἐποιησάτην, καταγελάστω ἂν ἤστην ἀλλοτρίῳ πλούτῳ καλλωπιζόμενοι, ἀφέντες τὴν τέχνην, ὑφ' ἧς καὶ ὁ χρυσὸς ἡδίων καὶ τιμιώτερος ἀπεδείχθη· ἡμεῖς δὲ, τὴν ἀνθρωπείαν ἀρετὴν οὐκ ἐξαρκεῖν ἑαυτῇ (79) πρὸς κόσμον ὑπολαμβάνοντες, ἐλάττονος αἰσχύνης ἄξια ποιεῖν οἰόμεθα; Ἀλλὰ δῆτα πλούτου μὲν ὑπεροψόμεθα, καὶ τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάσομεν, κολακείας δὲ καὶ θωπείας διωξόμεθα, καὶ τῆς Ἀρχιλόχου ἀλώ-

A esset nobis admirationi. **183** Quid enim jam nobis, si corporis voluptates fastidiamus, opus erit divitiis? Ego quidem non video, nisi, ut in fabulis est draconum, jucundum sit et gratum thesauris defossis invigilare. Multum autem abfuerit, ut qui liberaliter in talibus habere se didicerit, unquam humile quidpiam et turpe facto aut dicto sibi proponat. Quidquid enim superfluum est, et necessitatis modum excedit, sive Lydia arena sit, sive formicarum auriferarum opus, tanto magis aspernabitur, quanto minus indigebit: quippe usum ipsum necessitatibus naturæ metietur, non voluptatibus. Nam qui necessarios terminos excessere, cum jam sibi, more eorum qui in declive feruntur, nihil firmum suppetat, ad quod se recipiant, B nusquam ulterius abripi intermittunt: sed quo plura compararint, eo magis opus habebunt paribus, aut etiam amplioribus ad cupiditatem explendam, secundum Execestidæ filium Solonem, qui ait:

Divitiis nullum statuunt mortalia finem
Pectora.

In his etiam Theognide magistro utendum est, qui dicit:

Non amo divitias, non opto: at vivere tantum
Exiguo liceat, nil sit ut inde mali.

Ego autem in Diogene etiam omnium simul humanarum rerum admiror contemptum, qui pronuntiavit se rege magno ditiorem, quod in vita pau- C cioribus quam ille egeret. Nobis autem, nisi Pythii Mysi adsint talenta, nisi sint terræ tot et tot jugera, nisi pecorum greges innumeri, sufficiet nihil. Sed tamen, opinor, par est divitias absentes non expetere, nec desiderare: si vero adsint, non magis ob ipsarum possessionem jactare se quam ob scientiam dispensandi easdem. Nam præclarum est illud Socratis, qui divitem quemdam virum magnopere de pecuniis superbientem non prius admiraturum se dixit, quam ipsa rei experientia didicisset eum iis uti nosse. Nonne si ob aurum et ebur valde se extulissent Phidias et Polycletus, quorum alter Eleis Jovem, alter Argivis Junonem fecit, essent derisui, quod relicta arte, per quam ipsum etiam aurum jucundius pretiosiusque effectum est, glo- D riam ex opibus alienis captassent: nos autem, qui virtutem humanam ex se non sufficere ad ornatum putamus, remne verecundia minore dignam facere videbimur? An divitias quidem despiciemus, et illabentes per sensus voluptates habebimus despicatui, assentationem vero et adulationem proseque-

(75) Codices tres μελετήσαιμεν. Editi μελετήσαμεν.

(76) Editi γινόμενοι. Antiqui tres libri γενόμενοι. Nec ita multo post unus codex Combef. προσπεριλάβωνται. Alii tres mss. προσπεριβάλωνται. Editi προσπεριβάλλωνται. Hoc ipso in loco Colb. tertius τοσούτου δέονται. Alii mss. et editi τοῦ ἴσου δέονται. Lege Ducæum.

(77) Hoc loco, ut alibi sæpe, videtur de suo aliquid addidisse librarius, qui Colbertinum tertium codicem exscripsit. Ita enim in hoc legitur, βασιλέως τοῦ μεγάλου τῶν Περσῶν. Notum est magnum illum regem, cujus hic fit mentio, Persarum regem fuisse.

(78) Editi et unus ms. προσήκει. Alii tres mss. προσήκειν. Mox editio Paris. εὖ διατίθεσθαι. Vocula εὖ in nostris sex mss. deest.

(79) Editio Basil. ἐξαρκεῖν ἑαυτήν. Editio Paris. καθ' ἑαυτήν. Libri antiqui omnes ἑαυτῇ, *sibi non sufficere.*

mur, et Archilochi vulpeculæ astutiam versutiamque æmulabimur? Atqui nihil est viro prudenti fugiendum magis, quam ad gloriam vivere, eaque quæ vulgo ac multitudini probantur, spectare, et rectam rationem vitæ ducem non statuere, ita ut licet
184 hominibus omnibus contradicere, et ignominiam ac periculum subire honesti causa oporteat, tamen nihil eorum quæ recta judicata sunt, invertere velimus. An eum qui non ita affectus est, ab Ægyptio illo sophista aliquid differre dicemus, qui, cum vellet, planta fiebat et bestia, et ignis et aqua, et res omnes? Nam et ipse modo quidem justitiam laudabit apud eos qui eam colunt : modo vero loquetur pugnantia, ubi injustitiam probari animadverterit : quod solent adulatores efficere. Et quemadmodum polypodem aiunt colorem suum in subjectæ terræ colorem mutare, sic ille suam sententiam ex eorum, quibuscum versatur, genio mutabit. Hæc quidem etsi perfectius in nostris libris condiscemus, at certe quantum adumbrandæ nunc virtuti satis est, tantum ex documentis externis rudius delineemus. Qui enim diligenter ex quacunque re utilitatem colligunt, iis quasi magnis fluminibus solent undecunque fieri accessiones multæ. Nam quod dictum est, parvum parvo adjungendum esse, id a poeta non magis de argenti augmento quam de qualibet scientia recte dictum fuisse existimandum est. Bias igitur filio ad Ægyptios abeunti, et percontanti quidnam agendo rem ei gratissimam facturus esset, Viaticum, inquit, si paraveris tibi ad senectutem; virtutem viaticum appellans, exiguis eam terminis circumscribens, quippe qui ejus utilitatem humana vita definierit. Ego autem, etiamsi quispiam proferat in medium senectam Tithoni, sive Arganthonii, sive Mathusalæ illius, qui longissimæ apud nos vitæ fuit, qui annos mille minus triginta vixisse dicitur, etiamsi totum ex quo homines conditi sunt tempus dimetiatur, veluti puerilem sententiam ridebo tum, cum ad prolixum illud et nulli senio obnoxium sæculum respiciam, cujus non est finem ullum mente apprehendere, non magis utique quam immortalis animæ interitum assignare. Ad quod ævum possidendum viaticum ut comparetis, hortor vos, lapidem omnem, ut est in proverbio, moventes, unde aliqua vobis utilitas ad hoc assequendum accessura sit. Neque vero quoniam difficilia sunt hæc, et laborem requirunt, segnes ac pigri efficiamur : sed memores ejus qui admonuit vitam opti-

A πεχος τὸ κερδαλέον τε καὶ ποικίλον ζηλώσομεν; Ἀλλ' οὐκ ἔστιν ὅ μᾶλλον φευκτέον τῷ σωφρονοῦντι τοῦ πρὸς δόξαν ζῆν, καὶ τὰ τοῖς πολλοῖς δοκοῦντα προσκοπεῖν, καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου, ὥστε, κἂν πᾶσιν ἀνθρώποις ἀντιλέγειν, κἂν ἀδοξεῖν καὶ κινδυνεύειν ὑπὲρ τοῦ καλοῦ δέῃ, μηδὲν αἱρεῖσθαι τῶν ὀρθῶς ἐγνωσμένων παρακινεῖν. Ἢ τὸν μὴ οὕτως ἔχοντα τί τοῦ Αἰγυπτίου σοφιστοῦ φήσομεν ἀπολείπειν, ὃς φυτὸν ἐγίγνετο καὶ θηρίον, ὁπότε βούλοιτο, καὶ πῦρ καὶ ὕδωρ, καὶ πάντα χρήματα; Εἴπερ δὴ καὶ αὐτὸς νῦν μὲν τὸ δίκαιον ἐπαινέσεται παρὰ τοῖς τοῦτο τιμῶσι· νῦν δὲ τοὺς ἐναντίους ἀφήσει λόγους, ὅταν τὴν ἀδικίαν εὐδοκιμοῦσαν αἴσθηται, ὅπερ δίκης (80) ἐστὶ κολάκων. Καὶ ὥσπερ φασὶ τὸν πολύποδα τὴν χρόαν πρὸς τὴν ὑποκειμένην
B γῆν, οὕτως αὐτὸς τὴν διάνοιαν πρὸς τὰς τῶν συνόντων γνώμας μεταβαλεῖται. Ἀλλὰ ταῦτα μέν που κἂν τοῖς ἡμετέροις λόγοις τελειότερον μαθησόμεθα· ὅσον δὲ σκιαγραφίαν τινὰ τῆς ἀρετῆς, τό γε νῦν εἶναι, ἐκ τῶν ἔξωθεν παιδευμάτων περιγραψώμεθα (81). Τοῖς γὰρ ἐπιμελῶς ἐξ ἑκάστου τὴν ὠφέλειαν ἀθροίζουσιν, ὥσπερ τοῖς μεγάλοις τῶν ποταμῶν, πολλαὶ γίνεσθαι πολλαχόθεν αἱ προσθῆκαι πεφύκασι. Τὸ γὰρ καὶ σμικρὸν ἐπὶ σμικρῷ κατατίθεσθαι οὐ μᾶλλον εἰς ἀργυρίου προσθήκην ἢ καὶ εἰς ἡντιναοῦν ἐπιστήμην ὀρθῶς ἡγεῖσθαι ἔχειν τῷ ποιητῇ προσῆκεν. Ὁ μὲν οὖν Βίας τῷ υἱεῖ πρὸς Αἰγυπτίους ἀπαίροντι, καὶ πυνθανομένῳ τί ἂν ποιῶν αὐτῷ μάλιστα κεχαρισμένα πράττοι, Ἐφόδιον, ἔφη, πρὸς γῆρας κτησάμενος·
C τὴν ἀρετὴν δὴ τὸ ἐφόδιον λέγων, μικροῖς ὅροις αὐτὴν περιγράφων, ὅς γε ἀνθρωπίνῳ βίῳ τὴν ἀπ' αὐτῆς (82) ὠφέλειαν ὡρίζετο. Ἐγὼ δὲ κἂν τὸ Τιθωνοῦ τις γῆρας, κἂν τὸ Ἀργανθωνίου λέγῃ, κἂν τὸ τοῦ μακροβιωτάτου παρ' ἡμῖν Μαθουσάλα, ὃς χίλια ἔτη, τριάκοντα δεόντων, βιῶναι λέγεται· κἂν σύμπαντα τὸν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι χρόνον ἀναμετρῇ, ὡς ἐπὶ παίδων διανοίας γελάσομαι, εἰς τὸν μακρὸν ἀποσκοπῶν καὶ ἀγήρω αἰῶνα, οὗ πέρας οὐδέν ἐστι τῇ ἐπινοίᾳ λαβεῖν, οὐ μᾶλλόν γε ἢ τελευτὴν ὑποθέσθαι τῆς (83) ἀθανάτου ψυχῆς. Πρὸς ὅνπερ κτᾶσθαι παραινέσαιμ' ἂν τὰ ἐφόδια, πάντα λίθον, κατὰ τὴν παροιμίαν, κινοῦντας, ὅθεν ἂν μέλλῃ τις ὑμῖν ἐπ' αὐτὸν ὠφέλεια γενήσεσθαι· μηδ' ὅτι χαλεπὰ ταῦτα καὶ πόνου δεόμενα, διὰ τοῦτ' ἀποκνήσωμεν· ἀλλ' ἀνα-
D μνησθέντας (84) τοῦ παραινέσαντος, ὅτι δέοι βίον μὲν ἄριστον αὐτὸν ἕκαστον προαιρεῖσθαι, ἡδὺν δὲ προσδοκᾷν τῇ συνηθείᾳ γενήσεσθαι, ἐγχειρεῖν τοῖς βελτίστοις. Αἰσχρὸν γὰρ, τὸν παρόντα καιρὸν προεμέ-

(80) Editio Paris. ὅπερ δίκη. Editio Basil. et Reg. tres mss. cum uno Colb. ὅπερ δίκης. Colb. tertius ἥπερ δίκη. Ita emendatus est Colb. secundus, ut nunc habeat ὅπερ δίκης : sed ante emendationem habebat ἥπερ δίκη. Quoquo modo quis leget, erraturum non puto. Aliquanto post mss. duo μεταβάλλεται. Editi et Colb. tertius μεταβαλεῖται.

(81) Editi et Reg. tertius περιγραψόμεθα. Alii tres mss. περιγραψώμεθα. Nec ita multo post editio Paris. τῶν ποταμῶν, κατὰ τὸν Ἡσίοδον, πολλαί. Nostri sex mss. τῶν ποταμῶν πολλαί. Illud autem, κατὰ τὸν Ἡσίοδον, puto non a Basilio scriptum fuisse, sed ab aliquo erudito homine, qui monere vellet exemplum magnorum illorum fluminum, quibus undelibet accessiones multæ fiunt, ex Hesiodo, Ἔργ. v. 359 sq., sumptum esse.

(82) Editio utraque ἐπ' αὐτῆς. At Regii duo et Colb. tertius ἀπ' αὐτῆς. Subinde unus ms. pro λέγῃ habet λέγοι. Haud longe Reg. tertius et alter παρ' ἡμῖν. Editi παρ' ἡμῶν. Nec ita multo post Colb. tertius παίδων διανοίᾳ.

(83) Colb. tertius ὑπερθέσθαι τῆς.

(84) Antiqui duo libri ἀναμνησθέντες. Statim editi αὐτῶν ἕκαστον. Nostri sex mss. αὐτὸν ἕκαστον. Lege Ducæum.

νους, ὕστερόν ποτ' ἀνακαλεῖσθαι τὸ παρελθὸν, ὅτε A οὐδὲν ἔσται πλέον ἀνιωμένοις (85). Ἐγὼ μὲν οὖν ἃ κράτιστα εἶναι κρίνω, τὰ μὲν νῦν εἴρηκα, τὰ δὲ παρὰ πάντα (86) τὸν βίον ὑμῖν ξυμβουλεύσω· ὑμεῖς δὲ, τριῶν ἀῤῥωστημάτων ὄντων, μὴ τῷ ἀνιάτῳ προσεοικέναι δόξητε, μηδὲ τὴν τῆς γνώμης νόσον παραπλησίαν τῇ τῶν εἰς τὰ σώματα δυστυχησάντων δείξητε. Οἱ μὲν γὰρ τὰ μικρὰ τῶν παθῶν κάμνοντες, αὐτοὶ παρὰ τοὺς ἰατροὺς ἔρχονται· οἱ δὲ ὑπὸ μειζόνων καταληφθέντες ἀῤῥωστημάτων ἐφ' ἑαυτοὺς καλοῦσι τοὺς θεραπεύσοντας (87)· οἱ δὲ εἰς ἀνήκεστον παντελῶς μελαγχολίας παρενεχθέντες οὐδὲ προσιόντας προσίενται. Ὃ μὴ πάθητε νῦν ὑμεῖς, τοὺς ὀρθῶς ἔχοντας τῶν λογισμῶν ἀποφεύγοντες.

mam ab unoquoque seligendam esse, ac sperare eam consuetudine jucundam redditum iri, optima aggredi par est. Turpe est enim tempus præsens amittere, et elapsum postea revocare, cum nullum amplius dabitur dolentibus. Ego quidem quæ optima esse censeo, partim **185** nunc dixi, partim vobis per omnem vitam suadebo : vos vero, cum tria sint ægritudinum genera, ei quod insanabile est similes ne videamini, neque ostendatis animi morbum, morbo eorum qui corpore ægrotant consimilem. Etenim invaletudine parva qui laborant, ipsi accedunt ad medicos : qui vero morbis majoribus correpti fuere, medicos accersunt ad se; qui autem in aliquem atræ bilis morbum prorsus immedicabilem lapsi sunt, ne accedentes quidem admittunt : quod cavete ne vobis nunc accidat, si eos qui mente ac ratione præditi sunt, fugiatis.

ΟΜΙΛΙΑ ΚΓ'.

Εἰς τὸν ἅγιον μάρτυρα Μάμαντα.

B

1. Οὐκ ἀγνοῶ τὸ μέγεθος τῶν ὑπὸ τῆς πανηγύρεως ἐγκωμίων· ἀλλ' ὥσπερ τοῦτο ἐπίσταμαι, οὕτω καὶ τῆς ἀσθενείας τῆς ἐμαυτοῦ ἐπαισθάνομαι. Ἡ μὲν γὰρ ὑπόθεσις ἀπαιτεῖ ἄξιόν τι ῥηθῆναι τῶν συνελθόντων καὶ τῆς ἐλπίδος ἧς ἔχουσιν ἐφ' ἡμῖν, καὶ τῆς ὑποθέσεως. Ἐπειδὴ γὰρ ἐπὶ τῇ μεγίστῃ τῶν μαρτύρων ἄγομεν τὴν μνήμην σήμερον, ὀρθὴ πᾶσα διάνοια καὶ ἐμπαράσκευος ἀκοὴ, εἰπεῖν τι ἄξιον τοῦ μάρτυρος προσδοκῶσα, καὶ πόθῳ τῷ περὶ αὐτὸν τὴν ἐκκλησίαν ἐπάγει. Καὶ γὰρ εὐγνώμονες παῖδες μεγάλα ἀπαιτοῦσι τὰ τῶν πατέρων ἐγκώμια, καὶ οὐκ ἂν καταδέξαιντο ἐν μικρότητι τοῦ λέγοντος κινδυνεύειν τῶν ἐγκωμιαζομένων τὸ μέγεθος. Ὥστε ὅσῳ C μείζων ἡ προθυμία, τοσούτῳ μέγας ὁ κίνδυνος. Τί οὖν ποιήσομεν; Πῶς δὲ καὶ τὰς ὑμετέρας ἐπιθυμίας ἀποπληρώσομεν, καὶ αὐτοὶ μὴ ἀπέλθωμεν ἀσυντελεῖς τῶν παρόντων; Παρακαλέσομεν ἑκάστην ψυχὴν, ἃ ἔχουσα ἦλθεν ἐν τῇ μνήμῃ, ταῦτα ἀνακαινήσασαν τῇ διανοίᾳ, οἴκοθεν ἐπισιτισαμένην, τοῖς οἰκείοις ἐφοδίοις ἑαυτὴν εὐφράνασαν ἀπελθεῖν. Μνήσθητέ μοι τοῦ μάρτυρος, ὅσοι δι' ὀνείρων αὐτοῦ ἀπηλαύσατε· ὅσοι, περιτυχόντες τῷ τόπῳ τούτῳ, ἐσχήκεσαν αὐτὸν συνεργὸν εἰς προσευχήν· ὅσοις, ὀνόματι κληθεὶς, ἐπὶ τῶν ἔργων παρέστη· ὅσους ὁδοιπόρους ἐπανήγαγεν· ὅσους ἐξ ἀῤῥωστίας ἀνέστησεν· ὅσοις παῖδας ἀπέδωκεν ἤδη τετελευτηκότας· ὅσοις προθεσμίας βίου μακροτέρας ἐποίησεν. Πάντα μοι συναγαγόντες, ἐγκώμιον ἐκ κοινοῦ ἐράνου πονήσατε. Ἀλλήλοις D διάδοτε, ἃ οἶδεν ἕκαστος, τῷ μὴ εἰδότι· ἃ μὴ οἶδε, λαμβανέτω παρὰ τοῦ εἰδότος, καὶ οὕτως ἐκ συνεισφορᾶς ἀλλήλους συνεστιάσαντες, ἡμῶν τῇ ἀσθενείᾳ σύγγνωτε.

2. Ταῦτα γὰρ ἐγκώμια μάρτυρος, ὁ πλοῦτος τῶν

HOMILIA XXIII.

In sanctum martyrem Mamantem.

1. Haud ignoro panegyricorum eorum qui in publico conventu fiunt, difficultatem ac pondus : sed ut hoc scio, ita et debilitatem meam ipse persentio. Causa namque ipsa postulat, ut aliquid dicatur dignum iis qui convenere, et spe quam de nobis concipiunt, et rei argumento. Quoniam enim in maxima celebritate hodie referimus martyrum memoriam, mens omnis erecta est, et auris parata, exspectans ut dignum aliquid martyre illo dicatur, ac ipso illius desiderio concionem cogit. Nam liberi grati magnifica patrum præconia exigunt, nec paterentur eorum quæ laudanda essent magnitudinem ex dicentis tenuitate periclitari. Quapropter quo major est vestra alacritas, eo periculum majus. Quid igitur sumus facturi? Quomodo rursus explebimus desideria vestra, et ipsi non abibimus, re, de qua nunc agitur, infecta? Adhortabimur animum unumquemque, ut quæ in memoria habuit cum huc accessit, ea secum in mente refricet, abscedatque domesticis alimentis enutritus, et suo ipsius viatico exhilaratus. Memineritis velim martyris, quotquot eo in somnis fruiti estis. Meminerint omnes, qui hoc in loco constituti, ipsum adjutorem ad precandum habuere : quibus cum operarentur præsto fuit, simul ut nomine vocatus est : quos ex peregrinatione reduxit, quos ex infirmitate erexit, quibus liberos jam vita functos restituit, quibus prorogavit præfinitum vitæ tempus. Collectis omnibus, ex communi symbolo præconium componite. Communicate inter vos, quæ quisque novit impertiat ignoranti : quæ ignorat, ab edocto accipiat. Atque ubi sic ex mutuo symbolo alius alium paveritis, imbecillitati nostræ ignoscite.

2. Hæc enim martyris sunt præconia, divitiæ

(85) Verte, *cum nihil angi proderit*. MARAN.

(86) Vocem πάντα ex libris veteribus addidimus. Mox. editio Paris. ἀῤῥωστημάτων ὄντων. Sed vox ὄντων neque in editione Basil., neque in nostris mss. invenitur.

(87) Codices duo θεραπεύοντας. Haud longe unus codex πάθοιτε. Subinde duo mss. τὸν λογισμόν. Alii duo mss. et editi τῶν λογισμῶν.

spiritualium donorum. Non possumus illum ex profanorum præconiorum lege cohonestare: non possumus parentes et proavos illustres in medium proferre. Turpe est enim alieno ornatu decorari eum qui sua ipsius virtute illustris est. Nam ex consuetudinis legibus talia in panegyricis usurpant. Alioqui veritatis lex proprias cujusque laudes exposcit. Neque enim equum celerem reddit ejus qui genuit in cursu præstantia: neque canis laudatio est, ex velocissimis prognatum esse. Sed quemadmodum reliquorum animalium virtus in unoquoque consideratur: ita et viri propria laus est, quæ ex propriis ipsius recte factis testimonium habet. Quid ad filium patris claritudo? Sic martyr ille
186 splendorem non aliunde mutuatus est: sed ipse per vitæ rationem bonæ famæ faculam accendit. A Mamante reliqui, non ab aliis Mamas nobilitatur. Filii qui ab eo pietatem edocti sunt, in ipso glorientur. Ipse enim ex seipso virtutem ubertim profundit. Non quasi torrens aliquis confluente alieno gloriatur: sed fons est, qui ex suis ipsius sinibus decorem effundit. Admiremur virum non alieno ornatu cohonestatum, sed illustratum suo. Vides claros equorum nutritores? vides alba eorum monumenta, quomodo lapides sint, iique neglecti? Martyris vero memoria, et omnis regio commota est, et civitas tota transtulit se ad celebritatem. Ne divitum quidem cognati excurrunt ad majorum suorum sepulcra, sed omnes ad pietatis locum accedunt. Patrem hunc ducem veritatis, non autem patres corporum auctores appellant. Vides quemadmodum virtus honoretur, non divitiæ? Ita Ecclesia cum eos, qui præcessere, honorat, eos qui præsentes sunt, cohortatur. Ne mihi, inquit, studeas divitiis, ne sapientiæ mundi [12] exolescenti, ne gloriæ marcescenti; evanescunt hæc una cum vita: sed cultor sis pietatis. Hæc enim et ad cœlum te evehet, hæc et immortalem memoriam ac perennem apud homines claritatem tibi comparabit.

3. Quare si quis pastoris meminit, divitias ne admiretur. Convenimus enim non ut divitem laudemus; cave abieris admirans divitem, sed potius paupertatem cum pietate conjunctam. Pastor nihil magnum, neque exquisitum vitæ genus præ se fert. Nonne iratus irritanti te probri loco diceres: Pastor es? Pastor nihil amplius quotidiano victu possidet, habet peram appensam, clavam gestat et diurnum viaticum, nihil crastinum curat, bestiis infestus, animalibus mansuetissimis contubernalis, fugiens forum, declinans tribunalia, non agnoscens sycophantas, mercaturæ imperitus, divitias ignorans, proprium tectum non habens, sed mundi te-

A πνευματικων χαρισμάτων. Οὐ γὰρ ἔχομεν αὐτὸν κατὰ τὸν νόμον τῶν ἔξωθεν ἐγκωμίων ἀποσεμνύνειν· οὐκ ἔχομεν λέγειν πατέρας καὶ προγόνους περιφανεῖς. Αἰσχρὸν γὰρ ἀλλοτρίοις κόσμοις κοσμεῖσθαι τὸν τῇ οἰκείᾳ ἀρετῇ διαφανῆ. Συνηθείας γὰρ νόμοις τὰ τοιαῦτα ἐν τοῖς ἐγκωμίοις παραλαμβάνουσιν. Ἐπεὶ ὅ γε τῆς ἀληθείας (88) ἴδια ἑκάστου ἀπαιτεῖ τὰ ἐγκώμια. Οὔτε γὰρ ἵππον ταχὺν ποιεῖ ἡ τοῦ πατρὸς περὶ τὸν δρόμον εὐμοιρία, οὔτε κυνὸς ἐγκώμιον τὸ ἐκ ταχυτάτων φῦναι. Ἀλλ' ὥσπερ ἄλλων ζώων ἡ ἀρετὴ ἐν αὐτῷ θεωρεῖται ἑκάστῳ, οὕτω καὶ ἀνδρὸς ἴδιος ἔπαινος ὁ ἐκ τῶν ὑπαρχόντων αὐτῷ κατορθωμάτων μαρτυρούμενος. Τί πρὸς τὸν παῖδα ἡ τοῦ πατρὸς περιφάνεια; Οὕτως οὐκ ἔλαβεν ἑτέρωθεν τὸ περιφανὲς ὁ μάρτυς· ἀλλ' αὐτὸς τῷ ἐφεξῆς βίῳ λαμπτῆρα εὐ-
B κλείας ἀνῆψεν. Ἀπὸ Μάμαντος οἱ λοιποὶ, οὐκ ἀφ' ἑτέρων Μάμας. Παῖδες οἱ παρὰ τούτου τὴν εὐσέβειαν διδαχθέντες τούτῳ σεμνυνέσθωσαν. Αὐτὸς γὰρ οἴκοθεν βρύει τὴν ἀρετήν. Οὐκ ἔστιν ὥσπερ χείμαῤῥος ἀλλοτρίᾳ συῤῥοίᾳ σεμνυνόμενος, ἀλλὰ πηγή ἐστιν ἀπὸ τῶν οἰκείων λαγόνων προχέουσα τὸ κάλλος. Θαυμάσωμεν τὸν ἄνδρα μὴ ἀλλοτρίῳ κόσμῳ κοσμούμενον, ἀλλὰ τῷ ἰδίῳ ἀποσεμνυνόμενον. Ὁρᾷς τοὺς λαμπροὺς ἱπποτρόφους; ὁρᾷς τὰ λευκὰ αὐτῶν μνήματα; πῶς λίθοι εἰσὶ παρατρεχόμενοι; Μνήμῃ δὲ μάρτυρος καὶ πᾶσα μὲν χώρα κεκίνηται, πᾶσα δὲ πόλις πρὸς ἑορτὴν μεταπεποίηται. Οὐδὲ οἱ συγγενεῖς τῶν πρὸς τοὺς τῶν πατέρων ἀποτρέχουσι τάφους, ἀλλὰ πάντες ἐπὶ τὸν τόπον τῆς εὐσεβείας.
C Πατέρα τοῦτον τὸν ἀρχηγὸν τῆς ἀληθείας, ἀλλ' οὐχὶ πατέρας καὶ σωμάτων ἀρχηγοὺς ὀνομάζουσιν. Ὁρᾷς πῶς ἀρετὴ τιμᾶται, καὶ οὐχὶ πλοῦτος; Οὕτως ἡ Ἐκκλησία, δι' ὧν τιμᾷ τοὺς προλαβόντας, προτρέπεται τοὺς παρόντας. Μή μοι, φησὶ, σπούδαζε περὶ πλοῦτον· μὴ περὶ σοφίαν τοῦ κόσμου τὴν καταργουμένην· μὴ περὶ δόξαν τὴν ἀπαθοῦσαν· ταῦτα τῷ βίῳ συναφανίζεται· ἀλλ' εὐσεβείας ἐργάτης ἔσο. Αὕτη γὰρ καὶ εἰς οὐρανόν σε ἀνοίσει, αὕτη καὶ ἀθάνατόν σου τὴν μνήμην καὶ διαρκῆ τὴν εὔκλειαν παρὰ ἀνθρώποις παρασκευάσει.

3. Ὥστε, εἴ τις μέμνηται τοῦ ποιμένος, μὴ θαυμαζέτω τὸν πλοῦτον. Συνήλθομεν γὰρ ἐπαινέσαι οὐχὶ πλούσιον ὄντα· μὴ ἀπέλθῃς πλούσιον θαυμάζων, ἀλλὰ πενίαν μετ' εὐσεβείας. Ποιμὴν οὐδὲν μέγα,
D οὐδὲ σοφὸν ἐπιτήδευμα. Οὐκ ἂν, ὀργισθεὶς, ἀντὶ ὀνείδους εἶπες τῷ παροξύναντί σε· Ποιμὴν εἶ; Ποιμὴν οὐδὲν πλέον τῆς ἐφημέρου τροφῆς κεκτημένος, πήραν ἀνημμένος, καὶ κορύνην φέρων, καὶ τὰ πρὸς ἡμέραν ἐφόδια, οὐδεμίαν μέριμναν περὶ τῆς αὔριον ἔχων. Θηρίοις πολέμιος, ἡμερωτάτων ζώων σύννομος, φεύγων ἀγορὰν, φεύγων δικαστήρια, οὐ γνωρίζων συκοφάντας, οὐ γνωρίζων ἐμπορίαν, οὐκ εἰδὼς πλοῦτον, οὐκ ἔχων ἰδίαν σκέπην, ὑπὸ τὴν κοινὴν τοῦ κόσμου διαι-

[12] I Cor. II, 6.

(88) Sic editio Basil. et Reg. secundus, ubi vox νόμος supplenda est, ὅ γε τῆς ἀληθείας (νόμος). Editio Paris. ὅ γε τῆς ἀληθείας λόγος. Sed non valde admodum dubito, quin illud λόγος additum sit ab ipsis typographis, qui, quod putarent aliquid post vocem ἀληθείας deesse, nec animadverterent vocem νόμος ex præcedentibus suppleri debere, de suo ediderunt ita ut notavimus.

τώμενος, ἐν νυκτὶ πρὸς οὐρανὸν ἀναβλέπων, καὶ διὰ A τῶν ἀστέρων ἀναγινώσκων τὸ θαῦμα τοῦ πεποιηκότος. Ποιμήν. Μὴ ἐπαισχυνώμεθα τὴν ἀλήθειαν. Μὴ τοὺς ἔξωθεν μυθοποιοὺς μιμώμεθα, μὴ περιστέλλωμεν τὴν ἀλήθειαν εὐπρεπείᾳ ῥημάτων. Γυμνὴ ἡ ἀλήθεια, ἀσυνηγόρητος (89), αὐτὴ ἑαυτὴν δεικνῦσα. Πλείονι λόγῳ τὸ ταπεινόν· ἀλλὰ μᾶλλον θαυμάσεις τῷ ἐγκωμίῳ. Ποιμὴν καὶ πένης, ταῦτα τῷ Χριστιανῷ τὰ σεμνολογήματα. Ἐὰν τοὺς ἀρχηγοὺς τοῦ διδασκαλείου τοῦ κατ' εὐσέβειαν ζητήσῃς, ἁλιεῖς τε καὶ τελῶναι· ἐὰν τοὺς μαθητὰς, σκυτοτόμοι πένητες. Οὐδεὶς πλούσιος (90), οὐδαμοῦ περιφάνεια. Ταῦτα πάντα μετὰ τοῦ κόσμου κατήργηται. Ἰδοὺ τοίνυν τίνος ἡμέραν ἑορτάζομεν, ἐπὶ τίνι φαιδροὶ πάντες ἐσμὲν, ἐπὶ τίνι βίος μεταπεποίηται. Ἐπειδὴ ὑπεμνήσθημεν τοῦ ποιμένος, μὴ καταφρόνει τῆς προσηγορίας (91). Ἤκουσας, B ὅτι ὁ πρῶτος εὐαρεστήσας Ἄβελ ποιμὴν ὑπῆρξε. Τίς ἐκείνου μιμητής; Μωϋσῆς ὁ μέγας νομοθέτης, ὁ τὴν πεῖραν (92) Φαραὼ ἀποδράσας, ὁ μισήσας τῶν συννόμων τὸ ἐπίβουλον, οὗτος ἐν τῷ ὄρει τῷ Χωρὴβ ἐποίμαινεν· δι' ὧν ἐποίμαινε Θεῷ προσωμίλει. Οὐ δικαζόμενος εἶδεν ἐπὶ βάτου ἄγγελον, ἀλλὰ ποιμαίνων ἐκείνης τῆς ὁμιλίας τῆς οὐρανίου ἠξιώθη. Τίς μετὰ Μωϋσέα; Ἰακὼβ ὁ πατριάρχης, ἐν τῷ ποιμαίνειν ὑπομονὴν τὴν περὶ τῆς ἀληθείας ἐπιδεικνύμενος, μικρᾷ εἰκόνι τὸν ὅλον ἑαυτοῦ χαρακτηρίσας βίον. Τίνι παρέδωκε τὸν ζῆλον; Τῷ Δαβίδ. Δαβὶδ ἐκ ποιμαντικῆς παρῆλθεν εἰς βασιλείαν. Ἀδελφαὶ γὰρ ποιμαντικὴ καὶ βασιλική· παρ' ὅσον ἡ μὲν τῶν ἀλόγων, ἡ δὲ τῶν λογικῶν τὴν ἐπιστασίαν ἐπεπίστευτο. Οὕτως ὑποβάθρα τῆς μείζονος ἐπιστήμης ἐστὶν αὕτη. Διὰ C τοῦτο ἀμφότερα συλλαμβάνων ὁ Κύριός ἐστι καὶ ποιμὴν καὶ βασιλεὺς, τοὺς ἀλόγους ποιμαίνων (93), τοὺς λογικωτέρους ὑπὸ τὴν ἐπιστασίαν τῆς βασιλείας ἄγων. Βούλει μαθεῖν πηλίκον ἐστὶ ποιμήν; *Κύριος* (94) *ποιμαίνει με*. Πῶς δὲ ἀδελφὴ βασιλείας ποιμαντική; *Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;* Ὁ ἐνταῦθα ποιμὴν ἐκεῖ βασιλεύς. Καὶ μὴ νομίσῃς παρ' ἄλλων μὲν μαρτυρεῖσθαι, αὐτὸν δὲ ἐπαισχύνεσθαι τῇ προσηγορίᾳ ταύτῃ. Ἀλλὰ κατασιωπήσας τοὺς

cto communi degens, noctu suspiciens in cœlum, et ex stellis miraculum conditoris cognoscens. Pastor est. Veritatis ne nos pudeat. Fabulatores profanos ne imitemur, ne contegamus veritatem ornatu verborum. Nuda est veritas, absque patrocinio ipsa semet ostendit. Plura si dicas, deprimis. Magis eam admirabere per præconium. Pastor et pauper, hæc sunt Christiano ornamenta. Gymnasii, in quo pietas tradita est, præfectos si inquisieris, piscatores invenias et publicanos: si discipulos, coriarii sunt pauperes. Dives nullus, nusquam claritudo, interiere una cum mundo hæc omnia. Vide igitur cujus diem celebremus, cujus gratia omnes hilares simus, ob quem immutata civitas sit. Quoniam pastoris meminimus, ne illud nomen contemnas. Audivisti Abelem, qui primus placuit, pastorem fuisse [13]. Quis eum imitatus est? Magnus ille legislator Moyses, qui conatum Pharaonis et dolum **187** aufugiens, atque contubernalium insidias exosus, hic in monte Choreb pastor erat; dumque pasceret, in Dei venit colloquium [14]. Non cum disceptaret judicio, angelum in rubo vidit: sed cum pasceret, colloquio illo cœlesti dignus habitus est. Quis post Moysen? Jacob patriarcha, qui in pascendo pro veritate patientiam ostendens [15], in parva imagine totius suæ vitæ effigiem reliquit. Cui impertivit studium ejusmodi? Davidi. David a pastoritia arte pervenit ad regnum [16]. Sorores enim sunt ars pascendi et ars regnandi, nisi quod altera irrationalium, altera rationalium præfecturam sibi concreditam habet. Ita illa scientiæ majoris fundamentum est. Quapropter utramque complectens Dominus, et pastor est et rex, pascens expertes rationis, ratione majore præditos sub regni administrationem pertrahens. Vis discere quantæ dignitatis sit pastor? *Dominus pascit me* [17]. Quomodo vero ars pascendi soror est regni? *Quis est iste rex gloriæ* [18]? Qui illic pastor, hic rex dicitur. Cave autem existimes ab aliis quidem hoc ei testimonium dari, sed eum hujus nominis pudere. Nam spurios

[13] Gen. IV, 2. [14] Exod. III, 1, 4. [15] Gen. XXXI, 38. [16] I Reg. XVI, 11, 12. [17] Psal. XXII, 1 [18] Psal. XXIII, 8, 10.

(89) Editio utraque ἀσυνήγορος. Reg. secundus et alter Reg. quoque ἀσυνηγόρητος. Ibidem editio Paris. καὶ πλείονι. Vocula καὶ in iis quos modo dixi codicibus deest. Alter ille Reg. pro θαυμάσεις habet θαυμάσῃς. Basilius dum brevitati studuit, obscurus factus est. Ita verterat vetus interpres, *Humilitatem illius multo sermone, imo magis encomio celebrabis*: quam interpretationem cum non probaret Combefisius, ita ipse interpretatus est: *Ita seipsam declarans, pluribusque quod ejus humile est; quo tamen nomine plusquam encomio admirabere*. Quam autem sibi in hac sua interpretatione placuerit, indicat ipse his quæ subjungit verbis. *Hic*, inquit, *sensus Basilii, qua sic concise ac eleganter loquitur*. Sed, nisi cæcutio, non sustulit, sed auxit difficultatem. Primum enim quærebatur quid Basilius sibi vellet: nunc autem rursus quæri potest, quid sibi velit Combefisius. Hoc mihi videtur Basilius dicere: Si pluribus verbis uteris ad laudandam veritatem, viliorem eam reddis: si solum ipsam nomines, lau- D das satis, magisque miraris. Magis igitur miramur veritatem præconio, hoc est, si eam solum nominamus more præconis.

(90) Sic Reg. secundus. Alter Reg. οὐδαμοῦ πλούσιος. Editi πένητες, οὐδαμοῦ περιφάνεια. Haud longe vox βίος videtur sumi debere pro hominibus, seu civibus.

(91) Sic Reg. secundus. Alter Reg. προσηγορίας ἤκουσας ὁ πρῶτος. Editi προσηγορίας ἀκούσας ὁ.

(92) Nostri duo mss. et editi ὁ τὴν πεῖραν· quam vocem vitiosam esse suspicans Combefisius, de suo emendavit legitque ἐπήρειαν.

(93) Illud, τοὺς ἀλόγους ποιμαίνων, *pascens irrationales*, ita accipi debet ut irrationalis sumatur pro simpliciore.

(94) Sic Reg. alter. Totum illud, Πῶς δὲ ἀδελφὴ βασιλείας ποιμαντική, desideratur in vulgatis. Reg. secundus ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει, πῶς δέ, etc., ita, ut in alio codice Regio legitur, *Dominus pascit me, et nihil mihi deerit*.

pastores silentio prætermittens, verum illud pastoritiæ artis testimonium sibi vindicat: *Ego sum pastor bonus* [19]. *Ego sum, et non mutatus sum* [20]. Qua dicendi ratione utitur cum magna dicit: *Ego manu mea firmavi terram: ego extendi cœlum solus* [21]: sicut cum et alia magnifica ac digna quæ de Deo dicantur, profert, sic dicit: *Pastor bonus?* Abigit spurios, et veritatem sibi ipse assumit. *Ego sum pastor bonus.* Disce quis sit pastor, et quis sit bonus. Fungitur ipse interpretis munere. *Verus pastor animam suam ponit pro ovibus: mercenarius vero, et qui non est pastor, cujus non sunt oves propriæ, non curat, cum lupum venientem videt* [22].

A νόθους ποιμένας, ἐφ' ἑαυτὸν περιΐστησι τὴν ἀληθῆ τῆς ποιμαντικῆς μαρτυρίαν· *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι.* Πῶς, ὅταν τὰ μεγάλα λέγῃ· *Ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὴν γῆν· ἐγὼ ἐξέτεινα τὸν οὐρανὸν μόνος·* ὡς ὅταν τἄλλα λέγῃ τὰ ἀξιοπρεπῆ καὶ ἄξια περὶ Θεοῦ λέγεσθαι, οὕτως λέγει· *Ὁ ποιμὴν ὁ καλός;* Ἀποδιώκει τοὺς νόθους, καὶ τὴν ἀλήθειαν εἰς ἑαυτὸν περιΐστησιν. *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός.* Μάθε τίς ἐστιν ὁ ποιμήν, καὶ τίς ἐστιν ὁ καλός. Αὐτὸς ἑρμηνεύει. *Ὁ ἀληθινὸς ποιμὴν τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ δὲ μισθωτὸς, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ ἔστι τὰ πρόβατα ἴδια, οὐ μέλει αὐτῷ, ὅταν ἴδῃ λύκον ἐρχόμενον.*

4. Hic quærit Ecclesia, si pastor Dominus est, quis sit mercenarius pastor? Num diabolus? Et si diabolus est mercenarius pastor, quis sit lupus? Certe quidem lupus est diabolus, bestia illa immanis, rapax, insidiatrix, communis omnium hostis. Habeat igitur appellationem propriam mercenarius pastor. Mercenarios pastores dicebat tunc Dominus ad eos conversus, qui tunc aderant. Sunt autem etiam nunc, utinam non essent! qui sibi cognomen mercenariorum conciliant. Tunc pontifices indicabantur et Pharisæi, et omnis illa Judaica secta. Illos pastores mercenarios dicebat, qui quæstus, non veritatis gratia potestatem pascendi arripuerant. Qui prætextu vano precantur, ut viduarum panem atque orphanorum comedant, ii mercenarii sunt. Utilitati suæ qui inserviunt, quique præsens sectantes, non intendunt in futurum, mercenarii sunt, non pastores. Et nunc mercenarii multi, qui pro misera gloriola vitam suam vendunt, qui et nunc schisma in sanis Domini verbis explicandis conflant. Hæc enim cum Dominus dixisset, schisma exortum est inter eos [23]. Alii dicebant, Dæmonium habet: alii, Non potest efficere dæmon, ut oculi cæci videant [24]. Vides quam vetus sit dissensionis **188** vitium? Statim autem ventilabrum paleas discernit a frumento [25]. Et quod quidem leve est et instabile, sejungitur ab eo quod vim habet nutriendi: quod vero ad alimentum spirituale idoneum est, agricolis tribuitur. Idcirco schisma exortum est, et alii sic dissidebant, alii sic. Judæorum est scindi: sed Dei Ecclesia, quæ inconsutilem tunicam, a summo contextam, a militibus sine scissura servatam accepit, quæque Christum induit, vestem ne scindat [26]. *Et cognosco meas, et cognoscunt me meæ* [27]. Rapuit hæc ad suam blasphemiam confirmandam hæreticus. Ecce, inquit, dictum est: *Cognoscunt me meæ, et cognosco meas.* Quid igitur significat illud, cognoscere? essentiamne intelligere, an metiri magnitudinem? An illa de divini-

4. Ἐνταῦθα ζητεῖ ἡ Ἐκκλησία, εἰ ποιμὴν ὁ Κύ-
B ριος, τίς μισθωτὸς ποιμήν; Μὴ ὁ διάβολος; Καὶ εἰ ὁ διάβολος μισθωτὸς ποιμὴν, τίς ὁ λύκος; Ἀλλὰ λύκος μὲν ὁ διάβολος, τὸ ἀνήμερον θηρίον, τὸ ἁρπακτικὸν, τὸ ἐπίβουλον, ὁ κοινὸς πάντων ἐχθρός. Ἐχέτω τοίνυν ἰδίαν προσηγορίαν μισθωτὸς ποιμήν. Μισθωτοὺς ποιμένας τότε μὲν πρὸς τοὺς τότε ἀποστρεφόμενος ὁ Κύριος ἔλεγεν. Εἰσὶ δὲ καὶ οἱ νῦν, ὡς οὐκ ὄφελον, οἱ τὴν προσηγορίαν τῶν μισθωτῶν οἰκειούμενοι. Τότε ἀρχιερεῖς ἐνεδείκνυντο καὶ Φαρισαῖοι, καὶ πᾶν ἐκεῖνο τὸ κόμμα τὸ Ἰουδαϊκόν. Ἐκείνους μισθωτοὺς ἔλεγε ποιμένας, τοὺς οὐ διὰ τὸ ἀληθὲς, ἀλλὰ διὰ τὸ αὐτῶν χρειῶδες τὴν τοῦ ποιμαίνειν ἐξουσίαν λαβόντας. Οἱ ἐπὶ προφάσει ματαίᾳ προσευχόμενοι, ἵνα κατεσθίωσι τὸν ἄρτον τῶν χη-
C ρῶν καὶ τῶν ὀρφανῶν, οὗτοι μισθωτοί. Οἱ τὴν χρείαν θεραπεύοντες, οἱ τὸ παρὸν διώκοντες, οὐ πρὸς τὸ μέλλον ἀτενίζοντες, μισθωτοὶ, καὶ οὐ ποιμένες εἰσί. Καὶ νῦν μισθωτοὶ πολλοὶ δοξαρίου δυστήνου τὴν ἑαυτῶν ζωὴν ἀποδιδόντες, οἱ καὶ νῦν ἐπὶ τοῖς ὑγιαίνουσι τοῦ Κυρίου ῥήμασι σχίσμα ποιοῦντες. Εἰπόντος γὰρ ταῦτα τοῦ Κυρίου, σχίσμα ἐν αὐτοῖς ἐγένετο. Οἱ μὲν ἔλεγον, Δαιμόνιον ἔχει· ἄλλοι, Δαίμων ὀφθαλμοὺς τυφλοὺς βλέπειν ποιεῖν οὐ δύναται. Ὁρᾷς πῶς παλαιὸν τὸ πάθος τοῦ σχίσματος; Εὐθὺς γὰρ τὸ πτύον διακρίνει (95) μὲν τὸ ἄχυρον ἀπὸ τοῦ σίτου· καὶ τὸ μὲν κοῦφον καὶ ἄστατον ἀποσχίζεται τοῦ τροφίμου, τὸ δὲ πρὸς τροφὴν πνευματικὴν ἐπιτήδειον παραμένει τῶν γεωργούντων. Διὰ τοῦτο σχίσμα ἐγένετο, καὶ οἱ μὲν οὕτω διεφέροντο, οἱ δὲ
D οὕτως. Ἰουδαίοις πρέπει τὸ σχίζεσθαι· ἡ δὲ τοῦ Θεοῦ Ἐκκλησία, τὸν χιτῶνα τὸν ἄῤῥαφον, τὸν ἐκ τῶν ἄνωθεν ὑφαντὸν, δεξαμένη, τὸν ἄσχιστον ὑπὸ στρατιωτῶν διαφυλαχθέντα, ἡ Χριστὸν ἐνδυσαμένη, μὴ σχιζέτω τὸ ἱμάτιον. *Καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκουσί με τὰ ἐμά.* Ἥρπασεν ὁ αἱρετικὸς πρὸς τὴν ἰδίαν κατασκευὴν τῆς βλασφημίας. Ἰδοὺ, φησὶν, εἴρηται, ὅτι *Γινώσκουσί με τὰ ἐμὰ, καὶ γινώσκω τὰ ἐμά.* Γινώσκειν ἄρα τί λέγει; τὴν οὐσίαν νοεῖν;

[19] Joan. x, 11. [20] Malach. III, 6. [21] Isa. XLIV, 24. [22] Joan. x, 11-14. [23] Joan. IX, 16. [24] Joan. x, 20 21. [25] Matth. III 12. [26] Joan. XIX, 23, 24 [27] Joan. x, 14.

(95) Reg. alter ἐνδιακρίνει. Quod mox sequitur, τῶν γεωργούντων, id non placet: quoniam tamen ita scriptum invenimus in nostris codicibus, nihil mutandum censuimus.

τὸ μέγεθος ἐκμετρεῖν; Ἐκεῖνα κατανοεῖσθαι τῆς θεότητος, ἃ σὺ τῇ σεαυτοῦ θρασυστομίᾳ κατεπαγγέλλῃ; Ἢ ἐκ τῶν κατόπιν οὐ νοεῖς τὸ μέτρον τῆς γνώσεως; Τί γινώσκομεν Θεοῦ; *Τὰ ἐμὰ πρόβατα τῆς φωνῆς μου ἀκούει.* Ἴδε πῶς (96) νοεῖται Θεός· ἐκ τοῦ ἀκούειν ἡμᾶς τῶν ἐντολῶν αὐτοῦ· ἐκ τοῦ ἀκούοντας ποιεῖν. Τοῦτο γνῶσις Θεοῦ, τήρησις ἐντολῶν Θεοῦ. Πῶς οὐ πολυπραγμοσύνη περὶ οὐσίας Θεοῦ; οὐ ζήτησις τῶν ὑπερκοσμίων; οὐχ ἐπίνοια τῶν ἀοράτων; *Γινώσκει με τὰ ἐμὰ, καὶ γινώσκω τὰ ἐμά.* Ἀρκεῖ σοι εἰδέναι, ὅτι ποιμὴν καλός· ὅτι ἔθηκε τὴν ψυχὴν αὑτοῦ ὑπὲρ τῶν προβάτων. Οὗτος ὅρος τῆς τοῦ Θεοῦ ἐπιγνώσεως. Πόσος δὲ Θεὸς, καὶ τί τὸ μέτρον αὐτοῦ, καὶ ποταπὸς τὴν οὐσίαν, τὰ τοιαῦτα ἐπικίνδυνα μὲν τῷ ἐρωτῶντι, ἄπορα (97) δὲ τῷ ἐρωτωμένῳ· σιωπὴ δὲ, θεραπεία τῶν τοιούτων ἐστί. *Τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει*, εἶπεν, οὐ συζητεῖ. Τουτέστιν οὐ παρακούει, οὐ φιλονεικεῖ. Ἤκουσας Υἱὸν, μή μοι τρόπους γεννήσεως μήτε αὐτὸς (98) τεχνολόγει, μήτε ὑπὸ αἰτίαν ἀνάγαγε (99) τὰ μὴ αἰτιολογήματα, μὴ διὰ σχίσματος διόριζε τὸ συνημμένον. Διὰ τοῦτο προλαβὼν ἠσφαλίσατό σε ὁ εὐαγγελιστής. Ἤκουσας πρώην, καὶ δὴ ἀκούεις· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, ἵνα μὴ τὸν Υἱὸν γέννημα ἀνθρώπινον νομίσῃς ἐκ τοῦ μὴ ὄντος παρεληλυθέναι. *Λόγον* σοι εἶπε διὰ τὸ ἀπαθές. *Ἦν* σοι εἶπε διὰ τὸ ἄχρονον. *Ἀρχὴν* σοι εἶπεν, ἵνα συνάψῃ τὸν γεννηθέντα τῷ Πατρί. Εἶδες πρόβατον εὐπειθὲς πῶς ἀκούει φωνὴν Δεσπότου. *Ἐν ἀρχῇ*, καὶ *ἦν*, καὶ *Λόγος*. Μηδὲ λέγε τὸ, Πῶς ἦν; καὶ, Εἰ ἦν, οὐκ ἐγεννήθη, καὶ Εἰ ἐγεννήθη, οὐκ ἦν. Οὐκ ἔστι πρόβατον τὸ τὰ τοιαῦτα λέγον. Προβάτου δέρμα· ἔσωθεν δὲ λύκος ἐστὶν ὁ φθεγγόμενος. Ἐπίβουλος γνωριζέσθω. *Τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει.* Ἤκουσας Υἱόν; Νόησον τὴν πρὸς Πατέρα ὁμοιότητα. Ὁμοιότητα λέγω (1) δι' ἀσθένειαν τῶν δυνατωτέρων σωμάτων. Ἐπεὶ τό γε ἀληθὲς (οὐ φοβοῦμαι γὰρ προσβαίνειν τὴν ἀλήθειαν), οὐκ εἰμὶ ἕτοιμος συκοφάντης. Ταυτότητα λέγω, φυλάσσων Υἱοῦ καὶ Πατρὸς ἰδιότητα (2). Ἐν ὑποστάσει Υἱοῦ, μορφὴν νόησον πατρικὴν, ἵνα μοι τὸν ἀκριβῆ τῆς εἰκόνος διασώσῃς λόγον, ἵνα μοι νοήσῃς θεοσεβῶς· *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί*· οὐκ οὐσιῶν σύγχυσιν, ἀλλὰ χαρακτήρων ταυτότητα. Ἀλλὰ γὰρ ἔοικεν ἐναντιώτατον εἶναι τῶν πραγμάτων, ἀγαπητοὶ, ὅπου γε καὶ τὴν ἡμετέραν ἀσθένειαν ἐξεβιάσατο τὸ εὐπειθὲς τῆς ὑμετέρας ἀκοῆς εἰπεῖν τι ἐν μέσοις καὶ φθέγξασθαι, ἵνα ἡ δύναμις

A tate intelligere, quæ tu nosse impudenter affirmas? Annon ex superioribus modum intelligis cognitionis? Ecquid in Deo agnoscimus? *Oves meæ vocem meam audiunt.* Vide quomodo cognoscatur Deus; ex eo quod mandata ipsius audimus, ex eo quod illa audientes conficimus. Cognoscere Deum, est servare Dei præcepta. Num debet esse de Dei essentia disceptatio curiosior? num de rebus quæ mundum transcendunt, quæstio? num invisibilium intelligentia? *Cognoscunt me meæ, et cognosco meas.* Scire satis tibi est, bonum pastorem esse, animam suam pro ovibus posuisse. Cognitio Dei continetur his finibus. Quantus autem sit Deus, et quis modus ejus, et qualis secundum essentiam, talia ut sunt interroganti periculosa, ita ei qui in- B terrogatur inexplicabilia: silentium autem, talium medela est. *Oves meæ vocem meam audiunt* [28]. Audiunt, inquit, non disceptant. Hoc est, non sunt inobsequentes, non contendunt. Audisti Filium, ne tu mihi artificiose disputes de modis generationis, neque quorum causa afferri nequit, ea ad causam adducas: ne per schisma separa quod conjunctum est. Eam ob rem in antecessum communivit te evangelista. Audisti pridem, et etiam nunc audis, *In principio erat Verbum* [29], ut ne Filium fetum humanum putes, qui ex non exsistente productus sit. *Verbum* dixit tibi ob apathiam. Dixit tibi, *Erat*, propterea quod ante omne tempus est. *Principium* dixit, ut Genitum conjungeret cum Genitore. Vidisti quomodo ovicula morigera vocem Domini au- C diat. *In principio*, et *erat*, et *Verbum*. Neque dicas: Quomodo erat? et, Si erat, genitus non est; et, Si genitus est, non erat. Non est ovicula, quæ talia dicit. Pellis ovilla est: sed intus lupus est qui loquitur. Cognoscatur insidiator. *Oves meæ vocem meam audiunt.* Audisti Filium? Intellige similitudinem quam cum **189** Patre habet. Similitudinem dico, ob imbecillitatem corporum valentiorum. Alioqui veritas ita habet (non enim vereor accedere veritati), non sum ad sycophantiam propensus. Identitatem dico, custodiens Patris et Filii proprietatem. In hypostasi Filii, formam intellige paternam, ut mihi perfectam imaginis rationem serves, ut mihi religiose intelligas illud, *Ego in Patre, et Pater in me est* [30]. Nolim intelligas essentiarum D confusionem, sed characterum identitatem. At enim, dilecti, res quam maxime contraria esse vi-

[28] Joan. x, 27. [29] Joan. I, 1. [30] Joan. XIV, 10.

(96) Idem codex πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει. Εἶδες πῶς.
(97) Legitur quidem in utraque editione et in Reg. secundo ἀπορία: sed tamen sequi malui conjecturam Combefisii, qui pro ἀπορία legendum putat ἄπορα.
(98) Sic Reg. secundus. Editi μήτε αὐτὸς ἐμὲ ἀπαίτη, pro ἀπαίτει.
(99) Editi ἄναγε. Veteres duo libri ἀνάγαγε.
(1) Reg. secundus ἰδιότητα λέγω. Mox unus ms. προβαίνειν.
(2) Idem codex, Ταυτότητα λέγω, φυλάσσω Υἱοῦ καὶ Πατρὸς ἰδιότητα. Ὑπόστασιν Υἱοῦ μορφὴν, etc. Editi, Ταυτότητα λόγῳ φυλάσσω Υἱοῦ καὶ Πατρός. Ἰδιότητα ἐν ὑποστάσει Υἱοῦ μορφὴν νόησον πατρικὴν, quæ verba ita Latine reddiderat vetus interpres, *In sermone Patris et Filii identitatem servo. Proprietatem in subsistentia Filii, formam intellige paternam.* Ex veteri libro, ut potui, hunc locum restituere conatus sum. Lege Combefisium in illud, σωμάτων.

detur, quippe quia debilitatem nostram vestra in audiendo obedientia aliquid in medium afferre ac dicere coegit, ut potentia Dei in organi debilitate maxime elucesceret. Forte enim ob eam causam valde abundavit nostra debilitas, ut gloria majore afficeretur qui quod infirmum est corroborat. Qui vero hanc nostram celebritatem reduxit, et præteriti anni votis finem dedit, et succedenti tempori initium largitus est (eadem enim dies præteritum circulum nobis terminat, et rursus insequentis fit initium), qui igitur congregavit nos, et tribuit usum futuri, conservet nos in semetipso illæsos, inoffensos, a lupi raptu securos: Ecclesiam hanc, quæ magnis martyrum turribus munitur, custodiat inconcussam: insidias omnes, et hæretici furoris assultum avertat. Præterea in tranquillitate nobis præstet, ut discamus oracula divina, datamque Spiritus gratiam doceamus: quia ipsi gloria et imperium cum sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

A τοῦ Θεοῦ ἐν τῇ τοῦ ὀργάνου ἀσθενείᾳ μάλιστα διαφανῇ. Τάχα γὰρ διὰ τοῦτο ὑπερεπερίσσευσεν ἡμῶν τὸ ἀσθενὲς, ἵνα ἐπὶ πλεῖον δοξασθῇ ὁ τὸ ἀσθενὲς ἐνισχύων. Ὁ δὲ περιαγαγὼν ἡμῶν τὴν πανήγυριν ταύτην, καὶ πέρας δοὺς ταῖς περυσιναῖς εὐχαῖς, καὶ κεφαλὴν δοὺς τῷ ἐπιόντι χρόνῳ (ἡ γὰρ αὐτὴ ἡμέρα ὁρίζει ἡμῖν τὸν παρελθόντα κύκλον, καὶ κεφαλὴ γίνεται πάλιν τῷ ἐπερχομένῳ), ὁ τοίνυν ἐπισυνάξας καὶ χαρισάμενος τοῦ μέλλοντος τὴν ἐνέργειαν, διαφυλάξειεν ἡμᾶς ἐν αὐτῷ ἀβλαβεῖς, ἀνεπηρεάστους, ὑπὸ τοῦ λύκου ἀδιαρπάκτους· ἄσειστον τὴν Ἐκκλησίαν ταύτην, φρουρουμένην τοῖς μεγάλοις πύργοις τῶν μαρτύρων διατηρήσειε. Πᾶσαν ἐπιβουλὴν καὶ προσβολὴν αἱρετικῶν μηνιαμάτων ἀποστρέψειεν· ἐν ἡσυχίᾳ δὲ παράσχοι ἡμῖν (3) διδάσκεσθαι τὰ θεῖα B λόγια, καὶ διδάσκειν τὴν ἐπιχορηγουμένην χάριν τοῦ Πνεύματος· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA XXIV.

Contra Sabellianos, et Arium, et Anomœos.

1. Pugnat Judaismus cum Hellenismo, et uterque cum Christianismo, quemadmodum Ægyptii et Assyrii et sibi invicem et Israeli erant infensi. Ita quoque in vitio comperimus timiditatem atque audaciam et inter se pugnare, et fortitudini adversari. Talis quædam pugna etiam adversus rectam confessionem utrinque mota est, hinc a Sabellio, illinc ab iis qui prædicant inæqualitatem. Nos vero sicut ethnicos fugimus, et improbum simulacrorum cultum sumus aversati, et deorum multitudinem quam inducunt impiam esse judicavimus: sic quoque Judæorum Filium Dei negantium refugimus blasphemiam, veriti scilicet minas illas: *Qui negaverit me coram hominibus, negabo et ego eum coram Patre meo, qui in cœlis est* [31]. Fugiamus igitur, ut par est, eos etiam qui his cognata dogmata contra veritatis doctrinam excogitant. Postquam enim callidus ille ad nocendum diabolus Christianos vidit a Judæis ac gentilibus abalienari, statimque infensos nos illis esse nominum causa; imposito utrisque nomine nostro, sic rursus Judaicam inficiationem ac gentilem deorum multitudinem introducere conatur. Qui enim Unigenitum dicunt opus Dei esse atque facturam, deinde adorant, et velut Deum profitentur; ii dum colunt creaturam, non Creatorem, aperte gentilium

ΟΜΙΛΙΑ ΚΔ'.

Κατὰ Σαβελλιανῶν, καὶ Ἀρείου, καὶ τῶν Ἀνομοίων (4).

1. Μάχεται Ἰουδαϊσμὸς Ἑλληνισμῷ, καὶ ἀμφότεροι Χριστιανισμῷ, ὥσπερ Αἰγύπτιοι καὶ Ἀσσύριοι καὶ ἀλλήλοις ἦσαν πολέμιοι καὶ τῷ Ἰσραήλ· ὡς καὶ ἐπὶ τῆς κακίας εὑρίσκομεν δειλίαν καὶ θράσος καὶ ἀλλήλοις ἀντικείμενα, καὶ τῇ ἀνδρίᾳ. Τοιαύτη τίς ἐστι καὶ πρὸς τὴν ὀρθότητα τῆς ὁμολογίας ἑκατέρωθεν C παρακειμένη μάχη· ἐντεῦθεν μὲν Σαβελλίου, ἑτέρωθεν δὲ τῶν τὸ ἀνόμοιον κηρυσσόντων. Ἡμεῖς δὲ, ὥσπερ ἀπεφύγομεν Ἕλληνας, καὶ τὴν πονηρὰν εἰδωλολατρείαν (5) ἐξετράπημεν, καὶ τὸ πολύθεον αὐτῶν ἄθεον εἶναι κατέγνωμεν· οὕτως ἀπεφύγομεν καὶ τὴν τῶν Ἰουδαίων βλασφημίαν τῶν τὸν Υἱὸν τοῦ Θεοῦ ἀρνουμένων, φοβηθέντες ἐκείνην τὴν ἀπειλήν· *Ὃς ἂν ἀρνήσηταί* (6) *με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀπαρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.* Φεύγωμεν δὴ οὖν, ὡς τὸ εἰκὸς, καὶ τοὺς τὰ συγγενῆ τούτοις κατὰ τοῦ λόγου τῆς ἀληθείας ἐπεξευρίσκοντας. Ἐπειδὴ γὰρ εἶδεν ὁ σοφὸς τοῦ κακοποιῆσαι διάβολος τὴν πρὸς Ἕλληνας καὶ Ἰουδαίους τῶν Χριστιανῶν ἀλλοτρίωσιν, καὶ ὅτι εὐθὺς ἐκ τῶν ὀνομάτων ἔχομεν πρὸς D αὐτοὺς πολεμίως (7), τὸ ἡμέτερον ἐπιθεὶς ἑκατέροις ὄνομα, οὕτως ἐπεισάγειν ἐπιχειρεῖ πάλιν τὴν Ἰουδαϊκὴν ἄρνησιν, καὶ τὴν Ἑλληνικὴν πολυθεΐαν. Οἱ μὲν γὰρ ἔργον Θεοῦ εἶναι λέγοντες τὸν Μονογενῆ, καὶ ποίημα, εἶτα προσκυνοῦντες καὶ θεολογοῦν-

[31] Matth. x, 33.

(3) Editi ἀποστρέψειεν ἐν ἡσυχίᾳ, παράσχοι δὲ ἡμῖν, *avertat in tranquillitate*, etc. Reg. secundus ut in contextu.

(4) Reg. secundus, κατὰ Σαβελλίου, καὶ Ἀρείου, καὶ τῶν Ἀνομοίων. Καὶ ἀκριβὴς θεολογία περὶ τῆς ἁγίας Τριάδος, *Adversus Sabellium, et Arium, et Anomœos. Atque theologia accurata de sancta Trinitate.*

(5) Sic veteres quinque libri. Editi καὶ τῆς πονηρᾶς εἰδωλολατρείας.

(6) Editi ὃς ἀρνήσεται. At quatuor mss. uti in contextu. Mox codex Clarom. ἀρνήσομαι κἀγώ.

(7) Unus ms. Colb. αὐτοὺς πόλεμον. Codex Clarom. πολεμεῖν.

τες (8), ἐκ τοῦ λατρεύειν τῇ κτίσει, καὶ μὴ τῷ κτίσαντι, τὰ τῶν Ἑλλήνων ἄντικρυς ἐπεισάγουσιν· οἱ δὲ τὸν ἐκ Θεοῦ Θεὸν (9) ἀρνούμενοι, καὶ ὀνόματι μὲν ὁμολογοῦντες Υἱὸν, ἔργῳ δὲ καὶ ἀληθείᾳ τὴν ὕπαρξιν ἀθετοῦντες, τὸν Ἰουδαϊσμὸν πάλιν ἀνανεοῦνται. Καὶ γὰρ ὅταν ὁμολογῶσι Λόγον, τῷ ἐνδιαθέτῳ αὐτὸν παρεικάζουσι· καὶ σοφίαν λέγοντες, ὁμοίαν εἶναι λέγουσι τῇ ἕξει τῇ ἐν ψυχῇ τῶν πεπαιδευμένων συνισταμένῃ· καὶ διὰ τοῦτο πρόσωπον ἓν Πατρὸς καὶ Υἱοῦ, ἐπειδὴ καὶ ἄνθρωπος εἷς λέγεται, οὐ διαιρούμενος ἀπὸ τοῦ ἐνυπάρχοντος αὐτῷ λόγου καὶ τῆς σοφίας. Καίτοι ὁ (10) εὐαγγελιστὴς εὐθὺς ἐκ προοιμίων βοᾷ· *Καὶ Θεὸς ἦν ὁ Λόγος*, ἰδίαν ὕπαρξιν διδοὺς τῷ Υἱῷ. Εἰ γὰρ ἐν καρδίᾳ ἦν ὁ Λόγος, πῶς ἂν ἐνοήθη Θεός; πῶς δ' ἂν ἦν πρὸς τὸν Θεόν; Ἐπειδὴ οὔτε ὁ ἐν ἀνθρώπῳ λόγος B ἄνθρωπος, οὔτε πρὸς αὐτὸν εἶναι λέγεται, ἀλλ' ἐν αὐτῷ. Οὔτε γὰρ ζῶν ἐστιν, οὔτε ὑφεστώς· ὁ δὲ τοῦ Θεοῦ Λόγος ζωή ἐστι καὶ ἀλήθεια. Καὶ ὁ μὲν λόγος ὁ ἡμέτερος ὁμοῦ τε ἐλέχθη καὶ οὐκ ἔστι· περὶ δὲ τοῦ Θεοῦ Λόγου τί φησιν ὁ ψαλμός; *Εἰς τὸν αἰῶνα, Κύριε, ὁ Λόγος σου διαμένει ἐν τῷ οὐρανῷ.*

Καὶ ἐντεῦθεν μὲν οὗτος ὁ πόλεμος· ἑτέρωθεν δὲ τίς καὶ ποῖός ἐστιν ὁ κατὰ τῆς ἀληθείας ἀγών; Τὴν μὲν ὕπαρξιν συγχωροῦσι, καὶ ἴδιον εἶναι πρόσωπον Υἱοῦ, καὶ ἴδιον Πατρὸς συντίθενται· ἀνομοιότητα δὲ τῆς φύσεως παρεισάγουσι. Καὶ τὸ τοῦ Υἱοῦ ὄνομα μέχρι φωνῆς συγχωροῦσι, τῇ δὲ ἀληθείᾳ πρὸς τὴν κτίσιν αὐτὸ κατάγουσιν· οὐ δυσωπούμενοι τὴν φωνὴν τοῦ Κυρίου, ἑαυτὸν προδεικνύντος τῷ πρὸς τὴν C τοῦ Πατρὸς θεωρίαν ἐπειγομένῳ. *Ὁ ἑωρακὼς γὰρ ἐμὲ*, φησὶν, *ἑώρακε τὸν Πατέρα.* Αὕτη δὲ ἡ φωνὴ ὀρθῶς λογιζομένοις ἀμφοτέρων ἐμφράττει τὰς βλασφημίας. Οὔτε γὰρ ἑαυτὸν εἶναι τὸν Πατέρα φάσκει, ὅς γε διαιρεῖ τὰ πρόσωπα φανερῶς ἐν τῷ λέγειν· *Ὁ ἑωρακὼς ἐμέ.* Δείκνυσι γὰρ ἐκ τούτου τὸ ἴδιον αὐτοῦ πρόσωπον (11)· *Ἑώρακε τὸν Πατέρα*, ἀναφέρων ἐπὶ τὸ πατρικὸν πρόσωπον, καὶ διαιρῶν ἀφ' ἑαυτοῦ προδήλως, καὶ ἐν τῷ λέγειν· *Εἰ ἐγνώκειτέ με, καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε.* Οὐ γὰρ σύγχυσιν τῶν προσώπων ἐμφαίνει ταῦτα, ἀλλὰ τὸ ἀπαράλλακτον τῆς θεότητος παρίστησιν. Ἀκουέτωσαν δὲ τὸν αὐτὸν λόγον (12) καὶ οἱ ἐναντίοι· ὅτι ὁ τῆς τοῦ Υἱοῦ κατηξιωμένος κοινωνίας οὐκ ἀπεστέρηται τοῦ Πατρός. Οὐ γὰρ ἀλλοῖον ὁ γεννήτωρ ἐγέννα, ἀλλὰ τοιοῦτον D οἷος αὐτός ἐστιν. Ἄκουε, ὁ Ἀνόμοιος· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.* Ἄκουε καὶ σὺ, ὁ Σαβέλλιος· Ἐγὼ

A errores introducunt: qui vero Deum ex Deo negant, et nomine quidem **190** Filium confitentur, sed reipsa et vere subsistentiam ejus abolent, ii rursus Judaismum renovant. Cum enim Verbum confitentur, ipsum comparant cum eo quod in mente concipitur verbo; cumque sapientiam dicunt, consimilem esse dicunt habitui qui in anima manet eruditorum. Et idcirco unam personam Patris et Filii profitentur, quod homo quoque unus dicitur non divisus, ob verbum quod in ipso est et ob sapientiam. Atqui evangelista statim ab initio clamat: *Et Deus erat Verbum* [32], subsistentiam propriam dans Filio. Etenim si in corde erat Verbum, quomodo Deus intelligi potuit? rursus quomodo erat apud Deum? Nam neque verbum quod B in homine est, homo est, neque apud ipsum esse dicitur, sed in ipso. Neque enim vivens est, neque subsistens: sed Dei Verbum vita est et veritas [33]. Et nostrum quidem verbum simul atque prolatum est, amplius non est: sed de Dei Verbo quid dicit psalmus? *In æternum, Domine, Verbum tuum permanet in cœlo* [34].

2. Atque hinc quidem hoc bellum infertur: illinc vero quod et quale certamen est contra veritatem? Substantiam quidem concedunt, propriamque Filii personam esse, et Patris propriam confitentur: sed naturæ inducunt inæqualitatem. Et Filii nomen voce tenus concedunt, sed reipsa ipsum demittunt ad creaturam, haud verentes C vocem Domini, se ei qui Patrem videre gestiebat præmonstrantis. *Qui enim*, inquit, *vidit me, vidit Patrem* [35]. Hæc autem vox, si quis recte judicat, utrorumque obturat blasphemias. Neque enim seipsum Patrem esse dicit, qui scilicet personas aperte distinguat, his verbis: *Qui vidit me.* Hinc namque ostendit propriam suam personam. Cum vero subjungit: *Vidit Patrem*, respicit ad paternam personam, ac distinguit a semetipso manifeste. Quod idem facit quoque, ubi ait: *Si cognovissetis me, et Patrem meum utique cognovissetis* [36]. Non enim personarum confusionem indicant hæc, sed deitatis similitudinem exhibent discriminis cujusvis expertem. Audiant autem hæc ipsa verba et adversarii, quod qui Filii consortio dignatus est, D is Patre privatus non sit. Nec enim diversum Genitor genuit, sed talem qualis ipse est. Audi, Anomœe, *Ego et Pater unum sumus* [37]. Audi et tu,

[32] Joan. I, 1. [33] Joan. XIV, 6. [34] Psal. CXVIII, 89. [35] Joan. XIV, 9. [36] ibid. 7. [37] Joan. X, 30.

(8) Ita Anomœi Filium dicebant Deum, ut eum Patre minorem esse vellent.

(9) Editi Θεὸν Λόγον, *Deum Verbum*. Vox ultima in mss. non legitur.

(10) Editi Καίτοιγε ὁ. Veteres tres libri ut in contextu. Aliquanto post mss. duo πῶς δ' ἄν. Editi πῶς ἄν.

(11) Unus codex Reg. ἐκ τούτου τὸ ἑαυτοῦ πρόσωπον.

(12) Antiqui tres libri τῶν αὐτῶν λόγων. Combefisius, cum verba, quæ proxime sequuntur, corrupta esse arbitraretur, ea duobus modis resarcire conatus est. Ait igitur legendum esse aut ὅτι ὁ τῆς τοῦ Υἱοῦ κατηξιωμένος προσηγορίας οὐκ ἀπεστέρηται τῆς τοῦ Πατρὸς κοινωνίας, aut ὅτι ὁ τῆς τοῦ Υἱοῦ κατηξιωμένος κοινωνίας, etc., ut in contextu, sed sic tamen, ut post illud, Πατρός, subaudiatur vox κοινωνίας, *Qui Filius dignatus est consortio, nec Patris privatus est*, supple, *consortio*. Puto simpliciter legendum προσηγορίας pro κοινωνίας, hoc sensu: *Qui ita conjunctus est Patri, ut Filii nomen consecutus sit, privatus non est Patre*, hoc est, *Patris naturam habet.*

Sabelli, *Ego exivi a Patre, et ad ipsum vado* [38]. Et uterque ex evangelica doctrina proprium vulnus curet. Et tu quidem unitatem sume ex absolutissima naturæ similitudine : tu vero illud, *Ab eo exivi, et ad ipsum vado*, ad personarum diversitatem referas. Conveniat igitur de his inter nos, agamusque pacem, et a longo contra pietatem bello desistamus, acutis illis impietatis armis abjectis, et hastis in aratra, gladiis vero in falces conflatis [39]. Neque tu dicas *solum* : sed sequere eum, qui **191** dicit : *Non sum solus, quia qui misit me Pater, mecum est* [40]. Alius igitur est Pater qui misit, alius qui missus est Filius. Ac rursus : *Ego*, inquit, *testimonium perhibeo de meipso, et testimonium perhibet de me qui misit me Pater* [41]. Et : *In lege vestra*, inquit, *scriptum est, quod duorum hominum testimonium verum est* [42]. Numera, si lubet, personas. *Ego*, inquit, *sum qui testimonium perhibeo*. Unus. *Et testimonium perhibet de me qui misit me*. En duo. Nec ego sic audacter numero, sed Dominus ipse docuit, cum dixit : *In lege vestra scriptum est, quod duorum hominum testimonium verum sit*. Tu vero, qui alio impietatis genere adversus Deum pugnas, qui Filium dicis Deo natura dissimilem, qui æqualitatem non concedis, qui inducis vitæ intervallum, reverere Paulum dicentem : *Qui est imago Dei invisibilis* [43-44]; hocque largiare imagini viventi, ut vitæ archetypæ per omnia similis sit. Confitere Patrem esse Filii, non creaturæ, opificem. Et in vera Patris confessione sine eum qui genitus est, ipsi dignitate parem esse, revocans in memoriam illud evangelistæ testimonium : *Deum Patrem suum dicebat, faciens se æqualem Deo* [45]. Æqualitas autem illa, quam cum Patre habet, intelligitur esse secundum naturam, non secundum magnitudinis corporeæ mensuram. Quomodo autem non rapinam arbitratus est esse se æqualem Deo [46], si, ut tu blasphemas, nunquam æqualis fuit? Quomodo rursus in Dei forma erat, qui, ut tu dicis, nunquam similis fuit

3. Talis quidem utrinque pugna nobis est ; veritas vero quæ? Neque tu reformides personas confiteri : sed dic Patrem, dic et Filium, non rei uni nomina duo attribuens, sed ex utraque appellatione significationem propriam discens. Nam ingens improbitas est non suscipere documenta Domini, qui nobis perspicue aliam personam ab

A *ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ πρὸς αὐτὸν ὑπάγω*. Καὶ ἑκάτερος ὑμῶν τὸ ἴδιον τραῦμα ἐκ τοῦ εὐαγγελικοῦ διδασκαλίου (13) θεραπευέσθω. Καὶ σὺ μὲν τὴν ἑνότητα λάμβανε ἐπὶ τὸ τῆς φύσεως ἀπαράλλακτον· σὺ δὲ τὸ, *Ἀπ' αὐτοῦ ἐξῆλθον, καὶ πρὸς αὐτὸν πορεύομαι*, ἐπὶ τὸ τῶν προσώπων διάφορον (14). Συμβῶμεν οὖν ἐπὶ τούτοις, καὶ εἰρηνεύσωμεν, καὶ καταθώμεθα τὸν μακρὸν κατὰ τῆς εὐσεβείας πόλεμον· ῥίψαντες μὲν τὰ ἠκονημένα ταῦτα τῆς ἀσεβείας ὅπλα, καὶ μεταχαλκεύσαντες τὰς ζιβύνας εἰς ἄροτρα, καὶ τὰς μαχαίρας εἰς δρέπανα. Μήτε σὺ λέγε *μόνον* (15), ἀλλ' ἀκολούθει τῷ λέγοντι· *Οὐκ εἰμὶ μόνος, ὅτι ὁ πέμψας με Πατὴρ μετ' ἐμοῦ ἐστιν*. Ἄλλος οὖν ὁ πέμψας Πατὴρ, καὶ ἄλλος ὁ πεμφθεὶς Υἱός. Καὶ πάλιν, *Ἐγὼ*, φησὶ, *μαρτυρῶ περὶ ἐμαυ-* B *τοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ*. Καὶ, *Ἐν τῷ νόμῳ δὲ*, φησὶ, *τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν*. Ἀρίθμησον, εἰ βούλει, τὰ πρόσωπα. *Ἐγὼ*, φησὶν, *εἰμὶ ὁ μαρτυρῶν*. Εἷς. *Καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με*. Δύο. Καὶ οὐχ ἐγὼ οὕτω τολμηρῶς ἀριθμῶ, ἀλλ' αὐτὸς ὁ Κύριος ἐδίδαξεν, εἰπών· *Ἐν τῷ νόμῳ τῷ ὑμετέρῳ γέγραπται, ὅτι ἀνθρώπων δύο ἡ μαρτυρία ἀληθής ἐστι*. Καὶ σὺ δὲ, ὁ κατ' ἄλλο εἶδος τῆς ἀσεβείας θεομαχῶν, ὁ ἀνόμοιον εἶναι λέγων τῇ φύσει τὸν Υἱὸν τῷ Θεῷ, ὁ τὴν ἰσότητα μὴ διδοὺς, ὁ διάστασιν ζωῆς ἐμποιῶν (16) δυσωπήθητι Παῦλον λέγοντα· *Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου*· καὶ δὸς τῇ ζώσῃ εἰκόνι ἀπαρ- C αλλάκτως ἔχειν πρὸς τὴν ζωὴν τὴν ἀρχέτυπον. Ὁμολόγει Πατέρα Υἱοῦ, μὴ κτίσματος, δημιουργόν. Καὶ ἐν τῇ ἀληθινῇ τοῦ Πατρὸς ὁμολογίᾳ δὸς τὴν τοῦ γεννηθέντος πρὸς αὐτὸν ὁμοτιμίαν, μνησθεὶς τῆς τοῦ εὐαγγελιστοῦ (17) μαρτυρίας, ὅτι *Πατέρα ἔλεγεν ἑαυτοῦ τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ*. Τὸ δὲ ἰσάζειν τῷ γεγεννηκότι κατὰ τὴν φύσιν νοεῖται, οὐ κατὰ μεγέθους σωματικοῦ παραμέτρησιν. Πῶς δὲ οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, εἰ, ὡς σὺ βλασφημεῖς, οὐδέποτε ἴσος; Πῶς δὲ καὶ ἐν μορφῇ Θεοῦ ὑπῆρχεν ὁ, κατὰ τὸν σὸν λόγον, μηδέποτε ὅμοιος;

3. Ἀλλ' ὁ μὲν πόλεμος ἑκατέρωθεν ἡμῖν τοιοῦτος· ἡ δὲ ἀλήθεια τίς; Μήτε σὺ φοβοῦ τὴν τῶν προσώπων ὁμολογίαν, ἀλλὰ λέγε Πατέρα, λέγε καὶ Υἱὸν, μὴ D ἑνὶ πράγματι δύο ὀνόματα ἐπιφθεγγόμενος, ἀλλ' ἐξ ἑκατέρας τῆς προσηγορίας ἰδίαν ἔννοιαν διδασκόμενος. Δεινὴ γὰρ ἀγνωμοσύνη μὴ καταδέχεσθαι τὰ διδάγματα τοῦ Κυρίου, εὐκρινῶς διιστῶντος (18)

[38] Joan. XVI, 28. [39] Isa. II, 4. [40] Joan. VIII, 16. [41] ibid. 14. [42] ibid. 17, 18 [43-44] Coloss. I, 15. [45] Joan. V, 18. [46] Philipp. II, 6.

(13) Reg. secundus διδασκαλίου, rectius. Editi διδασκαλείου.

(14) Vox διάφορον ita hoc loco accipienda est, ut pro distinctione sumatur.

(15) Illud, μήτε σὺ λέγε μόνον, sic intellige : *Neque tu Deum ita solum dicas, ut excludantur personæ.*

(16) Basilius impetit eos, qui Verbum æternum non esse profitentes, arbitrabantur intervallum quoddam fuisse, quo Patris vita a vita Filii distaret.

(17) Sic veteres quatuor libri. Editi τοῦ Εὐαγγελίου.

(18) Illud εὐκρινῶς διιστῶντος, etc., inepte quidem vertit vetus interpres, cum ita scripsit, *tam conspicue personarum nobis alterationem secernentis* : sed, ut ingenue fatear nescire quod nescio, dicam non nosse me ullam vocem Latinam, qua vox Græca ἑτερότης bene exprimi possit. Sed tamen fortasse, periphrasi usus, eam utcunque exprimes, si ita interpretere, uti interpretati sumus.

ἡμῖν τῶν προσώπων τὴν ἑτερότητα. *Ἐὰν γὰρ ἀπέλθω*, φησὶ, *παρακαλέσω τὸν Πατέρα, καὶ ἄλλον πέμψει Παράκλητον ὑμῖν*. Οὐκοῦν Υἱὸς μὲν ὁ παρακαλῶν, Πατὴρ δὲ ὁ παρακαλούμενος, Παράκλητος δὲ ὁ ἀποστελλόμενος. Ἆρ' οὖν οὐ φανερῶς ἀναισχυντεῖς ἀκούων, *Ἐγὼ* περὶ τοῦ Υἱοῦ, *Ἐκεῖνος* δὲ περὶ τοῦ Πατρὸς, *Ἄλλος* περὶ τοῦ Πνεύματος τοῦ ἁγίου, καὶ πάντα φύρων, καὶ πάντα συγχέων, καὶ ἑνὶ πράγματι τὰς πάσας προσηγορίας περιτιθείς; Μὴ μέντοι μηδὲ σὺ ἅρπαγμα πρὸς τὴν ἀσέβειαν λάβῃς τὴν τῶν προσώπων διαίρεσιν. Εἰ γὰρ καὶ δύο τῷ ἀριθμῷ, ἀλλὰ τῇ φύσει οὐ διέζευκται· οὐδὲ ὁ τὰ δύο λέγων (19) ἀλλοτρίωσιν ἐπεισάγει. Εἷς Θεὸς, ὅτι καὶ Πατήρ· εἷς Θεὸς δὲ καὶ ὁ Υἱὸς, καὶ οὐ δύο θεοὶ, ἐπειδὴ ταυτότητα ἔχει ὁ Υἱὸς πρὸς τὸν Πατέρα. Οὐ γὰρ ἄλλην ἐν Πατρὶ καθορῶ θεότητα, καὶ ἄλλην ἐν Υἱῷ· οὐδ' ἑτέραν φύσιν ἐκείνην, καὶ ἑτέραν ταύτην. Ἵνα μὲν οὖν τρανωθῇ σοι τῶν προσώπων ἡ ἰδιότης, ἀρίθμει ἰδίᾳ Πατέρα, καὶ ἰδίᾳ Υἱόν· ἵνα δὲ μὴ εἰς πολυθεΐαν ἀποσχισθῇς, μίαν ὁμολόγει ἐπ' ἀμφοῖν τὴν οὐσίαν. Οὕτω καὶ Σαβέλλιος πίπτει, καὶ ὁ Ἀνόμοιος συντριβήσεται.

4. Ὅταν δὲ εἴπω μίαν οὐσίαν, μὴ δύο ἐξ ἑνὸς μερισθέντα νόει, ἀλλ' ἐκ τῆς ἀρχῆς τοῦ Πατρὸς τὸν Υἱὸν ὑποστάντα, οὐ Πατέρα καὶ Υἱὸν ἐκ μιᾶς οὐσίας ὑπερκειμένης. Οὐ γὰρ ἀδελφὰ λέγομεν, ἀλλὰ Πατέρα καὶ Υἱὸν ὁμολογοῦμεν. Τὸ δὲ τῆς οὐσίας ταυτὸν, ἐπειδὴ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, οὐ προστάγματι ποιηθεὶς, ἀλλ' ἐκ τῆς φύσεως γεννηθείς· οὐκ ἀπομερισθεὶς τοῦ Πατρὸς, ἀλλὰ μένοντος τελείου τέλειος ἀπολάμψας. Καὶ μή μοι περιδραμόντες, ὅσοι ἢ μὴ τελείως τοῖς λεγομένοις ἠκολουθήσατε, ἢ πρὸς ἐπήρειαν ἡμᾶς περιεστήκατε, οὐ λαβεῖν τι παρ' ἡμῶν ὠφέλιμον ἐπιζητοῦντες, ἀλλὰ λαβέσθαι τινὸς τῶν λεγομένων ἐπιτηροῦντες, εἴπητε· Δύο θεοὺς κηρύσσει, πολυθεΐαν καταγγέλλει. Οὐ δύο θεοί· οὐδὲ γὰρ δύο πατέρες. Ὁ μὲν ἀρχὰς εἰσάγων δύο δύο κηρύττει θεούς. Τοιοῦτος δέ ἐστι Μαρκίων, καὶ εἴ τις ἐκείνῳ τὴν ἀσέβειαν παραπλήσιος. Καὶ πάλιν ὁ ἑτερούσιον λέγων τὸν γεγεννημένον πρὸς τὸν γεννήσαντα, δύο καὶ οὗτος λέγει θεοὺς, διὰ τὴν τῆς οὐσίας ἀνομοιότητα τὸ πολύθεον παρεισάγων. Εἰ γὰρ μία μὲν θεότης ἀγέννητος, μία δὲ γεννητὴ, σὺ εἶ ὁ τὴν πολυθεΐαν κηρύσσων, ἐναντίον μὲν λέγων εἶναι τὸ ἀγέννητον τῷ γεννητῷ, ἐναντίας δὲ δηλονότι καὶ τὰς οὐσίας τιθέμενος· εἴπερ οὐσία μὲν τοῦ Πατρὸς ἡ ἀγεννησία· οὐσία δὲ τοῦ Υἱοῦ ἡ γέννησις. Ὥστε οὐ δύο μόνον (20) θεοὺς, ἀλλὰ καὶ μαχομένους ἀλλήλοις λέγεις· καὶ τὸ δεινότατον, οὐ προαιρέσει διδοὺς τὴν μάχην, ἀλλὰ φυσικῇ διαστάσει, μηδέποτε ἐλθεῖν εἰς εἰρηνικὴν σύμβασιν δυναμένῃ. Ἀλλ' ὁ τῆς ἀληθείας λόγος ἑκατέρωθεν τὰ ἐναντιώματα διαπέφευγεν. Ὅπου γὰρ μία μὲν ἡ ἀρχὴ, ἓν δὲ τὸ ἐξ αὐτῆς, καὶ ἓν μὲν τὸ ἀρχέτυ-

[47] Joan. XIV, 16.

(19) Editi λέγων πρόσωπα. Vox ultima in mss. non invenitur, ob idque eam delere non dubitavimus.

A alia distinguit. *Si enim abiero*, inquit, *rogabo Patrem, et alium Paracletum mittet vobis* [47]. Itaque Filius est qui rogat, Pater est qui rogatur, Paracletus vero qui mittitur. Nonne ergo aperte impudens es, qui cum audias, *Ego*, de Filio, *Ille*, de Patre, *Alius*, de Spiritu sancto, misces tamen omnia, omniaque confundis, et rei uni tribuis appellationes omnes? Vicissim neque tu ad stabiliendum impietatem sumito secretionem personarum. Etsi enim duo sunt numero, tamen natura non sunt disjuncti : neque qui duo dicit alienationem inducit. Unus Deus et Pater, unus Deus et Filius, non dii duo, cum Filius identitatem habeat cum Patre. Non enim aliam in Patre intueor divinitatem, aliam in Filio ; neque aliam naturam
B illam, et aliam hanc. Quamobrem perspicua ut sit tibi personarum proprietas, numera separatim Patrem, et separatim Filium : sed ne scindaris in multitudinem deorum, unam in utroque essentiam confiteare. Ita et Sabellius cadit, et Anomœus conteretur.

4. Sed cum essentiam unam dico, cave intelligas duo ex uno divisa, sed ex principio Patre 192
Filium subsistentem, non Patrem et Filium ex una superiore essentia emergentes. Non enim fratres dicimus, sed Patrem et Filium confitemur. At essentiæ identitas est, quia ex Patre Filius, non præcepto factus, sed ex natura genitus, non dissectus a Patre, sed eo manente perfecto perfectus
C illucescens. Et mihi, quotquot aut non perfecte dicta asseculi estis, aut calumniandi causa nos circumstatis, non quærentes ut ex nobis aliquid capiatis emolumenti, sed observantes ut aliquid eorum quæ dicimus carpatis, ne circumcursantes dixeritis : Prædicat deos duos, deorum multitudinem annuntiat. Non sunt dii duo, neque enim sunt duo patres. Principia duo qui inducit, deos duos prædicat. Talis autem est Marcion, et si quis illi similis sit impietate. Ac rursus, qui Genitum alterius essentiæ a Genitore esse dicit, is quoque dicit deos duos, ob essentiæ dissimilitudinem multitudinem deorum inducens. Etenim si una est divinitas ingenita, una vero genita, tu es qui deo-
D rum prædicas multitudinem, cum Ingenitum Genito contrarium dicas, statuasque essentias etiam plane contrarias : siquidem essentia Patris esset ingeneratio, essentia vero Filii, generatio. Quare non duos modo deos, sed eos etiam inter se pugnantes dicis : et quod gravissimum est, non tribuis pugnam proposito animi, sed naturali dissidio, quod non possit unquam ad pacificam concordiam venire. At veritatis doctrina ea quæ utrinque inter se pugnant, declinavit. Ubi enim unum

(20) Editi μόνους. Antiqui tres libri μόνον. Aliquanto post editi et Reg. tertius δυναμένην. At mss. tres δυναμένῃ.

est principium, et unum quod ex ipso est, ubi rursus unum est exemplar, et imago una, unitatis ratio haudquaquam labefactatur. Quapropter Filius ex Patre per modum generationis exsistens, et naturaliter in semetipso Patrem exprimens, ut imago quidem, integerrimam absolutissimamque habet similitudinem; ut genitura vero, consubstantialitatem servat. Neque enim qui in foro imaginem regiam intuetur, et regem dicit eum qui in tabula est, confitetur reges duos, imaginem, et eum cujus imago est: neque si dixerit: Hic est rex, ostendens videlicet eum qui in tabula pictus est, continuo exemplar ipsum appellatione regis privat. Imo vero, dum hoc confitetur, ei dignitatem firmavit. Nam si imago rex est, profecto jure potiore par est regem esse eum, qui imagini ut sit causa est. Atqui hic ligna, et cera, et pictoris ars corruptibilem imaginem efficit, effigiem scilicet rei corruptibilis, et ejus qui effictus est artificiosum simulacrum: illic vero ubi audieris imaginem, splendorem gloriæ intellige. Quisnam autem splendor, et quæ gloria? Apostolus ipse statim interpretatus est, cum subjunxit: *Et* **193** *character hypostaseos* [18.38]. Idem igitur est hypostasis quod gloria, et character quod splendor. Quare perfecta manente et nihil imminuta gloria, perfectus procedit splendor. Atque sic imaginis ratio ut Deum decet accepta, et divinitatis nobis unitatem exhibet. Hic enim in illo, et ille in hoc. Nam et hic talis est, qualis ille, et ille qualis hic. Ita uniuntur duo, propterea quod non differant, nec Filius secundum aliam speciem et extraneum characterem intelligatur. Rursus igitur dico: Unus et unus, sed natura indivisa est, et perfectio imperfectionem omnem excludens. Unus igitur Deus, quandoquidem per utrumque species una consideratur, quæ integre in utroque ostenditur. Sed jamdiu sermonem nostrum moleste ferre vos video, et tantum non audire me puto, quod confessis immorans quæstiones valde decantatas non attingam. Omnium enim aures arrectæ nunc sunt, ut de Spiritu sancto aliquid audiant. Ego vero velim maxime, sicut traditum simpliciter accepi, sicut ingenue et candide assensus sum, sic et auditoribus tradere, ut non eorumdem mihi sit semper reddenda ratio, sed ut

A πον, μία δὲ ἡ εἰκὼν, ὁ τῆς ἑνότητος λόγος οὐ διαφθείρεται (21). Διότι γεννητῶς ὑπάρχων ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ φυσικῶς ἐκτυπῶν ἐν ἑαυτῷ τὸν Πατέρα, ὡς μὲν εἰκὼν, τὸ ἀπαράλλακτον ἔχει, ὡς δὲ γέννημα (22), τὸ ὁμοούσιον διασώζει. Οὐδὲ γὰρ ὁ κατὰ τὴν ἀγορὰν τῇ βασιλικῇ εἰκόνι ἐνατενίζων, καὶ βασιλέα λέγων τὸν ἐν τῷ πίνακι, δύο βασιλέας ὁμολογεῖ, τήν τε εἰκόνα, καὶ τὸν οὗ ἐστιν ἡ εἰκών· οὔτε, ἐὰν, δείξας τὸν ἐν τῷ πίνακι γεγραμμένον, εἴπῃ· Οὗτός ἐστιν ὁ βασιλεὺς, ἀπεστέρησε τὸ πρωτότυπον τῆς τοῦ βασιλέως προσηγορίας. Μᾶλλον μὲν οὖν ἐκείνῳ τὴν τιμὴν ἐβεβαίωσε διὰ τῆς τούτου ὁμολογίας. Εἰ γὰρ ἡ εἰκὼν βασιλεὺς, πολλῷ δήπου εἰκὸς βασιλέα εἶναι τὸν τῇ εἰκόνι παρασχόμενον τὴν αἰτίαν. Ἀλλ' ἐνταῦθα μὲν ξύλα, καὶ κηρὸς, καὶ ζωγράφου τέχνη τὴν εἰκόνα ποιεῖ φθαρ-
B τὴν, φθαρτοῦ μίμημα, καὶ τεχνητὴν τοῦ (23) ποιηθέντος· ἐκεῖ δὲ, ὅταν ἀκούσῃς εἰκόνα, ἀπαύγασμα νόει τῆς δόξης. Τί δὲ τὸ ἀπαύγασμα, καὶ τίς ἡ δόξα; Αὐτὸς εὐθὺς ἡρμήνευσεν ὁ Ἀπόστολος ἐπάγων (24)· *Καὶ χαρακτὴρ τῆς ὑποστάσεως*. Ταυτὸν οὖν ἐστι τῇ δόξῃ μὲν ἡ ὑπόστασις, τῷ ἀπαυγάσματι δὲ ὁ χαρακτήρ. Ὥστε, τελείας μενούσης καὶ μηδὲν μειουμένης τῆς δόξης, τέλειον πρόεισι τὸ ἀπαύγασμα. Καὶ οὕτως ὁ τῆς εἰκόνος λόγος, θεοπρεπῶς παραδεχθεὶς, τὴν ἑνότητα ἡμῖν παρίστησι τῆς θεότητος. Οὗτος γὰρ ἐν ἐκείνῳ, κἀκεῖνος ἐν τούτῳ. Ὅτι καὶ οὗτος τοιοῦτός ἐστιν, οἷος ἐκεῖνος· κἀκεῖνος, οἷος οὗτος. Οὕτως ἑνοῦται τὰ δύο, τῷ μὴ διαλλάττειν, μηδὲ καθ' ἕτερον εἶδος καὶ ξένον χαρακτῆρα νοεῖσθαι τὸν Υἱόν. Πάλιν οὖν λέγω· Εἷς καὶ εἷς, ἀλλ' ἡ φύσις
C ἀμέριστος, καὶ ἡ τελειότης ἀνελλιπής. Εἷς οὖν Θεὸς, ἐπειδὴ δι' ἀμφοτέρων ἓν εἶδος θεωρεῖται ὁλοκλήρως ἐν ἀμφοτέροις δεικνύμενον. Ἀλλὰ γὰρ πάλαι ὁρῶ δυσανασχετοῦντας ὑμᾶς πρὸς τὸν λόγον, καὶ μονονουχὶ ἀκούειν (25) δοκῶ, ὅτι τοῖς ὁμολογουμένοις ἐνδιατρίβων, τῶν πολυθρυλλήτων ζητημάτων οὐχ ἅπτομαι. Πᾶσα γὰρ ἀκοὴ νῦν πρὸς τὴν ἀκρόασιν τῶν λόγων τῶν περὶ τοῦ ἁγίου Πνεύματος ἀνηρέθισται. Ἐγὼ δὲ μάλιστα ἠβουλόμην, ὡς παρέλαβον ἁπλοϊκῶς, ὡς συνεθέμην ἀνεπιτηδεύτως, οὕτω παραδιδόναι τοῖς ἀκούουσι· μὴ ἀεὶ περὶ τῶν αὐτῶν ἀπαιτούμενος τὰς εὐθύνας, ἀλλ' ἐκ μιᾶς ὁμολογίας πεπεισμένους ἔχων τοὺς διδαχθέντας.
D Ἐπειδὴ δὲ περιεστήκατε ἡμᾶς, δικασταὶ μᾶλλον

[18.38] Hebr. I, 3.

(21) Unus codex Reg. οὐ διαφέρεται, *non differt*. Lectio optima. Alii mss. et editi ut in contextu. Ibidem duo mss. et editi γεννητός. At Colb. primus cum alio codice Reg. γεννητῶς, *per viam generationis*; et ita scripsisse Basilium puto. Ita enim vox γεννητῶς voci φυσικῶς plane respondebit.

(22) Basilio libros *contra Eunomium* scribenti, ita displicebat vox γέννημα, ut Eunomium ea usum pergraviter reprehenderit; nec satis mirari queo, quod eadem ipse uti voluerit. Puto autem ita scripsisse Basilium, aut imprudentia, aut quod id verbum jam a multis usurpari videret, quorum se exemplum semel sequi posse existimavit

(23) Editio Paris. καὶ τέχνην τὴν τοῦ. Editio Basil. καὶ τέχνη, τῇ τοῦ. Regii duo codices et Coisl. duabus vocibus τέχνη τήν. Colb. primus et Reg. secundus prima quidem manu et uno verbo τεχνητήν, sed nunc secunda manu in his libris pro τεχνητήν legitur τεχνίτην. Sed librarii illi, qui ita emendare voluerunt, potius veram scripturam corrupisse mihi videntur. Puto enim legi oportere τεχνητήν, sic tamen, ut suppleatur vox εἰκόνα, *efficit artificiosum simulacrum*, ejus scilicet qui expressus est. Et ne vocis τεχνητός architectus esse videar, ejus in Stephani *Thesauro* mentionem fieri monebo.

(24) Sic veteres quatuor libri. Editi pro ἐπάγων habent λέγων.

(25) Unus codex Reg. μόνον οὐκ ἀκούειν.

ἢ μαθηταὶ, ἡμᾶς δοκιμάσαι βουλόμενοι, οὐχ αὐτοί τι λαβεῖν ἐπιζητοῦντες· ἀνάγκη ἡμᾶς ὥσπερ ἐν δικαστηρίῳ τὴν ἀντιλογίαν προτείνεσθαι, καὶ ἀεὶ μὲν ἀνακρίνεσθαι, ἀεὶ δὲ λέγειν ἃ παρειλήφαμεν. Ὑμᾶς δὲ παρακαλοῦμεν μὴ ἐκ παντὸς τρόπου ζητεῖν τὸ ὑμῖν ἀρέσκον παρ' ἡμῶν ἀκοῦσαι, ἀλλ' ὃ τῷ Κυρίῳ εὐάρεστόν ἐστι, καὶ σύμφωνον ταῖς Γραφαῖς, καὶ μὴ μαχόμενον τοῖς Πατράσιν. Ἃ τοίνυν ἐλέγομεν περὶ τοῦ Υἱοῦ, ὅτι δεῖ ὁμολογεῖν ἴδιον αὐτοῦ πρόσωπον, ταῦτ' ἔχομεν λέγειν καὶ περὶ τοῦ Πνεύματος τοῦ ἁγίου. Οὐ γὰρ ταυτόν ἐστι τῷ Πατρὶ τὸ Πνεῦμα, διὰ τὸ γεγράφθαι, ὅτι *Πνεῦμα ὁ Θεός*. Οὐδὲ πάλιν Υἱοῦ καὶ Πνεύματος ἓν πρόσωπόν ἐστιν, ἐπειδὴ εἴρηται· *Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ· ὁ δὲ Χριστὸς ἐν ὑμῖν*. Ἐντεῦθεν γὰρ ἠπατήθησάν τινες Πνεῦμα καὶ Χριστὸν τὸν αὐτὸν εἶναι. Ἀλλὰ τί φαμεν; Ὅτι τὸ τῆς φύσεως οἰκεῖον ἐντεῦθεν ἐμφαίνεται, οὐχὶ προσώπων σύγχυσις. Ἔστι μὲν γὰρ ὁ Πατὴρ, τέλειον ἔχων τὸ *εἶναι* καὶ ἀνενδεὲς, ῥίζα καὶ πηγὴ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· ἔστι δὲ ὁ Υἱὸς ἐν πλήρει θεότητι ζῶν Λόγος, καὶ γέννημα τοῦ Πατρὸς ἀνενδεές· πλῆρες δὲ καὶ τὸ Πνεῦμα, οὐ μέρος ἑτέρου, ἀλλὰ τέλειον καὶ ὁλόκληρον ἐφ' ἑαυτοῦ θεωρούμενον. Καὶ συνῆπται μὲν ὁ Υἱὸς τῷ Πατρὶ ἀδιαστάτως· συνῆπται δὲ (26) τῷ Υἱῷ τὸ Πνεῦμα. Τὸ γὰρ διορίζον οὐκ ἔστιν, οὐδὲ τὸ διατέμνον τὴν ἐξ ἀϊδίου συνάφειαν. Αἰὼν γὰρ οὐδεὶς μεταξὺ παρεμπίπτει· οὐδὲ μὴν δέχεται ἡ ψυχὴ ἡμῶν ἐπίνοιαν χωρισμοῦ, ὡς ἢ τοῦ Μονογενοῦς μὴ συνόντος ἀεὶ τῷ Πατρὶ, ἢ τοῦ ἁγίου Πνεύματος μὴ συνυπάρχοντος τῷ Υἱῷ.

Ὅταν οὖν ποτε συνάψωμεν τὴν Τριάδα, μὴ ὡς ἑνὸς πράγματος ἀδιαιρέτου μέρη φαντάζου τὰ τρία (δυσσεβὴς γὰρ ὁ λογισμός), ἀλλὰ τριῶν ἀσωμάτων τελείων ἀχώριστον δέχου τὴν συνουσίαν (27). Ὅπου γὰρ ἁγίου Πνεύματος παρουσία, ἐκεῖ καὶ Χριστοῦ ἐπιδημία· ὅπου δὲ Χριστὸς, ἐκεῖ καὶ ὁ Πατὴρ πάρεστι δηλονότι. *Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστι;* Καὶ, *Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ* (28) *τοῦτον ὁ Θεός*. Ἁγιαζόμενοι οὖν διὰ τοῦ Πνεύματος, δεχόμεθα τὸν Χριστὸν κατοικοῦντα ἡμῶν εἰς τὸν ἔσω ἄνθρωπον, καὶ μετὰ τοῦ Χριστοῦ τὸν Πατέρα, κοινὴν ποιούμενον τὴν μονὴν παρὰ τοῖς ἀξίοις. Ταύτην δὲ τὴν συνάφειαν δηλοῖ καὶ ἡ παράδοσις τοῦ βαπτίσματος, καὶ ἡ ὁμολογία τῆς πίστεως. Εἰ γὰρ ἀλλότριον ἦν τῇ φύσει, πῶς συνηριθμεῖτο τὸ Πνεῦμα; Καὶ εἰ χρόνοις ὕστερον προσγενόμενον Πατρὶ καὶ Υἱῷ, πῶς τῇ ἀϊδίῳ συνετάσσετο φύσει; Οἱ δὲ χωρίζοντες Πατρὸς καὶ Υἱοῦ καὶ τῇ κτίσει συναριθμοῦντες τὸ Πνεῦμα ἀτελὲς μὲν ποιοῦσι τὸ βάπτισμα, ἐλλιπῆ δὲ τὴν ὁμολογίαν τῆς πίστεως. Οὔτε γὰρ ἡ

A confessione una persuasos habeam discipulos. Quoniam autem circumstatis nos, judices magis quam discipuli, qui probare nos velitis, non autem quidquam discere quæratis: necesse nobis est velut in judicio iis quæ objiciuntur respondere, semperque interrogari, et semper quæ accepimus dicere. Adhortamur autem vos, ut ne omnino quod vobis placet, ex nobis audire quæratis, sed quod Domino acceptum est, et consonum Scripturis, nec contrarium Patribus. Itaque quæ dicebamus de Filio, propriam videlicet ipsius personam confiteri oportere, eadem habemus et de Spiritu sancto dicere. Non enim ideo Spiritus idem est qui Pater, quod scriptum sit: *Spiritus est Deus* [39]. Neque rursus Filii et Spiritus persona una est, eo B quod dictum sit: *Si quis autem Spiritum Christi non habet, hic non est ejus; Christus autem in vobis est* [40]. Etenim hinc decepti nonnulli, Spiritum et Christum eumdem esse opinati sunt. Sed quid dicimus? Hinc commonstrari naturæ conjunctionem necessitudinemque, non personarum confusionem. Est namque Pater habens *esse* perfectum, nec ullius indigens, radix ac fons Filii et Spiritus sancti. Est et Filius in plena divinitate vivens Verbum, et proles Patris, quæ eget nullius. Quin et plenus est Spiritus, non pars alterius, sed perfectus et integer in seipso consideratur. Et conjunctus quidem est Patri Filius inseparabiliter, conjunctus quoque Filio est Spiritus. Nihil enim est quod dirimat, nihil quod sempiternam illam con- C junctionem intercidat. Nullum enim inter illos sæculum intercurrit, nec potest animus noster separationem ullam excogitare, adeo ut aut Unigenitus non sit semper cum Patre, aut Spiritus sanctus non semper exsistat cum Filio.

5. Ubicunque igitur Trinitatem conjunximus, noli velut unius rei indivisæ partes tres animo tibi fingere (impia est enim hæc cogitatio), sed trium incorporeorum perfectorum essentiam communem atque individuam intellige. **194** Ubi enim est Spiritus sancti præsentia, illic et Christus præsens est: ubi vero Christus, illic utique et Pater adest. *An nescitis, quod corpora vestra templum sunt habitantis in vobis Spiritus sancti* [41]? Et: *Si quis templum Dei profanat, hunc perdet Deus* [42]. Quamobrem cum per Spiritum sanctificamur, suscipimus D Christum in interiore nostro homine habitantem, et una cum Christo Patrem communiter apud dignos manentem. Hanc autem conjunctionem declarat et baptismatis traditio, et fidei confessio. Etenim si alienus esset natura Spiritus, quomodo simul annumeraretur? Et si temporum processu postea accessisset Patri ac Filio, qua ratione æternæ naturæ conjungeretur? Qui enim separant a Patre et Filio et inter creaturas numerant Spiritum, ut baptismum imperfectum, ita faciunt confessionem

[39] Joan. IV, 24. [40] Rom. VIII, 9, 10. [41] I Cor. VI, 19. [42] I Cor. III, 17.

(26) Sic veteres quatuor libri. Editi συνῆπται δὲ καὶ ἀδιαστάτως, etc.

(27) Vocem συνουσίαν ad verbum interpretari qui voluerit, vertat, *coessentiam trium*, etc.

(28) Pro φθείρει edendum curavimus ex antiquis duobus libris φθερεῖ, *corrumpet, perdet*.

fidei imperfectam. Neque enim Trinitas, Spiritu subtracto, Trinitas manet. Et rursus, si una aliqua creatura adjuncta fuerit, nulla non creatura cum Patre et Filio annumerabitur. Ecquid enim prohibet dicere, Credimus in Patrem et Filium et in creaturam omnem? Si enim pium est credere in partem creaturæ, profecto longe religiosius fuerit creaturam omnem ad hanc confessionem adhibere. Quod si credas in omnem creaturam, non in angelos et administros spiritus credes solum, sed etiam si quæ sunt adversariæ potestates, cum et ipsæ pars sint creaturæ, atque in professione fidei cum eis paciscere. Sic ea quæ in Spiritum est blasphemia, in impios ac nefandos sermones te conducit. Nam ubi primum de Spiritu quæ non oportet dixeris, hoc tibi exploratum fit et cognitum ex Spiritus derelictione. Sicut enim qui clausit oculos, domesticas in se habet tenebras: ita qui secessit a Spiritu, is ab illuminante semotus, animi cæcitate confunditur.

6. At ne separes a Patre et Filio Spiritum sanctum, absterreat te traditio. Sic Dominus docuit, prædicavere apostoli, Patres conservavere, confirmavere martyres. Satis habeas loqui ita, ut edoctus es. Et cave arguta illa et captiosa objicias mihi: Ingenitus est, aut genitus. Quod si ingenitus est, Pater est; sin autem genitus, Filius est: si denique neutrum horum, creatura est. Ego autem cum Patre quidem Spiritum novi, at novi non esse Patrem: item, illum cum Filio accepi, sed non accepi Filium fuisse appellatum. Atqui conjunctionem quidem quam cum Patre habet intelligo, ex eo, quod ex Patre procedit: eam vero quam habet cum Filio, quoniam audio: *Si quis Spiritum Christi non habet, hic non est ejus*[43]. Etenim si Christo conjunctus non est, quomodo cum Christo conjungit? Sed et Spiritum veritatis dici audio[44]. Veritas autem Dominus est[45]. Cum autem audio Spiritum adoptionis[46], recordor ejus quam natura habet cum Filio et Patre unitatis. Quomodo enim adoptaret quod extraneum est? quomodo rursus conciliaret conjungeretque quod alienum est? **195** Sic itaque neque sum verborum architectus, neque majestatem *Spiritus* reprobo: sed eos qui creaturam appellare audent, deploro defleoque, quod sophismate exili et paralogismo fucato in barathrum detrudant semetipsos. Nam, inquiunt, tria hæc mens nostra percipit; nec quidquam est in rerum natura, quod non in hanc re-

A Τριὰς μένει Τριὰς, ὑφαιρουμένου τοῦ Πνεύματος. Καὶ εἰ ἕν τι πάλιν ἀπὸ τῆς κτίσεως προσαφθείη, πᾶσα ἡ κτίσις συνεισελεύσεται εἰς τὴν τοῦ Πατρὸς καὶ Υἱοῦ συναρίθμησιν. Τί γὰρ κωλύει λέγειν· Πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ εἰς πᾶσαν τὴν κτίσιν; Εἰ γὰρ εὐσεβὲς τὸ πιστεύειν εἰς μέρος τῆς κτίσεως, πολλῷ δήπου σεμνότερον τὸ πᾶσαν τὴν κτίσιν εἰς τὴν ὁμολογίαν παραλαμβάνειν. Πιστεύων δὲ εἰς πᾶσαν τὴν κτίσιν, οὐχ εἰς ἀγγέλους πιστεύεις μόνον καὶ τὰ λειτουργικὰ πνεύματα, ἀλλὰ καὶ εἴ τινες ἀντικείμεναι δυνάμεις εἰσὶν, ἐπειδὴ καὶ αὗται μέρος εἰσὶ τῆς κτίσεως, καὶ ταύταις συνθήσῃ κατὰ τὴν πίστιν. Οὕτως ἡ κατὰ τοῦ Πνεύματος βλασφημία εἰς δυσσεβεῖς καὶ ἀθεμίτους περιάγει σε λόγους. Ὁμοῦ τε γὰρ εἶπας ἃ μὴ δεῖ (29) περὶ τοῦ Πνεύματος, καὶ ἐπεσήμηνέ σοι ἡ τοῦ Πνεύματος ἐγκατάλειψις. B Ὡς γὰρ ὁ ἐπιμύσας τοὺς ὀφθαλμοὺς οἰκεῖον ἔχει τὸ σκότος, οὕτως ὁ ἀναχωρήσας τοῦ Πνεύματος, ἔξω γενόμενος τοῦ φωτίζοντος, ὑπὸ τῆς κατὰ ψυχὴν ἀορασίας συγκέχυται.

Ἀλλὰ μὴ χωρίσῃς Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, δυσωπείτω σε ἡ παράδοσις. Ὁ Κύριος οὕτως ἐδίδαξεν, ἀπόστολοι ἐκήρυξαν, Πατέρες διετήρησαν, μάρτυρες ἐβεβαίωσαν. Ἀρκέσθητι λέγειν ὡς ἐδιδάχθης, καὶ μή μοι τὰ σοφὰ ταῦτα· Ἀγέννητόν ἐστιν, ἢ γεννητόν. Εἰ μὲν γὰρ ἀγέννητον, Πατήρ· εἰ δὲ γεννητὸν, Υἱός· εἰ δὲ μηδ' ἕτερον τούτων, κτίσμα. Ἐγὼ δὲ μετὰ Πατρὸς μὲν οἶδα, οὐχὶ δὲ Πατέρα τὸ Πνεῦμα· καὶ μετὰ Υἱοῦ παρέλαβον, C οὐχὶ δὲ Υἱὸν ὠνομασμένον. Ἀλλὰ τὴν μὲν πρὸς Πατέρα οἰκειότητα νοῶ, ἐπειδὴ ἐκ Πατρὸς ἐκπορεύεται· τὴν πρὸς Υἱὸν δὲ, ἐπειδὴ ἀκούω· *Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ*. Εἰ γὰρ μὴ οἰκεῖον Χριστοῦ, πῶς οἰκειοῖ τῷ Χριστῷ (30); Ἀλλὰ καὶ Πνεῦμα ἀκούω τῆς ἀληθείας. Ἀλήθεια δὲ ὁ Κύριος. Ὅταν δὲ ἀκούω Πνεῦμα υἱοθεσίας, εἰς ἔννοιαν ἔρχομαι τῆς πρὸς Υἱὸν καὶ Πατέρα κατὰ τὴν φύσιν ἑνότητος. Πῶς γὰρ υἱοθετεῖ τὸ ξένον; πῶς δὲ οἰκειοῖ τὸ ἀλλότριον; Οὕτω μὲν οὖν οὔτε καινοτομῶ ῥήματα, οὔτε ἀθετῶ τὴν ἀξίαν· τοὺς δὲ τολμῶντας κτίσμα προσαγορεύειν στενάζω καὶ ὀδύρομαι, ὅτι διὰ μικροῦ σοφίσματος καὶ κιβδήλου παραλογισμοῦ ἑαυτοὺς ὠθοῦσιν ἐπὶ τὸ βάραθρον. Ἐπειδὴ γὰρ, φησὶ, τρία ταῦτα ὁ νοῦς D ἡμῶν κατείληφε, καὶ οὐδέν ἐστιν (31) ἐν τοῖς οὖσιν ὃ μὴ ὑπὸ τὴν διαίρεσιν ταύτην ἔρχεται τῶν ὄντων. Ἢ γὰρ ἀγέννητον, φησὶν, ἐστὶν, ἢ γεννητὸν, ἢ κτιστόν· ἀλλὰ μὴν οὔτε τὸ πρῶτον, οὔτε τὸ δεύτερον, τὸ τρίτον ἄρα. Τοῦτο ὑμῶν τὸ *ἄρα* τῇ αἰω-

[43] Rom. VIII, 9. [44] Joan. XIV, 17. [45] ibid. 6. [46] Rom. VIII, 15.

(29) Sic codices duo. Editi δεῖν. Verba quæ mox sequuntur, καὶ ἐπεσήμηνέ σοι, etc., ita interpretatus est Combefisius, *indicationem accessionis Spiritus tibi derelictio fecit:* quæ interpretatio, ut dixi, Combefisii est, hoc est, subobscura. Ita autem verterat interpres vetus: *Mox enim ubi de Spiritu sancto quæ non decent dixeris, notam quoque habes et apertam significationem, quod Spiritu Dei destitutus sis.* Sic velim accipias verba Basilii: Ubi primum de Spiritu sancto dixeris quæ non oportet, statim deserit te Spiritus sanctus, quæ derelictio facit, ut conscius sis tibi, te contumeliosum fuisse in Spiritum.

(30) Unus Colb. πῶς οἰκειοῦτο Χριστῷ. Alius Reg. ᾠκειοῦτο Χριστῷ. Alii duo Regii et editi οἰκειοῖ τῷ Χριστῷ.

(31) Sic antiqui duo libri. Editi καὶ οὐκ ἔστιν.

νίῳ ἀρᾷ ὑποδίκους ὑμᾶς καταστήσει. Πάντα ἐξηρεύνησας; πάντα τοῖς σεαυτοῦ (32) λογισμοῖς ὑπὸ διαίρεσιν ἤγαγες; οὐδὲν ἀνεξέταστον κατέλιπες; πάντα τῷ νῷ περιέλαβες (33); πάντα τῇ σεαυτοῦ καταλήψει συνέκλεισας; οἶδας τὰ ὑπὸ γῆν; οἶδας τὰ ἐν τῷ βυθῷ; Δαιμόνων ἀλαζονεῖαι·

A rum divisionem cadat. Aut enim, inquiunt, ingenitus est, aut genitus, aut creatus: at neque primum, neque secundum, igitur tertium. Istud vestrum *igitur* maledictioni æternæ vos reddet obnoxios. Esne perscrutatus omnia? omniane ratiocinatione tua subjecisti divisioni? nihil inexploratum reliquisti? omnia mente tua complexus es? omnia tua cogitatione comprehendisti? nosti quæ sub terra? nosti quæ in profundo? Dæmonum jactantia hæc est:

(34) *Οἶδα ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης.*

Mensura est pelagi, et numerus mihi notus arenæ.

Εἰ δὲ πολλὰ ἀγνοεῖς, καὶ μυριοπλάσια τῶν ἐγνωσμένων ἐστὶ τὰ ἀγνοούμενα, τί οὐχὶ μετὰ πάντων καὶ περὶ τοῦ τρόπου τῆς ὑπάρξεως τοῦ ἁγίου Πνεύματος τὴν ἀκίνδυνον ἄγνοιαν ἀνεπαισχύντως ὁμολογεῖς; Ἐγὼ δὲ σχολὴν μὲν οὐκ ἄγω ἐλέγχειν τῶν λογισμῶν σου τὴν ματαιότητα, οὐδὲ δεικνύναι πόσα ἐν τοῖς οὖσι τὴν κατάληψίν σου τῶν λογισμῶν διαπέφευγεν· ἐκεῖνο δ' ἂν ἡδέως τοὺς ἐφ' ὑμῶν (35) ἐρωτήσαιμι, καὶ διορίζομαι πεποιθότως, ὅτι μεταμελήσει σοί ποτε τῆς ἀθέου ταύτης σοφίας, κτίσμα λέγοντι τὸ Πνεῦμα τὸ ἅγιον. Οὐ φοβῇ τὴν ἀσυγχώρητον ἁμαρτίαν; Ἢ τί ποτε οἴει δυσσεβέστερον τούτου δύνασθαι βλασφημεῖν; Ἐκ γὰρ μιᾶς ταύτης φωνῆς πάντα ἐνέστη τὰ δεινότατα· ἀλλοτρίωσις ἀπὸ Θεοῦ κατ' αὐτὴν τὴν φύσιν, δουλείας ταπείνωσις, διακονίαι λειτουργικαὶ, ἁγιασμοῦ στέρησις, τοῦ κατὰ φύσιν οὐ προσόντος, καὶ περιστήσεται τῷ Πνεύματι, οὕτω μετέχειν ἁγιασμοῦ ἐκ τῆς κατὰ χάριν διανομῆς, ὡς καὶ τὰ λοιπὰ ἔχει ὅσα ἡγίασται. Καὶ ὥσπερ δίδοται ἡμῖν ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον, καὶ ὡς ἐπιμετρεῖται ἑκάστῳ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, οὕτως ἔσται καὶ τὸ Πνεῦμα τοῦ ἁγιασμοῦ μετέχον (36), εἴπερ ὄντως κτιστὸν κατὰ τὴν Πνευματομάχων ὑπόληψιν.

Quod si multa ignoras, et infinito plura sunt quæ ignoras, quam quæ nosti, cur non etiam cum omnibus fateris citra pudorem tuam istam de modo quo Spiritus sanctus exsistit ignorantiam, cum hæc B nihil habeat periculi? Mihi autem non vacat quidem cogitationum tuarum vanitatem redarguere, neque quam multa in rebus sint quæ mentis tuæ perceptionem fugiant, ostendere; tamen illud vestros libenter rogarim, et fidenter affirmo fore, ut pœniteat te aliquando impiæ hujus astutiæ, qua Spiritum sanctum creaturam dicis. Annon times peccatum, cujus nulla est venia [47]? Aut putas te proferre posse blasphemiam quampiam, quæ hanc superet impietate? Nam ex una hac voce gravissima quæque impendent, alienatio a Deo secundum naturam ipsam, servitutis humilitas, servilia munia, privatio sanctimoniæ, cum ea desit quæ naturæ congruit, accidetque Spiritui ipsi, ut eodem modo ex gratiæ distributione particeps fiat sanctimoniæ, C quo eam et reliqua quæ significata sunt, habent. Et sicut datur nobis manifestatio Spiritus ad utilitatem, et sicut cuilibet pro modo ac ratione fidei admetitur [48], ita et Spiritus ipse sanctimoniæ particeps erit, si vere, uti Pneumatomachi existimant, creatus est.

7. Ἀλλὰ γὰρ μὴ συγχωρήσωμεν τὴν ἄνοιαν αὐτῶν ἀνέλεγκτον, τῶν οἰομένων πάντα τῇ ἑαυτῶν διανοίᾳ κατειληφέναι. Ἀποκρινάσθωσαν τοίνυν ἡμῖν. Τί ποτε (37) ἄρα ἡ τοῦ αἰσθητοῦ ἡλίου οὐσία; Πότερον ἕν τι τῶν τεσσάρων ἐστὶν, ἢ σύνθετός ἐστιν ἐκ τῶν τεσσάρων; Ἀλλὰ μὴν οὔτε γῆ ἐστιν, οὔτε ἀὴρ, οὔτε ὕδωρ ἐστὶν, οὔτε πῦρ. Ταῦτα γὰρ ἐπ' εὐθείας κινεῖται· τὰ μὲν ἄνω φερόμενα, τὰ δὲ κάτω. Γῆ μὲν γὰρ καὶ ὕδωρ κατωφερῆ ἐστι διὰ τὸ βάρος· ἀὴρ δὲ καὶ πῦρ τὴν ἄνω φορὰν κινεῖται διὰ κουφότητα· τοῦ δὲ ἡλίου κυκλοφορική ἐστιν ἡ κίνησις. Οὐ τοίνυν ἐστὶν ἓν τῶν τεσσάρων. Ἀλλὰ μὴν οὐδὲ σύνθετός ἐστιν ἐκ τούτων· διότι τὰ σύνθετα καμάτῳ συνέχεται, ἐκ μὲν τῶν ἐναντίων τὴν σύστασιν ἔχοντα, ἀντισπώντων δὲ ἀλλήλοις τῶν ἐναντίων κατὰ τὴν κίνησιν. Ἀκάματος δὲ τοῦ ἡλίου ἡ κίνησις, διὰ τοῦτο

7. Sed ne sinamus stultitiam eorum qui se omnia mente sua comprehendisse putant, confutatione carere. Nobis igitur respondeant. Quid tandem est sensibilis hujus solis essentia? Unumne ex quatuor elementis, an compositus est ex quatuor? Atqui neque terra est, neque aer, neque aqua, neque ignis. Hæc enim rectum motum habent; aliis sursum, aliis deorsum vergentibus. Terra enim et aqua deorsum feruntur propter gravitatem; aer D vero et ignis sursum versus moventur ob levitatem: sol autem in orbem movetur. Non igitur unum ex quatuor est. Imo ne compositus quidem ex illis est, cum ea quæ composita sunt, utpote ex contrariis constantia, fatiscant, iis quorum contrarius motus est se invicem alio pertrahentibus. At vero solis motus indefessus est, ob idque irrequietus.

[47] Matth. XII, 32. [48] I Cor. XII, 7.

(32) Editi ἑαυτοῦ. At mss. tres σεαυτοῦ.
(33) Veteres quatuor libri περιέλαβες. Editi προέλαβες. Mox Colb. primus καταλήψει.
(34) Nota, quam ad hunc locum addidit eruditissimus Ducæus, dignissima est quæ legatur.
(35) In illis, τοὺς ἐφ' ὑμῶν, vitii aliquid inesse ratus Combefisius, sic emendavit, τοὺς ἀφ' ὑμῶν: quam emendationem mihi valde admodum probari fateor; quoniam tamen omnes libri, tum typis descripti, tum calamo notati, habent τοὺς ἐφ' ὑμῶν, nihil mutare volui.
(36) Editi μέτοχον. Veteres quatuor libri μετέχον.
(37) Editi τίς ποτε. At mss. quatuor τί ποτε.

Quare compositus non est. Atqui quidquid in corporibus numeratur, id aut simplex est, aut compositum. Sol autem **196** neque est corpus simplex: non enim in rectum movetur; neque compositum: non enim fatiscit ex motu. Non est igitur sol. Tales sunt argutæ vestræ divisiones, quæ derisui sunt oculos habentibus. Rursus quomodo videmus nos homines? Sicne, ut suscipiamus formas rerum visibilium, an ita ut virtutem quamdam ex nobis ipsis emittamus? Atqui neque suscipimus rerum visibilium imagines (qui enim fieri potest ut in exiguo pupillæ meatu cœli hemisphærium imprimatur?), neque ex nobis quidquam emittimus (quomodo enim rursus id quod emittitur satis fuerit, ut ad tantam cœli vastitatem expandatur?); quod si neque recipimus visibilium imagines, neque virtutem ullam ex nobis ipsis emittimus, non igitur videmus. Quid igitur? coarguamne vestros syllogismos, an vobis hoc optabo, vera ut concludatis? Quid ab hujusmodi argumentis differt artificiosa vestra de Spiritu loquendi ratio, quam apud miseras mulierculas aut affines mulieribus eunuchos jactatis? Cave audias infesto animo et calumnioso. Spiritus si ex Deo est, quomodo ad creaturam demittis? Non enim illud es dicturus, ex Deo omnia esse. Quemadmodum enim Christus Dei dicitur, nec tamen creatura est sicut nos (*Nos enim Christi, Christus vero Dei* [49]), sed aliter nos Christi dicimur, velut servi Domini, aliter Christus Dei dicitur, velut Filius Patris; ita et Spiritus non, quoniam omnia ex Deo sunt, et ipse, ut omnia, ex Deo est. Neque enim quoniam et administri spiritus sunt [50], continuo similis illis est et Spiritus sanctus, ob appellationem. Nam unus est vere Spiritus. Ut enim multi sunt filii, unus autem verus Filius: ita, etiamsi omnia dicantur ex Deo, proprie tamen Filius ex Deo, et Spiritus ex Deo est. Nam et Filius a Patre exivit, et Spiritus ex Patre procedit. At Filius quidem ex Patre per generationem, Spiritus vero ex Deo, arcano modo atque ineffabili. Vide igitur quantum fuerit periculum gloriam Paracleti extenuare. Filius delatum sibi honorem, spreto Spiritu, non recipit. *Ille* enim, inquit, *me glorificabit* [51], non ut servus cum creaturis. Etenim si cum omnibus glorificaret, non esset dictum: *Ille*. Nunc vero illa ad unum relatio glorificationem præstantiorem quam quæ ab aliis exhibetur, indicat. Nec enim sicut qui dicebant, *Gloria in altissimis Deo* [52]; sed sicut qui dixit, *Pater, glorificavi te, opus consummavi quod dedisti* [53]. Et sicut Pater glorificat Filium, dicens, *Et glorificavi te, et iterum glorificabo* [54]: sic et Filius Spiritum in suam et Patris societatem admittit. Alioquin ostendat mihi aliquis gloriam hac majorem, et concedo nihil nisi

A καὶ ἄπαυστος. Ὥστε οὐ σύνθετος. Ἀλλὰ μὴν ἐν τοῖς σώμασιν ἢ ἁπλοῦν τί ἐστιν, ἢ σύνθετον. Οὔτε δὲ ἁπλοῦν σῶμα ὁ ἥλιος· οὐ γὰρ ἐπ' εὐθείας κινεῖται· οὔτε σύνθετον· οὐ γὰρ κάμνει κινούμενος. Οὐκ ἄρα ἐστὶν ὁ ἥλιος. Τοιαῦται ὑμῶν αἱ σοφαὶ διαιρέσεις, ὑπὸ τῶν ὀφθαλμοὺς ἐχόντων καταγελώμεναι. Πάλιν πῶς ὁρῶμεν οἱ ἄνθρωποι; Πότερον εἰσδεχόμενοι τοὺς τύπους τῶν ὁρατῶν, ἢ ἀφιέντες δύναμιν ἐξ αὐτῶν; Ἀλλὰ μὴν οὔτε δεχόμεθα τῶν ὁρατῶν τὰς εἰκόνας (πῶς γὰρ τὸ ἡμισφαίριον τοῦ οὐρανοῦ τῷ μικρῷ πόρῳ τῆς κόρης ἐμφαίνεται;), οὔτε μὴν ἀφιεμέν τι παρ' ἑαυτῶν· (πῶς γὰρ πάλιν τὸ ἐκπεμπόμενον ἐξαρκεῖ τῷ οὐρανῷ ἐφαπλοῦσθαι;) Εἰ δὲ μήτε δεχόμεθα τῶν ὁρατῶν τὰς εἰκόνας, μήτε τινὰ δύναμιν ἐξ ἑαυτῶν ἀποπέμπομεν, οὐκ ἄρα ὁρῶμεν. Τί οὖν; B ἐλέγξω ὑμῶν τοὺς συλλογισμοὺς, ἢ ἐπεύξομαι ὑμῖν ἀληθῆ εἶναι τὰ συμπεράσματα; Τί διαφέρει τῶν τοιούτων λόγων καὶ ἡ περὶ τοῦ Πνεύματος ὑμῶν τεχνολογία, ἣν γυναικαρίοις ἀθλίοις, ἢ τοῖς γείτοσι τῶν γυναικῶν εὐνούχοις ἐνεπιδείκνυσθε; Μὴ δὴ ἐπηρεαστικῶς ἄκουε. Εἰ ἐκ τοῦ Θεοῦ τὸ Πνεῦμα, πῶς ὑπὸ τὴν κτίσιν ἄγεις; Οὐ γὰρ δὴ ἐκεῖνο ἐρεῖς, ὅτι καὶ τὰ πάντα ἐκ τοῦ Θεοῦ. Ὥσπερ γὰρ ὁ Χριστὸς Θεοῦ λέγεται, οὐχὶ δὲ κτίσμα ὡς καὶ ἡμεῖς (*Ἡμεῖς γὰρ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ*), ἀλλ' ἄλλως μὲν ἡμεῖς Χριστοῦ λεγόμεθα, ὡς δοῦλοι Δεσπότου· ἄλλως δὲ Χριστὸς Θεοῦ λέγεται, ὡς Υἱὸς τοῦ Πατρός· οὕτω καὶ τὸ Πνεῦμα, οὐκ ἐπειδὴ τὰ πάντα ἐκ τοῦ Θεοῦ, καὶ αὐτὸ ὡς τὰ πάντα. Οὐ γὰρ ἐπειδὴ καὶ τὰ λειτουργικὰ πνεύματα, ἤδη καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὅμοιον C αὐτοῖς διὰ τὴν προσηγορίαν. Ἓν γάρ ἐστι τὸ ἀληθινῶς (38) Πνεῦμα. Ὡς γὰρ πολλοὶ μὲν υἱοὶ, εἷς δὲ ὁ ἀληθινὸς Υἱός· οὕτω κἂν πάντα λέγηται ἐκ τοῦ Θεοῦ, ἀλλὰ κυρίως ὁ Υἱὸς ἐκ τοῦ Θεοῦ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ. Ἐπειδὴ καὶ ὁ Υἱὸς παρὰ τοῦ (39) Πατρὸς ἐξῆλθε, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται. Ἀλλ' ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς, τὸ δὲ Πνεῦμα ἀῤῥήτως ἐκ τοῦ Θεοῦ. Ὅρα οὖν (40) ἡλίκος ὁ κίνδυνος κατασμικρύνειν τὴν δόξαν τοῦ Παρακλήτου. Οὐ δέχεται τὴν εἰς αὐτὸν τιμὴν ὁ Υἱὸς, ἀθετουμένου τοῦ Πνεύματος. *Ἐκεῖνος* γὰρ, φησὶν, *ἐμὲ δοξάσει*, οὐχ ὡς δοῦλος μετὰ τῆς κτίσεως. Εἰ γὰρ μετὰ πάντων ἐδόξαζεν, οὐκ ἂν ἐῤῥήθη, *Ἐκεῖνος*. Νῦν δὲ ἡ ἐπὶ τὸ ἓν ἀναφορὰ τὴν καθ' ὑπεροχὴν τῶν D ἄλλων προσαγομένην δόξαν παρίστησιν. Οὐ γὰρ ὡς οἱ λέγοντες· *Δόξα ἐν ὑψίστοις Θεῷ*· ἀλλ' ὡς ὁ εἰπών· *Πάτερ, ἐδόξασά σε, τὸ ἔργον ὃ ἔδωκας ἐτελείωσα*. Καὶ ὡς ὁ Πατὴρ δοξάζει τὸν Υἱὸν, λέγων· *Καὶ ἐδόξασά σε, καὶ πάλιν δοξάσω*· οὕτω καὶ ὁ Υἱὸς τὸ Πνεῦμα εἰς τὴν ἑαυτοῦ καὶ Πατρὸς κοινωνίαν παραλαμβάνει. Ἢ δειξάτω μοί τις μείζονα ταύτης δόξαν, καὶ πάντα δίδωμι ἀληθεύειν τοὺς ἀντιλέγοντας. *Ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ*. Διὰ τί; Διὰ τὸ Πνεῦμα τὸ ἐνοικοῦν ἐν αὐτοῖς δηλονότι. Ὥστε

[49] I Cor. III, 23. [50] Hebr. I, 14. [51] Joan. XVI, 14. [52] Luc. II, 14. [53] Joan. XVII, 4. [54] Joan. XII, 28.

(38) Unus Colb. pro ἀληθινῶς habet ἀληθές.
(39) Colb. primus Υἱὸς ἐκ τοῦ.

(40) Veteres quatuor libri Ὅρα οὖν. Editi Ἆρα οὖν.

ὁ μὴ τιμῶν τὸ Πνεῦμα οὐ τιμᾷ τὸν Υἱόν· *Ὁ δὲ μὴ* A *τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα*. Οὕτως ἄρα ἡ περὶ ἕν τι τῶν πιστευομένων ἀγνωμοσύνη ὅλης ἐστὶ τῆς θεότητος ἄρνησις. Εἰ κτιστόν ἐστι τὸ Πνεῦμα, οὐ θεῖον. Ἀλλὰ μὴν *Πνεῦμα*, φησὶ, *θεῖον τὸ ποιῆσάν με*. Καὶ, *Ἐνέπλησε*, φησὶν, *ὁ Θεὸς τὸν Βεσελεὴλ Πνεῦμα θεῖον σοφίας καὶ συνέσεως*. Ποῦ τοίνυν εὑρίσκεις προσεγγίζον τὸ θεῖον; τῇ κτίσει, ἢ τῇ θεότητι; Εἰ μὲν γὰρ τῇ κτίσει, καὶ τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κτίσμα ἐρεῖς· γέγραπται γὰρ περὶ αὐτοῦ· *Ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης*· εἰ δὲ τῇ θεότητι, παυσάμενος τῆς βλασφημίας, ἐπίγνωθι τοῦ Πνεύματος τὴν ἀξίαν. Οὕτως ἀσύνετος εἶ, ὡς μηδ' ὑπ' αὐτῆς προσάγεσθαι τῆς φωνῆς εἰς τὰς ἀξίας ἐννοίας τοῦ Πνεύματος (41). B

verum dici ab adversariis. *Qui vos spernit, me spernit* [55]. Quare? Propter Spiritum videlicet in ipsis inhabitantem. Itaque qui non honorat Spiritum, Filium non honorat: *Filium vero qui non honorat, Patrem non honorat* [56]. Sic igitur perfidia quæ admittitur in unum aliquod eorum **197** quæ credenda sunt, inficiatio est totius deitatis. Spiritus si creatus est, non est divinus. Atqui *Spiritus*, inquit, *divinus qui fecit me* [57]. Et, *Replevit*, inquit, *Deus Beseleel Spiritu divino sapientiæ et prudentiæ* [58]. Itaque ad utrum reperis divinum accedere? ad creaturam, an ad deitatem? Quod si ad creaturam, etiam Patrem Domini nostri Jesu Christi creaturam dices. Nam de eo scriptum est: *Sempiterna quoque ejus virtus, et divinitas* [59]. Si vero ad B deitatem, blasphemiæ imposito fine, Spiritus agnosce majestatem. Adeo insipiens es, ut ne ab ipsa quidem voce ad dignas Spiritu notiones deducare.

[55] Luc. x, 16. [56] Joan. v, 23. [57] Job xxxiii, 4. [58] Exod. xxxv, 31. [59] Rom. i, 20

(41) In aliquibus mss. additur doxologia.

MONITUM.

198 Multa hodie nomine Asceticorum comprehendi solent, Præfationes, Sermones quidam peculiares; libellus *De fide*, alius libellus *De judicio Dei*, *Moralia*, *Regulæ majores*, *Regulæ minores*, *Constitutiones monasticæ;* sed olim non omnia hæc in Asceticis comprehendebantur. Ita igitur Photii ætate, Basilii opus ἀσκητικὸν restringebatur, ut solum duos *De judicio* ac *De fide* libellos, *Moralia*, *Regulas* tum *majores* tum *minores* proprie complecteretur. Ut autem reliqua fere omnia Basilii opera in dubium revocantur, ita quoque maxima pars Asceticorum quibusdam νοθείας suspecta est. Quoniam tamen antiqui scriptores Basilium auctorem faciunt Asceticorum, vel morosiores critici saltem aliquam eorum partem facile ei tribuunt: sed ita tamen, ut quidquid præcipuum est, omne id ejus esse negent. Nec hi quidem inter se consentiunt. Alii enim satis habent *Regulas breviores* Basilio Magno abjudicare. Alii iniquiores ei abjudicant *Regulas minores* simul et *majores*, et *Moralia*, et libellos *De Dei judicio* ac *De vera fide*. Cum autem singulorum opiniones explicare, easque aut confutare aut approbare nimis longum sit, more nostro de his rebus in Præfatione disputabimus.

Pauca quoque de libris antiquis dicere libet. Multos, eosque et optimos et vetustissimos in iis quas invisere licuit bibliothecis invenimus, in Regia, in Colbertina et in Coisliniana. Neque vero ex his solum bibliothecis novæ nostræ editioni ornamenta quæsivimus, sed exteras etiam non duximus negligendas esse. Scripsi igitur Messanam, quo simul ut pervenerunt litteræ meæ, eruditissimi et humanissimi viri D. Gregorius Arena prior, et D. Dionysius Spagnoli linguæ Græcæ lector, monachi ordinis S. Basilii Magni, ambo non minus bonarum litterarum juvandarum, quam gloriæ sanctissimi sui Patris amplificandæ studiosi, amplissimam ac celeberrimam suam bibliothecam diligentissime scrutari cœperunt: in qua, quod ad rem pertinet, invenere brevem lucubratiunculam ineditam, cui titulus est: *Πῶς δεῖ εἶναι τὸν μοναχόν*, et additamenta quædam in *Moralia*. Præter hæc, aliam orationem ad me transmittendam curarunt ii, quos modo dixi, doctissimi viri: de qua commodius multo alibi dicemus.

Omnia autem fere ut in impressis libris: at *Regulæ* in aliis codicibus alio ordine disponuntur. Nec prætereundum silentio, quasdam ex *Regulis brevioribus* in aliquibus codicibus deesse: sed prætërquam quod hæ paucæ sunt, in ipsis nihil est magni, aut quod alicujus sit momenti. Ad *Regulas* quidem quod attinet, eas eodem ordine quo jam vulgatæ sunt in editione Parisiensi, edendas curabimus: sed libellos *De Dei judicio* ac *De vera fide* aliter disponemus. Ita enim hæc duo opuscula locantur in ea quam modo dixi editione, ut primum locum obtineat libellus *De vera fide*, secundum libellus *De judicio Dei:* quod non minus adversatur ipsius auctoris consilio, quam veterum librorum auctoritati, in quibus hos duos sermones inverso ordine, eoque vero et proprio, collocari constat. Arbitror autem operarum culpa factum esse, ut ii, quos nominavi, libelli in editione Parisiensi loco positi sint non suo: eoque magis, quod ipsos in editione Veneta eodem quo in veteribus libris ordine disponi videamus.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΒΑΣΙΛΕΙΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ
ΑΣΚΗΤΙΚΑ

S. P. N. BASILII
CÆSAREÆ CAPPADOCIÆ ARCHIEPISCOPI
ASCETICA

SANCTI PATRIS NOSTRI
BASILII,
Cæsareæ Cappadociæ archiepiscopi,
PRÆVIA INSTITUTIO ASCETICA.

199 1. Præclara quidem sunt regis edicta, quæ ad subjectos regendos circumscribuntur: sed tamen mandata quæ militibus dantur observanda, majora sunt et augustiora. Itaque tanquam si militaria mandata nobis denuntiarentur, attendat quisquis supernæ ac magnæ dignitatis cupidus est, Christoque semper astare vult, cum audit magnam illam vocem: *Si quis mihi ministrat, me sequatur. Et ubi ego sum, illic et minister meus sit* [60]. Ubi est Christus rex? In cœlo videlicet. Huc tibi, o miles, dirigendus est cursus. Obliviscere omnis quietis terrenæ. Nullus miles domum construit, aut agros acquirit, aut sese variis mercaturis, quibus pecuniæ comparantur, immiscet. *Nemo qui militat, implicatur vitæ negotiis, ut ei qui se in militiam delegit, placeat* [61]. Habet miles regia alimenta; non ei opus est sibi parare victum, neque in eo exquirendo sese occupare. Ubique patent sibi subjectorum domus ex regis edicto. Non necesse est ut operam det in exstruendis ædificiis, ponitur in plateis tabernaculum; sumitur cibus necessitate cogente; potus aqua est, tantumque ei dormire

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΒΑΣΙΛΕΙΟΥ,
Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας,
ΑΣΚΗΤΙΚΗ ΠΡΟΔΙΑΤΥΠΩΣΙΣ (42).

A 1. Καλὰ μὲν τοῦ βασιλέως τὰ πρὸς τοὺς ὑπηκόους νομοθετήματα· μείζονα δὲ καὶ βασιλικώτερα τὰ πρὸς στρατιώτας παραγγέλματα. Ἅτε οὖν στρατιωτικῶν παραγγελμάτων κηρυσσομένων, προσεχέτω ὁ τῆς ἄνω καὶ μεγάλης ἀξίας ἐπιθυμῶν, ὁ Χριστοῦ διὰ παντὸς παραστάτης εἶναι βουλόμενος, ὁ τῆς μεγάλης ἐκείνης ἀκούων φωνῆς· *Ἐάν τις ἐμοὶ διακονῇ, ἐμοὶ ἀκολουθείτω. Καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ διάκονος ὁ ἐμὸς ἔστω.* Ποῦ Χριστὸς ὁ βασιλεύς; Ἐν οὐρανῷ δηλαδή. Ἐνταῦθά σε ποεῖσθαι τὸν δρόμον, στρατιῶτα, προσήκει. Ἐπιλάθου τῆς κατὰ γῆν ἀναπαύσεως πάσης. Οὐδεὶς στρατιώτης οἰκίαν κατασκευάζει, οὐδὲ κτήσεις ἀγρῶν περιβάλλεται, οὐδὲ ἐμπορίαις ποικίλαις χρημάτων ποριστικαῖς ἐγκαταμίγνυται. *Οὐδεὶς* B *στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.* Τροφὰς στρατιώτης ἔχει βασιλικάς· οὐ δεῖ πορίζειν ἑαυτῷ τροφὰς, οὐδὲ περὶ τοῦτο ἀσχολεῖσθαι. Οἶκος ἀνέῳγεν αὐτῷ πανταχῇ παρὰ τοῖς ὑπηκόοις ἐκ βασιλέως προστάγματος. Οὐ δεῖ περὶ οἰκίας αὐτῷ διαπονεῖσθαι· ἐπὶ πλατείαις ἡ σκηνὴ, καὶ πρὸς ἀνάγκην ἡ τροφὴ, καὶ ποτὸν ὕδωρ, καὶ ὑπνοῦν (43) τοσοῦτον, ὅσον ἡ φύσις

[60] Joan. XII, 26. [61] II Tim. II, 4.

(42) Ita legitur in Reg. primo: Προδιαλαλιὰ καὶ προδιήγησις τῶν ἀσκητικῶν ὑποτυπώσεων, *Prævia oratio et narratio asceticarum informationum*, ubi notari potest, Combefisium nominis similitudine deceptum, legisse non προδιήγησις, sed προδιάγνωσις, *prævia notitia*. Utraque editio, hoc est, Parisiensis et Veneta: Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας ἀσκητικά. Πρόλογος. Reg. tertius: Τοῦ αὐτοῦ ἀσκητικὴ προδιατύπωσις, *Ejusdem prævia institutio ascetica.* Ibidem editio Paris. Μεγάλα μὲν τοῦ. Editio Ven. et uterque Combef. cum Reg. tertio Καλὰ μὲν τοῦ.

(43) Editio Ven. et Maz. et alii duo libri veteres καὶ ὑπνοῦν. Editio Paris. καὶ ὑπνοῦ. Puto enim ita emendatum esse ab ipsis typographis, qui, cum non animadverterent suppleri debere ἔξεστι, aut verbum simile, pro ὑπνοῦν ediderunt ὑπνοῦ. Nec ita multo post Reg. primus ἂν τύχοι.

δέδωκεν. Ὁδοιπορίαι δὲ καὶ ἀγρυπνίαι πολλαί· καρτερίαι πρὸς καύματα, πρὸς ψῦχος· ἀγῶνες πρὸς ἐναντίους· κίνδυνοι μέχρι τῶν ἐσχάτων· θάνατος, ἂν τύχῃ, πολλάκις· ἀλλὰ θάνατος ἔνδοξος, τιμαί τε, καὶ δῶρα βασιλικά. Ἐπίπονος ἐν πολέμοις ὁ βίος, λαμπρὸς ἐν εἰρήνῃ. Γέρας ἀριστείας, καὶ στέφανος καλῶς βεβιωκότι ἐν κατορθώμασιν, ἀρχὴν ἐγχειρισθῆναι, φίλον βασιλέως κληθῆναι, παραστῆναι πλησίον, δεξιώσεως τυχεῖν, ἐκ χειρὸς βασιλέως τετιμῆσθαι, παρὰ τοῖς ὑπηκόοις προΐστασθαι, καὶ πρεσβεύειν ὑπὲρ τῶν ἔξωθεν φίλων, ὧν ἂν βούλωνται (44).

2. Ἄγε δὴ, στρατιῶτα Χριστοῦ, μικρὰ ἐξ ἀνθρωπίνων πραγμάτων λαβὼν παραδείγματα, ἐνθύμησιν λάβε τῶν αἰωνίων ἀγαθῶν. Ἄοικός σοι καὶ ἄπολις καὶ ἀκτήμων προκείσθω βίος (45). Ἄνετος ἔσο, λελυμένος ἀπὸ πασῶν κοσμικῶν φροντίδων· μή σε δεσμεύσῃ γυναικὸς ἐπιθυμία, μή σε φροντὶς παιδός. Ἀδύνατον γὰρ ἐν τῇ θείᾳ στρατείᾳ τοῦτο. *Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ Θεῷ.* Οὐ νικᾷ σε σώματος φύσις, οὐδὲ ἄγχει σε μὴ βουλόμενον· οὐ δεσμώτην ἀντ' ἐλευθέρου ποιεῖ. Οὐ ζήτει ἐν (46) γῇ καταλιπεῖν παῖδας, ἀλλ' ἀναγαγεῖν εἰς τὸν οὐρανόν· οὐ σωματικοῖς προσκολλᾶσθαι γάμοις, ἀλλὰ πνευματικῶν ὀρέγεσθαι, ἄρχειν ψυχῶν, καὶ παιδογονεῖν πνευματικῶς. Τὸν νυμφίον μιμοῦ τὸν οὐράνιον· καθαίρει πολεμίων ἀοράτων ἐπαναστάσεις· ἀρχαῖς καὶ ἐξουσίαις πολέμει, ἐξελαύνων αὐτὰς πρῶτον μὲν τῆς ἑαυτοῦ ψυχῆς, ἵνα μηδένα κλῆρον ἔχωσιν ἐν σοί, ἔπειτα τῶν σοι προσφευγόντων καί σε προβαλλομένων ἡγεμόνα καὶ πρόμαχον τῶν διὰ τοῦ σοῦ λόγου φυλαττομένων. Καθαίρει (47) λογισμοὺς ἐπανισταμένους τῇ πίστει τοῦ Χριστοῦ· πολέμει διὰ τοῦ λόγου τῆς εὐσεβείας πρὸς τὸν ἀσεβῆ καὶ πονηρὸν λογισμόν. *Λογισμοὺς γὰρ,* φησὶ, *καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ.* Καὶ μάλιστα μὲν θάρσει τῇ τοῦ μεγάλου βασιλέως χειρὶ, φοβούσῃ καὶ τροπουμένῃ (48) τοὺς ὑπεναντίους, ἐπειδὰν μόνον φανῇ· ἐπὰν δὲ καὶ διὰ κινδύνων ἀγαθὸν θέλῃ σε γενέσθαι, καὶ τὸ στράτευμα τὸ ἑαυτοῦ θελήσῃ συμβαλεῖν τῷ στρατεύματι τῷ ὑπεναντίῳ, ἐνταῦθα σὺ πρὸς πάντα πόνον ἀήττητος ἔσο τῇ παρασκευῇ, καὶ πρὸς κίνδυνον ἄτρεπτος τῇ ψυχῇ, καὶ γῆν ἐκ γῆς μετανίστασο προθύμως, καὶ θάλατταν ἐκ θαλάττης. Ὅταν γὰρ διώκωσιν ὑμᾶς, φησὶ, φεύγετε ἀπὸ πόλεως εἰς πόλιν. Καὶ εἰς δικαστήριον ὅταν δέῃ (49) καλεῖ-

A licet, quantum natura dedit. Itinera autem ac vigiliæ multæ; tolerantiæ adversus æstum et frigus, certamina contra hostes, pericula extrema, et plerumque, si ita contigerit, mors ipsa, sed mors gloriosa, honoresque ac regia munera. Laboriosa in bellis vita, splendida in pace. Præmium est recte factorum ac corona, ei, qui ejusmodi vitam in præclaris rebus gerendis egregie transegerit, principatum **200** accipere, amicum appellari regis, regi cominus astare, jungi dextram dextræ, manu regia cohonestari, præfecturam obtinere apud subditos, atque pro externis amicis, quibuscunque voluerint, apud regem deprecari.

2. Age igitur, Christi miles, exempla pauca ex humanis rebus mutuatus, de æternis bonis cogita. B Propone tibi vitæ genus, quod domo atque civitate et opibus destituatur. Esto liber, et a mundanis omnibus curis solutus : ne vinciat te uxoris desiderium, aut sollicitudo de sobole. Hoc enim fieri non potest in militia divina. *Nam arma militiæ nostræ non carnalia sunt, sed potentia Deo* [62]. Non vincit te corporis natura, neque strangulat te invitum, non captivum pro libero efficit. Noli in terra relinquere liberos, sed eos sursum deducere ad cœlum : non corporalibus nuptiis agglutinari, sed ambire spirituales, dominium in animas habere, ac spiritualiter filios procreare. Imitare cœlestem sponsum, hostium invisibilium assultus reprime, contra principatus et potestates bellum gere, sic ut expellas ipsas, primum quidem ex animo tuo, ut C nullam in te habeant partem : deinde ab iis qui ad te confugiunt, teque ducem sibi ac propugnatorem constituunt, ut ipsi tuis sermonibus incolumes serventur. Subverte ratiocinationes adversus Christi fidem insurgentes : impiam ac pravam ratiocinationem per piam doctrinam impugna. *Consilia enim*, inquit, *destruentes, et omnem altitudinem extollentem se adversus scientiam Dei* [63]. Et maxime quidem in magni regis manu, quæ adversarios terret ac fugat ubi semel apparuerit, posita fiducia sit : cum vero voluerit probum te ac bonum etiam per pericula reddi, suasque copias cum adversariorum copiis committere decreverit, tunc te acie instructum nullus frangat labor, animus maneat in D periculis immotus, et e terra ad terram, atque e mari ad mare alacriter transmigra. Cum enim, inquit, persequuntur vos, fugite ex civitate in civitatem [64]. Et ubi oportuerit ad judicium vocari,

[62] II Cor. x, 4. [63] ibid. 5. [64] Matth. x, 23.

(44) Editio utraque ὧν ἂν βούλονται. At tres mss. βούλωνται.

(45) Antiqui duo libri in margine προσκτάσθω βίος, et ita in margine quoque habet editio Veneta.

(46) Codex Maz. οὐ ζητεῖς ἐν, et ita legit interpres. Reg. tertius ζητεῖ σε ἐν· sed, nisi valde fallor, legi præstat οὐ ζήτει, *ne quæras, noli.* Mox editio Paris. καὶ παιδαγωγεῖν, *filios spirituales instituere.* Editio Ven. et uterque Combef. et Reg. tertius παιδογονεῖν· et ita legerat interpres. Paulo post, ubi editio Paris. emendate habet καθαίρει, corrupte legitur in editione Ven. et in utroque Combef., et in Reg. tertio κάθαιρε.

(47) Rursus editio Ven., Maz. et alii duo Regii codices κάθαιρε. Editio Paris. καθαίρει λογισμούς.

(48) Antiqui tres libri et editio Ven. καὶ τροπουμένῃ. Editio Paris. τρεπομένῃ. Aliquanto post utraque editio et Reg. secundus ἀγαθὸν θελήσῃ γενέσθαι. Alii duo mss. ἀγαθὸν θέλῃ σε γενέσθαι.

(49) Unus codex ὅταν δέοι. Nec ita multo infra Reg. secundus θανάτου ἀγωνίσασθαι.

astare ante magistratus, populorum assultus perferre, horrendum carnificis intueri aspectum, audire vocem asperam, instrumentorum ad puniendum destinatorum gravem conspectum tolerare, tormenta experiri, et usque ad mortem decertare, propter hæc omnia ne diffidas, ob oculos habens Christum, qui his tua causa fuit obnoxius, sitque compertum tibi, te in istis ob Christum versari oportere, teque in ipsis esse victurum. Regem enim victorem sequeris, qui te suæ victoriæ vult esse participem. Neque enim victus es, etsi mortuus; imo vero tunc integerrimam reportasti victoriam: quippe qui veritatem immutabilem ad finem usque tibi ipsi servaveris, ac inconcussam retinueris loquendi pro veritate fiduciam.

3. Et quidem ab interitu ad æternam vitam, ab
201 hominum ignominia ad Dei gloriam, a mundi adversitatibus atque suppliciis ad æternam requiem, quæ tibi cum angelis communis futura est, proficiscere. Terra te civem non suscepit, at cœlum suscipiet. Mundus persecutus est: sed tollent te angeli, ut sistant te coram Christo. Quin et amicus appellabere, esque auditurus jucundissimam illam laudem: Macte animo, serve bone et fidelis, miles generose, Dominique imitator, ac regis sectator, ego te meis donis remunerabor: ego tuos audiam sermones, quoniam tu etiam audivisti meos. Petes fratrum qui vexantur salutem; atque sociis fidei ac sacræ charitatis discipulis bonorum a rege communicationem impetrabis, prætereaque tripudiabis tripudia sempiterna, geres coronam inter angelos, atque creaturis sub rege imperans, una cum beatorum choro in æternum beatus vives. Quod si te adhuc in mundo post certamina etiam relinquere volet, ut plura et varia ineas certamina, multosque cum a visibilibus tum ab invisibilibus bellis salvos et incolumes serves, gloria tua etiam in terra magna erit, et in pretio eris apud amicos, qui te tutorem adjutoremque ac bonum legatum invenerint. Hi nutrient te tanquam strenuum militem: hi colent te veluti virum fortissimum ac generosissimum: hi salutabunt te amice et comiter, teque uti Dei angelum cum gaudio suscipient, quemadmodum Paulus ait, velut Christum Jesum [65]. Hæc et ejusdem generis alia divinæ militiæ exempla sunt. Neque vero ad solos viros spectat oratio. Militat enim apud Christum et muliebre genus, ob

A σθαι, καὶ πρὸς ἄρχοντας παραστῆναι, καὶ δήμων ἐπαναστάσεις ὑπενεγκεῖν, καὶ δημίου βλέμμα φοβερὸν ἰδεῖν, καὶ σκληρὰν ἀκοῦσαι φωνὴν, καὶ κολαστηρίων ὄψιν ὑπομεῖναι χαλεπὴν, καὶ πειραθῆναι βασάνων, καὶ μέχρι θανάτου διαγωνίσασθαι, μὴ ἀπειθήσῃς πρὸς ἅπαντα ταῦτα, πρὸ ὀφθαλμῶν ἔχων τὸν ὑπὲρ σοῦ ἐν τούτοις γενόμενον Χριστὸν, εἰδὼς, ὅτι διὰ τὸν Χριστὸν ἐν τούτοις γενέσθαι σε δεῖ, καὶ νικήσεις ἐν τούτοις. Νικητῇ γὰρ ἀκολουθεῖς βασιλεῖ, τῆς νίκης αὐτοῦ βουλομένῳ σε γενέσθαι κοινωνόν. Οὐδὲ γὰρ ἀποθανὼν ἡττήθης, ἀλλὰ τότε δὴ καὶ τελεώτατα ἐνίκησας, ἄχρι τέλους ἄτρεπτον φυλάξας τὴν ἀλήθειαν σεαυτῷ (50), καὶ τὴν ὑπὲρ τῆς ἀληθείας παῤῥησίαν ἀμετακίνητον σχών.

B 3. Καὶ ἀπὸ τοῦ θανάτου μὲν πρὸς αἰώνιον ὁδεύσεις ζωὴν, ἀπὸ δὲ τῆς παρὰ ἀνθρώποις ἀτιμίας ἐπὶ τὴν δόξαν τὴν παρὰ Θεοῦ, καὶ ἀπὸ τῶν ἐν κόσμῳ θλίψεων καὶ κολάσεων ἐπὶ τὰς αἰωνίους ἀναπαύσεις τὰς σὺν ἀγγέλοις. Γῆ σε πολίτην οὐκ ἀπεδέξατο, ἀλλ' οὐρανὸς ὑποδέξεται, κόσμος ἐδίωξεν, ἀλλὰ βαστάσουσιν ἄγγελοι παραστῆσαί σε Χριστῷ (51)· καὶ φίλος κληθήσῃ, καὶ τὸν ποθεινότατον ἔπαινον ἀκούσεις· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, στρατιῶτα γενναῖε, καὶ μιμητὰ τοῦ Δεσπότου, βασιλέως ἀκόλουθε, ἐγώ σε τοῖς ἐμοῖς ἀμείψομαι δώροις· ἐγὼ τῶν σῶν ἀκούσομαι λόγων, ἐπεὶ καὶ σὺ τῶν ἐμῶν. Αἰτήσεις ἀδελφῶν σωτηρίαν καταπονουμένων, καὶ τοῖς κοινωνοῖς τῆς πίστεως (52) καὶ τοῖς μύσταις τῆς ἱερᾶς ἀγάπης λήψῃ παρὰ τοῦ βασιλέως τὴν τῶν ἀγαθῶν μετουσίαν· χορεύσεις δὲ C τὰς αἰωνίους χορείας, καὶ μεταξὺ τῶν ἀγγέλων στεφανηφορήσεις, βασιλεύων κτίσεως ὑπὸ τῷ βασιλεῖ, καὶ συνδιαιωνίζων μακαρίως τῷ τῆς μακαριότητος χορῷ. Εἰ δὲ καὶ ἐπὶ κόσμου σε καταλεῖψαι ἔτι μετὰ τοὺς ἀγῶνας θέλοι, ἵνα καὶ πλείονας ἀγῶνας καὶ ποικίλους διαγωνίσῃ (53), καὶ σώσῃς ἐκ τῶν ἀοράτων καὶ ὁρατῶν πολέμων πολλοὺς, μεγάλη σου καὶ κατὰ γῆν ἡ δόξα, καὶ παρὰ τοῖς φίλοις ἔσῃ τίμιος, προστάτην σε καὶ βοηθὸν καὶ πρεσβευτὴν ἀγαθὸν εὑρηκόσιν. Οὗτοι θρέψουσιν ὡς στρατιώτην ἀγαθόν· οὗτοι τιμήσουσιν ὡς ἀριστέα γενναῖον· οὗτοι δεξιώσονται καὶ μετὰ χαρᾶς ὑποδέξονται ὡς ἄγγελον Θεοῦ δεχόμενοι, καθὰ Παῦλός φησιν, ὡς Χριστὸν Ἰησοῦν. Ταῦτα καὶ τὰ τοιαῦτα τῆς θείας στρατείας τὰ παραδείγματα. Διαλέγεται δὲ οὐκ ἀνδράσι μόνοις ὁ λόγος (54). Στρατεύεται γὰρ D καὶ τὸ θῆλυ παρὰ Χριστῷ, τῇ ψυχικῇ ἀνδρείᾳ καταλεγόμενον εἰς τὴν στρατείαν, καὶ οὐ διὰ τὴν τοῦ σώ-

[65] Galat. IV, 14.

(50) Reg. secundus ἀλήθειαν ἐν σεαυτῷ. Statim editio Paris. καὶ ἀπὸ τοῦ. Vocula καί deest et in editione Ven. et in antiquis tribus libris.

(51) Quod ait Combefisius, duos suos veteres libros Maz. et H. ita habere, τοῦ παραστῆσαι Χριστῷ, id non vere dictum est, cum vocula τοῦ in utroque libro desit. Editio Paris. ἄγγελοι παραστῆσαί σε Χριστῷ. Illud σε neque in nostris mss. neque in editione Veneta invenitur. Mox editio Paris. Εὖγε, δοῦλε. Editio Ven. et antiqui tres libri Εὖ, δοῦλε.

(52) Ita Reg. tertius. Illa autem verba, quæ addidimus, καὶ τοῖς κοινωνοῖς τῆς πίστεως, leguntur quoque in margine codicis Mazarini. Editi et alii mss. καταπονουμένων, καὶ τοῖς μύσταις· quod mutilum erat et truncatum. Haud longe Reg. tertius et editio Ven. habent in margine ἀγαθῶν κοινωνίαν.

(53) Editio Ven. et mss. tres ποικίλους διαγωνίσῃ. Editio Paris. διαγωνίσῃς.

(54) Sic antiqui tres libri. Editio Paris. μόνος ὁ λόγος. Mox Maz. παρὰ τῷ Χριστῷ. Haud longe idem codex καταγόμενον εἰς τήν, *ad militiam descendens*. Reg. tertius καθαπτόμενον, et ita quoque legitur in ora Regii primi, non quidem eadem manu, sed antiqua tamen. Utraque editio et H. ut in contextu.

ματος ἀσθένειαν ἀποδοκιμαζόμενον, καὶ πολλαὶ γυναῖκες ἠρίστευσαν ἀνδρῶν οὐκ ἔλαττον. Εἰσὶ δὲ αἳ καὶ μειζόνως εὐδοκίμησαν. Ἐκ τούτων εἰσὶν αἱ τῆς παρθενίας πληροῦσαι τὸν χορόν. Ἐκ τούτων αἳ τοῖς ἀγῶσι τῆς ὁμολογίας καὶ ταῖς νίκαις τῆς μαρτυρίας ἐκλάμπουσιν. Ἠκολούθουν δὲ καὶ αὐτῷ τῷ Κυρίῳ κατὰ τὴν παρουσίαν οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, καὶ δι' ἀμφοτέρων ἡ λειτουργία τοῦ Σωτῆρος ἐπετελεῖτο. Τοιούτων καὶ οὕτως ἐνδόξων ἀποκειμένων τῇ στρατείᾳ τῇ κατὰ Χριστὸν, ἐπιθυμείτωσαν (55) αὐτῆς καὶ πατέρες παίδων, καὶ μητέρες θυγατέρων. Προσαγέτωσαν τὰ αὐτῶν γεννήματα, χαίροντες ἐπὶ ταῖς αἰωνίοις ἐλπίσιν, ὧν οἱ παῖδες αὐτοῖς μεθέξουσι, προστάτας ἔχειν παρὰ Χριστῷ καὶ πρεσβευτὰς ἀγαθοὺς ἐπιθυμοῦντες. Καὶ μὴ μικρόψυχοι περὶ τοὺς παῖδας γενώμεθα, μηδὲ φοβηθῶμεν εἰ πονήσουσιν, ἀλλ' εὐφρανθῶμεν, ὅτι δοξασθήσονται. Παραστήσωμεν τῷ Κυρίῳ τὰ δοθέντα παρ' αὐτοῦ, ἵνα καὶ τῆς εὐδοκιμήσεως τῶν παίδων γενώμεθα κοινωνοὶ, συμπροσάγοντες ἑαυτοὺς (56) καὶ συμπαριστῶντες. Τοῖς δὴ οὕτω προθυμουμένοις καὶ οὕτως ἀγωνιζομένοις καλῶς ἄν τις ἐκ τοῦ Ψαλμῳδοῦ λέγοι· *Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν*. Καὶ κατὰ τὸν Μωσέα, εὔξεται περὶ αὐτῶν· *Εὐλόγει, Κύριε, τὰ ἔργα αὐτῶν· κάταξον ὀφρὺν* (57) *ἀνθεστηκότων αὐτοῖς*. Ἀνδρίζεσθε ὡς γενναῖοι, δράμετε γενναίως τὸν δρόμον ἐπὶ τοῖς αἰωνίοις στεφάνοις, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A animi fortitudinem ad militiam delectum, nec ob corporis imbecillitatem rejectum, cum feminæ complures non minus fortiter quam ipsi viri sese gesserint. Imo etiam non desunt quæ gloriam longe majorem consecutæ sint. Ex his sunt quæ virginalem chorum componunt. Ex his, quæ confessionis certaminibus, et martyrii victoriis clarent. Quin Dominum ipsum etiam, dum inter nos versaretur, sequebantur non viri solum, sed et mulieres quoque, et per utrosque ministerium Servatoris perficiebatur. Cum igitur talia et tam eximia præmia militiæ Christi destinentur, ac seponantur, ejus afficiantur desiderio et patres filiorum, et matres filiarum. Adducant sua pignora, spe æterna læti, cujus sui filii secum futuri sunt participes, atque B apud Christum patronos bonosque legatos ac deprecatores habere cupientes. Neque simus pusillo animo in liberos, neque perterreamur, si labore conficiantur : sed de gloria ipsis tribuenda lætemur. Offeramus Domino quæ ab ipso sunt data, ut socii etiam gloriæ filiorum efficiamur, adducentes simul et sistentes nosmetipsos. **202** Certe iis qui hanc animi alacritatem ostenderint, atque ita decertarint, jure ac merito quispiam ex Psalmista dixerit : *Benedicti vos a Domino, qui fecit cælum et terram* [66]. Et sicut Moses, orabit pro ipsis : *Benedic, Domine, operibus illorum : frange supercilium eorum qui illis adversantur* [67]. Viriliter agite tanquam generosi, generososque cursu ad sempiternas coronas contendite, in Christo Jesu Domino C nostro, cui gloria in sæcula. Amen.

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ,

καὶ παραίνεσις περὶ ἀποταγῆς βίου, καὶ τελειώσεως πνευματικῆς.

1. *Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*, φησὶν ἡ θεία φωνὴ, εἴτε τὴν ἐκεῖ ἀνάπαυσιν, εἴτε τὴν ἐντεῦθεν αἰνιττομένη. Πλήν γε προσκαλεῖται ἡμᾶς, τοῦτο μὲν τὸν φόρτον τῆς πολυκτησίας διὰ τῆς εἰς τοὺς δεομένους ἀποθέσεως προτρέπουσα ἀποβάλλεσθαι· τοῦτο δὲ, τὸν ἐκ τούτου προσγινόμενον ἡμῖν (58) ἑσμὸν τῶν ἁμαρτημάτων διὰ τῆς εὐποιίας καὶ ἐξαγορεύσεως ἀποῤῥίψαντας, προσδραμεῖν τῷ σταυροφόρῳ βίῳ τῶν μοναχῶν. Ὁ τοίνυν ὑπακοῦσαι Χριστῷ προῃρημένος, καὶ πρὸς τὸν πτωχὸν καὶ ἀπερίσπαστον βίον ἐπειγόμενος, θαυμαστὸς ὡς ἀληθῶς καὶ μακαριστός. Ἀλλὰ, παρακαλῶ, μὴ ἀδοκιμάστως τοῦτο ποιείτω, μηδὲ ὑπογραφέτω ἑαυτῷ ἀνεκτότητα βίου, καὶ σωτηρίαν ἄμαχον· ἀλλὰ μᾶλλον προγυμναζέτω ἑαυτὸν πρὸς εὐδοκίμησιν ὑπομονῆς θλίψεων σωματικῶν τε

EJUSDEM SERMO ASCETICUS,

et exhortatio de renuntiatione sæculi, et de perfectione spirituali.

1. *Venite ad me, omnes qui laboratis, et onerati estis, et ego reficiam vos*, inquit vox ipsa divina [68]. Hæc sive futuram, sive præsentem significet requiem, nos certe hortatur, partim ut multarum divitiarum onus abjiciamus, erogando eas pauperibus · partim ut peccatorum multitudinem, quæ inde accedit, per liberalitatem et confessionem deponentes, ad cruciferam monachorum vitam accur- D ramus. Quisquis igitur Domino obedire sibi proposuit, festinatque ad pauperem ac quietam vitam, vere admirandus est, beatusque dicendus. Sed adhortor, ut ne inconsideranter hoc faciat, nec sibi fingat aliquod vitæ genus remissum, salutemque sine pugna obtinendam : quin potius antea exerceat sese ac probet ad tolerandas corporis animique molestias : ne si seipsum in inopinata certa-

[66] Psal. CXIII, 15. [67] Deut. XXXIII, 11. [68] Matth. XI, 28.

(55) Regii primus et tertius ἐπιθυμησάτωσαν. Aliquanto post duo Regii προσαγαγέτωσαν τά. Alius codex προσαγαγεῖν τά.

(56) Antiqui duo libri συμπροσάγοντες αὐτούς.

(57) Editi et Reg. secundus κάταξον ὀφρύν, *frange supercilium;* et ita quoque in Reg. primo legitur secunda manu. At in Reg. tertio et apud LXX scriptum invenitur κάταξον ὀσφύν, *frange lumbos*. Hanc varietatem fecit nominis similitudo. Ibidem, initio periodi, Reg. tertius et editio Ven. in margine εὐλόγησον.

(58) Codex Maz. προσγενόμενον ἡμῖν

mina injecerit, ac deinde tentationibus sibi ingruentibus resistere non possit, ad ea unde recesserat, cum pudore et risu recurrat, quippe qui ad sæculum non sine animæ condemnatione revertatur; multisque offendiculum factus, vitam in Christo institutam omnibus suspectam reddat, quasi agi non possit; cujus rei periculum nostis omnes, quotquot Evangelia legistis, in quibus ipsa divina vox dicit: *Expedit ei magis ut mola asinaria imponatur in collo ejus, et projiciatur in mare, quam ut scandalizet unum de pusillis istis* [69]. Neque enim solum erit obnoxius desertoris condemnationi: sed etiam exitii eorum qui ab ipso sunt eversi, reus futurus est, etsi stultis quibusdam cogitationibus persuadere sibi videtur, se in sæculo degentem per bona opera Numen esse placaturum: quod effici ab ipso non potest. Qui enim in eo vitæ genere, in quo non facilis ad peccatum accessus patet, ob assiduam animi attentionem, adversarii luctationes sufferre non potuit, quomodo in vita multis peccatis exposita, cujus ipse sit moderator, virtutem ullam excolere et exercere poterit? Sed ut det aliquis, eum vitam recte moderari posse, tamen Christi derelicti crimen non effugiet, quemadmodum et hi discipuli in Evangelio designati, de quibus divinus evangelista ait: *Multi autem discipulorum abierunt retro, et jam non ambulabant cum Jesu, dicentes: Durus est sermo ipsius,* **203** *quis potest eum audire* [70]? Ea enim de causa benignissimus Deus saluti nostræ providens, vitam hominum divisit in duplex vitæ genus, conjugium dico ac virginitatem, ut qui virginitatis certamen subire non valeret, hic sibi adjungeret uxorem: sic tamen, ut illud sciret, reddendam sibi esse rationem continentiæ, sanctitatisque, et ejus cum his sanctis, qui in conjugio et in liberorum educatione vitam egerunt, similitudinis. Qualis erat in Veteri Testamento Abraham, qui unico filio citra dolorem ac molestiam immolato, inde gloriabatur, quod Deum prætulisset: qui etiam, cum ad excipiendos peregrinos paratus esset, fores tabernaculi sui apertas tenebat. Non enim audivit: *Vende quæ habes, et da pauperibus* [71]. Imo Job et alii plurimi, Davidque et Samuel his majora præstitere. Erat quoque ejusmodi Petrus in Novo Testamento, ac cæteri apostoli. Etenim fructus dilectionis in Deum ac proximum ab unoquoque homine repetendi sunt; horumque mandatorum, seu potius omnium, quæcunque violata fuerint, pœnas dabit. Sicut et Dominus in Evangeliis declarat, cum

καὶ πνευματικῶν, ἵνα μὴ, ἀπροσδοκήτοις ἑαυτὸν ἐμβαλὼν παλαίσμασιν, εἶτα ἀδυνατῶν πρὸς τὴν ἀντίστασιν τῶν ἐπερχομένων αὐτῷ δοκιμιῶν, εὑρεθῇ παλινδρομῶν πρὸς τὰ ἀφ' ὧν ἐξελήλυθε, σὺν αἰσχύνῃ καὶ γέλωτι, μετὰ καταχρίσεως ψυχῆς ἐπανερχόμενος τῷ βίῳ, καὶ πολλοῖς σκάνδαλον γινόμενος, ἀδυναμίας ὑπολήψεις (59) πᾶσιν ἐμποιῶν τῆς ἐν Χριστῷ πολιτείας, οὗ τὸν κίνδυνον ἴστε πάντες οἱ τὰ Εὐαγγέλια ἀναγινώσκοντες, ἐν οἷς λέγει ἡ θεία φωνή· *Συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔῤῥιπται* (60) *εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων*. Οὐ γὰρ μόνον (61) ὑπεύθυνος ἔσται τῇ καταδίκῃ τοῦ λειποταξίου, ἀλλὰ καὶ τῆς τῶν ἀνατρεπομένων ὑπ' αὐτοῦ ἀπωλείας, κἂν δόξῃ φρενοβλαβέσι λογισμοῖς πείθειν ἑαυτὸν ἐν τῷ βίῳ διάγοντα ἀγαθοεργίαις ἐξευμενίζειν τὸ θεῖον· ὅπερ ἐστὶν αὐτῷ ἀδύνατον. Ὁ γὰρ μὴ ἰσχύσας ἐν τῷ δυσαμαρτήτῳ βίῳ διὰ τὸ ἀπερίσπαστον ἐνεγκεῖν τὰ παλαίσματα τοῦ ἐχθροῦ, πῶς ἐν τῷ πολυαμαρτήτῳ καὶ ὑπ' αὐτοῦ ἀρχομένῳ βίῳ δυνήσεται κατορθῶσαί τι τῶν ἐναρέτων (62); Ἵνα δὲ καὶ δοίη τις διορθοῦν ἑαυτοῦ τὸν οἰκεῖον βίον, τὸ ἔγκλημα τῆς τοῦ Χριστοῦ ἐγκαταλείψεως οὐκ ἐκφεύξεται, καθὰ καὶ οἱ ἐν τῷ Εὐαγγελίῳ δηλούμενοι μαθηταὶ, περὶ ὧν φησιν ὁ θεῖος εὐαγγελιστής· *Πολλοὶ δὲ τῶν μαθητῶν ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι περιεπάτουν μετὰ Ἰησοῦ, λέγοντες· Σκληρός ἐστιν ὁ λόγος αὐτοῦ, τίς δύναται αὐτοῦ ἀκούειν;* Διὰ γὰρ τοῦτο καὶ ὁ φιλάνθρωπος Θεὸς, κηδόμενος τῆς ἡμῶν σωτηρίας, εἰς δύο διεῖλε βίους τὴν τῶν ἀνθρώπων (63) διαγωγὴν, συζυγίαν λέγω καὶ παρθενίαν, ἵνα ὁ μὴ δυνάμενος ὑπενεγκεῖν τὸν τῆς παρθενίας ἆθλον ἔλθοι ἐπὶ συνοίκησιν γυναικὸς, ἐκεῖνο εἰδὼς, ὡς ἀπαιτηθήσεται λόγον σωφροσύνης καὶ ἁγιασμοῦ, καὶ τῆς πρὸς τοὺς ἐν συζυγίαις καὶ τεκνοτροφίαις ἁγίους ὁμοιώσεως. Οἷος ἦν ἐν μὲν τῇ Παλαιᾷ Διαθήκῃ Ἀβραὰμ, ὅς, τῇ τοῦ Θεοῦ προτιμήσει τὸν μονογενῆ θυσιάζων ἀσυμπαθῶς, ἐμεγαλαύχει, καὶ τὰς τῆς σκηνῆς αὐτοῦ θύρας διαπεπετασμένας εἶχε, πρὸς ὑποδοχὴν τῶν ἐπιξενοῦσθαι μελλόντων ἑτοιμαζόμενος. Οὐ γὰρ ἤκουσε· *Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς*. Καὶ τὰ μείζονα τούτων ἐπεδείξατο Ἰὼβ, καὶ ἕτεροι πλεῖστοι, Δαβίδ τε καὶ Σαμουήλ. Ἐν δὲ τῇ Νέᾳ Διαθήκῃ, οἷος Πέτρος ἦν, καὶ οἱ λοιποὶ τῶν ἀποστόλων. Ἀπαιτηθήσεται γὰρ πᾶς ἄνθρωπος (64) τοὺς καρποὺς τῆς πρὸς Θεὸν ἀγάπης καὶ τὸν πλησίον, καὶ τῆς παρατροπῆς τῶν ἐντολῶν τούτων καὶ πασῶν τίσει δίκας. Καθὼς καὶ ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις δηλοῖ λέγων· *Ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος·* καὶ, *Ὃς οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα*

[69] Matth. XVIII, 6. [70] Joan. VI, 67, 61. [71] Matth. XIX, 21.

(59) Reg. primus ἀδυναμίας ὑπόληψιν.
(60) Reg. primus et editio Ven. in margine ὀνικὸς κρεμασθῇ περὶ.... καὶ ῥιφῇ.
(61) Antiqui duo libri μόνον. Alius et editi μόνος.
(62) Codices duo τι τῶν ἀρετῶν. Ibidem utraque editio et Reg. secundus διορθοῦν ἑαυτοῦ τόν. Alii duo mss. διορθοῦν αὐτὸν τόν.
(63) Editi βίους τὰ τῶν ἀνθρώπων, *res humanas*. Codex Maz. et Regius tertius βίους τὴν τῶν ἀνθρώπων διαγωγήν· quæ lectio invenitur in margine editionis Venetæ. Aliquanto post Reg. primus ἔλθῃ ἐπὶ συνοικήσει.
(64) Addita est vox ἄνθρωπος ex antiquis duobus libris.

αὐτοῦ, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου εἶναι μαθητής.

2. Ἆρά σοι δοκεῖ καὶ τοῖς ὑπογυναίοις τεθεῖσθαι τὰ (65) Εὐαγγέλια; Ἰδοὺ, σεσαφήνισταί σοι, ὡς πάντες ἄνθρωποι ἀπαιτηθησόμεθα τὴν πρὸς τὸ Εὐαγγέλιον ὑπακοὴν, μοναχοί τε καὶ οἱ ἐν συζυγίαις. Ἀρκέσει γὰρ τῷ ἐπὶ γάμον ἐλθόντι ἡ συγγνώμη τῆς ἀκρασίας καὶ τῆς πρὸς τὸ θῆλυ ἐπιθυμίας τε (66) καὶ συνουσίας· τὰ δὲ λοιπὰ τῶν ἐντολῶν πᾶσιν ὁμοίως νενομοθετημένα οὐκ ἀκίνδυνα τοῖς παραβαίνουσι. Καὶ γὰρ εὐαγγελιζόμενος ὁ Χριστὸς τὰ τοῦ Πατρὸς ἐντάλματα, τοῖς ἐν τῷ κόσμῳ διελέγετο· εἰ δέ που συνέβη καὶ κατ' ἰδίαν ἐπερωτηθέντα αὐτὸν ἀποκρίνασθαι (67) τοῖς αὐτοῦ μαθηταῖς, διεμαρτύρατο λέγων· *Ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω.* Μὴ τοίνυν ἀναπέσῃς, ὦ οὗτος, ὁ πρὸς κοινωνίαν γυναικὸς προῃρημένος, ὡς ἐπ' ἐξουσίας ἔχων τὸν κόσμον περιβαλέσθαι. Πλειόνων γάρ σοι πόνων καὶ φυλακῆς χρεία πρὸς τὴν τῆς σωτηρίας ἐπιτυχίαν· ἅτε δὴ καὶ ἐν μέσῳ τῶν παγίδων καὶ τοῦ κράτους τῶν ἀποστατικῶν δυνάμεων οἰκεῖν ἐκλεξαμένῳ, καὶ τοὺς ἐρεθισμοὺς τῶν ἁμαρτιῶν ἐν ὄψεσιν ἔχοντι, καὶ πρὸς τὴν αὐτῶν ἐπιθυμίαν νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐκμοχλευομένῳ πάσας σου τὰς αἰσθήσεις. Γίνωσκε τοίνυν, ὡς οὐ διαδράσεις τὴν πρὸς τὸν ἀποστάτην παλαίστραν, οὐδὲ τῆς τούτου νίκης καθάψῃ ἄνευ πόνων πολλῶν τῶν ἐπὶ φυλακῇ τῶν εὐαγγελικῶν δογμάτων. Πῶς γὰρ δυνήσῃ ἀρνήσασθαι τὴν πρὸς τὸν ἐχθρὸν μάχην, ἐν τῷ σκάμματι τῆς μάχης διάγων; Ὅπερ ἐστὶ πᾶσα ἡ ὑπ' οὐρανὸν γῆ, ἐν ᾗ ἐμπεριάγειν τοῦτον καὶ ἐμπεριπατεῖν, ὡς κύνα λυττῶντα, ζητοῦντα τίνα (68) καταπίῃ, ὑπὸ τῆς τοῦ Ἰὼβ γραφῆς διδασκόμεθα. Εἰ τοίνυν ἀρνῇ τὴν πρὸς τὸν ἀνταγωνιστὴν μάχην, μέτελθε εἰς ἕτερον κόσμον, ἐν ᾧ αὐτὸς οὐκ ἔστι· καὶ ὑπάρξει σοι ἡ τῆς πρὸς αὐτὸν πάλης ἄρνησις, καὶ τῶν εὐαγγελικῶν δογμάτων ἀκίνδυνος ἀργία. Εἰ δὲ τοῦτο ἀδύνατον, σπεῦδε πρὸς τὴν μάθησιν τῆς κατ' αὐτοῦ ἀθλήσεως, διδασκόμενος ὑπὸ τῶν Γραφῶν (69) παλαισμάτων τέχνην· ἵνα μὴ, ἐξ ἀγνοίας ἡττηθεὶς ὑπ' αὐτοῦ, τῷ αἰωνίῳ πυρὶ παραδοθῇς. Καὶ ταῦτα μὲν ὅμως ἐν παραδρομῇ πρὸς τοὺς ἐν συζυγίαις ἀκινδύνως τῆς τῶν ἐντολῶν τοῦ Χριστοῦ φυλακῆς καταμελοῦντας εἰρήσθω. Σὺ δὲ, ὁ τῶν οὐρανίων πολιτευμάτων ἐραστὴς, καὶ τῆς ἀγγελικῆς διαγωγῆς (70) πραγματευτὴς, καὶ τῶν ἁγίων μαθητῶν τοῦ Χριστοῦ συστρατιώτης γενέσθαι ἐπιθυμῶν, τόνωσον σεαυτὸν πρὸς τὴν ὑπομονὴν τῶν

A dixit : *Qui amat patrem aut matrem plus quam me, non est me dignus* [72]. Et, *Qui non odit patrem suum, et matrem suam, et uxorem, et filios, adhuc autem et animam suam, non potest meus esse discipulus* [73].

2. Annon tibi videntur fuisse iis etiam qui uxores duxerunt, Evangelia lata? Ecce, tibi planum factum est obedientiam quæ Evangelio reddenda est, ab omnibus hominibus sive monachis sive conjugatis exigendam esse. Etenim qui conjugio sese implicuerit, ei satis fuerit, si incontinentia, et feminæ libido, suaque cum ipsa consuetudo sibi condonetur : sed reliqua præcepta æque omnibus sancita periculum afferunt violatoribus. Christus enim cum Patris præcepta annuntiaret, ad eos qui in mundo erant loquebatur; quod si B contigit aliquando, ut ipse seorsum interrogatus discipulis suis responderit, sententiam suam declaravit, his verbis : *Quæ autem vobis dico, omnibus dico* [74]. Ne igitur deses exsistas, o tu, qui elegisti uxoris societatem, quasi mundum amplecti penes te sit. Nam pluribus laboribus et custodia majore tibi opus est ad obtinendam salutem : quippe qui in mediis laqueis, mediaque rebellium potestatum ditione sedem delegeris, habeasque ob oculos peccatorum irritamenta, atque ad ea concupiscenda omnes tui sensus quasi loco suo emoti noctuque diuque impellantur. Scias igitur te cum defectore luctationem non evitaturum esse, neque de eo citra multos labores victoriam reportaturum in evangelicis dogmatibus custodiendis. Quomodo enim in C ipsa certaminis fossa versans, certamen cum hoste detrectare poteris? Quæ utique tota est terra sub cœlo contenta : per quam circumire hunc et obambulare tanquam rabiosum canem, quærentem quem devoret, ex Jobi historia edocemur. Itaque si cum adversario inire pugnam recuses, transi in alterum mundum, in quo ipse non sit; tumque licebit tibi **204** cum illo non decertare, atque in dogmatis evangelicis servandis sine periculo iners permanere. Quod si id fieri non potest, eam quæ tibi cum illo futura est pugnam discere festines, artem luctaminum ex Scripturis edoctus; ut ne ex ignorantia ab ipso devictus, æterno igni tradaris. Et hæc quidem adversus eos qui matrimonio juncti præcepta Christi observare secure negligunt, quasi in D transcursu dicta sint. Tu vero, qui cœlestis vivendi ritus amator es, atque angelicæ vitæ negotiator, quique sanctorum Christi discipulorum commilito esse cupis, corrobora teipsum ad res adversas per-

[72] Matth. x, 37. [73] Luc. xiv, 26. [74] Marc. xiii, 37.

(65) Veteres duo libri καὶ ὑπογυναίοις τετάχθαι τά. *Evangelia præscripta.* Bona lectio. Utraque edidio et Reg. secundus ut in contextu.

(66) Voculam τε ex antiquis duobus libris addidimus.

(67) Reg. primus αὐτὸν ἀποκρίνεσθαι. Statim veteres duo libri ὃ δὲ ὑμῖν.

(68) Editio Paris. ζητοῦντα τίνα. Vox ζητοῦντα neque in nostris tribus mss. Regiis, neque in editione Veneta reperitur. Aliquanto post duo mss. ἐν ᾧ οὗτος. Subinde editio Ven. in contextu εὐαγγελικῶν ῥημάτων ἀκίνδυνος.

(69) Utraque editio et Reg. tertius ὑπὸ τῶν γραφικῶν, corrupte. Codex II. Γραφῶν, emendate. Quod ait Combefisius statim legi in Maz. μὲν ὁμοίως ἐν παραδρομῇ, de eo aliter sentiet qui hunc librum legerit. Ita enim habet, μὲν ὡς ἐν. Editi μὲν ὅμως.

(70) Regii primus et tertius καὶ τῆς εὐαγγελικῆς διαγωγῆς, *evangelicæ vitæ.*

ferendas, et virili animo monachorum cœtum ac senatum adi : ac initio quidem tuæ renuntiationis virum te ostende, ut ne ob eorum qui secundum carnem cognati sunt, amorem et affectum deorsum trahare, sed valido et forti animo mortalia cum immortalibus commutes. Ubi vero res quæ ad te pertinent dereliqueris, esto inflexibilis et constans, certoque scias eas præmittere te in cœlum : siquidem ipsas in sinu pauperum reconditas cum multa accessione apud Deum es inventurus. Cum autem ab amicis ac familiaribus divelleris, cave conficiaris mœrore nimio, quandoquidem cum Christo qui pro te crucifixus est, conjungeris : quo quid, quæso, a nobis amabilius excogitari potest ? Quando autem, Deo juvante, in primo hoc pugilatu tuum adversarium superaveris, nolito teipsum tanquam vas quoddam ignominiosum projicere. Ex quo enim rebus terrenis remisisti nuntium, jam honorem apud Christum tibi conciliasti; sed magnopere cura et provide, ut virum tuæ vitæ tutissimum ducem reperias, probe edoctum conducere eos qui ad Deum pergunt, plenum virtutibus, ejus quæ in Deum est dilectionis testimonium habentem ex suis ipsius operibus, divinarum Scripturarum gnarum, animo sedato præditum, pecuniarum non amantem, a negotiis alienum, quietum, Deo acceptum, diligentem pauperes, non iracundum, injuriarum immemorem, ad eorum qui ipsum adeunt ædificationem multum laborantem, vanæ gloriæ non cupidum, non superbum, nullis assentationibus flectendum, non obnoxium mutationi, nihil Deo præferentem. Et, si quempiam hujusmodi nanciscare, omnem tuam voluntatem exspuens, et foras rejiciens, huic te ipsum trade, ut quasi vas sincerum inveniaris, qui scilicet eas quæ in te infunduntur virtutes ad laudem et gloriam tuam serves. Etenim si quidpiam ex iis vitiis quibus antea deditus eras, in teipso reliqueris, tunc bonis quæ in te fuerant immissa, in vappam transmutatis, tanquam vas quoddam nulli usui aptum foras projiciere.

A θλίψεων, καὶ ἀνδρείως πρόσελθε τῇ συγκλήτῳ τῶν μοναχῶν· καὶ ἐν μὲν τῇ ἀρχῇ τῆς ἀποταγῆς σου ἀνδρίζου, μὴ καθελκυσθῆναι ὑπὸ τῆς προσπαθείας τῶν κατὰ σάρκα συγγενῶν, τῇ ἀνταλλαγῇ τῶν θνητῶν πρὸς τὰ ἀθάνατα (71) ἐνισχυόμενος· ἡνίκα δὲ τῶν προσόντων σοι πραγμάτων ποιῇ τὴν ἀπόθεσιν, ἔσο ἀκαμπής, προπέμπειν αὐτὰ εἰς οὐρανοὺς πληροφορούμενος, τοῖς μὲν κόλποις τῶν πτωχῶν ἐναποκρύπτων αὐτά, παρὰ δὲ Θεῷ (72) εὑρίσκων σὺν πολλῇ τῇ προσθήκῃ. Φίλων δὲ καὶ συνήθων διασπώμενος, μὴ γενοῦ περιθλιβής, Χριστῷ συναπτόμενος τῷ ὑπὲρ σοῦ σταυρωθέντι· οὗ τί ἂν λογιστέον ἡμῖν φιλικώτερον; Ἡνίκα δὲ συνεργίᾳ Θεοῦ τὴν πρώτην ταύτην πυγμὴν νικήσῃς τὸν σὸν ἐχθρόν, μὴ ῥίψῃς σεαυτὸν ὥσπερ τι τῶν ἀτίμων σκευῶν. Ἤδη γὰρ τῇ B ἀποταγῇ τῶν γηίνων πραγμάτων τετίμηκας σεαυτὸν παρὰ Χριστῷ· ἀλλ' ἐν πολλῇ φροντίδι καὶ περινοίᾳ ποίησαι εὑρεῖν ἄνδρα πρόοδον τῆς σῆς πολιτείας ἀπλανῆ, καλῶς ἐπιστάμενον ὁδηγεῖν τοὺς πρὸς Θεὸν πορευομένους, κομῶντα ταῖς ἀρεταῖς, ἐκ τῶν οἰκείων ἔργων τὴν μαρτυρίαν ἔχοντα τῆς πρὸς Θεὸν ἀγάπης, γνῶσιν ἔχοντα τῶν θείων Γραφῶν· ἀπερίσπαστον, ἀφιλάργυρον, ἀπράγμονα, ἡσύχιον, θεοφιλῆ, φιλόπτωχον, ἀόργητον, ἀμνησίκακον, πολὺν εἰς οἰκοδομὴν τῶν ἐγγιζόντων αὐτῷ, ἀκενόδοξον, ἀνυπερήφανον, ἀκολάκευτον, ἀπερίτρεπτον, μηδὲν προτιμῶντα τοῦ Θεοῦ. Καὶ εἰ εὕροις (73) τοιοῦτον, ἔκδος σεαυτὸν αὐτῷ, ἅπαν θέλημα σὸν ἀποπτύσας καὶ ἔξω ῥίψας, ἵνα εὑρεθῇς ὡς καθαρὸν ἀγγεῖον, τὰ ἐν σοὶ C βαλλόμενα ἀγαθὰ διατηρῶν πρὸς ἔπαινόν σου καὶ δόξαν. Εἰ γάρ τι ἐγκαταλίπῃς ἑαυτῷ τῶν προϋπαρξάντων ἐν σοὶ παθῶν, εἰς ὀξίνην μεταποιήσας τὰ ἐμβεβλημένα ἐν σοὶ ἀγαθά, ἔξω βληθήσῃ, ὥσπερ τι τῶν ἀχρήστων σκευῶν (74).

3. Hoc secundum est luctamen, quod cum salutis nostræ hoste ineundum est. Documenta enim magistrorum bonorum, bona sunt : malorum autem, mala sunt omnino. Cum enim nobis persuadere non potuerit malus ille adversarius noster, ut in mundi tumultu et exitio permaneremus, **205** suadere conatur, ne vitæ accuratæ dediti simus, neve permittamus nos viro, qui omnia nostra peccata ob oculos nobis ponat, corrigatque : sed ut nos credamus cuipiam honoris amore insanienti, suæque erga suos convictores indulgentiæ obtentu sua ipsius vitia commendanti : ut cum ita nos latenter innumeris vitiis rursus addixerit, nostris ipsis peccati vinculis nos obstringat. Quod si viro te dedas

3. Αὕτη δευτέρα πάλη πρὸς τὸν ἀνταγωνιστὴν τῆς σωτηρίας ἡμῶν. Ἀγαθῶν γὰρ διδασκάλων ἀγαθὰ τὰ μαθήματα (75)· πάντως που καὶ κακῶν κακά. Ὅταν γὰρ μὴ ἰσχύσῃ ὁ πονηρὸς ἡμῶν ἀντίπαλος πεῖσαι ἡμᾶς ἐναπομεῖναι τῇ τοῦ κόσμου συγχύσει καὶ ἀπωλείᾳ, σπεύδει πεῖσαι μὴ ἀκριβεῖ βίῳ ἑαυτοὺς ἐκδοῦναι (76), ἢ ἀνδρὶ πάντα ἡμῶν τὰ ἁμαρτήματα D ὑπ' ὄψιν ἄγοντι καὶ διορθουμένῳ, ἀλλά τινι τῶν δοξομανούντων καὶ τὰ οἰκεῖα πάθη προφάσει συγκαταβάσεως τῆς πρὸς τοὺς συζῶντας συνιστῶντι, ἵνα, οὕτως ἀσυμφανῶς (77) πάλιν μυριοπαθεῖς ἡμᾶς ποιήσας, ὑπὸ τὰ οἰκεῖα δεσμὰ τῆς ἁμαρτίας ἡμᾶς καταστήσῃ. Εἰ δὲ ἐκδῷς σεαυτὸν πολυαρέτῳ ἀνδρί, γενήσῃ κληρονόμος τῶν ἐν αὐτῷ ἀγαθῶν, μακαριστό-

(71) Iidem mss. πρὸς τὸ ἀθάνατον.

(72) Editio Paris. τῷ Θεῷ. Articulus et in nostris tribus mss. et in editione Veneta desideratur. Haud longe duo mss. μὴ γίνου.

(73) Codex unus καὶ εἰ εὕρῃς. Nec ita multo post Reg. primus πρὸς ἔπαινόν σοι. Statim Regii primus et tertius ἐγκαταλίπῃς ἐν σεαυτῷ· et ita quoque legitur in margine editionis Venetæ.

(74) Regii primus et tertius ὥσπερ τι τῶν ἀχρήστων σκευῶν, *uti vas quoddam inutile*. At Reg. secundus et editi τῶν ἀτίμων σκευῶν, *ut vas ignominiosum*. Utraque scriptura satis placet.

(75) Regii primus et tertius ἀγαθὰ τὰ διδάγματα.

(76) Antiqui duo libri ἑαυτοὺς ἐπιδοῦναι.

(77) Editi et Reg. tertius οὕτως ἀσυμφώνως, *inconcinne*. Alii duo mss. Regii ἀσυμφανῶς, *latenter*, melius, ut mihi videtur. Aliquanto infra duo mss. μακαριστός τε παρά.

A ...κατός τε παρὰ Θεῷ καὶ ἀνθρώποις. Εἰ δὲ φειδοῖ τοῦ σώματος ζητοίης πρὸς τὰ ἐν σοὶ πάθη συγκαταβατικὸν διδάσκαλον, ἢ μᾶλλον εἰπεῖν, συγκαταπίπτοντά σοι, μάτην ὑπέστης τὸν τῆς ἀποταξίας ἆθλον, ἐμπαθεῖ βίῳ ἑαυτὸν ἐκδεδωκὼς, τυφλῷ ὁδηγῷ χρησάμενος, καὶ ἐπὶ βόθυνον προβιβαζόμενος. *Ἐὰν γὰρ τυφλὸς τυφλὸν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται* (78). *Ἀρκετὸν γὰρ τῷ μαθητῇ γενέσθαι κατὰ τὸν διδάσκαλον αὐτοῦ.* Θεοῦ ἡ φωνὴ, καὶ οὐ διασφαλήσεται. Ἀθλητικῷ νόμῳ δεῖ σε πολιτεύεσθαι, εἰ δὲ μὴ, οὐ στεφανοῦσθαι (79), καθὼς εἶπεν ὁ Ἀπόστολος· *Καὶ ἐὰν ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.*

multis virtutibus instructo, bonorum ejus efficieris hæres, erisque apud Deum et apud homines beatissimus : sin autem ob corporis curam exquiras magistrum una tecum ad tua vitia descendentem, aut ut rectius loquar, una tecum corruentem, frustra renuntiationis certamen subiisti, qui te ipse vitæ vitiosis affectibus obnoxiæ mancipaveris, cæcoque ductore usus, teipsum in foveam dederis præcipitem. *Si enim cæcus cæco dux fuerit, ambo in foveam cadent* [75]. *Sufficit enim discipulo ut sit sicut magister ejus* [76]. Sunt Dei verba, nec unquam excident. Vita tua ex lege athletica est instituenda, sin minus, non coronabere, uti dixit Apostolus : *Et si quis certet, non coronatur, nisi legitime certaverit* [77].

B 4. Εἰ τοίνυν εὕρῃς Θεοῦ χάριτι (πάντως γὰρ ζητήσας εὑρήσεις) ἀγαθῶν ἔργων διδάσκαλον, τήρησον παρ' ἑαυτῷ, μηδὲν παρὰ γνώμην αὐτοῦ διαπράττεσθαι. Ἅπαν γὰρ τὸ ἔξωθεν αὐτοῦ γινόμενον κλοπή τίς ἐστι καὶ ἱεροσυλία πρὸς θάνατον ἄγουσα (80), οὐ πρὸς ὠφέλειαν, κἂν δοκῇ σοι ἀγαθὸν εἶναι. Εἰ γὰρ ἀγαθὸν, τίνος ἕνεκεν λάθρα, καὶ μὴ ἐν τῷ φανερῷ γίνεται; Ἐρώτησον τὸν λογισμόν σου τὸν λῃστεύειν σε διὰ τῶν δεξιῶν μηχανώμενον· διὰ γὰρ (81) τῶν ἀγαθῶν δῆθεν παρακουσμάτων τὰς ἀριστεράς σοι πράξεις παρασκευάζει. Μὴ θέλε διορθοῦν ἐπασμοὺς τῶν θηριοδήκτων, ἄπειρος (82) ὢν τοῦ ἐπᾴδειν, μήπως, ἐπισπασάμενος τοὺς ὄφεις, καὶ περιδραχθεὶς ὑπ' αὐτῶν, εἶτα ἀδυνάτως ἔχων πρὸς τὴν ἀντίστασιν, ἀσυγγνώστως ἀναλωθῇς ὑπ' αὐτῶν. C Μὴ ἐπερείδου εὐγενείᾳ σαρκὸς, καὶ τιμὴν ἐπιζήτει· *Σαρκικὸς γὰρ οὐ δέχεται τὰ τοῦ Πνεύματος.* Μὴ πειρασθῇς τι τῶν ἐν συνηθείᾳ τῆς ἀληθείας παραχαράξαι, καὶ τῇ (83) οἰκείᾳ χαυνότητι ὑποσκελίζειν μὲν τοὺς ἀγωνιζομένους, ἑαυτῷ δὲ φόρτον ἁμαρτημάτων ἐπισωρεύειν, μὴ ἐν στρωμνῇ ἁπαλωτέρᾳ, μὴ ἐν ἐνδύμασιν, ἢ ὑποδήμασιν, ἢ ἑτέρῳ τινὶ σχήματι, ἢ ἐν βρωμάτων παραλλαγῇ, ἢ τραπέζῃ ὑπὲρ τὸν τῆς (84) ἀποταγῆς σου χρόνον, ἢ ἐν στάσει, ἢ ἐν καθέδρᾳ, ἢ ἐν ἐργοχειρίῳ ἀναπαυτικωτέρῳ, ἢ καθαριωτέρῳ. Ταῦτα γὰρ πάντα, οὐ μόνον ὑπάρχοντά σοι, ἀλλὰ καὶ ἐπιζητούμενα, οὐκ ἀγαθὴν ἕξουσιν ἔκβασιν. Καὶ γὰρ εἰ μὴ ἐν τάχει ἐπεγνωκὼς διαβολικὴν εἶναι τὴν μεθοδείαν ἐκκόψεις (85) ἐκ τῆς σῆς καρδίας, ἔκπτωσίν σοι τῆς ἐν Χριστῷ πολιτείας κατασκευάζουσιν. Ἀλλὰ θέ- D

4. Si igitur Dei auxilio repereris (prorsus autem si quæras, reperies) bonorum operum doctorem, observa apud teipsum, ut nihil præter ejus sententiam peragas. Quidquid enim sine ipso efficitur, furtum est et sacrilegium, quod mortem infert, non utilitatem, tametsi tibi videtur esse bonum. Etenim si bonum est, cur fit clanculum, non in aperto? Interroga animum tuum, te ad prædandum industrie provocantem : siquidem dum bonis non obtemperas, te ad sinistras actiones instruit. Noli eorum qui a bestiis morsi sunt, incantamenta emendare, si non calleas incantandi artem, ne forte posteaquam serpentes attraxeris, ab eisque implicatus fueris, nec possis deinde ipsis resistere, immisericorditer ab eis absumare. Ne innitare carnis nobilitati, neque honorem exquiras : *Qui enim carnalis est, non capit ea quæ sunt Spiritus* [78]. Ne tentes quidpiam eorum quæ ex consuetudine vera habentur, adulterare, neque per tuam mollitiem pugnantes decipere, in te vero peccatorum onus congerere, non in strato molliore, non in vestimentis, aut calceamentis, aut in alio ullo habitu, aut in ciborum varietate, aut in mensa quæ instruatur contra atque permittit tuæ renuntiationis tempus, non stando, non sedendo, non manuum operi remissiori et elegantiori incumbendo. Hæc enim omnia non solum si adsunt tibi, sed etiam si requiruntur, non bonum habebunt exitum. Nam nisi **206** celeriter diabolicas esse insidias noveris, easque excideris ex corde tuo, te ab ea vivendi ra-

[75] Matth. xv, 14. [76] Matth. x, 25. [77] II Tim. ii, 5. [78] I Cor. ii, 14.

(78) Reg. primus εἰς βόθυνον πεσοῦνται. Aliquanto post idem codex διδάσκαλον, αὕτη Θεοῦ φωνή. Reg. tertius ἡ φωνή. Editi et Reg. tertius διδάσκαλον αὐτοῦ. Θεοῦ φωνή. Hoc ipso in loco Reg. primus διασφάλλεται.

(79) Editio Ven. et tres mss. οὐ στεφανοῦσαι. Editio Paris. στεφανοῦσθαι.

(80) Antiqui tres libri θάνατον ἄγον. Utraque editio ἄγουσα.

(81) Addidi ex antiquis duobus libris voculam γάρ. Statim editio Paris. πράξεις παρασκευαζόμενον. Editio Ven. et tres mss. παρασκευάζει.

(82) Editio Paris. διορθοῦν ἐπασμοὺς τῶν θηρίων ἄπειρος. Editio Ven. in contextu διορθοῦν ἐπαϊσμοὺς θηριοδήκτων ἄπειρος, nec secus legitur in Reg. tertio. Eadem editio Ven. et Reg. tertius in margine διορθοῦν ἐπασμοὺς θηριοδήκτων ἄπειρος. Reg. primus ἐπασμοὺς ὀφιοδήκτων, *incantamenta eorum, qui a serpentibus morsi sunt*. Ibidem liber Maz. et editio Ven. in contextu τοῦ ἐπαίζειν.

(83) Regii primus et tertius παραχαράξαι, τῇ.... ὑποσκελίζων.... ἐπισωρεύων.

(84) Regii primus et tertius παρὰ τὸν τῆς, etc., *ultra quam sinit*, etc., sensu non ita multum dissimili.

(85) Reg. tertius et editio Ven. in contextu εἶναι παιδαγωγίαν ἐκκόψεις. Ibidem duo mss. ἐκ τῆς καρδίας σου.

tione quæ in Christo instituta est, deturbabunt. Verum ubi in animum tuum induxeris te esse omnium hominum ignominiosissimum, peccatoremque maximum, ac peregrinum et erronem; teque ex misericordia ab iis qui ante te nuntium sæculo remisere, receptum esse: stude omnium esse ultimus et omnium servus. Hæc enim tibi afferent honorem et gloriam veram, non illa. Aures habe apertas ad obediendum, manus vero paratas ad ea quæ audivisti explenda. Sit tibi os taciturnum, et cor circumspectum. Ne vaces vanis sermonibus: sed esto prudens et intelligens ad sacras et salutares Scripturas auscultandas. Fabulæ mundanæ si audientur, sint tibi gustatu acerbæ: contra, sermones sanctorum virorum sint tibi ceu favi mellis. Festina eos imitari, qui se ante in moribus emendandis exercuere: et ne exspectes, dum singula doceare. Contende ut pervenias ad majores virtutes, et minores non negligas. Nullum parvipendas vitium, etsi id quod patratur, minus sit quam ut ullum scandalum pariat: imo vero citius emenda per pœnitentiam, quamvis multi multa admittant delicta et parva et majora, nec tamen pœnitentiam agant. Ne sis alienorum peccatorum judex. Habent enim judicem justum, *Qui reddet unicuique secundum opera ejus* [79]. Tu quod tuum est tene, et pro virili onus tuum leve reddas. Qui enim aggravat suum onus, ipse et portabit illud. Salus pœnitentia est: dementia vero mors est pœnitentiæ.

5. Subducito te a vanis hominibus: at vero quam plurimum te Deo ostende. In publicum prodire, quantum in te est, penitus refugias, ac cordis tui effusiones devita. Egressus es enim e cella tua? Deseruisti continentiam; oculos conjecisti in mundum, in mulierem meretricem incidisti, quæ cum et aures tuas illicibus verbis, et oculos tuos vultus pulchritudine, atque delicatis escis gustum incantaverit, te veluti hamo pertrahet ad seipsam. Deinde tuis membris implicata, teque in sinum suum recipiens, tuum istud firmum servandæ continentiæ desiderium emollit, et ita demum te a recta et sancta vivendi ratione sensim submotum in

A μενος ἐν σεαυτῷ πάντων ἀνθρώπων εἶναι ἀτιμότερον καὶ ἁμαρτωλότερον, ξένον τε καὶ ἀλήτην, καὶ κατ' οἶκτον παρειλημμένον (86) ὑπὸ τῶν πρὸ σοῦ ἀποταξαμένων, σπεῦδε πάντων εἶναι ἔσχατος, καὶ πάντων δοῦλος. Ταῦτα γάρ σοι οἴσει τιμὴν καὶ δόξαν ἀληθινήν, οὐκ ἐκεῖνα (87). Ὦτα ἔχων ἠνεῳγμένα πρὸς ὑπακοήν, καὶ χεῖρας ἑτοίμους πρὸς ἐκπλήρωσιν τοῦ ἠκουσμένου, στόμα ἔχε σιγηρὸν, καὶ καρδίαν περίβλεπτον. Ἔσο ἀργὸς περὶ ἀργολογίαν, συνετὸς δὲ καὶ ἐπιστήμων πρὸς τὰς σωτηριώδεις τῶν θείων Γραφῶν ἀκροάσεις (88). Ἤτω σοι πικρὰ γεῦσις ἡ τῶν κοσμικῶν διηγημάτων ἀκρόασις, κηρία δὲ μέλιτος τὰ τῶν ὁσίων ἀνδρῶν διηγήματα. Πρὸς τὴν μίμησιν σπεῦδε τῶν προασκησάντων ἐν τοῖς ἤθεσι, καὶ μὴ ἐκδέχου διδάσκεσθαι ἕκαστον. Ταῖς
B μείζοσι τῶν ἀρετῶν ἐπεκτείνεσθαι ἀγωνίζου, καὶ τῶν ἐλαττόνων μὴ ἀμελεῖν. Σφάλματος μὴ περιφρόνει, κἂν μικρότερον παντὸς σκανδάλου ᾖ (89) τὸ γινόμενον. Ἀλλὰ σπεῦδε μᾶλλον πρὸς τὴν διὰ μετανοίας ἐπανόρθωσιν· κἂν πολλοὶ πολλὰ σφάλλωνται μικρά τε καὶ μείζονα, καὶ μένωσιν ἀμετανόητοι. Μὴ γίνου ἀλλοτρίων πταισμάτων δικαστής. Ἔχουσι γὰρ κριτὴν δίκαιον, *Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ*. Σὺ τὸ σὸν κράτει, καὶ κοῦφον ποίει, ὅση σοι δύναμις, τὸ σεαυτοῦ φορτίον. Ὁ γὰρ βαρύνων τὸν φόρτον αὐτοῦ, αὐτὸς καὶ βαστάσει αὐτόν. Μετάνοια σωτηρία· ἄνοια (90) δὲ, μετανοίας θάνατος.

5. Κρύπτε σεαυτὸν ἀπὸ τῶν εἰκαιοτέρων ἀνθρώ-
C πων· φανεροῦ δὲ σεαυτὸν, ὡς τὰ πολλὰ, τῷ Θεῷ. Πᾶσαν προέλευσιν παραιτοῦ, ὅσον ἐστὶν ἐν σοί, φεύγων τὰς τῆς καρδίας σου (91) διαχύσεις. Ἐξῆλθες γάρ σου τῆς κέλλης; Ἀπέλιπες τὴν ἐγκράτειαν· ἐνέκυψας τῷ κόσμῳ· συνέτυχες πόρνῃ γυναικὶ, ἥ σου καταγοητεύσασα, τοῖς μὲν ἐρεθιστικοῖς λόγοις (92) τὰς ἀκοὰς, τῇ δὲ τοῦ προσώπου περικαλλείᾳ τὰς ὄψεις, λίχνοις δὲ τοῖς ἐδέσμασι τὰς γεύσεις, ὥσπερ ἀγκίστρῳ, ἄξει πρὸς ἑαυτήν· εἶτα περιπλακεῖσά σου τοῖς μέλεσι, καὶ ἐνστερνισαμένη ἑαυτῇ (93), καταμαλάσσει σου τὸ σταθερὸν τῆς πρὸς τὴν ἐγκράτειαν ἐπιθυμίας· οὕτω τε ἠρέμα ὑφελκύσασά σε τῆς

[79] **Rom. II, 6.**

(86) Regii duo mss. εἶναι ἀτιμότερος καὶ ἁμαρτωλότερος, ξένος τε καὶ ἀλήτης, καὶ κατ' οἶκτον παρειλημμένος. Editi et unus ms. ut in contextu, nisi quod pro κατ' οἶκτον corrupte habent κατ' οἰκτρόν. Editio Ven. in margine κατ' οἶκον, *in domo*.

(87) Codex Combef. et editio Ven. in contextu ἀληθινήν, οὐ κενήν, *verum, non vanum honorem afferent*. Lectio optima. Alii duo mss. et editio Paris. ita ut edidimus: quæ scriptura addita quoque fuit in margine editionis Venetæ. Ibidem mss. tres et editio Paris. ὦτα ἔχων. Editio Paris. ἔχε. Hoc ipso in loco duo mss. ἀνεῳγμένα.

(88) Reg. primus σωτηριώδεις τῶν Γραφῶν ἀναγνώσεις, *ad legendas salutares Scripturas*.

(89) Utraque editio et codex Combef. κἂν μικρότερον παντὸς κνωδάλου ᾖ· quod ita verterat vetus interpres, *Esto, quavis illud* [erratum] *tenuissima bestiola minutius sit*. Regii primus et tertius uti in contextu. Ex hoc exemplo, ut ex aliis multis, per-
D spici potest, sententias pulcherrimas tenui ac exigua vocis alicujus mutatione sæpe corrumpi.

(90) Ubi et in editis et in mss. legitur ἄνοια, *dementia*, non valde admodum dubito quin legendum sit ἄγνοια, *ignoratio verò pœnitentiæ mors est*. Statim Reg. primus ἀπὸ τῶν οἰκειοτέρων, *a necessariis, a propinquis*. Codex Combef. et Reg. tertius et editi εἰκαιοτέρων.

(91) Addidimus voculam σου ex codicibus duobus.

(92) Antiqui duo libri ἐρεθιστικοῖς ῥήμασι. Statim Regii primus et tertius τῇ δὲ τοῦ προσώπου περιεργίᾳ, *vultu diligenter ornato*. Utraque editio et Reg. unus ita ut in contextu videre cuique licet.

(93) Utraque editio καὶ ἐνστηθισαμένη ἐν ἑαυτῇ. Reg. tertius καὶ ἐνστηθισαμένη σε. Reg. primus καὶ ἐνστερνισαμένη ἐν ἑαυτῇ, non ut Combefisius legit, ἐνστερνίσασα ἑαυτῇ. Alter Reg. περιστηθισαμένη, καταμ.

κατ' ἀρετὴν πολιτείας (94) ἐν ἑαυτῇ διαφθείρει. Εἰ δέ που καὶ βοηθούμενος ὑπὸ τοῦ Θεοῦ διαδρᾶναι δυνηθῇς τὰ ταύτης δίκτυα, ἐπανήκεις μὲν τῇ κέλλῃ, ἀλλ' οὐχ ὁ αὐτός· πάρετος δέ τις καὶ νενοσηκὼς, καὶ πρὸς ἅπαν ἔργον τῶν ἀρετῶν δυσάρεστος, πολλῷ δὲ χρόνῳ ἐπανελθεῖν εἰς τὴν οἰκείαν ἕξιν δυνάμενος. Στενοχωρήσει γάρ σε τοῖς λογισμοῖς ἡ πρὸς ἑκάτερον βίον ἐπιθυμία· καὶ πολλῷ καμάτῳ δυνήσῃ δοῦναι τῇ ψυχῇ τὰ νικητήρια. Εἰ τοίνυν συμβῇ σε κατὰ περίστασίν τινα ἐκδημῆσαι τῆς κέλλης, περιτεθωρακισμένος (95) τὸν φόβον τοῦ Θεοῦ, καὶ ἐνιδρυσάμενος τῇ χειρὶ τὴν ἀγάπην τοῦ Χριστοῦ, καταπαλαίσας πάσῃ ἐγκρατείᾳ τὰς τῶν ἡδονῶν προσβολὰς, αὐτίκα τῆς χρείας γενομένης (96), ἀποπήδησον, μὴ ἐγχρονίσας, ἀλλ' ὀξεῖ τῷ πτερῷ χρησάμενος πρὸς τὴν ἐπάνοδον, ὥσπερ τις ἄκακος περιστερὰ, πρὸς τὴν ἐκπέμψασάν σε κιβωτὸν αὐτομολήσας, ἐν στόματι φέρων τὰ ἐλέη Χριστοῦ· οὕτω τε πείθων τοὺς λογισμοὺς (97) τοὺς ἔνδον ἄβατον εἶναι τὴν ἐπὶ παντὸς ἑτέρου τόπου σωτηριώδη ἀνάπαυσιν. Νέος ὢν εἴτε τὴν σάρκα εἴτε τὸ φρόνημα, φεῦγε τὴν συνδιαγωγὴν τῶν ὁμηλίκων, καὶ ἀποδίδρασκε ἀπ' αὐτῶν, ὡς ἀπὸ φλογός. Πολλοὺς γὰρ ἐμπρήσας δι' αὐτῶν ὁ ἐχθρὸς τῷ αἰωνίῳ πυρὶ παρέδωκε, πνευματικῇ δῆθεν ἀγάπῃ εἰς τὸ τῶν πενταπολιτῶν μυσαρὸν βάραθρον ἐγκαταστρέψας αὐτούς. Καὶ τοὺς ἐν τῷ πελάγει καὶ παντὶ ἀνέμῳ καὶ κλύδωνι διασωθέντας, εἴσω τῶν λιμένων ἀμεριμνοῦντας, σὺν αὐτάνδρῳ τῷ σκάφει τῷ βυθῷ παρέδωκεν (98). Ἐν καθέδρᾳ πρὸ πολλοῦ καθέσθητι ἀπ' αὐτοῦ. Ἐν ἀνακλίσει ὕπνου μὴ γειτνιαζέτω σου τὰ ἐνδύματα τοῖς ἐκείνου· μᾶλλον δὲ κέχρησο γέροντι μεσίτῃ. Ἡνίκα δέ σοι διαλέγεται, ἢ ἀντιπρόσωπος ψάλλει, κάτω νεύων ἀντίφθεγξαι αὐτῷ, μήπως, τῇ εἰς τὰ πρόσωπα ἐνατενίσει σπέρμα ἐπιθυμίας ὑπὸ τοῦ ἐπισπορέως ἐχθροῦ δεξάμενος (99), δράγματα φθορᾶς καὶ ἀπωλείας καρποφορήσῃς. Ἐν οἴκῳ ἢ ἐν τόπῳ, οὗ οὐκ ἔστιν ὁ βλέπων τὰ ἔργα ὑμῶν, μὴ εὑρεθῇς μετ' αὐτοῦ, προφάσει μελέτης θείων λογίων, ἢ ἑτέρας (1) ὁποιασοῦν καὶ ἀναγκαιοτάτης χρείας. Οὐδὲν γὰρ ἀναγκαιότερον ψυχῆς, ὑπὲρ ἧς Χριστὸς ἀπέθανεν. Μὴ πίστευε δολουργῷ λογισμῷ ὑποτιθεμένῳ σοι τὸ ἀσκανδάλιστον εἶναι· αὐτὸ τοῦτο σκάνδαλον εἶναι πληροφορούμενος πολλῇ τῇ πείρᾳ τῶν πεπτωκότων προφανῆ σοι ταῦτα παρασχόμενον (2).

seipsa corrumpit. Quod si forte, Deo auxiliante, retia ejus effugere valeas, redibis quidem ad cellam, sed non idem, fractus potius et languidus, isque, qui omnem virtutis actionem ægre feras, quique nonnisi multo tempore ad tuum ipsius habitum reverti possis. Etenim te tuæ cogitationes ad angustias adducent ob utriusque vitæ desiderium, et non nisi multo labore victoriam animæ parere poteris. Itaque si necessitate quapiam urgente contigerit te e cella egredi, tunc Dei timore ceu **207** thorace circummunitus, inserta in manum charitate Christi, oppugnatisque per omnem continentiam incursibus voluptatum, simul ut negotium absolveris, statim revertere, non immorans, sed ad reditum velocibus alis usus, et tanquam innocens quædam columba, ad arcam unde emissus fuisti, confugiens, ferens in ore misericordiam Christi, sicque internis cogitationibus persuade, te requiem salutarem in nullo alio loco invenire posse. Juvenis es sive corpore, sive animo: æqualium tuorum consuetudinem declina, ab iisque velut a flamma aufuge. Hostis enim multos quos per ipsos incenderat, æterno igni tradidit, atque spiritualis dilectionis specie illos in horrendum illud quinque civitatum barathrum dejecit: et qui in pelago ab omni vento et tempestate servati fuerant incolumes, eos in portu desidentes una cum navi vectoribusque in profundum submergit. In sedili procul a coævo sede. Cum recubas ad somnum capiendum, indumenta tua non sint vicina illius indumentis; imo potius senem intermedium adhibe. Quando vero tecum loquitur, aut ex adverso psallit, responde ei vultu humi defixo, ne forte oculis in vultus conjectis, a satore inimico libidinis semen suscipias, ac corruptionis et interitus manipulos metas. In domo, aut in loco, ubi nemo est qui videat opera vestra, ne meditandorum divinorum eloquiorum aut alterius cujuscunque rei vel maxime necessariæ obtentu, cum ipso inveniare: nihil enim magis necessarium est quam anima pro qua Christus mortuus est. Subdolæ isti cogitationi quæ rem offendiculo vacare submonet, fidem ne adhibe: sed ob multam experientiam eorum qui lapsi sunt, quique hæc tibi clara et manifesta reddunt, penitus tibi persuadeas idipsum offendiculum esse.

(94) Regii primus et tertius τὴν κατ' ἀρετὴν πολιτείαν, *piam ac sanctam vivendi rationem per seipsum corrumpit*. Editi et codex Combef. ut in contextu, melius. Statim duo mss. εἰ δέ που. Vocula που in utraque editione deerat.

(95) Regii primus et tertius ἐκβῆναι τῆς κέλλης, περιθωρακισάμενος.

(96) Editio Paris. χρείας γενομένης. Editio Ven. et tres mss. καὶ τῆς χρείας γενόμενος· ubi fortasse legendum est καὶ ἀπὸ τῆς χρείας, *solutus negotio*. Ibidem editio Paris. μὴ ἐγχρονίσας. Editio Ven. et tres mss. ἐγχρονίσῃς. Hoc ipso in loco utraque editio ὀξὺ τῷ. At mss. ὀξεῖ τῷ.

(97) Antiqui duo libri τοὺς ἔνδον λογισμούς. Mox iidem mss. τὴν διαγωγήν.

(98) Utraque editio τῷ βυθῷ παραδέδωκεν. Veteres tres libri τῷ βυθῷ παραδοῦναι δεδύνηται, *submergere potuit*. Statim Reg. primus ἀπ' αὐτῶν.... ἐνδύματα τοῖς ἐκείνων. Illud, ἀπ' αὐτοῦ, accipi debet de æquali et coævo.

(99) Utraque editio ὑπὸ τοῦ ἐχθροῦ καὶ τῶν κακῶν ἐπισπορέως, *ab inimico et a malorum satore*. Veteres duo libri ὑπὸ τοῦ ἐχθροῦ ἐπισπορέως. Alius ὑπὸ τοῦ ἐπισπορέως ἐχθροῦ, *a satore inimico*. Et quidem qui libidinis semen spargit, vere inimicus est. Aliquanto post duo mss. ἐν ᾧ.

(1) Sic Regii primus et tertius. Editio Paris. ἢ προφάσει μελέτης... ἢ προφάσει ἑτέρας. Ibidem iidem mss. καὶ ἀναγκαίας. Nec ita multo post codex Combef. et alii duo cum editione Ven. ἀναγκαιότερον ψυχῆς. Editio Paris. ψυχῇ.

(2) Sic Reg. tertius, et ita quoque habet Reg. primus emendatus: quo in codice ante emendationem, ut conjicere licet, legebatur παρασχομένῳ. Editio

6. Crede meis verbis, quæ ex corde in fratres benevolo prodeunt. Accede ad senes qui facilem ad se aditum non præbent: qui proverbiorum quidem sententiis juvenes ad virtutem cohortantur, nec tamen facile lædunt. *Omni custodia serva cor tuum* [80]. Etenim uti aurum indesinenter diu noctuque observatur a furibus, atque præter exspectationem et te inscio subripitur; cave ne te primi parentis peccato seductum in errorem impellat adversarius, teque cito ex voluptatis paradiso expellat. Qui enim Adamum per escæ furtum vita spoliavit, speraveratque fore, ut Jesum supplantaret, is tibi quoque multo magis hanc primam malorum causam propinare non verebitur, venenum efficax id esse non nescius. Nam gulæ vitium non in escarum copia, **208** sed in appetitione et in modico gustatu, vim suam exserere solet. Ergo si brevis alicujus gustatus appetitio potuit subjicere te ingluviei vitio, tibi nullo negotio interitum afferet. Quemadmodum enim aquæ scaturigo in multos ductus divisa facit, ut omnis locus his ductibus circumjacens virescat: ita et gulæ vitium si se in cor tuum effuderit, ipsum irrigatis omnibus tuis sensibus, qui sunt nequitiæ quasi silva in te consita, animam tuam ferarum habitaculum efficiet. Ego enim vidi multos, qui vitiis mancipati redierunt ad sanitatem: sed ex omnibus ne unum quidem, qui occulte manducaret, aut gulosus esset, emendatum vidi; imo vero aut vitæ continentis institutum deserunt, atque in mundo corrumpuntur, aut inter continentes occultari conantur, et diaboli fiunt commilitones per voluptatem. Hi enim mendaces sunt, multis juramentis obnoxii, perjuri, contentiosi, ad referiendum parati, clamosi, et qui negent se comedisse, illiberales, molles, queruli, scrutatores, et qui tenebris gaudeant, omneque vitæ piæ ac sanctæ institutum ultro oppugnent. Etenim, ut gulæ vitium contegant, in malorum incidunt multitudinem: qui quidem specie tenus inter electos, at reipsa inter reprobos numerantur.

7. Ingluvies morti tradidit Adamum, atque per ventris voluptatem mundo exitium intulit [81]. Irridetur Noe, Cham devotus est [82], primogeniti jura admittit Esau [83], atque cum Chananæis affinitatem contrahit [84]. Lot filiarum maritus fit [85], ipse sui ipsius gener et socer, pater vir, et avus pater, utrinque naturæ terminos afficiens contumelia. Hæc etiam Israelem impulit ad adorandum simula-

A 6. Πίστευε τοῖς ἐμοῖς λόγοις ἐκ φιλαδέλφου καρδίας προφερομένοις. Πρόστρεχε γέρουσι (3) δυσεντεύκτοις, οἵτινες λόγοις μὲν παροιμιῶν ἀλείφουσι τοὺς νέους πρὸς τὰς ἐναρέτους πράξεις, βλάπτουσι δὲ προσώπῳ οὐδαμῶς. *Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν.* Ὥσπερ γὰρ χρυσὸς κατασκοπεῖται μὲν ἀδιαλείπτως ὑπὸ τῶν κλεπτῶν ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, ἁρπάζεται δὲ ἀπροσδοκήτως, καὶ οὐ γινώσκεις· ὅρα μή σε πλανήσῃ ὁ ἐχθρὸς τῇ τοῦ προπάτορος ἁμαρτίᾳ, καὶ τὸ τάχος σε ἐκβάλῃ τοῦ παραδείσου τῆς τρυφῆς. Ὁ γὰρ τὸν Ἀδὰμ τῇ τῆς βρώσεως κλοπῇ ὑφελκύσας τῆς ζωῆς, προσδοκήσας τε καὶ (4) Ἰησοῦν ὑποσκελίζειν, οὐκ ἐντραπήσεται πολλῷ μᾶλλον καὶ σοὶ κεράσαι τὸ πρῶτον αἴτιον τῶν κακῶν, ἰσχυρὸν δηλητήριον τοῦτο γινώσκων. Τὸ γὰρ τῆς γαστριμαργίας πάθος οὐκ ἐν
B πλήθει βρωμάτων τὴν ἰδίαν ἰσχὺν ἐπιδείκνυσθαι πέφυκεν, ἀλλ' ἐν ἐπιθυμίᾳ καὶ μικρᾷ γεύσει (5). Εἰ τοίνυν ἐπιθυμία βραχείας τινὸς γεύσεως ἰσχύσει σε ὑποβάλλειν τῷ τῆς γαστριμαργίας πάθει, ἀκαμάτως σε τῷ θανάτῳ παραδώσει. Ὥσπερ γὰρ φύσις τις (6) ὕδατος πολλοῖς ὁλκοῖς προσδιαιρουμένη πάντα τὸν περὶ τοὺς ὁλκοὺς τόπον θάλλειν παρασκευάζει· οὕτω καὶ τὸ τῆς γαστριμαργίας πάθος, εἰ ἀναδοθῇ σου τῇ καρδίᾳ, πάσας σου τὰς αἰσθήσεις ποτίζον, ὕλην κακίας ἐν σοὶ καταφυτεῦσαν, θηρίων κατοικητήριον τὴν σὴν ψυχὴν καταστήσει. Πολλοὺς γὰρ ἐγὼ πάθεσι κρατηθέντας εἶδον ἐν ὑγείᾳ γενομένους, ἕνα δὲ ἐκ πάντων λαθροφάγον, ἢ γαστρίμαργον οὐκ εἶδον, ἀλλ' ἢ ἀποῤῥαγέντας τοῦ ἐγκρατοῦς βίου, καὶ τῷ κόσμῳ διαφθαρέντας, ἢ τοῖς ἐγκρατέσιν ἐναποκρύπτεσθαι
C πειρωμένους, καὶ τῷ διαβόλῳ τῇ ἡδυπαθείᾳ συνασπιζομένους. Ψεῦσται γάρ εἰσιν οὗτοι, πολύορκοι, ἐπίορκοι, ἀντιστάται, ἀντιπλῆκται (7), ἀνακράκται, ἀρνησίφαγοι, ἀνελεύθεροι, ἁβροδίαιτοι, μεμψίμοιροι, ἐρευνηταὶ, σκοτεινοχαρεῖς, πάσης τῆς ἐναρέτου πολιτείας ἀντεργάται ἑκούσιοι. Ἵνα γὰρ τὸ τῆς γαστριμαργίας πάθος σκεπάσωσι, τῷ ἑσμῷ τῶν κακῶν περιπίπτουσιν· οἵτινες τῷ μὲν σχήματί εἰσιν ἐν τοῖς σωζομένοις, τοῖς δὲ πράγμασιν ἐν τοῖς κατακεκριμένοις (8).

7. Αὕτη τὸν Ἀδὰμ θανάτῳ παρέδωκε, καὶ τῷ κόσμῳ συντέλειαν ἐπήγαγε διὰ τὴν τῆς γαστρὸς ἡδονήν. Νῶε γελᾶται, Χὰμ (9) κεκατήραται, Ἡσαῦ τῶν πρωτοτοκίων ἐκπίπτει, καὶ τοῖς Χαναναίοις ἐπιγαμβρεύεται, Λὼτ θυγατρόγαμος γίνεται, γαμβρὸς ἑαυτοῦ καὶ
D πενθερός· ὁ πατὴρ ἀνὴρ, καὶ ὁ πάππος πατὴρ, ἑκατέρωθεν τοὺς ὅρους τῆς φύσεως ἐνυβρίζων. Αὕτη καὶ τὸν Ἰσραὴλ εἰδώλου προσκυνητὴν ἐποίησε (10), καὶ

[80] Prov. IV, 23. [81] Gen. III, 6. [82] Gen. IX, 21, 25. [83] Gen. XXV, 33. [84] Gen. XXXVI, 2. [85] Gen. XIX, 35.

Paris. et editio Ven. in margine πολλῇ τε τῇ πείρᾳ τῶν πεπτωκότων προφανῆ σοι ταῦτα φαινέσθωσαν, *et per multam experientiam eorum qui lapsi sunt, manifesta fiant isthæc tibi.*

(3) Antiqui duo libri καρδίας προσφερομένοις. Ibidem tres mss. πρόστρεχε γέρουσι. Editi πρόσεχε, *attende.*

(4) Editi et Reg. tertius προσδοκήσας τε καί. Alii duo mss. προσδοκήσας τε καί.

(5) Regii primus et tertius ἀλλ' ἐν ἐπιθυμίᾳ βραχείας τινὸς γεύσεως. Εἰ γάρ σε ἰσχύσει καταβαλεῖν, *sed in brevis cujusdam saporis appetitione. Etenim si*, etc.

(6) Vox τις ex antiquis duobus libris addita est.

(7) Editio utraque ἀντίπληκται. Reg. tertius ἀντιπλῆκται.

(8) Antiqui duo libri τοῖς δὲ πράγμασι κατακεκριμένοι.

(9) Utraque editio et Reg. tertius καὶ Χάμ. Vocula καί in duobus mss. deest.

(10) Reg. primus προσκυνητὴν πεποίηται. Reg. tertius πεποίηκε.

τούτων τὰ κῶλα ἐν τῇ ἐρήμῳ πεσεῖν παρεσκεύασεν. Αὕτη καί τινα τῶν προφητῶν, ἐπὶ ἐλέγχῳ ἀνοσιουργοῦ βασιλέως ἀπὸ Θεοῦ ἀποσταλέντα, ἀγρίου θηρὸς βορὰν πεποίηκε· καὶ ὃν οὐκ ἴσχυσεν Ἱεροβοὰμ ὁ βασιλεὺς σὺν πάσῃ τῇ βασιλικῇ δυνάμει ἀμύνασθαι, τῇ τῆς γαστρὸς ἀπάτῃ ληφθεὶς, ἐλεεινὸν θάνατον ἀποφέρεται. Δανιὴλ δὲ ὁ ἐπιθυμιῶν ἀνὴρ, κρατήσας γαστρὸς, βασιλείας Χαλδαίων κατεκυρίευσεν, εἰδώλων καθαιρέτης γενόμενος, καὶ δράκοντος ἀναιρέτης, λεόντων παιδαγωγὸς, ἐνανθρωπήσεως Θεοῦ προαγορευτὴς, καὶ μυστηρίων ἀποκρύφων ἐξηγητής. Γαστρὸς ἡδονῆς ἀνώτεροι φανέντες οἱ τρεῖς ἅγιοι παῖδες, ὀργῆς βασιλικῆς ὑπερεφρόνησαν, καὶ τῆς φοβερᾶς ἐκείνης καμίνου τῆς καιομένης, ἣν ἴσχυσεν ἀνάψαι Ναβουχοδονόσορ ὁ βασιλεὺς, ἀπτοητὶ κατετόλμησαν. Εἰκόνα χρυσῆν θεοποιουμένην ἀργὴν ἀπέδειξαν· καὶ τὴν ἐν πολλῷ χρόνῳ κατασκευασθεῖσαν ὑπὸ τοῦ Σατανᾶ ἐφ' ὕβρει τῆς τοῦ Θεοῦ δόξης, λάφυρα λαβόντες, τῷ ἰδίῳ Δεσπότῃ προσενηνόχασιν (11). Αὐτὸν τὸν ἔχθιστον βασιλέα, καὶ ἅπαν τὸ κατὰ τοῦ Θεοῦ στρατόπεδον σὺν πάσῃ (12) τῇ κτίσει ὑμνῳδεῖν τὸν Θεὸν παρεσκεύασαν. Καὶ, ἵνα πάντα συνελὼν εἴπω, εἰ κρατήσεις γαστρὸς, οἰκήσεις τὸν παράδεισον· εἰ δὲ οὐ κρατήσεις, γέγονας θανάτου παρανάλωμα.

8. Γενοῦ πιστὸς (13) θησαυρὸς τῶν ἀρετῶν, καὶ ἔχε κλεῖδα τὴν τοῦ πνευματικοῦ σου πατρὸς γλῶσσαν. Αὕτη σου ἀνοιγέτω τὸ στόμα πρὸς μετάληψιν ἄρτου, καὶ αὕτη ἀποκλειέτω. Μὴ παραδέξῃ σύμβουλον τὸν ὄφιν, ἀντὶ καλῆς συμβουλίας (13*) συλαγωγῆσαί σε θέλοντα. Μέχρι γεύσεως γλώσσης φυλάττου λαθροφαγίας ἁμαρτίαν. Εἰ γάρ σε ἐν μικρῷ τρέψαι ἰσχύσει, ἔβαλέ σε τῇ πάλῃ, καὶ συνέχει σε τοῖς δεσμοῖς. Μὴ ὕπεχε τὰ ὦτά σου παντὶ λαλοῦντι, καὶ μὴ ἀποκρίνου παντὶ ἀδολεσχοῦντι, ἐν ὁμιλίαις τῷ σκοπῷ τῆς ἀσκήσεως μὴ συμβαινούσαις (14). Ἀγαθῶν διδαγμάτων γίνου ἀκροατὴς, καὶ τῇ τούτων μελέτῃ συντήρει σὴν καρδίαν. Φύλαττέ σου τὰ ὦτα ἀπὸ κοσμικῶν διηγημάτων, μήπως ῥαντίσματι βορβόρου τὴν ψυχήν σου σπιλώσῃς. Μὴ κάμνε ἐνακροᾶσθαι τὰ παρ' ἑτέρων λαλούμενα, μηδὲ βάλλε κεφαλήν σου ἐν μέσῳ τῶν ὁμιλούντων· ἵνα μὴ καὶ σὺ μυκτηρισθῇς, καὶ αὐτοὺς καταλάλους ποιήσῃς. Μὴ ἔσο περίεργος, μηδὲ πάντα βλέπειν θέλε, ἵνα μὴ ἰχῶρας παθῶν (15) τῇ διανοίᾳ σου κατάσχῃς. Χρειωδῶς ὅρα,

A τὰ μέλη, ὑπὸ μιᾶς δηλονότι κινούμενα τῆς ἐνοικούσης ψυχῆς. Τίνος ἕνεκεν οὕτως ᾠκονομήθη; Ἐγὼ μὲν οἶμαι, ἵνα σώζηται ἡ τοιαύτη ἀκολουθία τε καὶ εὐταξία πολλῷ πλέον παρὰ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, πρὸς ἣν εἴρηται· *Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους*· κρατούσης δηλονότι καὶ συναπτούσης ἕκαστον τῷ ἄλλῳ πρὸς ὁμόνοιαν τῆς μιᾶς καὶ μόνης ἀληθῶς κεφαλῆς, ἥτις ἐστὶν ὁ Χριστός. Παρ' οἷς δὲ οὐχ ὁμόνοια κατορθοῦται, οὐχ ὁ σύνδεσμος τῆς εἰρήνης τηρεῖται, οὐχ ἡ (58) ἐν πνεύματι πραότης φυλάσσεται, ἀλλὰ καὶ διχοστασία καὶ ἔρις καὶ ζῆλος εὑρίσκεται. Πολλῆς μὲν τόλμης ἂν εἴη μέλη Χριστοῦ τοὺς τοιούτους ὀνομάζειν, ἢ ὑπ' αὐτοῦ ἄρχεσθαι λέγειν· ἁπλῆς δὲ διανοίας (59), μετὰ παῤῥησίας εἰπεῖν, ὅτι κρατεῖ ἐκεῖ καὶ βασιλεύει τὸ
B τῆς σαρκὸς φρόνημα, κατὰ τὴν τοῦ Ἀποστόλου φωνὴν, λέγοντος μὲν ὁριστικῶς, ὅτι *Ὧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστε ᾧ ὑπακούετε*· διεξιόντος δὲ σαφῶς τοῦ τοιούτου φρονήματος τὰ ἰδιώματα, ὡς ὅταν λέγῃ· *Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις, καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε;* διδάσκοντος δὲ ἅμα ἀποφαντικῶς (60) τό τε χαλεπὸν αὐτῶν τῆς ἐκβάσεως καὶ τὸ ἀκοινώνητον πρὸς θεοσέβειαν, δι' ὧν φησιν ὅτι, *Τὸ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται*· διότι *Οὐδεὶς δύναται*, ὁ Κύριός φησι, *δυσὶ κυρίοις δουλεύειν*.

4. Εἶτα αὐτοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ βοῶντος, δι' οὗ τὰ πάντα ἐγένετο, *Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ,*
C *οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός*· καὶ ὅτι *Ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν*· καὶ, *Ἐντολὴν ἔλαβον τί εἴπω, καὶ τί λαλήσω*· καὶ τοῦ Πνεύματος τοῦ ἁγίου τοῦ διαιροῦντος μὲν τὰ μεγάλα καὶ θαυμαστὰ χαρίσματα, ἐνεργοῦντος δὲ τὰ πάντα ἐν πᾶσι, λαλοῦντός τε ἀφ' ἑαυτοῦ οὐδὲν, ἀλλ' ὅσα ἂν ἀκούσῃ παρὰ τοῦ Κυρίου, ταῦτα λαλοῦντος· πῶς οὐ πολλῷ μᾶλλον ἀνάγκη πᾶσαν (61) τὴν Ἐκκλησίαν τοῦ Θεοῦ σπουδάζουσαν τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, πληροῦν ἐκεῖνο τὸ ἐν ταῖς Πράξεσιν εἰρημένον, ὅτι *Τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ* (62) *ἡ ψυχὴ μία;* οὐδενὸς μὲν δηλονότι τὸ ἴδιον βούλημα ἱστῶντος, πάντων δὲ
D κοινῇ ζητούντων ἐν ἑνὶ τῷ ἁγίῳ Πνεύματι τὸ τοῦ ἑνὸς Κυρίου Ἰησοῦ Χριστοῦ θέλημα, τοῦ εἰπόντος· *Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός*· πρὸς ὃν φησιν· *Οὐ περὶ τούτων δὲ*

[28] I Cor. XII, 27. [29] Ephes. IV, 3. [30] Galat. IV, 1. [31] Rom. VI, 16. [32] I Cor. III, 3. [32*] Rom. VIII, 7. [33] Matth. VI, 24. [34] Joan. I, 3. [34*] Joan. VI, 38. [35] Joan. VIII, 28. [36] Joan. XII, 49. [37] Joan. XVI, 13. [38] Ephes. IV, 3. [39] Act. IV, 32. [40] Joan. VI, 38.

(58) Utraque editio οὐχὶ ἐν. Codex Combef. et alii duo οὐχ ἡ ἐν.

(59) Editio Paris. διανοίας εἴη. Vox ultima in mss. deest.

(60) Reg. primus ἅμα καὶ ἀποφαντικῶς. Quod sequitur, φρόνημα τῆς σαρκός, ita conversum legitur in Vulgata, *Sapientia carnis inimica est Deo.*

(61) Utraque editio et Reg. tertius ἀνάγκη πᾶσα. Codex Combef. et Reg. primus πᾶσαν.

(62) Ita editio Veneta et nostri libri veteres. Editio Paris. καρδία μία καὶ etc. Haud longe duo mss. ἀπὸ τοῦ οὐρανοῦ.

ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων (63) *διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμὲ, ἵνα πάντες ἓν ὦσιν.* Ἐπὶ τούτοις, καὶ πλείοσι τοῖς σεσιωπημένοις, οὕτω σαφῶς καὶ ἀναντιῤῥήτως ἀναγκαίαν μὲν εἶναι πληροφορηθεὶς τὴν παρὰ πάσης ὁμοῦ τῆς τοῦ Θεοῦ Ἐκκλησίας, κατὰ τὸ θέλημα τοῦ Χριστοῦ, ἐν Πνεύματι ἁγίῳ συμφωνίαν, ἐπικίνδυνον δὲ καὶ ὀλεθρίαν ἐν τῇ πρὸς ἀλλήλους διαστάσει τὴν πρὸς Θεὸν ἀπείθειαν (*Ὁ γὰρ ἀπειθῶν*, φησὶ, *τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν*), ἐκεῖνο ἀκόλουθον ἡγησάμην ἐξετάσαι λοιπόν· ποῖα μὲν ἄρα συγγνώμην τῶν ἁμαρτημάτων ἔχειν δύναται παρὰ τῷ Θεῷ, πόσα δέ τις καὶ πηλίκα ἁμαρτήσας, ὑπεύθυνος γίνεται τῷ κρίματι τῆς ἀπειθείας. Εὑρίσκω τοίνυν, ἀναλαβὼν (64) τὰς θείας Γραφὰς, ἐν τῇ Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ, οὔτε ἐν τῷ πλήθει τῶν ἁμαρτανομένων, οὔτε ἐν τῷ μεγέθει τῶν ἁμαρτημάτων, ἐν μόνῃ δὲ τῇ παραβάσει οὑτινοσοῦν προστάγματος, σαφῶς κρινομένην τὴν πρὸς Θεὸν ἀπείθειαν, καὶ κοινὸν κατὰ πάσης παρακοῆς τοῦ Θεοῦ τὸ κρῖμα· ἐν μὲν τῇ Παλαιᾷ τὸ φοβερὸν ἐκεῖνο τοῦ Ἄχαρ (65) ἀναγινώσκων τέλος, ἢ τὴν κατὰ τὸν ἐν Σαββάτῳ ξύλα συλλέξαντα ἱστορίαν, ὧν ἑκάτερος οὐδὲν οὐδεπώποτε ἄλλως οὐκ εἰς Θεὸν ἡμαρτηκὼς, οὐκ ἄνθρωπον ἠδικηκὼς, οὐ μέγα, οὐ μικρὸν ὅλως εὑρίσκεται. Ἀλλ' ὁ μὲν, ἐπὶ μόνῃ καὶ πρώτῃ τῶν ξύλων συλλογῇ ἀπαραίτητον δίδωσι τὴν δίκην, οὐδὲ μετανοίας τόπον εὑρών· προστάγματι γὰρ τοῦ Θεοῦ παρὰ παντὸς τοῦ λαοῦ παραχρῆμα λιθοβολεῖται· ὁ δὲ, ὅτι μόνον ὑφείλετό τι τῶν ἀναθεμάτων οὔπω εἰσενεχθέντων (66) εἰς τὴν συναγωγὴν, οὐδὲ προσδεχθέντων ὑπὸ τῶν ἐπιτεταγμένων τὰ τοιαῦτα, αἴτιος ἀπωλείας οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ γαμετῇ καὶ τέκνοις, πρὸς δὲ καὶ αὐτῇ τῇ σκηνῇ σὺν πᾶσι τοῖς ἰδίοις ἐγένετο. Ἔμελλε δὲ ἤδη καὶ πάντα τὸν λαὸν πυρὸς τρόπον ἐπινέμεσθαι τῆς ἁμαρτίας τὸ κακὸν, καὶ ταῦτα οὔτε εἰδότα τὸ γεγονὸς, οὐδὲ συνεγνωκότα τῷ ἁμαρτήσαντι, εἰ μὴ ταχέως ἐκ τῆς πτώσεως τῶν ἀναιρεθέντων ἀνδρῶν συνετρίβη μὲν ὁ λαὸς αἰσθόμενος τῆς ὀργῆς τοῦ Θεοῦ· ἔπεσε δὲ ἅμα τοῖς πρεσβυτέροις καταπασσάμενος χοῦν Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ οὕτω διὰ κλήρου φωραθεὶς ὁ ἔνοχος τὴν εἰρημένην ἔδωκε δίκην.

5. Ἀλλ' ἴσως ἐρεῖ τις ὑποπτεύεσθαι μὲν τούτους εἰκότως καὶ ἐπ' ἄλλοις ἁμαρτήμασιν, ἀφ' ὧν καὶ ἐν τούτοις ἑάλωσαν· μόνων δὲ τούτων, ὡς χαλεπωτέρων καὶ θανάτου ἀξίων, ἐπιμνησθῆναι τὴν ἁγίαν Γραφήν. Ἀλλ' εἰ καὶ λίαν εἴη ὁ τοιοῦτος τολμηρὸς προστιθέναι τι καὶ ὑφαιρεῖν, μὴ καὶ Μαρίας ἄρα τῆς ἀδελφῆς Μωϋσέως κατηγορήσει (67) πλῆθος ἁμαρτημάτων, ἧς τὴν ἀρετὴν οὐδένα τῶν πιστῶν οἶμαι διαλανθάνειν; Αὕτη κατὰ Μωϋσέως ἐπειδὴ

A *sint* [41]. Cum ita demum ex his, et ex **217** pluribus, quæ silentio prætermisi, mihi clare et evidenter persuasissem concordiam in tota simul Ecclesia Dei necessariam esse, juxta Christi voluntatem, in sancto Spiritu, contraque, contumaciam quæ in Deum est, maxime si mutuo dissidio conjungatur, periculosam esse et perniciosam (*Qui enim*, inquit, *contumax est in Filium, non videbit vitam, sed ira Dei manebit super ipsum* [42]), illud consequens esse duxi, ut tandem expenderem quænam peccata veniam apud Deum obtinere possint, et ob quæ et ob qualia delicta fiat quis contumaciæ judicio obnoxius. Relectis igitur Scripturis divinis, reperio in Veteri ac Novo Testamento, neque in multitudine neque in magnitudine peccatorum,
B sed in una tantummodo cujuscunque tandem præcepti violatione, contumaciam adversus Deum clare judicari, communemque sententiam a Deo ferri in omnem inobedientiam. Atque in Veteri quidem lego horrendum illum ipsius Achar exitum [43], aut ejus qui Sabbato ligna collegerat historiam [44]: quorum neuter unquam alias deprehenditur in Deum peccasse, aut homini ulli ulla in re sive magna sive parva injuriam fecisse. Sed tamen alter quidem ob solam ac primam lignorum collectionem inevitabiles pœnas luit, ne pœnitentiæ quidem invento loco, quandoquidem Dei jussu confestim a cuncto populo lapidibus obruitur: alter vero, quod solum sustulisset aliquid ex donariis et
C muneribus, iisque nondum in synagogam exportatis, necdum ab iis qui ad talia recipienda destinabantur, assumptis, non sibi modo, sed uxori etiam et liberis exitii atque perniciei auctor fuit, prætereaque et ipsi tabernaculo una cum suis omnibus. Jamque peccati vindicta ignis in modum populum omnem populatura erat, idque cum neque rem nosset, neque peccanti conscius esset, nisi statim populus, qui divinam iram senserat, fuisset contritus ob interfectorum virorum cladem, et nisi Jesus Nave filius pulvere conspersus procidisset una cum senioribus, sicque reus per sortem deprehensus, eas quas dixi pœnas dedisset.

5. At fortasse dicet quispiam, de his quidem
D existimari merito posse, ipsos aliis etiam sceleribus fuisse obstrictos, ob quæ et in illis deprehensi sint: sed tamen sacram Scripturam de his solis tanquam gravioribus morteque dignis mentionem fecisse. Sed præterquam quod valde audax est et temerarius quisquis sacris Scripturis adjicit aliquid aut demit, nunquid, quæso, et Mariam Moysis sororem, cujus virtutem nemini fidelium incognitam esse

[41] Joan. XVII, 20. [42] Joan. III, 36. [43] Jos. VII, 19-24. [44] Num. XV, 32 sqq.

(63) Sic mss. et editi. At textus sacer πιστευσόντων, *qui credituri sunt*. Nec ita multo infra Reg. tertius et editio Ven. in margine καὶ ὀλέθριον.

(64) Antiqui duo libri τοίνυν ἀναλαμβάνων. Hoc videtur dicere Basilius: Necesse non esse peccata aut multa aut magna patrari, ut quis dicatur inobsequens: sed satis esse, si vel unum præceptum violetur.

(65) Editio Paris. ἐκεῖνο τὸ Ἄχαρ. Libri veteres ἐκεῖνο τοῦ.

(66) Reg. primus et tertius οὔπω οὐδέ εἰσιν.

(67) Reg. primus Μωσέως κατηγορήσῃ.

arbitror, de multitudine peccatorum accusabit? Hæc cum solum aliquid contra Moysem improbando dixisset, idque ipsum vere (*Uxorem* enim, inquit, *Æthiopissam sibi adjunxit* [45]), tantam experta est Dei indignationem, ut ne ipso quidem Moyse precante peccati pœna sibi remitteretur. Cum video ipsum Moysen, **218** Dei famulum, magnum illum virum, tot ac tantis honoribus a Deo insignitum, et sæpe ipsius testimonio ita comprobatum, ut audierit : *Novi te præ omnibus, et invenisti gratiam coram me* [46] : cum igitur hunc video in contradictionis aqua ob nullam aliam rem, nisi quod tantummodo populo ob aquæ penuriam murmuranti dixerat : *Num ex hac petra educemus vobis aquam* [47] ? hac sola de causa eam comminationem statim sibi ascivisse, fore ut non ingrederetur in terram promissionis, quæ omnium, quæ Judæis promissa fuerant, tunc summa erat : cum video hunc rogantem, et veniam non obtinentem : cum video pauca illa verba in causa fuisse, cur tot ac tanta recte facta veniam non meruerint, ut plane, juxta Apostolum, severitatem Dei [48] cerno, ita persuadeo mihi plane verum esse illud : *Si justus vix salvus efficitur, impius et peccator ubi parebit* [49] ? Et quid hæc commemoro? Cum horrendam illam Dei sententiam audio, quæ in eum etiam qui ex ignorantia præceptum unum violat, pronuntiata est, non habeo quomodo pro merito illius magnitudinem extimescam. Scriptum est enim : *Et anima si peccaverit et fecerit unum ex omnibus præceptis Domini, quæ non oportet fieri, et non agnoverit, et deliquerit, et acceperit peccatum, afferet arietem immaculatum de ovibus pretio argenti ob delictum ad sacerdotem. Et exorabit pro eo sacerdos propter ejus ignorantiam, quam ignoravit, et ipse non scivit, et remittetur illi. Deliquit enim delictum coram Domino* [50]. Quod si adversus delicta quæ ex ignorantia committuntur, judicium profertur tam severum, ad eaque expianda necessarium est sacrificium, quod et justus Job pro filiis obtulisse se testatur [51], ecquid dixerit quis de iis qui scientes delinquunt, aut de his qui, dum illi peccant, silentium agunt? Et ne indignationem, quæ contra istiusmodi homines commovetur, ex solis conjecturis verisimilibus colligere videamur, rursus divinæ Scripturæ necesse est meminisse, cum vel unius historiæ narratione talium judicium ob oculos ponere possit. *Et filii*, inquit, *Heli sacerdotis, filii pestilentes* [52]. Cum autem tales essent, propterea quod pater in hos vehementius non inveheretur, tanta ira Dei lenitatem incendit, ut, alienigenis irruptionem facientibus, illi ipsi ejus filii una die

A εἰπέ τι μόνον ἐν καταγνώσεως μέρει, καὶ τοῦτο ἀληθὲς (*Γυναῖκα* γάρ, φησίν, *Αἰθιόπισσαν ἔλαβεν ἑαυτῷ*), τοσαύτης ἐπειράθη τῆς ἀγανακτήσεως τοῦ Θεοῦ, ὡς μηδὲ αὐτοῦ Μωϋσέως ἱκετεύοντος συγχωρηθῆναι αὐτῇ τῆς ἁμαρτίας τὸ ἐπιτίμιον. Αὐτὸν τοίνυν (68) ὅταν ἴδω Μωϋσέα, τὸν τοῦ Θεοῦ θεράποντα, τὸν μέγαν ἐκεῖνον, τὸν τοσαύτης μὲν καὶ τηλικαύτης ἀξιωθέντα τιμῆς παρὰ Θεοῦ, οὕτω δὲ πολλάκις ὑπ' αὐτοῦ μαρτυρηθέντα, ὡς ἀκοῦσαι· *Οἶδά σε παρὰ πάντας, καὶ εὕρηκας χάριν ἐνώπιόν μου*· τοῦτον ὅταν ἴδω ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας οὐδενὸς ἕνεκεν ἑτέρου, ἢ ἵνα μόνον εἴπῃ τῷ λαῷ γογγύζοντι διὰ ἀπορίαν ὕδατος, *Μὴ ἐκ ταύτης τῆς πέτρας ἐξάξομεν* (69) *ὑμῖν ὕδωρ*; τούτου μόνου ἕνεκεν εὐθὺς ἀπειλὴν δεχόμενον, εἰς τὴν γῆν τῆς ἐπ- B αγγελίας οὐκ εἰσελεύσεσθαι, ἥτις ἦν τότε τῶν πρὸς Ἰουδαίους ἐπαγγελιῶν τὸ κεφάλαιον· ὅταν ἴδω τοῦτον παρακαλοῦντα, καὶ μὴ συγχωρούμενον· ὅταν ἴδω μηδεμιᾶς συγγνώμης διὰ τὰ τοσαῦτα κατορθώματα ἐπὶ τῷ βραχεῖ ἐκείνῳ ῥήματι καταξιούμενον, ὄντως μὲν ὁρῶ Θεοῦ ἀποτομίαν, κατὰ τὸν Ἀπόστολον, ὄντως δὲ ἐκεῖνο ἀληθὲς εἶναι πείθομαι τό· *Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται*; Καὶ τί ταῦτα λέγω, Ἐκείνης ὅταν ἀκούσω τῆς φοβερᾶς τοῦ Θεοῦ ἀποφάσεως, ἣν καὶ κατὰ (70) τοῦ μίαν ἐντολὴν ἐπ' ἀγνοίᾳ παραβεβηκότος ἀποφαίνεται, οὐκ ἔχω πῶς ἐπαξίως φοβηθῶ τῆς ὀργῆς τὸ μέγεθος. Γέγραπται γάρ· *Καὶ ψυχὴ ἐὰν ἁμάρτῃ, καὶ ποιήσῃ μίαν ἀπὸ πα-* C *σῶν τῶν ἐντολῶν Κυρίου, ὧν οὐ δεῖ ποιεῖν, καὶ οὐκ ἔγνω, καὶ πλημμελήσῃ, καὶ λάβῃ τὴν ἁμαρτίαν, οἴσει* (71) *κριὸν ἄμωμον ἐκ τῶν προβάτων, τιμῆς ἀργυρίου, εἰς πλημμέλειαν πρὸς τὸν ἱερέα. Καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεύς, περὶ τῆς ἀγνοίας αὐτοῦ, ἧς ἠγνόησε, καὶ αὐτὸς οὐκ ᾔδει, καὶ ἀφεθήσεται αὐτῷ. Ἐπλημμέλησε γὰρ πλημμέλειαν ἔναντι Κυρίου.* Εἰ δὲ ἐπὶ τῶν κατὰ ἄγνοιαν οὕτως ἀπαραίτητον τὸ κρῖμα, καὶ ὑπὲρ τῆς καθάρσεως ἡ θυσία ἀναγκαία, ἣν καὶ ὁ δίκαιος Ἰὼβ μαρτυρεῖται προσφέρειν ὑπὲρ τῶν υἱῶν, τί ἄν τις εἴποι περὶ τῶν ἐν γνώσει ἁμαρτανόντων, ἢ τῶν τούτοις ἐφησυχαζόντων; Καὶ ἵνα μὴ δόξωμεν στοχασμοῖς αὐτὸ μόνον εἰκόσιν ἀναλογίζεσθαι τὴν κατὰ τούτων ἀγανάκτησιν, αὐτῆς πάλιν ἀναγκαῖον μνημονεῦσαι D τῆς θεοπνεύστου Γραφῆς, ἀρκούσης ἐπὶ τοῦ παρόντος καὶ διὰ μιᾶς ἱστορίας παραστῆσαι τὸ κρῖμα τῶν τοιούτων. *Καὶ υἱοί*, φησίν, *Ἠλεὶ τοῦ ἱερέως, υἱοὶ λοιμοί*. Τούτοις δὲ τοιούτοις οὖσιν, ὅτι μὴ ἐπεξῆλθε σφοδρότερον ὁ πατήρ, τοιαύτην ἐκίνησεν ὀργὴν τῇ μακροθυμίᾳ τοῦ Θεοῦ, ὥστε, ἐπαναστάντων τῶν ἀλλοφύλων, τοὺς μὲν υἱοὺς αὐτοῦ ἐκείνοις ἀναιρεθῆναι κατὰ τὸν πόλεμον ἐν ἡμέρᾳ μιᾷ, ἡττηθῆναι δὲ

[45] Num. XII, 1. [46] Exod. XXXIII, 12. [47] Num. XX, 10. [48] Rom. XI, 22. [49] I Petr. IV, 18. [50] Levit. V, 17-19. [51] Job I, 5. [52] I Reg. II, 12.

(68) Idem codex ἐπιτίμιον. Αὐτὸν δὲ τοῦτον· sed vocula δέ manu recentiori adjecta est. Reg. tertius αὐτὸν τοῦτον.

(69) Reg. primus πέτρας ἐξάξω, *educam*.

(70) Uterque Combef. ἣν κατά.

(71) Reg. tertius καὶ οἴσει, et ita quoque legitur apud LXX. Reg. primus καὶ οἴσῃ. Nec ita multo post Regii primus et tertius γὰρ πλημμελήσει ἔναντι. Editio Paris. et Reg. secundus πλημμέλειαν. Apud LXX πλημμελείᾳ.

συμπαντα τὸν λαὸν, καὶ τούτων πεσεῖν ἱκανοὺς, γενέσθαι δὲ καὶ περὶ τὴν κιβωτὸν τῆς ἁγίας τοῦ Θεοῦ διαθήκης, ἃ μήτε ἠκούσθη ποτὲ πρότερον, ὥστε, ἧς οὔτε Ἰσραηλίταις, οὔτε μὴν αὐτοῖς ἱερεῦσιν ἅπασιν, οὐδὲ πάντοτε ἅπτεσθαι θεμιτὸν ἦν, οὐδὲ τόπος (72) αὐτὴν ὁ τυχὼν ὑπεδέχετο, ταύτην ὑπὸ χειρῶν ἀσεβῶν ἄλλοτε ἀλλαχόθεν μετακομίζεσθαι, καὶ ἀντὶ τῶν ἁγίων, εἰδώλων ναοῖς ἐναποτίθεσθαι. Ἐφ' οἷς πόσον τινὰ συνέβαινεν εἶναι, καὶ κατ' αὐτοῦ τοῦ ὀνόματος τοῦ Θεοῦ, γέλωτα καὶ χλεύην παρὰ τοῖς ἀλλοφύλοις, στοχάζεσθαι πάρεστιν. Ἐπὶ τούτοις καὶ αὐτὸς ὁ Ἠλεὶ τέλει χρησάμενος οἰκτροτάτῳ ἀναγέγραπται· δεξάμενος ἀπειλὴν τοῦ καὶ τὸ σπέρμα αὐτοῦ ἀποκινηθήσεσθαι τοῦ ἱερατικοῦ ἀξιώματος· ὅπερ καὶ γέγονε.

6. Τοσαῦτα συμβέβηκε τῷ λαῷ. Τοιαῦτα πέπονθεν ὁ πατὴρ διὰ τὴν τῶν υἱῶν παρανομίαν, ὃς καίπερ τοῦ μὲν ἰδίου βίου ἕνεκεν (73) οὐδὲν ᾐτιάθη ποτέ· καὶ αὐτοῖς δὲ ἐκείνοις οὐχ ὑπέμεινεν ἐφησυχάσαι, ἀλλὰ πολλὰ μὲν παρῄνει περὶ τοῦ μηκέτι τοῖς ὁμοίοις ἐπιμένειν· *Μή, τέκνα*, λέγων, *μή· οὐκ ἀγαθαὶ αἱ ἀκοαί, ἃς ἐγὼ ἀκούω περὶ ὑμῶν*· σφοδρότερον δὲ κατασκευάζων τῆς ἁμαρτίας τὸ μέγεθος, φοβερώτερον αὐτοῖς παρίστη (74) τὸν κίνδυνον· *Ἐὰν γὰρ ἁμαρτάνων ἁμάρτῃ ἄνθρωπος*, φησίν, *εἰς ἄνθρωπον, προσεύξονται* (75) *περὶ αὐτοῦ πρὸς Κύριον. Ἐὰν δὲ εἰς Θεὸν ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ;* Ὅμως, ἐπειδήπερ, ὡς εἶπον, οὐχὶ τὸν πρέποντα ζῆλον κατ' αὐτῶν ἐπεδείξατο, γέγονε τὰ εἰρημένα. Τοιαῦτα μὲν οὖν πλεῖστα ὅσα κατὰ τὴν Παλαιὰν Διαθήκην εὑρίσκω τὰ κατὰ πάσης παρακοῆς κρίματα· αὖθις δὲ ὅταν ἐπὶ τὴν Καινὴν ἔλθω, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὐκ ἀπολύσαντος μὲν τῆς τιμωρίας οὔτε τὰ κατὰ ἄγνοιαν, σφοδρότερον δὲ κατὰ τῶν ἐν γνώσει τὴν ἀπειλὴν ἐπιτείναντος, δι' ὧν φησιν· *Ἐκεῖνος δὲ ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ* (76), *καὶ μὴ ἑτοιμάσας ἑαυτόν, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας*· ὅταν εὕρω αὐτοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τὰς τοιαύτας ἀποφάσεις, καὶ τῶν ἁγίων ἀποστόλων τὴν κατὰ τῶν ἁμαρτανόντων ἀγανάκτησιν· τὰ τοιαῦτα καὶ τηλικαῦτα πάθη, τῶν καὶ ἓν ὁτιοῦν ἡμαρτηκότων, οὐχ ἧττονα τῶν ἐκ τῆς Παλαιᾶς εἰρημένων, μᾶλλον δὲ καὶ πλείονα, καταμανθάνω τοῦ κρίματος τὴν σφοδρότητα. Ἐπεὶ καὶ *Ὧ παρέθεντο πολύ, περισσότερον ἀπαιτήσουσιν αὐτόν*. Ἰδοὺ τοίνυν καὶ ὁ μακάριος Παῦλος ὑποδεικνὺς ὁμοῦ τῆς τε κλήσεως τὸ ἀξίωμα καὶ τὴν

A in bello interficerentur, superareturque universus populus, non paucis ex eo cadentibus, imo etiam, circa arcam sancti fœderis Dei fierent, quæ ne audita quidem unquam antea fuerant : sic ut arca quam neque Israelitis, neque ipsis sacerdotibus omnibus, neque quovis tempore contingere licebat, quæque non in quovis loco asservabatur, alio aliunde exportata sit ab impiis manibus, et sedis sanctæ loco in simulacrorum delubris collocata fuerit. Ex quibus conjectare fas est, quanto risui ludibrioque ipsum etiam Dei nomen alienigenæ illi habuerint. Adhæc litteris proditum est et ipsum Heli miserrimo exitu vitam finisse, postquam hanc comminationem audivisset, fore ut semen ipsius e sacerdotali dignitate submoveretur : quod
B et contigit.

6. Tot et tanta acciderunt populo. Talia pertulit **219** pater ob filiorum iniquitatem, qui tamen ob suos ipsius mores nullo unquam crimine accusatus est. Imo etiam neque illorum flagitia tacitus sustinuit : sed multum admonuerat, ut ne amplius in ejusmodi peccatis perseverarent. Aiebat enim : *Absit, filii : non sunt boni rumores quos audio de vobis* [83]. Atque etiam magnitudinem sceleris exaggerans, periculum formidabilius ipsis ob oculos ponebat. *Si enim*, inquit, *peccans peccaverit homo in hominem, orabunt pro eo ad Dominum. Si vero in Deum peccaverit, quis orabit pro ipso* [84]? Quoniam tamen, ut dixi, id, quod par erat, animi studium in ipsos non ostendit, evenerunt quæ memoravi-
C mus. Ejus quidem generis judicia plurima in Veteri Testamento adversus omnem inobedientiam reperio; cum vero rursus ad Novum devenio, in quo Dominus noster Jesus Christus ne delicta quidem per ignorantiam admissa a pœna exsolvit, sed ita tamen, ut adversus ea quæ scienter patrata sunt, minas majores intendat, his verbis : *Ille autem servus, qui cognovit voluntatem domini sui, et non præparavit seipsum, neque fecit secundum voluntatem ejus, vapulabit multis : qui autem non cognovit, et fecit digna plagis, vapulabit paucis* [85]. Quoties igitur ejusmodi sententias ipsius unigeniti Dei Filii considero, et sanctorum apostolorum adversus peccantes indignationem contemplor; cumque eorum qui vel unum quodvis pecca-
D tum commisere, calamitates considero, easque tales ac tantas, et quæ minores non sunt quam illæ quas ex Veteri retuli, imo potius majores, tum judicii severitatem intelligo. Nam *cui commendarant multum, plus petent ab eo* [86]. Ecce igitur

[83] I Reg. II, 24. [84] ibid. 25. [85] Luc. XII, 47, 48. [86] ibid. 48.

(72) Editio Paris. οὐδὲ ὁ τόπος. Antiqui tres libri οὐδὲ τόπος. Haud longe editio Paris. ὑπεδέχετο, καὶ ἐγένετο ταύτην. Editio Ven. et nostri tres mss. ὑπεδέχετο ταύτην, recte. Illud enim, καὶ ἐγένετο, prorsus πλεονάζειν nemo non videt. Statim Reg. primus ναοῖς ἀποτίθεσθαι.

(73) Utraque editio et Reg. secundus ὃς καὶ ὑπὲρ μὲν τοῦ ἰδίου βίου ἕνεκεν· in quibus quin vitium insit dubitari non potest. Constat enim aut ὑπέρ aut ἕνεκεν redundare. Unus codex ut in contextu.

(74) Utraque editio et Reg. secundus παρίστη. Reg. primus παρίστησι. Reg. tertius παρέστησε.

(75) Regii primus et tertius καὶ προσεύξονται. Statim Regii primus et secundus καὶ τίς.

(76) Antiqui duo libri κυρίου αὐτοῦ.

et jam beatus Paulus et vocationis dignitatem et suam in omne peccatum indignationem ostendens simul, qualia dicit : *Nam arma militiæ nostræ non carnalia sunt, sed potentia Deo ad destructionem munitionum, consilia destruentes, et omnem altitudinem extollentem se adversus scientiam Dei, et in captivitatem redigentes omnem intellectum in obsequium Christi :* non autem id solum, sed *et in promptu habentes ulcisci omnem inobedientiam* [57]. Ubi si quis singula quæ dicta fuere, expendat diligentius, mentem divinæ Scripturæ accuratius nosse poterit, eam videlicet nequaquam permisisse, ut cujusque nostrum anima falsarum quarumdam opinionum erroribus huc illuc errans in peccati lubricum laberetur, quod aliqua quidem peccata puniri, aliqua vero impunita relinqui existimaret. Sed quid dicit? *Consilia destruentes, et omnem altitudinem extollentem se adversus scientiam Dei*, quasi omne peccatum ob divini præcepti contemptum altitudo appelletur extollens se adversus scientiam Dei : quod et in Numerorum libro clarius declaratur. Cum enim, peccatis quæ voluntaria non sunt enumeratis, sacrificiisque ad hæc expianda constitutis, jam et **220** de voluntariis idoneas leges populo sancire Deus vellet, sic incipit : *Et anima quæ faciet in manu superbiæ* [58] (audaciam eorum qui voluntarie peccant, manum vocans superbiæ : quod Apostolus [59] *altitudinem* appellat *extollentem se adversus scientiam Dei*), *anima igitur*, inquit, *quæ faciet in manu superbiæ : sive indigena, sive advena fuerit ille, hic Deum exasperabit, et exterminabitur anima illa e medio populi sui. Quoniam verbum Domini contempsit, et mandata ipsius dissipavit : extritione exteretur anima illa : peccatum ipsius in ipsa* [60].

7. Hic illud observandum, quod, nisi extritione extrita fuerit anima illa, peccatum ejus non in ea solum manet, sed ad eos etiam qui bonam æmulationem non ostenderunt, permanat : sicut scriptum est multis locis, sæpeque factitatum. Et ut ex minoribus metuere in majoribus discamus, quali indignatione in Deuteronomio moveatur adversus eos qui sacerdotis vel judicis dicto audientes non fuerint, consideremus. Ait igitur : *Et homo, qui fecerit in superbia, ita ut non obediat sacerdoti assistenti ad ministrandum in nomine Domini Dei tui, vel judici, quicunque fuerit in diebus illis, et morietur homo ille, et auferes malum ex Israel. Et omnis populus qui audierit, timebit, et impie non agent ultra* [61]. Ad quæ respicere par est, quo quis,

A κατὰ παντὸς ἁμαρτήματος ἀγανάκτησιν, οἷά φησι· *Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ·* οὐ μόνον δὲ, ἀλλὰ *Καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν.* Ἔνθα καὶ ἐξετάσαντα τῶν εἰρημένων ἕκαστον (77) ἐπιμελέστερον, ἔνεστι γνῶναι τὸ βούλημα τῆς θείας Γραφῆς ἀκριβέστερον, ὡς οὐκ ἀφῆκεν ἡμᾶς ἠπατημέναις τισὶ δόξαις πλάζεσθαι τὴν ἑκάστου ψυχὴν εἰς ἁμαρτίας ὄλισθον, οἰομένην τινὰ μὲν τῶν ἁμαρτημάτων ἐκδικεῖσθαι, τινὰ δὲ ἀφίεσθαι ἀνεκδίκητα. Ἀλλὰ τί φησι; *Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ* B *τῆς γνώσεως τοῦ Θεοῦ*, ὡς πᾶν ἁμάρτημα, διὰ τὴν ἐπὶ τῷ θείῳ προστάγματι καταφρόνησιν, ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ λέγεσθαι, ὅπερ καὶ ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν δηλοῦται τρανότερον. Ἐπειδὴ γὰρ, τὰ ἀκούσια τῶν ἁμαρτημάτων ἀπαριθμησάμενος, καὶ τὰς ἐπ' αὐτοῖς θυσίας διαταξάμενος ὁ Θεὸς, ἔμελλεν ἤδη καὶ περὶ τῶν ἑκουσίων νομοθετεῖν τῷ λαῷ τὰ προσήκοντα, οὕτως ἄρχεται· *Καὶ ψυχὴ ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανίας* (78) (χεῖρα ὑπερηφανίας καλῶν τὴν τόλμαν τῶν ἑκουσίως ἁμαρτανόντων, ὅπερ ὁ Ἀπόστολος *ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ* ὀνομάζει [79]), *ψυχὴ οὖν*, φησὶν, *ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανίας, ἢ ἀπὸ τῶν αὐτοχθόνων, ἢ ἀπὸ τῶν* C *προσηλύτων, τὸν Θεὸν οὗτος παροξυνεῖ, καὶ ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ μέσου τοῦ λαοῦ αὐτῆς. Ὅτι τὸ ῥῆμα Κυρίου ἐφαύλισε, καὶ τὰς ἐντολὰς αὐτοῦ διεσκέδασεν· ἐκτρίψει ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη· ἡ ἁμαρτία αὐτῆς ἐν αὐτῇ.*

7. Παρατηρητέον ἐνταῦθα ἐκεῖνο, ὅτι, ἐὰν μὴ ἐκτρίψει ἐκτριβῇ ἡ ψυχὴ ἐκείνη, ἡ ἁμαρτία αὐτῆς οὐκ ἐν αὐτῇ μόνον, ἀλλὰ καὶ ἐπὶ τοὺς μὴ ἐπιδειξαμένους τὸν ἀγαθὸν ζῆλον, καθὼς πολλαχοῦ γέγραπται, καὶ πολλάκις γέγονε. Καὶ ἵνα ἐκ τῶν ἡττόνων παιδευθῶμεν τὸν ἐπὶ τοῖς μείζοσι φόβον, τὴν κατὰ ἱερέως ἢ κριτοῦ παρακουόντων ἀγανάκτησιν οἵαν ποιεῖται ἐν τῷ Δευτερονομίῳ καταμάθωμεν. Λέγει οὖν· *Καὶ ἄνθρωπος, ὃς ἐὰν ποιήσῃ ἐν ὑπερηφα-* D *νίᾳ* (80) *τοῦ μὴ ὑπακοῦσαι τοῦ ἱερέως τοῦ παρεστηκότος λειτουργεῖν ἐπὶ τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ σου, ἢ τοῦ κριτοῦ, ὃς ἐὰν ᾖ ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀποθανεῖται ὁ ἄνθρωπος ἐκεῖνος, καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ. Καὶ πᾶς ὁ λαὸς ἀκούσας φοβηθήσεται, καὶ οὐκ ἀσεβήσου-*

[57] II Cor. x, 4-6. [58] Num. xv, 30. [59] II Cor. x, 5. [60] ibid. 30, 31. [61] Deut. xvii, 12, 13.

(77) Reg. tertius et editio Ven. in margine τῶν ῥημάτων ἕκαστον.

(78) Editi et Regii duo mss. in utroque loco χειρὶ ὑπερηφανίαν, *in manu superbiam*. Reg. tertius ἐν χειρὶ ὑπερηφανίας, *in manu superbiæ*; et ita videtur legisse Basilius. Mox Reg. tertius et editi Ven. in margine ἑκουσίως παραβαινόντων, *voluntarie transgredientium*

(79) Regii primus et secundus Θεοῦ λέγει. Haud longe editi ἢ ἀπό. Vocula ἢ in nostris mss. non invenitur. Subinde unus codex παροξύνει, *exasperat*.

(80) Antiqui duo libri et editi ἐν χειρὶ ὑπερηφανίαν, *in manu superbiam*. Reg. tertius ποιήσῃ ἐν ὑπερηφανίᾳ, *fecerit in superbia*; nec aliter legitur apud LXX.

A σιν ἔτι. Πρὸς δὲ πῶς ἄν τις ἀξιολόγως κινούμενος φρικωδέστερον καταπλαγείη, συνορᾷν ἀκόλουθον. Εἶτά φησι· *Καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· Πᾶν νόημα*, οὐχὶ τοῦτο, ἢ ἐκεῖνο. *Καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι·* καὶ ἐνταῦθα πάλιν, οὐχὶ τήνδε, ἤ τινὰ, ἀλλὰ *Πᾶσαν παρακοήν*. Ἆρά γε ἠπάτησεν ἡμᾶς ἡ κακίστη συνήθεια· ἆρα κακῶν αἰτία ἡμῖν μεγάλων γέγονεν ἡ διεστραμμένη τῶν ἀνθρώπων παράδοσις, τὰ μὲν παραιτουμένη δῆθεν τῶν ἁμαρτημάτων, τὰ δὲ ἀδιαφόρως αἱρουμένη· καὶ κατὰ μέν τινων σφοδρῶς ἀγανακτεῖν προσποιουμένη, οἷον φόνου, καὶ μοιχείας, καὶ τῶν τοιούτων· τὰ δὲ οὐδὲ ψιλῆς γοῦν ἐπιτιμήσεως ἄξια κρίνουσα (81), οἷον ὀργὴν, ἢ λοιδορίαν, ἢ μέθην, ἢ πλεονεξίαν, καὶ ὅσα τοιαῦτα, καθ' ὧν ἁπάντων καὶ
B ἀλλαχοῦ ἔδωκε τὴν αὐτὴν ἀπόφασιν ὁ ἐν Χριστῷ λαλῶν Παῦλος, εἰπὼν ὅτι· *Οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν*. Ὅπου δὲ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ καθαιρεῖται, καὶ πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ αἰχμαλωτίζεται, καὶ πᾶσα παρακοὴ ἐπίσης ἐκδικεῖται (82), ἐκεῖ οὐδὲν ἀκαθαίρετον, οὐδὲν ἀνεκδίκητον ἀφίεται, οὐδὲν τῆς τοῦ Χριστοῦ ὑπακοῆς ἐκτὸς ἀπολείπεται. Κοινὸν γὰρ καὶ μέγιστον ἀσέβημα κατὰ πάσης παρακοῆς ἔδειξεν ὁ ἀπόστολος Παῦλος, ἐκεῖνο εἰπών· *Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις*. Ἀλλ' ἄρα μὴ ταῦτα λόγοι μόνον, καὶ οὐ πράγματα; Ἰδοὺ τοίνυν· ἐν Κορίνθῳ ὁ τὴν γυναῖκα τοῦ πατρὸς ἔχων, οὐδὲν ἕτερον ἐγκλη-
C θεὶς εἰ μὴ τοῦτο μόνον, οὐ μόνον αὐτὸς παραδίδοται τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἄχρις ἂν τοῖς ἀξίοις τῆς μετανοίας καρποῖς διορθώσηται τὸ πλημμέλημα, πᾶσαν δὲ ὁμοῦ τὴν Ἐκκλησίαν (83), ἐπεὶ μὴ ἐπεξῆλθε τῷ ἁμαρτήματι, ἐκείνοις περιβάλλει τοῖς ἐγκλήμασιν· *Τί θέλετε; Ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς;* καὶ μετ' ὀλίγα· *Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο πράξας*. Τί δὲ ἄρα Ἀνανίας, ὁ ἐν ταῖς Πράξεσι; Τί ἄλλο κακὸν πεποιηκὼς εὑρίσκεται ἢ ἐκεῖνο αὐτό; Ποῦ τοίνυν τοσαύτης (84) ὀργῆς ἄξιον φαίνεται; Ἴδιον κτῆμα πωλήσας, ἤνεγκε τὰ χρήματα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων· νοσφισάμενος ἀπὸ τῆς τιμῆς, ἐπὶ τούτῳ παρ' αὐτὴν τὴν ὥραν (85) ἅμα τῇ γυναικὶ θάνατον κατα-
D δικάζεται, οὐδὲ τοὺς περὶ τῆς μετανοίας λόγους ἐπὶ τῷ ἁμαρτήματι μαθεῖν καταξιωθεὶς, οὐ τοῦ κατανυγῆναι γοῦν ἐπὶ τούτῳ καιρὸν εὑρὼν, οὐ τοῦ μετανοῆσαι προθεσμίαν λαβών. Ὁ δὲ τοῦ τοιούτου καὶ τηλικούτου κρίματος ὑπηρέτης, ὁ τῆς τοσαύτης τοῦ

pro rei dignitate commotus, horrore majori corripiatur. Deinde dicit: *Et in captivitatem redigentes omnem intellectum in obsequium Christi* [62]; *Omnem intellectum*, non hunc, aut illum. *Et in promptu habentes ulcisci* [63]; et hic rursus non hanc, aut illam, sed *Omnem inobedientiam* [64]. Profecto decepit nos pessima consuetudo: profecto magnorum malorum nobis causa exstitit perversa hominum traditio, quæ videlicet, vitatis aliquibus peccatis, alia indifferenter admiserit, quæque dum se in aliqua quidem vehementer indignari simulat, velut in homicidium, adulteriumque, et in alia generis ejusdem, aliqua vero ne simplici quidem objurgatione digna judicat, velut iram, aut convicium, aut temulentiam, aut avaritiam, et si qua sunt his similia, adversus quæ omnia etiam alibi Paulus in Christo loquens eamdem sententiam protulit, cum dixit: *Qui talia agunt, digni sunt morte* [65]. Ubi vero omnis altitudo, quæ se adversus Dei scientiam extollit, destruitur, omnisque intellectus captivus ducitur ad obediendum Christo, et omnis inobedientia æqualiter punitur, ibi nihil superest non destructum, nihil remittitur non punitum, nihil a Christi obedientia exclusum relinquitur. Communem enim et maximam impietatem in omnia inobedientia sitam esse apostolus Paulus declaravit, his verbis: *Qui in lege gloriaris, per prævaricationem legis Deum inhonoras* [66]. Sed nunquid verba hæc sunt solum sine re? Ecce igitur qui in Corintho uxorem patris habebat, qui cum, hoc uno excepto, nullius alterius flagitii insimularetur, tamen non solum ipse traditur Satanæ ad carnis interitum, donec dignis pœnitentiæ fructibus emendasset peccatum, sed universam **221** simul Ecclesiam, quod id scelus ulta non esset, consciam ejusdem criminis effecit [67]. *Quid vultis? In virga veniam ad vos* [68]? Et paulo post: *Et vos inflati estis, et non magis luctum habuistis, ut tollatur de medio vestrum qui hoc opus fecit* [69]. Quid vero Ananias ille, cujus mentio est in Actis [70]? Quodnam aliud malum perpetrasse invenitur, præter illud ipsum? Ubi igitur apparet, ipsum ira tanta dignum fuisse? Divenditis suis facultatibus, attulit pecunias, easque ante apostolorum pedes deposuit: sed tamen, quod aliquam pretii partem seposuisset, propterea eadem hora una cum uxore morte plectitur, ne dignus quidem habitus qui de agenda ob admissum peccatum pœnitentia quidquam audiret, non qui saltem obtineret tempus, quo ob scelus compungi

[62] II Cor. x, 5. [63] ibid. 6. [64] ibid. [65] Rom. I, 32. [66] Rom. II, 2. [67] I Cor. v, 1-5. [68] I Cor. IV, 21. [69] I Cor. v, 21. [70] Act. v, 1-11.

(81) Reg. tertius et editio Ven. in margine ἄξια τιθεῖσα, sensu non dissimili.

(82) Quod ait Basilius, inobedientiam omnem ex æquo plecti, non ita intelligendum est, ut idem plane supplicium de omni inobedientia sumatur: sed sic, ut inobedientia omnis, nulla excepta, plectatur; etiamsi alia, peccati habita ratione, aut gravius multetur, aut levius.

(83) Editio Paris. ἀλλὰ καὶ πᾶσα ὁμοῦ ἡ Ἐκκλησία, corrupte. Editio Ven. et nostri tres mss. ita ut edendum curavimus.

(84) Reg. primus ποῦ νῦν τοσαύτης. Reg. secundus ὅπου.

(85) Sic mss. nostri. Editio Paris. καὶ ἐπὶ τούτῳ παρ' αὐτὴν ὥραν.

posset, non qui præfinitum spatium acciperet ad agendam pœnitentiam. Porro talis ac tanti judicii exactor, tantæque Dei in peccantem iræ minister beatus ille Petrus, omnibus discipulis prælatus, cui soli majora data quam aliis sunt testimonia, qui prædicatus est beatus, cui claves regni cœlorum concreditæ sunt, cum audit a Domino : *Si non lavero te, non habes partem mecum* [71], quale cor, quæso, et quantumvis lapideum ad metum timoremque judiciorum Dei non inducet? præsertim cum nullius flagitii, nulliusve contemptus significationem ullam dedisset, imo potius egregio honore Dominum affecisset suum, eumdemque esset reveritus ita, ut servum ac discipulum decebat. Cum enim vidisset suum et universorum Deum ac Dominum, et regem, et herum, et magistrum, et Servatorem, simulque omnia, in ministri habitu linteo cinctum, et pedes ipsius lavare volentem, mox indignitatis suæ quasi conscius, et ob accedentis dignitatem attonitus, exclamavit : *Domine, tu mihi lavas pedes* [72]? Et iterum : *Non lavabis mihi pedes in æternum* [73]. Hac de causa tantæ ei intenduntur minæ, ut, nisi rursus cognita verborum Domini veritate, contradictionem hanc per obedientiam correxisset, non ejus recte facta præterita, non virtutes quibus præditus erat, non Domini testimonia beatum eum ac fortunatum prædicantia, non dona, non promissa, neque ipsa revelatio ejus benevolentiæ talis ac tantæ, quam in unigenitum Filium Deus et Pater habebat, hanc inobedientiam contumaciamque sanare potuisset.

8. Sed si omnia recensere volo quæ in Veteri ac Novo Testamento nanciscor, fortasse narrantem me tempus deficiet. Jam vero cum et ad ipsas Domini nostri Jesu Christi, quæ in Evangelio sunt, voces devenio, et ipsius illius qui judicaturus est vivos et mortuos, verba attendo, quibus major auctoritas tribuitur a fidelibus, quam cuivis historiæ, aut alii cuivis argumento, magnam quidem in eis, ut ita dicam, necessitatem intueor Deo in omnibus obediendi : sed nullam omnino, quod ad præcepta attinet, veniam **222** relinqui reperio non pœnitentibus ad inobedientiam expiandam, nisi si quid aliud contra tam apertas clarasque et absolutas sententias audendum sit, aut vel ipsa etiam cogitatione comminiscendum. *Cœlum*, inquit, *et terra transibunt*,

A Θεοῦ ὀργῆς ἐπὶ τὸν ἡμαρτηκότα διάκονος, ὁ μακάριος Πέτρος, ὁ πάντων μὲν τῶν μαθητῶν προκριθείς, μόνος δὲ πλεῖον τῶν ἄλλων μαρτυρηθεὶς καὶ μακαρισθείς, ὁ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν πιστευθείς, ὅταν ἀκούῃ (86) παρὰ τοῦ Κυρίου, *Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ*, ποίαν ἄρα καὶ τὴν ὁπωσοῦν λιθίνην καρδίαν οὐ δυσωπήσει πρὸς φόβον καὶ τρόμον τῶν τοῦ Θεοῦ κριμάτων; καὶ ταῦτα μὲν οὐδεμιᾶς ἁμαρτίας, οὐδεμιᾶς δὲ καταφρονήσεως ἔμφασιν δούς, τιμῇ δὲ μᾶλλον τῇ περὶ τὸν Δεσπότην ὑπερβαλλούσῃ χρησάμενος, καὶ τὴν προσήκουσαν δούλῳ καὶ μαθητῇ εὐλάβειαν ἐπιδειξάμενος. Ἰδὼν γὰρ τὸν ἑαυτοῦ καὶ πάντων Θεὸν καὶ Κύριον, καὶ βασιλέα, καὶ Δεσπότην, καὶ διδάσκαλον, καὶ Σωτῆρα, καὶ ὁμοῦ τὰ πάντα, ἐν ὑπηρέτου σχήματι διαζωσά-
B μενον λέντιον, καὶ νίπτειν τοὺς πόδας αὐτοῦ βουλόμενον, εὐθύς, ὥσπερ εἰς συναίσθησιν ἐλθὼν τῆς ἰδίας ἀναξιότητος, καὶ τὸ ἀξίωμα τοῦ προσερχομένου καταπλαγείς, ἐξεβόησε (87)· *Κύριε, σύ μου νίπτεις τοὺς πόδας*; καὶ πάλιν· *Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα*. Ἐπὶ τούτῳ τὴν τοσαύτην εἰσδέχεται ἀπειλήν, ὡς εἰ μὴ πάλιν εἰδὼς τὴν ἀλήθειαν τῶν ῥημάτων τοῦ Κυρίου, ἔφθασε τῇ ὑπακοῇ διορθωσάμενος τὴν ἀντιλογίαν, οὐδὲν ἂν αὐτῷ τῶν προλαβόντων, οὐ τῶν ἰδίων κατορθωμάτων, οὐ τῶν παρὰ τοῦ Κυρίου μακαρισμῶν τε καὶ δωρεῶν καὶ ἐπαγγελιῶν, οὐδὲ αὐτὴ ἡ τοῦ Θεοῦ (88) καὶ Πατρὸς τῆς τοιαύτης καὶ τοσαύτης εἰς τὸν μονογενῆ Υἱὸν εὐδοκίας ἀποκάλυψις ἤρκεσε παραμυθήσασθαι τὴν παροῦσαν ἀπείθειαν.
C

8. Ἀλλὰ ταῦτα μὲν ἐὰν θέλω καταλέγειν, ὅσα εὑρίσκω ἔκ τε Παλαιᾶς καὶ Καινῆς Διαθήκης, ἐπιλείψει με τάχα διηγούμενον ὁ χρόνος. Ἤδη δὲ καὶ ἐπ' αὐτὰς ὅταν ἔλθω τὰς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῷ Εὐαγγελίῳ φωνάς, αὐτοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς τὰ ῥήματα, ἃ πάσης μὲν ἱστορίας, πάσης δὲ ἄλλης ἀποδείξεως παρὰ τοῖς πιστοῖς ἀξιοπιστότερα, πολλὴν μὲν ἐν αὐτοῖς καταμανθάνω τῆς ἐν πᾶσι πρὸς Θεὸν εὐπειθείας, ἵνα οὕτως εἴπω, ἀνάγκην· οὐδεμίαν δὲ ὅλως, ἐπ' οὐδενὶ προστάγματι, καταλειπομένην (89) τοῖς μὴ μετανοοῦσι τῆς ἀπειθείας συγγνώμην, εἰ μή τι ἕτερόν ἐστι τολμῆσαι, καὶ μέχρις ἐννοίας λαβεῖν, πρὸς οὕτω
D γυμνάς, σαφεῖς τε καὶ ἀπολύτους ἀποφάσεις· *Ὁ οὐρανὸς γάρ*, φησί, *καὶ ἡ γῆ παρελεύσονται*, οἱ δὲ

[71] Joan. XIII, 8. [72] ibid. 6. [73] ibid. 8.

(86) Veteres duo libri ὅταν ἀκούσῃ.
(87) Codices duo καταπλαγεὶς ἐβόησε. Mox Reg. primus οὐ μὴ νίψεις.
(88) Editio Paris. οὐδὲ αὐτὴ ἡ τῆς Θεοῦ. Editio Ven. et nostri tres mss. αὐτὴ ἡ τοῦ Θεοῦ. Basilius autem credi potest respexisse ad illa Matthæi verba XVII, 5 : *Hic est Filius meus dilectus*, etc. Tunc enim declaravit Deus benevolentiam in Unigenitum suum.
(89) Editio utraque et Reg. secundus ἐπ' οὐδενὶ πράγματι καταλειπομένην, *pro qualibet re*. At Reg. primus et tertius ἐπ' οὐδενὶ προστάγματι, *pro quovis præcepto*. Fatendum quidem, vocem προστάγματι reconcinnatam fuisse et resartam recenti manu in Reg. primo : sed sic tamen, ut satis liqueat ex litterarum spatio, scriptum quoque fuisse prima manu in hoc libro προστάγματι, non πράγματι. Ut ut hæc sunt, legitur prima manu et sine ulla emendatione in Reg. tertio ἐπ' οὐδενὶ προστάγματι. Sed ut revertar ad Reg. primum, quem Combefisius contulit, vellem ut vir doctus notasset quod notavi. Etsi enim secunda duntaxat manu in hoc libro legeretur προστάγματι, id tamen alicujus esset momenti ac ponderis : sed forte id dissimulandum putavit, ut hæc severiora viderentur, quam ut Basilio tribui possent.

λόγοι μου οὐ μὴ παρέλθωσιν. Οὐκ ἔστιν ἐνταῦθα διαφορὰ, οὐκ ἔστι διαίρεσις, οὐδὲν οὐδαμοῦ ὅλως ὑπολέλειπται. Οὐκ εἶπεν· Οὗτοι ἢ ἐκεῖνοι, ἀλλ', *Οἱ λόγοι μου*, πάντες ὁμοῦ δηλονότι, οὐ μὴ παρέλθωσι. Γέγραπται γάρ· *Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ*· εἴτε ἀπαγορεύων ὁτιοῦν, εἴτε προστάσσων, εἴτε ἐπαγγελλόμενος (90), εἴτε ἀπειλῶν, καὶ εἴτε ἐπὶ τῇ πράξει τῶν ἀπηγορευμένων, εἴτε ἐπὶ τῇ ἐλλείψει τῶν ἐπιτεταγμένων. Ὅτι γὰρ ἐπίσης τῇ ἐνεργείᾳ τῶν κακῶν καὶ ἡ τῶν ἀγαθῶν ἔργων ἔλλειψις ἐκδικεῖται, ἤρκει μὲν καὶ πρὸς ἀπόδειξιν καὶ πληροφορίαν τῇ γε μὴ παντελῆ ἀπιστίαν (91) νοσούσῃ ψυχῇ τὸ προειρημένον ἐπὶ τῷ Πέτρῳ κρῖμα· ὃς, οὐκ ἀπηγορευμένον τι πράξας, οὐδὲ μὴν πρόσταγμά τι τοιοῦτον ἐλλείψας, ὃ ῥᾳθυμίαν ἢ καταφρόνησιν κατηγορεῖ τοῦ ἐλλείποντος, ὑπηρεσίαν δὲ καὶ τιμὴν τὴν παρὰ τοῦ Δεσπότου μόνον ὑποδέξασθαι εὐλαβηθεὶς, τοιαύτην ἐδέξατο τὴν ἀπειλὴν ἣν οὐκ ἔφυγεν ἂν, εἰ μὴ, καθὼς προείρηται, ἔφθασε τὴν ὀργὴν τῇ ταχύτητι καὶ σφοδρότητι τῆς διορθώσεως. Πλὴν ἐπειδὴ ὁ ἀγαθὸς καὶ εὔσπλαγχνος Θεὸς μακροθυμῶν ἐφ' ἡμῖν εὐδόκησε, καὶ πολλάκις ἡμῖν τὸ αὐτὸ καὶ διὰ πολλῶν ὑποδεῖξαι, ἵνα τῷ πλήθει καὶ τῇ συνεχείᾳ δυνηθῇ μόλις ποτὲ μοχλευθεῖσα καὶ καταντληθεῖσα ἡ ψυχὴ ἀποτρίψασθαι τὴν πολυχρόνιον τῆς παρανομίας συνήθειαν, ἐκείνων μόνων πρὸς τὸ παρὸν μνημονεῦσαι ἀναγκαῖον τῶν ἐν τῇ μεγάλῃ καὶ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ ἐξ ἀριστερῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἱσταμένων· πρὸς οὓς ἔλεγεν (92) ὁ πᾶσαν τὴν ἐξουσίαν τῆς κρίσεως λαβὼν παρὰ τοῦ Πατρὸς, ὁ ἐρχόμενος φωτίσαι τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερῶσαι τὰς βουλὰς τῶν καρδιῶν· *Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ*. Καὶ τὴν αἰτίαν ἐπήγαγεν, οὐχ· Ὅτι ἐφονεύσατε, λέγων, ἢ ἐπορνεύσατε, ἢ ἐψεύσασθε, ἤ τινα ἠδικήσατε, ἢ ἄλλο τι τῶν ἀπηγορευμένων, κἂν τὸ βραχύτατον γοῦν, ἐπράξατε· ἀλλὰ τί; Ὅτι τῶν ἀγαθῶν ἔργων ἠμελήσατε. *Ἐπείνασα γὰρ*, φησὶ, *καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνὸς, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με*. Ταῦτα καὶ τὰ τοιαῦτα Θεοῦ τοῦ ἀγαθοῦ χάριτι, *τοῦ θέλοντος μὲν πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν*, διδάσκοντος δὲ ἄνθρωπον γνῶσιν, καταμαθὼν ἐν ταῖς θεοπνεύστοις Γραφαῖς, καὶ γνωρίσας μὲν τὴν φρικωδεστάτην αἰτίαν τῆς τοιαύτης τῶν πολλῶν πρός τε ἀλλήλους καὶ πρὸς τὰς ἐντολὰς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διαφωνίας, παιδευθεὶς δὲ τὸ φοβερὸν ἐκεῖνο κρῖμα τῆς τοσαύτης παρανομίας, διδαχθεὶς δὲ καὶ πᾶσαν παρακοὴν παντὸς κρίματος

A *verba autem mea non præteribunt*[74]. Nullum est hoc loco discrimen, nulla distinctio, nihil usquam omnino relictum est. Non dixit : Hæc aut illa, sed, *Verba mea*, omnia simul videlicet, non præteribunt. Scriptum est enim : *Fidelis Dominus in omnibus verbis suis*[75] : sive vetet quidvis, sive præcipiat, sive promittat, sive minetur, sive quæ interdicta sunt, agantur, sive quæ jussa sunt, omittantur. Etenim id quod mox de Petro retuli judicium fuerit ad hoc satis animæ non omnino incredulitatis morbo laboranti, ut bonorum operum prætermissionem perinde atque malorum perpetrationem puniri compertum habeat ac persuasum ; qui cum nihil quod vetitum esset fecisset, nullumque hujusmodi præceptum prætermisisset, quod prætermit- B tentis aut segnitiem argueret aut contemptum, sed ministerium Domini honoremque ab eo delatum recusasset reverentiæ duntaxat causa, tamen ejusmodi comminationem audivit, quam vitare non potuisset, nisi, ut jam dictum est, celeri ac vehementi emendatione iram prævertisset. Quoniam tamen libuit benigno ac misericordi Deo patienter nobiscum ac leniter agere, sæpeque et multis exemplis idipsum nobis commonstrare, ut animus multitudine atque assiduitate vix tandem aliquando commotus et excitatus, diutinam iniquitatis consuetudinem delere posset, nunc eorum duntaxat facienda mentio est, qui in magna ac horrenda judicii die ad Domini nostri Jesu Christi lævam stabunt : quibus C dicturus est is, qui omni judicandi potestate a Patre accepta, venit illuminaturus abscondita tenebrarum, consiliaque cordium patefacturus : *Discedite a me, maledicti, in ignem æternum, qui paratus est diabolo et angelis ejus*[76]. Quin et causam subjunxit, nequaquam dicens : Quia occidistis, aut fornicati estis, aut mendacium dixistis, aut cuipiam intulistis injuriam, aut aliud quidquam saltem minutissimum ex iis quæ prohibita sunt, fecistis : sed quid ? Quoniam bona opera neglexistis. *Esurivi enim*, inquit, *et non dedistis mihi manducare : sitivi, et non dedistis mihi potum : hospes eram, et non collegistis me : nudus, et non cooperuistis me : infirmus et in carcere, et non visitastis me*[77]. Ubi benignissimi Dei gratia, *qui vult omnes homines salvos fieri, et ad* D *veritatis agnitionem pervenire*[78], docetque hominem scientiam, animadverti hæc atque id genus alia in divinis Scripturis, ubi hujus dissensionis qua multi a se invicem et a Domini nostri Jesu Christi præceptis dissident, causam admodum horrendam novi, ubi formidandum illud judicium quod contra tantam iniquitatem proferendum est, edoctus sum, ubi inobedientiam quamlibet, qua omne Dei judi-

[74] Matth. XXIV, 35. [75] Psal. CXLIV, 13. [76] Matth. XXV, 41. [77] ibid. 42, 43. [78] I Tim. II, 4.

(90) Sic mss. nostri. Utraque editio ἀπαγγελλόμενος. Nec ita multo post editi καὶ τῶν ἀγαθῶν. At mss. καὶ ἡ τῶν.

(91) Editio utraque παντελεῖ ἀπιστίᾳ. Antiqui libri παντελῆ ἀπιστίαν.

(92) Editio Paris. ἀναγκαῖον τὸ ἐν τῇ μεγάλῃ καὶ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ πρὸς τοὺς ἐξ ἀριστερῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἱσταμένους λεχθὲν, πρὸς οὓς ἔλεγεν· quod contortum est atque perplexum. Editio Ven. et mss. duo præter Combefisianum ut in contextu, planius ac clarius.

cium violatur, æqualiter plecti didici; itemque 223 gnarus et metuendi illius judicii, quod in eos pronuntietur qui cum ipsi non peccassent, tamen quod studium bonum in peccantes non ostendissent, iræ facti sunt participes, idque, cum sæpe admissi peccati ne conscii quidem essent; necessarium duxi, etsi sero, quod semper exspectarem eos, qui idem pietatis certamen suscepissent, nec tantum haberem fiduciæ in me uno, forte tamen non intempestive, ut eos commonefaciam, qui se in hoc pietatis certamine exercent, necessarium igitur putavi, nunc saltem pro viribus secundum omnium communia vota ex divinis Scripturis proferre quæ displicent Deo et in quibus delectatur : ut per Domini nostri Jesu Christi gratiam et Spiritus sancti doctrinam secedentes, tam a voluntatum nostrarum consuetudine, quam ab humanarum traditionum observatione, ambulantes vero juxta Evangelium beati Dei Jesu Christi Domini nostri, sicque hoc tempore viventes ut ei placeamus, partim iis quæ prohibentur rebus studiosius vitandis, partim iis, quæ approbantur, diligentius exsequendis, digni habeamur qui in futuro immortalitatis sæculo iram fugiamus in contumaciæ filios venturam, talesque exsistamus, qui æternam vitam et cœleste regnum mereamur, quod a Domino Jesu Christo promissum est omnibus *Custodientibus testamentum ejus, et memoria retinentibus mandata ejus, ut faciant ea* [79]. Et quoniam memini Apostoli, qui dicit : *In Christo Jesu neque circumcisio aliquid valet, neque præputium : sed fides quæ per charitatem operatur* [80]; consequens simul ac necessarium existimavi, ut sanam fidem ac piam de Patre et Filio et Spiritu sancto sententiam prius exponerem, et ita demum moralia attexerem.

A Θεοῦ ἐπίσης ἐκδικεῖσθαι· ἔτι δὲ καὶ τὸ φοβερὸν ἐκεῖνο κρῖμα καταμαθὼν, τὸ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας μὲν, παραπολαύσαντας δὲ ὅμως τῆς ὀργῆς, διὰ τὸ μὴ τὸν ἀγαθὸν ζῆλον κατὰ τῶν ἡμαρτηκότων ἐπιδείξασθαι, καίτοι πολλάκις μηδὲ συνεγνωκότας τὸ ἁμάρτημα· ἀναγκαῖον ἐλογισάμην, εἰ καὶ ὀψὲ τοῦ καιροῦ, διὰ τὸ ἀναμένειν ἀεὶ τοὺς τὸν αὐτὸν ἀγῶνα τῆς θεοσεβείας ἀνειληφότας, καὶ μὴ θαῤῥεῖν ἑαυτῷ μόνῳ, ἀλλ' οὐκ ἀκαίρως γε τάχα, νῦν γοῦν πρὸς ὑπόμνησιν τοῖς ἀγωνιζομένοις τὸν ἀγῶνα τῆς θεοσεβείας, ἀναλεξάμενος ἐκ τῶν θεοπνεύστων Γραφῶν τά τε ἀπαρέσκοντα τῷ Θεῷ, καὶ οἷς εὐαρεστεῖται παραθέσθαι, ὡς ἂν οἷός τε ὦ, κατ' εὐχὰς κοινάς· ἵνα καταξιωθῶμεν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διδασκαλίᾳ τοῦ ἁγίου Πνεύματος, ἀποπηδήσαντες μὲν
B τῆς τε τῶν ἰδίων θελημάτων συνηθείας, καὶ τῆς τῶν ἀνθρωπίνων παραδόσεων παρατηρήσεως· στοιχήσαντες δὲ τῷ Εὐαγγελίῳ τοῦ μακαρίου Θεοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν, καὶ κατὰ τὸν καιρὸν τὸν παρόντα εὐαρέστως αὐτῷ ζήσαντες διά τε σφοδροτέρας ἀναχωρήσεως τῶν κεκωλυμένων καὶ σπουδαιοτέρας ἐπιμελείας τῶν ἐγκεκριμένων, ἐν τῷ μέλλοντι αἰῶνι τῆς ἀθανασίας φυγεῖν μὲν τὴν ὀργὴν τὴν ἐπερχομένην ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας δυναίμεθα, ἄξιοι (93) δὲ εὑρεθῆναι τῆς αἰωνίου ζωῆς, καὶ ἐπουρανίου βασιλείας τῆς ἐπηγγελμένης παρὰ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ πᾶσι *Τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς*. Μεμνημένος δὲ τοῦ Ἀποστόλου εἰ-
C πόντος· *Ἐν Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη*· ἀκόλουθον ὁμοῦ καὶ ἀναγκαῖον ἐλογισάμην, τὴν ὑγιαίνουσαν πίστιν καὶ εὐσεβῆ δόξαν περί τε Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος παραθέσθαι πρότερον, καὶ οὕτως ἐπισυνάψαι τὰ ἠθικά.

EJUSDEM DE FIDE.

1. Dei optimi gratia cum mihi innotuisset vestræ pietatis mandatum, idque dignum vestra ista in Christo erga Deum dilectione, quo piæ fidei confessionem litteris consignatam a nobis petivistis, primum quidem tenuitatis atque infirmitatis meæ conscius respondere veritus sum : sed simul atque memini Apostoli, qui dixit : *Supportantes invicem in charitate* [81]; et rursus : *Corde enim creditur ad justitiam : ore autem confessio fit ad salutem* [82]; rem periculosam duxi, si vobis morem non gererem, silentioque salutarem confessionem præterirem, fiduciam habens per Christum in Deo, sicut scriptum est : *Non quod sufficientes simus cogitare aliquid a*

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΠΙΣΤΕΩΣ.

1. Θεοῦ τοῦ ἀγαθοῦ χάριτι τὸ ἐπίταγμα τῆς ὑμετέρας εὐλαβείας καταμαθὼν ἄξιον τῆς (94) ἐν Χριστῷ πρὸς τὸν Θεὸν ἀγάπης, ἐν ᾧ τῆς εὐσεβοῦς πίστεως ἔγγραφον ἐπεζητήσατε παρ' ἡμῶν ὁμολογίαν, τὰ μὲν πρῶτα ἐπαισθανόμενος τῆς ἑαυτοῦ ταπεινώσεως
D καὶ ἀσθενείας, ὤκνουν πρὸς τὴν ἀπόκρισιν· ὡς δὲ ἐμνημόνευσα τοῦ Ἀποστόλου εἰπόντος, *Ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ*· καὶ πάλιν, *Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν*· οὐκ ἀκίνδυνον ἡγησάμην τὸ ἀντειπεῖν μὲν ὑμῖν, σιωπῆσαι δὲ τὴν σωτήριον ὁμολογίαν, πεποίθησιν ἔχων διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεὸν, ὡς γέγραπται· *Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ'*

[79] Psal. CII, 18. [80] Galat. V, 6. [81] Ephes. IV, 2. [82] Rom. X, 10.

(93) Editio Paris. ἀπειθείας δυναίμεθα, ἄξιοι. Vox δυναίμεθα neque in nostris codicibus, neque in editione Veneta legitur.

(94) Editio Paris. ἄξιον ἐκ τῆς. Vocula ἐκ neque in nostris, neque in Combefisii codice reperitur; nec dubium, quin abesse debeat. Haud longe utraque editio ὑπεζητήσατε. Codex Combef. et alii duo ἐπεζητήσατε. Mox mss. duo præter Combefisianum ἑαυτοῦ ταπεινότητος.

ἑαυτῶν λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν· ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ, τοῦ τότε (95) μὲν ἐκείνους, νῦν δὲ καὶ ἡμᾶς, καὶ τοῦτο δι' ὑμᾶς, ἱκανώσαντος γενέσθαι διακόνους Καινῆς Διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος. Διακόνου δὲ πιστοῦ ἴδιον ἴστε πάντως καὶ αὐτοὶ τὸ, ἅπερ ἂν εἰς (96) τοὺς συνδούλους οἰκονομῆσαι παρὰ τοῦ ἀγαθοῦ Δεσπότου πιστευθῇ, ταῦτα διασῶσαι τούτοις ἀνοθεύτως καὶ ἀκαπηλεύτως. Ὥστε κἀγὼ, ἅπερ ἔμαθον ἐκ τῆς θεοπνεύστου Γραφῆς, ταῦτα ὑμῖν παραθέσθαι κατὰ τὸ ἀρέσκον Θεῷ, πρὸς τὸ κοινῇ συμφέρον ὀφειλέτης εἰμί. Εἰ γὰρ αὐτὸς ὁ Κύριος, ἐν ᾧ εὐδόκησεν ὁ Πατὴρ, *Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι*, ὁ πᾶσαν μὲν τὴν ἐξουσίαν, πᾶσαν δὲ τὴν κρίσιν λαβὼν παρὰ τοῦ Πατρὸς, *Ἐντολὴν ἔδωκέ μοι* (97), φησὶ, *τί εἴπω, καὶ τί λαλήσω*· καὶ πάλιν· *Ἃ οὖν ἐγὼ λαλῶ, καθὼς εἴρηκέ μοι ὁ Πατὴρ, οὕτω λαλῶ*· καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀφ' ἑαυτοῦ οὐ λαλεῖ, ἀλλ' ὅσα ἂν ἀκούσῃ παρ' αὐτοῦ, ταῦτα λαλεῖ· πόσῳ μᾶλλον ἡμῖν εὐσεβές τε ὁμοῦ καὶ ἀσφαλὲς (98) τοῦτο φρονεῖν καὶ ποιεῖν ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; Ἕως μὲν οὖν ἀγωνίζεσθαι πρὸς τὰς ἐπανισταμένας κατὰ καιρὸν αἱρέσεις ἐχρῆν, ἑπόμενος τοῖς προειληφόσιν, ἀκόλουθον ἡγούμην τῇ διαφορᾷ τῆς ἐπισπειρομένης ὑπὸ τοῦ διαβόλου ἀσεβείας, ταῖς ἀντιθέτοις φωναῖς (99) κωλύειν, ἢ καὶ ἀνατρέπειν τὰς ἐπαγομένας βλασφημίας, καὶ ἄλλοτε ἄλλαις, ὡς ἂν ἡ χρεία τῶν νοσούντων κατηνάγκασε, καὶ ταύταις πολλάκις ἀγράφοις μὲν, ὅμως δ' οὖν οὐκ ἀπεξενωμέναις τῆς κατὰ τὴν Γραφὴν εὐσεβοῦς διανοίας· τοῦ Ἀποστόλου πολλάκις καὶ Ἑλληνικοῖς ῥήμασι χρήσασθαι μὴ παραιτησαμένου (1) πρὸς τὸν ἴδιον σκοπόν. Νῦν δὲ πρὸς τὸν κοινὸν ἡμῶν τε καὶ ὑμῶν σκοπὸν ἁρμόζον ἐλογισάμην ἐν ἁπλότητι τῆς ὑγιαινούσης πίστεως τὸ ἐπίταγμα τῆς ὑμετέρας ἐν Χριστῷ ἀγάπης πληρῶσαι, εἰπὼν (2) ἃ ἐδιδάχθην παρὰ τῆς θεοπνεύστου Γραφῆς· φειδόμενος μὲν καὶ τῶν ὀνομάτων, καὶ ῥημάτων ἐκείνων, ἃ λέξεσι μὲν αὐταῖς οὐκ ἐμφέρεται τῇ θείᾳ Γραφῇ, διάνοιάν γε μὴν τὴν ἐκείνῃ ἐγκειμένην τῇ Γραφῇ διασώζει· ὅσα δὲ πρὸς τῷ ξένῳ τῆς λέξεως ἔτι καὶ τὸν νοῦν ξένον ἡμῖν ἐπεισάγει, καὶ ἃ οὐκ ἔστιν ὑπὸ τῶν ἁγίων κηρυσσόμενα (3) εὑρεῖν, ταῦτα ὡς ξένα καὶ ἀλλότρια τῆς εὐσεβοῦς πίστεως παντάπασι παραιτούμενος. Πίστις μὲν οὖν ἐστι συγκατάθεσις ἀδιάκριτος τῶν ἀκουσθέν-

80 Cujusmodi in universum ratio esse Christianos postulet, et cujusmodi eos qui aliis præsunt.

A οζ' Περὶ παρθένων.
οη' Περὶ στρατευομένων.
οθ' Περὶ ἀρχόντων καὶ ὑπηκόων.
π' Ποταποὺς εἶναι βούλεται καθόλου ὁ λόγος τοὺς Χριστιανοὺς, καὶ ποταποὺς τοὺς προεστῶτας.

ΑΡΧΗ ΤΩΝ ΗΘΙΚΩΝ.

INITIUM MORALIUM *.

234 REGULA I.

Quod oportet credentes Domino primum pœnitentiam agere, juxta prædicationem Joannis, et ipsius Domini nostri Jesu Christi. Quippe illi qui nunc pœnitentiam non agunt, ipsi gravius condemnantur, quam ii qui ante Evangelium fuerunt condemnati.

Caput I.

Exinde cœpit Jesus prædicare et dicere : Pœnitentiam agite : appropinquavit enim regnum cœlorum (*Matth.* IV, 17). *Tunc cœpit exprobrare civitatibus* (*Matth.* XI, 20-22), *in quibus factæ sunt plurimæ virtutes ejus, quod non egissent pœnitentiam. Væ tibi, Chorozaim; væ tibi, Bethsaida; quia si in Tyro et Sidone factæ essent virtutes, quæ factæ sunt in vobis, olim in sacco et cinere desidentes, pœnitentiam egissent. Verumtamen Tyro et Sidoni remissius erit in die judicii, quam vobis*, etc.

Quod præsens tempus pœnitentiæ et veniæ peccatorum tempus sit : in futuro vero sæculo erit justum judicium remunerationis.

Caput II.

Ut autem sciatis, quod potestatem habet Filius hominis in terra dimittendi peccata, ait (*Marc.* II, 10): *Amen dico vobis, quæcunque alligaveritis super terram, erunt ligata in cœlo : et quæcunque solveritis super terram, erunt soluta in cœlo. Iterum amen dico vobis, quod si duo ex vobis consenserint super terram, de omni re, quamcunque petierint, fiet illis a Patre meo qui in cœlis est* (*Matth.* XVIII, 18, 19)... *Quia venit hora, in qua omnes qui in monumentis sunt, audient vocem ipsius : et procedent, qui bona fecerunt, in resurrectionem vitæ; qui vero mala*

B ΟΡΟΣ Α'.

Ὅτι δεῖ τοὺς πιστεύοντας τῷ Κυρίῳ μετανοῆσαι πρῶτον, κατὰ τὸ κήρυγμα Ἰωάννου, καὶ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· χεῖρον γὰρ τῶν πρὸ τοῦ Εὐαγγελίου κατακριθέντων οἱ νῦν μὴ μετανοοῦντες κατακρίνονται.

Κεφάλαιον α'.

ΜΑΤΘΑΙΟΣ. *Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέγειν· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν..... Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις, ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν. Οὐαί σοι, Χωραζὶν, οὐαί σοι, Βηθσαϊδά· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν* C *ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν. Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν*, καὶ τὰ ἑξῆς (55-56).

Ὅτι τῆς μετανοίας καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν ὁ παρὼν ἐστι καιρός· ἐν δὲ τῷ μέλλοντι αἰῶνι ἡ δικαία κρίσις τῆς ἀνταποδόσεως.

Κεφάλ. β'.

ΜΑΡΚΟΣ. *Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἁμαρτίας ἀφιέναι, λέγει·* ΜΑΤΘΑΙΟΣ. *Ἀμὴν λέγω* (57) *ὑμῖν, ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. Πάλιν ἀμὴν λέγω* D *ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς* (58). ΙΩΑΝΝΗΣ. *Ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς*

* Hic titulus legitur in editione Ven. et in antiquis duobus libris. Hoc opus divisum invenitur in editione Paris. in multa capita, pro argumentorum varietate; sed illorum capitum ne vestigium quidem exstat in veteribus nostris libris; quoniam tamen ejusmodi divisio res distinguit, memoriamque juvat, nihil mutandum judicavi.

(55-56) Monere juvat, nonnulla identidem in nostro codice Regio et in veteri libro Messanensi addi. Hic igitur post illud, καὶ τὰ ἑξῆς, hæc sequuntur in duobus his quos dixi codicibus, ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης· ἕως καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε· *Viri Ninivitæ surgent in judicio cum generatione ista : et ecce plus quam Salomon hic* (*Matth.* XII, 41, 42).

(57) Sic editio Ven. et antiqui tres libri. Editio Paris. λέγει. Καὶ πάλιν· ἀμὴν λέγω.

(58) Rursus post illud, τοῦ ἐν οὐρανοῖς, hæc sequuntur in duobus illis quos notavi libris, μέλλει γὰρ ὁ, et cætera usque ad voces, πρᾶξιν αὐτοῦ. Lege Matth. XVI, 27.

φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται, οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. ΠΡΟΣ ΡΩΜ. Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ΠΡΑΞΕΙΣ. Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν· καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην.

A *egerunt, in resurrectionem judicii* (*Joan.* v, 28, 29). *An divitias bonitatis ejus, et patientiæ, et longanimitatis contemnis, ignorans quod benignitas Dei ad pœnitentiam te adducit? Secundum autem duritiam tuam et impœnitens cor, thesaurizas tibi iram in die iræ et revelationis, et justi judicii Dei, qui reddet unicuique secundum opera ejus* (*Rom.* ii, 4-6). *Et tempora quidem hujus ignorantiæ despiciens Deus, nunc annuntiat* **235** *hominibus omnibus, ut pœnitentiam agant; eo quod statuit diem, in quo judicaturus est orbem* (*Act.* xvii, 30, 31).

Ὅτι δεῖ τοὺς μετανοοῦντας κλαίειν πικρῶς, καὶ τὰ λοιπὰ, ὅσα ἴδια τῆς μετανοίας, ἐκ καρδίας ἐπιδείκνυσθαι.

B Quod pœnitentiam agentes oporteat amare flere, et reliqua, quæ pœnitentiæ propria sunt, ex corde proferre.

Κεφάλ. γ'.

ΜΑΤΘΑΙΟΣ. *Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ εἰρηκότος αὐτῷ, ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.* ΠΡΟΣ ΚΟΡ. β'. *Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς, παρεκάλεσεν ἡμᾶς ἐν τῇ παρουσίᾳ Τίτου. Οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκλήθη ὑφ' ὑμῖν, ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμὸν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ.* Καὶ μετ' ὀλίγα· *Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν· ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν· ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι.* ΠΡΑΞΕΙΣ. *Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο, ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν. Ἱκανοί τε τῶν τὰ περίεργα πραξάντων συγκομίσαντες τὰς βίβλους κατέκαιον ἐνώπιον αὐτῶν.*

Caput III.

Et recordatus est Petrus verbi Jesu, qui dixerat ei: Priusquam gallus cantet, ter me negabis. Et egressus foras flevit amare (*Matth.* xxvi, 75)... *Sed qui consolatur humiles, consolatus est nos in adventu Titi. Non solum autem in adventu ejus, sed etiam in consolatione qua consolatus est in vobis, referens nobis vestrum desiderium, vestrum fletum, vestram æmulationem pro me* (*II Cor.* vii, 6, 7). Et paulo post: *Ecce enim hoc ipsum, secundum Deum contristari vos, quantam in vobis effecit sollicitudinem; sed defensionem, sed indignationem, sed timorem, sed desiderium, sed æmulationem, sed vindictam: in omnibus* C *vos exhibuistis incontaminatos esse negotio* (*ibid.*, 11). *Multique credentium veniebant, confitentes et annuntiantes actus suos. Multi etiam ex eis, qui curiosa exercuerunt, allatos libros combusserunt coram ipsis* (*Act.* xix, 18, 19).

Ὅτι τοῖς μετανοοῦσιν οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡ ἀναχώρησις μόνη τῶν ἁμαρτημάτων, χρεία δὲ αὐτοῖς καὶ καρπῶν ἀξίων τῆς μετανοίας.

Quod illud non satis sit pœnitentibus, si tantummodo recesserint a peccatis, sed eis opus esse, ut fructus pœnitentiæ dignos ferant.

Κεφάλ. δ'.

ΜΑΤΘΑΙΟΣ. *Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς* (59)· *Πατέρα ἔχομεν τὸν Ἀβραάμ. Λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Πᾶν οὖν δένδρον, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.*

Caput IV.

Videns autem multos Pharisæorum et Sadducæorum venientes ad baptismum suum, dixit eis: Progenies viperarum, quis demonstravit vobis fugere a D *ventura ira? Facite ergo fructus dignos pœnitentiæ: et ne vobis libeat dicere intra vos ipsos: Patrem habemus Abraham. Dico enim vobis, quod potens est Deus de lapidibus istis suscitare filios Abrahæ. Jam enim et securis ad radicem arborum posita est. Omnis ergo arbor, quæ non facit fructum bonum, exciditur, et in ignem mittitur* (*Matth.* iii, 7-11).

Ὅτι μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν οὐκ ἔστι καιρὸς κατορθωμάτων, τοῦ Θεοῦ τὸν παρόντα καιρὸν

Quod post discessum ex hac vita non est tempus recte factorum: quandoquidem Deus præsens

(59) Hunc locum ita interpretatur Erasmus: *Et ne sitis hac mente, ut dicatis intra vos ipsos*, etc. Ad verbum, *Ne videamini dicere*, etc.

tempus in lenitate impertivit ad facienda ea, quibus gratia ipsius conciliatur.

A ἐπιμετρήσαντος (60) ἐν μακροθυμίᾳ εἰς ἐργασίαν τῶν πρὸς τὴν αὐτοῦ εὐαρέστησιν.

Caput V.

Tunc simile erit regnum cœlorum decem virginibus, quæ accipientes lampades suas, exierunt obviam sponso. Quinque autem ex eis erant prudentes, et quinque fatuæ: quæ fatuæ, acceptis lampadibus suis, non sumpserunt oleum **236** *secum: prudentes vero acceperunt oleum in vasis suis cum lampadibus suis. Moram autem faciente sponso, dormitaverunt omnes et dormierunt. Media autem nocte clamor factus est: Ecce sponsus venit, exite obviam ei. Tunc surrexerunt omnes virgines illæ, et ornaverunt lampades suas. Fatuæ autem sapientibus dixerunt: Date nobis de oleo vestro, quia lampades nostræ exstinguuntur. Responderunt vero prudentes, dicentes: Ne forte non sufficiat nobis et vobis; ite potius ad vendentes, et emite vobis. Dum autem irent emere, venit sponsus: et quæ paratæ erant, intraverunt cum eo ad nuptias, et clausa est janua. Novissime autem veniunt et reliquæ virgines, dicentes: Domine, Domine, aperi nobis. At ille respondens ait: Amen dico vobis, nescio vos* (*Matth.* XXV, 1-13). *Contendite intrare per angustam portam, quia multi, dico vobis, quærent intrare, et non poterunt. Cum autem surrexerit paterfamilias, et clauserit ostium, et cœperitis foris stare, et pulsare ostium, dicentes: Domine, Domine, aperi nobis: et respondens dicet vobis: Nescio vos unde sitis* (*Luc.* XIII, 24, 25). *Ecce nunc tempus acceptabile, ecce nunc dies salutis: nemini dantes ullam offensionem, ne vituperetur ministerium, sed in omnibus exhibentes nosmetipsos sicut Dei ministros* (*II Cor.* VI, 2-4). *Ergo dum tempus habemus, operemur bonum erga omnes* (*Gal.* VI, 10).

Κεφάλ. ε'.

ΜΑΤΘΑΙΟΣ. *Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ πέντε μωραί· αἵτινες μωραί, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι,* B *καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· Μή ποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς.* ΛΟΥΚΑΣ. *Ἀγωνίσασθε εἰσελθεῖν* (61) *διὰ τῆς στενῆς πύλης, ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν.* C *Ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι, καὶ κρούειν τὴν θύραν, λέγοντες· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν· καὶ ἀποκριθεὶς ἐρεῖ* (62) *ὑμῖν· Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ.* ΠΡΟΣ ΚΟΡ. β'. *Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· μηδεμίαν ἐν μηδενὶ διδόντες προκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς, ὡς Θεοῦ διάκονοι.* ΠΡΟΣ ΓΑΛ. *Ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας.*

REGULA II.

Quod fieri nequit, ut is qui sese etiam negotiis a pietate alienis immiscet, Deo serviat.

ΟΡΟΣ Β'.

Ὅτι ἀδύνατον δουλεῦσαι Θεῷ τὸν καὶ τοῖς ἀλλοτρίοις τῆς θεοσεβείας ἐπιμιγνύμενον πράγμασιν.

Caput I.

Nemo potest duobus dominis servire: aut enim unum odio habebit, et alterum diliget: aut unum sustinebit, et alterum contemnet. Non potestis Deo servire et mammonæ (*Matth.* VI, 24). *Nolite jugum ducere cum infidelibus. Quæ enim participatio justitiæ cum iniquitate? aut quæ societas luci ad tenebras? quæ autem conventio Christo ad Belial? aut quæ pars fideli cum infideli? quis autem consensus templo Dei cum idolis?* (*II Cor.* VI, 14-16.)

Κεφάλαιον α'.

ΜΑΤΘΑΙΟΣ. *Οὐδεὶς δύναται δυσὶ κυρίοις δου-* D *λεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ.* ΠΡΟΣ ΚΟΡ. β'. *Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις. Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἢ τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαλ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων;*

Quod oportet eum qui Evangelio obedit, primum purgari ab omni inquinamento carnis et spiri-

Ὅτι τὸν ὑπακούσαντα (63) τῷ Εὐαγγελίῳ δεῖ πρῶτον καθαρισθῆναι ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς

(60) Utraque editio καιρὸν ἐπιμετρήσαντος. Libri veteres ἐπιμετρήσαντος,

(61) Reg. tertius ἀγωνίζεσθε εἰσελθεῖν.

(62) Editio utraque ἐρεῖ, οὐχ. Reg. tertius ἐρεῖ ὑμῖν, οὐχ.

(63) Reg. tertius τὸν ὑπακούοντα.

καὶ πνεύματος, ἵνα οὕτως εὐπρόσδεκτος τῷ Θεῷ γένηται ἐν τοῖς τῆς ἁγιωσύνης κατορθώμασιν.

A

Κεφάλ. β'.

ΜΑΤΘΑΙΟΣ. *Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκρασίας* (64). *Φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν.* ΠΡΟΣ ΚΟΡ. β'. *Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοὶ, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.*

Ὅτι ἀδύνατον μαθητὴν τοῦ Κυρίου γενέσθαι τὸν προσπαθῶς ἔχοντα πρός τι τῶν παρόντων, ἢ ἀνεχόμενόν τινος τῶν καὶ ἐπ' ὀλίγον (65) ἀφελκόντων ἐντολῆς Θεοῦ.

B

Κεφάλ. γ'.

ΜΑΤΘΑΙΟΣ. *Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.... Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν* (66).

ΟΡΟΣ Γ'.

C

Ὅτι πρώτη καὶ μεγάλη ἐντολὴ ἐν τῷ νόμῳ ὑπὸ τοῦ Κυρίου ἐμαρτυρήθη, ἀγαπᾷν τὸν Θεὸν ἐξ ὅλης τῆς καρδίας· καὶ δευτέρα, ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτόν.

Κεφάλ. α'.

ΜΑΤΘΑΙΟΣ. *Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου. Αὕτη ἐστὶν ἡ πρώτη καὶ μεγάλη ἐντολή· δευτέρα δὲ ὁμοία, αὕτη* (67)· *Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.*

Ὅτι ἔλεγχος τοῦ μὴ ἀγαπᾷν τὸν Θεὸν, καὶ τὸν Χριστὸν αὐτοῦ, τὸ, τὰς ἐντολὰς αὐτοῦ μὴ τηρεῖν· ἀπόδειξις δὲ τοῦ ἀγαπᾷν, ἡ τήρησις τῶν ἐντολῶν τοῦ Χριστοῦ, ἐν ὑπομονῇ (68) τῶν αὐτοῦ παθημάτων μέχρι θανάτου.

D

Κεφάλ. β'.

ΙΩΑΝΝΗΣ. *Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τη-*

tus, ut sic acceptus fiat Deo in perpetrandis sanctimoniæ operibus.

Caput II.

Væ vobis, scribæ et Pharisæi hypocritæ, quia mundatis externam poculi patinæque partem, intrinsecus autem plena sunt rapina et intemperantia. Pharisæe cæce, munda prius quod est intra poculum et patinam, ut et exteriores ipsorum partes puræ fiant (Matth. XXIII, 25, 26). *Has ergo habentes* **237** *promissiones, charissimi, mundemus nos ab omni inquinamento carnis et spiritus, perficientes sanctificationem in timore Dei* (*II Cor.* VII, 1)

Quod impossibile est discipulum Domini fieri eum qui re aliqua præsenti afficitur, aut aliquid tolerat, quod se vel modice a Dei mandato avocet.

Caput III.

Qui amat patrem aut matrem plus quam me, non est me dignus. Et qui amat filium aut filiam plus quam me, non est me dignus. Et qui non accipit crucem suam et sequitur me, non est me dignus (*Matth.* X, 37, 38). *Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam, et sequatur me. Qui enim vult animam suam salvam facere, perdet eam* (*Matth.* XVI, 24, 25).

REGULA III.

Quod primum et magnum mandatum in lege a Domino declaratum sit illud esse, Deum diligere ex toto corde : secundum vero, diligere proximum sicut seipsum.

Caput I.

Ait illi Jesus : Diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex tota fortitudine tua, et ex tota mente tua. Hoc est primum et magnum mandatum; secundum autem simile, istud est : Diliges proximum tuum sicut teipsum (*Matth.* XXII, 37-39).

Quod argumentum sit quod quis Deum non diligat, et ipsius Christum, si ipsius mandata non servat : dilectionis autem testificatio est mandatorum Christi observatio in tolerandis usque ad mortem afflictionibus, quæ illius causa eveniunt.

Caput II.

Qui habet mandata mea, et servat ea, ille est qui

(64) Vocula ἐξ addita est ex antiquis duobus libris. Ibidem Reg. primus ἐξ ἁρπαγῆς καὶ ἀδικίας, *rapina et iniquitate.*

(65) Reg. tertius καὶ κατ' ὀλίγον.

(66) Post illud, ἀπολέσει αὐτήν, addita inveniuntur illa ex Luca IX, 61 et 62, in his quæ jam indicavi exemplaribus, εἶπε δὴ καὶ ἕτερος, ἀκολουθήσω, et cætera ad illas usque voces, εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Item in utroque libro Mess. et Reg. tertio sequuntur illa ex eodem Luca XIV, 26 et seq., εἴ τις ἔρχεται πρός με, et cætera usque ad voces has, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής.

(67) Utraque editio et antiqui tres libri ὁμοία, αὕτη, *Secundum autem quod est simile, istud est.* At textus sacer aut αὐτῇ, aut ταύτῃ, *secundum autem simile huic.*

(68) Utraque editio et Reg. secundus, Χριστοῦ, ἐν ὑπομονῇ. Alii duo mss. ὑπομονή, *atque tolerantia afflictionum.* Ibidem Reg. primus recenti manu τῶν ὑπὲρ αὐτοῦ παθημάτων.

diligit me. Qui non diligit me, sermones meos non servat (*Joan.* XIV, 21, 24). *Si præcepta mea servaveritis, manebitis in dilectione mea, sicut et ego præcepta Patris mei servavi, et maneo in ejus dilectione* (*Joan.* XV, 10). *Quis nos separabit a charitate Christi? tribulatio? an angustia? an persecutio? an fames? an nuditas? an periculum? an gladius? Sicut scriptum est: Quoniam propter te mortificamur tota die; æstimati sumus sicut oves occisionis. Sed in his omnibus superamus, propter eum qui dilexit nos* (*Rom.* VIII, 35-38; *Psal.* XLIII, 22).

238 REGULA IV.

Quod is honore et gloria afficit Deum, qui voluntatem illius efficit: et contra, contumelia, qui legem illius violat.

Caput I.

Ego te glorificavi super terram; opus consummavi, quod dedisti mihi ut faciam (*Joan.* XVII, 4). *Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cœlis est* (*Matth.* V, 16). *Ut sitis sinceri et sine offensa in diem Christi, repleti fructibus justitiæ, qui sunt per Jesum Christum, in gloriam et laudem Dei* (*Philipp.* I, 10, 11). *Qui in lege gloriaris, per prævaricationem legis Deum inhonoras* (*Rom.* II, 23).

REGULA V.

Quod oportet ab omni odio erga omnes purum esse, et inimicos diligere: pro amicis vero animam ponere, ubi necessitas vocarit; et talem habere dilectionem, qualem habuit erga nos Deus, et Christus ipsius.

Caput V.

Audistis, quod dictum est antiquis: Diliges proximum tuum, et odio habebis inimicum tuum. Ego autem dico vobis: Diligite inimicos vestros (*Matth.* V, 43, 44). Et paulo inferius: *Eritis ergo vos perfecti, sicut Pater vester cœlestis perfectus est* (*ibid.* 48) ... *Sic enim Deus dilexit mundum, ut Filium suum unigenitum daret* (*Joan.* III, 16) ..... *Hoc est præceptum meum, ut diligatis invicem, sicut dilexi vos. Majorem hac charitatem nemo habet, quam ut animam suam ponat quis pro amicis suis* (*Joan.* XV, 12, 13.) .... *Et eritis filii Altissimi, quia ipse benignus est super ingratos et malos. Estote ergo misericordes, sicut et Pater vester misericors est* (*Luc.* VI, 35) ..... *Commendat autem charitatem suam Deus in nobis: quod cum adhuc peccatores essemus, Christus pro nobis mortuus est* (*Rom.* V, 8) ..... *Estote ergo imitatores Dei sicut filii charissimi: et ambulate in dilectione, sicut et Christus dilexit nos, et tradidit semet-*

A ρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. ΠΡΟΣ ΡΩΜ. Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα; Καθὼς γέγραπται· Ὅτι ἕνεκα σοῦ θανατούμεθα πᾶσαν ἡμέραν (69), ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς, καὶ τὰ ἑξῆς.

ΟΡΟΣ Δ'.

B Ὅτι τιμᾷ καὶ δοξάζει τὸν Θεὸν ὁ τὸ θέλημα αὐτοῦ ἐργαζόμενος· ἀτιμάζει δὲ, ὁ παραβαίνων αὐτοῦ τὸν νόμον.

Κεφάλ. α'.

ΙΩΑΝΝΗΣ. *Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι ἵνα ποιήσω.* ΜΑΤΘΑΙΟΣ. *Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.* ΠΡΟΣ ΦΙΛΙΠ. *Ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον Θεοῦ.* ΠΡΟΣ ΡΩΜ. *Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις.*

ΟΡΟΣ Ε'.

C Ὅτι δεῖ, παντὸς μίσους πρὸς πάντας καθαρεύοντα (70), καὶ τοὺς ἐχθροὺς ἀγαπᾷν· ὑπὲρ δὲ τῶν φίλων τὴν ψυχὴν τιθέναι, ὅταν χρεία καλῇ, τοιαύτην ἔχοντα ἀγάπην, οἵαν ἔσχε πρὸς ἡμᾶς ὁ Θεὸς, καὶ ὁ Χριστὸς αὐτοῦ.

Κεφάλ. α'.

ΜΑΤΘΑΙΟΣ. *Ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις· Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου. Ἐγὼ δὲ λέγω ὑμῖν· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν·* Καὶ μετ' ὀλίγα· *Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν.* ΙΩΑΝΝΗΣ. *Οὕτως γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν* (71). *Αὕτη ἐστὶν*
D *ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.* ΛΟΥΚΑΣ. *Καὶ ἔσεσθε υἱοὶ τοῦ Ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.* ΠΡΟΣ ΡΩΜ. *Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην ὁ Θεὸς εἰς ἡμᾶς, ὅτι, ἔτι ἁμαρτωλῶν ἡμῶν ὄντων, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν.* ΠΡΟΣ ΕΦΕΣ. *Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγά-*

(69) Reg. tertius ὅλην τὴν ἡμέραν.
(70) Regii primus et tertius καθαρεύοντας... καὶ τὴν ψυχὴν... ἔχοντας.

(71) Reg. tertius μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, *ut omnis qui credit in eum, non pereat.*

πησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ (72).

Ὅτι ἀπόδειξις τῶν τοῦ Χριστοῦ μαθητῶν ἡ ἐν αὐτῷ πρὸς ἀλλήλους ἀγάπη.

Κεφάλ. β'.

ΙΩΑΝΝΗΣ. *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.*

Ὅτι ἔλεγχος τοῦ μὴ ἔχειν τὴν Χριστοῦ ἀγάπην πρὸς τὸν πλησίον τὸ ποιῆσαί τι τῶν βλαπτόντων ἢ λυπούντων αὐτὸν εἰς ἐκκοπὴν τῆς πίστεως, κἂν συγκεχωρημένον ὑπὸ τῆς Γραφῆς τῷ ἰδίῳ λόγῳ τὸ γινόμενον ᾖ.

Κεφάλ. γ'.

ΠΡΟΣ ΡΩΜ. *Εἰ γὰρ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. Μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ ὁ Χριστὸς ἀπέθανεν.*

Ὅτι δεῖ τὸν Χριστιανὸν καὶ τὸν λυπούμενον κατ' αὐτοῦ παντὶ τρόπῳ τό γε ἐπ' αὐτῷ θεραπεύειν.

Κεφάλ. δ'.

ΜΑΤΘΑΙΟΣ. *Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ* (73) *μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον, διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.* ΠΡΟΣ ΚΟΡ. α'. *Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν.*

Ὅτι τὴν (74) κατὰ Χριστὸν ἀγάπην ὁ ἔχων ἔστιν ὅτε καὶ λυπεῖ πρὸς τὸ συμφέρον τὸν ἀγαπώμενον.

Κεφάλ. ε'.

ΙΩΑΝΝΗΣ. *Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· Ποῦ ὑπάγεις; Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. Ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς.* ΠΡΟΣ ΚΟΡ. β'. *Ὥστε με μᾶλλον χαρῆναι, ὅτι, εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην. Βλέπω γὰρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς. Νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. Ἐλυπήθητε γὰρ κατὰ Θεὸν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν.*

ΟΡΟΣ ϛ'.

Ὅτι δεῖ ἀφόβως καὶ ἀνεπαισχύντως παῤῥησιάζεσθαι ἐν τῇ ὁμολογίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν λόγων αὐτοῦ.

A *ipsum pro nobis oblationem et hostiam Deo* (*Ephes.* v, 1, 2).

Quod certa nota discipulorum Christi mutua est in ipso dilectio.

Caput II.

In hoc cognoscent omnes, quia discipuli mei estis, si dilectionem habueritis ad invicem (*Joan.* XIII, 35).

239 Quod evidens argumentum sit, aliquem charitatem Christi in proximum non habere, si quidpiam peragit, quod noceat, aut molestiam ei afferat ad fidei excisionem : tametsi id quod efficitur, ratione quadam speciali a Scriptura concessum est.

B *Caput III.*

Si enim propter cibum frater tuus contristatur, jam non secundum charitatem ambulas. Noli cibo tuo illum perdere, pro quo Christus mortuus est (*Rom.* XIV, 15).

Quod Christianus eum etiam qui adversus ipsum male afficitur, omni modo et quantum in se est, delinire debeat.

Caput IV.

Si ergo offers munus tuum ad altare, et ibi recordatus fueris quia frater tuus habet aliquid adversum te, relinque ibi munus tuum ante altare, et vade prius, reconciliare fratri tuo : et tunc veniens offer munus tuum (*Matth.* v, 23,
C 24) .... *Cum maledicimur, benedicimus : cum persecutionem patimur, sustinemus : cum blasphemamur, obsecramus* (*I Cor.* IV, 12, 13).

Quod is qui dilectionem secundum Christum habet, eum etiam, quem diligit, quandoque molestia afficit ad ipsius utilitatem.

Caput V

Et nunc vado ad eum, qui misit me; et nemo ex vobis interrogat me : Quo vadis ? sed quia hæc locutus sum vobis, tristitia implevit cor vestrum. Sed ego veritatem dico vobis : expedit vobis ut ego vadam. Si enim non abiero, Paracletus non veniet ad vos (*Joan.* XVI, 5-7)...... *Ita ut magis gauderem : quoniam*
D *etsi contristavi vos in epistola, non me pœnitet, etsi me pœnituisset. Video enim quod epistola illa* (*etsi ad horam*) *vos contristavit. Nunc gaudeo, non quod contristati estis, sed quod contristati estis ad pœnitentiam. Contristati estis enim secundum Deum, ut in nullo detrimentum patiamini ex nobis* (*II Cor.* VII, 7-9).

REGULA VI.

Quod intrepide ac sine ulla verecundia libere agere oporteat in confessione Domini nostri Jesu Christi et doctrinæ ejus.

(72) Idem codex τῷ Θεῷ καὶ Πατρί, *Deo et Patri*.

(73) Reg. tertius θυσιαστήριον καὶ ἐκεῖ. Mox hic ipse codex δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον.

(74) Reg. primus ὅτι ὁ τὴν... ἀγάπην ἔχων. Statim Reg. tertius συμφέρον τῷ ἀγαπωμένῳ.

Caput I.

Quod dico vobis in tenebris, dicite in lumine: et quod in aurem audivistis, prædicate super tecta. Et nolite timere eos, qui occidunt corpus, animam autem non possunt occidere: sed potius
240 *timete eum, qui potest et animam et corpus perdere in gehennam* (*Matth.* x, 27, 28)..... *Omnis ergo qui confitebitur me coram hominibus, confitebor et ego coram Patre meo, qui est in cœlis* (*ibid.* 32)..... *Nam qui me erubuerit et meos sermones, hunc Filius hominis erubescet, cum venerit in majestate sua, et Patris, et sanctorum angelorum* (*Luc.* ix, 26)... *Noli itaque erubescere testimonium Domini nostri, neque me vinctum ejus: sed collabora Evangelio, ut bonus miles Christi* (*II Tim.* i, 8).

REGULA VII.

Quod licet quis videatur Dominum confiteri, et ejus sermones auscultet: is tamen, si ejus mandatis non pareat, condemnatus est, licet aliquo Dei consilio permissum sit, ut fuerit donis spiritualibus ornatus.

Caput I.

Non omnis qui dicit mihi, Domine, Domine, intrabit in regnum cœlorum: sed qui facit voluntatem Patris mei, qui est in cœlis. Multi dicent mihi in illa die, Domine, Domine, nonne in nomine tuo prophetavimus? et in nomine tuo dæmonia ejecimus? et in nomine tuo virtutes multas fecimus? Et tunc confitebor illis: Nunquam novi vos. Discedite a me, qui operamini iniquitatem (*Matth.* vii, 21-23), etc...... *Quid autem vocatis me, Domine, Domine, et non facitis quæ dico?* (*Luc.* vi, 46) etc.... *Confitentur se nosse Deum, factis autem negant; cum sint abominabiles, et dicto non audientes, et ad omne opus bonum reprobi* (*Tit.* i, 16).

REGULA VIII.

Quod non oportet ambigere et dubitare de iis quæ a Domino dicuntur: sed persuaderi omne Dei verbum verum esse ac possibile, etsi natura repugnat. Hic enim situm est fidei certamen.

Caput I.

Quarta autem vigilia noctis venit Jesus ad eos ambulans super mare. Et videntes eum discipuli super mare ambulantem, turbati sunt, dicentes: Phantasma est: et præ timore clamaverunt. Statimque Jesus locutus est eis dicens: Habete fidu-

A *Κεφάλ. α'.*

ΜΑΤΘΑΙΟΣ. *Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἠκούσατε, κηρύξατε ἐπὶ τῶν δωμάτων. Καὶ μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. Πᾶς οὖν, ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.* ΛΟΥΚΑΣ. *Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, καὶ τοῦ Πατρὸς, καὶ τῶν ἁγίων ἀγγέλων.* ΠΡΟΣ ΤΙΜ. β'. *Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν,*
B *μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ· ἀλλὰ συγκακοπάθησον τῷ Εὐαγγελίῳ, ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ.*

ΟΡΟΣ Ζ'.

Ὅτι, κἂν δοκῇ τις ὁμολογεῖν τὸν Κύριον, καὶ ἀκούῃ (75) τῶν λόγων αὐτοῦ, ἀπειθῇ δὲ ταῖς ἐντολαῖς αὐτοῦ, κατακέκριται, κἂν ἐν χαρίσμασι πνευματικοῖς διά τινα οἰκονομίαν γενέσθαι συγχωρηθῇ.

Κεφάλ. α'.

ΜΑΤΘΑΙΟΣ. *Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ*
C *ἡμέρᾳ· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; Καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι Οὐδέποτε ἔγνων ὑμᾶς. Ἀποχωρεῖτε ἀπ' ἐμοῦ, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,* καὶ τὰ ἑξῆς. ΛΟΥΚΑΣ. *Τί δέ με καλεῖτε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω;* καὶ τὰ ἑξῆς. ΠΡΟΣ ΤΙΤ. *Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται· βδελυκτοὶ ὄντες, καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.*

ΘΡΟΣ Η'.

Ὅτι οὐ δεῖ διακρίνεσθαι καὶ διστάζειν (76) ἐπὶ τοῖς ὑπὸ τοῦ Κυρίου λεγομένοις, ἀλλὰ πεπληροφορῆσθαι πᾶν ῥῆμα Θεοῦ ἀληθὲς εἶναι καὶ δυνατὸν,
D κἂν ἡ φύσις μάχηται. Ἐνταῦθα γὰρ καὶ ὁ ἀγὼν τῆς πίστεως.

Κεφάλ. α'.

ΜΑΤΘΑΙΟΣ. *Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἔρχεται ὁ Ἰησοῦς πρὸς* (77) *αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης. Καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα, ἐταράχθησαν, λέγοντες· Φάντασμά ἐστι· καὶ ἀπὸ τοῦ φόβου*

(75) Reg. tertius καὶ ἀκούειν. Ibidem utraque editio ἀπειθῇ δὲ τὰς ἐντολάς. Regii primus et tertius ταῖς ἐντολαῖς, recte. Hoc ipso in loco Reg. primus καταχρίνεται. Post illud, ἐργαζόμενοι τὴν ἀνομίαν, addita sunt in Mess. et in Regio nostro codice verba illa Matthæi vii, 24 et seq.: Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους..... ἡ πτῶσις αὐτῆς μεγάλη σφόδρα.

(76) Reg. tertius ἢ διστάζειν.

(77) Reg. primus ἔρχεται ὁ Ἰησοῦς πρός. Utraque editio ἔρχεται πρός.

ἔκραξαν. Εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς λέγων· Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. Ἀποκριθεὶς δὲ αὐτῷ ὁ (78) Πέτρος εἶπε· Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα. Ὁ δὲ εἶπεν· Ἐλθέ. Καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος, περιεπάτησεν ἐπὶ τὰ ὕδατα, ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. Βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν, ἐφοβήθη· καὶ ἀρξάμενος καταποντίζεσθαι, ἔκραξε (79) λέγων· Κύριε, σῶσόν με. Εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο αὐτοῦ, καὶ λέγει αὐτῷ· Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; ΙΩΑΝΝΗΣ. Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι, λέγοντες· Πῶς δύναται οὗτος ἡμῖν τὴν σάρκα δοῦναι φαγεῖν; Εἶπεν οὖν αὐτοῖς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε (80) αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ΛΟΥΚΑΣ. Εἶπε δὲ αὐτῷ ὁ ἄγγελος· Μὴ φοβοῦ, Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι. Καὶ μετ' ὀλίγα· Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον· Κατὰ τί γνώσομαι τοῦτο; Ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. Καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ· Ἐγώ εἰμι Γαβριὴλ, ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. Καὶ ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. ΠΡΟΣ ΡΩΜ. Καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα (81) ἤδη νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάῤῥας. Εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει· δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς, ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. Διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

A ciam. *Ego sum, nolite timere. Respondens autem illi Petrus dixit: Domine, si tu es, jube me ad te venire super aquas. Et ipse ait: Veni. Et descendens Petrus de navi, ambulabat super aquas, ut veniret ad Jesum. Videns vero ventum validum, timuit: et cum cœpisset mergi, clamavit dicens: Domine, salvum me fac. Et continuo Jesus extendens manum, apprehendit eum, et ait illi: Modicæ fidei, quare dubitasti?...* (*Matth.* XIV, 25-31.) *Litigabant ergo Judæi ad invicem, dicentes: Quomodo hic* **241** *potest nobis dare carnem ad manducandum? Dixit ergo eis: Amen, amen dico vobis, nisi manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, non habetis vitam in vobis* (*Joan.* VI, 53, 54)..... *Ait autem ad illum angelus:*
B *Ne timeas, Zacharia, quia exaudita est deprecatio tua: et Elisabeth uxor tua pariet tibi filium* (*Luc.* I, 13). Et paulo post: *Et dixit Zacharias ad angelum: Unde hoc sciam? Ego enim sum senex, et uxor mea processit in diebus suis. Et respondens angelus dixit ei: Ego sum Gabriel, qui asto ante Deum: et missus sum loqui ad te, et hæc tibi evangelizare. Et ecce eris tacens, et non poteris loqui usque in diem, quo hæc fiant, pro eo quod non credidisti verbis meis, quæ implebuntur in tempore suo* (*ibid.* 18-20)..... *Et non infirmatus est in fide, nec consideravit corpus suum jam emortuum, cum fere centum esset annorum, et emortuam vulvam Sarræ. In promissione vero Dei*
C *non hæsitavit diffidentia, sed confortatus est fide: dans gloriam Deo, plenissime sciens quod quodcunque promisit, potens est et facere: ideo et reputatum est illi ad justitiam* (*Rom.* IV, 19-22).

Ὅτι ὁ ἐπὶ τοῖς ἐλάττοσι (82) μὴ πιστεύων τῷ Κυρίῳ δῆλός ἐστι πολὺ πρότερον ἐπὶ τοῖς μείζοσιν ἀπιστῶν.

Quod qui in minoribus non credit Domino, eum constat longe magis in majoribus ipsi fidem non habere.

Κεφάλ. Β'.

ΙΩΑΝΝΗΣ. *Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε;* ΛΟΥΚΑΣ. *Ὁ πιστὸς ἐν ἐλαχίστῳ καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος καὶ ἐν πολλῷ ἄδικός ἐστιν.*

Caput II.

Si terrena dixi vobis, et non creditis; quomodo, si dixero vobis cœlestia, credetis? (*Joan.* III, 12.) *Qui fidelis in minimo est, et in multo fidelis est: et qui in minimo iniquus est, et in multo iniquus est*
D (*Luc.* XVI, 10).

Ὅτι οὐ χρὴ λογισμοῖς ἰδίοις στηρίζεσθαι ἐπὶ ἀθετήσει τῶν ὑπὸ τοῦ Κυρίου λεγομένων· ἀξιοπιστότερα δὲ εἰδέναι τῆς ἰδίας πληροφορίας τὰ τοῦ Κυρίου ῥήματα.

Quod non oportet quemquam suis ratiocinationibus niti ad ea quæ a Domino dicuntur reprobanda: sed nosse debet Domini verba fide esse digniora quam suam ipsius persuasionem.

Κεφάλ. Γ'.

ΜΑΤΘΑΙΟΣ. *Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ·*

Caput III.

Tunc dicit illis Jesus: Omnes vos scandalum patiemini in me in ista nocte. Respondens autem Petrus, ait illi: Etsi omnes scandalizati fuerint in te, ego

(78) Reg. tertius ἀποκριθεὶς δὲ αὐτῷ ὁ. Editi ἀποκριθεὶς δὲ ὁ.

(79) Utraque editio ἔκραζε. Antiqui duo libri ἔκραξε.

(80) Editio Paris. Υἱοῦ ἀνθρώπου, καὶ πίνητε. Editio Ven. et duo mss. ut in contextu. Statim Reg. tertius εἶπε δὲ πρὸς αὐτὸν ὁ.

(81) Utraque editio τὸ αὐτοῦ σῶμα. At mss. tres τὸ ἑαυτοῦ.

(82) Editio Paris. ἐπὶ ἐλάττοσι. Libri veteres ἐπὶ τοῖς ἐλάττ. Mox utraque editio καὶ πολύ. Vocula καί in mss. non legitur.

nunquam scandalizabor. Ait illi Jesus : Amen dico tibi, in hac nocte, antequam gallus cantet, ter me negabis (*Matth.* xxvi, 31-34). *Vespere autem facto, discumbebat cum duodecim discipulis : et edentibus illis, dixit eis : Dico vobis, quod unus vestrum me traditurus est. Et contristati valde, cœperunt singuli dicere ei : Nunquid ego sum, Domine?* (*Ibid.* 20-22.) *Et facta est vox ad eum : Surge, Petre, occide, et manduca. Ait autem Petrus : Absit, Domine, quia nunquam manducavi quidquam commune, aut immundum! Et vox iterum secundo ad eum : Quæ Deus purificavit, tu communia ne dixeris* (*Act.* x, 13-15). *Consilia destruentes, et omnem*
242 *altitudinem extollentem se adversus scientiam Dei, et in captivitatem redigentes omnem intellectum in obsequium Christi* (*II Cor.* x, 5).

A *Καὶ εἰ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ἐν ταύτῃ τῇ νυκτὶ, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με..... Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα μαθητῶν· καὶ ἐσθιόντων αὐτῶν, λέγει αὐτοῖς· Λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. Καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· Μήτι ἐγώ εἰμι, Κύριε;* ΠΡΑΞΕΙΣ. *Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· Ἀναστὰς, Πέτρε, θῦσον, καὶ φάγε. Ὁ δὲ Πέτρος εἶπε* (83)· *Μηδαμῶς, Κύριε· ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον. Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.* ΠΡΟΣ ΚΟΡ. β'. *Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαι-*
B *ρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ* (84), *καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.*

REGULA IX.

Quod non oportet quemquam negligentem esse in his cognoscendis, quæ officii sui sunt : sed debet Domini verba attente audita intelligere, et voluntatem ejus facere.

ΟΡΟΣ Θ'.

Ὅτι οὐ δεῖ ἀμελεῖν τῆς τῶν ἐπιβαλλόντων γνώσεως· μετὰ προσοχῆς δὲ τῶν τοῦ Κυρίου λόγων (85) ἀκούοντα συνιέναι, καὶ ποιεῖν τὸ θέλημα αὐτοῦ.

Caput I.

Respondens autem Petrus dixit ei : Edissere nobis parabolam istam. At Jesus dixit : Adhuc et vos sine intellectu estis? Nondum intelligitis quod omne quod in os intrat, in ventrem vadit, et in secessum emittitur? quæ autem procedunt de ore, de corde exeunt, et ea coinquinant hominem? (*Matth.* xv, 15-18.) *Cum quivis audit sermonem regni, et non intelligit, venit malus, et rapit quod seminatum est in corde ejus : hic est qui secus viam seminatus est* (*Matth.* xiii, 19). Et paulo post : *Qui autem in terram bonam seminatus est, hic est qui audit sermonem, et intelligit : qui denique fructum affert, et facit, alius quidem centesimum, alius autem sexagesimum, alius vero tricesimum* (*ibid.* 23). *Et advocans totam turbam, dicebat illis : Audite me et intelligite* (*Marc.* vii, 14). *Videte itaque quomodo caute ambuletis : non quasi insipientes, sed ut sapientes : redimentes tempus, quoniam dies mali sunt. Propterea nolite fieri imprudentes, sed intelligentes quæ sit voluntas Dei* (*Ephes.* v, 15-17).

Κεφάλ. Α

ΜΑΤΘΑΙΟΣ. *Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· Φράσον ἡμῖν τὴν παραβολὴν ταύτην. Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; Οὔπω νοεῖτε, ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα*
C *ἐκβάλλεται; τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς καρδίας ἐξέρχεται, καὶ κοινοῖ τὸν ἄνθρωπον; . . . . . Παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας, καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς, καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ. Οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς.* Καὶ μετ' ὀλίγον (86)· *Ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ συνιὼν, ὃς δὴ καρποφορεῖ, καὶ ποιεῖ ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα.* ΜΑΡΚΟΣ. *Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον, εἶπεν αὐτοῖς· Ἀκούετέ μου, καὶ συνίετε.* ΠΡΟΣ ΕΦΕΣ. *Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε· μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί· ἐξαγοραζόμενοι τὸν και-*
D *ρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Θεοῦ.*

Quod in rebus minime ad nos pertinentibus nullo modo debemus curiosi esse.

Ὅτι περὶ τῶν μὴ ἐπιβαλλόντων οὐ δεῖ πολυπραγμονεῖν.

Caput II.

Et post buccellam introivit in eum Satanas. Et dicit ei Jesus : Quod facis, fac citius. Hoc autem nemo scivit discumbentium, ad quid dixit ei (*Joan.* xiii, 27, 28). *Igitur qui convenerant, interrogabant eum, dicentes : Domine, si in tempore hoc restitues regnum*

Κεφάλ. Β'.

ΙΩΑΝΝΗΣ. *Καὶ μετὰ τὸ ψωμίον, τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὃ ποιεῖς, ποίησον τάχιον. Τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων, πρὸς τί εἶπεν αὐτῷ.* ΠΡΑΞΕΙΣ. *Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγον-*

(83) Editio Paris. et textus sacer vulgatus ὁ δὲ Πέτρος εἶπε. Illud εἶπε nec in editione Ven. nec in nostris veteribus libris invenitur.

(84) Reg. primus κατὰ τῆς δυνάμεως τοῦ Θεοῦ, *contra potentiam Dei.*

(85) Utraque editio τὸν τοῦ Κυρίου λόγον. Regii primus et tertius τῶν τοῦ Κυρίου λόγων.

(86) Reg. primus μετ' ὀλίγα.

τες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

A Israel? Dixit autem eis: Non est vestrum nosse tempora vel momenta, quæ Pater posuit in sua ipsius potestate (Act. I, 6, 7).

Ὅτι ἴδιον τῶν ἐχόντων σπουδὴν τῆς πρὸς (87) Θεὸν εὐαρεστήσεως τὸ καὶ ἐπερωτᾷν περὶ ὧν δεῖ.

Quod proprium est eorum, qui de ineunda cum Deo gratia solliciti sunt, de rebus ad officium ipsorum pertinentibus percontari.

Κεφάλ. Γ'.

ΜΑΤΘΑΙΟΣ. Καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· Φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ. . . Καὶ ἰδοὺ, εἷς προσελθὼν, εἶπεν αὐτῷ· Διδάσκαλε ἀγαθὲ, τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον; ΛΟΥΚΑΣ. Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Καὶ μετ' ὀλίγα· Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες· Τί ποιήσομεν (88); Ὁμοίως τελῶναι, ὁμοίως στρατευόμενοι. ΠΡΑΞΕΙΣ. Ἀκούσαντες δὲ κατενύγησαν τὴν καρδίαν, εἰπόν τε πρὸς τὸν Πέτρον, καὶ τοὺς λοιποὺς ἀποστόλους· Τί ποιήσομεν, ἄνδρες (89) ἀδελφοί;

Caput III.

Et accesserunt ad eum discipuli ejus dicentes: Edissere nobis parabolam zizaniorum agri (Matth. XIII, 36). Et ecce, unus accedens, ait illi: Magister bone, quid boni faciam, ut habeam vitam æternam? (Matth. XIX, 16.) Dicebat ergo ad turbas quæ exibant ut baptizarentur ab ipso: Genimina viperarum, quis ostendit vobis fugere a ventura ira? B (Luc. III, 7.) Et paulo post: Et interrogabant eum **243** turbæ, dicentes: Quid faciemus? (ibid. 10): Erant autem cum publicani, tum milites. His autem auditis, compuncti sunt corde, et dixerunt ad Petrum, et ad reliquos apostolos: Quid faciemus, viri fratres? (Act. II, 37.)

Ὅτι δεῖ ἐπερωτωμένῳ φροντίζειν (90) ἀξιολόγως ἀποκρίνεσθαι.

Quod curandum sit ei qui interrogatur, ut recte et præclare respondeat.

Κεφάλ. Δ'.

ΛΟΥΚΑΣ. Καὶ ἰδοὺ, νομικός τις ἀνέστη ἐκπειράζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε, τί ποιήσας, ζωὴν αἰώνιον κληρονομήσω; Εἶπε δὲ πρὸς αὐτόν· Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. Εἶπε δὲ πρὸς αὐτόν· Ὀρθῶς ἀπεκρίθης. Τοῦτο ποίει, καὶ ζήσῃ. ΠΡΟΣ ΚΟΛΟΣΣ. Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Caput IV.

Et ecce, quidam legisperitus surrexit tentans eum, et dicens: Magister, quid faciendo vitam æternam possidebo? At ille dixit ad eum: In lege quid scri- C ptum est? quomodo legis? Ille respondens dixit: Diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex tota mente tua, et proximum tuum sicut teipsum. Dixitque illi: Recte respondisti. Fac hoc et vives (Luc. X, 25-29). Sermo vester semper in gratia, sale sit conditus, ut sciatis quomodo vos oporteat unicuique respondere (Coloss. IV, 6).

Ὅτι χεῖρον μὲν (91) τὸ κρῖμα τῶν συνιέντων, καὶ μὴ ποιούντων· οὔτε δὲ τὸ κατὰ ἄγνοιαν ἁμαρτάνειν ἀκίνδυνον.

Quod gravius est judicium eorum qui noverunt, nec tamen faciunt: licet a periculo non vacet, cum quis per ignorantiam peccat.

Κεφάλ. Ε'.

ΛΟΥΚΑΣ. Ἐκεῖνος δὲ ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς. Ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας.

Caput V

Ille autem servus, qui cognovit voluntatem domini D sui, et non præparavit, et non fecit secundum voluntatem ejus, vapulabit multis. Qui autem non cognovit, et fecit digna plagis, vapulabit paucis (Luc. XII, 47, 48).

ΟΡΟΣ Ι'.

Ὅτι τέλος ἁμαρτίας θάνατος.

REGULA X

Quod finis peccati mors.

Κεφάλ. Α'.

ΙΩΑΝΝΗΣ. Ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν.

Caput I.

Qui incredulus est Filio, non videbit vitam, sed ira Dei manebit super eum (Joan. III, 36). Cum

(87) Editio Paris. σπουδὴν πρός. Codex Combef. et alii duo σπουδὴν τῆς πρός.

(88) Editio Paris. et Reg. tertius Τί ποιήσωμεν. Alii duo mss. et editio Ven. ποιήσομεν. Paulo post Reg. tertius κατενύγησαν τῇ καρδίᾳ.

(89) Utraque editio ποιήσωμεν, ἄνδρες. At mss. tres hoc loco ποιήσομεν.

(90) Regii primus et tertius ὅτι δεῖ ἐπερωτωμένους φροντίζειν, id curandum iis qui interrogantur, ut scite et convenienter respondeant.

(91) Totum illud, ὅτι χεῖρον μέν, etc., in modum tituli positum est in Reg. primo; et ita hæc verba locari debere res ipsa loquitur, cum ea quæ statim ex Actis proferuntur, ad præcedentem titulum quadrare nullo modo possint.

enim servi essetis peccati, liberi fuistis justitiæ. Quem ergo fructum habuistis tunc in illis, in quibus nunc erubescitis? Nam finis illorum mors (*Rom.* VI, 20, 21). Et paulo post: *Stipendia peccati mors* (*ibid.* 23). *Stimulus autem mortis peccatum.* (*I Cor.* XV, 56).

Quod finis mandati Dei est vita æterna.

Caput II.

Amen, amen dico vobis: si quis sermonem meum servaverit, mortem non videbit in æternum (*Joan.* VIII, 51). *Sed qui misit me Pater, ipse mihi mandatum dedit, quid dicam, et quid loquar. Et scio quod mandatum ejus vita æterna est* (*Joan.* XII, 49, 50). *Nunc vero liberati a peccato, servi autem facti Deo, habetis fructum vestrum in sanctificationem, finem vero vitam æternam* (*Rom.* VI, 22).

244 REGULA XI.

Quod non sunt contemnenda Dei judicia, sed timenda, licet debita pœna non statim subsequatur.

Caput I.

Sed potius timete eum, qui potest et animam et corpus perdere in gehennam (*Matth.* X, 28).... *Quod si dixerit servus ille in corde suo: Moram facit dominus meus venire: et cœperit percutere servos, et ancillas, et edere, et bibere, et inebriari: veniet dominus servi illius, in die in qua non sperat, et hora qua nescit, et dividet eum, partemque ejus cum infidelibus ponet* (*Luc.* XII, 45-47). *Vide, sanus factus es: jam noli peccare, ne deterius tibi aliquid contingat* (*Joan.* V, 14).... *Nemo vos seducat inanibus verbis: propter hæc enim venit ira Dei in filios diffidentiæ* (*Ephes.* V, 6).

Quod qui propter priora peccata correptus fuit, et veniam consecutus est, si rursum peccarit, sibi ipsi iræ judicium priore gravius parat.

Caput II.

Vide, sanus factus es, jam noli peccare, ne deterius tibi aliquid contingat (*Joan.* V, 14).

Quod cum quipiam in judicium iræ Dei inciderint, cæteri metu perculsi erudiri et corrigi debeant.

Caput III.

Aderant autem quidam ipso in tempore, nuntiantes illi de Galilæis, quorum sanguinem Pilatus miscuerat cum sacrificiis eorum. Et respondens Jesus dixit illis: Putatis quod hi Galilæi præ omnibus Galilæis peccatores fuerint, quia talia passi sunt?

A ΠΡΟΣ ΡΩΜ. *Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; Τὸ μὲν γὰρ τέλος ἐκείνων θάνατος.* Καὶ μετ' ὀλίγα· *Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος... Τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία.*

Ὅτι τέλος ἐντολῆς Θεοῦ ζωὴ αἰώνιος.

Κεφάλ. Β'.

ΙΩΑΝΝΗΣ. *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. — Ἀλλ' ὁ πέμψας με Πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω, καὶ τί λαλήσω, καὶ οἶδα, ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι.* ΠΡΟΣ ΡΩΜ. *Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ,*
B *ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμὸν, τὸ δὲ τέλος ζωὴν αἰώνιον.*

ΟΡΟΣ ΙΑ.

Ὅτι οὐ δεῖ καταφρονεῖν κριμάτων Θεοῦ, ἀλλὰ φοβεῖσθαι, κἂν μὴ παραυτίκα τὴν ἀνταπόδοσιν ἔχῃ.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.* ΛΟΥΚΑΣ. *Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἔρχεσθαι· καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε* (92) *καὶ πίνειν, καὶ μεθύσκεσθαι· ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ,*
C *καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.* ΙΩΑΝΝΗΣ. *Ἴδε, ὑγιὴς* (93) *γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται* (94). ΠΡΟΣ ΕΦΕΣ. *Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.*

Ὅτι ὁ ἐπὶ τοῖς πρώτοις ἁμαρτήμασι παιδευθεὶς, καὶ τῆς ἀφέσεως καταξιωθεὶς, ἐὰν πάλιν ἁμάρτῃ, χεῖρον τοῦ προτέρου κατασκευάζει ἑαυτῷ τὸ κρῖμα τῆς ὀργῆς.

Κεφάλ. Β'.

ΙΩΑΝΝΗΣ. *Ἴδε, ὑγιὴς* (95) *γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.*

ἔθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι, καὶ ἐγερθέντι, εἰς τὸ γενέσθαι τοὺς πολλοὺς ἓν σῶμα ἐν Χριστῷ..... ΠΡΟΣ ΚΟΡ. α'. Ὁ ἄρτος ὃν κλῶμεν οὐχὶ κοινωνία τοῦ σώματς οτοῦ Χριστοῦ ἐστιν; Ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν. Οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου (44) μετέχομεν.

Ὅτι δεῖ τὸν μεταλαμβάνοντα τῶν ἁγίων ὑμνεῖν τὸν Κύριον.

Κεφάλ. Δ'.

ΜΑΤΘΑΙΟΣ. *Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς*, καὶ τὰ ἑξῆς. Οἷς ἐπιφέρει· *Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν.*

B

ΟΡΟΣ ΚΒ'.

Ὅτι ἡ ἐργασία τῆς ἁμαρτίας ἀπαλλοτριοῖ τοῦ Κυρίου, καὶ προσοικειοῖ τῷ διαβόλῳ.

Κεφάλ. Α'.

ΙΩΑΝΝΗΣ. *Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν.* ΠΡΟΣ ΡΩΜ. *Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ.*

Ὅτι ἡ (45) πρὸς τὸν Κύριον οἰκειότης οὐκ ἐν τῇ κατὰ σάρκα συγγενείᾳ γνωρίζεται, ἀλλ' ἐν τῇ σπουδῇ τῶν θελημάτων τοῦ Θεοῦ κατορθοῦται.

Κεφάλ. Β'.

C

ΙΩΑΝΝΗΣ. *Ὁ ὢν ἐκ τοῦ Θεοῦ τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει.* ΛΟΥΚΑΣ. *Καὶ ἀπηγγέλη αὐτῷ, λεγόντων· Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί (46) εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες καὶ ποιοῦντες.* ΙΩΑΝΝΗΣ. *Ὑμεῖς φίλοι μου ἐστὲ, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν.* ΠΡΟΣ ΡΩΜ. *Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι υἱοὶ Θεοῦ εἰσιν.*

ΟΡΟΣ ΚΓ'.

Ὅτι ὁ ἄκων ἑλκόμενος ὑπὸ ἁμαρτίας ὀφείλει γνωρίζειν ἑαυτὸν ὑφ' ἑτέρας προενυπαρχούσης κρατούμενον ἁμαρτίας, ᾗ ἑκὼν δουλεύων, ἄγεται λοιπὸν ὑπ' αὐτῇ (47) καὶ ἐφ' ἃ μὴ θέλει.

D

Κεφάλ. Α'.

ΠΡΟΣ ΡΩΜ. *Οἴδαμεν δὲ, ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος (48) ὑπὸ τὴν ἁμαρτίαν. Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω. Οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ, ὅτι καλός. Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν*

A *quem frangimus nonne participatio corporis Christi est? Quoniam unus panis, uuum corpus multi sumus. Omnes enim de uno vane participamus* (*I Cor.* x, 16, 17).

Quod hymnis laudandus sit Dominus ab eo qui sancta participat

Caput IV.

Edentibus autem illis, accepit Jesus panem, et cum gratias egisset, fregit deditque discipulis (*Matth.* xxvi, 26), et quæ sequuntur. Quibus adjungit: *Et hymno dicto, exierunt in montem Olivarum* (*ibid.* 30).

REGULA XXII

Quod peccatum, cum perpetratur, abalienat a Domino: conciliat vero et adjungit diabolo.

Caput I.

Amen, amen dico vobis, quoa omnis qui facit peccatum, servus est peccati (*Joan.* viii, 34)..... *Vos ex patre diabolo estis, et desideria patris vestri vultis facere* (*ibid.* 44)..... *Cum enim servi essetis peccati, liberi fuistis justitiæ* (*Rom.* vi, 20).

Quod necessitudo cum Domino non in carnis **255**
conjunctione noscitur, sed in studio divinæ implendæ voluntatis perficitur.

Caput II.

Qui ex Deo est, verba Dei audit (*Joan.* viii, 47)... *Et nuntiatum est illi, dictumque: Mater tua, et fratres tui stant foris, volentes te videre. Qui respondens dixit ad eos: Mater mea et fratres mei hi sunt, qui verbum Dei audiunt, et faciunt* (*Luc.* viii, 20, 21)..... *Vos amici mei estis, si feceritis quæ ego præcipio vobis* (*Joan.* xv, 14)..... *Quicunque enim Spiritu Dei aguntur, ii sunt filii Dei* (*Rom.* viii, 14).

REGULA XXIII.

Quod qui præter voluntatem trahitur a peccato, is intelligere debet, se ab alio peccato, prius a se commisso, constrictum teneri, cui sponte inserviens, tandem rapitur ab ipso etiam ad ea quæ non vult.

Caput I.

Scimus enim quod lex spiritualis est, ego autem carnalis sum, venundatus sub peccato. Quod enim operor, non intelligo. Non enim quod volo, hoc ago: sed quod odi, illud facio. Si autem quod nolo, illud facio, consentio legi quod bona est. Nunc autem jam non ego operor illud, sed quod habitat in me peccatum. Scio enim quod non habitat in me,

(44) Utraque editio ἐκ τοῦ ἄρτου τοῦ ἑνός. At duo mss. ut in contextu.

(45) Sic veteres duo libri. Vocula ἡ deest in vulgatis.

(46) Vox οὗτοι, quæ in utraque editione legitur, a veteribus libris abest.

(47) Reg. tertius ἐπ' αὐτῇ. Ibidem duo mss. μὴ θέλη.

(48) Utraque editio perinde ut Combefisii Regius codex πεπραγμένος, corrupte. Regii primus et tertius πεπραμένος, emendate. Quod notavit Combefisius, legi in Reg. suo codice πεπραμένος, in eo ipsum lapsum fuisse moneo.

hoc est, in carne mea, bonum : nam velle adjacet mihi, perficere autem bonum, non invenio. Non enim quod volo, facio bonum : sed quod nolo malum, hoc ago. Si autem quod nolo ego, illud facio : jam non ego operor illud, sed quod habitat in me peccatum (*Rom.* VII, 14-20).

A

REGULA XXIV.

Quod non mendacium, sed verum in omnibus dicendum.

Caput I.

Sit autem sermo vester, Est, est : Non, non : quod autem his abundantius est, a malo est (*Matth.* V, 37)... *Deponentes mendacium, loquimini veritatem unusquisque cum proximo suo* (*Ephes.* IV, 25)..... B *Nolite mentiri invicem* (*Coloss.* III, 9).

REGULA XXV.

Quod quæstiones inutiles et contentiosæ non sunt faciendæ.

Caput I.

Hæc commone, testificans coram Domino : noli contendere verbis ad nullam utilitatem, ad subversionem audientium (*II Tim.* II, 14)..... *Stultas autem et sine disciplina quæstiones devita, sciens quod generant lites* (*ibid.* 23).

Quod non sunt proferenda verba otiosa, quæ **256** nihil utilitatis afferant. Etenim loqui, aut etiam facere ipsum bonum non ad ædificationem fidei, id sanctum Dei Spiritum tristitia afficit. C

Caput II.

Dico autem vobis, quod de omni verbo otioso quod locuti fuerint homines, reddent rationem in die judicii (*Matth.* XII, 36)..... *Omnis sermo spurcus ex ore vestro non procedat : sed si quis bonus ad ædificationem fidei, ut det gratiam audientibus. Et nolite contristare Spiritum sanctum Dei : in quo obsignati estis in diem redemptionis* (*Ephes.* IV, 29. 30).

REGULA XXVI.

Quod verbum omne aut res testimonio divinæ Scripturæ obfirmanda sunt ad integram bonorum persuasionem, et ad malorum verecundiam. D

Caput I.

Et accedens ad eum tentator dixit : Si Filius Dei es, dic ut lapides isti panes fiant. Qui respondens dixit : Scriptum est : Non in solo pane vivet homo, sed in omni verbo, quod procedit de ore Dei (*Matth.* IV, 3; *Deut.* VIII, 3)..... *Et repleti sunt omnes Spiritu sancto, et cœperunt loqui aliis linguis, prout Spiritus sanctus dabat eloqui illis* (*Act.* II, 4)..... *Stupebant autem omnes, et mirabantur ad invicem, dicentes : Quidnam vult hoc esse ? Alii*

ἐμοὶ ἁμαρτία. Οἶδα δὲ, ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν, ἐν τῇ σαρκί μου, ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὐχ εὑρίσκω. Οὐ γὰρ ὃ θέλω, ποιῶ ἀγαθὸν, ἀλλ' ὃ οὐ θέλω κακὸν, τοῦτο πράσσω. Εἰ δὲ ὃ οὐ θέλω ἐγὼ, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

ΟΡΟΣ ΚΔ'.

Ὅτι οὐ δεῖ ψεύδεσθαι, ἀλλ' ἀληθεύειν ἐν παντί.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Ἔστω δὲ ὁ λόγος ὑμῶν, ναὶ, ναί· οὒ, οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.* ΠΡΟΣ ΕΦΕΣ. *Ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ...* ΠΡΟΣ ΚΟΛ. *Μὴ ψεύδεσθε εἰς ἀλλήλους.*

ΟΡΟΣ ΚΕ'.

Ὅτι οὐ δεῖ ζητήσεις ἀνωφελεῖς ἢ ἐμφιλονείκους ποιεῖσθαι.

Κεφάλ. Α'.

ΠΡΟΣ ΤΙΜ. β'. *Ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου· μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.... Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς, ὅτι γεννῶσι μάχας.*

Ὅτι οὐ δεῖ φθέγγεσθαι λόγον ἀργὸν, ἐξ οὗ οὐδὲν ὄφελος. Τὸ γὰρ μὴ πρὸς οἰκοδομὴν τῆς πίστεως λαλεῖν, ἢ καὶ (49) ποιεῖν αὐτὸ τὸ ἀγαθὸν, λυπεῖν ἐστι τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ.

Κεφάλ. Β'.

ΜΑΤΘΑΙΟΣ. *Λέγω δὲ ὑμῖν* (50), *ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως.* ΠΡΟΣ ΕΦΕΣ. *Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω· ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς πίστεως, ἵνα δῷ χάριν τοῖς ἀκούουσι, καὶ μὴ λυπῆτε* (51) *τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.*

ΟΡΟΣ ΚϚ'.

Ὅτι δεῖ πᾶν ῥῆμα ἢ πρᾶγμα πιστοῦσθαι τῇ μαρτυρίᾳ τῆς θεοπνεύστου Γραφῆς εἰς πληροφορίαν μὲν τῶν ἀγαθῶν, ἐντροπὴν δὲ τῶν πονηρῶν.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν· Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. Ὁ δὲ ἀποκριθεὶς εἶπε· Γέγραπται· Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.* ΠΡΑΞΕΙΣ. *Καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι... Ἐξίσταντο δὲ πάντες, καὶ*

(49) Voculam καὶ addidi ex antiquis libris.

(50) Utraque editio λέγω ὑμῖν. Veteres duo libri λέγω δὲ ὑμῖν.

(51) Reg. tertius μὴ λυπεῖτε.

διηπόρουν (52), *ἄλλος πρὸς ἄλλον λέγοντες· Τί ἂν θέλοι εἶναι τοῦτο; Ἕτεροι δὲ χλευάζοντες ἔλεγον, ὅτι Γλεύκους μεμεστωμένοι εἰσίν. Σταθεὶς δὲ ὁ Πέτρος σὺν τοῖς ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς· Ἄνδρες Ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. Οὐ γὰρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας· ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ· Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεός, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσι*, καὶ τὰ ἑξῆς (53).

A *autem irridentes dicebant : Musto pleni sunt isti. Stans autem Petrus cum undecim, levavit vocem suam, et locutus est eis : Viri Judæi, et qui habitatis Jerusalem universi, hoc vobis notum sit, et auribus percipite verba mea. Non enim sicut vos putatis, hi ebrii sunt, cum sit hora diei tertia : sed hoc est, quod dictum est per prophetam Joel : Et erit in novissimis diebus, dicit Deus, effundam de Spiritu meo super omnem carnem, et prophetabunt* (*Act.* II, 12-17; *Joel.* II, 28)... et quæ sequuntur.

Ὅτι δεῖ καὶ τοῖς ἐν τῇ φύσει καὶ τῇ συνηθείᾳ τοῦ βίου γνωριζομένοις κεχρῆσθαι εἰς βεβαίωσιν τῶν γινομένων ἢ λεγομένων.

B Quod oportet etiam iis quæ in natura ac consuetudine vitæ nota sunt, uti ad confirmationem eorum quæ fiunt aut dicuntur.

Κεφάλ. Β'.

ΜΑΤΘΑΙΟΣ. *Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν, ἢ ἀπὸ τριβόλων σῦκα; Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον* (54) *καρποὺς πονηροὺς ποιεῖ*, καὶ τὰ ἑξῆς. ΛΟΥΚΑΣ. *Καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν καὶ οἱ Φαρισαῖοι, πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες· Διὰ τί μετὰ τελωνῶν* (55) *καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε; Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.* ΠΡΟΣ ΤΙΜ. β'. *Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.*

Caput II.

Attendite a falsis prophetis, qui veniunt ad vos in vestimentis ovium, intrinsecus autem sunt lupi rapaces. A fructibus eorum cognoscetis eos. Nunquid colligunt de spinis uvam, aut de tribulis ficus ? Sic omnis arbor bona fructus **257** *bonos facit : putrida autem arbor fructus malos facit* (*Matth.* VII, 15-17), et cætera..... *Et murmurabant scribæ eorum et Pharisæi, dicentes ad discipulos ejus : Quare cum publicanis et peccatoribus manducatis et bibitis ? Et respondens Jesus dixit ad illos : Non egent qui sani sunt medico, sed qui male habent* (*Luc.* V, 30-32).... *Nemo militans implicat se vitæ negotiis, ut ei* C *qui se in militiam delegit, placeat. Quod si certet etiam aliquis, non coronatur nisi legitime certaverit* (*II Tim.* II, 4, 5).

ΟΡΟΣ ΚΖ'.

Ὅτι οὐ δεῖ τοῖς ἀλλοτρίοις τῆς τοῦ Κυρίου διδασκαλίας (56) ἐξομοιοῦσθαι· μιμεῖσθαι δὲ τὸν Θεὸν καὶ τοὺς ἁγίους αὐτοῦ κατὰ τὴν δοθεῖσαν ἡμῖν παρ' αὐτοῦ δύναμιν (57).

REGULA XXVII.

Quod non debemus fieri similes eis qui a Domini doctrina sunt alieni : contra, quod oportet imitari Deum et sanctos ejus pro data nobis ab illo facultate.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Οἴδατε, ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. Οὐχ οὕτως ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν γενέσθαι πρῶτος* (58), *ἔσται ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν πρῶτος*

Caput I.

Scitis quod principes gentium dominentur illis : et qui magni sunt, potestatem exerceant in eas. Non ita erit inter vos; sed quicunque voluerit inter vos D *primus fieri, erit vester minister ; et qui voluerit inter vos primus esse, erit vester servus : sicut Filius*

(52) Reg. primus πάντες οἱ ἀκούοντες, καὶ διηπόρουν, *Stupebant autem omnes qui audiebant.*

(53) Post illud, καὶ τὰ ἑξῆς, ita scriptum invenitur in Reg. tertio, ἐπορεύθη δὲ ὁ... τοῖς ἱερεῦσι μόνοις : quæ verba legere est apud Matthæum XII, 1. Quæ mox retuli verba ex Matthæo, reperiuntur quoque in Messanensi, sed non eodem loco. Posita sunt enim post illud quod aliquanto ante legitur, διὰ στόματος Θεοῦ.

(54) Reg. tertius τὸ δὲ σαπρὸν δένδρον. Vox ultima deest in utraque editione et in duobus aliis codicibus. Mox Regii primus et tertius γραμματεῖς αὐτῶν καί. Vox αὐτῶν in editione Parisiensi desideratur.

(55) Reg. primus μετὰ τῶν τελωνῶν. Mox duo mss. Ἰησοῦς εἶπε πρὸς αὐτούς.

(56) Reg. tertius τῆς τοῦ Θεοῦ διδ., *a Dei doctrina.*

(57) Post vocem δύναμιν ita in Mess. et in Reg. tertio legitur, Ἐὰν γὰρ ἀγαπήσητε τούς... ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν· quæ verba invenias apud Matthæum V, 46.

(58) Sic editio Ven. et Reg. tertius. Paulo aliter Reg. secundus ἔσται ὑμῖν· cætera autem ut in eo quem modo citavi libro. Reg. primus ἐν ὑμῖν γενέσθαι πρῶτος, ἔσται ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι ἄρχων, ἔσται ὑμῶν δοῦλος. *Sed quicunque voluerit inter vos primus fieri, erit vester minister : et qui voluerit inter vos princeps esse, erit vester servus.* Editio Paris. ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν γενέσθαι μέγας, *sed quicunque voluerit inter vos magnus fieri* : sed ita a typographis editum fuisse ex Bibliis puto. Ibidem Reg. 1 οὕτως δὲ ἔσται.

hominis non venit ut ministraretur sibi, sed ut ministraret, et daret animam suam redemptionem pro multis (*Matth.* xx, 25-28)..... *Nolite conformari huic sæculo, sed transformamini per renovationem mentis vestræ, ut probetis quæ sit voluntas Dei* (*Rom.* xii, 2)..... *Imitatores mei estote, sicut et ego Christi* (*I Cor.* xi, 1).

REGULA XXVIII.

Quod non oportet temere et inconsiderate abripi et attrahi ab iis qui simulant veritatem : sed ex dato nobis a Scriptura signo unumquemque cognoscere.

Caput I.

Attendite a falsis prophetis, qui veniunt ad vos in vestimentis ovium, intrinsecus autem sunt lupi rapaces. A fructibus eorum cognoscetis eos (*Matth.* vii, 15, 16)..... *In hoc cognoscent omnes quod discipuli mei estis, si dilectionem mutuam habueritis inter vos* (*Joan.* xiii, 35)..... *Ideo notum vobis facio, quod nemo in Spiritu Dei loquens, dicit anathema Jesum* (*I Cor.* xii, 3).

REGULA XXIX.

Quod debet unusquisque professionem suam per sua opera confirmare.

Caput I.

Ipsa opera, quæ ego facio, testimonium perhibent de me, quod Pater miserit me (*Joan.* v, 36)..... *Si non facio opera Patris mei, ne credatis* **258** *mihi : si vero facio, etsi non creditis mihi, operibus meis credite, ut cognoscatis, et credatis quod Pater in me est, et ego in Patre* (*Joan.* x, 37, 38)..... *Nullam in ulla re dantes offensionem, ut non vituperetur ministerium. Sed in omnibus exhibentes nosmetipsos sicut Dei ministros, in multa patientia, in tribulationibus* (*II Cor.* vi, 3, 4), etc.

REGULA XXX.

Quod res sacræ per admistionem eorum quæ communi usui destinantur non sunt profanandæ.

Caput I.

Et intravit Jesus in templum Dei, et ejecit omnes vendentes, et ementes in templo, et mensas nummulariorum, et cathedras vendentium columbas evertit : et dicit eis : Scriptum est : Domus mea domus orationis vocabitur : vos autem fecistis eam speluncam latronum (*Matth.* xxi, 12, 13; *Isa.* lvi, 7)... *Nunquid domos non habetis ad manducandum et bibendum? aut Ecclesiam Dei contemnitis, et confunditis eos qui non habent?* (*I Cor.* xi, 22)... *Si quis esurit, domi manducet : ut non in judicium conveniatis* (*ibid.* 34).

Quod id quod Deo dicatum est, tandiu velut sanctum honorandum sit, quandiu voluntas Dei in ipso conservatur.

A *εἶναι, ἔσται ὑμῶν δοῦλος· ὥσπερ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.* ΠΡΟΣ ΡΩΜ. *Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ.* ΠΡΟΣ ΚΟΡ. α'. *Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.*

ΟΡΟΣ ΚΗ'.

Ὅτι οὐ δεῖ ἁπλῶς, οὐδὲ ἀνεξετάστως ὑπὸ τῶν ὑποκρινομένων τὴν ἀλήθειαν συναρπάζεσθαι· ἀπὸ δὲ τοῦ δεδομένου ἡμῖν παρὰ τῆς Γραφῆς χαρακτῆρος γνωρίζειν ἕκαστον.

Κεφάλ. Α'.

B ΜΑΤΘΑΙΟΣ. *Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.* ΙΩΑΝΝ. *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.* ΠΡΟΣ ΚΟΡ. α'. *Διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν.*

ΟΡΟΣ ΚΘ'.

Ὅτι δεῖ ἕκαστον διὰ τῶν οἰκείων ἔργων πιστοῦσθαι τὸ ἑαυτοῦ ἐπάγγελμα.

Κεφάλ. Α'.

ΙΩΑΝΝΗΣ. *Αὐτὰ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ Πατήρ με ἀπέσταλκεν. Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι·* C *εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου* (59) *πιστεύσατε· ἵνα γνῶτε καὶ πιστεύσητε, ὅτι ἐν ἐμοὶ ὁ Πατὴρ, κἀγὼ ἐν αὐτῷ.* ΠΡΟΣ ΚΟΡ. β'. *Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακονία. Ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσι,* καὶ τὰ ἑξῆς.

ΟΡΟΣ Λ'.

Ὅτι οὐ δεῖ τὰ ἅγια τῇ ἐπιμιξίᾳ τῶν πρὸς τὴν κοινὴν χρείαν καθυβρίζειν.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέ-* D *ζας τῶν κολλυβιστῶν κατέστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς· καὶ λέγει αὐτοῖς· Γέγραπται· Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν.* ΠΡΟΣ ΚΟΡ. α'. *Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς Ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; Εἴ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρίμα συνέρχησθε.*

Ὅτι τὸ ἐπονομαζόμενον τῷ Θεῷ μέχρι τότε ὡς ἅγιον τιμᾷν δεῖ, μέχρις ἂν τὸ τοῦ Θεοῦ (60) θέλημα φυλάσσηται ἐπ' αὐτῷ.

(59) Utraque editio et duo mss. ἔργοις μου. Vocula μου deest in Reg. primo.

(60) Editio Paris. τοῦ Θεοῦ. Veteres duo libri τὸ τοῦ Θεοῦ.

Κεφάλ. Β'.

A

ΜΑΤΘΑΙΟΣ. Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει (61) τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.

Caput II.

Jerusalem, Jerusalem, quæ occidis prophetas, et lapidas eos qui ad te missi sunt, quoties volui congregare filios tuos, quemadmodum gallina congregat pullos suos sub alas, et noluisti? Ecce, relinquitur vobis domus vestra deserta (*Matth.* XXIII, 37, 38).

ΟΡΟΣ ΛΑ'.

Ὅτι οὐ δεῖ τὰ τοῖς ἀνακειμένοις τῷ Θεῷ ἀφωρισμένα εἰς ἑτέρους ἀναλίσκειν, εἰ μή τι ἂν ἐκ τοῦ περισσεύματος.

REGULA XXXI.

Quod res assignatæ iis qui Deo se consecrarunt, in alios non sint insumendæ : nisi si quid supersit superfluum.

Κεφάλ. Α'.

ΜΑΡΚΟΣ. Ἦν δὲ γυνὴ Ἑλληνὶς Συροφοίνισσα (62) τῷ γένει, καὶ ἐπηρώτα αὐτὸν, ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς. Ὁ δὲ εἶπεν· Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· οὐ γάρ καλόν ἐστι λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς (63) κυναρίοις. Ἡ δὲ ἀπεκρίθη καὶ εἶπεν αὐτῷ· Ναί, Κύριε· καὶ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παίδων. Καὶ εἶπεν αὐτῇ· Διὰ τοῦτον τὸν λόγον ὕπαγε, ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου.

Caput I.

B

Erat autem mulier gentilis Syrophœnissa genere, et rogabat eum ut dæmonium ejiceret de filia sua. Qui dixit illi : Sine prius saturari filios : non est enim bonum sumere panem filiorum, et projicere catellis. At illa respondit et dixit illi : Utique, Domine; nam et catelli comedunt sub mensa de micis puerorum. Et ait illi : Propter hunc sermonem vade, exiit dæmonium de filia tua (*Marc.* VII, 26-29).

ΟΡΟΣ ΛΒ'.

Ὅτι δεῖ τὰ ἐπιβάλλοντα ἑκάστῳ εὐγνωμόνως ἀποδιδόναι.

259 REGULA XXXII.

Quod ex æquo et bono unicuique reddi debent quæ sua sunt.

Κεφάλ. Α.

ΛΟΥΚΑΣ. Καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· Διδάσκαλε, οἴδαμεν, ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις· ἔξεστιν ἡμῖν Καίσαρι φόρον δοῦναι (64), ἢ οὔ; Κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν, εἶπε πρὸς αὐτούς· Τί με πειράζετε; Δείξατέ μοι δηνάριον. Τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; Ἀποκριθέντες δὲ εἶπον· Καίσαρος. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.
ΠΡΟΣ ΡΩΜ. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλὰς, τῷ τὸν φόρον τὸν φόρον, τῷ τὸ τέλος τὸ τέλος, τῷ τὸν φόβον τὸν φόβον, τῷ τὴν τιμὴν τὴν τιμήν. Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν.

Caput I.

C

Et interrogaverunt eum, dicentes : Magister, scimus quia recte dicis, et doces, et non accipis personam, sed viam Dei in veritate doces : licet nobis tributum dare Cæsari, an non? Considerans autem dolum illorum, dixit ad eos : Quid me tentatis? Ostendite mihi denarium. Cujus habet imaginem et inscriptionem? Respondentes dixerunt : Cæsaris. Et ait illis : Reddite ergo quæ sunt Cæsaris, Cæsari : et quæ sunt Dei, Deo (*Luc.* XX, 21-25)... *Reddite ergo omnibus debita : cui tributum, tributum : cui vectigal, vectigal : cui timorem, timorem : cui honorem, honorem. Nemini quidquam debeatis, nisi ut invicem diligatis* (*Rom.* XIII, 7, 8).

ΟΡΟΣ ΛΓ'.

Ὅτι οὐ δεῖ σκανδαλίζειν.

REGULA XXXIII.

D

Quod scandalum non sit dandum.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. Ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν (65) τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης· καὶ πάλιν· Οὐαὶ τῷ ἀνθρώπῳ

Caput I.

Qui autem scandalizaverit unum de pusillis istis, qui in me credunt, expedit ei ut suspendatur mola asinaria ad collum ejus, et demergatur in profundum maris (*Matth.* XVIII, 6). *Et rursum : Væ homini illi, per quem scandalum venit* (*ibid.* 7)...

(61) Vocem ἐπισυνάγει ex antiquis duobus libris addidi. Mox editio Paris. πτέρυγας αὐτῆς. Vox ultima in nostris tribus mss. non reperitur. Nec ita multo post utraque editio Ἰδοὺ ἀφίετε ὑμῖν ὁ οἶκος ἔρημος, corrupte. Regii primus et tertius ut in contextu, emendate.

(62) Utraque editio et Reg. secundus Συροφοινίκισσα. Reg. primus Σύρα φοινίκισσα. Reg. tertius Συροφοίνισσα. Haud longe editio Paris. δαιμόνιον ἐκβάλλῃ. Editio Ven. et mss. tres ἐκβάλῃ.

(63) Editio Paris. καὶ βάλλειν τοῖς. Regii primus et tertius βαλεῖν, secundus τέκνων, καὶ δοῦναι τοῖς, *et dare catellis*. Ibidem Reg. primus Ἡ δὲ ἀποκριθεῖσα εἶπεν αὐτῷ.

(64) Reg. tertius φόρους διδόναι.

(65) Reg. primus ὀνικὸς ἐπὶ τόν. Aliquanto post idem codex τοῦτο κρίναντες μᾶλλον.

Sed hoc judicate magis, ne ponatis offendiculum fratri, vel scandalum (*Rom.* XIV, 13).

A ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. ΠΡΟΣ ΡΩΜ. Ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον.

Quod quidquid Domini voluntati adversatur, scandalum sit.

Ὅτι πᾶν τὸ ἀντικείμενον τῷ τοῦ Κυρίου θελήματι σκάνδαλόν ἐστιν.

Caput II.

Exinde cœpit Jesus ostendere discipulis suis, quod oporteret eum ire Jerosolymam, et multa pati a senioribus, et principibus sacerdotum, et scribis, et occidi, et tertia die resurgere. Et apprehendens eum Petrus cœpit increpare illum, dicens : Propitius sis tibi, Domine, non erit tibi hoc. Qui conversus, dixit Petro : Vade post me, Satana, scandalum mihi es, quia non sapis ea quæ Dei sunt, sed quæ hominum (*Matth.* XVI, 21-23).

Κεφάλ. Β'.

ΜΑΤΘΑΙΟΣ. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾷν αὐτῷ, λέγων· Ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. Ὁ δὲ, στραφεὶς, εἶπε (66) τῷ B Πέτρῳ· Ὕπαγε ὀπίσω μου, Σατανᾶ· σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

Quod licet a Scriptura res vel verbum aliquod concedatur, ea tamen vitanda sunt, cum alii ad peccatum simili re concitantur, vel eorum erga bonum alacritas minuitur.

Ὅτι δεῖ καὶ τὸ συγκεχωρημένον ὑπὸ τῆς Γραφῆς πρᾶγμα ἢ ῥῆμα παραιτεῖσθαι, ὅταν οἰκοδομῶνται ἄλλοι ἐκ τοῦ ὁμοίου εἰς ἁμαρτίαν· ἢ ἐκκόπτωνται τὴν περὶ τὰ καλὰ προθυμίαν.

Caput III.

De esu igitur eorum quæ idolis immolantur, scimus, quod nullum est idolum in mundo, et **260** *quod nullus est Deus, nisi unus. Nam, etsi sunt qui dicuntur dii, sive in cœlo, sive in terra (si quidem sunt multi dii, et domini multi), nobis tamen unus Deus, Pater, ex quo omnia, et nos in illum : et unus Dominus, Jesus Christus, per quem omnia, et nos per ipsum : sed non in omnibus est scientia. Quidam autem cum conscientia idoli usque nunc quasi idolothytum manducant, et conscientia illorum cum sit infirma, polluitur. Esca autem nos non commendat Deo. Neque enim si manducaverimus, abundamus : neque si non manducaverimus, deficimus. Videte autem ne forte hæc licentia vestra offendiculum fiat infirmis. Si enim quis viderit te, qui habes scientiam, in idolio recumbentem, nonne conscientia ejus qui infirmus est ædificabitur ad manducandum idolothyta ? et perit infirmus in tua scientia frater, propter quem Christus mortuus est? Sic autem peccantes in fratres, et percutientes conscientiam ipsorum infirmam, in Christum peccatis. Quapropter, si esca scandalizat fratrem meum, non manducabo carnem in æternum, ne fratrem meum scandalizem* (*I Cor.* VIII, 4-13)... *Nunquid non habemus potestatem manducandi et bibendi? Nunquid non habemus potestatem sororem mulierem circumducendi, sicut et cæteri apostoli, et fratres Domini, et Cephas? Aut ego solus et Barnabas non habemus potestatem hoc operandi? Quis militat suis stipendiis unquam? quis plantat vineam, et de fructu ejus non edit? Aut quis pascit gregem, et de lacte gregis non manducat?* (*I Cor.* IX, 4-7) et cætera.

Κεφάλ. Γ'.

ΠΡΟΣ ΚΟΡ. α'. Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων οἴδαμεν, ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς Θεὸς εἰ μὴ εἷς. Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ τῆς γῆς (ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί), ἀλλ' ἡμῖν εἷς Θεὸς (67), ὁ Πατὴρ, ἐξ οὗ τὰ C πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος, Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ· ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις. Τινὲς δὲ τῇ συνειδήσει ἕως ἄρτι τοῦ εἰδώλου ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται. Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ. Οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα. Βλέπετε δὲ μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν. Ἐὰν γάρ τις ἴδῃ σὲ, τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; καὶ ἀπόλλυται (68) ὁ ἀσθενῶν ἐν τῇ σῇ γνώσει ἀδελφὸς, δι' ὃν Χριστὸς ἀπέθανεν; Οὕτω δὲ ἁμαρτάνοντες D εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πίνειν; Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς; Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα,

(66) Reg. tertius στραφεὶς, εἶπεν αὐτῷ, *conversus dixit ei.*

(67) Editio Paris. εἷς ὁ Θεός. Deest articulus in vulgatis.

(68) Utraque editio et mss. duo ἀπόλλυται. Reg. tertius perinde ut sacer textus vulgatus ἀπολεῖται, *peribit.* Ibidem Reg. primus ἀσθενῶν ἀδελφὸς ἐν τῇ σῇ γνώσει.

καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; Ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει (69); καὶ τὰ ἑξῆς.

Ὅτι, ὑπὲρ τοῦ μὴ σκανδαλίσαι τινὰ, ποιεῖν δεῖ καὶ ὃ μὴ ἐπάναγκες. A

Κεφάλ. Δ'.

ΜΑΤΘΑΙΟΣ. *Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναοὺμ, προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ εἶπον· Ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; Λέγει· Ναί. Καὶ ὅτε εἰσῆλθεν* (70) *εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων· Τί σοι δοκεῖ, Σίμων; Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη, ἢ κῆνσον; Ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; Λέγει αὐτῷ ὁ Πέτρος· Ἀπὸ τῶν ἀλλοτρίων. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί. Ἵνα* B *δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.*

Quod, ne cui offendiculo simus, id etiam quod non est necessarium, effici debet.

Caput IV.

Et cum venissent Capharnaum, accesserunt qui didrachma accipiebant, ad Petrum, et dixerunt : Magister vester non solvit didrachma? Ait, Etiam. Et cum intrasset in domum, prævenit eum Jesus dicens : Quid tibi videtur, Simon? Reges terræ a quibus accipiunt tributa vel censum? A filiis suis, an ab alienis? Dicit ipsi Petrus : Ab alienis. Dixit illi Jesus : Ergo liberi sunt filii. Ut autem non scandalizemus eos, progressus ad mare, mitte hamum, et eum piscem, qui primus ascenderit, tolle, et aperto ore ejus, invenies staterem; illum sumens, da eis pro me et te (*Matth.* XVII, 23-27).

Ὅτι ἐπὶ τοῖς τοῦ Κυρίου θελήμασι, κἂν σκανδαλίζωνταί τινες, ἀνένδοτον ἐπιδείκνυσθαι δεῖ τὴν παῤῥησίαν.

Κεφάλ. Ε'.

ΜΑΤΘΑΙΟΣ. *Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον* (71). *Τότε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, εἶπον αὐτῷ· Οἶδας, ὅτι οἱ Φαρισαῖοι, ἀκούσαντες τὸν λόγον,* C *ἐσκανδαλίσθησαν; Ὁ δὲ, ἀποκριθεὶς, εἶπε· Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται. Ἄφετε αὐτούς· τυφλοί εἰσιν, ὁδηγοὶ τυφλῶν. Τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται.* ΙΩΑΝΝΗΣ. *Ἀμὴν, ἀμὴν λέγω ὑμῖν· ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε* (72) *αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.* Καὶ μετ' ὀλίγα· *Ἐκ τούτου πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. Εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα· Μὴ καὶ ὑμεῖς θέλετε ἀπελθεῖν* (73); ΠΡΟΣ ΚΟΡ. β'. *Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ, ἐν τοῖς σωζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις, οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν. Καὶ πρὸς ταῦτα τίς ἱκανός;* D

Quod in Domini voluntatibus, tametsi nonnulli scandalum perpetiuntur, exhibenda est invicta quædam libertas.

Caput V.

Non quod intrat in os, coinquinat hominem : sed quod exit ex ore, hoc coinquinat hominem. Tunc accedentes discipuli ejus dixerunt ei : **261** *Scis quod Pharisæi, audito hoc verbo, scandalizati sunt? At ille respondens ait : Omnis plantatio, quam non plantavit Pater meus cœlestis, eradicabitur. Sinite illos : cæci sunt, duces cæcorum. Cæcus autem si cæco ducatum præstet, ambo in foveam cadent* (*Matth.* XV, 11-14)... *Amen, amen dico vobis : Nisi manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, non habetis vitam in vobis* (*Joan.* VI, 53). Et paulo post : *Ex hoc multi discipulorum ejus abierunt retro : et jam non cum illo ambulabant. Dixit ergo Jesus ad duodecim : Nunquid et vos vultis abire?* (*Ibid.* 66, 67)... *Quia Christi bonus odor sumus Deo, in iis qui salvi fiunt, et in iis qui pereunt : aliis quidem odor mortis in mortem, aliis vero odor vitæ in vitam. Et ad hæc quis idoneus?* (*II Cor.* II, 15, 16.)

ΟΡΟΣ ΛΔ'.

Ὅτι δεῖ τύπον τῶν καλῶν προκεῖσθαι τοῖς ἄλλοις, ἕκαστον ἐν τῷ ἰδίῳ μέτρῳ.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ.* ΠΡΟΣ ΚΟΡ. β'. *Οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μα-*

REGULA XXXIV.

Quod unusquisque in sua ipsius mensura debet sese aliis typum bonorum operum proponere.

Caput I.

Discite a me, quia mitis sum, et humilis corde (*Matth.* XI, 29)... *Scio enim promptum animum vestrum : pro quo de vobis glorior apud Macedones :*

(69) Post illud, οὐκ ἐσθίει, ita habent Reg. tertius et Mess. μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ... τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, quæ verba ibidem leguntur I Cor IX, 8.

(70) Reg. primus καὶ ὅτε εἰσῆλθον, *et cum introissent.*

(71) Editio Paris. κοινοῖ ἄνθρωπον. Libri veteres τὸν ἄνθρωπον. Nec ita multo post Reg. tertius Τότε προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, εἶπον αὐτῷ, *Tunc discipuli ejus ad eum accedentes, dixerunt ipsi.*

(72) Rursus editio Paris. καὶ πίνητε. Antiqui duo libri πίητε.

(73) Reg. tertius θέλετε ὑπάγειν.

quoniam Achaia parata est ab anno præterito, et vestra æmulatio provocavit plurimos (*II Cor.* IX, 2).. *Et vos imitatores nostri facti estis, et Domini, excipientes verbum in tribulatione multa, cum gaudio Spiritus sancti : ita ut facti sitis forma omnibus credentibus in Macedonia et in Achaia* (*I Thess.* I, 6,7).

REGULA XXXV.

Quod ii qui sancti Spiritus fructum eamdem ubique pietatis rationem conservantem in quopiam animadvertunt, nec tamen sancto Spiritui illum acceptum referunt, sed adversario tribuunt, ipsi in ipsum Spiritum sanctum blasphemi sunt.

Caput I.

Tunc oblatus est ei dæmonium habens, cæcus et mutus, et curavit eum, ita ut mutus et cæcus et loqueretur et videret. Et stupebant omnes turbæ, et dicebant : Nunquid hic est filius David? Pharisæi autem audientes dixerunt : Hic non ejicit dæmones nisi in Beelzebub principe dæmoniorum. Jesus autem sciens cogitationes eorum, dixit eis : Quod si ego in Spiritu Dei ejicio dæmonia, utique pervenit in vos regnum Dei (*Matth.* XII, 22-25, 28)... Quibus deinceps subjungit : *Ideo dico vobis, omne peccatum et blasphemia remittetur hominibus; Spiritus autem blasphemia non remittetur hominibus. Et quicunque dixerit verbum contra Filium hominis, remittetur ei : qui autem dixerit contra Spiritum sanctum, non remittetur ei, neque in hoc sæculo, neque in futuro* (*ibid.* 31, 32).

262 REGULA XXXVI.

Quod servantes formam doctrinæ Domini, cum omni studio et honore suscipiendi sunt ad ipsius Domini gloriam : qui vero neque eos audit, neque suscipit, condemnatur.

Caput I.

Qui recipit vos, me recipit : et qui me recipit, recipit eum qui me misit (*Matth.* X, 40)... *Et quicunque non receperit vos, neque audierit sermones vestros, exeuntes ex illa domo vel civitate, excutite pulverem de pedibus vestris. Amen dico vobis : tolerabilius erit terræ Sodomorum et Gomorrhæorum in die judicii, quam illi civitati* (*ibid.* 14, 15)... *Qui accipit, si quem misero, me accipit : qui autem me accipit, accipit eum qui me misit* (*Joan.* XIII, 20). *Necessarium autem existimavi Epaphroditum fratrem, et cooperatorem, et commilitonem meum, vestrum autem apostolum, et ministrum necessitatis meæ, mittere ad vos* (*Philipp.* II, 25)... Et paulo post :

A *κεδόσιν, ὅτι Ἀχαΐα μὲν παρεσκεύασται ἀπὸ πέρυσι, καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας.* ΠΡΟΣ ΘΕΣΣ. α'. *Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς Πνεύματος ἁγίου· ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ.*

ΟΡΟΣ ΛΕ'.

Ὅτι οἱ τὸν καρπὸν τοῦ ἁγίου Πνεύματος ἔν τινι ὁρῶντες πανταχοῦ τὸ ὁμαλὸν τῆς θεοσεβείας σώζοντα (74), καὶ μὴ τῷ ἁγίῳ Πνεύματι ἀνατιθέντες, ἀλλὰ τῷ ἐναντίῳ ἐπιφημίζοντες, εἰς αὐτὸ τὸ ἅγιον Πνεῦμα βλασφημοῦσιν.

Κεφάλ. Α'.

B ΜΑΤΘΑΙΟΣ. *Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος τυφλὸς καὶ κωφὸς, καὶ ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν κωφὸν καὶ τυφλὸν καὶ λαλεῖν καὶ βλέπειν. Καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον· Μήτι οὗτός ἐστιν ὁ υἱὸς Δαβίδ; Οἱ δὲ Φαρισαῖοι, ἀκούσαντες, εἶπον· Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. Εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς* (75)· *Εἰ δὲ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω ἐγὼ τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.* Οἷς ἑξῆς ἐπιφέρει· *Διὰ τοῦτο λέγω ὑμῖν, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται* (76) *τοῖς ἀνθρώποις. Καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ* C *τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.*

ΟΡΟΣ Λϛ'.

Ὅτι τοὺς φυλάσσοντας τὸν τύπον τῆς τοῦ Κυρίου διδασκαλίας μετὰ πάσης σπουδῆς καὶ τιμῆς δέχεσθαι δεῖ εἰς δόξαν αὐτοῦ τοῦ Κυρίου· ὁ δὲ μὴ ἀκούσας, μηδὲ δεξάμενος, κατακρίνεται.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με. Καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας* (77) D *ἐκείνης, ἢ τῆς πόλεως, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥων ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ.* ΙΩΑΝΝΗΣ. *Ὁ λαμβάνων, ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν ἀποστείλαντά με.* ΠΡΟΣ ΦΙΛ. *Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν, καὶ συνεργὸν, καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας*

(74) Utraque editio θεοσεβείας σώζοντι. Libri veteres σώζοντα.

(75) Utraque editio et mss. nostri εἶπεν αὐτοῖς. Καὶ μετ' ὀλίγα· Εἰ δὲ ἐν. Sed cum verba hæc, καὶ μετ' ὀλίγα, inepte seriem orationis interrumpant, judicavi ipsa ab otiosis quibusdam librariis adjecta fuisse, ob idque ea delevi.

(76) Reg. primus οὐκ ἀφεθήσεται. Καὶ ὅς.

(77) Utraque editio ἐκ τῆς οἰκίας. Vocula ἐκ in nostris mss. non invenitur. Statim Reg. tertius Ἀμὴν ἀμὴν λέγω.

μου, πέμψαι πρὸς ὑμᾶς. Καὶ μετ' ὀλίγα· Προσδέχεσθε οὖν (78) αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε.

Excipite itaque illum in Domino cum omni gaudio, et eos qui sunt ejusmodi, in honore habete (Philip. II, 29).

ΟΡΟΣ ΛΖ'.

Ὅτι ἡ κατὰ δύναμιν, κἂν ᾖ (79) ἐν τοῖς ἐλαχίστοις, προθυμία εὐπρόσδεκτός ἐστι τῷ Θεῷ, κἂν παρὰ γυναικῶν ᾖ.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ* (80) *τὸν μισθὸν αὐτοῦ.* ΛΟΥΚΑΣ. *Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους. Εἶδε δέ τινα χήραν πενιχρὰν* (81) *βάλλουσαν ἐκεῖ δύο λεπτὰ, καὶ εἶπεν· Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων ἔβαλεν. Ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ Θεοῦ· αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλεν.* ΜΑΤΘΑΙΟΣ. *Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βεθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἠγανάκτησαν, λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου; Ἠδύνατο γὰρ τοῦτο πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς. Γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Τί κόπους παρέχετε τῇ γυναικί; Ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ.* ΠΡΑΞΕΙΣ. Περὶ τῆς Λυδίας· *Ὡς δὲ ἐβαπτίσθη, καὶ ὁ οἶκος* (82) *αὐτῆς, παρεκάλεσε λέγουσα· Εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου, μείνατε. Καὶ παρεβιάσατο ἡμᾶς.*

REGULA XXXVII.

Quod obsequium pro viribus etiam in rebus minimis præstitum, Deo est acceptum, etiam si præstetur a mulieribus.

Caput I.

Et quicunque potum dederit uni ex minimis istis calicem aquæ frigidæ tantum in nomine discipuli, amen dico vobis, non perdet mercedem suam (*Matth.* x, 42)... *Respiciens autem vidit eos qui mittebant munera sua in gazophylacium divites. Vidit autem quamdam viduam pauperculam mittentem illuc duo minuta, et dixit : Vere dico vobis, quia vidua hæc pauper plus quam omnes misit. Nam omnes hi ex abundanti sibi miserunt in munera Dei : hæc autem ex eo quod deest illi, omnem victum quem habuit, misit* (*Luc.* xxi, 1-4)... *Cum autem Jesus esset in Bethania in domo Simonis leprosi, accessit ad eum mulier habens alabastrum unguenti pretiosi, et effudit super caput ipsius recumbentis. Videntes autem discipuli ejus, indignati sunt, dicentes : Ut quid perditio hæc unguenti? Potuit enim istud venundari multo et dari pauperibus. Sciens autem Jesus, ait illis : Quid molesti estis huic mulieri? Opus enim bonum operata est in me* (*Matth.* xxvi, 6-10). . . . In Actis de Lydia : *Cum autem baptizata esset, et domus ejus, deprecata est, dicens : Si judicastis me fidelem Domino esse, introite in domum meam, et manete. Et coegit nos* (*Act.* xvi, 15).

ΟΡΟΣ ΛΗ'.

Ὅτι δεῖ τὸν Χριστιανὸν καὶ τὴν εἰς τοὺς ἀδελφοὺς δεξίωσιν ἀθόρυβον καὶ λιτοτέραν ποιεῖσθαι.

Κεφάλ. Α'.

ΙΩΑΝΝΗΣ. *Λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος· Ἔστι παιδάριον ἓν ὧδε, καὶ ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; Εἶπε δὲ ὁ Ἰησοῦς· Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν. Ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. Ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι. Ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχαριστήσας, διέδωκε τοῖς ἀνακειμένοις. Ὁμοίως δὲ καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον.* ΛΟΥΚΑΣ. *Γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον* (83) *αὐτοῦ. Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν. Ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; Εἰπὲ*

263 REGULA XXXVIII.

Quod Christianus etiam citra tumultum et cum frugalitate debeat fratres hospitio excipere.

Caput I.

Dicit ei unus ex discipulis ejus, Andreas frater Simonis : Est puer unus hic, et habet quinque panes hordeaceos et duos pisces : sed hæc quid sunt inter tam multos? Dixit autem Jesus : Facite homines discumbere. Erat autem fenum multum in loco. Discubuerunt ergo viri numero quasi quinque millia. Accepit autem Jesus panes, et cum gratias egisset, distribuit discumbentibus : similiter autem et ex piscibus quantum volebant (*Joan.* vi, 8-11)... *Mulier autem quædam, Martha nomine, excepit illum in domum suam. Et huic erat soror nomine Maria, quæ etiam sedens secus pedes Jesu, audiebat verbum illius. Martha vero satagebat circa frequens ministerium : quæ stetit, et ait : Domine, non est tibi curæ quod soror mea reliquit me solam ministrare? Dic ergo illi ut me adjuvet. Respondens autem Jesus dixit ei : Martha, Martha, sollicita es, et turbaris*

(78) Reg. tertius Προσδέξασθε οὖν.
(79) Sic Reg. tertius. Illud ᾖ deest utroque in loco utraque in editione.
(80) Editio Paris. ἀπολέσει. At mss. tres ἀπολέσῃ.
(81) Vocem πενιχρὰν ex Reg. tertio addidi. Ibidem idem codex βαλοῦσαν.
(82) Utraque editio ἐβαπτίσθη ὁ οἶκος. Codex Combef. et alii duo ἐβαπτίσθη καὶ ὁ.
(83) Antiqui duo libri τῶν λόγων.

circa plurima; tamen paucis opus est, aut uno. Maria autem bonam partem elegit, quæ non auferetur ab ea (*Luc.* x, 38-42).

A οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ὀλίγων δέ ἐστι χρεία ἢ ἑνός. (84) Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς (85).

REGULA XXXIX.

Quod non oportet quemquam mutabilem esse, sed in fide stabilem, quodque ab iis bonis quæ sunt in Domino, divelli non debet.

Caput I.

Qui autem super petrosa seminatus est, hic est qui verbum audit, et continuo cum gaudio accipit illud. Non habet autem in se radicem, sed est temporalis; facta autem tribulatione aut persecutione propter verbum, continuo scandalizatur (*Matth.* XIII, 20, 21)... *Itaque, fratres mei, stabiles estote, immobiles, abundantes in opere Domini semper* (*I Cor.* XV, 58). *Miror quod tam cito transferimini ab eo qui vos vocavit in gratia Christi, in aliud Evangelium* (*Gal.* I, 6).

ΟΡΟΣ ΛΘ'.

Ὅτι οὐ δεῖ εὐμετάθετον εἶναι, ἀλλὰ ἑδραῖον ἐν τῇ πίστει, καὶ ἀμετάθετον ἀπὸ τῶν ἐν Κυρίῳ καλῶν.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων αὐτόν. Οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός ἐστι· γενομένης δὲ* (86) *θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκαν-* B *δαλίζεται.* ΠΡΟΣ ΚΟΡ. α'. *Ὥστε, ἀδελφοί μου, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε.* ΠΡΟΣ ΓΑΛΑΤ. *Θαυμάζω, ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς* (87) *ἐν χάριτι Χριστοῦ εἰς ἕτερον Εὐαγγέλιον.*

REGULA XL.

Quod non sunt ferendi ii qui alienam et diversam doctrinam tradunt, etiamsi simulatione utantur ut instabiles decipiant vel redarguant.

Caput I.

Videte ne quis vos seducat. Multi enim venient in nomine meo, dicentes: Ego sum Christus; **264** *et multos seducent* (*Matth.* XXIV, 5)... *Attendite a scribis qui volunt ambulare in stolis, et amant salutationes in foris, et primas cathedras in synagogis, et primos discubitus in conviviis: qui devorant domos viduarum, et simulatione diu orant. Hi accipient damnationem majorem* (*Luc.* XX, 46, 47)... *Sed licet nos, aut angelus de cœlo evangelizet vobis, præterquam quod evangelizavimus vobis, anathema sit. Sicut prædiximus, et nunc iterum dico: Si quis vobis evangelizat præter id quod accepistis, anathema sit* (*Gal.* I, 8, 9).

ΟΡΟΣ Μ'.

Ὅτι οὐ δεῖ ἑτεροδιδασκαλούντων ἀνέχεσθαι, κἂν σχηματίζωνται (88) πρὸς ἀπάτην ἢ ἔλεγχον τῶν ἀβεβαίων.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, ὅτι Ἐγώ εἰμι ὁ Χριστός· καὶ πολλοὺς* C *πλανήσουσιν.* ΛΟΥΚΑΣ. *Προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις· οἱ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ* (89) *προσεύχονται. Οὗτοι λήψονται περισσότερον κρίμα.* ΠΡΟΣ ΓΑΛ. *Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Ὡς προειρήκαμεν* (90), *καὶ ἄρτι πάλιν λέγω· Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.*

REGULA XLI.

Quod exscindendum est quidquid scandalum affert, etiamsi conjunctissimum quiddam ac maxime necessarium esse videatur.

ΟΡΟΣ ΜΑ'.

Ὅτι δεῖ πᾶν τὸ σκανδαλίζον ἐκκόπτειν, κἂν οἰκειότατόν D τι καὶ ἀναγκαιότατον εἶναι δοκῇ (91).

(84) Utraque editio et Reg. secundus ὀλίγων δέ ἐστι χρεία ἢ ἑνός, *tamen paucis opus est, aut uno,* supple, *ferculo.* Ita quoque habuit Reg. primus prima manu: nunc vero emendatus habet ita, ut sacer textus vulgatus. Reg. tertius πολλά· ἑνὸς δέ ἐστι χρεία, *Porro unum est necessarium.* Sed vereor, ne quod contigit codici Regio primo, idem quoque contigerit et tertio: eoque magis, quod librarii multa ex suis Bibliis non raro emendarint. Puto igitur Basilium ita scripsisse, uti in contextu edendum curavimus. Vix enim librariis in mentem venire potuisset hoc modo scribere, nisi in veteribus quibus utebantur libris sic legissent. Præterea cum in hoc capite agatur de frugalitate, consequens esse videtur ut ita legatur.

(85) Reg. primus καὶ τὰ λοιπά.

(86) Vocula δέ addita est ex antiquis duobus libris.

(87) Regii primus et tertius καλέσαντος ἡμᾶς, *qui nos vocavit.*

(88) Utraque editio σχηματίζονται. At mss. duo σχηματίζωνται.

(89) Utraque editio et Reg. tertius μακρᾷ cum circumflexo et cum ι subscripto, *longa dissimulatione.* Alii duo mss. μακρά, *et per dissimulationem diu orant.*

(90) Reg. tertius ὡς προείρηκα, *sicut prædixi.* Aliquanto post utraque editio εἴ τις ὑμῖν. Regii primus et tertius ὑμᾶς.

(91) Reg. primus εἶναι δοκῇ. Alii δοκεῖ.

Κεφάλ. Α'.

A ΜΑΤΘΑΙΟΣ. *Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται· Εἰ δὲ ὁ πούς σου ἢ ἡ χείρ σου σκανδαλίζει σε, ἔκκοψον αὐτὰ, καὶ βάλε ἀπὸ σοῦ. Καλόν σοι ἐστὶν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν, ἢ κυλλὸν, ἢ δύο πόδας ἢ δύο χεῖρας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον. Καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ.*

Ὅτι τῶν ἀσθενεστέρων ἐν τῇ πίστει φείδεσθαι δεῖ, καὶ ἀνάγειν (92) αὐτοὺς δι' ἐπιμελείας ἐπὶ τὴν τελειότητα· φείδεσθαι δὲ, δηλονότι, χωρὶς τοῦ παριδεῖν ἐντολὴν Θεοῦ.

Κεφάλ. Β'.

ΜΑΤΘΑΙΟΣ. *Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν* B *ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν· καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.* ΠΡΟΣ ΡΩΜ. *Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε.* ΠΡΟΣ ΓΑΛ. *Ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος, σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.*

ΟΡΟΣ ΜΒ'.

Ὅτι οὐ δεῖ νομίζειν ἐπὶ καταλύσει τοῦ νόμου καὶ τῶν προφητῶν τὸν Κύριον ἐληλυθέναι, ἀλλ' ἐπὶ πληρώσει καὶ προσθήκῃ τῶν τελειοτέρων.

Κεφάλ. Α'.

C ΜΑΤΘΑΙΟΣ. *Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.* ΠΡΟΣ ΡΩΜ. *Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; Μὴ γένοιτο! ἀλλὰ νόμον ἱστῶμεν.*

ΟΡΟΣ ΜΓ'.

Ὅτι ὡς νόμος τὰς πράξεις ἀπαγορεύει τὰς φαύλας, οὕτω τὸ Εὐαγγέλιον αὐτὰ τὰ κεκρυμμένα πάθη τῆς ψυχῆς.

Κεφάλ. Α'.

ΜΑΤΘΑΙΟΣ. *Ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις, Οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσῃ* (93), *ἔνοχος ἔσται τῇ κρίσει. Ἐγὼ δὲ λέγω ὑμῖν, πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ· ἔνοχος ἔσται τῇ κρίσει.* ΠΡΟΣ ΡΩΜ. *Οὐ γὰρ ὁ ἐν τῷ* D *φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή· ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ.*

Ὅτι ὡς ὁ νόμος τὸ ἐκ μέρους, οὕτω τὸ Εὐαγγέλιον τὸ ὁλόκληρον ἐφ' ἑκάστῳ τῶν κατορθουμένων ἐπιζητεῖ.

Κεφάλ. Β'.

ΛΟΥΚΑΣ. *Πάντα ὅσα ἔχεις πώλησον, καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ*

Caput I.

Væ homini illi per quem scandalum venit! Si autem pes tuus vel manus tua scandalizat te, abscide ea, et projice abs te. Bonum tibi est ad vitam ingredi claudum vel debilem, quam duos pedes vel duas manus habentem mitti in ignem æternum. Et si oculus tuus scandalizat te, erue eum, et projice abs te (*Matth.* XVIII, 7-9).

Quod oportet mitius agere cum iis qui in fide sunt infirmiores, eosque diligenti cura ad perfectionem adducere: ita tamen temperate, ut Dei mandatum non negligatur.

Caput II.

Tunc dicit discipulis suis : Messis quidem multa, operarii autem pauci. Rogate ergo Dominum messis, ut mittat operarios in messem (*Matth.* IX, 37, 38)... *Et cum dies factus esset, vocavit discipulos suos, et elegit duodecim ex ipsis quos et apostolos nominavit : Simonem quem et cognominavit Petrum, et Andream fratrem ejus, et Jacobum, et Joannem, Philippum, et Bartholomæum, et Matthæum, et Thomam, Jacobum Alphæi, et Simonem qui vocatur Zelotes, et Judam Jacobi, et Judam Iscariotem, qui et fuit proditor* (*Luc.* VI, 13-16)... *Post hæc autem designavit Dominus et alios septuaginta, et misit illos binos ante faciem suam in omnem civitatem et locum, quo erat ipse venturus. Dicebat itaque illis : Messis quidem multa, operarii autem pauci. Rogate ergo Dominum messis, ut mittat operarios in messem suam* (*Luc.* X, 1, 2)... *Primum quidem sermonem feci de omnibus, o Theophile, quæ cœpit Jesus facere et docere usque in diem qua præcipiens apostolis per Spiritum sanctum, quos elegit, assumptus est* (*Act.* I, 1, 2)... *Et statuerunt duos, Joseph qui vocabatur Barsabas, qui cognominatus est Justus, et Matthiam. Et orantes dixerunt : Tu Domine, qui corda nosti omnium, ostende, quem elegeris* **292** *ex his duobus unum, accipere locum ministerii hujus, et apostolatus, de quo prævaricatus est Judas, ut abiret in locum suum. Et dederunt sortes eis, et cecidit sors super Matthiam, et annumeratus est cum undecim apostolis* (*ibid.* 23-26).... *Si quis episcopatum desiderat, bonum opus desiderat. Oportet ergo episcopum irreprehensibilem esse, unius uxoris virum, sobrium, prudentem, ornatum, hospitalem, aptum ad docendum, non vinolentum, non percussorem, non turpis lucri cupidum : sed æquum, non litigiosum, non avarum, qui suæ domui bene præsit, filios habentem in subjectione cum omni reverentia (si quis autem domui suæ præesse nescit, quomodo Ecclesiæ Dei diligentiam habebit?), non neophytum, ne in superbiam elatus, in judicium incidat, et in laqueum diaboli. Oportet autem illum et testimonium habere bonum ab iis qui foris sunt, ut non in opprobrium incidat, et in laqueum diaboli. Diaconos similiter, pudicos, non bilingues, non multo vino deditos, non turpe lucrum sectantes : habentes mysterium fidei in conscientia pura. Et hi autem probentur primum : deinde ministrent, nullum crimen habentes* (*I Tim.* III, 1-10).... *Hujus rei gratia reliqui te Cretæ, ut ea quæ desunt corrigas, et constituas per civitates presbyteros, sicuti ego disposui tibi. Si quis sine crimine est, unius uxoris vir, filios habens fideles, non in accusatione luxuriæ, aut non subditos. Oportet enim episcopum sine crimine esse, sicut Dei dispensatorem : non superbum,*

(27) Antiqui duo libri ἀδελφὸν αὐτοῦ, Ἰάκωβον.
(28) Reg. tertius μετὰ τῶν δώδεκα.
(29) Ita utraque editio. Duæ hæ voces, μὴ αἰσχροκερδῆ, in nostris tribus mss. desunt.

(30) Utraque editio perinde ut sacer textus vulgatus εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου, *in judicium incidat diaboli*. Nostri tres mss. εἰς κρῖμα ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου.

non iracundum, non vinolentum, non percussorem, non turpis lucri cupidum, sed hospitalem, boni amantem, sobrium, justum, sanctum, continentem, amplectentem eum qui secundum doctrinam est fidelem sermonem, ut potens sit et exhortari in doctrina sana, et eos qui contradicunt, arguere (*Tit.* I, 5-9).

A *κατέλιπόν* (31) *σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς πρεσβυτέρους κατὰ πόλιν, ὡς ἐγώ σοι διεταξάμην. Εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα. Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη* (32), *μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.*

Quod non oportet facilem esse circa ordinationes, neque ad eas inconsideranter accedere: quandoquidem non vacat periculo, quidquid probatum non est. Si quis autem quempiam in aliquo delicto deprehenderit, eum prodere debet, ut neque ipse peccati particeps fiat, neque reliqui offendantur, sed magis timere discant. B

Ὅτι οὐ δεῖ περὶ τὰς χειροτονίας εὐχερῆ εἶναι, οὔτε ἀπερισκέπτως ἐπ' αὐτὰς ἔρχεσθαι· οὐ γὰρ ἀκίνδυνον τὸ ἀδόκιμον· τὸν δὲ ἁλόντα ἐπί τινι φανεροῦν, ἵνα μήτε αὐτὸς κοινωνήσῃ τῇ ἁμαρτίᾳ, μήτε οἱ λοιποὶ προσκόπτωσιν, ἀλλὰ μᾶλλον φοβεῖσθαι μάθωσιν.

Caput II.

Manus cito nemini imposueris, neque communicaveris peccatis alienis (*I Tim.* v, 22).... *Adversus presbyterum accusationem noli recipere, nisi sub duobus aut tribus testibus. Peccantes autem coram omnibus argue, ut et cæteri timorem habeant* (*ibid.* 19-20).

Κεφάλ. Β'.

ΠΡΟΣ ΤΙΜ. α'. *Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις.* ΠΡΟΣ ΤΙΜ. α'. *Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων. Τοὺς δὲ ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν.*

293 Quod non oportet eum qui electus est, a se ipso ad prædicationem accedere: sed tempus beneplaciti Dei exspectare, tumque aggredi prædicationem, cum hæc cura sibi demandata fuerit, iisque prædicare, ad quos missus fuerit. C

Ὅτι οὐ δεῖ τὸν ἐκλεγέντα, ἀφ' ἑαυτοῦ παρεῖναι ἐπὶ τὸ (33) κήρυγμα, ἀναμένειν δὲ τὸν καιρὸν τῆς τοῦ Θεοῦ εὐδοκίας, καὶ ἄρχεσθαι μὲν τοῦ κηρύγματος ὅταν ἐπιτραπῇ, κηρύσσειν δὲ ἐκείνοις πρὸς οὓς ἂν ἀποσταλῇ.

Caput III.

Hos duodecim misit Jesus: præcipiens eis, dicens: In viam gentium ne abieritis, et in civitatem Samaritanorum ne intraveritis: sed potius ite ad oves quæ perierunt domus Israel (*Matth.* x, 5, 6).... *Et ecce mulier Chananæa a finibus illis egressa clamavit, dicens ei: Miserere mei, Domine, fili David: filia mea male a dæmonio vexatur: qui non respondit ei verbum. Et accedentes discipuli ejus rogabant eum, dicentes: Dimitte eam, quia clamat post nos. Ipse autem respondens ait: Non sum missus nisi ad oves, quæ perierunt domus Israel* (*Matth.* xv, 22-24).... *Ego enim ex Deo processi et veni: neque enim a meipso veni, sed ille me misit* (*Joan.* VIII, 42).... D *Et illi quidem qui dispersi fuerant a tribulatione quæ facta fuerat sub Stephano, perambulaverunt usque Phœnicen, et Cyprum, et Antiochiam, nemini loquentes verbum, nisi solis Judæis* (*Act.* XI, 19, 20).... *Paulus servus Jesu Christi, vocatus apostolus, segregatus in Evangelium Dei* (*Rom.* I, 1).... *Quomodo autem audient sine prædicante? quomodo vero prædicabunt, nisi mittantur?* (*Rom.* x, 14, 15).... *Paulus apostolus Jesu Christi secundum imperium Dei*

Κεφάλ. Γ'.

ΜΑΤΘΑΙΟΣ. *Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.* ΜΑΤΘΑΙΟΣ. *Καὶ ἰδοὺ γυνὴ Χαναναία, ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγασεν, αὐτῷ λέγουσα· Ἐλέησόν με, Κύριε, υἱὸς Δαβίδ· ἡ θυγάτηρ* (34) *μου κακῶς δαιμονίζεται· ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν λέγοντες· Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.* ΙΩΑΝΝΗΣ. *Ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω· οὔτε γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν.* ΠΡΑΞΕΙΣ. *Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον Ἰουδαίοις.* ΠΡΟΣ ΡΩΜ. *Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον*

(31) Antiqui tres libri ἀπέλιπον. Utraque editio κατέλιπον. Mox editio Paris. ἐπιδιορθώσῃς. At mss. tres ἐπιδιορθώσῃ.

(32) Illud, μὴ αὐθάδη, deest quidem in editione Parisiensi, sed in nostris tribus mss. invenitur.

(33) Reg. primus et tertius παριέναι ἐπὶ τό.

(34) Reg. primus ὅτι ἡ θυγάτηρ. Addidimus non longe ex antiquis tribus libris vocem κακῶς.

Θεοῦ. ΠΡΟΣ ΡΩΜ. *Πῶς δὲ ἀκούσονται χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσιν;* ΠΡΟΣ ΤΙΜ. α'. *Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ' ἐπιταγὴν Θεοῦ Σωτῆρος ἡμῶν, καὶ Χριστοῦ Ἰησοῦ τῆς ἐλπίδος ἡμῶν.*

A *Salvatoris nostri, et Christi Jesu spei nostræ* (*I Tim.* I, 1, 2).

Ὅτι δεῖ τὸν κληθέντα εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου εὐθὺς ὑπακούειν, καὶ μὴ ἀναβάλλεσθαι.

Quod qui ad prædicationem Evangelii vocatus est, is confestim obedire debet, non autem procrastinare.

Κεφάλ. Δ'

ΛΟΥΚΑΣ. *Εἶπε δὲ πρὸς ἕτερον· Ἀκολούθει μοι. Ὁ δὲ εἶπε· Κύριε, ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου. Εἶπε δὲ αὐτῷ ὁ Κύριος· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀπελθὼν, διάγγελλε τὴν βασιλείαν τοῦ Θεοῦ.* ΠΡΟΣ ΓΑΛ. *Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας με* (35) *διὰ τῆς χάριτος αὐτοῦ, ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν· εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, οὐδὲ ἀπῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους· ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν.*

Caput IV.

Ait autem ad alterum : Sequere me. Ille autem dixit : Domine, permitte mihi primum ire, et sepelire patrem meum. Dixitque ei Dominus : Sine ut mortui sepeliant mortuos suos : tu autem vade, et annuntia regnum Dei (*Luc.* IX, 59, 60).... *Cum autem placuit Deo, qui me segregavit ex utero matris meæ, et vocavit me per gratiam suam, ut revelaret* B *Filium suum in me, ut evangelizarem illum in gentibus : continuo non acquievi carni et sanguini, neque veni Jerosolymam ad antecessores meos apostolos, sed abii in Arabiam, et iterum reversus sum Damascum* (*Galat.* I, 15-17).

Ὅτι οὐ δεῖ ἑτεροδιδασκαλεῖν.

Quod diversa et aliena doctrina non est tradenda.

Κεφάλ. Ε'.

ΙΩΑΝΝΗΣ. *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής. Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων.* Καὶ μετ' ὀλίγα· *Ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα.* ΠΡΟΣ ΓΑΛ. *Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Ὡς προειρήκαμεν* (36), *καὶ ἄρτι πάλιν λέγω· Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.* ΠΡΟΣ ΤΙΜ. α'. *Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπιστάμενος,* καὶ τὰ ἑξῆς.

Caput V.

Amen, amen dico vobis, qui non intrat per ostium in ovile ovium, sed ascendit aliunde, ille fur est et latro. Qui autem intrat per ostium, pastor est ovium (*Joan.* X, 1, 2). Et paulo post : *Ego sum* 294 C *ostium ovium. Omnes quotquot venerunt fures sunt et latrones : sed non audierunt eos oves* (*ibid.* 7, 8)... *Sed licet nos aut angelus de cœlo evangelizet præterquam quod evangelizavimus vobis, anathema sit. Sicut prædiximus, et nunc iterum dico : Si quis vobis evangelizat præter id quod accepistis, anathema sit* (*Galat.* I, 8, 9)... *Si quis aliter docet et non accedit sanis sermonibus Domini nostri Jesu Christi, et ei quæ secundum pietatem est doctrinæ, superbus est, nihil sciens* (*I Tim.* VI, 3, 4), etc.

Ὅτι δεῖ πάντα τὰ προστεταγμένα ὑπὸ τοῦ Κυρίου ἐν τῷ Εὐαγγελίῳ καὶ διὰ τῶν ἀποστόλων διδάσκειν τοὺς πεπιστευμένους, καὶ ὅσα τούτοις ἀκόλουθα.

D Quod omnia quæ a Domino in Evangelio et per apostolos præcepta sunt, docendi sunt ii qui crediderunt, atque etiam quæcunque his consentanea sunt.

Κεφάλ. Ϛ'.

ΜΑΤΘΑΙΟΣ. *Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν.* ΠΡΑΞΕΙΣ. *Ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ*

Caput VI.

Euntes docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti, docentes eos servare omnia quæcunque mandavi vobis (*Matth.* XXVIII, 19, 20)... *Cum autem pertransirent civitates, tradebant eis custodire dogmata, quæ erant decreta ab apostolis et senioribus in Jerusalem* (*Act.* XVI, 4)... *Hæc doce et exhortare* (*I Tim.*

(35) Vocula με in veteribus nostris libris non reperitur.

(36) Reg. tertius ὡς προείρηκα, *ut ante dixi*. Mox utraque editio Εἴ τις ὑμῖν. Nostri tres mss. ὑμᾶς. Hoc ipso in loco Reg. primus emendatus εὐαγγελίζηται.

vi, 2)... *Tu autem loquere quæ decent sanam doctrinam* (*Tit.* ii, 1).

Quod cui sermo doctrinæ Domini concreditus est, is si quid conticuerit eorum quæ ad complacendum Deo necessaria sunt, reus est sanguinis eorum qui periclitantur, aut quia quæ prohibita fu re. admissa sunt, aut quia quæ fieri debebant, sunt omissa.

Caput VII.

Væ vobis legisperitis, quia tulistis clavem scientiæ; ipsi non introistis, et eos qui introibant, prohibuistis (*Luc.* xi, 52)... *Cum venissent autem de Macedonia Silas et Timotheus, coarctabatur sermone Paulus, testificans Judæis esse Christum Jesum. Contradicentibus autem eis, et blasphemantibus, excutiens vestimentum suum, dixit ad eos: Sanguis vester super caput vestrum; mundus ego: ex hoc ad gentes vadam* (*Act.* xviii, 5, 6)... *Quapropter contestor vos hodierna die, quia mundus sum a sanguine vestro. Non enim subterfugi quominus annuntiarem omne consilium Dei vobis* (*Act.* xx, 26, 27).

Quod in iis etiam quæ a Scriptura præcepta et jussa non fuerunt, oportet tamen unumquemque ad id quod melius est cohortari.

Caput VIII.

Sunt eunuchi qui de matris utero sic nati sunt: et sunt eunuchi qui facti sunt ab hominibus: **295** *et sunt eunuchi qui seipsos castraverunt propter regnum cœlorum. Qui potest capere, capiat* (*Matth.* xix, 12)... *De virginibus autem præceptum Domini non habeo: consilium autem do, tanquam misericordiam consecutus a Domino, ut sim fidelis. Existimo ergo hoc bonum esse propter instantem necessitatem, quoniam bonum est homini sic esse. Alligatus es uxori? Noli quærere solutionem. Solutus es ab uxore? Noli quærere uxorem* (*I Cor.* vii, 25-27), etc.

Quod nemini licet alios cogere ad ea facienda, quæ ipse non efficit.

Caput IX.

Et vobis legisperitis væ: quia oneratis homines oneribus, quæ portare non possunt, et ipsi uno digito vestro non tangitis sarcinas (*Luc.* xi, 46).

Quod is qui præficitur doctrinæ, sese reliquis boni omnis exemplar præbere debet, adeo ut ea quæ docet, prius perficiat.

A *πρεσβυτέρων ἐν Ἱερουσαλήμ* (37). ΠΡΟΣ ΤΙΜ. α'. *Ταῦτα δίδασκε, καὶ παρακάλει.* ΠΡΟΣ ΤΙΤ. *Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ.*

Ὅτι ὁ πιστευθεὶς τὸν λόγον τῆς τοῦ Κυρίου διδασκαλίας, ἐὰν σιωπήσῃ τι τῶν ἀναγκαίων εἰς τὴν πρὸς Θεὸν εὐαρέστησιν, ἔνοχός ἐστι τοῦ αἵματος τῶν κινδυνευόντων, ἤτοι ὑπὸ (38) τῆς ἐργασίας τῶν ἀπηγορευμένων, ἢ καὶ ὑπὲρ τῆς ἐλλείψεως τῶν κατορθωθῆναι ὀφειλόντων.

Κεφάλ. Ζ'.

ΛΟΥΚΑΣ. *Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε.* ΠΡΑΞΕΙΣ. *Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ τε Σί-*
B *λας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ λόγῳ* (39) *ὁ Παῦλος, διαμαρτυρόμενος τοῖς Ἰουδαίοις εἶναι τὸν Χριστὸν Ἰησοῦν. Ἀντιτασσομένων δὲ αὐτῶν, καὶ βλασφημούντων, ἐκτιναξάμενος τὸ ἱμάτιον* (40), *εἶπε πρὸς αὐτούς· Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· καθαρὸς ἐγώ· ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι.* ΠΡΑΞΕΙΣ. *Διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος ὑμῶν. Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.*

Ὅτι δεῖ καὶ ἐπὶ τῶν μὴ κατ' ἐπιταγὴν ὑπὸ τῆς Γραφῆς ὡρισμένων προτρέπειν ἕκαστον πρὸς τὸ κρεῖττον.

C *Κεφάλ. Η'.*

ΜΑΤΘΑΙΟΣ. *Εἰσὶν εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ δυνάμενος χωρεῖν, χωρείτω.* ΠΡΟΣ ΚΟΡ. α'. *Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω· γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. Νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι. Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. Λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα*, καὶ τὰ ἑξῆς.

Ὅτι οὐκ ἔξεστιν ἑτέροις ἀνάγκην ἐπιτιθέναι ὧν αὐτὸς οὐ κατώρθωσεν.

D *Κεφάλ. Θ'.*

ΛΟΥΚΑΣ. *Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα* (41), *καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις.*

Ὅτι δεῖ τὸν προεστῶτα τοῦ λόγου τύπον προκεῖσθαι τοῖς ἄλλοις παντὸς καλοῦ, κατορθοῦντα (42) πρότερον ἃ διδάσκει.

(37) Sic libri nostri veteres et editio Parisiensis, *quæ fuerant decreta in Jerusalem ab apostolis et senioribus.* Sacer textus vulgatus τῶν ἐν Ἱερουσαλήμ, *qui erant Jerosolymis.*

(38) Reg. tertius ἤτοι ἀπό.

(39) Pro λόγῳ sacer textus vulgatus habet πνεύματι, *coarctabatur spiritu Paulus.* Dubium non est quin auctor Vulgatæ perinde ut Basilius legerit λόγῳ, cum ita interpretatus sit, *instabat verbo Paulus.*

(40) Reg. primus ἱμάτια, *vestimenta.*

(41) Reg. tertius φορτία βαρέα καὶ δυσβάστακτα, *onera gravia et portatu difficilia.*

(42) Editi et Reg. secundus καὶ κατορθοῦντα. Sed cum vocula καί non valde admodum placeret hoc loco, eam ex Reg. tertio delevimus.

Κεφάλ. Ι'.

A ΜΑΤΘΑΙΟΣ. *Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ.* ΙΩΑΝΝΗΣ. *Ὅτε οὖν ἔνιψε τοὺς πόδας τῶν μαθητῶν αὐτοῦ, καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν πάλιν εἶπεν αὐτοῖς· Γινώσκετε τί πεποίηκα ὑμῖν; Ὑμεῖς φωνεῖτέ με, ὁ Διδάσκαλος, καὶ ὁ Κύριος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ. Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ Κύριος, καὶ ὁ Διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. Ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα, καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε ἀλλήλοις.* ΠΡΑΞΕΙΣ. *Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων.* ΠΡΟΣ ΚΟΡ. α'. *Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.* ΠΡΟΣ ΤΙΜ. α'. *Μηδείς σου τῆς νεότητος καταφρονείτω· ἀλλὰ τύπος γίνου* τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ (43), καὶ τὰ ἑξῆς.

Caput X.

Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos. Tollite jugum meum super vos, et discite a me, quia mitis sum, et humilis corde (*Matth.* XI, 28, 29)... *Postquam ergo lavit pedes discipulorum suorum, et accepit vestimenta sua : cum recubuisset iterum, dixit eis : Scitis quid fecerim vobis? Vos vocatis me, Magister, et Domine : et bene dicitis : sum etenim. Si ergo ego lavi pedes vestros, Dominus, et Magister : et vos debetis alter alterius lavare pedes. Exemplum enim dedi vobis, ut quemadmodum ego feci vobis, ita et vos faciatis alter alteri* (*Joan.* XIII, 12-15)... *Omnia ostendi vobis, quoniam sic laborantes oporteat suscipere infirmos* (*Act.* XX, 35).... *Imitatores mei estote, sicut* B *et ego Christi* (*I Cor.* XI, 1)... *Nemo adolescentiam tuam contemnat : sed exemplum esto fidelium, in verbo, in conversatione* (*I Tim.* IV, 12), etc.

Ὅτι δεῖ τὸν προεστῶτα τοῦ λόγου μὴ τοῖς ἑαυτοῦ κατορθώμασιν ἐπαμεριμνεῖν (44), ἴδιον δὲ καὶ ἐξαίρετον τῆς ἐγχειρισθείσης αὐτῷ φροντίδος ἔργον εἰδέναι τὴν τῶν πεπιστευμένων βελτίωσιν.

Quod non oportet eum qui præest aliis docendis, ob sua recte facta securum esse : verum nosse debet proprium et præcipuum curæ sibi commissæ munus esse, ut ii qui ipsi concrediti sunt, meliores efficiantur.

Κεφάλ. ΙΑ'.

ΜΑΤΘΑΙΟΣ. *Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς. Ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; Εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.* ΙΩΑΝΝΗΣ. *Πᾶν ὃ δίδωσί μοι ὁ Πατὴρ, πρὸς ἐμὲ ἥξει, καὶ τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. Τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με* (45), *ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον.* ΠΡΟΣ ΘΕΣΣ. α'. *Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ; Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.*

Caput XI.

Vos estis sal terræ. Quod si sal infatuatus fuerit, in quo salietur? Ad nihilum valet ultra, nisi ut C *mittatur foras, et conculcetur ab hominibus* (*Matth.* V, 13)... *Omne quod dat mihi Pater, ad me veniet : et eum qui venit ad me, non ejiciam foras. Quia descendi de cœlo, non ut faciam voluntatem meam, sed voluntatem* **296** *ejus qui misit me, Patris. Hæc est autem voluntas ejus qui misit me, ut omnis qui videt Filium, et credit in eum, habeat vitam æternam* (*Joan.* VI, 37-40)... *Quæ est enim nostra spes, aut gaudium, aut corona gloriæ? nonne vos ante Dominum nostrum Jesum Christum estis, in adventu ejus? Vos enim estis gloria nostra, et gaudium* (*I Thess.* II, 19).

Ὅτι δεῖ τὸν προεστῶτα τοῦ λόγου περιάγειν τὰς κώμας καὶ τὰς πόλεις πάσας τὰς ἐγκεχειρισμένας αὐτῷ.

Quod qui præficitur ad docendum, debet obire vicos et civitates omnes sibi concreditas.

D

Κεφάλ. ΙΒ'.

ΜΑΤΘΑΙΟΣ. *Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς, καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.* ΛΟΥΚΑΣ. *Καὶ αὐτὸς διώδευε* (46) *κατὰ πόλιν καὶ κώμην κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ εὐαγγελιζόμενος· καὶ οἱ δώδεκα σὺν αὐτῷ.*

Caput XII.

Et circuibat Jesus totam Galilæam, docens in synagogis, et prædicans Evangelium regni, et sanans omnem morbum et omnem languorem (*Matth.* IV, 23)... *Et ipse iter faciebat per civitates et castella prædicans regnum Dei, et evangelizans : et duodecim cum illo* (*Luc.* VIII, 1).

Ὅτι δεῖ πάντας προσκαλεῖσθαι πρὸς ὑπακοὴν τοῦ

Quod omnes convocandi sunt ad obediendum

(43) Reg. tertius ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ, ὅτι, *in conversatione, in charitate, in fide, in castitate.*

(44) Editio Paris. ἐπιμεριμνεῖν, *sollicitum esse.* Editio Ven. perinde ut Regii primus et secundus ἐπαμεριμνεῖν, *securum esse.* Reg. tertius ἐναμεριμνεῖν.

(45) Reg. tertius πέμψαντός με Πατρὸς, ἵνα.

(46) Utraque editio αὐτὸς διώδευσε. Libri veteres διώδευε.

Evangelio : item quod sermo cum omni libertate sit annuntiandus, sitque dandum veritati testimonium, quanquam nonnulli prohibeant, et quoquo modo vel ad mortem usque persequantur.

A Εὐαγγελίου, καὶ μετὰ πάσης παῤῥησίας καταγγέλλειν τὸν λόγον, καὶ μαρτυρεῖν τῇ ἀληθείᾳ, κἂν τινες κωλύωσι, καὶ διώκωσιν οἵῳ δήποτε τρόπῳ μέχρι θανάτου.

Caput XIII.

Quod dico vobis in tenebris, dicite in lumine : et quod in ore audivistis, prædicate super tecta. Et nolite timere eos qui occidunt corpus, animam autem non possunt occidere (*Matth.* x, 27, 28)..... *Nuptiæ quidem paratæ sunt, sed qui invitati erant, non fuerunt digni. Ite ergo ad exitus viarum, et quoscunque inveneritis, vocate ad nuptias* (*Matth.* xxii, 8, 9)... *Respondit ei Jesus : Ego palam locutus sum mundo : ego semper docui in synagoga, et in templo, quo omnes Judæi conveniunt : et in occulto locutus sum nihil* (*Joan.* xviii, 20)... *Et cum adduxissent illos, statuerunt in concilio : et interrogavit eos princeps sacerdotum, dicens : Nonne præcipiendo præcepimus vobis ne doceretis in nomine isto? Et ecce replestis Jerusalem doctrina vestra : et vultis inducere super nos sanguinem hominis istius. Respondens autem Petrus et apostoli dixerunt : Obedire oportet Deo magis quam hominibus* (*Act.* v, 27-29)... *Nisi quod Spiritus sanctus per omnes civitates mihi protestatur, dicens, quoniam vincula et tribulationes me manent. Verum pro nihilo hæc habeo, neque vita mea chara est mihi ipsi, ut consummem cursum meum cum gaudio, et ministerium quod accepi a Domino Jesu, ad testificandum Evangelium gratiæ Dei* (*Act.* xx, 23, 24)... *Nam ipsi scitis, fratres, introitum nostrum ad vos, quia non inanis fuit : sed ante passi, et contumeliis affecti, sicut scitis, in Philippis, fiduciam habuimus in Deo nostro loqui ad vos Evangelium Dei nostri, in multo certamine* (*I Thess.* ii, 1, 2).

Κεφάλ. ΙΓ'.

ΜΑΤΘΑΙΟΣ. *Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ πρὸς τὸ οὖς ἠκούσατε, κηρύξατε ἐπὶ τῶν δωμάτων. Καὶ μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων* (47) *τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι.* ΜΑΤΘΑΙΟΣ. *Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι. Πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν εὕρητε, καλέσατε εἰς τοὺς γάμους.* ΙΩΑΝΝΗΣ. *Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παῤ-* B *ῥησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντες οἱ Ἰουδαῖοι συνέρχονται* (48), *καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν.* ΠΡΑΞΕΙΣ. *Ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ, καὶ ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεύς, λέγων· Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν* (49) *μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; Καὶ ἰδοὺ πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. Ἀποκριθεὶς δὲ Πέτρος καὶ οἱ ἀπόστολοι εἶπον· Πειθαρχεῖν δεῖ μᾶλλον Θεῷ ἢ ἀνθρώποις.* ΠΡΑΞΕΙΣ. *Πλὴν ὅτι τὸ Πνεῦμά μοι τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται, λέγον, ὅτι δεσμὰ καὶ θλίψεις με μέ-* C *νουσιν. Ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι* (50) *τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ Εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ.* ΠΡΟΣ ΘΕΣΣ. α'. *Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν· ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαῤῥησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ Εὐαγγέλιον τοῦ Θεοῦ ἡμῶν ἐν πολλῷ ἀγῶνι.*

297 Quod orandum est pro profectu eorum qui crediderunt, gratiæque pro hoc sunt persolvendæ.

Ὅτι δεῖ προσεύχεσθαι ὑπὲρ τῆς προκοπῆς (51) τῶν πεπιστευκότων, καὶ ἐπ' αὐτῇ εὐχαριστεῖν.

Caput XIV.

Non pro eis autem rogo tantum, sed et pro eis qui credunt per verbum eorum in me, ut omnes unum sint, sicut tu, Pater, in me, et ego in te, ut et ipsi in nobis unum sint (*Joan.* xvii, 20, 21)... Et iterum : *Pater, quos dedisti mihi, volo ut ubi sum ego, et illi sint mecum* (*ibid.* 24)... *In ipsa hora exsultavit spiritu Jesus, et dixit : Confiteor tibi, Pater, Domine cœli et terræ, quod abscondisti hæc a sapientibus, et prudentibus, et revelasti ea parvulis. Etiam Pater : quoniam sic placuit ante te* (*Luc.* x, 21)... *Primum*

Κεφάλ. ΙΔ'.

ΙΩΑΝΝΗΣ. *Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου* D *αὐτῶν εἰς ἐμέ, ἵνα πάντες ἓν ὦσι, καθὼς σύ, Πάτερ, ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν* (52) *ὦσι.* Καὶ πάλιν· *Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ.* ΛΟΥΚΑΣ. *Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συν-*

(47) Codices Combefisiani τῶν ἀποκτενόντων. Verbum ἐστιν, quod mox sequitur, in veteribus nostris libris non invenimus.

(48) Reg. tertius Ἰουδαῖοι συνήρχοντο.

(49) Idem codex οὐ παραγγελίᾳ παρήγγειλα ὑμῖν, *præcepi vobis.*

(50) Regii primus et tertius ὥστε τελειῶσαι.

(51) Sic Regii primus et secundus. Utraque editio τῶν πεπιστευμένων, *pro profectu eorum qui concrediti sunt.*

(52) Illud, ἐν ἡμῖν, addidi et ex editione Veneta et ex antiquis duobus libris. Reg. tertius pro ἡμῖν, corrupte habet ὑμῖν. Mox utraque editio θέλω ὅπου εἰμὶ ἐγώ, ἵνα. Reg. primus ut in contextu.

στῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναί, ὁ Πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. ΠΡΟΣ ΡΩΜ. Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν (53) καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. Μάρτυς γάρ μού ἐστιν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ Εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι ἐπὶ τῶν προσευχῶν μου. ΠΡΟΣ ΦΙΛ. Μάρτυς γάρ μού ἐστιν ὁ Θεὸς, ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις (54) Ἰησοῦ Χριστοῦ. Καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ εἰς δόξαν καὶ ἔπαινον Θεοῦ.

A *quidem gratias ago Deo meo per Jesum Christum pro omnibus vobis : quia fides vestra annuntiatur in universo mundo. Testis enim mihi est Deus, cui servio in spiritu meo, in Evangelio Filii ejus, quod sine intermissione memoriam vestri facio in orationibus meis* (*Rom.* I, 8, 9)... *Testis enim mihi est Deus, quomodo cupiam omnes vos in visceribus Jesu Christi. Et hoc oro, ut charitas vestra adhuc magis ac magis abundet in scientia, et in omni sensu, ut probetis potiora, ut sitis sinceri, et sine offensa in diem Christi : repleti fructibus justitiæ per Jesum Christum in gloriam et laudem Dei* (*Philipp.* I, 8-11).

Ὅτι δεῖ τὰ Θεοῦ χάριτι κατορθούμενα, γνώριμα ποιεῖν καὶ ἑτέροις εἰς δόξαν Θεοῦ.

B Quod ea quæ recte facta sunt per Dei gratiam, etiam aliis patefacienda sint ad gloriam Dei.

Κεφάλ. ΙΕ'.

ΛΟΥΚΑΣ. Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ, ὅσα ἐποίησαν. ΠΡΑΞΕΙΣ. Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀπήγγειλαν ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν. ΠΡΟΣ ΕΦΕΣ. (55) Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμὲ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος ἐν Κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν.

Caput XV.

Et reversi apostoli narraverunt illi quæcunque fecerunt (*Luc.* IX, 10)... *Cum autem venissent, et congregassent ecclesiam, retulerunt quanta fecisset Deus cum illis* (*Act.* XIV, 26)... *Ut autem et vos sciatis quæ circa me sunt, quid agam : omnia vobis nota faciet Tychicus charissimus frater, et fidelis minister in Domino : quem misi ad vos in hoc ipsum, ut cognoscatis quæ circa nos sunt* (*Ephes.* VI, 21, 22).

Ὅτι δεῖ μὴ μόνον τῶν παρόντων ἐπιμελεῖσθαι, ἀλλὰ καὶ τῶν ἀπόντων· καὶ πάντα ποιεῖν ὡς ἂν ἀπαιτῇ ἡ χρεία τῆς οἰκοδομῆς.

C Quod non modo præsentium, sed absentium etiam cura gerenda sit, omniaque facienda prout postularit ædificationis ratio.

Κεφάλ. ΙϚ'.

ΙΩΑΝΝΗΣ. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν· καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. ΠΡΟΣ ΘΕΣΣ. α'. Διὸ μηκέτι στέγοντες ηὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι, καὶ ἐπέμψαμεν τὸν ἀδελφὸν ἡμῶν Τιμόθεον, καὶ διάκονον τοῦ Θεοῦ ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν.

Caput XVI.

Et alias oves habeo quæ non sunt ex hoc ovili, et illas oportet me adducere; et vocem meam audient; et fiet unum ovile, unus pastor (*Joan.* X, 16)... *Propter quod non amplius sustinentibus nobis placuit, ut Athenis relinqueremur soli : et misimus Timotheum fratrem nostrum, et ministrum Dei in Evangelio Christi, ad confirmandos vos, et exhortandos pro fide vestra* (*I Thess.* III, 1, 2).

Ὅτι δεῖ τῶν προσκαλουμένων (56) ἐπ' εὐργεσίᾳ ἀνέχεσθαι.

298 Quod iis auscultandum sit, qui nos ad præstandum beneficium invitant.

D

Κεφάλ. ΙΖ'.

ΜΑΤΘΑΙΟΣ. Ταῦτα αὐτοῦ λαλοῦντος, ἰδοὺ ἄρχων εἰσελθὼν προσεκύνει αὐτῷ, λέγων, ὅτι (57) Ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν, ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτὴν, καὶ ζήσεται. Καὶ ἐγερθεὶς ὁ Ἰησοῦς, ἠκολούθησεν αὐτῷ. ΠΡΑΞΕΙΣ. Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστει-

Caput XVII.

Hæc illo loquente, ecce princeps accessit, et adorabat eum, dicens : Filia mea modo defuncta est; sed veni, impone manum tuam super eam, et vivet. Et surgens Jesus, sequebatur eum (*Matth.* IX, 18, 19)... *Cum autem vicina esset Lydda Joppe, discipuli audientes quod Petrus esset in ea, miserunt duos viros ad eum, rogantes : ut ne gravaretur venire*

(53) Reg. tertius πίστις ἡμῶν. Aliquanto post idem codex τῶν εὐχῶν.

(54) Regii primus et tertius σπλάγχνοις Χριστοῦ Ἰησοῦ.

(55) Totum illud, Ἵνα δέ, etc., non reperitur in Regiis primo et tertio : sed legitur in alio codice Regio et in utraque editione.

(56) Utraque editio τὸν προσκαλούμενον. Nostri tres mss. τῶν προσκαλουμένων, sensu non dissimili.

(57) Vocem ὅτι addidimus ex antiquis duobus libris.

usque ad se. Exsurgens autem Petrus, venit cum illis (*Act.* IX, 38).

Quod qui veritatis doctrinam suscipiunt, ii sint in ipsa per visitationem stabiliendi.

Caput XVIII.

Post aliquot autem dies dixit ad Barnabam Paulus : Revertentes jam visitemus fratres nostros per universas civitates, in quibus prædicavimus verbum Domini, quomodo se habeant (*Act.* XV, 36)... *Nos autem, fratres, desolati a vobis ad tempus horæ, aspectu, non corde, abundantius festinavimus faciem vestram videre cum multo desiderio : quoniam voluimus venire ad vos, ego quidem Paulus, et semel et iterum, sed impedivit nos Satanas* (*I Thess.* II, 17, 18). Et paulo post : *Propter quod non amplius sustinentibus nobis placuit, ut Athenis relinqueremur soli : et misimus Timotheum fratrem nostrum, et ministrum Dei in Evangelio Christi, ad confirmandos vos et exhortandos pro fide vestra, ut nemo moveatur in tribulationibus istis; ipsi enim scitis quod in hoc positi sumus* (*I Thess.* III, 1-3).

Quod proprium est ejus qui Dominum diligit, magna cum charitate erga eos quos docet, quavis ratione et cum omni studio ipsorum curam gerere, etiamsi in doctrina cum publice tum privatim tradenda vel ad mortem usque perseverare oportuerit.

Caput XIX.

Bonus pastor animam suam ponit pro ovibus (*Joan* X, 11)... *Cum ergo prandissent, dicit Simoni Petro Jesus : Simon Joannis, diligis me plus his? Dicit ei : Etiam, Domine; tu scis quia amo te : Dicit ei : Pasce agnos meos. Dicit ei iterum : Simon Joannis, diligis me? Ait illi : Etiam, Domine; tu scis quia amo te. Dicit ei : Pasce oves meas. Dicit ei tertio : Simon Joannis, amas me? Contristatus est Petrus, quia dixit ei tertio, Amas me? et dixit ei : Domine, tu omnia nosti : tu scis quia amo te. Dixit ei Jesus : Pasce oves meas* (*Joan.* XXI, 15-17)... *Una autem Sabbatorum, cum convenissent discipuli ad frangendum panem, Paulus disputabat cum eis, profecturus in crastinum,* **299** *protraxitque sermonem usque in mediam noctem* (*Act.* XX, 7)... Et paucis interjectis : *Ascendens autem, frangensque panem, et gustans, satisque allocutus usque in lucem, profectus est* (*ibid.* 11)... *Quomodo nihil subtraxerim utilium, quominus annuntiarem vobis et docerem vos publice et per domos, testificans Judæis atque gentibus in Deum pœnitentiam, et fidem in Dominum nostrum Jesum* (*ibid.* 20, 21)... *Propter quod vigilate, memoria retinentes, quoniam per triennium nocte et die non cessavi cum lacrymis*

(58) Editio Paris. καταλειφθῆναι μόνοι. Libri veteres ut in contextu. Aliquanto post Reg. tertius τοῦ μηδένα.

(59) Sic libri antiqui. Editio Paris. τρίτον καὶ εἶπεν · quod mutilum erat et decurtatum.

λαν δύο ἄνδρας πρὸς αὐτὸν, παρακαλοῦντες, μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. Ἀναστὰς δὲ ὁ Πέτρος, συνῆλθεν αὐτοῖς.

Ὅτι δεῖ τοὺς ὑποδεχομένους τὸν λόγον τῆς ἀληθείας ἐπιστηρίζειν δι' ἐπισκέψεως.

Κεφάλ. ΙΗ'.

ΠΡΑΞΕΙΣ. *Μετὰ δέ τινας ἡμέρας εἶπε Παῦλος πρὸς Βαρνάβαν· Ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πόλιν, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσιν.* ΠΡΟΣ ΘΕΣΣ. α'. *Ἡμεῖς δὲ, ἀδελφοὶ, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ. Διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, ἐγὼ μὲν Παῦλος, καὶ ἅπαξ καὶ δὶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς.* Καὶ μετ' ὀλίγα· *Διὸ μηκέτι στέγοντες ηὐδοκήσαμεν καταλειφθῆναι* (58) *ἐν Ἀθήναις μόνοι· καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν, καὶ διάκονον τοῦ Θεοῦ ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν, τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις· αὐτοὶ γὰρ οἴδατε, ὅτι εἰς τοῦτο κείμεθα.*

Ὅτι ἴδιον τοῦ ἀγαπῶντος τὸν Κύριον τὸ, ἐν πολλῇ φιλοστοργίᾳ, τῇ περὶ τοὺς διδασκομένους, μετὰ πάσης σπουδῆς ἐπιμελεῖσθαι αὐτῶν παντὶ τρόπῳ, κἂν μέχρι θανάτου δέῃ προσκαρτεροῦντα τῇ διδασκαλίᾳ ἔν τε τῷ κοινῷ καὶ κατ' ἰδίαν.

Κεφάλ. ΙΘ'.

ΙΩΑΝΝΗΣ. *Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων.* ΙΩΑΝΝ. *Ὅτε δὲ ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ· Ναὶ, Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναὶ, Κύριε· σὺ οἶδας, ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον* (59)· *Φιλεῖς με; καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας· σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου.* ΠΡΑΞΕΙΣ. *Ἐν δὲ τῇ μιᾷ τῶν Σαββάτων, συνηγμένων τῶν μαθητῶν κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον· παρέτεινε δὲ τὸν λόγον μέχρι μεσονυκτίου.* Καὶ μετ' ὀλίγα· *Ἀναβὰς δὲ, καὶ κλάσας ἄρτον, καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας μέχρις αὐγῆς, ἐξῆλθεν... Ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ' οἴκους, διαμαρτυρόμενος* (60) *Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν Κύριον*

(60) Reg. primus διαμαρτυράμενος. Mox idem codex εἰς τὸν Θεόν. Deest articulus in utraque editione.

ἡμῶν Ἰησοῦν... Διὸ γρηγορεῖτε, μνημονεύοντες A ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν. ΠΡΟΣ ΘΕΣΣ. α'. Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὸν κόπον ἡμῶν, καὶ τὸν μόχθον· νυκτὸς καὶ (61) ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, καὶ τὰ ἑξῆς.

monens unumquemque vestrum (*Act.* xx, 31)... *Memores enim estis, fratres, laboris nostri, et fatigationis: nocte ac die operantes, ne quem vestrum gravaremus, prædicavimus Evangelium Dei* (*I Thess.* ii, 9), etc.

Ὅτι δεῖ τὸν προεστῶτα τοῦ λόγου ἐλεήμονα καὶ εὔσπλαγχνον εἶναι, καὶ μάλιστα ἐπὶ τῶν κεκακωμένων τὰς ψυχάς.

Κεφάλ. Κ'.

ΜΑΤΘΑΙΟΣ. *Καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ· Διὰ τί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; Ὁ δὲ Ἰησοῦς ἀκούσας, εἶπεν· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Πορευθέντες δὲ, μάθετε τί ἐστιν· Ἔλεον θέλω, καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.* ΜΑΤΘΑΙΟΣ. *Ἰδὼν δὲ τοὺς ὄχλους, ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐσκυλμένοι, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα.*

Quod qui præficitur doctrinæ tradendæ, is debet esse misericors et clemens, et maxime erga eos, quorum animæ sunt male affectæ.

Caput XX.

B *Et videntes Pharisæi, dicebant discipulis ejus: Quare cum publicanis et peccatoribus manducat magister vester? At Jesus audiens, ait: Non est opus valentibus medicus, sed male habentibus. Euntes autem discite, quid est: Misericordiam volo, et non sacrificium: non enim veni vocare justos, sed peccatores ad pœnitentiam* (*Matth.* ix, 11-13)... *Videns autem turbas, misertus est eis, quia erant vexati, sicut oves non habentes pastorem* (*ibid.* 36).

Ὅτι δεῖ καὶ ἐν ταῖς τοῦ σώματος χρείαις σπλαγχνίζεσθαι ἐπὶ τοῖς πεπιστευμένοις, καὶ φροντίζειν αὐτῶν.

Κεφάλ. ΚΑ'.

ΜΑΤΘΑΙΟΣ. *Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι, καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ.* ΜΑΡΚΟΣ. *Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς, παρακαλῶν αὐτὸν, καὶ γονυπετῶν αὐτὸν, καὶ λέγων αὐτῷ, ὅτι Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. Ὁ δὲ Ἰησοῦς σπλαγχνισθεὶς, ἐκτείνας τὴν χεῖρα αὐτοῦ, ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ* (62)*· Θέλω, καθαρίσθητι.* ΠΡΑΞΕΙΣ. *Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· Οὐκ ἀρεστόν ἐστι καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν ταῖς τραπέζαις. Ἐπισκέψασθε, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ, πλήρεις Πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης.*

Quod oportet in corporeis etiam necessitatibus eos qui nobis concrediti sunt, commiserari, et ipsorum curam gerere.

Caput XXI.

Misereor turbæ, quia triduo jam perseverant mecum, et non habent quod manducent, et dimittere C *eos jejunos nolo ne deficiant in via* (*Matth.* xv, 32)... *Et venit ad eum leprosus, deprecans eum, atque ad genua illius se provolvens, ac dicens illi: Si vis, potes me mundare. Jesus autem misertus, extensa manu sua tetigit eum, et ait illi: Volo: mundare* (*Marc.* i, 40, 41)... *In diebus autem illis, crescente numero discipulorum, factum est murmur Græcorum adversus Hebræos, eo quod despicerentur in ministerio quotidiano viduæ eorum. Convocantes autem duodecim multitudinem discipulorum, dixerunt: Non est æquum nos derelinquere verbum Dei, et ministrare mensis. Considerate, fratres, viros ex vobis testimonio vestro comprobatos septem, plenos Spiritu sancto et sapientia, quos constituemus super hoc opus* (*Act.* vi, 1-3).

Ὅτι οὐ δεῖ τὸν προεστῶτα τοῦ λόγου ἐν τοῖς ἐλάττοσιν αὐτουργεῖν φιλοτιμούμενον τῆς ὀφειλομένης περὶ τὰ μείζω σπουδῆς ἀπολείπεσθαι.

D **300** Quod is cui concreditur verbum Dei, se a majorum negotiorum studio subducere non debet, dum magno conatu in exsequendis minoribus suam ipsius operam navat.

Κεφάλ. ΚΒ'.

ΠΡΑΞΕΙΣ. *Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· Οὐκ ἀρεστόν ἐστι καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις.* Καὶ μετ' ὀλίγα· *Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσωμεν.*

Caput XXII.

Convocantes autem duodecim multitudinem discipulorum, dixerunt: Non est æquum nos derelinquere verbum Dei, et ministrare mensis (*Act.* vi, 2). Et paulo post: *Nos vero orationi et ministerio verbi instantes fuerimus* (*ibid.* 4).

(61) Reg. primus recenti manu νυκτὸς γὰρ καί.
(62) Addita est vox αὐτῷ ex Reg. primo. Nec ita multo post idem ms. videtur habuisse prima manu καταστήσωμεν. Subinde Reg. tertius καὶ τῆς ὀφειλομένης.

Quod neque ad ostentationem, neque ad quæstum adhibendus est doctrinæ sermo, blandiendo audientibus, ut nostris voluptatibus aut commodis consulamus: sed nos tales esse addecet, tanquam qui ad gloriam Dei coram ipso loquamur.

Caput XXIII.

Omnia vero opera sua faciunt ut videantur ab hominibus: dilatant enim phylacteria sua, et magnificant fimbrias vestimentorum suorum, amantque primos recubitus in cœnis, et primas cathedras in synagogis, et salutationes in foris, et vocari ab hominibus, Rabbi, Rabbi. Vos autem nolite vocari Rabbi: unus est enim magister vester: omnes autem vos fratres estis. Et patrem nolite vocare vobis super terram: unus est enim Pater vester, qui in cœlis est. Nec vocemini magistri: nam magister vester unus est, Christus (*Matth.* XXIII, 5-10)... *Mea doctrina non est mea, sed ejus qui misit me. Si quis voluntatem ipsius faciat, cognoscet de doctrina, utrum ex Deo sit, an ego a meipso loquar. Qui a semetipso loquitur, gloriam propriam quærit: qui autem quærit gloriam ejus, qui misit eum, hic verax est, et injustitia in illo non est* (*Joan.* VII, 16-18)... *Non enim sumus, sicut plurimi, adulterantes verbum Dei: sed velut ex sinceritate, sed velut ex Deo, coram Deo in Christo loquimur* (*II Cor.* II, 17)... *Exhortatio enim nostra non de errore, neque de immunditia, neque in dolo: sed sicut probati sumus a Deo, ut crederetur nobis Evangelium: ita loquimur, non quasi hominibus placentes, sed Deo, qui probat corda nostra. Neque enim aliquando fuimus in sermone adulationis apud vos, sicut scitis: neque in occasione avaritiæ: Deus testis est: neque quærentes ab hominibus gloriam, neque a vobis, neque ab aliis; licet possemus in auctoritate esse, tanquam apostoli Christi* (*I Thess.* II, 3-6).

A **Ὅτι οὐ δεῖ ἐπιδεικτιᾷν, οὐδὲ ἐμπορεύεσθαι τὸν λόγον τῆς διδασκαλίας ἐν κολακείᾳ τῶν ἀκουόντων, εἰς πληροφορίαν τῶν ἰδίων ἡδονῶν, ἤτοι χρειῶν· ἀλλὰ τοιούτους εἶναι, ὡς εἰς δόξαν (63) Θεοῦ ἐνώπιον αὐτοῦ λαλοῦντας.**

Κεφάλ. ΚΓ'.

ΜΑΤΘΑΙΟΣ. *Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν· φιλοῦσί τε τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, Ῥαββί, Ῥαββί* (64). *Ὑμεῖς δὲ μὴ κληθῆτε Ῥαββί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητής· πάντες δὲ ὑμεῖς* B *ἀδελφοί ἐστε. Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ Πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς. Μηδὲ κληθῆτε καθηγηταί· εἷς γάρ ἐστιν ὁ καθηγητὴς ὑμῶν, ὁ Χριστός.* ΙΩΑΝΝΗΣ. *Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με. Ἐάν τις τὸ θέλημα αὐτοῦ ποιῇ, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. Ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν* (65) *ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, οὗτος ἀληθής ἐστιν, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν.* ΠΡΟΣ ΚΟΡ. β'. *Οὐ γάρ ἐσμεν, ὡς οἱ πολλοί, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ, ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ Θεοῦ, κατενώπιον Θεοῦ ἐν Χριστῷ λαλοῦμεν.* C ΠΡΟΣ ΘΕΣΣ. α'. *Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὐδὲ ἐν δόλῳ· ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ Εὐαγγέλιον, οὕτω λαλοῦμεν· οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν πρὸς ὑμᾶς, καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας, Θεὸς μάρτυς, οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπὸ ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι, ὡς Χριστοῦ ἀπόστολοι.*

301 **Quod non oportet eum qui præest aliis docendis, abuti sua potestate ad subjectorum contumeliam, neque contra illos extolli, quin potius gradum illum accipere ceu quamdam occasionem humilitatis, quæ eis ostendenda sit.**

Caput XXIV.

Quis, putas, est fidelis servus et prudens, quem constituit dominus super familiam suam, ut det illis cibum in tempore? Beatus ille servus, quem cum venerit dominus ejus, invenerit sic facientem. Amen dico vobis, quoniam super omnia bona sua constituet eum. Si autem dixerit malus servus ille in corde suo: Moram facit dominus meus venire; et cœperit percutere conservos suos, manducetque et bibat cum ebriosis: veniet dominus servi illius in die qua non sperat, et hora qua ignorat: et dividet

Ὅτι οὐ δεῖ τὸν προεστῶτα τοῦ λόγου εἰς τὴν κατὰ τῶν ὑποκειμένων ὕβριν ἀποκεχρῆσθαι τῇ ἐξουσίᾳ· οὐ μὴν οὐδὲ κατεπαίρεσθαι αὐτῶν· ἀλλὰ μᾶλλον ὑπόθεσιν τῆς πρὸς αὐτοὺς ταπεινοφροσύνης τὸν βαθμὸν ἔχειν.

D

Κεφάλ. ΚΔ'.

ΜΑΤΘΑΙΟΣ. *Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος ἐπὶ τῆς οἰκίας αὐτοῦ τοῦ δοῦναι αὐτοῖς ἐν καιρῷ τὴν τροφήν, Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἔρχεσθαι, καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ* (66), *ἐσθίῃ τε καὶ πίνῃ μετὰ τῶν μεθυόν-*

(63) Editio Paris. ὡς δόξαν. At mss. duo εἰς δόξαν.
(64) Vox Ῥαββί semel in Reg. primo legitur.
(65) Editio Paris. τὴν ἰδίαν δόξαν. At mss. nostri ut in contextu.

(66) Vox αὐτοῦ in veteribus nostris libris deest. Mox utraque editio προσδοκᾷ καὶ διχοτομήσει. Antiqui duo libri ita, ut edidimus.

των· ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει· καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. ΙΩΑΝΝΗΣ. Ὑμεῖς φωνεῖτέ με, ὁ Κύριος, καὶ ὁ Διδάσκαλος, καὶ ἀληθῶς λέγετε (67)· εἰμὶ γάρ. Εἰ οὖν ἐγὼ ἔνιψα τοὺς πόδας ὑμῶν, ὁ Κύριος, καὶ ὁ Διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. ΛΟΥΚΑΣ. Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ, τίς αὐτῶν μείζων δοκεῖ εἶναι. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται· ὑμεῖς δὲ οὐχ οὕτως· ἀλλ' ὁ μείζων ἐν ὑμῖν γενέσθω ὡς νεώτερος, καὶ ὁ ἡγούμενος, ὡς ὁ διακονῶν. Τίς γὰρ μείζων, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν; Οὐχ ὁ (68) ἀνακείμενος; Ἐγὼ δὲ εἰμι ἐν μέσῳ ὑμῶν, ὡς ὁ διακονῶν. ΠΡΑΞΕΙΣ. Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας· ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν, εἶπεν αὐτοῖς· Ὑμεῖς ἐπίστασθε, ἀπὸ πρώτης ἡμέρας ἀφ' ἧς ἐπέβην (69) εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην, δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης, καὶ πολλῶν δακρύων καὶ πειρασμῶν, τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων. ΠΡΟΣ ΚΟΡ. β'. Ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες. Ἀνέχεσθε γὰρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις εἰς πρόσωπον ὑμᾶς δέρει. Κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν ἐν τῷ μέρει τούτῳ.

A *eum, partemque ejus ponet cum hypocritis. Illic erit fletus, et stridor dentium* (*Matth.* XXIV, 45-51).... *Vos vocatis me, Domine, et Magister: et vere dicitis: sum etenim. Si ergo ego lavi pedes vestros, Dominus et Magister: et vos debetis alter alterius lavare pedes* (*Joan.* XIII, 13, 14)... *Facta est autem et contentio inter eos, quis eorum videretur esse major. Jesus autem dixit eis: Reges gentium dominantur eis, et qui potestatem habent super eas, benefici vocantur. Vos autem non sic: sed qui major est in vobis, fiat sicut junior: et qui præcessor est, sicut ministrator. Nam quis major est, qui recumbit an qui ministrat? Nonne qui recumbit? Ego autem in medio vestrum sum, sicut qui ministrat* (*Luc.* XXII, 24-26)... B *A Mileto autem mittens Ephesum, vocavit majores natu Ecclesiæ: qui cum venissent ad eum, dixit eis: Vos scitis, a prima die qua ingressus sum in Asiam, qualiter vobiscum per omne tempus fuerim: serviens Domino cum omni humilitate, et multis lacrymis et tentationibus, quæ mihi acciderunt ex insidiis Judæorum* (*Act.* XX, 17-19).... *Libenter enim suffertis insipientes, cum sitis ipsi sapientes. Sustinetis enim, si quis vos in servitudinem redigit, si quis devorat, si quis accipit, si quis extollitur, si quis in faciem vos cædit. Secundum ignobilitatem dico, quasi nos infirmi fuerimus in hac parte* (*II Cor.* XI, 19-21.)

Ὅτι οὐ δεῖ κατ' ἔριν, ἢ φθόνον, ἢ φιλονεικίαν τὴν πρός τινας (70), κηρύσσειν τὸ Εὐαγγέλιον.

C Quod non sit prædicandum Evangelium per contentionem, aut invidiam, aut quamdam animi adversum aliquos concitationem.

Κεφάλ. ΚΕ'.

ΜΑΤΘΑΙΟΣ. Ἰδοὺ ὁ παῖς μου, ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου. Θήσω τὸ Πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει (71), οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. ΠΡΟΣ ΦΙΛΙΠΠ. Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν· οἱ μὲν ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ Εὐαγγελίου κεῖμαι· οἱ δὲ ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν, οὐχ ἁγνῶς, οἰόμενοι θλίψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου.

Caput XXV.

Ecce puer meus, quem elegi, dilectus meus, in quo sibi bene complacuit anima mea. Ponam Spiritum meum super eum, et judicium gentibus nuntiabit. Non contendet, neque clamabit, neque audiet aliquis in plateis vocem ejus (*Matth.* XII, 18, 19)..... *Quidam quidem et propter invidiam* **302** *et contentionem, quidam autem et propter bonam voluntatem Christum prædicant: quidam ex charitate, scientes quoniam in defensionem Evangelii positus sum: quidam autem ex contentione Christum annuntiant, non sincere, existimantes pressuram se* D *suscitare vinculis meis* (*Philipp.* I, 15-17).

Ὅτι οὐ δεῖ τοῖς ἀνθρωπίνοις πλεονεκτήμασι κεχρῆσθαι εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου, ἵνα μὴ ἐγκρύπτηται (72) αὐτοῖς ἡ τοῦ Θεοῦ χάρις.

Quod non oportet humanis præsidiis et donis uti ad Evangelii prædicationem, ne ab ipsis obscuretur Dei gratia.

Κεφάλ. ΚϚ'.

ΜΑΤΘΑΙΟΣ. Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα

Caput XXVI.

Confiteor tibi, Pater, Domine cœli et terræ, quia abscondisti hæc a sapientibus et prudentibus, et re-

(67) Utraque editio et Reg. secundus καὶ ἀληθῶς λέγετε. Alii duo mss. καὶ καλῶς λέγετε, *et bene dicitis*. Notandum præterea, legi hoc loco in Regiis primo et tertio ordine inverso ὁ Διδάσκαλος καὶ ὁ Κύριος.

(68) Utraque editio οὐχ ὁ. At mss. duo οὐχὶ ὁ.

(69) Utraque editio ἀπέβην. Codex Combef. et alii duo ἐπέβην.

(70) Reg. tertius τὴν πρός τινα, *adversus quempiam*.

(71) Illud, οὐδὲ κραυγάσει, additum est ex libris veteribus.

(72) Utraque editio εἰσκρύπτηται. Regii primus et tertius ἐγκρύπτηται, rectius.

velasti ea parvulis (Matth. XI, 25).... *Non enim misit me Christus baptizare, sed evangelizare : non in sapientia verbi, ut non evacuetur crux Christi* (I Cor. I, 17)..... *Et ego cum venissem ad vos, fratres, veni non in sublimitate sermonis, aut sapientiæ, annuntians vobis testimonium Dei. Non enim judicavi me scire aliquid inter vos, nisi Jesum Christum : et hunc crucifixum. Et ego in infirmitate, et timore, et tremore multo fui apud vos : et sermo meus, et prædicatio mea non in persuasibilibus humanæ sapientiæ verbis, sed in ostensione Spiritus et virtutis; ut fides nostra non sit in sapientia hominum, sed in virtute Dei* (I Cor. II, 1-5).

Quod non putandum est, quod nostra ipsorum solertia et arte prædicationem ad prosperum exitum deducamus : sed fiducia omnino in Deo collocanda est.

Caput XXVII.

Fiduciam autem talem habemus per Christum ad Deum : non quod sufficientes simus cogitare aliquid a nobis, quasi ex nobis : sed sufficientia nostra ex Deo est, qui et idoneos nos fecit ministros novi testamenti (II Cor. III, 4-6).... *Habemus autem thesaurum istum in vasis fictilibus, ut sublimitas sit virtutis Dei, et non ex nobis* (II Cor. IV, 7).

Quod is cui concredita fuit Evangelii prædicatio, nihil amplius debeat possidere quam quæ ad necessarium ipsius usum requiruntur.

Caput XXVIII.

Nolite possidere aurum, neque argentum, neque æs in zonis vestris : non peram in via, neque duas tunicas, neque calceamenta, neque virgam : dignus enim est operarius cibo suo (Matth. X, 9, 10).... *Nihil tuleritis in via, neque virgas, neque peram, neque panem, neque pecuniam, neque duas tunicas habeatis* (Luc. IX, 3).... *Argentum aut aurum aut vestem nullius concupivi : ipsi scitis* (Act. XX, 33).... *Nemo militans vitæ negotiis implicatur, ut placeat ei qui ipsum in militiam delegit* (II Tim. II, 4).

303 Quod animus haud sit applicandus ad rerum mundanarum curas in eorum gratiam, qui his nimio affectu vacant.

Caput XXIX.

Ait autem ei quidam de turba : Magister, dic fratri meo ut dividat mecum hæreditatem. At ille dixit : Homo, quis me constituit judicem, aut divisorem super vos ? (Luc. XII, 13, 14).... *Nemo militans implicatur vitæ negotiis* (II Tim. II, 4).

A *ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις.* ΠΡΟΣ ΚΟΡ. α'. *Οὐ γὰρ ἀπέστειλέ με ὁ Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι· οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου, ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. Οὐ γὰρ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον. Κἀγὼ ἐν ἀσθενείᾳ, καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς· καὶ ὁ λόγος μου, καὶ τὸ κήρυγμά μου οὐκ ἐν πιθανοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως· ἵνα ἡ πίστις ἡμῶν (73) μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ.*

B Ὅτι οὐ δεῖ οἴεσθαι τὴν εὐοδίαν τοῦ (74) κηρύγματος ἐν ἰδίαις ἐπινοίαις κατεργάζεσθαι· τὸ δὲ ὅλον ἐπὶ τῷ Θεῷ πεποιθέναι.

Κεφάλ. ΚΖ'.

ΠΡΟΣ ΚΟΡ. β'. *Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεὸν, οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν· ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ, ὃς καὶ ἱκάνωσεν ἡμᾶς γενέσθαι διακόνους καινῆς διαθήκης.* ΠΡΟΣ ΚΟΡ. β'. *Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν.*

Ὅτι οὐ δεῖ τὸν ἐγκεχειρισμένον τὸ κήρυγμα τοῦ Εὐαγγελίου κτᾶσθαί τι πλέον τῶν πρὸς τὴν παρ' αὐτοῦ
C ἀναγκαίαν χρείαν.

Κεφάλ. ΚΗ'.

ΜΑΤΘΑΙΟΣ. *Μὴ κτήσησθε χρυσὸν (75), μήτε ἄργυρον, μήτε χαλκὸν εἰς τὰς ζώνας ὑμῶν· μὴ πήραν εἰς ὁδὸν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα (76), μηδὲ ῥάβδον· ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι.* ΛΟΥΚΑΣ. *Μηδὲν αἴρετε εἰς ὁδὸν, μήτε ῥάβδους, μήτε πήραν (77), μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν.* ΠΡΑΞΕΙΣ. *Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα, αὐτοὶ γινώσκετε.* ΠΡΟΣ ΤΙΜ. β'. *Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.*

Ὅτι οὐ δεῖ κιχρᾷν ἑαυτὸν εἰς τὴν περὶ τῶν βιωτι-
D κῶν φροντίδα τοῖς κατὰ προσπάθειαν περὶ ταῦτα ἀσχολουμένοις.

Κεφάλ. ΚΘ'.

ΛΟΥΚΑΣ. *Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου· Διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ' ἐμοῦ τὴν κληρονομίαν. Ὁ δὲ εἶπεν· Ἄνθρωπε, τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς;* ΠΡΟΣ ΤΙΜ. β'. *Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις*, καὶ τὰ ἑξῆς.

(73) Pro ἡμῶν, sacer textus vulgatus habet ὑμῶν, *fides vestra.*

(74) Utraque editio et duo mss. τὴν εὐδοκίαν τοῦ. Reg. secundus emendatus τὴν εὐοδίαν τοῦ· quod melius judicavimus et verius, ut ea loca, quæ mox ex Scriptura proferentur, possint ad titulum quadrare.

(75) Reg. primus χρυσίον μήτε ἀργύριον.

(76) Utraque editio et Reg. secundus χιτῶνας ἔχειν, μηδὲ ὑποδήματα. Alii duo mss. ut in contextu legi potest.

(77) Reg. tertius μὴ πήραν. Mox utraque editio χιτῶνας ἔχει. Codex Combef. et alii duo ἔχειν

Ὅτι οἱ διὰ τὴν πρὸς τοὺς ἀκούοντας ἀρέσκειαν ἀμελοῦντες τῆς παῤῥησίας τῶν τοῦ Θεοῦ θελημάτων, ἐκείνοις ἑαυτοὺς δουλοῦντες, οἷς ἀρέσκειν θέλουσι, τῆς τοῦ Κυρίου δεσποτείας ἐκπίπτουσιν.

A Quod illi qui ad gratiam audientium conciliandam Dei voluntates libere nuntiare negligunt, excidant a Domini mancipio : quandoquidem iis quibus placere volunt, sese mancipant.

Κεφάλ. λ'.

ΙΩΑΝΝΗΣ. *Πῶς δύνασθε ὑμεῖς πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες* (78) ; ΠΡΟΣ ΓΑΛ. *Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.*

Caput XXX.

Quomodo vos potestis credere, qui gloriam ab invicem accipitis, et gloriam, quæ a solo Deo est, non quæritis? (*Joan.* v, 44)... *Si adhuc hominibus placerem, Christi servus non essem* (*Gal.* I, 10).

Ὅτι δεῖ σκοπὸν προκεῖσθαι τῷ διδάσκοντι, πάντας μὲν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ καταρτίσαι, ἕκαστον δὲ ἐν τῷ ἰδίῳ τάγματι.

Quod is qui docet, hunc sibi proponere debeat scopum, ut singulos in virum perfectum in mensuram ætatis plenitudinis Christi aptet et componat, ununiquemque tamen in suo ipsius ordine.

Κεφάλ. λα'.

B

ΜΑΤΘΑΙΟΣ. *Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς* (79) *τέλειός ἐστιν.* ΙΩΑΝΝΗΣ. *Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ· ἵνα πάντες ἓν ὦσιν, καθὼς σύ, Πάτερ, ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν* (80). ΠΡΟΣ ΕΦΕΣ. *Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ ποιμένας καὶ διδασκάλους πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.*

Caput XXXI.

Estote ergo vos perfecti, sicut Pater vester cœlestis perfectus est (*Matth.* v, 48).... *Non pro eis autem rogo tantum, sed et pro eis qui credunt per verbum eorum in me : ut omnes unum sint, sicut tu, Pater, in me, et ego in te, ut et ipsi in nobis unum sint* (*Joan.* XVII, 20, 21).... *Et ipse dedit quosdam quidem apostolos, quosdam autem prophetas, alios autem pastores et doctores ad consummationem sanctorum in opus ministerii, in ædificationem corporis Christi : donec occurramus omnes in unitatem fidei, et agnitionis Filii Dei, in virum perfectum, in mensuram ætatis plenitudinis Christi* (*Ephes.* IV, 11-13).

C

Ὅτι δεῖ ἐν ἀνεξικακίᾳ καὶ πραότητι παιδεύειν (81) τοὺς ἀντιδιατιθεμένους, προσδοκῶντα αὐτῶν τὴν μετάνοιαν, ἕως ἂν πληρώσῃ τὸ μέτρον τῆς εἰς αὐτοὺς ἐπιμελείας.

Quod in patientia et mansuetudine erudiendi sint adversarii, exspectata nimirum ipsorum pœnitentia, quoad omnis modus diligentiæ erga ipsos adimpleatur.

Κεφάλ. λβ'.

ΜΑΤΘΑΙΟΣ. *Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὔτε ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν.* ΠΡΟΣ ΤΙΜ. β'. *Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, ἐν πραΰτητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους· μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος.*

Caput XXXII

Neque contendet, neque clamabit, neque audiet aliquis in plateis vocem ejus. Arundinem quassatam non confringet, et linum fumigans non exstinguet, donec ejiciat ad victoriam judicium (*Isa.* XLII, 2-4; *Matth.* XII, 19, 20)... *Servum autem Domini non oportet litigare, sed mansuetum esse ad omnes, idoneum* **304** *ad docendum, tolerantem malorum, in mansuetudine erudientem eos qui adversantur : nequando Deus* D *det illis pœnitentiam ad cognoscendam veritatem, et resipiscant a diaboli laqueo* (*II Tim.* II, 24-26).

Ὅτι δεῖ τοῖς διὰ φόβον καὶ εὐλάβειαν παραιτουμένοις τὴν παρουσίαν τοῦ κηρύσσοντος τὸν λόγον εἴκειν, καὶ μὴ φιλονείκως ἐγκεῖσθαι.

Quod cedendum est, cum aliqui præsentiam ejus qui verbum prædicat, recusant ob timorem ac metum, nec oportet contentiose instare.

Κεφάλ. λγ'.

ΛΟΥΚΑΣ. *Καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν Γαδαρηνῶν, ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνείχοντο. Αὐτὸς δὲ ἐμβὰς εἰς τὸ πλοῖον, ὑπέστρεψεν.*

Caput XXXIII.

Et rogaverunt illum omnis multitudo regionis Gadarenorum, ut discederet ab ipsis : quia magno timore tenebantur. Ipse autem ascendens navim, reversus est (*Luc.* VIII, 37).

(78) Utraque editio οὐ ζητοῦντες. Reg. tertius οὐ ζητεῖτε.

(79) Reg. tertius ὁ οὐράνιος. Aliquanto post idem codex ἐν ἐμοὶ καὶ ἐγὼ ἐν.

(80) Editio utraque et duo mss. ἓν ὦσιν. Τοὺς δέ. Codex Messan. et Reg. tertius, ita ut edidimus.

(81) Utraque editio πραότητι παιδεύσειν. Regii primus et tertius παιδεύειν.

A Quod ab iis etiam qui propter animi improbitatem prædicationem Evangelii non suscipiunt, secedere debeamus, ne pro corporis quidem necessitatibus beneficia ab ipsis accipientes.

Caput XXXIV.

Et quicunque non receperit vos, neque audierit sermones vestros, exeuntes de domo illa vel civitate, excutite pulverem de pedibus vestris (*Matth.* x, 14)... *In quamcunque autem civitatem intraveritis, et non susceperint vos, exeuntes in plateas ejus, dicite : Etiam pulverem qui adhæsit nobis de civitate vestra, extergimus in vos : tamen hoc scitote, quia appropinquavit in vos regnum Dei* (*Luc.* x, 10, 11)... *Cum venissent autem de Macedonia Silas et Timotheus, detinebatur sermone Paulus, testificans Judæis esse Christum Jesum.* B *Contradicentibus autem eis et blasphemantibus, excutiens vestimenta, dixit ad eos : Sanguis vester super caput vestrum : mundus ego ; ex hoc ad gentes vadam* (*Act.* xviii, 5, 6).

Quod recedendum est ab immorigeris, postquam erga ipsos adhibitus fuerit omnis diligentiæ modus.

Caput XXXV.

Jerusalem, Jerusalem, quæ occidis prophetas, et lapidas eos qui ad te missi sunt, quoties volui congregare filios tuos, quemadmodum gallina congregat pullos suos sub alas suas, et noluistis ! Ecce relinquitur vobis domus vestra deserta (*Matth.* xxiii, 37, C 38)... *Vobis oportebat loqui verbum Dei : sed quoniam repellitis illud, et indignos vos judicatis æterna vita, ecce convertimur ad gentes. Sic enim præcepit nobis Dominus : Posui te in lucem gentium, ut sis in salutem usque ad extremum terræ* (*Act.* xiii, 46, 47 ; *Isa.* xlix, 6)... *Hæreticum hominem post unam et secundam correptionem devita : sciens quia subversus est, qui ejusmodi est, et delinquit, cum sit proprio judicio condemnatus* (*Tit.* iii, 10, 11).

Quod in omnibus erga omnes servanda est **305** verborum Domini integritas, sic ut nihil efficiatur ob animi inclinationem.

D

Caput XXXVI.

Testor coram Deo et Christo Jesu, et electis angelis, ut hæc custodias sine præjudicio, nihil faciens in alteram partem declinando (*I Tim.* v, 21).

Quod singula ab eo qui doctrinæ tradendæ præficitur, considerate et cum multo examine et facienda sint et dicenda, eo nempe consilio, ut rem

"Οτι δεῖ καὶ τῶν διὰ ἀγνωμοσύνην μὴ καταδεχομένων τὸ κήρυγμα τοῦ Εὐαγγελίου ἀναχωρεῖν, μηδὲ τὰ πρὸς τὴν ἀναγκαίαν τοῦ σώματος χρείαν παρ' αὐτῶν εὐεργετηθῆναι ἀνεχομένους (82).

Κεφάλ. λδ'.

ΜΑΤΘΑΙΟΣ. *Καὶ ὃς ἂν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τῶν λόγων ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἐκείνης, ἢ τῆς πόλεως, ἐκτινάξατε τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν.* ΛΟΥΚΑΣ. *Εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέξωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε· Καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἀπὸ τῆς πόλεως ὑμῶν ἀποματτόμεθα ὑμῖν· πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.* ΠΡΑΞΕΙΣ. *Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ λόγῳ ὁ Παῦλος, διαμαρτυρόμενος τοῖς Ἰουδαίοις εἶναι* (83) *τὸν Χριστὸν Ἰησοῦν. Ἀντιτασσομένων δὲ αὐτῶν, καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς· Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· ἀθῶος ἐγὼ· ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι.*

"Οτι δεῖ τῶν μετὰ τὸ πληρωθῆναι εἰς αὐτοὺς πάντα τρόπον ἐπιμελείας ἀπειθούντων ἀναχωρεῖν.

Κεφάλ. λε'.

ΜΑΤΘΑΙΟΣ. *Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς* (84), *καὶ οὐκ ἠθελήσατε! Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.* ΠΡΑΞΕΙΣ. *Ὑμῖν ἦν ἀναγκαῖον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. Οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος· Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.* ΠΡΟΣ ΤΙΤ. *Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς, ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος.*

"Οτι πρὸς πάντας ἐν παντὶ πράγματι φυλάσσειν δεῖ τὴν ἀκρίβειαν τῶν τοῦ Κυρίου ῥημάτων, μηδὲν ποιοῦντα κατὰ πρόσκλισιν (85).

Κεφάλ. λϛ'.

ΠΡΟΣ ΤΙΜ. α'. *Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Χριστοῦ Ἰησοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν.*

"Οτι δεῖ τὸν προεστῶτα τοῦ λόγου μετὰ περισκέψεως καὶ δοκιμασίας πολλῆς, κατὰ σκοπὸν τῆς πρὸς Θεὸν εὐαρεστήσεως, ἕκαστον ποιεῖν τε καὶ

(82) Regii primus et tertius ἀνεχόμενον.

(83) Illud εἶναι additum est ex Reg. tertio.

(84) Vox αὐτῆς abest a nostris veteribus libris. Mox Reg. tertius ἀφίεται ὁ οἶκος ὑμῖν ἔρημος. Subinde utraque editio et duo mss. ὑμῖν οὖν ἀναγκαῖον. Reg. primus ὑμῖν ἦν ἀναγκαῖον.

(85) Utraque editio æque ac nostri tres mss. et hic et infra κατὰ πρόσκλησιν, *juxta exhortationem*. Sed utrumque locum emendavimus ex sacro textu vulgato, ubi πρόσκλισιν legitur I Tim. v, 21.

λέγειν, ὡς ὀφείλοντα καὶ ὑπ' αὐτῶν τῶν πεπιστευμένων αὐτῷ δοκιμάζεσθαί τε καὶ μαρτυρεῖσθαι.

Κεφάλ. λζ'.

ΠΡΑΞΕΙΣ. Ὑμεῖς ἐπίστασθε ἀπὸ πρώτης ἡμέρας, ἀφ' ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην, δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης, καὶ πολλῶν δακρύων καὶ πειρασμῶν. Καὶ μετ' ὀλίγα· Ἀργυρίου, ἢ χρυσίου, ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα. Αὐτοὶ γινώσκετε, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. ΠΡΟΣ ΘΕΣΣ. α'. Ὑμεῖς μάρτυρες, καὶ ὁ Θεός, ὡς ὁσίως, καὶ δικαίως, καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν, καθάπερ ὑμεῖς οἴδατε.

ΟΡΟΣ ΟΑ'.

Ὅσα κατὰ συνάφειαν εἴρηται περὶ ἐπισκόπων καὶ πρεσβυτέρων.

Κεφάλ. α'.

ΠΡΟΣ ΤΙΜ. α'. Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. Ἀλλὰ δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, καὶ τὰ ἑξῆς. ΠΡΟΣ ΤΙΜ. α'. Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα, νεωτέρους ὡς ἀδελφούς, πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς ἀδελφάς, ἐν πάσῃ ἁγνείᾳ. ΠΡΟΣ ΤΙΜ. β'. Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε, δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας. Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδώς, ὅτι γεννῶσι μάχας. Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, καὶ τὰ ἑξῆς. ΠΡΟΣ ΤΙΜ. β'. Σὺ δὲ παρηκολούθηκάς μου τῇ πίστει, τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασιν. ΠΡΟΣ ΤΙΤ. Τούτου χάριν κατέλιπόν (86) σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃς, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην, εἴ τις ἐστὶν ἀνέγκλητος, καὶ τὰ ἑξῆς.

Κεφάλ. β'. — Περὶ διακόνων.

ΠΡΑΞΕΙΣ. Καὶ ἐξελέξαντο Στέφανον ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ τοὺς λοιπούς, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων· καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. ΠΡΟΣ ΤΙΜ. α'. Διακόνους ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς, καὶ τὰ ἑξῆς.

ΟΡΟΣ ΟΒ'.

Περὶ ἀκροατῶν (87).

Ὅτι δεῖ τῶν ἀκροατῶν τοὺς πεπαιδευμένους τὰς Γραφάς, δοκιμάζειν τὰ παρὰ τῶν διδασκάλων λεγόμενα· καὶ τὰ μὲν σύμφωνα ταῖς Γραφαῖς δέχεσθαι, τὰ δὲ ἀλλότρια ἀποβάλλειν· καὶ τοὺς τοιού-

(86) Antiqui tres libri ἀπέλιπον. Utraque editio κατέλιπον. Mox editio Paris. ἐπιδιορθώσῃς. At mss. tres ἐπιδιορθώσῃ.

A faciat Deo gratam : quippe qui vel ab ipsis qui sibi concrediti fuere, debeat comprobari, eorumque testimonio commendari.

Caput XXXVII.

Vos scitis a prima die, qua ingressus sum in Asiam, qualiter vobiscum per omne tempus fuerim : serviens Domino cum omni humilitate, et multis lacrymis et tentationibus (*Act.* xx, 18, 19). Et paulo post : *Argentum, aut aurum, aut vestem nullius concupivi. Ipsi scitis : quoniam ad ea quæ mihi opus erant, et his qui mecum sunt, ministraverunt manus istæ* (*ibid.* 33, 34)... *Vos testes estis, et Deus, quam sancte, et juste, et sine querela vobis qui credidis, fuimus : sicut vos scitis* (*I Thess.* ii, 10).

B

REGULA LXXI.

Quæ conjunctim de episcopis ac presbyteris dicta sunt.

Caput I

Si quis episcopatum desiderat, bonum opus desiderat. Sed oportet episcopum irreprehensibilem esse (*I Tim.* iii, 1, 2), etc... *Seniorem ne increpaveris, sed obsecra ut patrem : juniores ut fratres, seniores mulieres ut matres, juniores ut sorores, in omni castitate* (*I Tim.* v, 1, 2)... *Juvenilia autem desideria fuge : sectare vero justitiam, fidem, charitatem, pacem cum iis qui invocant Dominum de corde puro. Stultas autem et sine disciplina quæstiones devi-* C *ta, sciens quia generant lites. Servum autem Domini non oportet litigare, sed mansuetum esse ad omnes* (*II Tim.* ii, 22-24), etc... *Tu autem assecutus es meam fidem, doctrinam, institutionem, propositum, patientiam, persecutiones, passiones* (*II Tim.* iii, 10, 11)... *Hujus rei gratia reliqui te in Creta, ut ea quæ desunt corrigas, et constituas per civitates presbyteros, sicut ego disposui tibi, si quis sine crimine est* (*Tit.* i, 5, 6), etc.

306 *Caput II. — De diaconis.*

Et elegerunt Stephanum virum plenum fide et Spiritu sancto, et Philippum, et Prochorum, et Nicanorem, et reliquos, *quos statuerunt ante conspectum* D *apostolorum : et orantes imposuerunt eis manus* (*Act.* vi, 5, 6)... *Diaconos similiter pudicos, non bilingues, non multo vino deditos, non turpe lucrum sectantes* (*I Tim.* iii, 8), etc.

REGULA LXXII.

De auditoribus.

Quod debeant auditores qui Scripturas fuerint edocti, explorare ac probare ea quæ a magistris dicuntur : et quæ quidem consona sunt Scripturis, suscipere ; quæ vero aliena, rejicere, eos-

(87) Illud, *Περὶ ἀκροατῶν*, deest in editione Parisiensi : sed reperitur in editione Veneta et in antiquis duobus libris.

que qui in ejusmodi doctrinis perseverant vehementius aversari.

A τοῖς (88) διδάγμασιν ἐπιμένοντας ἀποστρέφεσθαι σφοδρότερον.

Caput I.

Væ homini illi, per quem scandalum venit. Et si oculus tuus scandalizat te, erue eum (*Matth.* XVIII, 7, 9) : similiter et de manu et de pede... *Amen amen dico vobis : Qui non intrat per ostium in ovile ovium, sed ascendit aliunde, ille fur est et latro* (*Joan.* X, 1). Et post pauca : *Alienum autem non sequentur, sed fugient ab eo : quia non noverunt vocem alienorum* (*ibid.* 5)... *Sed licet nos, aut angelus de cœlo evangelizet vobis præter id quod accepistis, anathema sit* (*Gal.* I, 8)... *Prophetias nolite spernere. Omnia autem probate : quod bonum est, tenete. Ab omni specie mala abstinete* (*I Thess.* V, 20-22).

Κεφάλ. α'.

ΜΑΤΘΑΙΟΣ. *Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. Καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτόν·* ὁμοίως καὶ περὶ χειρὸς καὶ ποδός. ΙΩΑΝΝΗΣ. *Ἀμὴν ἀμὴν λέγω ὑμῖν· ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής.* Καὶ μετ' ὀλίγα· *Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν* (89), *ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.* ΠΡΟΣ ΓΑΛ. *Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.* ΠΡΟΣ ΘΕΣΣ. α'. *Προφητείας μὴ ἐξουθενεῖτε. Πάντα δοκιμάζετε* (90)· *τὸ καλὸν κατέχετε. Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.*

Quod ii qui non multum callent Scripturas, debeant ex Spiritus fructibus characterem ac notam sanctorum agnoscere : et eos quidem qui tales sunt, admittere, ab iis vero qui non sunt hujusmodi, recedere.

B Ὅτι δεῖ τοὺς μὴ πολλὴν ἔχοντας τὴν τῶν Γραφῶν γνῶσιν, ἐν τοῖς καρποῖς τοῦ Πνεύματος γνωρίζειν τὸν χαρακτῆρα τῶν ἁγίων· καὶ τοὺς μὲν τοιούτους δέχεσθαι, τοὺς δὲ ἄλλως ἔχοντας ἀποστρέφεσθαι.

Caput II.

Attendite a falsis prophetis, qui veniunt ad vos in vestimentis ovium, intrinsecus autem sunt lupi rapaces. A fructibus eorum cognoscetis eos (*Matth.* VII, 15, 16).... *Imitatores mei estote, fratres, et observate eos qui ita ambulant, quemadmodum nos exemplar habetis* (*Philipp.* III, 17).

Κεφάλ. β'.

ΜΑΤΘΑΙΟΣ. *Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.* ΠΡΟΣ ΦΙΛΙΠΠ. *Συμμιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτω περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς.*

Quod qui recte verbum veritatis tractant, ii perinde atque Dominus sint suscipiendi, ad gloriam ejus qui illos misit Jesu Christi Domini nostri.

Ὅτι δεῖ τῶν ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας οὕτως ἀνέχεσθαι, ὡς τοῦ (91) Κυρίου, εἰς δόξαν αὐτοῦ
C τοῦ ἀποστείλαντος Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Caput III.

Qui recipit vos, me recipit (*Matth.* X, 40).... *Qui recipit si quem misero, me recipit* (*Joan.* XIII, 20).... *Qui vos audit, me audit* (*Luc.* X, 16) **307**.... *Et tentationem in carne mea non sprevistis, neque respuistis : sed sicut angelum Dei excepistis me, sicut Christum Jesum* (*Gal.* IV, 14).

Κεφάλ. γ'.

ΜΑΤΘΑΙΟΣ. *Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται.* ΙΩΑΝ. *Ὁ λαμβάνων ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει.* ΛΟΥΚΑΣ. *Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει.* ΠΡΟΣ ΓΑΛ. *Καὶ τὸν πειρασμὸν, τὸν ἐν τῇ σαρκί μου, οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύσατε, ἀλλ' ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν.*

Quod qui non auscultant iis qui mittuntur a Domino, non in eos modo contumeliosi sunt, sed in eum etiam qui ipsos misit : quin et sibi ipsis judicium gravius asciscunt, quam quod in Sodomos ac Gomorrhas prolatum est.

Ὅτι οἱ ἀπειθοῦντες τοῖς παρὰ τοῦ Κυρίου ἀποστελλομένοις, τὴν ἀτιμίαν οὐ μέχρι τούτων ἱστῶσιν, ἀλλὰ ἀνάγουσιν ἐπὶ τὸν ἀποστείλαντα, καὶ κρῖμα ἑαυτοῖς χεῖρον τῶν ἐν Σοδόμοις καὶ Γομόῤῥοις ἐπισπῶνται.

Caput IV.

Et quicunque non receperit vos, neque audierit sermones vestros, exeuntes de civitate aut domo illa, excutite pulverem de pedibus vestris. Amen dico vobis, tolerabilius erit terræ Sodomorum et Gomorrhæorum in die judicii, quam illi civitati (*Matth.* X, 14, 15).... *Qui vos spernit, me spernit* (*Luc.* X,

D *Κεφάλ. δ'.*

ΜΑΤΘΑΙΟΣ. *Καὶ ὃς ἂν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς πόλεως ἢ τῆς οἰκίας ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ* (92). ΛΟΥΚΑΣ.

(88) Regii secundus et tertius καὶ τοῖς τοιούτοις. Utraque editio καὶ τοὺς τοιούτους.
(89) Editio Paris. ἀκολουθοῦσιν. Editio Ven. et antiqui tres libri ἀκολουθήσωσιν.
(90) Veteres duo libri δοκιμάζοντες.
(91) Editio Paris. ἀναδέχεσθαι ὡς τοῦ· quam scripturam non ideo reprobamus, quod inepta sit, sed quod nullo veterum librorum testimonio nitatur. Editio Ven. et nostri tres mss. ἀνέχεσθαι ὡς τοῦ.
(92) Vox ἐκείνῃ addita est ex libris antiquis.

Ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ. ΠΡΟΣ ΘΕΣΣ. α'. Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν, τὸν καὶ δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς (93).

Ὅτι δεῖ τὴν διδασκαλίαν τῶν ἐντολῶν τοῦ Κυρίου οὕτως δέχεσθαι, ὡς ζωῆς αἰωνίου καὶ βασιλείας οὐρανῶν περιποιητικήν· καὶ προθύμως ἐνεργεῖν αὐτὴν, κἂν ἐπίπονος εἶναι δοκῇ.

Κεφάλ. ε'.

ΙΩΑΝΝΗΣ. *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.* ΠΡΑΞΕΙΣ. *Εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην* (94) *καὶ μαθητεύσαντες ἱκανοὺς, ὑπέστρεψαν εἰς τὴν Λύστραν, καὶ Ἰκόνιον, καὶ Ἀντιόχειαν, ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει· καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.*

Ὅτι δεῖ τὸν ἔλεγχον καὶ τὴν ἐπιτίμησιν οὕτως δέχεσθαι, ὡς φάρμακον ἀναιρετικὸν πάθους, καὶ ὑγείας κατασκευαστικόν. Ἐξ οὗ δῆλόν ἐστιν, ὅτι οἱ ἐν πάθει ἀνθρωπαρεσκείας ἐπιείκειαν ὑποκρινόμενοι, καὶ μὴ ἐλέγχοντες τοὺς ἁμαρτάνοντας, τὸ ὅλον ζημιοῦσι, καὶ εἰς αὐτὴν τὴν ἀληθινὴν ζωὴν ἐπιβουλεύουσιν.

Κεφάλ. ς'.

ΜΑΤΘΑΙΟΣ. *Ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου.* ΠΡΟΣ ΚΟΡ. α'. *Συναχθέντων ὑμῶν* (95) *καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.* ΠΡΟΣ ΚΟΡ. β'. *Ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς, νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. Ἐλυπήθητε γὰρ κατὰ Θεὸν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν. Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται.* ΠΡΟΣ ΤΙΤ. *Δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει.*

ΟΡΟΣ ΟΓ'.

Ὅτι οὐ δεῖ ἄνδρα ἀπὸ γυναικὸς (96), ἢ γυναῖκα ἀπὸ ἀνδρὸς χωρίζεσθαι, εἰ μή τις ἂν ἐπὶ πορνείᾳ ἁλῷ, ἢ εἰς τὴν θεοσέβειαν κωλύηται.

Κεφάλ. α'.

ΜΑΤΘΑΙΟΣ. *Ἐῤῥήθη δὲ, ὅτι ὃς ἂν ἀπολύσῃ*

A 16)..... *Itaque qui spernit, non hominem spernit, sed Deum, qui etiam dedit Spiritum suum sanctum in nobis* (*I Thess.* IV, 8).

Quod doctrina mandatorum Domini ita sit accipienda, tanquam quæ vitam æternam et regnum cœlorum nobis conciliet: item quod debeamus in ea studiose nos exercere, licet ardua et difficilis esse videatur.

Caput V.

Amen amen dico vobis, quia qui verbum meum audit, et credit ei qui misit me, habet vitam æternam, et in judicium non venit, sed transiit a morte in vitam (*Joan.* V, 24).... *Cumque evangelizassent civitati illi, et docuissent multos, reversi sunt Lystram, et Iconium, et Antiochiam, confirmantes animas discipulorum, exhortantes, ut permanerent in fide: et quoniam per multas tribulationes oportet nos intrare in regnum cœlorum* (*Act.* XIV, 20-22). B

Quod reprehensio et objurgatio ita accipienda sit, quasi medicamentum quoddam quo vitiosus affectus depellatur, et sanitas paretur. Ex quo perspicuum est, quod qui mansuetudinem ac lenitatem simulant vitioso quodam hominibus placendi studio, nec peccantes redarguunt, ii illos prorsus damno afficiant, atque adversus ipsam veram eorum vitam insidias struant.

C *Caput VI.*

Si autem peccaverit in te frater tuus, vade, corripe eum inter te et ipsum solum: si te audierit, lucratus es fratrem tuum (*Matth.* XVIII, 15).... *Congregatis vobis et meo spiritu cum virtute Domini nostri Jesu Christi, tradere hujusmodi Satanæ in interitum carnis, ut spiritus salvus sit in die Domini Jesu* (*I Cor.* V, 4, 5).... *Quod epistola illa (etsi ad horam) vos contristavit, nunc gaudeo: non quia contristati estis, sed quia contristati estis ad pœnitentiam. Contristati enim estis secundum Deum,* 308 *ut in nullo detrimentum patiamini ex nobis. Quæ enim secundum Deum tristitia est, pœnitentiam in salutem haud pœnitendam operatur* (*II Cor.* VII, 8-10) .. *Quam ob causam increpa illos dure, ut* D *sani sint in fide* (*Tit.* I, 13).

REGULA LXXIII

Quod vir ab uxore, aut uxor a viro non debeat separari, nisi alter deprehendatur in adulterio, aut pietatis sit impedimento.

Caput I.

Dictum est autem: Quicunque dimiserit uxorem

(93) Editio Paris. εἰς ὑμᾶς. Codex Combef. et alii duo ἡμᾶς.
(94) Utraque editio εὐαγγελισάμενοι τῇ πόλει ἐκείνῃ. Antiqui tres libri ut in contextu.
(95) Reg. primus συναχθέντων οὖν ὑμῶν.
(96) Editio Ven. et nostri tres mss. τοῖς ἐν γάμῳ· quod cum vitiosum esse viderent typographi Parisienses, pro τοῖς ἐν γάμῳ, ediderunt τὸν ἐν γάμῳ. Nos autem hæc delevimus. Animadvertimus enim has voces, τοῖς ἐν γάμῳ, punctis variis notatas fuisse in Reg. tertio, ut moneremur ipsas deleri debere. Mox editio Paris. εἰ μή τις. Editio Ven. et mss. nostri εἰ μή τι. Ibidem Reg. secundus ἐπὶ πορνείαν.

suam, det ei libellum repudii. Ego autem dico vobis, quia omnis qui dimiserit uxorem suam, excepta stupri causa, facit eam mœchari; et qui dimissam duxerit, adulterat (*Matth.* v, 31, 32).... *Si quis venit ad me, et non odit patrem, et matrem, et uxorem, et filios, et fratres, et sorores, adhuc autem et animam suam, non potest meus esse discipulus* (*Luc.* xiv, 26).... *Dico autem vobis, quia quicunque dimiserit uxorem suam, nisi ob stuprum, et aliam duxerit, mœchatur : et qui dimissam duxerit, mœchatur* (*Matth.* xix, 9).... *Iis autem qui matrimonio juncti sunt, præcipio, non ego, sed Dominus, ut uxor a viro non separetur : quod si separata fuerit, maneat innupta, aut marito reconcilietur : et vir uxorem non dimittat* (*I Cor.* vii, 10, 11).

A *τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον.* *Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ ὃς ἐὰν* (97) *ἀπολελυμένην γαμήσῃ, μοιχᾶται.* ΛΟΥΚΑΣ. *Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφούς, καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής.* ΜΑΤΘΑΙΟΣ. *Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, εἰ μὴ* (98) *ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται· καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται.* ΠΡΟΣ ΚΟΡ. α'. *Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρίζεσθαι· ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος,* B *ἢ τῷ ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι.*

Quod non licet viro, uxore dimissa, aliam ducere : neque fas est repudiatam a marito, ab alio duci uxorem.

Ὅτι οὐκ ἔξεστι τῷ ἀπολύσαντι τὴν ἑαυτοῦ (99) γυναῖκα, γαμεῖν ἄλλην, οὔτε τὴν ἀπολελυμένην ἀπὸ ἀνδρὸς, ἑτέρῳ γαμεῖσθαι.

Caput II.

Dico autem vobis, quia quicunque dimiserit uxorem suam, nisi ob stuprum, et aliam duxerit, mœchatur; et qui dimissam duxerit, mœchatur (*Matth.* xix, 9).

Κεφάλ. β'.

ΜΑΤΘΑΙΟΣ. *Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται· καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται.*

Quod viri debent diligere uxores suas, dilectione qua Christus dilexit Ecclesiam, qui, ut eam sanctificaret, seipsum pro ipsa tradidit.

Ὅτι δεῖ τοὺς ἄνδρας ἀγαπᾷν τὰς ἑαυτῶν (1) γυναῖκας, ἀγάπην ἣν ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν, παραδοὺς ἑαυτὸν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν C ἁγιάσῃ.

Caput III.

Viri, diligite uxores vestras, sicut et Christus dilexit Ecclesiam, et seipsum tradidit pro ea, ut illam sanctificaret, mundans lavacro aquæ in verbo (*Ephes.* v, 25, 26). Et paucis interjectis : *Ita viri debent diligere uxores suas, ut corpora sua* (*ibid.* 28), etc.

Κεφάλ. γ'.

ΠΡΟΣ ΕΦΕΣ. *Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν ἠγάπησε, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι.* Καὶ μετ' ὀλίγα· *Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα,* καὶ τὰ ἑξῆς.

Quod oportet uxores subjici suis ipsarum viris, 309 quemadmodum et Ecclesia Christo subjecta est, ut faciant Dei voluntatem.

Ὅτι δεῖ τὰς γυναῖκας ὑποτάσσεσθαι τοῖς ἰδίοις ἀνδράσιν, ὡς καὶ ἡ Ἐκκλησία τῷ Χριστῷ, ποιούσας τὸ θέλημα τοῦ Θεοῦ.

Caput IV.

Mulieres viris suis subditæ sint, sicut Domino : quoniam vir caput est mulieris, sicut et Christus caput est Ecclesiæ : et ipse salvator est corporis. Sed sicut Ecclesia subjecta est Christo : ita et mulieres viris suis in omnibus (*Ephes.* v, 22-24)... *Ut prudentiam doceant adolescentulas, ut viros suos ament, filios diligant : ut sobriæ sint, castæ, domus custodes, benignæ, subditæ viris suis, ut non blasphemetur verbum Dei* (*Tit.* ii, 4, 5).

Κεφάλ. δ'.

ΠΡΟΣ ΕΦΕΣ. *Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτασσέσθωσαν, ὡς τῷ Κυρίῳ· ὅτι ὁ ἀνὴρ κε*D*φαλή ἐστι τῆς γυναικὸς, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας· καὶ αὐτός ἐστιν ὁ σωτὴρ* (2) *τοῦ σώματος. Ἀλλ' ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί.* ΠΡΟΣ ΤΙΤ. *Ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρους εἶναι, ἁγνὰς, οἰκουροὺς, ἀγαθὰς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.*

(97) Reg. tertius καὶ ὃς ἄν.

(98) Utraque editio εἰ μή. Vocula εἰ in Reg. secundo non legitur. Desunt hæc omnino in duobus aliis codicibus : quod melius esse credi potest, cum eadem verba statim repetantur. Mox utraque editio εἰ μή. Vocula εἰ abest a nostris veteribus libris.

(99) Sic libri veteres. Utraque editio τὴν αὐτοῦ.

(1) Editi τὰς αὐτῶν. At mss. ἑαυτῶν.

(2) Posuimus ex libris antiquis articulum ante vocem σωτήρ.

Ὅτι οὐ δεῖ τὰς γυναῖκας πρὸς ὡραϊσμὸν κοσμεῖσθαι, ἀλλὰ τὴν πᾶσαν σπουδὴν καὶ μέριμναν ἔχειν περὶ τὰ (3) ἀγαθὰ ἔργα, καὶ τοῦτον ἡγεῖσθαι ἀληθῆ καὶ πρέποντα Χριστιαναῖς κόσμον.

Κεφάλ. ε'.

ΠΡΟΣ. ΤΙΜ. α'. *Ὡσαύτως γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς· μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ', ὃ πρέπει* (4) *γυναιξὶν, ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν.*

Ὅτι δεῖ τὰς γυναῖκας σιγᾷν ἐν ἐκκλησίᾳ, κατ' οἶκον δὲ σπουδαιολογεῖσθαι περὶ τῆς εἰς Θεὸν εὐαρεστήσεως.

Κεφάλ. ς'.

ΠΡΟΣ ΚΟΡ. α'. *Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι. Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. Αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν.* ΠΡΟΣ ΤΙΜ. α'. *Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ. Διδάσκειν δὲ γυναικὶ οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρὸς, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα. Καὶ ὁ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονε. Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν τῇ πίστει, καὶ ἀγάπῃ, καὶ ἁγιασμῷ, μετὰ σωφροσύνης.*

ΟΡΟΣ ΟΔ'.

Ὅτι δεῖ τὴν χήραν, τὴν ἰσχυροτέρῳ τῷ σώματι χρωμένην, ἐν φροντίδι καὶ σπουδῇ διάγειν, μεμνημένην τῶν ὑπὸ τοῦ Ἀποστόλου εἰρημένων, καὶ τῇ Δορκάδι μεμαρτυρημένων.

Κεφάλ. α'.

ΠΡΑΞΕΙΣ. *Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια, ὀνόματι Ταβιθὰ, ἢ διερμηνευομένη λέγεται Δορκάς. Αὕτη ἦν πλήρης ἔργων ἀγαθῶν καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.* Καὶ μετ' ὀλίγα· *Καὶ περιέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς.* ΠΡΟΣ ΤΙΜ. α'. *Χήρα καταλεγέσθω, μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή· ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν.*

Ὅτι δεῖ τὴν χήραν τὴν εὐδοκιμήσασαν ἐν τοῖς ὑπὸ τοῦ Ἀποστόλου εἰρημένοις κατορθώμασι, καὶ φθάσασαν εἰς τὸ τάγμα τῶν ὄντως χηρῶν, προσκαρτερεῖν ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς μετὰ νηστειῶν νυκτὸς καὶ ἡμέρας.

Κεφάλ. β'.

ΛΟΥΚΑΣ. *Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουὴλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα μετὰ ἀνδρὸς ἔτη ἑπτὰ*

(3) Sic libri antiqui. Utraque editio πρὸς τά.

A Quod non debent mulieres se ad parandam pulchritudinem exornare, sed studium omne et curam ad bona opera conferre, atque hunc verum et Christianis mulieribus convenientem ornatum esse existimare.

Caput V.

Similiter et mulieres in habitu ornato cum verecundia et sobrietate ornantes se, non in tortis crinibus, aut auro, aut margaritis, vel veste pretiosa: sed, quod decet mulieres, promittentes pietatem, per opera bona (*I Tim.* II, 9, 10).

Quod debent mulieres silere in ecclesia, et sedulo domi de modo placendi Deo inquirere.

B

Caput VI.

Mulieres vestræ in ecclesiis taceant, non enim permittitur eis loqui, sed subditas esse. Si quid autem volunt discere, domi viros suos interrogent. Turpe est enim mulieribus loqui in ecclesia (*I Cor.* XIV, 34, 35). *Mulier in silentio discat cum omni subjectione. Docere autem mulieri non permitto, neque dominari in virum, sed esse in silentio. Adam enim primus formatus est, deinde Eva. Et Adam non est seductus, mulier autem seducta in prævaricatione fuit. Salvabitur autem per filiorum generationem, si permanserint in fide, et dilectione, et sanctificatione, cum sobrietate* (*I Tim.* II, 11-15).

C

REGULA LXXIV.

Quod oportet viduam, robustiore corpore præditam, in cura ac studio vitam degere, memorem eorum quæ ab Apostolo dicta sunt, et testimonii, quod Dorcadi datum est.

Caput I.

In Joppe autem erat quædam discipula nomine Tabitha, quæ interpretata dicitur Dorcas. Hæc erat plena operibus bonis, et eleemosynis **310** *quas faciebat* (*Act.* IX, 36). Et paulo post: *Et circumsteterunt illum omnes viduæ flentes, et ostendentes tunicas et vestes quas faciebat cum esset cum ipsis Dorcas* (*ibid.* 39)... *Vidua eligatur non minus sexaginta annorum, quæ fuerit unius viri uxor: in operibus bonis testimonium habens, si filios educavit,*
D
si hospitio recepit, si sanctorum pedes lavit, si tribulationem patientibus subministravit, si omne opus bonum subsecuta est (*I Tim.* V, 9, 10).

Quod vidua quæ ob recte facta ab Apostolo memorata illustris est et clara, quæque ad ordinem vere viduarum pervenit, precibus et obsecrationibus cum jejuniis noctu diuque insistere debeat.

Caput II.

Et erat Anna prophetissa, filia Phanuel, de tribu Aser: hæc processerat in diebus multis, et vixerat cum viro annis septem a virginitate sua. Et hæc vi-

(4) Reg. tertius ἀλλ' ὡς πρέπει, *sed uti convenit.*

dua usque ad annos octoginta quatuor: quæ non discedebat de templo, jejuniis et obsecrationibus serviens nocte ac die (*Luc.* II, 36, 37). *Quæ autem vere vidua est et desolata, sperat in Deo, et instat obsecrationibus et orationibus nocte ac die : quæ vero in deliciis est, vivens mortua est* (*I Tim.* V, 5, 6)

A *ἀπὸ τῆς παρθενίας αὐτῆς. Καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοηκοντατεσσάρων, ἢ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν.* ΠΡΟΣ ΤΙΜ. α'. *Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας· ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν.*

REGULA LXXV.

Quod oportet servos cum omni benevolentia ad Dei gloriam suis secundum carnem dominis obedire, in iis certe, in quibus mandatum Dei non solvitur.

Caput I.

Servi, obedite dominis carnalibus cum timore et tremore in simplicitate cordis vestri, sicut Christo : non ad oculum servientes, quasi hominibus placentes, sed ut servi Christi, facientes voluntatem Dei ex animo, cum benevolentia servientes, sicut Domino, et non hominibus : scientes, quoniam unusquisque quodcunque fecerit bonum, hoc recipiet a Domino, sive servus, sive liber (*Ephes.* VI, 5-8). *Quicunque sunt sub jugo servi, dominos suos omni honore dignos arbitrentur, ne nomen Dei et doctrina blasphemetur. Qui autem fideles habent dominos, non contemnant, quia fratres sunt : sed magis serviant, quia fideles sunt et dilecti, qui beneficii participes sunt* (*I Tim.* VI, 1, 2). *Servos dominis suis subditos esse, in omnibus placentes, non contradicentes, non fraudantes, sed omnem fidem bonam ostendentes; ut doctrinam Salvatoris nostri Dei ornent in omnibus* (*Tit.* II, 9, 10).

ΟΡΟΣ ΟΕ'.

Ὅτι χρὴ τοὺς δούλους ὑπακούειν τοῖς κατὰ σάρκα κυρίοις εἰς δόξαν Θεοῦ μετὰ πάσης εὐνοίας· ἐν οἷς ἂν ἐντολὴ Θεοῦ οὐ λύηται.

Κεφάλ. α'.

ΠΡΟΣ ΕΦΕΣ. *Οἱ δοῦλοι, ὑπακούετε τοῖς κατὰ* B *σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου ἐν ἁπλότητι καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ· μὴ κατ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, μετ' εὐνοίας δουλεύοντες, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις· εἰδότες, ὅτι ἕκαστος ὃ ἐὰν ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου* (5), *εἴτε δοῦλος, εἴτε ἐλεύθερος.* ΠΡΟΣ ΤΙΜ. α'. *Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας, μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ, οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι.* ΠΡΟΣ ΤΙΤ. C *Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πᾶσαν πίστιν ἐπιδεικνυμένους ἀγαθήν· ἵνα τὴν διδασκαλίαν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν.*

311 Quod oportet dominos, qui memores sunt veri Domini, quam operam ipsis dederint servi, eam quoque servis pro viribus præbere, in Dei timore et mansuetudine erga ipsos, ad Domini exemplum.

Caput II.

Sciens Jesus, quia omnia dedit ei Pater in manus, et quia a Deo exivit, et ad Deum vadit, surgit a cœna, et ponit vestimenta sua : et cum accepisset linteum, præcinxit se. Deinde mittit aquam in pelvim, et cœpit lavare pedes discipulorum, et extergere linteo, quo erat præcinctus (*Joan.* XIII, 3-5). Et paulo post : *Vos vocatis me, Magister et Domine, et bene dicitis : sum etenim. Si ergo ego lavi pedes vestros Dominus et Magister, et vos debetis alter alterius lavare pedes. Exemplum enim dedi vobis, ut quemadmodum feci vobis, ita et vos faciatis* (*ibid.* 13-15). *Domini, eadem facite illis, remittentes minas : scientes quia et vester ipsorum Dominus est in cœlis, et personarum acceptio non est apud eum* (*Ephes.* VI, 9).

Ὅτι δεῖ τοὺς κυρίους μνημονεύοντας τοῦ ἀληθινοῦ Κυρίου, ὧν ἂν ἀπολαύσωσι (6) παρὰ τῶν δούλων, ταῦτα καὶ ποιεῖν αὐτοῖς κατὰ δύναμιν, ἐν φόβῳ Θεοῦ καὶ ἐπιεικείᾳ τῇ πρὸς αὐτοὺς, κατὰ μίμησιν τοῦ Κυρίου.

Κεφάλ. β'.

ΙΩΑΝΝΗΣ. *Εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα δέδωκεν* (7) *αὐτῷ ὁ Πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν Θεὸν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τίθησι τὰ ἱμάτια αὐτοῦ* (8), *καὶ λαβὼν λέντιον, διέζωσεν ἑαυτόν.* D *Εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος.* Καὶ μετ' ὀλίγα· *Ὑμεῖς φωνεῖτέ με, ὁ διδάσκαλος, καὶ ὁ Κύριος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ. Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. Ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν, ἵνα, καθὼς ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε.* ΠΡΟΣ ΕΦΕΣ. *Οἱ κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτοὺς, ἀνιέντες τὴν ἀπειλήν· εἰδότες, ὅτι καὶ ὑμῶν αὐτῶν* (9) *Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ ἔστι παρ' αὐτῷ.*

(5) Reg. primus κομιεῖται παρὰ τοῦ Θεοῦ, *recipiet a Deo.*
(6) Regii primus et tertius ὧν ἂν ἀπολύωσι.
(7) Reg. tertius πάντα ἔδωκεν.
(8) Vox αὐτοῦ in nostris mss. non invenitur. Mox utraque editio et Reg. secundus διεζωσεν αὐτόν. Alii duo mss. ἑαυτόν.
(9) Editio Paris. ὅτι καὶ ὑμῶν καὶ αὐτῶν, *et vester et illorum Dominus.* Editio Ven. et nostri tres mss. ὅτι καὶ ὑμῶν αὐτῶν. Ibidem Reg. primus ἐν οὐρανῷ.

ΟΡΟΣ ΟϚʹ.

Ὅτι δεῖ τὰ τέκνα τιμᾷν τοὺς γονεῖς, καὶ ὑπακούειν ἐν πᾶσιν αὐτοῖς, ἐν οἷς ἂν ἐντολὴ Θεοῦ μὴ ἐμποδίζηται.

Κεφάλ. αʹ.

ΛΟΥΚΑΣ. *Καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; Ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε.* Καὶ μετ' ὀλίγα· *Καὶ μετέβη* (10) *μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρὲτ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς.* ΠΡΟΣ ΕΦΕΣ. *Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον. Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίαις, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς.*

Ὅτι δεῖ τοὺς γονεῖς ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἐκτρέφειν τὰ τέκνα μετὰ πραότητος καὶ μακροθυμίας, μηδεμίαν δὲ πρόφασιν, τὸ ὅσον ἐπ' αὐτοῖς, διδόναι ὀργῆς καὶ λύπης.

Κεφάλ. βʹ.

ΠΡΟΣ ΕΦΕΣ. *Καὶ οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.* ΠΡΟΣ ΚΟΛ. *Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν.*

ΟΡΟΣ ΟΖʹ.

Ὅτι δεῖ τὰς παρθένους ἀπηλλάχθαι πάσης μερίμνης τοῦ ἐνεστῶτος αἰῶνος, πρὸς τὸ δύνασθαι ἀπερισπάστως τῷ Θεῷ εὐχαριστεῖν (11) κατά τε νοῦν καὶ σῶμα, ἐπ' ἐλπίδι τῆς βασιλείας τῶν οὐρανῶν.

Κεφάλ. αʹ.

ΜΑΤΘΑΙΟΣ. *Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ δυνάμενος χωρεῖν, χωρείτω.* ΠΡΟΣ ΚΟΡ. αʹ. *Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου* (12), *πῶς ἀρέσει τῷ Κυρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. Μεμέρισται* (13) *καὶ ἡ γυνὴ καὶ ἡ παρθένος. Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ τῷ σώματι καὶ τῷ πνεύματι. Ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί. Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω· οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ Κυρίῳ ἀπερισπάστως.*

ΟΡΟΣ ΟΗʹ.

Ὅτι οὐκ ἔξεστι τοῖς στρατευομένοις διασείειν ἢ συκοφαντεῖν.

Κεφάλ. αʹ.

ΛΟΥΚΑΣ. *Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες· Καὶ ἡμεῖς τί ποιήσομεν* (14);

REGULA LXXVI.

Quod liberi debent parentes colere, eisque obedire in omnibus, quæ Dei mandato nequaquam officiunt.

Caput I.

Et dixit mater ejus ad illum : Fili, quid fecisti nobis sic ? Ecce pater tuus et ego dolentes quærebamus te (*Luc.* II, 48). Nec multo post : *Et abiit cum eis, et venit Nazaret : et erat subditus illis* (*ibid.* 51). *Filii, obedite parentibus vestris in Domino; hoc enim justum est. Honora patrem et matrem, quod est mandatum primum in promissionibus, ut bene sit tibi, et eris longævus super terram* (*Ephes.* VI, 1-3).

Quod parentes in disciplina et correctione Domini, cum mansuetudine et lenitate debent liberos educare, nullamque, quantum in ipsis est, eis iræ ac tristitiæ occasionem dare.

Caput II.

Et vos, patres, nolite ad iracundiam provocare filios vestros ; sed educate illos in disciplina, et correptione Domini (*Ephes.* VI, 4). *Patres, nolite ad indignationem provocare filios vestros, ut non pusillo animo fiant* (*Coloss.* III, 21).

312 REGULA LXXVII.

Quod oportet virgines ab omni sæculi hujus sollicitudine liberas esse, ut possint sic gratias Deo agere, ut non distrahantur neque mente neque corpore ob spem regni cœlorum.

Caput I.

Sunt eunuchi qui seipsos castraverunt propter regnum cœlorum. Qui potest capere, capiat (*Matth.* XIX, 12). *Volo autem vos sine sollicitudine esse. Qui sine uxore est, sollicitus est quæ Domini sunt, quomodo placiturus sit Domino : qui autem cum uxore est, sollicitus est quæ sunt mundi; quomodo placiturus sit uxori. Differunt et mulier et virgo. Innupta curat quæ Domini sunt, ut sit sancta et corpore et spiritu. Quæ autem nupta est, curat quæ sunt mundi, quomodo placitura sit viro. Porro hoc ad utilitatem vestram dico : non ut laqueum vobis injiciam, sed ut id quod honestum est, vos doceam, et facile adhæreatis Domino citra ullam distractionem* (*I Cor.* VII, 32-35).

REGULA LXXVIII.

Quod non licet militantibus quemquam concutere aut calumniari.

Caput I.

Interrogabant autem eum et milites, dicentes : Quid faciemus et nos ? Et ait illis : Neminem con-

(10) Reg. primus κατέβη.
(11) Reg. tertius τῷ Θεῷ εὐαρεστεῖν, *Deo placere.*
(12) Editio Paris. τὰ Κυρίου. At mss. τὰ τοῦ Κυρίου.
(13) Quod in Vulgata legitur, *et divisus est. Et mulier innupta et virgo cogitat quæ Domini sunt*, videri potest confusum et perturbatum. Contra, qui Græca paulo attentius legerit, ea, opinor, dilucida esse judicabit. Græcorum enim sententia non est, maritum divisum esse, sed uxorem et virginem dividi, hoc est, aliam ab alia differre.
(14) Utraque editio et Reg. secundus τί ποιήσωμεν. Reg. tertius ποιήσομεν. Mox utraque editio et Reg. secundus μηδένα συκοφαντήσητε. Alii duo mss. μηδὲ συκοφαντήσητε.

cutiatis, neque calumniam faciatis: et contenti estote stipendiis vestris (*Luc.* III, 14).

REGULA LXXIX.

Quod oportet principes ac magistratus vindices esse legum Dei.

Caput I.

Nam principes non sunt terror bonorum operum, sed malorum. Vis autem non timere potestatem? Bonum fac, et habebis laudem ex illa. Dei enim minister est tibi in bonum. Si autem malum feceris, time: non enim sine causa gladium portat. Dei enim minister est: vindex in iram ei, qui malum agit (*Rom.* XIII, 3, 4).

Quod oportet subjici potestatibus supereminentibus in iis quibus non præpeditur Dei mandatum.

Caput II.

Omnis anima potestatibus sublimioribus subdita sit. Non est enim potestas, nisi a Deo: quæ autem sunt potestates, a Deo ordinatæ sunt. **313** *Itaque qui resistit potestati, Dei ordinationi resistit: qui autem resistunt, sibiipsis damnationem acquirent. Nam principes non sunt terror bonorum operum, sed malorum*, etc. (*Rom.* XIII, 1, 2).. *Obedire oportet Deo magis quam hominibus* (*Act.* V, 29)... *Admone illos principatibus et potestatibus subditos esse, obedire, ad omne opus bonum paratos esse* (*Tit.* III, 1).

REGULA LXXX.

Cujusmodi Christianos esse velit Scriptura, nimirum tanquam Christi discipulos, qui sese ad ea sola conforment, quæ in ipso vident, aut quæ ab ipso audiunt.

Caput I.

Tollite jugum meum super vos, et discite a me (*Matth.* XI, 29).... *Vos vocatis me, Magister, et Domine: et bene dicitis: sum etenim. Si ergo ego lavi pedes vestros Dominus et Magister, et vos debetis alter alterius lavare pedes. Exemplum enim dedi vobis, ut quemadmodum ego feci vobis, ita et vos faciatis* (*Joan.* XIII, 13-15).

Tanquam oves Christi, quæ audiant vocem sui solius pastoris, ac ipsum sequantur.

Caput II.

Oves meæ vocem meam audiunt, et ego cognosco eas, et sequuntur me (*Joan.* X, 27). Et superius: *Alienum autem non sequentur, sed fugient ab eo, quia non noverunt vocem alienorum* (*ibid.* 5).

A *Καὶ εἶπε πρὸς αὐτούς· Μηδένα διασείσητε, μηδὲ συκοφαντήσητε· καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.*

ΟΡΟΣ ΟΘʹ.

Ὅτι δεῖ τοὺς ἄρχοντας ἐκδίκους εἶναι τῶν δικαιωμάτων τοῦ Θεοῦ.

Κεφάλ. αʹ.

ΠΡΟΣ ΡΩΜ. *Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει· καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Θεοῦ γὰρ διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι.*

B Ὅτι δεῖ ἐξουσίαις ὑπερεχούσαις ὑποτάσσεσθαι ἐν αἷς ἂν ἐντολὴ Θεοῦ μὴ ἐμποδίζηται (15).

Κεφάλ. βʹ.

ΠΡΟΣ ΡΩΜ. *Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. Οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ὑπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν. Ὥστε ὁ ἀντιτασσόμενος* (16) *τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρῖμα λήψονται. Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν*, καὶ τὰ ἑξῆς. ΠΡΑΞΕΙΣ. *Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις.* ΠΡΟΣ ΤΙΤ. *Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν* (17), *πρὸς πᾶν ἔργον ἀγα-*
C *θὸν ἑτοίμους εἶναι.*

ΟΡΟΣ Πʹ.

Ποταποὺς εἶναι βούλεται ὁ λόγος τοὺς Χριστιανούς, ὡς μαθητὰς Χριστοῦ, πρὸς μόνα τυπουμένους, ἃ βλέπουσιν ἐν αὐτῷ, ἢ ἀκούουσι παρ' αὐτοῦ.

Κεφάλ. αʹ.

ΜΑΤΘΑΙΟΣ. *Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ.* ΙΩΑΝΝΗΣ. *Ὑμεῖς φωνεῖτέ με, ὁ διδάσκαλος, καὶ ὁ Κύριος· καὶ καλῶς λέγετε· εἰμὶ γάρ. Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. Ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε.*

D Ὡς πρόβατα Χριστοῦ τῆς φωνῆς τοῦ ἰδίου ποιμένος ἀκούοντα μόνου, καὶ αὐτῷ ἀκολουθοῦντας (18).

Κεφάλ. βʹ.

ΙΩΑΝΝΗΣ. *Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου* (19) *ἀκούει, κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι.* Καὶ ἀνωτέρω· *Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.*

(15) Utraque editio μὴ ἐμποδίζῃ. Reg. primus ἐμποδίζηται. Reg. tertius παρεμποδίζηται.

(16) Addidi ex antiquis tribus libris articulum ante vocem ἀντιτασσόμενος.

(17) Utraque editio καὶ πειθαρχεῖν. Vocula καὶ in nostris mss. deest.

(18) Reg. tertius ἀκολουθοῦντας ἀεί, *ipsum semper sequantur*. Ita autem habent nostri libri omnes, ἀκολουθοῦντας· ubi tamen potius scribi debuisset ἀκολουθοῦντα.

(19) Regii primus et tertius τῆς φωνῆς τῆς ἐμῆς. Nec ita multo post utraque editio μὴ ἀκολουθήσουσιν. Regii secundus et tertius ἀκολουθήσωσιν.

Ὡς κλήματα Χριστοῦ, ἐν αὐτῷ ἐῤῥιζωμένους, καὶ A ἐν αὐτῷ καρποφοροῦντας, καὶ πᾶν ὁτιοῦν οἰκεῖον αὐτοῦ καὶ ἄξιον ποιοῦντας καὶ ἔχοντας.

Κεφάλ. γ'.

ΙΩΑΝΝΗΣ. *Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα.*

Ὡς μέλη Χριστοῦ, ἐν πάσῃ ἐνεργείᾳ τῶν ἐντολῶν τοῦ Κυρίου, ἢ τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος κατηρτισμένους πρὸς ἀξίαν τῆς κεφαλῆς, ἥτις ἐστὶν ὁ Χριστός.

Κεφάλ. δ'.

ΠΡΟΣ ΚΟΡ. α'. *Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν;* ΠΡΟΣ ΕΦ. *Ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ* B *πάντα, ὅς ἐστιν ἡ κεφαλὴ, Χριστός· ἐξ οὗ πᾶν τὸ σῶμα, συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας, κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυτοῦ* (20) *ἐν ἀγάπῃ.*

Ὡς νύμφην Χριστοῦ φυλάσσουσαν τὸ ἁγνὸν, ἐν τῷ μόνοις τοῖς θελήμασι τοῦ νυμφίου στοιχεῖν.

Κεφάλ. ε'.

ΙΩΑΝΝΗΣ. *Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν.* ΠΡΟΣ ΚΟΡ. β'. *Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ.*

Ὡς ναοὺς (21) Θεοῦ ἁγίους, καθαροὺς, καὶ μόνων C πεπληρωμένους τῶν πρὸς λατρείαν Θεοῦ.

Κεφάλ. ς'.

ΙΩΑΝΝΗΣ. *Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσῃ, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτόν· καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.* ΠΡΟΣ ΚΟΡ. β'. *Ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος. Λέγει γὰρ ἡ Γραφὴ, ὅτι Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός.*

Ὡς θυσίαν Θεοῦ (22) ἄμωμον καὶ ἀλώβητον, παντὶ μέλει καὶ μέρει τῆς θεοσεβείας τὸ ὑγιὲς διασώζοντας.

Κεφάλ. ζ'.

ΠΡΟΣ ΡΩΜ. *Παρακαλῶ ὑμᾶς* (23), *ἀδελφοί, διὰ* D *τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.*

Ὡς τέκνα Θεοῦ, μεμορφωμένους πρὸς τὴν εἰκόνα τοῦ Θεοῦ, κατὰ τὸ μέτρον τὸ ἀνθρώποις κεχαρισμένον.

Κεφάλ. η'.

ΙΩΑΝΝΗΣ. *Τεκνία, ἔτι μικρὸν* (24) *μεθ' ὑμῶν*

Ipsos tanquam Christi palmites in eo esse radicatos, qui in ipso fructum afferentes, quidquid ei convenerit, et ipso dignum fuerit, perficiant et habeant.

Caput III.

Ego sum vitis vos palmites (*Joan.* xv, 5).

Hos esse tanquam Christi membra, in omni exercitatione mandatorum Domini, aut donorum Spiritus sancti perfectos pro dignitate capitis, qui est Christus.

Caput IV.

Nescitis, quoniam corpora vestra membra sunt Christi? (*I Cor.* vi, 15)... *Veritatem autem facientes in charitate, crescamus in illo per omnia, qui est caput, Christus, ex quo totum corpus compactum et connexum per omnem juncturam subministrationis, secundum operationem in mensuram uniuscujusque membri, augmentum corporis facit in ædificationem sui in charitate* (*Ephes.* iv, 15, 16).

314 Tanquam Christi sponsam, servantem puritatem, in eo quod in solis Sponsi voluntatibus ambulet.

Caput V.

Qui habet sponsam, sponsus est (*Joan.* iii, 29)... *Despondi enim vos uni viro virginem castam exhibere Christo* (*II Cor.* xi, 2).

Tanquam templa Dei sancta, illos puros esse, et iis duntaxat quæ ad Dei cultum pertinent, repletos.

Caput VI.

Si quis diligit me, sermonem meum servet, et Pater meus diliget eum, et ad eum veniemus, et mansionem apud eum faciemus (*Joan.* xiv, 23)... *Vos enim estis templum Dei vivi. Dicit enim Scriptura: Inhabitabo in illis, et inambulabo, et ero illorum Deus* (*II Cor.* vi, 16; *Lev.* xxvi, 12).

Illos tanquam hostiam incontaminatam, nullo membro, nullaque parte mutilam, religionis sanctitatem conservare.

Caput VII.

Obsecro vos, fratres, per misericordias Dei, ut exhibeatis corpora vestra hostiam viventem, sanctam, Deo placentem, rationabile obsequium vestrum (*Rom.* xii, 1).

Tanquam filios Dei, formatos ad Dei imaginem juxta modum hominibus concessum.

Caput VIII.

Filioli, adhuc modicum vobiscum sum (*Joan.*

(20) Ita veteres duo libri. Utraque editio αὐτοῦ.

(21) Editio ὡς ναόν. Codex Combef. et alii duo ναούς. Mox editio Paris. λόγον μου τηρήσει, *servabit*. Editio Ven. æque ac tres mss. τηρήσῃ, *servet*.

(22) Addita est vox Θεοῦ ex Reg. primo. Nec ita multo post utraque editio et Reg. secundus ὑγιὲς διασώζοντα. Reg. primus διασώζοντας, recte.

(23) Utraque editio παρακαλῶ δὲ ὑμᾶς. Vocula δὲ in nostris tribus mss. non invenitur.

(24) Editio Paris. μικρὸν χρόνον. Deest vox ultima in editione Ven. et in veteribus nostris libris.

XIII, 33.)... *Filioli mei, quos iterum parturio, donec formetur Christus in vobis* (*Galat.* IV, 19).

Tanquam lucem in mundo, sic ut ipsi minime sint nequitiæ obnoxii, et eos qui ad se accedunt, illuminent ad agnitionem veritatis recipiendam, ut fiant quod oportet, vel declarent quid sint.

Caput IX.

Vos estis lux mundi (*Matth.* V, 14)... *Inter quos lucetis sicut luminaria in mundo* (*Philipp.* II, 15).

Tanquam sal in terra, ita ut ii qui cum ipsis societatem habuerint, renoventur spiritu ad consequendam integritatem.

Caput X.

Vos estis sal terræ (*Matth.* V, 13).

Velut verbum vitæ, sic ut per suam erga **315** præsentia mortificationem spem veræ vitæ confirment.

Caput XI.

Inter quos lucetis sicut luminaria in mundo, verbum vitæ continentes, ad gloriam meam in die Christi (*Philipp.* II, 15, 16).

Cujusmodi velit Scriptura eos esse, quibus credita est Evangelii prædicatio, veluti apostolos, et ministros Christi, ac fideles mysteriorum Dei dispensatores, sola Domini præcepta re et verbo integerrime complentes.

Caput XII.

Ecce ego mitto vos sicut oves in medio luporum (*Matth.* X, 16)... *Euntes docete omnes gentes* (*Matth.* XXVIII, 19)... *Sic nos existimet homo ut ministros Christi, et dispensatores mysteriorum Dei: quod superest autem, illud requiritur in dispensatoribus, ut fidelis quis inveniatur* (*I Cor.* IV, 1, 2).

Velut præcones regni cœlorum, ad destruendum eum qui habet imperium mortis in peccato

Caput XIII.

Euntes autem prædicate, dicentes: Quia appropinquavit regnum cœlorum (*Matth.* X, 7)... *Obtestor ego coram Deo et Jesu Christo, qui judicaturus est vivos et mortuos in apparitione sua, et in regno suo: prædica verbum Dei* (*II Tim.* IV, 1, 2).

Veluti formam, aut regulam pietatis, ut eorum qui Dominum sequuntur, rectitudo in omnibus perficiatur, redarguatur vero eorum perversitas, qui in quavis re illius detrectant imperium.

Caput XIV.

Quæ quidem retro sunt, obliviscens, ad ea vero

A εἰμι. ΠΡΟΣ ΓΑΛ. *Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.*

Ὡς φῶς ἐν κόσμῳ, ὥστε αὐτούς τε (25) εἶναι ἀνεπιδέκτους κακίας, καὶ τοὺς πλησιάζοντας αὐτοῖς φωτίζειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, πρὸς τὸ γενέσθαι ὃ δεῖ, ἢ ἐλέγχειν ὅ εἰσιν.

Κεφάλ. θ'.

ΜΑΤΘΑΙΟΣ. *Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.* ΠΡΟΣ ΦΙΛΙΠΠ. *Ἐν οἷς φαίνεσθε ὡς* (26) *φωστῆρες ἐν κόσμῳ.*

Ὡς ἅλας ἐν γῇ, ὥστε τοὺς κοινωνοῦντας αὐτοῖς ἀνανεοῦσθαι τῷ πνεύματι πρὸς ἀφθαρσίαν.

Κεφάλ. ι'.

B ΜΑΤΘΑΙΟΣ. *Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς.*

Ὡς λόγον ζωῆς τῇ πρὸς τὰ παρόντα νεκρώσει πιστουμένους τὴν ἐλπίδα τῆς ὄντως ζωῆς.

Κεφάλ. ια'.

ΠΡΟΣ ΦΙΛΙΠΠ. *Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ.*

Ποταποὺς βούλεται εἶναι ὁ λόγος τοὺς πιστευομένους τὸ κήρυγμα τοῦ Εὐαγγελίου· ὡς ἀποστόλους, καὶ ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους πιστοὺς μυστηρίων Θεοῦ, μόνα τὰ διατεταγμένα ὑπὸ τοῦ Κυρίου ἀπαραλείπτως ἔργῳ (27) καὶ λόγῳ πληροῦντας.

Κεφάλ. ιβ'.

C ΜΑΤΘΑΙΟΣ. *Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη.* ΠΡΟΣ ΚΟΡ. α'. *Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ· ὃ δὲ λοιπὸν, ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ.*

Ὡς κήρυκας βασιλείας οὐρανῶν ἐπὶ καταλύσει τοῦ ἔχοντος τὸ κράτος τοῦ θανάτου ἐν τῇ ἁμαρτίᾳ.

Κεφάλ. ιγ'.

ΜΑΤΘΑΙΟΣ. *Πορευόμενοι δὲ κηρύσσετε λέγοντες· Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν.* ΠΡΟΣ ΤΙΜ. β'. *Διαμαρτύρομαι ἐγὼ ἐνώπιον τοῦ Θεοῦ καὶ Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος κρίνειν* D *ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ· κήρυξον τὸν λόγον τοῦ Θεοῦ* (28).

Ὡς τύπον ἢ κανόνα τῆς εὐσεβείας εἰς κατόρθωσιν μὲν τῆς ἐν πᾶσιν εὐθύτητος τῶν ἀκολουθούντων τῷ Κυρίῳ, ἔλεγχον δὲ τῆς διαστροφῆς τῶν ἐν οἱῳδηποτοῦν ἀπειθούντων.

Κεφάλ. ιδ'.

ΠΡΟΣ ΦΙΛΙΠΠ. *Τὰ μὲν* (29) *ὀπίσω ἐπιλανθανόμε-*

(25) Vocula τε addita est ex antiquis duobus libris.

(26) Editio Ven. et nostri tres mss. ἐν οἷς ἐστε ὡς· sed hi libri omnes habent statim ἐν οἷς φαίνεσθε ὡς. Editio Paris. utroque loco habet φαίνεσθε.

(27) Regii primus et tertius ἐν ἔργῳ.

(28) Ex veteribus libris additus est articulus ante vocem Θεοῦ.

(29) Utraque editio τῶν μέν. At mss. nostri τὰ μέν. Vox Θεοῦ, quæ mox sequitur, in mss. nostris non legitur.

A ρος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως Θεοῦ ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν· καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει. Πλὴν εἰς ὃ ἐφθάσαμεν τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν. ΠΡΟΣ ΤΙΜ. α'. Τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ. ΠΡΟΣ ΤΙΜ. β'. Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ· ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

quæ sunt priora extendens meipsum, juxta scopum persequor ad bravium supernæ vocationis Dei in Christo Jesu. Quicunque ergo perfecti sumus, hoc sentiamus : et si quid aliter sapitis, et hoc vobis Deus revelabit. Verumtamen ad quod pervenimus, ad id eadem regula procedamus, ut idem sentiamus (*Philipp.* III, 13-16)... *Exemplum esto fidelium in verbo, in conversatione, in charitate, in fide, in castitate* (*I Tim.* IV, 12)... *Stude teipsum probatum exhibere Deo, operarium non erubescendum, recte sectantem sermonem veritatis* (*II Tim.* II, 15).

Ὡς ὀφθαλμὸν ἐν σώματι, διακριτικοὺς μὲν τῶν ἀγαθῶν καὶ τῶν φαύλων, κατευθύνοντας δὲ τὰ μέλη τοῦ Χριστοῦ, πρὸς τὰ ἑκάστῳ ἐπιβάλλοντα

Veluti oculum in corpore, qui possint discernere **316** bona et mala, et dirigere membra Christi ad ea quæ unicuique congruunt.

B *Κεφάλ. ιε'.*

ΜΑΤΘΑΙΟΣ. *Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ᾖ ὁ ὀφθαλμός σου ἁπλοῦς, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται.*

Caput XV.

Lucerna corporis est oculus : si igitur oculus tuus sit simplex, totum corpus tuum lucidum erit (*Matth.* VI, 22).

Ὡς ποιμένας (30) προβάτων Χριστοῦ, μηδὲ τὴν ψυχὴν ὑπὲρ αὐτῶν θεῖναι ἐν καιρῷ παραιτουμένους, ὑπὲρ τοῦ μεταδοῦναι αὐτοῖς τὸ Εὐαγγέλιον τοῦ Θεοῦ.

Velut pastores ovium Christi, qui ne animam quidem occasione data pro ipsis ponere recusent ut eis impertiant Evangelium Dei.

Κεφάλ. ις'.

ΙΩΑΝΝΗΣ. *Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων.* ΠΡΑΞΕΙΣ. *Προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ.*

Caput XVI.

Bonus pastor animam suam ponit pro ovibus (*Joan.* X, 11)... *Attendite igitur vobis, et universo gregi, in quo vos Spiritus sanctus posuit episcopos, ad pascendum Ecclesiam Dei* (*Act.* XX, 28).

C Ὡς ἰατρούς, ἐν πολλῇ εὐσπλαγχνίᾳ κατ' ἐπιστήμην τῆς τοῦ Κυρίου διδασκαλίας θεραπεύοντας τὰ πάθη τῶν ψυχῶν, εἰς περιποίησιν τῆς ἐν Χριστῷ ὑγείας καὶ διαμονῆς.

Tanquam medicos, qui cum multa commiseratione juxta scientiam doctrinæ Domini curent animarum morbos, ad acquirendam in Christo sanitatem et perseverantiam.

Κεφάλ. ιζ'.

ΜΑΤΘΑΙΟΣ. *Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.* ΠΡΟΣ ΡΩΜ. *Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν.*

Caput XVII.

Non est opus valentibus medicus, sed male habentibus (*Matth.* IX, 12)... *Debemus autem nos, qui fortes sumus, imbecillitates infirmorum sustinere* (*Rom.* XV, 1).

Ὡς πατέρας καὶ τροφοὺς ἰδίων τέκνων, ἐν πολλῇ διαθέσει τῆς ἐν Χριστῷ ἀγάπης εὐδοκοῦντας μεταδοῦναι αὐτοῖς οὐ μόνον τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς.

Sicuti patres, et nutrices liberorum ex se natorum, qui ob magnum suæ in Christo dilectionis affectum, non eis modo Evangelium Dei, sed suas etiam ipsorum animas ex animo impertiri velint.

D *Κεφάλ. ιη'.*

ΙΩΑΝΝΗΣ. *Τεκνία, ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι.* ΠΡΟΣ ΚΟΡ. α'. *Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα.* ΠΡΟΣ ΘΕΣΣ. α'. *Ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς, διότι ἀγαπητοὶ ἡμῖν ἐγενήθητε.*

Caput XVIII.

Filioli, adhuc paulisper vobiscum sum (*Joan.* XIII, 33)... *Nam in Christo Jesu per Evangelium ego vos genui* (*I Cor.* IV, 15)... *Tanquam si nutrix foveat filios suos, ita desiderantes vos cupide, volebamus tradere vobis non solum Evangelium Dei, sed etiam animas nostras : quoniam charissimi nobis facti estis* (*I Thess.* II, 7, 8).

Ὡς Θεοῦ συνεργούς, πρὸς μόνα τὰ ἄξια τοῦ Θεοῦ ἔργα ὅλους ἑαυτοὺς ἀποδεδωκότας ὑπὲρ τῆς Ἐκκλησίας.

Veluti Dei adjutores, qui pro Ecclesia totum suum ipsorum studium in sola opera Deo digna conferant.

(30) Reg. secundus perinde ut editi ποιμένες. Reg. primus ποιμένα. Alius codex Reg. ποιμενας.

Caput XIX.

Dei enim sumus adjutores : Dei agricultura, Dei ædificatio estis (*I Cor.* III, 9).

317 Tanquam plantatores palmitum Dei, qui nihil alienum a vite, quæ Christus est, nihilque infructuosum inserant; sed ea quæ propria sunt et frugifera, omni studio meliora reddant.

Caput XX.

Ego sum vitis vera : et Pater meus agricola est. Omnem palmitem, in me non ferentem fructum, tollit, et omnem, qui fert fructum, purgat, ut fructum uberiorem efferat (*Joan.* XV, 1, 2)... ***Ego plantavi, Apollo rigavit : sed Deus incrementum dedit*** (*I Cor.* III, 6).

Velut ædificatores templi Dei, qui sic uniuscujusque animam apparent, ut fundamento apostolorum et prophetarum apte congruat.

Caput XXI.

Secundum gratiam Dei, quæ data est mihi, ut sapiens architectus fundamentum posui : alius autem superædificat. Unusquisque autem videat quomodo super ædificet. Fundamentum enim aliud nemo potest ponere, præter id quod positum est, quod est Jesus Christus (*I Cor.* III, 10, 11)... ***Ergo jam non estis hospites, et advenæ : sed estis cives sanctorum, et domestici Dei : superædificati super fundamentum apostolorum et prophetarum, summo angulari lapide ipso Christo Jesu, in quo omnis ædificatio constructa crescit in templum sanctum in Domino, in quo et vos coædificamini in habitaculum Dei in Spiritu*** (*Ephes.* II, 19-22).

Caput XXII.

Quid proprium est Christiani? Fides quæ per charitatem operatur. Quid est proprium fidei? Certa et indubitata persuasio veritatis verborum divinorum, quæ nulla, neque ex naturali necessitate inducta, neque pietatis nomine efficta, ratiocinatione concutiatur. Quid est proprium fidelis? In hujusmodi persuasione constitui vi et auctoritate eorum quæ dicta sunt, nec audere quidquam rejicere, aut addere. Etenim si omne quod non est ex fide, peccatum est, ut ait Apostolus (*Rom.* XIV, 23), fides autem ex auditu est, auditus vero per verbum Dei (*Rom.* X, 17); omne quod est extra divinam Scripturam, cum ex fide non sit, peccatum est. Quid est proprium ejus quæ erga Deum est charitatis? Servare mandata ipsius, eo animo, ut gloria illi detur. Quid proprium est dilectionis erga proximum? Non quærere quæ sua sunt, sed illius qui diligitur, ad utilitatem animæ ac corporis. Quid proprium Christiani? Generari denuo ex aqua et Spiritu per baptismum. Quid proprium est ejus qui generatus est

A *Κεφάλ. ιθ'.*

ΠΡΟΣ ΚΟΡ. α'. *Θεοῦ γάρ* (31) *ἐσμεν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε.*

Ὡς φυτευτὰς κλημάτων Θεοῦ, ἀλλότριον μὲν οὐδὲν τῆς ἀμπέλου, ἥτις ἐστὶν ὁ Χριστὸς, οὔτε μὴν ἄκαρπον ἐναφιέντας· τὰ δὲ οἰκεῖα καὶ καρποφόρα διὰ πάσης ἐπιμελείας βελτιοῦντας.

Κεφάλ. κ'.

ΜΑΤΘΑΙΟΣ. *Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστι. Πᾶν κλῆμα, ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτὸ, καὶ πᾶν, τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ.* ΠΡΟΣ ΚΟΡ. α'. *Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν· ἀλλ' ὁ Θεὸς ηὔξανεν.*

B Ὡς οἰκοδόμους ναοῦ (32) Θεοῦ, καταρτίζοντας τὴν ἑκάστου ψυχὴν, εἰς τὸ συναρμολογηθῆναι τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν.

Κεφάλ. κα'.

ΠΡΟΣ ΚΟΡ. α'. *Κατὰ τὴν χάριν τοῦ Θεοῦ, τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων, θεμέλιον τέθεικα· ἄλλος δὲ ἐποικοδομεῖ. Ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός* (33). ΠΡΟΣ ΕΦΕΣ. *Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ Ἰησοῦ* (34), *ἐν ᾧ* C *πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον Θεοῦ ἐν Πνεύματι.*

Κεφάλ. κβ'.

Τί ἴδιον Χριστιανοῦ; Πίστις δι' ἀγάπης ἐνεργουμένη. Τί ἴδιον πίστεως; Ἀδιάκριτος πληροφορία τῆς ἀληθείας τῶν θεοπνεύστων ῥημάτων, οὐδενὶ λογισμῷ, οὔτε ὑπὸ φυσικῆς ἀνάγκης εἰσαγομένῳ, οὔτε πρὸς εὐσέβειαν ἐσχηματισμένῳ, διασαλευομένη. Τί ἴδιον πιστοῦ; Τὸ ἐν τοιαύτῃ πληροφορίᾳ συνδιατίθεσθαι τῇ δυνάμει τῶν εἰρημένων, καὶ μηδὲν τολμᾷν ἀθετεῖν, ἢ ἐπιδιατάσσεσθαι. Εἰ γὰρ πᾶν ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστὶν, ὥς φησιν ὁ Ἀπόστολος, ἡ δὲ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ· πᾶν τὸ ἐκτὸς τῆς θεοπνεύστου Γραφῆς οὐκ ἐκ πίστεως D ὂν, ἁμαρτία ἐστίν. Τί ἴδιον τῆς πρὸς Θεὸν ἀγάπης; Τὸ τηρεῖν τὰς ἐντολὰς αὐτοῦ κατὰ σκοπὸν τῆς αὐτοῦ δόξης. Τί ἴδιον τῆς πρὸς τὸν πλησίον ἀγάπης; Τὸ μὴ ζητεῖν τὰ ἑαυτοῦ, ἀλλὰ τὰ τοῦ ἀγαπωμένου πρὸς τὸ συμφέρον τῇ τε ψυχῇ καὶ τῷ σώματι. Τί ἴδιον Χριστιανοῦ; Τὸ διὰ τοῦ βαπτίσματος ἐξ ὕδατος (35) καὶ Πνεύματος γεννηθῆναι ἄνωθεν. Τί ἴδιον τοῦ γεννηθέντος ἐξ ὕδατος; Τὸ, καθὼς ὁ Χριστὸς ἀπέθανε τῇ ἁμαρτίᾳ ἐφάπαξ, οὕτω καὶ αὐτὸν νεκρὸν εἶναι καὶ

(31) Voculam γάρ, quæ in vulgatis non legitur, in antiquis duobus libris invenimus. Aliquanto post Reg. tertius ἄκαρπον ἀφιέντας, *nihil infructuosum relinquant.*

(32) Utraque editio et Reg. secundus ὡς οἰκονόμους ναοῦ, *uti administratores templi.* Regii primus et tertius ὡς οἰκοδόμους, melius.

(33) Editio Paris. ὅ ἐστι Χριστός. Veteres duo libri ὅς ἐστι Χριστός. Alius ὅς ἐστιν Ἰησοῦς Χριστός.

(34) Sic Reg. tertius. Alii duo mss. et editi Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

(35) Utraque editio βαπτίσματος τοῦ ἐξ ὕδατος.

ἀκίνητον πρὸς πᾶσαν ἁμαρτίαν, κατὰ τὸ γεγραμμένον, ὅτι *Ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ.* Τί ἴδιον τοῦ γεννηθέντος ἐκ Πνεύματος; Τὸ γενέσθαι ἐκεῖνο κατὰ τὸ διδόμενον μέτρον, ὅπερ ἐστὶ τὸ ἐξ οὗ ἐγεννήθη, καθὼς γέγραπται, ὅτι *Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν.* Τί ἴδιον τοῦ ἄνωθεν γεννηθέντος; Τὸ ἀπεκδύσασθαι (36) τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ καὶ ταῖς ἐπιθυμίαις, καὶ ἐνδύσασθαι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐ- B τὸν, κατὰ τὸ εἰρημένον, ὅτι *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.* Τί ἴδιον Χριστιανοῦ; Τὸ καθαρισθῆναι μὲν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ἐν τῷ αἵματι τοῦ Χριστοῦ, ἐπιτελεῖν δὲ ἁγιωσύνην ἐν φόβῳ Θεοῦ καὶ ἀγάπῃ τοῦ Χριστοῦ, καὶ μὴ ἔχειν σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ' εἶναι ἅγιον καὶ ἄμωμον, καὶ οὕτως ἐσθίειν τὸ σῶμα τοῦ Χριστοῦ, καὶ πίνειν τὸ αἷμα. *Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει.* Τί ἴδιον τῶν ἐσθιόντων τὸν ἄρτον, καὶ πινόντων τὸ ποτήριον τοῦ Κυρίου (37); Τὸ τὴν μνήμην φυλάσσειν διηνεκῆ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος. Τί ἴδιον τῶν φυλασσόντων τὴν τοιαύτην μνήμην; *Τὸ μηκέτι ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν* (38) *ἀποθανόντι καὶ ἐγερθέντι.* Τί C ἴδιον Χριστιανοῦ; Τὸ περισσεύειν αὐτοῦ τὴν δικαιοσύνην ἐν παντὶ, πλέον τῶν γραμματέων καὶ Φαρισαίων, κατὰ τὸ μέτρον τῆς κατὰ τὸ Εὐαγγέλιον τοῦ Κυρίου διδασκαλίας. Τί ἴδιον Χριστιανοῦ; Τὸ ἀγαπᾷν ἀλλήλους (39), καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. Τί ἴδιον Χριστιανοῦ; Τὸ προορᾶσθαι τὸν Κύριον ἐνώπιον αὐτοῦ διὰ παντός. Τί ἴδιον Χριστιανοῦ; Τὸ ἐφ' ἑκάστης ἡμέρας καὶ ὥρας γρηγορεῖν, καὶ ἐν τῇ τελειότητι τῆς πρὸς Θεὸν εὐαρεστήσεως ἕτοιμον εἶναι, εἰδότα, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖ, ὁ Κύριος ἔρχεται.

A ex aqua? Ut quemadmodum Christus peccato semel mortuus est, ita etiam ipse sit mortuus, et ad omne peccatum immobilis, sicut scriptum est: *Quicunque baptizati sumus in Christo Jesu, in morte ipsius baptizati sumus. Consepulti enim* **318** *sumus cum illo per baptismum in mortem, hoc scientes, quia vetus homo noster simul crucifixus est ut destruatur corpus peccati, et ultra non serviamus peccato* (*Rom.* VI, 3-6). Quid proprium est ejus, qui fuit generatus ex Spiritu? Ut fiat illud pro data mensura, quod est id ex quo natus est, veluti scriptum est: *Quod natum est ex carne, caro est: et quod natum est ex spiritu, spiritus est* (*Joan.* III, 6). Quid est proprium illius qui denuo natus est? Exuere veterem hominem una cum actibus ejus, et cupiditatibus: et induere novum qui renovatur in agnitionem, secundum imaginem ejus qui creavit illum (*Coloss.* III, 9), sicut scriptum est: *Quicunque in Christum baptizati estis, Christum induistis* (*Galat.* III, 27). Quid proprium Christiani? Purum esse ab omni inquinamento carnis et spiritus in sanguine Christi, ac perficere sanctimoniam in timore Dei et dilectione Christi (*II Cor.* VII, 1): nequaquam habere maculam aut rugam, aut quidpiam hujusmodi, sed esse sanctum et incontaminatum (*Ephes.* V, 27), et sic edere corpus Christi, et bibere sanguinem. *Qui enim manducat et bibit indigne, judicium sibi manducat et bibit* (*I Cor.* XI, 29). Quid est proprium illorum qui edunt panem, et bibunt poculum Domini? Perpetuam servare memoriam illius qui pro nobis mortuus est et resurrexit. Quid est proprium eorum qui servant ejusmodi memoriam? *Ut jam non sibi vivant, sed ei qui pro ipsis mortuus est, et resurrexit* (*II Cor.* V, 15). Quid proprium Christiani? Ut in omnibus justitia illius major sit justitia scribarum et Pharisæorum (*Matth.* V, 20), juxta modum et regulam doctrinæ, quæ in Evangelio Domini tradita est. Quid proprium Christiani? Ut alter alterum diligat, sicut et Christus dilexit nos (*Ephes.* V, 2). Quid proprium est Christiani? Providere Dominum in conspectu suo semper (*Psal.* XV, 8). Quid est proprium Christiani? Singulis diebus ac horis vigilare, atque ad eam perfectionem qua placeat Deo, paratum esse, scientem quod qua hora non putat, Dominus venturus sit (*Luc.* XII, 40).

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ (40).

D 1. Ὁ ἄνθρωπος κατ' εἰκόνα Θεοῦ ἐγένετο καὶ ὁμοίωσιν· ἡ δὲ ἁμαρτία τὸ κάλλος τῆς εἰκόνος ἠχρείωσεν, εἰς τὰς ἐμπαθεῖς ἐπιθυμίας τὴν ψυχὴν καθέλκουσα. Ὁ δὲ Θεὸς, ὁ ποιήσας τὸν ἄνθρωπον, ἡ ἀληθινή ἐστι ζωή. Ὁ οὖν ἀπολέσας τὴν πρὸς τὸν Θεὸν ὁμοιότητα ἀπώλεσε τὴν πρὸς τὴν ζωὴν οἰκειότητα· τὸν δὲ ἐκτὸς τοῦ Θεοῦ ὄντα, ἐν τῇ μακαρίᾳ ζωῇ γενέσθαι ἀμήχανον. Οὐκοῦν ἐπανέλθωμεν εἰς τὴν ἐξ ἀρχῆς χάριν, ἧς διὰ τῆς ἁμαρτίας ἠλλο-

EJUSDEM SERMO ASCETICUS.

1. Homo ad imaginem et similitudinem Dei factus est (*Gen.* I, 26): sed peccatum, anima ad vitiosas cupiditates impulsa, deformavit imaginis pulchritudinem. Deus autem, qui hominem condidit, vera est vita. Itaque qui Dei similitudinem amisit, is perdidit vitæ consortium; qui vero extra Deum est, vitam beatam degere non potest. Revertamur igitur ad gratiam initio nobis concessam, ex qua excidimus per peccatum: et rursus juxta

Reg. primus βαπτίσματος ἐξ ὕδατος.
(36) Reg. primus τὸ ἀποδύσασθαι.
(37) Utraque editio et Reg. secundus ποτήριον τοῦ Θεοῦ. Alii duo mss. ποτήριον τοῦ Κυρίου.
(38) Reg. primus ὑπὲρ ἡμῶν.
(39) Reg. tertius διδασκαλίας, καὶ τὸ ἀγαπᾷν ἀλλήλους· nec amplius eo in codice repetitur illud, τί ἴδιον τοῦ Χριστιανοῦ.
(40) Sic Regii primus et tertius. Longior est titulus in vulgatis.

Dei imaginem exornemus nosmetipsos, ac conditori per omnem affectuum vacuitatem similes efficiamur. Qui enim in seipso, quoad ejus fieri potest, illam divinæ naturæ ab affectibus vacuitatem imitatus fuerit, is in sua ipsius anima Dei imaginem in integrum restituit. Qui autem effectus est Deo similis juxta eum quem diximus modum, omnino etiam divinæ vitæ adeptus est similitudinem, perpetuo in **319** æterna illa beatitudine mansurus. Itaque si per affectuum vacuitatem rursus Dei imaginem recuperemus, vitæque perpetuitatem nobis impertiat Dei similitudo, cæteris omnibus neglectis, huc studium convertamus ut anima nostra nullius unquam vitii tyrannide opprimatur; sed mens nostra immota et insuperabilis permaneat in tentationum assultibus, ut divinæ beatitudinis fiamus participes. Huic autem studio adjumento est virginitas, iis qui ratione duce id donum coluerint. Non enim in sola a procreandis liberis abstinentia constituitur virginitatis donum; sed vita omnis vitæque ratio ac mores virginitatem excolere debent, sic ut cælibis integritas in omni studio appareat. Fieri enim potest, ut aliquis sermone etiam stuprum et oculis adulterium committat, audituque polluatur, ac inquinamentum recipiat in corde, perque cibi ac potus intemperantiam extra castimoniæ terminos egrediatur. Nam qui in his omnibus intra virginitatis limites seipsum per continentiam continet, revera ostendit in semetipso perfectum et omnibus numeris absolutum virginitatis donum.

2. Quamobrem si desideremus animæ nostræ characterem per affectuum vacuitatem ad Dei similitudinem componi et exornari, ut hoc pacto etiam a nobis vita sempiterna comparetur, attendamus nobismetipsis, ne forte quidpiam promissione indignum perpetrantes, prolato adversum Ananiam judicio efficiamur obnoxii. Nam Ananiæ initio licebat possessionem suam Deo non polliceri ac vovere: sed postquam ad humanam gloriam respiciens, possessionem suam Deo per pollicitationem consecravit, ut hominibus ob munificentiam esset admirationi, parte pretii seposita, ejusmodi adversum se indignationem Domini commovit, cujus Petrus minister fuit, ut ne pœnitentiæ quidem spatium inveniret (*Act.* v, 1-5). Quapropter ante vitæ religiosæ professionem quilibet potest juxta id quod concessum ac legitimum est, vitæ commoda amplecti, ac nuptiarum societati se dedere: sed ubi jam professus est, seipsum Deo custodire debet, veluti sacrum quoddam donum, ne sacrilegii damnationem subeat, si corpus per professionem Deo dicatum rursus communis vitæ ministe-

A τριώθημεν. Καὶ πάλιν κατὰ τὴν τοῦ Θεοῦ εἰκόνα ἑαυτοὺς καλλωπίσωμεν, διὰ τῆς ἀπαθείας ὁμοιωθέντες τῷ κτίσαντι. Ὁ γὰρ τὸ ἀπαθὲς τῆς θείας φύσεως, καθὼς ἐστι δυνατὸν, ἐφ' ἑαυτοῦ μιμησάμενος, οὗτος ἐπανέλαβεν ἐπὶ τῆς ἰδίας ψυχῆς τοῦ Θεοῦ τὴν εἰκόνα. Ὁ δὲ ὁμοιωθεὶς τῷ Θεῷ κατὰ τὸν ῥηθέντα τρόπον, καὶ τῆς θείας ζωῆς ἐκτήσατο πάντως τὴν ὁμοιότητα, εἰς τὸ διηνεκὲς παραμένων τῇ ἀϊδίῳ μακαριότητι. Εἰ οὖν διὰ τῆς ἀπαθείας τὴν εἰκόνα τοῦ Θεοῦ πάλιν ἀναλαμβάνομεν, ἡ δὲ πρὸς τὸν Θεὸν ὁμοιότης τὸ διηνεκὲς τῆς ζωῆς ἡμῖν χαρίζεται, πάντων ἀμελήσαντες τῶν ἄλλων, ταύτης γενώμεθα τῆς σπουδῆς, ὥστε μηδενὶ πάθει μηδέποτε καταδυναστευθῆναι ἡμῶν τὴν ψυχὴν, ἀλλ' ἀκλινῆ καὶ ἀκατάβλητον ἐν ταῖς τῶν πειρασμῶν προσβολαῖς τὴν B διάνοιαν ἡμῶν διαμένειν, ἵνα γενώμεθα τῆς θείας μακαριότητος μέτοχοι. Τῆς δὲ τοιαύτης σπουδῆς συνεργός ἐστιν ἡ παρθενία, τοῖς κατὰ λόγον μετιοῦσι τοῦτο τὸ χάρισμα. Οὐ γὰρ ἐν μόνῳ τῷ φείσασθαι τῆς παιδοποιΐας κατορθοῦται τὸ χάρισμα τῆς παρθενίας, ἀλλ' ἅπας (41) ὁ βίος καὶ ἡ ζωὴ καὶ τὸ ἦθος παρθενεύειν ὀφείλει, διὰ παντὸς ἐπιτηδεύματος τοῦ ἀγάμου τὴν ἀφθορίαν ἐπιδεικνύμενος. Ἔστι γὰρ καὶ λόγῳ πορνεῦσαι, καὶ ὀφθαλμῷ μοιχεῦσαι, καὶ δι' ἀκοῆς μολυνθῆναι, καὶ τῇ καρδίᾳ μίασμα δέξασθαι, καὶ τῇ περὶ τὴν βρῶσιν καὶ πόσιν ἀμετρίᾳ ἐκπεσεῖν τῶν ὅρων τῆς σωφροσύνης. Ὁ γὰρ ἐν τούτοις πᾶσιν ὑπὸ τὸν κανόνα τῆς παρθενίας ἑαυτὸν ἐγκρατείᾳ φυλάσσων ἀληθῶς δείκνυσι τελείαν ἐν ἑαυτῷ διὰ πάντων ἀπηρτισμένην τῆς παρθενίας τὴν χάριν.

C

2. Οὐκοῦν εἴπερ ἐπιθυμοῦμεν καθ' ὁμοιότητα τοῦ Θεοῦ τὸν χαρακτῆρα τῆς ψυχῆς ἡμῶν διὰ τῆς ἀπαθείας καλλωπισθῆναι, ἵνα διὰ τούτου καὶ ἡ τῆς ζωῆς ἡμῖν ἀϊδιότης προσγένηται, προσέχωμεν ἑαυτοῖς, μήπου τι τῆς ἐπαγγελίας ἀνάξιον ποιοῦντες, ὑπὸ τὸ κρῖμα τοῦ Ἀνανίου γενώμεθα (42). Ἐξῆν γὰρ τῷ Ἀνανίᾳ τὴν ἀρχὴν μὴ ἐπαγγείλασθαι τῷ Θεῷ τὴν κτῆσιν· ἀλλ' ἐπειδὴ, πρὸς τὴν ἀνθρωπίνην ἀπιδὼν δόξαν, τὸ μὲν κτῆμα διὰ τῆς ἐπαγγελίας τῷ Θεῷ ἀφιέρωσεν, ὡς ἂν θαυμασθείη παρὰ τῶν ἀνθρώπων ἐπὶ τῇ φιλοτιμίᾳ, τοῦ τιμήματος δὲ ἐνοσφίσατο, τοιαύτην ἐκίνησε καθ' ἑαυτοῦ τοῦ Κυρίου τὴν ἀγανάκτησιν, ἧς ὑπηρέτης ὁ Πέτρος ἦν, ὡς μηδὲ μεD τανοίας προθεσμίαν (43) εὑρεῖν. Οὐκοῦν πρὸ τῆς ἐπαγγελίας τοῦ σεμνοῦ βίου ἔξεστι τῷ βουλομένῳ, κατὰ τὸ συγκεχωρημένον καὶ ἔννομον, εἰς ἀκολουθίαν βίου ἐλθεῖν (44), καὶ ἑαυτὸν ἐπιδοῦναι τῇ συζυγίᾳ τοῦ γάμου· προληφθέντα δὲ διὰ τῆς οἰκείας ὁμολογίας, φυλάσσειν προσήκει ἑαυτὸν τῷ Θεῷ, καθάπερ τι τῶν ἱερῶν ἀναθημάτων, ὡς ἂν μὴ τῷ τῆς ἱεροσυλίας ἐνέχοιτο κρίματι, τὸ ἀφιερωμένον διὰ τῆς ἐπαγγελίας τῷ Θεῷ σῶμα πάλιν τῇ τοῦ κοινοῦ βίου

(41) Reg. tertius ἀλλὰ πᾶς.

(42) Editio Paris. κρῖμα τοῦ ἐναντίου γενώμεθα, pessime. Editio Ven. et Regii primus et tertius κρῖμα τοῦ Ἀνανίου, optime.

(43) Utraque editio μετανοίας θύραν, *ut ne pœnitentiæ quidem ostium reperiret*, durius. Regii primus et tertius μετανοίας προθεσμίαν, mitius et verius.

(44) Horum verborum, *εἰς ἀκολουθίαν βίου ἐλθεῖν*, hæc est sententia : *licet res vitæ convenientes et accommodas seligere*, hoc est, commoda vitæ amplecti licet.

ὑπηρεσίᾳ καταῤῥυπώσας. Λέγω δὲ τοῦτο, οὐ μόνον πρὸς τὸ ἓν εἶδος τοῦ πάθους βλέπων, καθώς τινες οἴονται, ἐν μόνῃ τῇ τοῦ σώματος φυλακῇ τὸ κατόρθωμα τῆς παρθενίας περισώζοντες, ἀλλὰ τὸ κατὰ πάντα τρόπον παθητικῆς διαθέσεως, τὸν μέλλοντα φυλάσσειν ἑαυτὸν τῷ Θεῷ μηδενὶ τῶν κοσμικῶν παθημάτων ἐμμολυνθῆναι. Ὀργὴ καὶ φθόνος, καὶ μνησικακία, ψεῦδος καὶ ὑπερηφανία, μετεωρισμὸς καὶ ἀκαιρολογία, προσευχῶν ἀργία, καὶ ἡ περὶ τὰ μὴ ὄντα ἐπιθυμία, ἐντολῶν ἀμέλεια, καὶ καλλωπισμὸς ἱματίων, προσώπων ὡραϊσμὸς, καὶ συντυχίαι καὶ ὁμιλίαι, ἔξωθεν τοῦ πρέποντός τε καὶ ἀναγκαίου γινόμεναι· ταῦτα πάντα τοσαύτης ἄξια παραφυλακῆς ἐστι τῷ διὰ τῆς παρθενίας ἀφιερώσαντι τῷ Θεῷ ἑαυτὸν, ὡς τὸν ἴσον (45), μικροῦ δεῖν, κίνδυνον εἶναι, ἑνί τε τούτων συνενεχθῆναι, καὶ ἐν τῇ ἀπειρημένῃ ἁμαρτίᾳ γενέσθαι. Πάντα γὰρ τὰ διὰ πάθους γινόμενα λυμαίνεταί πως τῇ τῆς ψυχῆς καθαρότητι, καὶ πρὸς τὴν θείαν ἐμποδίζει ζωήν. Πρὸς ταῦτα τοίνυν χρὴ βλέπειν τὸν ἀποταξάμενον τῷ βίῳ, ὡς μηδενὶ τρόπῳ τὸ τοῦ Θεοῦ σκεῦος ἑαυτὸν τῇ ἐμπαθεῖ χρήσει καταμολύνειν. Λογίζεσθαι δὲ ἐκεῖνο μάλιστα (46) χρὴ, ὅτι, διαβὰς τὰ μέτρα τῆς ἀνθρωπίνης φύσεως, πρὸς τὴν ἀσώματον πολιτείαν ἑαυτὸν μετέστησεν ὁ τὸν τῶν ἀγγέλων βίον ἑλόμενος. Ἴδιον γὰρ τοῦτο τῆς ἀγγελικῆς ἐστι φύσεως, τὸ ἀπηλλάχθαι τῆς γαμικῆς συζυγίας, μηδὲ πρὸς ἄλλο τι κάλλος μετεωρίζεσθαι, ἀλλ' εἰς τὸ θεῖον πρόσωπον διηνεκῶς ἀτενίζειν. Ὁ τοίνυν πρὸς τὴν ἀγγελικὴν ἀξίαν μεταταξάμενος, εἰ τοῖς ἀνθρωπίνοις ἐμμολύνοιτο πάθεσιν, ὅμοιός ἐστι δορᾷ παρδάλεως, ἧς οὔτε λευκὴ παντελῶς ἡ θρὶξ οὔτε μέλαινα διόλου, ἀλλὰ τῇ μίξει τῶν ἑτεροχροούντων διεστιγμένη, οὔτε ἐν τοῖς μέλασιν, οὔτε ἐν τοῖς λευκοῖς ἀριθμεῖται. Ταῦτα μὲν οὖν κοινοτέρα τις ἔστω παραγγελία τῶν τὸν ἐγκρατῆ καὶ ἁγνὸν βίον προελομένων.

3. Ἐπειδὴ δὲ χρὴ καὶ περὶ τῶν καθ' ἕκαστον ἀκριβῶς διελέσθαι, ἀναγκαῖον ἂν εἴη δι' ὀλίγων καταλιπεῖν καὶ περὶ τούτων ὑπόμνημα. Οἱ χωρισθέντες τοῦ κοινοῦ βίου, καὶ πρὸς τὴν θειοτέραν ζωὴν ἑαυτοὺς ἀσκοῦντες, μὴ ἐφ' ἑαυτῶν (47), μηδὲ καταμόνας ἀσκείσθωσαν. Ἐμμάρτυρον γὰρ εἶναι προσήκει τὸν τοιοῦτον βίον, ὡς ἂν ἐκτὸς εἶναι πονηρᾶς ὑποψίας. Καὶ ὥσπερ ὁ πνευματικὸς νόμος οὐκ ἐλάττονας εἶναι τῶν δέκα (48) βούλεται τοὺς τὸ μυστικὸν πάσχα ἐσθίοντας· οὕτως χρὴ ἐνταῦθα πλεονάζειν μᾶλλον ἢ ἐλαττοῦσθαι τὴν δεκάδα τῶν τὴν πνευματικὴν πολιτείαν συνασκουμένων (49). Ἀρχηγὸς εἷς τῆς εὐσχημοσύνης τοῦ βίου προκαθεζέσθω, ἐν δοκιμασίᾳ βίου καὶ ἤθους καὶ πάσης κοσμίας ἀναστροφῆς τῶν λοι-

A rio contaminet. Atque hoc dico, non unum tantummodo vitii genus spectans, quemadmodum opinantur quidam, qui in sola corporis custodia virginitatis virtutem constituunt; sed respicio ad omnem vitiosæ affectionis speciem, sic ut nullo mundano vitio inquinetur qui seipsum Deo custodire studet. Ira, invidia, injuriarum illatarum memoria, mendacium, superbia, mentis evagatio, intempestiva garrulitas, segnities in orando, eorum quæ non sunt cupiditas, in mandatis perficiendis negligentia, vestimentorum ornamentum, **320** faciei cultus, congressiones, colloquia præter decorum et sine necessitate habita; hæc omnia quam diligentissime sunt cavenda ab eo qui per virginitatem Deo seipsum consecravit: siquidem propemodum
B æquale est periculum in unum aliquod horum delabi, et in vetito peccato versari. Omnia enim quæ ex vitioso animi affectu fiunt, corrumpunt quodammodo animæ puritatem, suntque vitæ divinæ impedimento. Ad hæc igitur respiciat oportet, qui sæculo nuntium remisit, ut Dei vas, seipsum scilicet, nullo prorsus vitioso usu coinquinet. Illud autem maxime est considerandum, quod qui vitam angelorum elegit, transtulerit se ad incorpoream vitæ rationem, cum naturæ humanæ terminos transgressus sit. Hoc enim proprium est angelicæ naturæ, a nuptiali societate liberam esse, neque ad ullam aliam contemplandam pulchritudinem distrahi, sed oculos in divinam faciem assidue intentos habere. Quamobrem qui jam in angelicæ digni-
C tatis ordinem transivit, si humanis vitiis inquinetur, similis est pantheræ pelli, cujus setæ neque prorsus albæ sunt, neque nigræ omnino, sed cum sint diversorum colorum mistura distinctæ et interpunctæ, neque in nigris numerantur, neque in albis. Hæc igitur communior quædam sit admonitio exhortatioque iis qui continentem ac castam vitam delegere.

3. Sed cum de singulis quoque disserere operæ pretium sit, necesse est de his etiam brevem relinqui sermonem. Qui a communi vivendi ratione recessere, seque exercent in diviniore vitæ instituto, non per se et sine adminiculo exerceantur. Convenit enim contestatam esse et spectatam hu-
D jusmodi vitam, ut libera fiat a prava suspicione. Et quemadmodum lex spiritualis non vult pauciores esse quam decem, qui mysticum pascha comedant: ita hic eorum qui simul vitam spiritualem excolunt numerum denarium potius augeri oportet quam minui. Hanc honestam vivendi rationem unus aliquis moderetur, qui ob vitæ morumque ac omnis modestæ conversationis probationem reli-

(45) Illud, *ὡς τὸν ἴσον*, accersitum est ex Regiis primo et tertio. Ibidem voces *μικροῦ δεῖν* in Reg. primo non leguntur.

(46) Editt. ἐκεῖνα μάλιστα. At duo mss. ἐκεῖνο.

(47) Ita loquens Basilius, *μὴ ἐφ' ἑαυτῶν*, docet opus esse viro aliquo perito, si quis asceticam disciplinam discere cupiat. Hic desinit tertius codex Regius.

(48) Utraque editio τῶν δώδεκα, *duodecim*. Reg. primus τῶν δέκα, *decem*: quæ scriptura idcirco nobis visa est verior, quod fiat statim mentio de numero denario. Mox editio Ven. et Reg. primus οὕτως καὶ ἐνταῦθα πλέον.

(49) Reg. primus τῶν κατὰ τὴν πνευματικὴν πολιτείαν ἀλλήλοις συνασκουμένων.

quis præpositus sit : quin et ætatis ac temporis habeatur ratio ad obtinendas priores partes. Nam quod antiquius est in hominum natura, majorem quodammodo præfert venerationem. Hic autem, fratribus ultro cum docilitate solum et humilitate obedientibus, tanta potiatur potestate, ut nulli eorum qui conventum componunt, liceat ipsius voluntati resistere, cum aliquid eorum quæ ad honestatem et vitæ integritatem conferunt præcipit. Sed, ut ait Apostolus, constitutis a Deo potestatibus non resistendum esse (docet enim condemnari eos qui Dei ordinationi resistunt [*Rom.* XIII, 1, 2]): ita hic quoque persuasum sit oportet reliquis fratribus non fortuito, sed ex divina voluntate datam esse præfecto ejusmodi potestatem, ut is qui secundum Deum est profectus, antistite quidquid utile est animæ et fructuosum suggerente, aliis vero obedienter bona consilia suscipientibus, minime impediatur. Quoniam **321** igitur prorsus convenit cœtum hunc præposito obedientem esse ac subditum, necesse est in primis talem eligi vitæ hujus moderatorem, ut illius vita iis, qui ad ipsum respiciunt, sit cujusvis virtutis exemplar : et, ut ait Apostolus, qui sobrius sit, temperans, modestus, et ad docendum idoneus (*I Tim.* III, 2). Sic, meo quidem judicio, exploranda est et hujus vita, non solum an temporis spatio senectam attigerit (accidit enim cum canitie etiam ac rugis inveniri juveniles mores) : sed præsertim an mores et agendi ratio per modestiam et gravitatem incanuerint, ut quidquid ab illo dicitur et efficitur, pro lege conventui sit et pro regula. Iis autem qui in ejusmodi vitæ instituto degunt, convenit hæc parandi victus ratio, quam Apostolus præcepit, ut manibus operantes honeste panem suum edant (*II Thess.* III, 12). Opera autem sunt conficienda, moderante sene aliquo vitæ sanctimonia probato ac spectato, qui manualia ipsorum opera ad requisitos usus impendat, ut et illud mandatum impleatur, quod in sudore ac labore victum comparari præcipit (*Gen.* III, 19), et honestas irreprehensa maneat atque inculpata, cum ob nullam victus necessitatem in publicum prodire cogantur. Hic vero sit optimus servandæ continentiæ modus et regula, neque ad voluptatem, neque ad afflictationem carnis respicere, sed in utroque immoderantiam fugere, ut neque turbetur ob obesitatem, neque ei ob morbum et languorem mandatorum conficiendorum facultas adimatur. Nam utrinque æquale detrimentum animæ accedit, et cum caro subdita non est, si videlicet ex bona habitudine præceps agatur ad indecoros motus, et cum remissa exsolutaque ac immobilis præ doloribus detinetur. Non

A πῶν προκριθεὶς, συμπαραλαμβανομένης καὶ τῆς κατὰ τὸν χρόνον ἡλικίας πρὸς τὴν προτίμησιν. Αἰδεσιμώτερον γάρ πως ἐν τῇ φύσει τῶν ἀνθρώπων τὸ γεραρώτερον (50). Οὗτος δὲ τοσαύτην ἐξουσίαν ἐχέτω, ἑκουσίως τῆς ἀδελφότητος ἐν εὐπειθείᾳ μόνον καὶ ταπεινοφροσύνῃ ὑπακουούσης, ὥστε μὴ ἐξεῖναι μηδενὶ τῶν κατὰ τὴν συνοδίαν ἀντιβαίνειν τῷ βουλήματι αὐτοῦ, ἐν οἷς ὑφηγεῖταί τι τῶν εἰς εὐσχημοσύνην τε καὶ ἀκρίβειαν βίου συμβαλλομένων. Ἀλλ' ὥσπερ φησὶν ὁ Ἀπόστολος, ταῖς ὑπὸ τοῦ Θεοῦ τεταγμέναις ἐξουσίαις μὴ ἀντιτάσσεσθαι (κρίνεσθαι γὰρ τοὺς ἀντιτασσομένους τῇ τοῦ Θεοῦ διαταγῇ)· οὕτω καὶ ἐνταῦθα πεπεῖσθαι προσήκει τὴν λοιπὴν ἀδελφότητα, μὴ κατὰ τὸ αὐτόματον, ἀλλὰ κατὰ τὴν θείαν βούλησιν, τὴν τοιαύτην ἐξουσίαν τῷ ἐπιστατοῦντι δεδόσθαι, B ὥστε ἀνεμπόδιστον γίνεσθαι τὴν κατὰ Θεὸν προκοπὴν, τοῦ μὲν ὑποτιθεμένου πᾶν ὅσον ψυχωφελές τε καὶ χρήσιμον, τῶν δὲ ἐν εὐπειθείᾳ τὰς ἀγαθὰς συμβουλίας δεχομένων. Ἐπεὶ οὖν προσήκει παντὶ τρόπῳ τῷ προεστῶτι εὐπειθῆ τε καὶ ὑποχείριον εἶναι τὴν συνοδίαν, πρὸ πάντων (51) ἀναγκαῖόν ἐστι τοιοῦτον ἐκλέγεσθαι τὸν καθηγούμενον τῆς πολιτείας ταύτης, ὡς παντὸς ἀγαθοῦ ὑπόδειγμα τοῖς πρὸς αὐτὸν ἀποβλέπουσι τὸν ἐκείνου γίνεσθαι βίον· καὶ, ὥς φησιν ὁ Ἀπόστολος, νηφάλιον, σώφρονα, κόσμιον, διδακτικόν. Οὕτω μοι δοκεῖ δεῖν καὶ τὸν τούτου ἐξετάζειν βίον, μὴ μόνον εἰ τῷ χρόνῳ τὸ γηραιὸν ἔχοιεν (ἔστι γὰρ καὶ ἐν πολιᾷ καὶ ῥυτίδι νεωτερίζειν κατὰ τὸ ἦθος)· ἀλλὰ προηγουμένως, εἰ τὸ ἦθος καὶ ὁ τρόπος διὰ κοσμιότητος πεπολίωται, C ὥστε πᾶν τὸ παρ' αὐτοῦ λεγόμενόν τε καὶ γινόμενον ἀντὶ νόμου καὶ κανόνος τῇ συνοδίᾳ γίνεσθαι. Ἐπίνοια δὲ τροφῆς πρέπει τοῖς ἐν τῷ τοιούτῳ βίῳ διάγουσιν, ἣν ὁ Ἀπόστολος ὑποτίθεται, ἵνα ἐργαζόμενοι ταῖς χερσὶν εὐσχημόνως τὸν ἑαυτῶν ἄρτον ἐσθίωσι (52). Διατίθεσθαι δὲ προσήκει τὴν ἐργασίαν ἐπί τινος πρεσβύτου, ἐπὶ σεμνότητι βίου μαρτυρουμένου, ὃς καταλέξει τὰ ἔργα τῶν χειρῶν αὐτῶν πρὸς τὰς ἐπιζητουμένας χρείας, ὥστε καὶ τὴν ἐντολὴν κατορθοῦσθαι τὴν κελεύουσαν ἐν ἱδρῶτι καὶ πόνῳ τὴν τροφὴν πορίζειν, καὶ εὐσχημοσύνην ἀνεπίληπτον καὶ ἄμωμον μένειν, ἐν τῷ μηδεμίαν αὐτοῖς ἀνάγκην ἐγγίνεσθαι, διὰ τὸ τὴν τοῦ βίου χρείαν δημοσιεύεσθαι. Ἐγκρατείας δὲ ὁ κάλλιστος ὅρος καὶ D κανὼν οὗτος ἔστω, τὸ μήτε πρὸς τρυφὴν, μήτε πρὸς κακοπάθειαν τῆς σαρκὸς (53) βλέπειν, ἀλλὰ φεύγειν ἐν ἑκατέρῳ τὴν ἀμετρίαν, ἵνα μήτε πολυσαρκοῦσα ταράσσηται, μήτε, νοσώδης γενομένη, ἀδυνατῇ πρὸς τὴν τῶν ἐντολῶν ἐργασίαν. Ἴση γὰρ ἐξ ἑκατέρων ἡ βλάβη τῇ ψυχῇ προσγίνεται, καὶ τὸ (54) ἀνυπότακτον εἶναι τὴν σάρκα, δι' εὐεξίας ἀποσκιρτῶσαν εἰς ἀτόπους ὁρμὰς, καὶ ὅταν πάρετός τε καὶ ἐκλελυμένη καὶ ἀκίνητος ὑπὸ ἀλγηδόνων συνέχηται. Οὐ

(50) Reg. primus γηραρώτερον.
(51) Ita edidimus ex Reg. primo. Illud, *πρὸ πάντων*, deerat in vulgatis.
(52) Utraque editio ἐσθίουσι. Reg. primus ἐσθίωσι. Paulo post idem codex ἐπί τινος πρεσβυτέρου. Aliquanto post codex Reg. τροφὴν πορίζεσθαι.
(53) Editio Paris. κακοπάθειαν τῆς σαρκός. Editio Ven. et codex Reg. κακοπάθειαν τοῦ σώματος. Ibidem idem codex ἀλλὰ βλέπειν ἐν.
(54) Editio Veneta et codex Reg. καὶ τό. Particul καί deerat in editione Parisiensi. Ibidem editio Paris καὶ δι' εὐεξίας ἐν. Vocula καί hoc loco neque in Reg. libro neque in editione Veneta legitur.

γὰρ ἄγει σχολὴν ἡ ψυχὴ, ἐν τῇ τοιαύτῃ τοῦ σώματος A καταστάσει, πρὸς τὰ ἄνω βλέπειν ἐλευθερίως· ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην πρὸς τὴν τῆς ὀδύνης αἴσθησιν ἀσχολεῖται καὶ ἐπικλίνεται, συνταπεινουμένη τῇ κακοπαθείᾳ τοῦ σώματος.

4. Ἔστω τοίνυν ἡ χρῆσις τῇ χρείᾳ σύμμετρος, καὶ ὁ οἶνος μήτε βδελυκτὸς ἔστω, εἰ πρὸς θεραπείαν παραλαμβάνοιτο, μήτε σπουδαζέσθω χωρὶς ἀνάγκης· καὶ τὰ ἄλλα πάντα ὡσαύτως ταῖς χρείαις, μὴ ταῖς ἐπιθυμίαις ὑπηρετείτω τῶν ἀσκουμένων. Προσευχῆς καιρὸς ἔστω ἅπας ὁ βίος· μάλιστα (55) δὲ ἐπειδὴ χρὴ τισι διαλείμμασι τὸ σύντονον τῆς ψαλμῳδίας καὶ τῆς γονυκλισίας διαναπαύειν, ἀκολουθητέον ταῖς παρὰ τῶν ἁγίων τετυπωμέναις εἰς προσευχὴν ὥραις. Φησὶ τοίνυν ὁ μέγας Δαβὶδ, ὅτι *Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί* (56) *σοι ἐπὶ τὰ κρίματα τῆς* B *δικαιοσύνης σου*· ᾧ καὶ Παῦλος καὶ Σίλας ἀκολουθοῦντες εὑρίσκονται, κατὰ τὸ μεσονύκτιον ἐν τῷ δεσμωτηρίῳ τὸν Θεὸν αἰνοῦντες. Εἶτά φησιν ὁ αὐτὸς προφήτης· *Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας*. Ἀλλὰ καὶ ἡ τοῦ ἁγίου Πνεύματος παρουσία (57) κατὰ τὴν τρίτην γίνεται ὥραν, καθὼς ἐν ταῖς Πράξεσι μεμαθήκαμεν, ὅτε, διαχλευαζόντων ἐν τῇ ποικίλῃ τῶν γλωσσῶν ἐνεργείᾳ τῶν Φαρισαίων τοὺς μαθητὰς, φησὶν ὁ Πέτρος μὴ μεθύειν τοὺς ταῦτα λαλοῦντας· ὥρα γάρ ἐστι τρίτη. Ἡ δὲ ἐνάτη τοῦ Δεσποτικοῦ πάθους ἐστὶ μνημόσυνον, τοῦ ὑπὲρ τῆς ἡμετέρας ζωῆς γενομένου. Ἀλλ' ἐπειδή φησιν ὁ Δαβὶδ, ὅτι *Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου*, οἱ δὲ μνημονευθέντες τῆς C προσευχῆς καιροὶ οὐ πληροῦσι τὴν ἑβδομάδα τῶν προσευχῶν, τὴν μεσημβρινὴν προσευχὴν διατμητέον· καὶ τὴν μὲν πρὸ τοῦ προσενέγκασθαι τὴν τροφὴν, τὴν δὲ μετὰ τὸ προσενέγκασθαι· ὥστε γενέσθαι καὶ ἡμῖν ἐν τύπῳ τὸ ἑπτάκις τῆς ἡμέρας αἰνεῖν τὸν Θεὸν κατὰ πᾶσαν τῆς ἡμέρας περίοδον. Αἱ εἴσοδοι τῶν ἀσκητηρίων ταῖς μὲν γυναιξὶν ἀποκεκλείσθωσαν (58)· ἄνδρες δὲ μὴ πάντες εἰσίτωσαν, ἀλλ' ὅσοι ἂν ὑπὸ τοῦ καθηγουμένου καταπιστευθῶσι τὴν εἴσοδον. Πολλάκις γὰρ ἡ ἀδιαφορία τοῦ εἰσιόντος ἀκαίρων λόγων καὶ ἀνωφελῶν διηγημάτων ἀκολουθίαν ταῖς καρδίαις ἐντίθησιν, εἰς ματαίας τε καὶ ἀνωφελεῖς διανοίας ἐκ τῶν ματαίων λόγων ἐμβάλλει (59). Καὶ διὰ τοῦτο νόμος ἔστω κοινὸς, μόνον ἐρωτᾶσθαι τὸν καθηγούμενον καὶ ἀποκρίνεσθαι ὑπὲρ ὧν προσήκει D γενέσθαι τινὰ κατὰ ἀνάγκην λόγον· τοὺς δὲ λοιποὺς μὴ ἀποκρίνεσθαι τοῖς ἀδολεσχοῦσιν ἐν ὁμιλίαις ματαίαις, ἵνα μὴ συγκαθελκυσθῇ πρὸς τὴν ἀργῶν ῥημάτων ἀκολουθίαν.

5. Ἀποθήκη δὲ τοῖς πᾶσιν ἔστω μία κοινὴ, καὶ μηδὲν ἴδιον ἑκάστῳ ὀνομαζέσθω· μὴ ἱμάτιον, μὴ ὑπόδημα, μὴ ἄλλο τι τῶν πρὸς τὴν ἀναγκαίαν χρείαν τοῦ σώματος. Ἀλλ' ἐν τῇ ἐξουσίᾳ τοῦ καθηγουμένου ἡ χρῆσις (60) ἔστω, ἐκ τῶν κοινῶν τὸ κατάλληλον

enim animæ in tali corporis statu otium est oculos libere sursum attollendi, imo omnino necesse est eam de doloris sensu occupari, et ad ipsum inclinari, simulque deprimi per malam corporis affectionem.

4. Sit itaque rerum usus necessitati accommodus ac conveniens, neque vinum habeatur ut abominandum, si modo ad medelam assumatur, neque studiose paretur citra necessitatem; et reliqua omnia similiter necessariis usibus, non cupiditatibus inserviant eorum qui vitam asceticam excolunt. Omnis vita tempus sit orandi. Quoniam tamen maxime quibusdam intervallis ea contentio, quæ ad psallendum et ad genua inflectenda adhibetur, interrumpenda est, observandæ sunt horæ a sanctis pro precibus designatæ. Ait igitur magnus David: *Media nocte surgebam ad confitendum tibi, super judicia justitiæ tuæ* (*Psal.* CXVIII, 62): quem et Paulus et Silas secuti esse comperiuntur, quippe qui media nocte Deum in carcere laudaverint (*Act.* XVI, 25). Deinde dicit idem propheta: *Vespere et mane et meridie* (*Psal.* LIV, 18). Quin et Spiritus sanctus circiter horam tertiam advenit, velut in Actis didicimus (*Act.* II, 15), cum nempe, Pharisæis discipulos ob varium linguarum usum **322** irridentibus, ait Petrus ebrios eos non esse, qui hæc loquerentur: quandoquidem hora erat tertia. Hora vero nona memoriam refert Dominicæ passionis, quæ vitæ nostræ causa suscepta est. Sed, quoniam dicit David: *Septies in die laudem dixi tibi super judicia justitiæ tuæ* (*Psal.* CXVIII, 164), illa autem orandi tempora, quæ diximus, nequaquam explent precum hebdomada, dividenda est meridiana precatio, sic ut pars una anteaquam cibus sumatur, altera post acceptum cibum fiat quo etiam ea Dei laudatio quæ septies die in toto diei circuitu persolvitur, nobis sit pro exemplari. Aditus ad monasteria obstruatur mulieribus: imo non quivis viri ingrediantur, sed quibus præfectus ingressum permiserit. Cum enim quilibet sine delectu ingreditur, animus plerumque in intempestivos sermones ac inutiles fabulas sese effundit, et ex vanis colloquiis delabitur in vanas inutilesque cogitationes. Ob idque lex communis ea sit, ut solus præses de iis interrogetur et respondeat, de quibus necessario sermo aliquis haberi debet: minime autem respondeant cæteri iis qui supervacaneis collocutionibus nugantur, ut ne simul ad inanium verborum seriem pertrahantur.

5. Apotheca autem communis omnium sit, nec quidquam ceu cujusvis proprium nominetur, non vestimentum, non calceamentum, non quidvis aliud quod ad necessarium corporis usum pertineat. Sed usus sit penes præfectum, ita ut quod

(55) Editio Paris. βίος μάλιστα. Ἐπεὶ δὲ χρή. Codex Reg. ut in contextu.
(56) Codex Reg. τοῦ ἐξομολογήσασθαι.
(57) Idem codex Πνεύματος προφητεία, *Spiritus sancti prophetia*. Notatu digna sunt quæ hic dicuntur de septem horis, quibus oporteat Deum laudari.
(58) Codex Reg. γυναιξὶν ἀποκλειέσθωσαν.
(59) Utraque editio λόγων ἐκβάλλει. Codex Reg. ἐμβάλλει. Mox idem liber vetus ὑπὲρ ὧν καί.
(60) Articulus positus est ex codice Reg. ante vocem χρῆσις.

cuique convenit, id ex communibus tribuatur juxta moderatoris præceptum. Jam vero in hoc communi contubernio dilectionis lex non permittit particulares amicitias ac sodalitates. Nam necesse est omnino, affectus particulares plurimum communi concordiæ nocere. Quamobrem respicere se mutuo debent omnes cum æquali amoris mensura, unusque et idem in toto cœtu tenendus est dilectionis modus. Quod si quis ob quamcunque causam monachum fratrem aut propinquum majori studio quam alium quemvis prosequi comperiatur, is tanquam in totam societatem contumeliosus castigetur. Nimius namque erga unum aliquem amor magnum in cæteros defectum arguit. Ei autem qui ob delictum aliquid condemnatus est, irrogentur pœnæ pro peccati mensura, vel ut cum cæteris stare ad psallendum prohibeatur, vel non admittatur ad precum societatem, vel a cibi participatione arceatur : qua in re disciplinæ communi præfectus pœnam delinquenti pro peccati magnitudine decernet. Fiat autem per vices in communi conventu ministerium, duobus vicissim in una hebdomade negotia quæque necessaria peragentibus, ut et communis exsistat humilitatis merces, nec cuiquam liceat ne in bono quidem sodales superare, omnes vero pariter interquiescant. Hæc enim laboris et requietis vicissitudo facit ut lassitudinem laborantes non sentiant. Cum necesse **323** fuerit in publicum prodire, penes est præfectum contubernii, quos voluerit dirigere, aut imperare quibus utile fuerit et opportunum, ut res domesticas curent, et domi maneant. Sæpe enim in juvenum corporibus, etiamsi quam studiosissime sese per continentiam affligant, coloris decor nescio quomodo per ætatem efflorescit, et libidinis occasio occurrentibus oboritur. Si quis igitur, quantum ad corporis florem, juvenis est, occultet et abscondat hujusmodi elegantiam ac venustatem, donec apparens ille decor ad debitum statum pervenerit. Nihil in eis iram indicet, aut injuriarum acceptarum memoriam, aut invidiam, aut contentionem, neque gestus, neque motus, non verbum, non acris oculorum obtutus, neque faciei conformatio, aut si quid aliud convictorem nostrum ad iram provocare soleat. Quod si quispiam in aliquod horum inciderit, etiamsi prior molestia aliqua affectus sit : id tamen satis non est ad peccatum cui obnoxius fit excusandum. Malum

A ἑκάστου χρησιμεύειν, κατὰ τὴν τοῦ προηγουμένου ὑφήγησιν. Ἐν δὲ τῇ κοινῇ ταύτῃ συσκηνίᾳ μερικὰς φιλίας καὶ ἑταιρείας ὁ τῆς ἀγάπης θεσμὸς (61) οὐ συγχωρεῖ. Ἀνάγκη γὰρ πᾶσα τὰς ἐν μέρει γινομένας προσπαθείας εἰς πολλὰ βλάπτειν τὴν κοινὴν (62) συμφωνίαν. Νῦν δὲ ἴσῳ τῷ μέτρῳ τῆς διαθέσεως πάντας προσήκει πρὸς ἀλλήλους βλέπειν, καὶ ἓν μέτρον τῆς ἀγάπης ἐπὶ παντὸς κρατεῖν τοῦ πληρώματος. Εἰ δέ τις εὑρεθῇ πλείονι σχέσει ἀγαπητικῶς ἔχων πρὸς μοναχὸν ἀδελφὸν, ἢ συγγενῆ, ἢ πρὸς ἄλλον τινὰ δι' οἱανδήποτε πρόφασιν, ὡς τὸ κοινὸν ἀδικῶν, σωφρονιζέσθω. Ὁ γὰρ πλεονασμὸς τῆς διαθέσεως ἐπὶ τοῦ ἑνὸς προσώπου κατηγορίαν ἔχει τῆς ἐπὶ τῶν ἄλλων ἐλλείψεως πολλήν (63). Τὰ δὲ ἐπιτίμια τοῦ ἐπὶ πλημμελείᾳ τινὶ καταγνωσθέντος πρὸς τὸ μέτρον
B τοῦ ἁμαρτήματος ἔστω· καὶ τὸ κωλυθῆναι συστῆναι εἰς ψαλμῳδίαν, καὶ τὸ μὴ παραδεχθῆναι εἰς εὐχῆς (64) κοινωνίαν, καὶ τὸ ἀπόβλητον γενέσθαι εἰς τὴν τῆς τροφῆς μετουσίαν· ἐν ᾧ καὶ πρὸς τὴν ποσότητα τοῦ σφάλματος ὁρίσει τὸ ἐπιτίμιον τῷ ἐξαμαρτάνοντι ὁ ἐπιστατεῖν ταχθεὶς τῇ κοινῇ εὐταξίᾳ. Ἡ δὲ ὑπηρεσία γινέσθω τῇ κοινῇ συνοδίᾳ ἐκ περιόδου, δύο κατ' ἀκολουθίαν ἐν ἑβδομάδι μιᾷ πᾶσαν τὴν ὑπὸ τῆς χρείας ἐπιζητουμένην σπουδὴν ἐκτελούντων, ἵνα καὶ ὁ μισθὸς τῆς ταπεινοφροσύνης κοινὸς ᾖ, καὶ μὴ ἐξῇ τινι μηδὲ ἐν τῷ καλῷ πλεονεκτεῖν τὴν συνοδίαν, καὶ ἡ ἀνάπαυσις ἐν τῷ ἴσῳ πᾶσιν ὑπάρχῃ (65). Τὸ γὰρ ἐν μέρει κοποῦσθαι, καὶ ἐν μέρει διαναπαύεσθαι, ἀνεπαίσθητον τοῖς κάμνουσι τὸν κόπον ποιεῖ. Ἐξουσίαν
C ἔχει ὁ προεστὼς τοῦ τάγματος, καὶ ἐπὶ ἀναγκαίας προόδους τοὺς κατὰ γνώμην προσάγειν, καὶ προστάσσειν οἷς ἂν συμφέρῃ τὸ οἰκουρεῖν, καὶ ἐντὸς τοῦ οἴκου μένειν. Πολλάκις γὰρ τοῖς νέοις σώμασι, κἂν ὅτι μάλιστα ἡ ἐκ τῆς ἐγκρατείας κακοπάθεια σπουδάζηται, ἐπανθεῖ πως ἡ ἐκ τῆς ἡλικίας εὔχροια, καὶ ἀφορμὴ πάθους τοῖς ἐντυγχάνουσι γίνεται. Εἰ οὖν τις νεάζοι κατὰ τὸ ἄνθος τοῦ (66) σώματος, ἀφανῆ τὴν τοιαύτην ποιείτω εὐσχημοσύνην ὑποκρυπτόμενος, ἕως ἂν εἰς τὴν πρέπουσαν κατάστασιν τὸ φαινόμενον ἔλθῃ. Ὀργῆς, ἢ μνησικακίας, ἢ φθόνου, ἢ φιλονεικίας σημεῖον ἐν αὐτοῖς (67) ἔστω μηδὲν, ἢ σχῆμα, ἢ κίνημα· μὴ ῥῆμα, μὴ βλέμματος ἔνστασις, ἢ προσώπου διάθεσις, ἢ εἴ τι ἄλλο ὑποκινεῖν πέφυκε πρὸς ὀργὴν τὸν συζῶντα. Εἰ δέ τίς τινι (68) τούτων συν-
D ενεχθείη, τὸ προπεπονθέναι τι τῶν λυπούντων οὐχ ἱκανόν ἐστιν εἰς ἀπολογίαν τοῦ πλημμελήματος, ἐν ᾧ τις ἐνέχεται. Τὸ γὰρ κακὸν ἐν οἱῳδήποτε χρόνῳ τολμώμενον ἐπίσης ἐστὶ κακόν (69). Ὅρκος μὲν

(61) Idem codex ἀγάπης μισθός, *dilectionis merces*, haud recte.

(62) Reg. primus διατέμνειν τὴν κοινήν, *communem concordiam secare*. Lectio optima. Mox codex Reg. ἴσῳ τῷ μέτρῳ. Vox ἴσῳ desiderabatur in utraque editione.

(63) Vox *πολλήν* in codice Reg. non legitur. Addidimus non longe ex eodem libro veteri articulum ante præpositionem ἐπί.

(64) Vox *εὐχῆς* deest in codice Regio Mox idem codex ἐν ᾧ καὶ πρὸς τήν. Editio Paris. ἐν ᾧ κατὰ τήν.

(65) Editio Paris. πᾶν ὑπάρχῃ. Editio Ven. et codex Reg. πᾶσιν. Nec ita multo post idem codex τὸν πόνον ποιεῖ. Subinde hic ipse codex καὶ ὅτε μάλιστα.

(66) Codex Reg. κατὰ τὸ πάθος τοῦ. Mox idem codex ποιείτω ἐν εὐσχημοσύνῃ.

(67) Sic codex Regius. Illud, *σημεῖον ἐν αὐτοῖς*, deerat in impressis libris. Statim ex eodem illo codice addidimus, voculam ἢ, quæ inepte omissa fuerat in editione Parisiensi.

(68) Utraque editio Εἰ δέ τινι. Codex noster Εἰ δέ τις τινί

(69) Horum verborum, *ἐπίσης ἐστὶ κακόν*, hæc est sententia : malum quovis tempore admissum, per se quidem et natura sua æqualiter malum esse : sed tamen ob circumstantias levius fieri, aut gravius. Mox

A ἅπας ἐξοριζέσθω τοῦ καταλόγου τῶν ἀσκουμένων. Ἡ δὲ κατάνευσις τῆς κεφαλῆς, καὶ ἡ διὰ τῆς φωνῆς συγκατάθεσις ἀντὶ ὅρκου κρινέσθω, καὶ τῷ λέγοντι καὶ τῷ ἀκούοντι. Εἰ δέ τις ἀπιστήσειε τῇ ψιλῇ διαβεβαιώσει, κατηγορίαν τοῦ ἰδίου συνειδότος παρέχεται ὡς οὐ κατορθώσας ἀψευδὲς ἐν λόγῳ, καὶ διὰ τοῦτο ἐν τοῖς πλημμελοῦσι ταχθήσεται ὑπὸ τοῦ προκαθηγουμένου, καὶ ἐπιτιμίῳ θεραπεύοντι σωφρονισθήσεται. Τῆς ἡμέρας παρελθούσης, καὶ παντὸς ἔργου εἰς πέρας ἐλθόντος, σωματικοῦ τε καὶ πνευματικοῦ, πρὸ τῆς ἀναπαύσεως ἀνακρίνεσθαι προσήκει τὸ συνειδὸς ἑκάστου ὑπὸ τῆς ἰδίας καρδίας. Καὶ εἴ τι γέγονε παρὰ τὸ δέον, ἢ ἐνθύμημα τῶν ἀπηγορευμένων, ἢ λόγος ἔξω τοῦ καθήκοντος, ἢ περὶ τὴν προσευχὴν ῥᾳθυμία, ἢ ἀκηδιασμὸς τῆς ψαλμῳδίας, ἢ τοῦ B κοινοῦ βίου ἐπιθυμία, μὴ ἐπικρυπτέσθω τὸ πλημμέλημα, ἀλλὰ τῷ κοινῷ ἐξαγγελλέτω, ὡς ἂν διὰ κοινῆς προσευχῆς θεραπευθῇ τὸ πάθος τοῦ συνενεχθέντος τῷ τοιούτῳ κακῷ.

enim quoquo tempore admissum, ex æquo malum est. Omne quidem juramentum exterminetur e monachorum cœtu : habeatur vero pro juramento nutus capitis, aut assensus per vocem datus, sive quis loquatur, sive audiat. Si quis autem fidem non habuerit nudæ affirmationi, is suam ipsius conscientiam arguit proditque, tanquam qui non dixerit verum inter loquendum, ob idque in delinquentium numerum referetur a præposito, et pœna medicinali castigabitur. Completo jam die, omnique opere tum corporali tum spirituali absoluto, par est unumquemque in corde suo ante quietem suam ipsius conscientiam examinare. Et si quid contigit præter decorum, sive cogitatio interdicta, aut colloquium præter officium, aut in orando segnities, aut in psallendo negligentia, aut communis vitæ desiderium, nequaquam occultet peccatum, sed cœtui confiteatur, ut morbus illius qui in ejusmodi malum incidit, per communem precationem sanetur.

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ (70).

1. Ὁ ἀσκητικὸς βίος ἕνα σκοπὸν ἔχει, τὴν τῆς ψυχῆς σωτηρίαν, καὶ δεῖ πᾶν (71) τὸ δυνάμενον πρὸς αὐτὴν συνεργῆσαι τὴν πρόθεσιν, ὡς θείαν ἐντολὴν οὕτω μετὰ φόβου παραφυλάττειν. Οὐδὲ γὰρ αὐταὶ αἱ ἐντολαὶ τοῦ Θεοῦ πρὸς ἄλλο τι βλέπουσιν, εἰ μὴ πρὸς τὸ σωθῆναι τὸν ὑπακούοντα. Χρὴ τοίνυν, καθάπερ οἱ ἐπὶ τὸ λουτρὸν εἰσιόντες γυμνοῦνται παντὸς περιβλήματος, οὕτω καὶ τοὺς τῇ ἀσκητικῇ προσερχομένους ζωῇ, πάσης ὕλης (72) βιωτικῆς γυμνωθέντας, ἐντὸς τοῦ κατὰ φιλοσοφίαν γενέσθαι βίου. Τὸ μὲν οὖν προηγούμενόν ἐστι, καὶ οὗ μάλιστα προσήκει τὸν Χριστιανὸν ἐπιμελεῖσθαι, γυμνωθῆναι τὰ κατὰ τὴν κακίαν πάθη τὰ ποικίλα τε καὶ διάφορα, δι' ὧν μολύνεται ἡ ψυχή· χρὴ δὲ κατὰ δεύτερον λόγον καὶ τὴν τῶν ὑπαρχόντων ἀποταγὴν κατορθω- C θῆναι τῷ πρὸς τὸν ὑψηλὸν ἀποβλέποντι βίον, διότι πολὺν παρέχει περισπασμὸν τῇ ψυχῇ ἡ τῶν ὑλικῶν πραγμάτων φροντίς τε καὶ ἐπιμέλεια. Ὅταν οὖν πλείους, πρὸς τὸν αὐτὸν βλέποντες (73) τῆς σωτηρίας σκοπὸν, τὴν μετ' ἀλλήλων ζωὴν καταδέξωνται, χρὴ τοῦτο πρὸ πάντων ἐν αὐτοῖς κρατηθῆναι, τὸ μίαν ἐν πᾶσι καρδίαν εἶναι, καὶ θέλημα ἕν, καὶ μίαν ἐπιθυμίαν, καὶ, καθὼς νομοθετεῖ ὁ Ἀπόστολος, ἓν γενέσθαι σῶμα ἐκ διαφόρων μελῶν συνηρμοσμένον πᾶν τὸ πλήρωμα τῆς συνοδίας. Τοῦτο δὲ οὐκ ἔστιν ἄλλως κατορθωθῆναι, εἰ μὴ ἐκεῖνο κρατήσειε, τὸ μὴ ἐπονομάζεσθαί τινι ἀποτεταγμένως μήτε ἱμάτιον, μήτε σκεῦος, μήτε ἄλλο τι τῶν εἰς τὴν κοινὴν ζωὴν χρησιμευόντων, ἵνα ἕκαστον τούτων τῆς χρείας ᾖ, D καὶ μὴ τοῦ κεκτημένου. Καὶ ὥσπερ ἀνάρμοστόν ἐστι

EJUSDEM SERMO ASCETICUS.

1. Unus est asceticæ vitæ scopus, ut consulat animæ saluti ; et quidquid proposito huic conducere potest, id sicut divinum mandatum cum timore observandum est. Neque enim ipsa Dei mandata ad quidquam aliud spectant, nisi ut salutem adipiscatur qui eis auscultaverit. Convenit igitur, ut quemadmodum qui se in balneum demittunt, omni amictu nudantur, ita etiam qui ad asceticum vitæ genus accedunt, omni re sæculi hujus exuti, vitam philosophicam ingrediantur. Id itaque præcipuum est, et cujus **324** maxime curam gerere Christianus debet, ut vitiosis affectibus, qui varii sunt ac diversi, animamque coinquinant, denudetur : deinde vero oportet, ut qui ad vitam sublimem respicit, opes suas ac facultates derelinquat : cum rerum terrenarum cura ac sollicitudo magnam in animo aberrationem generent. Cum igitur plures ad eumdem salutis scopum intenti, communem inter se vitam amplexi fuerint, id inter ipsos ante omnia obtineat necesse est, ut unum in omnibus sit cor, et voluntas una, unumque desiderium, utque ex Apostoli præcepto, omne conventus agmen efficiatur unum corpus ex diversis membris coagmentatum (*I Cor.* XII, 12). Hoc autem aliter fieri non potest, nisi obtinuerit hæc consuetudo, ut nihil nominatim ac peculiariter cuiquam tribuatur, neque vestimentum, neque vas, neque quidpiam aliud ex iis quæ conducunt vitæ communi, ut singula usibus necessariis, non autem possessoribus destinentur. Et sicuti vestimen-

codex Reg. ὅρκος μὲν ἅπας. Utraque editio ὅρκος ἅπαξ.

(70) Utraque editio et codex Combef. τοῦ αὐτοῦ λόγος ἀσκητικός, *ejusdem sermo asceticus*. Reg. primus τοῦ αὐτοῦ ὑποτύπωσις ἀσκήσεως καὶ πρόλογος τῶν ὅρων, *asceticæ disciplinæ informatio, et regularum prologus*. Reg. tertius πρόλογος ἐν ᾧ τίς ὁ σκοπὸς τῆς ἀσκήσεως, *prologus in quo ostenditur quis sit scopus vitæ asceticæ*. Ita denique in Colbertino legitur recentiore manu, τοῦ Βασιλείου... πρόλογος τῶν ἀσκητικῶν διατάξεων, *Basilii... prologus asceticorum constitutionum*.

(71) Utraque editio καὶ πᾶν. Reg. tertius καὶ δεῖ πᾶν, et ita quoque legitur in Reg. primo, sed manu recentiore. Mox Reg. primus πρὸς ταύτην.

(72) Illud, *πάσης ὕλης*, ita ad verbum interpretabere, *omni materia exuti*.

(73) Codex Voss. περὶ αὐτὸν βλέποντες. Mox idem codex ἐν ἑαυτοῖς.

tum parvum corpori majori, aut majus parvo non convenit, sed quidquid cuique accommodatum est, id utile est et commodum : ita etiam alia omnia, lectus, stragula, calidum vestimentum, calceamentum, ejus qui his valde indiget, debent esse, non possidentis. Quemadmodum enim qui vulneratus est, non qui sanus est, medicamento utitur : sic etiam iis quæ ad sublevandum corpus excogitata sunt, perfruatur, non qui delicate vivit, sed is cui levamen opus est.

2. Quoniam autem varia sunt hominum ingenia, neque similiter de rebus utilibus omnes judicant, ne qua, unoquoque ad suum arbitrium vivente, oboriatur perturbatio, is qui ex publico testimonio cunctis prudentia, constantia, ac vitæ integritate præstiterit, aliis regendis præficiendus est : ut quod in eo bonum est, id omnium qui ipsum fuerint imitati, fiat commune. Ut enim si plures pictores unius faciei lineamenta pingant, omnes imagines futuræ sunt inter se similes, utpote uni assimilatæ : eumdem ad modum si multa ingenia unum imitandum sibi proponant, in omnibus æqualiter bona vitæ forma eluceseet. Itaque uno aliquo jam delecto et prælato, cessabunt omnes privatæ voluntates, seque ad id quod præstantius est, conformabunt omnes, præcepto apostolico obsecuti, quo anima omnis potestatibus eximiis subdita esse jubetur, quoque monemur eos qui restiterint, judicio atque condemnationi obnoxios effici (*Rom.* XIII, 1, 2). Vera autem et perfecta subditorum erga præfectum obedientia in eo declaratur, si non a flagitiosis modo abstineant ex præfecti consilio, sed si ne ea quidem quæ laudabilia sunt, citra illius arbitrium peragant. Nam abstinentia et omnis corporalis afflictatio ad aliquid utilis est : sed si quis animi sui motum secutus, quod sibi placet egerit, et præposito consilium sibi danti non obtemperaverit, peccatum futurum est majus, quam recte factum. *Qui enim resistit* **325** *potestati, Dei ordinationi resistit* (*ibid.* 2) ; atque obedientiæ major merces quam abstinentiæ virtuti tribuitur. Eodem autem modo communem et æqualem omnibus inter se charitatem esse convenit, quo homo naturaliter erga singula sua membra affectus est, qui totum suum corpus pariter sanum vult, quando et uniuscujusque membri dolor æqualem corpori molestiam exhibet. At quemadmodum in nobismetipsis dolor uniuscujusque ægrotantis membri similiter totum corpus attingit, et tamen sunt membra alia aliis præstantiora (non enim pariter de oculo atque de pedis digito afficimur, etiamsi dolor æqualis sit) : ita unumquemque in omnes qui in conventu vixerint, commiserationem quidem atque

A τῷ μείζονι σώματι τὸ μικρὸν ἱμάτιον, ἢ τῷ μικροτέρῳ τὸ τελειότερον, ἀλλ' ἑκάστῳ τὸ σύμμετρόν ἐστι καὶ ἐπωφελὲς καὶ εὐάρμοστον· οὕτω καὶ τὰ ἄλλα πάντα, ἡ κλίνη, τὰ στρώματα (74), τὸ θερμὸν περιϐόλαιον, τὸ ὑπόδημα, τοῦ πάνυ χρῄζοντος, οὐχὶ τοῦ κεκτημένου εἶναι ὀφείλει. Καθάπερ γὰρ τῷ φαρμάκῳ ὁ τραυματισθεὶς, οὐχ ὁ ὑγιαίνων, κέχρηται, οὕτω καὶ τῶν πρὸς τὴν ἄνεσιν τοῦ σώματος ἐπινοουμένων, οὐχ ὁ τρυφῶν, ἀλλ' ὁ χρῄζων τῆς ἀνέσεως ἀπολαύει.

2. Ἐπειδὴ δὲ ποικίλα τὰ τῶν ἀνθρώπων ἤθη ἐστὶ, καὶ οὐ πάντες ὁμοίως περὶ τῶν χρησίμων βουλεύονται, ἵνα μή τις ἀκαταστασία ᾖ, ἑκάστου κατὰ τὸ ἴδιον θέλημα πολιτευομένου, προσήκει τὸν ἐπὶ πάντων (75) ἐπὶ συνέσει καὶ εὐσταθείᾳ καὶ τῇ κατὰ τὴν B ζωὴν ἀκριβείᾳ μεμαρτυρημένον διαφέρειν, τοῦτον προστήσασθαι εἰς τὸ καθηγήσασθαι τῶν ἄλλων, ἵνα τὸ ἐν τούτῳ ἀγαθὸν, κοινὸν πάντων τῶν μιμουμένων γένηται. Ὥσπερ γὰρ, εἰ πλείονες ζωγράφοι ἑνὸς προσώπου χαρακτῆρα γράφοιεν, πᾶσαι αἱ εἰκόνες ὁμοίως πρὸς ἀλλήλας ἕξουσι, διὰ τὸ τῷ ἑνὶ ὡμοιῶσθαι (76)· οὕτω τὰ πολλὰ ἤθη, εἰ πρὸς τὴν τοῦ ἑνὸς μίμησιν βλέποι, πᾶσιν ὁμοίως ὁ ἀγαθὸς τοῦ βίου χαρακτὴρ ἐπιλάμψει. Προκριθέντος τοίνυν ἑνὸς, ἀργήσει πάντα τὰ μερικὰ θελήματα· πρὸς δὲ τὸ προέχον πάντες οἱ ἐφεξῆς τυπωθήσονται, πεισθέντες τῷ ἀποστολικῷ παραγγέλματι τῷ κελεύοντι πᾶσαν ψυχὴν ἐξουσίαις ὑπερεχούσαις ὑποτάσσεσθαι· καὶ ὅτι οἱ ἀνθεστηκότες, ἑαυτοῖς κρῖμα λήψονται. Ἡ δὲ ἀληθὴς C καὶ τελεία ὑπακοὴ τῶν ὑποχειρίων πρὸς τὸν καθηγούμενον ἐν τούτῳ δείκνυται, ἐν τῷ μὴ μόνον τῶν ἀτόπων κατὰ τὴν συμϐουλὴν τοῦ προεστῶτος ἀπέχεσθαι, ἀλλὰ μηδὲ αὐτὰ τὰ ἐπαινετὰ χωρὶς τῆς ἐκείνου γνώμης (77) ποιεῖν. Ἡ γὰρ ἐγκράτεια καὶ πᾶσα ἡ σωματικὴ κακοπάθεια πρός τι χρησίμως ἔχει· ἀλλ' ἐάν τις, ταῖς ἰδίαις ὁρμαῖς ἀκολουθῶν, τὸ ἀρεστὸν αὐτῷ ποιῇ, καὶ συμϐουλεύοντι τῷ προεστῶτι μὴ πείθηται, μεῖζον τοῦ κατορθώματος ἔσται τὸ πλημμελούμενον. *Ὁ γὰρ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν*· καὶ ὁ τῆς ὑπακοῆς μισθὸς μείζων τοῦ κατὰ τὴν ἐγκράτειάν ἐστι κατορθώματος. Οὕτω προσήκει κοινὴν καὶ ἴσην πᾶσι πρὸς ἀλλήλους τὴν ἀγάπην εἶναι, ὡς φυσικῶς πρὸς τὰ καθ' ἕκαστον ἑαυτοῦ μέλη ὁ D ἄνθρωπος ἔχει, ἐπίσης θέλων παντὶ τῷ σώματι τὴν ὑγείαν, διότι καὶ ὁ πόνος ἑκάστου μέλους ἴσην παρέχει τῷ σώματι τὴν ἀηδίαν. Ἀλλ' ὥσπερ ἐν ἡμῖν αὐτοῖς ὁ μὲν πόνος ἑκάστου τῶν ἀῤῥωστούντων μελῶν ἴσως ἅπτεται (78) τοῦ παντὸς σώματος, ἔστι δὲ ὅμως ἕτερα ἑτέρων τιμιώτερα μέλη (οὐ γὰρ ὁμοίως περὶ τὸν ὀφθαλμὸν καὶ περὶ τὸν τοῦ ποδὸς δάκτυλον ἔχομεν, κἂν ὁ πόνος τὸ ἴσον ἔχῃ)· οὕτω τὴν μὲν συμπαθῆ διάθεσιν καὶ τὴν ἀγαπητικὴν σχέσιν ἴσην ἐπὶ

(74) Reg. primus τὸ στρῶμα.

(75) Idem codex ἐκ πάντων. Nec ita multo post codex Voss. et Reg. primus εἰς τὸ καθηγεῖσθαι. Reg. secundus προστήσασθαι τῶν ἄλλων· quæ scriptura eo melior fortasse videbitur, quo brevior est.

(76) Reg. primus τῷ ἑνὶ ὁμοιοῦσθαι. Aliquanto post Colb. τῷ εὐαγγελικῷ παραγγέλματι τῷ λέγοντι.

(77) Codex Colb. χωρὶς τῆς ἐκείνου βουλῆς. Haud longe codex Voss. et Reg. primus τὸ ἀρέσκον αὐτῷ.

(78) Utraque editio ἴσα ἅπτεται. Antiqui tres libri ἴσως.

πάντων (79) τῶν ἐν τῇ συνοδίᾳ ζώντων εἶναι παρ' A ἑκάστου προσήκει· ἡ δὲ τιμὴ, κατὰ τὸ εὔλογον, ἐπὶ τῶν χρησιμωτέρων τὸ πλέον ἕξει. Ἐπειδὴ δὲ ὀφείλεται πάντως (80) εἰσὶ τοῦ ἀλλήλους ἀγαπᾷν τῷ ἴσῳ μέτρῳ τῆς διαθέσεως, ἀδίκημά ἐστιν ἐν συνοδίᾳ εὑρεθῆναι ἰδιαζούσας τινὰς φατρίας καὶ συσκηνίας. Ὁ γὰρ τὸν ἕνα ὑπὲρ τοὺς ἄλλους ἀγαπῶν κατηγορεῖ ἑαυτοῦ, ὡς (81) ἐν τοῖς ἄλλοις μὴ ἔχων τὴν τελείαν ἀγάπην. Ὁμοίως οὖν ἀπόβλητός ἐστιν ἀπὸ συνοδίας ἥ τε ἀπρεπὴς μάχη καὶ ἡ μερικὴ διάθεσις. Ἀπὸ μὲν γὰρ τῆς μάχης ἔχθρα γίνεται· ἀπὸ δὲ τῆς μερικῆς φιλίας καὶ ἑταιρίας ὑποψίαι καὶ φθόνοι γίνονται. Πανταχοῦ γὰρ ἡ τοῦ ἴσου στέρησις ἀρχὴ καὶ ὑπόθεσις φθόνου καὶ δυσμενείας τοῖς ἐλαττουμένοις γίνεται. Διὰ τοῦτο καὶ ἐντολὴν παρὰ Κυρίου ἐλάβομεν, μιμεῖσθαι τὴν ἀγαθότητα τοῦ ὁμοίως (82) τὸν ἥλιον B δικαίοις τε καὶ ἀδίκοις ἐπανατέλλοντος. Ὥσπερ οὖν ὁ Θεὸς κοινὴν δίδωσι πᾶσι τοῦ φωτὸς τὴν μετουσίαν, οὕτω καὶ οἱ μιμηταὶ τοῦ Θεοῦ κοινήν τε καὶ ὁμότιμον τὴν τῆς ἀγάπης ἀκτῖνα ἐπὶ πάντας φερέτωσαν. Ὅπου γὰρ ἐλλείπει ἡ ἀγάπη, ἐκεῖ πάντως ἀντεισέρχεται τὸ μῖσος. Εἰ δὲ, καθώς φησιν Ἰωάννης, *Ὁ Θεὸς ἀγάπη ἐστίν*, ἀνάγκη (83) πᾶσα τὸ μῖσος εἶναι τὸν διάβολον. Ὥσπερ οὖν ὁ τὴν ἀγάπην ἔχων τὸν Θεὸν ἔχει, οὕτως ὁ τὸ μῖσος ἔχων τὸν διάβολον ἐν ἑαυτῷ τρέφει. Διὰ τοῦτο προσήκει τὴν μὲν ἀγάπην ἴσην καὶ ὁμοίαν παρὰ πάντων τοῖς πᾶσιν εἶναι, τὴν δὲ τιμὴν ἑκάστῳ κατὰ τὸ πρέπον γίνεσθαι. Ἐπὶ δὲ τῶν οὕτως ἀλλήλοις συναρμοζομένων, ἡ σωματικὴ συγγένεια οὐδὲν πλέον κατὰ τὴν ἀγάπην ἕξει· οὐδὲ εἴ C τις ἀδελφός τινος κατὰ σάρκα εἴη, ἢ υἱὸς, ἢ θυγάτηρ, ἐν πλείονι διαθέσει πρὸς τὸν τῷ γένει προσήκοντα παρὰ τοὺς ἄλλους γενήσεται ἡ κοινωνία τοῦ αἵματος. Ὁ γὰρ ἐν τούτοις τῇ φύσει ἀκολουθῶν κατηγορεῖ ἑαυτοῦ, ὅτι οὔπω τελείως ἀπέστη τῆς φύσεως, ἀλλ' ἔτι ὑπὸ σαρκὸς διοικεῖται. Λόγος δὲ ἀνωφελὴς, καὶ ὁ διὰ τῆς πρὸς ἀλλήλους ὁμιλίας μετεωρισμὸς ἄκαιρος, ἀπειρημένος ἔστω. Ἀλλ' εἴ τι χρήσιμον πρὸς οἰκοδομὴν τῶν ψυχῶν, τοῦτο προσήκει λαλεῖσθαι μόνον, καὶ αὐτὰ τὰ (84) χρήσιμα εὐτάκτως κατὰ τὸν πρέποντα καιρὸν λαλεῖσθαι παρὰ τῶν τοιούτων προσώπων, οἷς ἐπιτέτραπται τὸ λαλεῖν. Εἰ δέ τις τῶν ὑποδεεστέρων εἴη, ἀναμενέτω τὴν προτροπὴν (85) τοῦ ὑπερέχοντος. Οἱ δὲ ψιθυρισμοὶ, καὶ αἱ πρὸς τὸ οὖς ὁμιλίαι, καὶ αἱ διὰ τῶν νευμάτων σημασίαι, πάντα D ταῦτα ἀπόβλητα ἔστω, διότι τὴν τῆς καταλαλιᾶς ὑποψίαν ὁ ψιθυρισμὸς ἔχει, καὶ ἡ διὰ τοῦ νεύματος σημασία ἔνδειξιν παρέχει τῷ ἀδελφῷ λανθάνοντος πράγματός τινος σκαιωρίας. Τὰ δὲ τοιαῦτα μίσους ἀρχὴ καὶ ὑποψίας γίνεται. Ὅταν δὲ πρὸς ἀλλήλους ᾖ τις κατὰ ἀνάγκην γινομένη διάλεξις, τὸ μέτρον τῆς φωνῆς ἡ χρεία ποιείτω (86), ὥστε τῷ μὲν ἐγγὺς ὄντι

A amorem parem ostendere operæ pretium est; sed tamen, ut decet, iis qui utiliores sunt, major deferetur honor. Quoniam autem omnino æquali amoris mensura sese invicem diligere debent, injuria est privatas quasdam sodalitates ac contubernia in conventu reperiri. Qui enim unum præ aliis diligit, is, quod non perfecte cæteros diligat, se ipse arguit. Quare ex conventu contentio indecora, et singularis amor sunt æqualiter amandandi. Oritur enim ex contentione inimicitia: ab amicitia vero particulari et sodalitate suspiciones et invidiæ nascuntur. Cum enim æqualitas aufertur, id ubique eis qui ea spoliantur, invidiæ et odii origo et causa est. Quapropter jussit etiam Dominus nos bonitatem illius qui solem similiter super justos ac B injustos exoriri curat, imitari (*Matth.* v, 45). Quemadmodum igitur Deus ex æquo impertit omnibus lucem, ita et Dei imitatores communem et parem charitatis radium in omnes effundant. Ubi enim deficit charitas, illic utique ejus loco succedit odium. Quod si, ut Joannes ait, *Deus charitas est* (*I Joan.* IV, 16), prorsus necesse est diabolum odium esse. Sicut ergo qui habet charitatem, Deum habet: sic qui odium habet, is diabolum in seipso nutrit. Quamobrem ut æqualis similisque charitas quibusvis ab omnibus est exhibenda, ita honor, uti addecet, unicuique est tribuendus. In iis autem qui sic conjuncti sunt et copulati, non futura est major dilectio ob corporalem consanguinitatem: C neque si quis quidem germanus alicujus frater sit, filiusve, aut filia, is licet cognatione conjunctus, magis quam cæteri amabitur ob sanguinis communionem. Qui enim in his naturam sequitur, is nondum a natura perfecte recessisse convincitur, sed etiamnum a carne gubernari. Sermo autem inutilis, et inepta mentis avocatio ex mutuo colloquio orta, sint interdicta. Sed si quid animarum ædificationi conducit, de eo duntaxat instituendus est sermo: imo vero ea ipsa quæ utilia fuerint, modeste et tempore congruenti ab iis quibus sit loquendi facultas, dicenda sunt. **326**. Quod si quispiam ex inferiorum numero sit, licentiam hanc et facultatem a superiore exspectet. Murmurationes autem, et collocutiones in aurem, et quæ per D nutus fiunt significationes, hæc omnia rejiciantur, cum murmuratio præ se ferat obtrectationis suspicionem, significatio vero, quæ per nutum datur, rem aliquam latentem et malignam fratri indicet. Quæ autem sunt ejusmodi, odii initium sunt atque suspicionis. Cum autem necessarium fuerit mutuum colloquium, vocis modum formet necessitas, ita ut eum qui propinquus est, remissiore voce

(79) Præpositionem ἐπί addidimus ante vocem πάντων, fidem veterum duorum librorum secuti.

(80) Editio Paris. ὀφειλέται πάντες. Editio Ven. et quatuor mss. πάντως. Haud longe editio Paris. φρατρίας. Editio Ven. et tres mss. φατρίας.

(81) Reg. 1 ἀγαπῶν, κατήγορος ἑαυτοῦ γίνεται, ὡς.

(82) Editio utraque et Reg. tertius ἀγαθότητα αὐτοῦ ὁμοίως. Alii duo mss. ἀγαθότητα τοῦ ὁμοίως. Ibidem Reg. primus ἥλιον αὐτοῦ.

(83) Codex Colb. ἀνάγκη δέ. Mox idem liber ἔχων τὸν ἀντικείμενον ἐν.

(84) Reg. primus καὶ αὐτὰ δὲ τά. Codex Colb. καὶ αὐτὰ δὲ τὰ ῥήματα εὐτ. Mox duo mss. κ. λαλεῖσθω.

(85) Reg. primus μενέτω τὴν προτροπήν.

(86) Sic Regii primus et tertius. Utraque editio et Reg. secundus φωνῆς χρείᾳ ποιείτω, non ita recte.

compellemus, eum vero qui procul dissidet, con- A tentius alloquamur. Sed si quis dum cuipiam consilium dat, aut eum exhortatur ad rem aliquam, altiorem minacioremque adhibet vocem, is ut contumeliosus in conventu non sit. Exire autem e monasterio, nisi statutum sit et necessarium egredi, nequaquam licet. Verum quoniam non virorum modo conventus sunt, sed etiam virginum, cætera quidem omnia quæ relata sunt, utrisque erunt communia : sed tamen unum sciendum est, ampliorem majoremque in mulierum vita requiri honestatem ac modestiam, itemque paupertatis, silentii, obedientiæ, sororiique amoris virtutem, quamdam in exeundo curam, atque in congressibus cautionem, mutuam benevolentiam et particularium sodalitatum amandationem. In his enim om- B nibus cum majore studio institui debet virginum vita. Cui concredita est disciplinæ cura, ea non quod jucundum est sororibus, quærat, neque ab eis gratiam inire studeat, sic ut quæ ipsis in deliciis sunt, indulgeat, sed se semper gravem, metuendam, ac reverendam exhibeat. Nosse enim debet, se eorum quæ in cœtu communi præter officium admittuntur, rationem coram Deo esse reddituram. Atque unaquæque ex conventus numero a præfecta petat non quod gratum est et suave, sed quod est perutile, et conducibile, nihilque de iis quæ jubentur, inquirat (ejusmodi enim consuetudo exercitatio est et gradus ad rebellionem) : sed quemadmodum sine ullo examine recipimus Do- C mini præcepta, scientes omnem Scripturam divinitus inspiratam esse et utilem, ita et sorores jussa antistitæ citra disceptationem excipiant, omne consilium sibi ab ea datum alacri animo, non ex tristitia aut necessitate, exsequentes, ut ipsarum obedientia mercedem consequatur. Cæterum non tantummodo obediant, cum docentur quæ ad disciplinæ severitatem pertinent, sed etiamsi forte jejunium prohibuerit magistra, aut ad eum qui vires reficere ac reparare possit cibum sumendum adhortetur, aut etiam aliquid aliud levamini afferendo opportunum necessitate exigente præscripserit, perficiant omnia æqualiter, et quidquid ab illa **327** dicitur, legem esse sibi persuadeant. Cum autem necessitate postulante de negotio quodam necessa- D rio sermonem haberi oportuerit, sive cum viro aliquo, sive cum eo qui rei alicui curandæ præfectus sit, sive cum quovis alio qui ad rem requisitam aliquid conferre valeat, par est antistitam ipsam sermonem habere, una aut altera ex sororibus secum præsente : quæ jam ob mores et ætatem in alicujus conspectum colloquiumque venire tuto possint. Quod si alteri privatim quidpiam utile in mentem veniat, id suggerat præfectæ atque ita quod dicendum fuerit, per illam dicetur.

πραοτέρᾳ τῇ φωνῇ διαλέγεσθαι, τὸν δὲ πόῤῥωθεν ὄντα μείζονι προσκαλεῖσθαι τῇ φωνῇ. Τὸν δὲ συμβουλεύοντά τινι, ἢ ἐγκελευόμενον περί τινος (87), μείζονι καὶ καταπληκτικωτέρᾳ φωνῇ κεχρῆσθαι, ὡς ὑβριστικὸν, ἐν συνοδίᾳ μὴ ἔστω. Πρόοδος δὲ, πλὴν τῶν τεταγμένων καὶ ἀναγκαίων ἐξόδων, ἀπὸ ἀσκητηρίου οὐκ ἔστιν. Ἐπειδὴ δὲ οὐκ ἀνδρῶν μόνον εἰσὶν αἱ συνοδίαι, ἀλλὰ καὶ παρθένων, τὰ μὲν ἄλλα πάντα, ὅσα εἴρηται, κοινὰ καὶ τούτων καὶ ἐκείνων ἔσται· ἓν δὲ προσήκει γινώσκειν, ὅτι πλείονα καὶ περισσοτέραν ἀπαιτεῖ τὴν εὐσχημοσύνην ὁ ἐν γυναιξὶ βίος, καὶ τὸ τῆς ἀκτημοσύνης κατόρθωμα, καὶ τὸ τῆς ἡσυχίας, καὶ τὸ τῆς ὑπακοῆς, καὶ τὸ τῆς φιλαδελφίας, καὶ ἡ περὶ τὴν πρόοδον ἀκρίβεια, καὶ ἡ τῶν συντυχιῶν παραφυλακὴ, καὶ ἡ πρὸς ἀλλήλας διάθεσις, καὶ τὸ μὴ ἔχειν τὰς μερικὰς ἑταιρίας. Ἐν πᾶσι γὰρ τούτοις μετὰ (88) πλείονος σπουδῆς ὁ τῶν παρθένων ὀφείλει κατορθοῦσθαι βίος. Ἡ πεπιστευμένη τὴν εὐταξίαν μὴ τὸ ἡδὺ ταῖς ἀδελφαῖς ζητείτω, μηδὲ σπουδαζέτω κεχαρισμένη (89) αὐταῖς διὰ τῶν καταθυμίων εἶναι, ἀλλὰ τὸ σεμνόν τε καὶ τὸ φοβερὸν καὶ τὸ αἰδέσιμον περὶ αὐτὴν πάντοτε ἔστω. Εἰδέναι γὰρ αὐτὴν χρὴ, ὅτι τῶν παρὰ τὸ δέον ἐν τῷ κοινῷ πλημμελουμένων ἐκείνη ἐπὶ Θεοῦ τὸν λόγον ὑφέξει. Καὶ ἑκάστη τῶν ἐν τῷ πληρώματι τῆς συνοδίας μὴ τὸ ἡδὺ ζητείτω παρὰ τῆς καθηγουμένης, ἀλλὰ τὸ ἐπωφελές τε καὶ χρήσιμον· μηδὲ συζητείτω περὶ τῶν ἐγκελευομένων (ἡ γὰρ τοιαύτη συνήθεια μελέτη καὶ ἀκολουθία (90) τῆς ἀναρχίας γίνεται)· ἀλλ' ὥσπερ τὰς ἐντολὰς τοῦ Κυρίου ἀνεξετάστως δεχόμεθα, εἰδότες, ὅτι πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμός ἐστιν, οὕτω καὶ ἡ ἀδελφότης τὰ παραγγέλματα τῆς προκαθηγουμένης ἀδιακρίτως δεχέσθω, πᾶν τὸ συμβουλευόμενον μετὰ προθυμίας ἐπιτελοῦσα, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης, ἵνα γένηται αὐτῇ ἔμμισθος ἡ ὑπακοή. Ἀνεχέσθω δὲ μὴ μόνον τὰ εἰς τὴν ἀκρίβειαν διδασκομένη, ἀλλὰ κἂν που (91) νηστείαν κωλύσῃ ἡ διδάσκαλος, ἢ μετάληψιν τῆς ἀναληπτικῆς τροφῆς συμβουλεύσῃ, ἢ καὶ ἄλλο τι τῶν εἰς ἄνεσιν φερόντων τῆς χρείας ἀπαιτούσης ἂν ὑφηγήσηται, πάντα ὁμοίως ἐπιτελείτω, πεπεισμένη, ὅτι τὸ παρ' ἐκείνης λεγόμενον νόμος ἐστίν. Ὅταν δὲ κατὰ ἀνάγκην τινὰ δέῃ γενέσθαι λόγον περί τινος τῶν ὑπὸ τῆς χρείας ἐπιζητουμένων, εἴτε πρὸς ἄνδρα τινὰ, εἴτε πρὸς τὸν ἔχοντα τὴν φροντίδα, εἴτε καὶ πρὸς ἄλλον τὸν δυνάμενόν τι χρησιμεῦσαι πρὸς τὸ ἐπιζητούμενον πρᾶγμα, προσήκει παρὰ τῆς προκαθηγουμένης γίνεσθαι τὸν λόγον, συμπαρούσης αὐτῇ μιᾶς ἢ δευτέρας ἐκ (92) τῶν ἀδελφῶν, αἷς ἤδη διὰ βίον καὶ χρόνον ἀκίνδυνόν ἐστι τὸ εἰς ὄψιν καὶ ὁμιλίαν τινὸς ἐλθεῖν. Εἰ δέ τις νοεῖ τι καθ' ἑαυτὴν χρήσιμον, τῇ προκαθηγουμένῃ ὑποβαλλέτω, καὶ δι' ἐκείνης λαληθήσεται ὃ δεῖ λαληθῆναι.

(87) Reg. primus et Colb. περί τινος πράγματος.
(88) Reg. primus πᾶσι τούτοις καὶ μετά.
(89) Utraque editio κεχωρισμένη, male. Codex Combef. et alii duo κεχαρισμένη, recte.
(90) Reg. primus συνήθεια, τῆς ἀναρχίας γίνεται ἀκολουθία. Aliquanto post codex Voss. et Colb. παραγγέλματα τῆς προκαθημένης, nec aliter infra.
(91) Reg. primus ἀλλὰ κἂν ποτε. Codex Voss. καὶ εἴ ποτε.
(92) Voculam ἐκ addidimus ex Regiis 1 et 3.

ΤΟΥ ΑΥΤΟΥ ΟΡΟΙ ΚΑΤΑ ΠΛΑΤΟΣ.

EJUSDEM

REGULÆ FUSIUS TRACTATÆ.

ΠΡΟΟΙΜΙΟΝ (93).

1. Ἐπειδὴ Θεοῦ χάριτι ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συνεληλύθαμεν εἰς ταυτὸν οἱ ἕνα καὶ τὸν αὐτὸν σκοπὸν τοῦ βίου τοῦ κατ' εὐσέβειαν ἐνστησάμενοι (94)· καὶ ὑμεῖς μὲν εὔδηλοί ἐστε μαθεῖν τι τῶν πρὸς σωτηρίαν ἐπιποθοῦντες, ἐμοὶ δὲ ἀνάγκη ἀναγγέλλειν τὰ δικαιώματα τοῦ Θεοῦ, νυκτὸς καὶ ἡμέρας μεμνημένῳ τοῦ Ἀποστόλου λέγοντος, ὅτι *Τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον*· καιρὸς δὲ ἐπιτηδειότατος (95) ἡμῖν ὁ παρὼν, καὶ τόπος οὗτος ἡσυχίαν παρέχων καὶ σχολὴν πᾶσαν ἀπὸ τῶν ἔξωθεν θορύβων, συνευξώμεθα ἀλλήλοις, ὥστε ἡμᾶς μὲν ἐν καιρῷ τοῖς συνδούλοις ἡμῶν δοῦναι τὸ σιτομέτριον· ὑμᾶς δὲ, λαβόντας τὸν λόγον, ὡς τὴν ἀγαθὴν γῆν, τέλειον καὶ πολυπλασίονα τὸν ἐν δικαιοσύνῃ καρπὸν ἀποδοῦναι, καθὼς γέγραπται. Παρακαλῶ οὖν ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν (96), ἀψώμεθά ποτε τῆς φροντίδος τῶν ψυχῶν ἡμῶν· λυπηθῶμεν ἐπὶ τῇ ματαιώσει τοῦ προλαβόντος βίου· ἀγωνισώμεθα ὑπὲρ τῶν μελλόντων εἰς δόξαν τοῦ Θεοῦ, καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ τοῦ προσκυνητοῦ καὶ ἁγίου Πνεύματος. Μὴ τῇ ῥᾳθυμίᾳ καὶ τῇ ἐκλύσει ταύτῃ ἐναπομείνωμεν (97), καὶ τὸ μὲν παρὸν ἀεὶ διὰ ῥᾳθυμίας προϊέμενοι, πρὸς δὲ τὸ αὔριον καὶ τὸ ἐφεξῆς τὴν ἀρχὴν τῶν ἔργων ὑπερτιθέμενοι, εἶτα καταληφθέντες ὑπὸ τοῦ ἀπαιτοῦντος τὰς ψυχὰς ἡμῶν, ἀπαρασκεύαστοι τῶν ἀγαθῶν ἔργων, τῆς μὲν χαρᾶς τοῦ νυμφῶνος

PROŒMIUM.

1. Quoniam, Deo juvante, in nomine Domini nostri Jesu Christi simul convenimus nos, qui unum et eumdem pie vivendi finem nobis proposuimus, vosque quidem non obscure præ vobis fertis, teneri vos desiderio aliquid discendi eorum quæ ad salutem pertineant, mihi vero Dei justificationes annuntiandi incumbit necessitas, cum nocte ac die sim memor Apostoli, qui ait: *Per triennium nocte et die non cessavi, cum lacrymis monens unumquemque* [1]; et quoniam præsens tempus est convenientissimum, hicque locus præbet silentium, ac prorsus ab externis tumultibus immunis est, mutuo simul precemur, ut nos quidem opportune conservis nostris frumenti demensum demus: vos autem accepto sermone, velut bona terra, perfectum et multiplicem justitiæ fructum reddatis, sicut scriptum est[2]. Obsecro igitur vos per charitatem Domini nostri Jesu Christi, qui dedit semetipsum pro peccatis nostris[3], simus tandem aliquando de animabus nostris solliciti, doleamus anteactæ vitæ vanitatem, decertemus pro futuris ad gloriam Dei, et Christi ipsius, adorandique ac sancti Spiritus. Ne maneamus in socordia hac et dissolutione, neve præsens quidem tempus per jugem pigritiam amittentes, in crastinum vero et in posterum differentes operum initium, deinde ab eo qui animas nostras reposcit, inventi imparati a bonis operibus, et a nuptialis thalami gaudio excludamur, et frustra inutiliterque ploremus, tunc vitæ tempus male præteritum lugen-

[1] Act. xx, 31. [2] Matth. xiii, 23. [3] Tit. ii, 14.

(93) Editio Paris. et Basil. τοῦ αὐτοῦ ὅροι κατὰ πλάτος. Προοίμιον. Codex Voss. ὅροι κατὰ πλάτος. Προοίμιον. Codex Colb. τοῦ αὐτοῦ πρόλογος. Codex Combef. et alii duo cum editione Veneta τοῦ αὐτοῦ ὅροι κατὰ πλάτος. Coisl. primus τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας ὅροι πρὸς τοὺς κατὰ Θεὸν τὸ ἀσκεῖν προελομένους.

(94) Codex Colb. εὐσέβειαν συστησάμενοι. Statim codex Voss. et alii duo σωτηρίαν ἐπιθυμοῦντες. Mox Reg. primus τὸ δικαίωμα.

(95) Codex Voss. et Reg. primus ἐπιτήδειος. Nec ita multo post codex Colb. πᾶσαν τὴν ἀπό.

(96) Codex Voss. διὰ τῆς ἀγάπης τοῦ Πνεύματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ αὐτοῦ, καὶ τοῦ προσκυνητοῦ τῶν ἁμαρτιῶν ἡμῶν, corrupte. Habent quoque Reg. primus et Coisl. itidem primus διὰ τῆς ἀγάπης τοῦ Πνεύματος τοῦ Κυρίου. Codex Combef. et alii duo ut in contextu. Illud, τῶν ἁμαρτιῶν, deerat in utraque editione. Codex Colb. δόντος ἑαυτὸν εἰς θάνατον ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. Haud longe codex Colb. ἐπὶ τῇ ματαιότητι.

(97) Editio Paris. ταύτῃ ἐναπομείναντες. Libri veteres ita, ut in contextu videre licet.

tes, cum nihil amplius profuerit pœnitentibus. *Nunc tempus acceptabile*, inquit Apostolus, *nunc dies salutis*[4]. Hæc est pœnitentiæ ætas, illa remunerationis; hæc operæ et laboris, illa rependendæ mercedis; hæc tolerantiæ, illa solatii. Nunc Deus adjutor est eorum qui se a via mala convertunt : tunc horrendus et quem nullus fallet, humanarum actionum, verborumque et cogitationum inquisitor. Nunc experimur lenitatem, tunc justum judicium cognoscemus, cum videlicet resurrexerimus, alii ad supplicium æternum, alii ad vitam æternam, et unusquisque **328** secundum sua ipsius opera receperit. Quousque Christo, qui nos ad suum cœleste regnum vocavit, obsequi differimus? An non recipiemus nos ad bonam frugem? an non a consueta vivendi ratione revocabimus nos ad Evangelii integritatem? An non ob oculos nobis ponemus illam Domini metuendam ac conspicuam diem, in qua hos quidem qui ad Domini dexteram per sua opera accesserint, regnum cœlorum suscipiet, illos vero qui ob bonorum operum privationem ad sinistram dejecti fuerint, gehenna ignis et tenebræ æternæ involvent. *Illic*, inquit, *erit fletus et stridor dentium*[5].

A ἀποβληθῶμεν (98), ἀργὰ δὲ καὶ ἀνόνητα μεταχλαίωμεν, τὸν κακῶς παρεθέντα τοῦ βίου χρόνον ὀδυρόμενοι τότε, ὅτε πλέον οὐδὲν ἐξέσται τοῖς μεταμελομένοις. *Νῦν καιρὸς εὐπρόσδεκτος*, φησὶν ὁ Ἀπόστολος, *νῦν ἡμέρα σωτηρίας*. Οὗτος ὁ αἰὼν τῆς μετανοίας, ἐκεῖνος τῆς ἀνταποδόσεως (99)· οὗτος τῆς ὑπομονῆς, ἐκεῖνος τῆς παρακλήσεως. Νῦν βοηθὸς τῶν ἐπιστρεφόντων ἀπὸ ὁδοῦ κακῆς ὁ Θεὸς, τότε φοβερὸς καὶ ἀπαραλόγιστος τῶν ἀνθρωπίνων πραγμάτων τε καὶ ῥημάτων καὶ ἐνθυμημάτων (1) ἐξεταστής. Νῦν τῆς μακροθυμίας ἀπολαύομεν, τότε τὴν δικαιοκρισίαν γνωρίσομεν, ὅταν ἀναστῶμεν, οἱ μὲν εἰς κόλασιν αἰώνιον, οἱ δὲ εἰς ζωὴν αἰώνιον, καὶ ἀπολάβῃ ἕκαστος κατὰ τὴν πρᾶξιν αὐτοῦ. Πρὸς τίνα καιρὸν ὑπερτιθέμεθα τὴν ὑπακοὴν τοῦ Χριστοῦ, B τοῦ καλέσαντος ἡμᾶς εἰς τὴν ἐπουράνιον ἑαυτοῦ (2) βασιλείαν; Οὐκ ἐκνήψομεν; οὐκ ἀνακαλεσόμεθα ἑαυτοὺς ἀπὸ τοῦ κατὰ συνήθειαν βίου πρὸς τὴν ἀκρίβειαν τοῦ Εὐαγγελίου; Οὐκ ἐν ὀφθαλμοῖς ληψόμεθα τὴν ἡμέραν Κυρίου τὴν φοβερὰν ἐκείνην καὶ ἐπιφανῆ, ἐν ᾗ τοὺς μὲν τῇ δεξιᾷ τοῦ Κυρίου διὰ τῶν πράξεων προσεγγίζοντας βασιλεία οὐρανῶν ὑποδέξεται· τοὺς δὲ πρὸς τὴν ἀριστερὰν διὰ τὴν ἐρημίαν τῶν ἀγαθῶν ἔργων ἀπεωσμένους, γέεννα πυρὸς καὶ σκότος αἰώνιον κατακρύψει; *Ἐκεῖ* (3) *ἔσται*, φησὶν, *ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων*.

2. Atqui cœlorum quidem regnum concupiscere nos dicimus, et tamen de iis quibus comparari potest, nihil sumus solliciti : imo tametsi nullum pro conficiendo Domini mandato laborem subimus, nihilominus æquales honores ac præmia cum iis qui ad mortem usque peccato restiterint, recepturos nos esse præ mentis nostræ vanitate existimamus. Quis sementis tempore domi desidens, aut dormiens, instante messe manipulis sinum implevit? quis ex vinea a se non plantata nec exculta uvas legit? Illorum sunt fructus, quorum et labores : iis qui vicerint, præmia et coronæ tribuuntur. Quis unquam coronabit eum qui ne accinxit se quidem contra adversarium? quandoquidem non modo vincendum est, sed et legitime decertandum, juxta Apostolum[6]; hoc est, ne minimum quidem punctum ex iis quæ prescripta sunt, negligendum est : imo singula perficienda sunt ita, ut nobis præceptum est. *Beatus* enim, inquit, *servus quem cum venerit Dominus, invenerit*, non facientem utcunque, sed, *sic facientem*[7]. Item, *Si recte quidem obtuleris, recte autem non di-*

2. Ἡμεῖς δὲ βασιλείας μὲν οὐρανῶν ἐπιθυμεῖν λέγομεν, ἐξ ὧν δὲ ἔστιν αὐτῆς ἐπιτυχεῖν οὐ φροντίζομεν· ἀλλὰ μηδένα πόνον ὑπὲρ ἐντολῆς Κυρίου καC ταδεχόμενοι (4), τῶν ἴσων τιμῶν τεύξεσθαι τοῖς μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν ἀντικαταστᾶσιν ἐν τῇ ματαιότητι τοῦ νοὸς ἡμῶν ὑποτιθέμεθα. Τίς ἐν καιρῷ τῆς σπορᾶς οἴκοι (5) καθήμενος ἢ καθεύδων, ἐνστάντος τοῦ θερισμοῦ, τὸν κόλπον ἐπλήρωσε τῶν δραγμάτων; τίς ἐτρύγησεν ἀμπελῶνα τὸν μὴ παρ' αὐτοῦ πεφυτευμένον καὶ πεπονημένον (6); Ἐκείνων οἱ καρποὶ, ὧν καὶ οἱ πόνοι· αἱ τιμαὶ καὶ οἱ στέφανοι τῶν νενικηκότων εἰσί. Τίς ποτε (7) στεφανοῖ τὸν μηδὲ ἀποδύντα πρὸς τὸν ἀντίπαλον; ὁπότε οὐ νικῆσαι δεῖ μόνον, ἀλλὰ καὶ νομίμως ἀθλῆσαι, κατὰ τὸν Ἀπόστολον· τοῦτο δέ ἐστι τὸ μηδὲ μικρὸν μὲν παριέναι τι τῶν διατεταγμένων· οὕτω δὲ ἕκαστον ποιῆσαι, ὡς προστετάγμεθα. *Μακάριος* γὰρ, φησὶν, *ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ Κύριος εὑρήσει*, D οὐχὶ ποιοῦντα ὡς ἔτυχεν, ἀλλὰ *ποιοῦντα οὕτως*· καὶ, *Ἐὰν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες*. Ἡμεῖς δὲ, μίαν που τῶν ἐντολῶν

[4] II Cor. vi, 2. [5] Matth. xxv, 30. [6] II Tim. ii, 5. [7] Luc. xii, 43.

(98) Codex Colb. νυμφῶνος ἀποκείσθωμεν [ἀποκλεισθῶμεν?], sensu non dissimili. Mox codex Voss. τὸν κακῶς προσθέντα. Codex Colb. τὸν κακῶς περαιωθέντα. Reg. primus τὸν κακῶς παρελθόντα. Reg. tertius et Combef. cum utraque editione τὸν κακῶς παρεθέντα, ex quibus omnibus eadem plane sententia efficitur.

(99) Antiqui duo libri præter Voss. κἀκεῖνος τῆς μισθαποδοσίας.

(1) Ita edidimus ex veteribus quatuor libris. Utraque editio πραγμάτων καὶ ἐνθυμημάτων, quod mutilum erat et decurtatum.

(2) Antiqui tres libri ἐπουράνιον αὐτοῦ. Ibidem codex Colb. βασιλείαν καὶ δόξαν, *et ad gloriam*. Hoc ipse in loco idem liber πῶς ἐκνήψομεν.

(3) Codex Colb. Ἐκεῖ γάρ.

(4) Reg. primus ἐντολῆς Θεοῦ καταδεχόμενοι.

(5) Codex Colb. καιρῷ τῆς ὀπώρας ἐν οἴκῳ, *tempore autumnali*.

(6) Reg. primus et Voss. πεφυτευμένον καὶ πεπονημένον. Illud, καὶ πεπονημένον, in utraque editione desideratur.

(7) Vocula ποτε addita est ex antiquis duobus libris. Mox Reg. primus et codex Voss. κατὰ τὸν Παῦλον. Τοῦτο. Vocula τι quæ mox sequitur, deest quidem in vulgatis, sed in mss. tribus reperitur. Codex Voss. pro παριέναι, habet παρεῖναι.

πεποιηκέναι νομίσαντες (οὐ γὰρ ἂν φαίην, ὅτι ποιήσαντες· πᾶσαι γὰρ ἀλλήλων ἔχονται κατὰ τὸν ὑγιῆ τοῦ λόγου (8) σκοπὸν, ὡς ἐν τῇ λύσει τῆς μιᾶς καὶ τὰς λοιπὰς ἐξ ἀνάγκης συγκαταλύεσθαι), οὐχ ἐπὶ τοῖς παρεθεῖσι τὴν ὀργὴν ἐκδεχόμεθα, ἀλλ' ἐπὶ τῷ κατορθωθέντι δῆθεν τὰς τιμὰς ἀναμένομεν. Ὁ ἐκ τῶν δέκα ταλάντων τῆς παρακαταθήκης ἕν που ἢ δύο παρακατασχὼν, τὰ δὲ λοιπὰ ἀποτίσας, οὐχὶ εὐγνώμων διὰ τὴν τῶν πλειόνων ἀπότισιν (9) γνωρίζεται, ἀλλὰ ἄδικος καὶ πλεονέκτης ἐπὶ τῇ τῶν ἐλαττόνων ἀποστερήσει ἐλέγχεται. Τί δὲ λέγω ἀποστερήσει; ὁπότε ὁ (10) τὸ ἓν τάλαντον πιστευθεὶς, εἶτα ἀποδοὺς αὐτὸ ἐκεῖνο ὁλόκληρον καὶ ἀκέραιον ὃ ὑπεδέξατο, ὅτι μὴ προσειργάσατο τῷ δοθέντι, κατακρίνεται. Ὁ δέκα ἔτη τὸν πατέρα τιμήσας, μίαν δὲ πληγὴν ὕστερον ἐμβαλὼν μόνην, οὐχ ὡς εὐεργέτης B τιμᾶται, ἀλλ' ὡς πατραλοίας καταδικάζεται. *Πορευθέντες*, φησὶν ὁ Κύριος, *μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς*, οὐχὶ τὰ μὲν τηρεῖν, τῶν δὲ ἀμελεῖν, (11), ἀλλὰ *τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν*. Καὶ ὁ Ἀπόστολος ἀκολούθως γράφει· *Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι* (12). Εἰ γὰρ μὴ πάντα ἡμῖν πρὸς τὸν τῆς σωτηρίας σκοπὸν ἀναγκαῖα ἦν, οὐδ' ἂν ἐγράφησαν πᾶσαι αἱ ἐντολαὶ, οὐδ' ἂν πᾶσαι φυλαχθῆναι ἀναγκαίως διηγορεύθησαν. Τί μοι τὸ ὄφελος τῶν ἄλλων κατορθωμάτων, εἰ μέλλοιμι, μωρὸν εἰπὼν τὸν ἀδελφὸν, ἔνοχος ἔσεσθαι τῇ γεέννῃ; Τί γὰρ ὄφελος τῆς ἀπὸ τῶν πολλῶν ἐλευθερίας τῷ ὑφ' ἑνὸς κρατουμένῳ εἰς δουλείαν; *Ὁ γὰρ ποιῶν*, φησὶ, *τὴν* C *ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας*. Τί δὲ τὸ κέρδος τῆς ἐν πολλοῖς ἀπαθείας τῷ ὑφ' ἑνὸς πάθους φθειρομένῳ τὸ σῶμα;

A *viseris, peccasti*[8]. Nos vero si vel unicum mandatum confecisse nos arbitremur (neque enim confecisse dixerim : omnia siquidem inter se cohærent juxta sanam Scripturæ mentem, sic ut uno exsoluto necesse sit alia etiam simul exsolvi), non propter violata mandata iram exspectamus, sed propter mandatum peractum præmia præstolamur. Qui ex decem talentis sibi commissis unum aut alterum retinuerit, reliqua vero reddiderit, non ideo probus declaratur quod majorem partem persolverit, sed improbus et avarus esse convincitur ob hanc minoris partis direptionem. Quid autem dico direptionem? quandoquidem cui concreditum fuerat talentum unum, etiamsi deinde illud ipsum quod acceperat, totum ac integrum reddidisset, tamen propterea quod tradito talento nihil addidit, condemnatur. Qui per decennium patrem honoravit, **329** et postea unam duntaxat plagam incussit, non ut bene de illo meritus, honore afficitur, sed condemnatur ut parricida. *Euntes*, inquit Dominus, *docete omnes gentes, docentes ipsos*, non hæc quidem observare, illa vero negligere, sed, *servare omnia quæcunque mandavi vobis*[9]. Et Apostolus ratione non dissimili scribit : *Nullam in ulla re dantes offensionem, ut ne vituperetur ministerium, sed in omnibus exhibeamus nosmetipsos sicut Dei ministros*[10]. Etenim si non omnia essent necessaria ad salutis propositum, non utique omnia mandata fuissent conscripta : neque fuisset sancitum, ut necessario servarentur omnia. Ecquid mihi proderunt cætera recte facta, si propterea quod fratrem fatuum appellavero, sim gehennæ addicendus? Quam enim utilitatem percipit qui a multis liber est, si vel uno redigitur in servitutem? *Qui* enim, inquit, *facit peccatum, servus est peccati*[11]. Quid etiam cuiquam prodest multorum morborum esse expertem, si ipsius corpus vel ab uno morbo corrumpitur?

3. Ἆρα οὖν, φησί τις (13), τὰ πλήθη τῶν Χριστιανῶν μὴ φυλάσσοντα πάσας τὰς ἐντολὰς, ἀνόνητον ἕξει τήν τινων φυλακήν; Πρὸς τοῦτο τοῦ μακαρίου Πέτρου μνημονεῦσαι καλὸν, τοῦ μετὰ τοσαῦτα μὲν κατορθώματα, τοιούτους δὲ τοὺς μακαρισμοὺς, ἐφ' ἑνὶ μόνῳ (14) ἀκούοντος· *Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ*. Ἐῶ δὲ λέγειν, ὅτι οὐδὲ αὐτὸ ἐκεῖνο ῥᾳθυμίας οὐδὲ καταφρονήσεως εἶχεν ἔνδειξιν, ἀλλὰ D τιμῆς καὶ εὐλαβείας ἦν ἔμφασις. Καὶ μὴν, εἴποι τις ἂν, γέγραπται· *Πᾶς ὃς ἂν* (15) *ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται*· ὥστε ἀρκεῖ καὶ αὐτὴ ἡ ἐπίκλησις τοῦ ὀνόματος τοῦ Κυρίου σῶσαι τὸν ἐπι-

3. Ergo, inquiet aliquis, Christiani permulti qui omnia non servant præcepta, inutiliter et sine fructu aliqua custodient? Ad hoc juvat meminisse beati Petri, qui postquam tam multa præclare gesserat, taliterque beatus fuerat prædicatus, ob unum duntaxat erratum audivit : *Si non lavero te, non habebis partem mecum*[12]. Omitto autem dicere, neque segnitiem neque contemptum, ea re indicari, sed ostendi honorem, atque reverentiam in Dominum suam. Sed dicet aliquis : Scriptum est : *Quisquis invocaverit nomen Domini, salvus erit*[13], sicut ei qui invocaverit, satis sit ipsa nominis Domini invoca-

[8] Gen. IV, 7, sec. LXX. [9] Matth. XXVIII, 19, 20. [10] II Cor. VI, 3, 4. [11] Joan. VIII, 34. [12] Joan. XIII, 8. [13] Joel II, 32.

(8) Editio Ven. et quatuor mss. præter Voss. ὑγιῆ τοῦ σκοποῦ λόγον. Editio Paris. et Basil. ut in contextu.

(9) Utraque editio et duo mss. πλειόνων ἐκπλήρωσιν. Reg. primus et Colb. et Voss. πλειόνων ἀπότισιν, rectius.

(10) Codex Colb. ὁπότε καὶ ὁ. Aliquanto post idem mss. ὕστερον ἐγκαλούμενος μόνην.

(11) Utraque editio et Reg. secundus τῶν ἄλλων ἀμελεῖν· sed vocem ἄλλων delevi, fidem antiquorum trium librorum secutus.

(12) Codex Colb. Θεοῦ διακόνους.

13 Reg. tertius φήσει τις.

(14) Codex Colb. ἐφ' ἓν μόνον. Statim editi αὐτῷ ἐκείνῳ. At mss. tres αὐτὸ ἐκεῖνο. Ibidem pro οὐδὲ legitur ἢ in tribus codicibus.

(15) Vocula *ἂν* addita est ex antiquis tribus libris. Nec ita multo post utraque editio τὸν καλούμενον. At mss. tres præter Voss. τὸν ἐπικαλούμενον, melius.

tio ad salutem adipiscendam. Verum audiat et ille Apostolum dicentem : *Quomodo ergo invocabunt, in quem non crediderunt*[14]? Quod si credis, audi Dominum qui ait : *Non omnis qui dicit mihi, Domine, Domine, intrabit in regnum cœlorum : sed qui facit voluntatem Patris mei, qui in cœlis est*[15]. Nam certe qui Domini voluntatem facit, non ita tamen ut Deus vult, neque hoc ex affectu amoris erga Deum peragit, is operi perficiendo frustra studium impertit, juxta vocem ipsius Domini nostri Jesu Christi, qui dicit : *Faciunt, ut videantur ab hominibus : amen dico vobis, receperunt mercedem suam*[16]. Unde Paulus apostolus edoctus est dicere : *Etiamsi distribuero in cibos pauperum omnes facultates meas, et si tradidero corpus meum, ut comburar, charitatem autem non habuero, nihil mihi prodest*[17]. In summa autem tria hæc ego video animi discrimina, quibus ex inevitabili quadam necessitate ad obediendum compellimur. Aut enim supplicii metu a malo declinamus, versamurque in affectu servili ; aut mercedis fructus requirentes, ob nostram ipsorum utilitatem mandata explemus, et hoc pacto mercenariis efficimur similes ; aut ob ipsum honestum, charitatemque erga legislatorem nostrum, gaudentes quod digni simus habiti, qui tam glorioso ac bono Deo serviamus, et ita **330** demum ut filii afficimur. Neque igitur is qui in timore perficit mandata, semperque desidiæ pœnam suspectam habet, alia quidem quæ sibi præcepta fuerint, exsequetur, alia vero negliget : sed omnis inobedientiæ vindictam sibi ex æquo metuendam suspicabitur. Et idcirco beatus prædicatur qui veretur omnia ob metum[18] : stat autem firmus in veritate, cum possit dicere : *Providebam Dominum in conspectu meo semper, quoniam a dextris est mihi, ne commovear*[19] : qui scilicet nihil eorum quæ ad officium pertineant, prætermittere velit. Et, *Beatus vir, qui timet Dominum.* Quam ob causam ? Quia *In mandatis ejus volet nimis*[20]. Itaque timentium non est aliquid ex iis quæ præcepta fuerint, præterire, aut negligenter exsequi : imo ne mercenarius quidem quidquam eorum, quæ præscripta sint, violare volet. Quomodo enim præmium feret ob vineæ culturam, si pacta omnia non servaverit ? Etenim si vel unum ex iis quæ necessaria exstiterint, defuerit, inutilem ipsam possessori reddidit. Ecquis præterea detrimenti mercedem persolvat injuriæ actori ? Tertium ministerium erat ob charitatem præstitum. Quis igitur

A καλούμενον. Ἀλλ' ἀκουέτω καὶ οὗτος τοῦ Ἀποστόλου λέγοντος· *Πῶς οὖν ἐπικαλέσονται, εἰς ὃν οὐκ ἐπίστευσαν;* Εἰ δὲ πιστεύεις, ἄκουε τοῦ Κυρίου (16) λέγοντος· *Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.* Ὅπου γε καὶ ὁ τὸ θέλημα τοῦ Κυρίου (17) ἐργαζόμενος, μὴ καθὼς θέλει δὲ ὁ Θεὸς, μηδὲ ἐν διαθέσει τῆς πρὸς Θεὸν ἀγάπης τοῦτο ποιῶν, ἀνόνητον ἔχει τὴν τοῦ ἔργου σπουδὴν, κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰπόντος, ὅτι *Ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν.* Ὅθεν Παῦλος ὁ ἀπόστολος ἐπαιδεύθη εἰπεῖν, ὅτι *Κἂν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου* (18), *καὶ ἐὰν* B *παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.* Ὅλως δὲ τρεῖς ταύτας ἐγὼ διαφορὰς τῆς διαθέσεως πρὸς τὴν ἀπαραίτητον ἀνάγκην τῆς ὑπακοῆς καθορῶ. Ἢ γὰρ φοβούμενοι τὰς κολάσεις ἐκκλίνομεν ἀπὸ τοῦ κακοῦ (19), καί ἐσμεν ἐν τῇ διαθέσει τῇ δουλικῇ· ἢ, τὰ ἐκ τοῦ μισθοῦ κέρδη διώκοντες, τῆς ἑαυτῶν ἕνεκεν ὠφελείας πληροῦμεν τὰ προστάγματα, καὶ κατὰ τοῦτο προσεοίκαμεν τοῖς μισθίοις· ἢ δι' αὐτὸ τὸ καλὸν, καὶ τὴν πρὸς τὸν δεδωκότα ἡμῖν τὸν νόμον ἀγάπην, χαίροντες, ὅτι οὕτως ἐνδόξῳ καὶ ἀγαθῷ Θεῷ δουλεύειν κατηξιώθημεν, καί ἐσμεν οὕτως ἐν τῇ τῶν υἱῶν διαθέσει. Οὔτε οὖν ὁ ἐν φόβῳ τὰς ἐντολὰς κατορθῶν, καὶ ἀεὶ τὸ τῆς ῥᾳθυμίας ἐπιτίμιον ὑφορώμενος, τὰ μὲν ποιήσει C τῶν προστεταγμένων αὐτῷ, τὰ δὲ παρόψεται· ἀλλὰ τὴν ἐπὶ πάσῃ παρακοῇ ἐκδίκησιν ὁμοίως ἑαυτῷ φοβερὰν ὑπολήψεται. Καὶ διὰ τοῦτο μακαρίζεται μὲν ὁ πάντα καταπτήσσων (20) δι' εὐλάβειαν· στήκει δὲ ἑδραῖος ἐν τῇ ἀληθείᾳ, δυνάμενος εἰπεῖν· *Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ·* ὡς οὐδὲν αἱρούμενος παριδεῖν τῶν δεόντων· καὶ, *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.* Διὰ τί; Ὅτι *Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.* Οὐ τοίνυν ἐστὶ τῶν φοβουμένων τὸ παριέναι τι τῶν ἐντεταλμένων, ἢ ἀμελῶς ποιεῖν· ἀλλ' οὐδὲ ὁ μισθωτὸς παραβῆναί τι τῶν διατεταγμένων αἱρήσεται. Πῶς γὰρ κομίσεται τὸν μισθὸν τῆς ἐργασίας τοῦ ἀμπελῶνος, μὴ πάντα πληρώσας τὰ συμπεφωνημένα; Καὶ γὰρ D ἐὰν ἕν τι ἐλλείπῃ τῶν ἀναγκαίων, ἄχρηστον αὐτὸν τῷ κεκτημένῳ κατέστησε (21). Τίς οὖν ἔτι τῆς βλάβης (22) μισθὸν ὑποτελέσει τῷ ἀδικήσαντι; Τρίτον ἦν ἡ κατὰ ἀγάπην ὑπηρεσία. Τίς οὖν υἱὸς, σκοπὸν

[14] Rom. x, 14. [15] Matth. vii, 21. [16] Matth. vi, 5. [17] I Cor. xiii, 3. [18] Prov. xxviii, 14. [19] Psal. xv. 8. [20] Psal. cxi, 1.

(16) Reg. primus et Voss Κυρίου, et Coisl. primus κράζοντος, *clamantem*.

(17) Reg. duo mss. θέλημα τοῦ Θεοῦ. Aliquanto post Reg. primus τὴν τούτου σπουδήν.

(18) Codex Colb. ὑπάρχοντά μοι.

(19) Idem mss. ἀπὸ τῶν κακῶν. Haud longe Reg. primus πληροῦμεν τὰ προστεταγμένα.

(20) Edidiones veteres καταπτύσσων. Codex Colb. καταπτύων. Regii primus et tertius cum Coisl. primo καταπτήσσων, nec aliter legitur apud LXX. Velim autem hic intelligas timorem filio dignum, cui scilicet admisceatur amor.

(21) Editiones veteres et duo mss. τῷ κεκτημένῳ κατέλιπεν. Codex Voss. et Colb. et Reg. primus et Coisl. itidem primus κατέστησε. Nec ita multo post Reg. primus μισθοὺς ὑποτελεῖ.

(22) Legendum ἔτι μενούσης τῆς βλάβης, ut in sermone 7 Symeonis Logothetæ, p. 512 : *Ecquis igitur adhuc manente detrimento mercedem persolvat injuriæ auctori?*

ἔχων τὴν τοῦ πατρὸς εὐαρέστησιν, ἐπὶ τοῖς μείζοσιν αὐτὸν εὐφραίνων, τῶν μικροτάτων ἕνεκεν λυπεῖν αἱρήσεται; Πολὺ δὲ πλέον, καὶ τοῦ Ἀποστόλου μεμνημένος (23), εἰπόντος· *Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε.*

4. Οἱ τοίνυν τὰς πλείστας τῶν ἐντολῶν παραβαίνοντες ἐν ποίῳ μέρει τετάχθαι βούλονται; μήτε ὡς (24) Πατρὶ ὑπηρετοῦντες τῷ Θεῷ, μήτε ὡς μεγάλα ἐπαγγελλομένῳ πειθόμενοι, μήτε ὡς Δεσπότῃ δουλεύοντες. *Εἰ γὰρ Πατήρ εἰμι*, φησίν, *ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ Κύριός εἰμι ἐγώ, ποῦ ἐστιν ὁ φόβος μου* (25); *Ὁ μὲν γὰρ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα· διὰ δὲ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεόν*, φησίν, *ἀτιμάζεις*. Πῶς οὖν, τὸν καθ' ἡδονὴν βίον τοῦ κατ' ἐντολὴν προτιμήσαντες, ζωῆς μακαριότητα, καὶ ἰσοπολιτείαν (26) τῶν ἁγίων, καὶ τὰς μετ' ἀγγέλων εὐφροσύνας ἐν προσώπῳ Χριστοῦ ἑαυτοῖς ὑποθώμεθα; Νηπίας ὄντως φρενὸς (27) τὰ τοιαῦτα φαντάσματα. Πῶς ἔσομαι μετὰ Ἰώβ, ὁ μηδὲ τὴν τυχοῦσαν θλῖψιν μετὰ εὐχαριστίας δεξάμενος; Πῶς μετὰ τοῦ Δαβίδ, ὁ μὴ πρὸς τὸν πολέμιον μακροθύμως διατεθείς; Πῶς μετὰ τοῦ Δανιὴλ, ὁ μὴ μετ' ἐγκρατείας διηνεκοῦς καὶ δεήσεως φιλοπόνου τὸν Θεὸν ἐκζητήσας; Πῶς μεθ' ἑκάστου τῶν ἁγίων, ὁ μὴ τοῖς ἴχνεσιν αὐτῶν περιπατήσας; Τίς οὕτως ἄκριτος ἀθλοθέτης, ὡς τῶν (28) ἴσων ἀξιῶσαι στεφάνων τὸν νικητὴν καὶ τὸν μηδὲν ἠγωνισμένον; Τίς στρατηγὸς εἰς τὴν μερίδα τῶν σκύλων ἐξ ἴσου ποτὲ τοῖς νενικηκόσι τοὺς μηδὲ φανέντας ἐπὶ τῆς μάχης ἐκάλεσεν; Ἀγαθὸς ὁ Θεός, ἀλλὰ καὶ δίκαιος. Δικαίου δέ, ἡ πρὸς ἀξίαν ἀντίδοσις, καθὼς γέγραπται· *Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν*. Ἐλεήμων, ἀλλὰ (29) καὶ κριτής. *Ἀγαπᾷ* γάρ, φησίν, *ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος*. Διὸ λέγει· *Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε*. Ἐμάθομεν ἐπὶ (30) τίνας τὸ ἔλεος· *Μακάριοι* γάρ, φησίν, *οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται*. Ὁρᾷς πῶς κεχριμένως κέχρηται τῷ ἐλέῳ; οὔτε ἀκρίτως ἐλεῶν, οὔτε ἀνηλεῶς κρίνων. *Ἐλεήμων γὰρ ὁ Κύριος, καὶ δίκαιος*. Μὴ οὖν ἐξ ἡμισείας τὸν Θεὸν γνωρίζωμεν (31), μηδὲ ἀφορμὴν ῥᾳθυμίας τὴν αὐτοῦ φιλανθρωπίαν λαμβάνωμεν. Διὰ τοῦτο βρονταί, διὰ τοῦτο κεραυνοί, ἵνα μὴ καταφρονῆται ἡ ἀγαθότης. Ὁ τὸν ἥλιον ἀνατέλλων, καὶ ἀβλεψίαν καταδικάζει (32). Ὁ τὸν ὄμβρον διδούς,

A filius, cujus is scopus sit, ut complaceat patri, ipsum in rebus majoribus exhilaratum, tristitia ob rei minoris momenti afficere volet? Quod etiam multo magis præstabit, si meminerit Apostoli, qui dicit: *Et nolite contristare Spiritum sanctum Dei, in quo signati estis*[21].

4. Qui igitur maximam violant mandatorum partem, quo in numero collocari cupiunt? qui neque Deum ut Patrem obsequiis colant, neque ei tanquam magna pollicenti habeant fidem, neque ut Domino serviant. *Si enim*, inquit, *Pater sum ego, ubi est gloria mea? et si Dominus sum ego, ubi est timor meus*[22]? *Qui* enim *timet Dominum, in mandatis ejus volet nimis*[23]. Ait vero, *Per prævaricationem legis Deum inhonoras*[24]. Quomodo igitur si vitam

B voluptariam vitæ quæ juxta mandata degitur anteponamus, vitæ beatitudinem, et civitatis cum sanctis jus æquale, et cum angelis gaudia in Christi conspectu nobis pollicemur? Est animi vere stolidi, talia comminisci. Quomodo cum Job ero, qui ne levissimam quidem calamitatem cum gratiarum actione pertulerim? Quomodo cum Davide, qui leniter me non gesserim cum adversario? Quomodo cum Daniele, qui assidua abstinentia et sedula precatione Deum non exquisierim? Quomodo cum singulis quibusvis sanctis, qui illorum vestigia secutus non sim? Quis certaminum arbiter ita judicii expers est, ut victorem et eum qui non decertavit, paribus coronis dignos esse censeat? Quis imperator iis qui

C vicerint, et iis qui ne comparuerint quidem in pugna, distribuit unquam æqualem spoliorum partem? Deus quidem bonus est, sed est quoque justus. Remunerat autem justus pro merito, sicut scriptum est: *Benefac, Domine, bonis, et rectis corde. Declinantes autem in obligationes, adducet Dominus* **331** *cum operantibus iniquitatem*[25]. Misericors quidem est, sed et judex. *Diligit* enim, inquit, *misericordiam et judicium Dominus*[26]. Eam ob causam dicit: *Misericordiam et judicium cantabo tibi, Domine*[27]. Didicimus quinam sint, quorum misereatur. *Beati* enim, inquit, *misericordes, quoniam ipsi misericordiam consequentur*[28]. Vides quam considerate utatur misericordia? Neque citra judicium misericors est, neque judicat citra misericordiam. *Misericors* enim

D *Dominus, et justus*[29]. Ne igitur dimidia ex parte Deum cognoscamus, neque ipsius benignitas ignaviæ nobis occasio sit. Ideo tonitrua, ideo fulmina, ut ne contemnatur bonitas. Qui efficit ut sol oria-

[21] Ephes. IV, 30. [22] Malac. I, 6. [23] Psal. CXI, 1. [24] Rom. II, 23. [25] Psal. CXXIV, 4, 5. [26] Psal. XXXII, 5. [27] Psal. C, 1. [28] Matth. V, 7. [29] Psal. CXIV, 5.

(23) Codex Colbert. πλέον τοῦ Ἀποστόλου μεμνημένοι. Statim idem mss. ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.

(24) Voculam ὡς addidimus ex antiquis quatuor libris et ex editione Veneta

(25) Codex Voss. et Reg. primus Εἰ γὰρ Πατὴρ ἐγώ εἰμι, φησί, ποῦ ἐστιν ὁ φόβος μου; καὶ εἰ Κύριός εἰμι, ποῦ ἐστιν ἡ δόξα μου;

(26) Codex Colb. ἴσην πολιτείαν. Reg. tertius ἰσοτιμίαν, *parem cum sanctis dignitatem*.

(27) Codex Colb. νηπίων ὄντως φρενῶν.

(28) Editiones veteres ὅς τῶν. Antiqui quatuor libri ὡς τῶν.

(29) Codex Colb. ἐλεήμων ὁ Θεός, ἀλλά.

(30) Editi et duo mss. Ἐμάθομεν ἐπί. Reg. primus Ἔμαθες ἐπί. Codex Colb. Ἔμαθες δὲ ἐπί. Qui duo codices habent notam interrogationis post vocem ἔλεος.

(31) Reg. primus ἐξ ἡμισείας τὸν Κύριον γνωρίζωμεν.

(32) Codex Colb. καταδικάζων... πῦρ βρέχων.

tur[30], ipse etiam cæcitate multat[31]. Qui imbrem dat[32] A etiam ignem pluit[33]. Illa clementiam, hæc severitatem indicant : aut propter illa diligamus, aut propter hæc timeamus, ne nobis quoque dicatur : *An divitias bonitatis ejus, et patientiæ, et longanimitatis contemnis, ignorans quod benignitas Dei ad pœnitentiam te ducit? Secundum autem duritiam tuam, et impœnitens cor, thesaurizas tibi iram in die iræ*[34]. Quoniam igitur neque salvi esse possunt, qui opera ex Dei præcepto conficienda non egerint, neque absque periculo quidquam eorum quæ imperata fuerint, prætermittitur (ingens enim arrogantia est constitui nos legislatoris judices, et alias quidem leges comprobare, alias vero rejicere), agedum nos qui in pietatis palæstram venimus, quique vitam quietam et a negotiis remotam, tanquam ad custo- B dienda Evangelii dogmata adjutricem sumus amplexi, communem curam consiliumve adhibeamus, ne quod præceptum nos effugiat. Etenim si Dei hominem oportet perfectum esse, sicut scriptum est, et uti doctrina superius tradita docuit, prorsus necesse est eum in quovis mandato perfici et absolvi ad mensuram ætatis plenitudinis Christi[35], quando etiam ex divina lege animal quod mutilatum sit, etiamsi fuerit mundum, Deo ad sacrificium acceptum non est. Quamobrem quod sibi quisque deesse putarit, id in communi examinandum proponito. Nam quod latet, adhibita ex pluribus diligenti perscrutatione, facilius inveniri poterit, Deo videlicet, uti pollicitus est Dominus noster Jesus Christus[36], C nobis rei quæ quæritur inveniendæ auctore, ex sancti Spiritus doctrina atque admonitione. Quemadmodum igitur mihi necessitas incumbit, et væ mihi est, si non evangelizavero[37] : ita et vobis æquale impendet periculum, si segniter inquisiveritis, aut ad ea quæ tradita sunt observanda et reipsa conficienda languidius ac remissius affecti fueritis. Quapropter Dominus dicit : **332** *Sermo quem locutus sum, ille judicabit eum novissimo die*[38]. Item : *Servus qui non cognovit voluntatem Domini sui, et fecit digna plagis, vapulabit paucis : qui vero novit, et non fecit, neque paravit se ad voluntatem ejus, vapulabit multis*[39]. Precemur igitur, ut ego inculpate dispensem sermonem; vos vero utiliter doctrinam excipiatis. Tanquam ergo, qui sciamus divinæ Scri- D pturæ verba in nostro conspectu ante Christi tribunal sistenda esse (*Arguam* enim *te*, inquit, *et sta-*

καὶ τὸ πῦρ βρέχει. Ἐκεῖνα τῆς χρηστότητος, ταῦτα τῆς ἀποτομίας· ἢ δι' ἐκεῖνα ἀγαπήσωμεν, ἢ διὰ ταῦτα φοβηθῶμεν, ἵνα μὴ ῥηθῇ καὶ ἡμῖν· *Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς.* Ἐπεὶ τοίνυν οὔτε δυνατὸν σωθῆναι, μὴ ποιοῦντας τὰ κατ' ἐντολὴν τοῦ Θεοῦ ἔργα, οὔτε τὸ παριδεῖν τι τῶν προστεταγμένων ἀκίνδυνον (δεινὴ γὰρ ἡ ἔπαρσις κριτὰς ἡμᾶς τοῦ νομοθέτου καθέζεσθαι, καὶ τοὺς μὲν ἐγκρίνειν τῶν νόμων, τοὺς δὲ παραπέμπεσθαι), φέρε δὴ οἱ τῆς εὐσεβείας ἀγωνισταὶ, οἱ τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον, ὡς συνεργὸν τῆς φυλακῆς τῶν εὐαγγελικῶν δογμάτων τιμήσαντες, κοινὴν φροντίδα καὶ βουλὴν προθώμεθα, ὅπως ἂν μηδὲν ἡμᾶς διαφύγῃ (33) τῶν ἐντεταλμένων. Εἰ γὰρ δεῖ τέλειον εἶναι τὸν τοῦ Θεοῦ ἄνθρωπον (καθὼς γέγραπται, καὶ ὁ λόγος ἐν τοῖς πρὸ τούτων ἀπέδειξεν), ἀνάγκη πᾶσα διὰ πάσης ἐντολῆς καθαρισθῆναι εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἐπεὶ καὶ (34) κατὰ τὸν θεῖον νόμον, κἂν καθαρὸν ᾖ τὸ λελωβημένον, ἀπρόσδεκτον εἰς θυσίαν τῷ Θεῷ. Οὗπερ ἂν οὖν ἕκαστος ἐνδεῶς ἔχειν ἡγῆται, τοῦτο εἰς κοινὴν προτιθέτω διάσκεψιν. Ῥᾷον γὰρ ἂν ἐν τῇ φιλοπόνῳ τῶν πλειόνων διερευνήσει τὸ λανθάνον ἐξευρεθείη, Θεοῦ, δηλονότι, κατὰ τὴν ἐπαγγελίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, χαριζομένου ἡμῖν τοῦ ζητουμένου τὴν εὕρεσιν διδασκαλίᾳ καὶ ὑπομνήσει τοῦ ἁγίου Πνεύματος. Ὥσπερ οὖν ἐμοὶ ἀνάγκη ἐπίκειται, καὶ οὐαί μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι· οὕτω καὶ ὑμῖν ἴσος ἀγὼν (35) ἀποῤῥαθυμήσασι πρὸς τὴν ἐξέτασιν, ἢ ἀτόνως καὶ ἐκλελυμένως πρός τε τὴν φυλακὴν τῶν παραδεδομένων καὶ τὴν διὰ τῶν ἔργων πλήρωσιν διατεθεῖσιν. Διότι φησὶν ὁ Κύριος· *Ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ*· καὶ, *Δοῦλος ὁ μὲν μὴ γνοὺς τὸ θέλημα τοῦ Κυρίου ἑαυτοῦ* (36), *ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας· ὁ δὲ γνοὺς, καὶ μὴ ποιήσας, μηδὲ ἑτοιμάσας ἑαυτὸν πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς.* Εὐξώμεθα οὖν ἐμοὶ τὴν οἰκονομίαν τοῦ (37) λόγου ἄμεμπτον, καὶ ὑμῖν ἔγκαρπον τὴν διδασκαλίαν γενέσθαι. Ὡς οὖν εἰδότες, ὅτι ἀντιπρόσωποι ἡμῖν οἱ τῆς θεοπνεύστου Γραφῆς λόγοι στήσονται ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ (*Ἐλέγξω γάρ σε*, φησὶ, *καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου*),

[30] Matth. v, 45. [31] IV Reg. vi, 18. [32] Zach. x, 1. [33] Gen. xix, 24. [34] Rom. ii, 4, 5. [35] Ephes. iv, 13. [36] Joan. xiv, 26. [37] I Cor. ix, 16. [38] Joan. xii, 48. [39] Luc. xii, 47.

(33) Codex Colb. ἡμᾶς διαφύγοι. Mox idem ms. λόγος ἐν τοῖς ἔμπροσθεν ὑπέδειξεν. Reg. primus in cæteris quidem consentit cum eo quem mox indicavi libro : sed pro ὑπέδειξεν habet ἀπέδειξεν.

(34) Editi Ἐπεὶ δὲ καί. Sed vocula δέ in veteribus quatuor libris non legitur. Statim editiones veteres et duo mss. Οὗπερ ἂν οὖν. Alii duo mss. ὅπερ ἄν. Subinde Reg. primus εἰς κοινὴν διάσκεψιν προθέτω.

(35) Reg. primus ὑμῖν ὁ ἀγὼν ἴσος. Mox editi et duo mss. τῶν παραδιδομένων. Alii duo τῶν παραδεδομένων.

(36) Vox ἑαυτοῦ addita est ex codice Vossii et ex Reg. primo. Ex iisdem codicibus addidimus vocem ἑαυτόν, post illud, ἑτοιμάσας.

(37) Codex Voss. et Colb. τὴν διακονίαν τοῦ, sensu haud absimili. Statim editi et Reg. secundus ἀντιπρόσωπον ἡμῖν. Alii tres mss. ἀντιπρόσωποι ἡμῖν, rectius.

οὕτω καὶ πρόσχωμεν νηφόντως τοῖς λεγομένοις, καὶ A εἰς ἔργον προαγαγεῖν τὰ θεῖα διδάγματα (38) σπουδαίως ἐπειχθῶμεν, ὅτι οὐκ οἴδαμεν ποίᾳ ἡμέρᾳ ἢ ὥρᾳ ὁ Κύριος ἡμῶν ἔρχεται.

tuam contra faciem tuam peccata tua [40]), ita et iis quæ dicuntur attendamus diligenter, et sedulam divinis monitis exsequendis operam demus, quandoquidem ignoramus qua die aut hora Dominus noster venturus sit[41].

ΚΕΦΑΛΑΙΑ ΤΩΝ ΚΑΤΑ ΠΛΑΤΟΣ ΟΡΩΝ (39).

α' Περὶ τάξεως καὶ ἀκολουθίας τῆς ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου.

β' Περὶ τῆς πρὸς Θεὸν ἀγάπης, καὶ ὅτι κατὰ φύσιν ἐν ἀνθρώποις ἡ πρὸς τὰς ἐντολὰς τοῦ Κυρίου ῥοπὴ καὶ δύναμις.

γ' Περὶ τῆς τῶν πλησίον ἀγάπης.

δ' Περὶ φόβου Θεοῦ.

ε' Περὶ τοῦ κατὰ διάνοιαν ἀμετεωρίστου.

ς' Ὅτι ἀναγκαῖον τὸ ἰδιάζειν.

ζ' Περὶ τοῦ δεῖν τοῖς ὁμόφροσι πρὸς τὸν σκοπὸν τῆς πρὸς Θεὸν εὐαρεστήσεως συζῇν· καὶ ὅτι δύσκολον ὁμοῦ καὶ ἐπικίνδυνον τὸ μονάζειν.

η' Περὶ ἀποταγῆς.

θ' Περὶ τοῦ μὴ δεῖν τοῖς κατὰ σάρκα οἰκείοις προσαφιέναι τὰ ἑαυτῷ διαφέροντα.

ι' Περὶ τοῦ τίνας δεῖ τῶν προσιόντων τῇ κατὰ Θεὸν ζωῇ προσδέχεσθαι, καὶ πότε, ἢ πῶς.

ια' Περὶ δούλων.

ιβ' Ὅπως χρὴ τοὺς ἐν συζυγίᾳ προσδέχεσθαι.

ιγ' Ὅτι χρήσιμον τοῖς εἰσαγομένοις καὶ τὸ διὰ σιωπῆς γυμνάσιον.

ιδ' Περὶ τῶν ἑαυτοὺς τῷ Θεῷ καθομολογησαμένων, εἶτα τὴν ὁμολογίαν ἀθετεῖν ἐπιχειρούντων.

ιε' Περι παίδων προσλήψεως καὶ ἀγωγῆς, καὶ περὶ ὁμολογίας παρθένων.

ις' Περὶ ἐγκρατείας.

ιζ' Ὅτι δεῖ καὶ γέλωτος ἐγκρατῶς ἔχειν.

ιη' Ὅτι δεῖ πάντων τῶν παρατιθεμένων ἡμῖν ἀπογεύεσθαι.

ιθ' Τί τὸ μέτρον τῆς ἐγκρατείας.

κ' Τίς ὁ τρόπος τῆς ἐν βρώμασι δεξιώσεως.

κα' Πῶς δεῖ περὶ τὰς καθέδρας καὶ τὰς κατακλίσεις ἐν τῷ καιρῷ τῶν ἀρίστων ἢ δείπνων ἔχειν.

κβ' Τί τὸ πρέπον ἔνδυμα Χριστιανῷ.

κγ' Περὶ τῆς ζώνης.

κδ' Περὶ τοῦ τρόπου τῆς μετ' ἀλλήλων διαγωγῆς.

κε' Ὅτι φοβερὸν τὸ κρῖμα τῷ προεστῶτι μὴ ἐλέγχοντι τοὺς ἁμαρτάνοντας.

CAPITA REGULARUM FUSIUS TRACTATARUM.

1 De ordine et serie mandatorum Domini.

2 De charitate adversus Deum, et quod propensio et vis secundum naturam insint hominibus ad exsequenda Domini præcepta.

3 De charitate erga proximos.

4 De timore Dei.

B 5 De continua mentis attentione.

6 Quod necesse sit in secessu vitam degere.

7 Quod vita agenda sit cum iis qui eodem animo impulsi Deo placere sibi proponunt : et quod difficile simulque periculosum fuerit solitarium vivere.

8 De renuntiatione.

9 Quod non oporteat quemquam suis consanguineis suas facultates relinquere.

10 Quinam ex iis qui ad vitam secundum Deum agendam accedunt sint admittendi, et quando, aut quomodo.

11 De servis.

12 Quomodo oporteat conjugatos admittere.

13 Quod etiam utilis est iis qui introducuntur silentii exercitatio.

C 14 De iis qui seipsos Deo voverunt, et deinde professionem suam irritam facere conantur.

15 De pueris suscipiendis et instituendis : item de virginum professione.

16 De continentia.

17 Quod oportet etiam a risu abstinere.

18 Quod omnia quæ nobis apponuntur, sunt degustanda

19 Qui modus sit in continentia servandus.

20 Quis sit modus excipiendi ad cibum sumendum

21 Quomodo oporteat se gerere inter sedendum et accumbendum in tempore prandiorum aut cœnarum.

D 22 **333** Quodnam vestimentum conveniat Christiano.

23 De zona.

24 De modo, quo vivere debeant inter se.

25 Quod præfectus qui peccantes non arguit, horrendum subiturus est judicium.

[40] Psal. XLIX, 21. [41] Matth. XXIV, 42.

(38) Editiones veteres θεῖα δόγματα. Codex Voss. et alii quatuor θεῖα διδάγματα. Mox Reg. primus καὶ ὥρᾳ.

(39) Editiones veteres Κεφάλαια τῶν κατὰ πλάτος ὅρων, ἢ ἐπερωτημάτων ἀσκητῶν, καὶ ἀποκρίσεων τοῦ ἁγίου Βασιλείου. *Capita regularum fusius tractatarum, sive quæstionum ab ascetis propositarum, una cum responsionibus sancti Basilii.* Reg. primus πίναξ τῶν ἀσκητικῶν ἐρωτημάτων, *Tabula asceticarum interrogationum.* Codex Colb. ἐρωτήματα ἀσκητῶν, ἀποκρίσεις τοῦ ἁγίου Βασιλείου, *Interrogationes ascetarum, et responsiones sancti Basilii* : quo in libro omissa est tabula. Regii primus et tertius Κεφάλαια τῶν κατὰ πλάτος ὅρων, *Capita regularum fusius tractatarum.* Coisl. primus simplicissime ἐπερωτήματα ἀσκητῶν, *interrogationes ascetarum.* Alter Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου ἀρχὴ τῶν διὰ πλάτους ἐπερωτήσεων, *Sancti Patris nostri Basilii initium interrogationum fusius propositarum* : quo in codice perinde ut in Colbertino nulla est tabula.

26 Quod omnia, etiam cordis arcana, sint præposito detegenda.

27 Quod ipse quoque præfectus, si quando aberret, ab iis qui inter fratres primas obtinent, sit admonendus.

28 Quomodo oporteat affici omnes erga immorigerum, et inobsequentem.

29 De eo qui cum elatione animi aut murmuratione laborat.

30 Cujusmodi affectu debeat præpositus curam fratrum suscipere.

31 Quod accipiendum est ministerium a præposito impositum.

32 Quomodo oporteat affici erga eos qui nobis sanguine conjunguntur.

33 Quis sit modus colloquendi cum sororibus.

34 Quales illos esse par sit, qui inter fratres res necessarias dispensant.

35 Num in eodem pago constituendi sint plures fratrum conventus.

36 De iis qui a fratrum cœtu secedunt.

37 Si precum et psalmodiæ obtentu et nomine negligenda sint opera: item quæ tempora precationi sint apta, et primo an operandum sit.

38 Cujusmodi artes professioni nostræ congruant.

39 Quæ ratio tenenda sit in operibus divendendis, quæve in peregrinando.

40 De negotiationibus quæ fieri solent in celebrationibus.

41 De imperio et de obedientia.

42 Quo animo, et quo affectu operari debeant qui operantur.

43 Quales conveniat esse præfectos, et quomodo conventum gubernare debeant.

44 Quibus permittendæ sunt peregrinationes, et quomodo ipsi posteaquam reversi sunt, interrogandi sint et examinandi.

45 Quod post præfectum etiam aliquis alius constituendus est qui, eo absente aut occupato, fratrum curam possit suscipere.

46 Quod quisquam neque fratris peccatum, neque suum ipsius celare debeat.

47 De iis qui non comprobant quæ a præposito assignata sunt.

48 Quod curiose inquirendum non est in præfecti administrationem ac gubernationem: sed oportet suo quemque operi attendere.

49 De controversiis quæ interdum oriuntur **334** inter fratres.

50 Quænam debeat esse præpositi objurgatio.

51 Quomodo corrigendum sit delinquentis peccatum.

52 Quo animo pœnæ quæ imponuntur, sint perferendæ.

A κϛ' Περὶ τοῦ πάντα καὶ τὰ κρυπτὰ τῆς καρδίας ἀνατίθεσθαι τῷ προεστῶτι.

κζ' Ὅτι δεῖ καὶ τὸν προεστῶτα ὑπομιμνήσκεσθαι παρὰ τῶν προεχόντων ἐν τῇ ἀδελφότητι, εἴ ποτε (40) σφαλῇ.

κη' Πῶς χρὴ διακεῖσθαι τοὺς πάντας περὶ τὸν ἀπειθῆ.

κθ' Περὶ τοῦ μετὰ ἐπάρσεως ἢ γογγυσμοῦ ἐργαζομένου.

λ' Ποταπῇ διαθέσει χρὴ τῶν ἀδελφῶν ἐπιμελεῖσθαι τὸν προεστῶτα.

λα' Ὅτι δεῖ καταδέχεσθαι τὴν παρὰ τοῦ προεστῶτος ὑπηρεσίαν.

λβ' Πῶς δεῖ πρὸς τοὺς κατὰ σάρκα οἰκείους διακεῖσθαι.

B λγ' Τίς ὁ τρόπος τῆς πρὸς ἀδελφὸν συντυχίας.

λδ' Ποταποὺς χρὴ εἶναι τοὺς τὰ πρὸς τὴν χρείαν οἰκονομοῦντας ἐν τῇ ἀδελφότητι.

λε' Εἰ χρὴ ἐν τῇ αὐτῇ κώμῃ πλείονας ἀδελφότητας συγκροτεῖσθαι

λϛ' Περὶ τῶν ἀναχωρούντων ἀπὸ ἀδελφότητος.

λζ' Εἰ δεῖ προφάσει τῶν προσευχῶν καὶ τῆς ψαλμῳδίας ἀμελεῖν τῶν ἔργων, καὶ ποῖοι καιροὶ τῆς προσευχῆς ἐπιτήδειοι, καὶ πρῶτον εἰ χρὴ ἐργάζεσθαι.

λη' Ποῖαι τέχναι τῷ ἐπαγγέλματι ἡμῶν ἁρμόζουσιν.

λθ' Πῶς χρὴ ποιεῖσθαι τῶν ἐκ τῆς ἐργασίας τὴν διάπρασιν, καὶ πῶς ἀποδημεῖν.

C μ' Περὶ τῶν ἐν ταῖς συνόδοις πραγματειῶν.

μα' Περὶ αὐθεντίας καὶ ὑπακοῆς.

μβ' Ποίῳ σκοπῷ καὶ ποίᾳ διαθέσει ἐργάζεσθαι δεῖ τοὺς ἐργαζομένους.

μγ' Ὁποίους εἶναι χρὴ τοὺς προεστῶτας, καὶ πῶς ἄγειν τοὺς συνόντας.

μδ' Τίσιν ἐπιτρέπειν χρὴ τὰς ἀποδημίας, καὶ πῶς ἐπανιόντας αὐτοὺς ἀνακρίνειν.

με' Ὅτι χρὴ μετὰ τὸν προεστῶτα καὶ ἄλλον εἶναί τινα τὸν δυνάμενον ἐν ἀπουσίᾳ ἢ ἀσχολίᾳ ἐκείνου τῶν ἀδελφῶν ἐπιμελεῖσθαι.

μϛ' Περὶ τοῦ μὴ συγκρύπτειν ἁμάρτημα ἀδελφῷ, ἢ ἑαυτῷ.

D μζ' Περὶ τῶν μὴ καταδεχομένων τὰ παρὰ τοῦ προεστῶτος τυπούμενα.

μη' Ὅτι οὐ δεῖ περιεργάζεσθαι τὰς οἰκονομίας τοῦ προεστῶτος, τῷ δὲ ἰδίῳ προσέχειν ἔργῳ.

μθ' Περὶ τῶν ἀμφισβητουμένων ἐν τῇ ἀδελφότητι.

ν Πῶς χρὴ ἐπιτιμᾷν τὸν προεστῶτα.

να' Πῶς δεῖ διορθοῦσθαι τὸ πλημμέλημα τοῦ ἡμαρτηκότος.

νβ' Μετὰ ποίας διαθέσεως καταδέχεσθαι δεῖ τὰ ἐπιτίμια.

(40) Reg. tertius προεχόντων ἐν τῇ συνοδίᾳ, εἴ ποτε.

νγ' Πῶς οἱ τῶν τεχνῶν διδάσκαλοι διορθώσονται τοὺς παῖδας πταίοντας (41).

νδ' Περὶ τοῦ τοὺς προεστῶτας τῆς ἀδελφότητος ἀλλήλοις τὰ καθ' ἑαυτοὺς ἀνατίθεσθαι.

νε' Εἰ τοῖς ἐκ τῆς ἰατρικῆς κεχρῆσθαι κατὰ σκοπόν ἐστι τῆς εὐσεβείας.

A

53 Quomodo artium magistri correcturi sint delinquentes pueros.

54 Quod conventui præfecti negotia ad se spectantia debeant aliis communicare.

55 An sit consentaneum pietatis proposito, medicina uti.

(41) Vox πταίοντας deest in editione Veneta et in Reg. secundo.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΣΙΛΕΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ

ΟΡΟΙ ΚΑΤΑ ΠΛΑΤΟΣ

ΚΑΤ' ΕΡΩΤΗΣΙΝ ΚΑΙ ΑΠΟΚΡΙΣΙΝ (42).

S. P. N. BASILII

CÆSAREÆ CAPPADOCIÆ ARCHIEPISCOPI

REGULÆ FUSIUS TRACTATÆ

PER INTERROGATIONES ET RESPONSIONES TRADITÆ.

ΕΡΩΤΗΣΙΣ Α'.

Περὶ τάξεως καὶ ἀκολουθίας τῆς ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου (43).

Ἐπειδὴ ἔδωκεν ἡμῖν ὁ λόγος (44) ἐξουσίαν τοῦ ἐπερωτᾷν, πρῶτον πάντων διδαχθῆναι δεόμεθα, εἰ τάξις τίς ἐστι καὶ ἀκολουθία ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ, ὥστε τὴν μὲν εἶναι πρώτην, τὴν δὲ δευτέραν, καὶ καθεξῆς· ἢ πᾶσαι ἀλλήλων ἔχονται, καὶ πᾶσαι ἀλλήλαις ὁμότιμοι πρὸς τὸν τῆς ἀρχῆς λόγον τυγχάνουσιν, ὡς ἄδειαν εἶναι (45) τῷ βουλομένῳ, καθάπερ ἐν κύκλῳ, ἀρχὴν λαμβάνειν ὁπόθεν βούλεται.

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ ἐρώτημα ὑμῶν ἀρχαῖόν ἐστι, καὶ πάλαι προεκδεδομένον ἐν τοῖς Εὐαγγελίοις, ἡνίκα προσελ- C

B

335 INTERROGATIO I.

De ordine et serie mandatorum Domini.

Quandoquidem interrogandi potestatem dedit nobis Scriptura, ante omnia edoceri postulamus, num ordo aliquis sit et series in Dei mandatis, ita ut aliud sit primum, aliud secundum, et sic deinceps: aut omnia inter se cohæreant, omniaque quantum ad principatus rationem attinet, inter se sint æqualia, sic ut secure possit quivis auspicari, unde velit, tanquam in circulo aliquo.

RESPONSIO.

Vetus est quæstio vestra, et jam olim in Evangeliis proposita, cum legisperitus qui ad Dominum

(42) Titulus nullus est in Regiis secundo et tertio. Reg. primus ἐπερωτήματα ἀσκητῶν, *interrogationes ascetarum*. Itidem Coisl. primus ἐπερωτήσεις ἀσκητῶν.

(43) Hic quasi titulus: Περὶ τάξεως καὶ ἀκολουθίας, etc., aliique similes, non reperiuntur quidem in veteribus libris: quoniam tamen ea edita invenimus, nihil censuimus mutandum: eo magis, quod rebus lucem aliquam afferre videantur.

(44) Quod ait Combefisius, vocem λόγος obscuram esse, de eo mihi longe aliter videtur. Aperte enim significat sacram Scripturam. Basilius igitur, cum ita scriberet, procul dubio respexit ad aliquem Scripturæ locum, exempli causa ad caput XXXI *Deuteronomii*, ubi ita legitur versu 7: *Interroga patrem tuum, et annuntiabit tibi: majores tuos, et dicent tibi.* Mox codex Voss. et Reg. primus πάντων διαλεχθῆναι. — *Ἐπειδὴ ἔδωκεν ἡμῖν ὁ λόγος ἐξουσίαν τοῦ ἐπερωτᾷν.* Verte: *Quandoquidem dedit nobis sermo tuus interrogandi potestatem.* Supra enim eos hortatur Basilius ut id faciant, nempe sub finem Prologi. MARAN.

(45) Editi et unus ms. ἀδείας εἶναι. Alii tres mss. præter Voss. ἄδειαν εἶναι.

accesserat, dixit : *Magister, quod est mandatum primum in lege? et Dominus respondit : Diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota anima tua, et ex totis viribus tuis, et ex tota mente tua. Hoc est primum et magnum mandatum. Secundum autem simile illud est : Diliges proximum tuum sicut teipsum* [42]. Ipse igitur Dominus in ordinem sua distribuit mandata. Primum quidem et maximum mandatum ad Dei dilectionem spectare
336 pronuntiavit; illud vero quod pertinet ad proximi dilectionem, primo illi simile, seu potius quod expleat primum, et ab eo dependeat, secundum ordine posuit. Quamobrem ex dictis, et ex aliis similibus, quæ in divinis Scripturis proferuntur, ordo ac series omnium Domini mandatorum deprehendi ac intelligi potest.

A θὼν τῷ Κυρίῳ ὁ νομικὸς, *Διδάσκαλε*, φησὶ, *ποία πρώτη ἐν τῷ νόμῳ ἐστὶν ἐντολή; Καὶ ὁ Κύριος ἀπεκρίνατο* (46)· *Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου* (47), *καὶ ἐξ ὅλης τῆς διανοίας σου. Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία αὕτη· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.* Αὐτὸς οὖν ἐπέθηκε ταῖς ἑαυτοῦ ἐντολαῖς τὴν τάξιν ὁ Κύριος· πρώτην μὲν καὶ μεγίστην περὶ τῆς εἰς τὸν Θεὸν ἀγάπης τὴν ἐντολὴν ὁρισάμενος· δευτέραν δὲ τῇ τάξει, καὶ ὁμοίαν ἐκείνῃ, μᾶλλον δὲ συμπληρωτικὴν τῆς προτέρας, καὶ ἐξ αὐτῆς ἠρτημένην, τὴν περὶ τοῦ ἀγαπᾷν τὸν πλησίον· ὥστε ἐκ τῶν εἰρημένων, καὶ ἐξ ἑτέρων δὲ τοιούτων, ἐν ταῖς θεοπνεύστοις
B Γραφαῖς φερομένων, τὴν ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ Κυρίου τάξιν τε καὶ ἀκολουθίαν ἔστι καταμαθεῖν (48).

INTERROGATIO II.

De charitate adversus Deum, et quod propensio et vis secundum naturam insint hominibus ad exsequenda Domini præcepta.

Itaque de Dei dilectione primum ad nos loquere. Nam audivimus quidem Deum esse diligendum, sed quomodo id præstari possit, discere exoptamus.

ΕΡΩΤΗΣΙΣ Β'.

Περὶ τῆς πρὸς Θεὸν ἀγάπης, καὶ ὅτι κατὰ φύσιν ἐν ἀνθρώποις ἡ πρὸς τὰς ἐντολὰς τοῦ Κυρίου ῥοπὴ καὶ δύναμις.

Οὐκοῦν περὶ τῆς εἰς Θεὸν ἀγάπης πρῶτον ἡμῖν διαλέχθητι. Ὅτι μὲν γὰρ χρὴ ἀγαπᾷν, ἀκηκόαμεν· πῶς δ' ἂν τοῦτο κατορθωθείη, μαθεῖν ἐπιζητοῦμεν.

RESPONSIO.

1. Sane Dei dilectio non in doctrinæ præceptis posita est. Neque enim ab alio didicimus luce gaudere, et vitam desiderare, neque parentes diligere, aut nutritores. Sic igitur, aut etiam multo magis, non in externa disciplina situs est Dei amor : sed simul atque constitit animal illud (hominem dico), vis quædam rationis in seminis modum insita nobis fuit, quæ intra se amandi facultatem atque necessitudinem continet. Quam vim ubi schola divinorum præceptorum excepit, eam excolere diligenter, et scite nutrire, atque Deo juvante ad perfectionem perducere consuevit. Quamobrem et nos studium vestrum tanquam scopo attingendo necessarium comprobantes, Deo largiente, vobisque per preces vestras nos adjuvantibus, scintillam divini amoris intra vos reconditam pro data nobis a Spiritu sancto facultate, suscitare conabimur. Sciendum autem est hanc unam quidem virtutem esse, sed tamen ejus vi et efficacia mandatum quodvis perfici ac comprehendi. *Qui enim diligit me*, inquit Dominus, *mandata mea servabit* [43]. Et rursus : *In his duobus mandatis universa lex et prophetæ pen-*

ΑΠΟΚΡΙΣΙΣ.

1. Ἀδίδακτος μὲν ἡ πρὸς τὸν Θεὸν ἀγάπη. Οὔτε γὰρ φωτὶ χαίρειν, καὶ ζωῆς ἀντιποιεῖσθαι παρ' ἄλλου
C μεμαθήκαμεν, οὔτε τὸ ἀγαπᾷν τοὺς τεκόντας ἢ θρεψαμένους ἕτερος ἐδίδαξεν. Οὕτως οὖν, ἢ καὶ πολὺ (49) μᾶλλον τοῦ θείου πόθου οὐκ ἔξωθέν ἐστιν ἡ μάθησις· ἀλλ' ὁμοῦ τῇ συστάσει τοῦ ζώου τοῦ ἀνθρώπου φημὶ (50), σπερματικός τις λόγος ἡμῖν ἐγκαταβέβληται, οἴκοθεν ἔχων τὰς ἀφορμὰς τῆς πρὸς τὸ ἀγαπᾷν οἰκειώσεως. Ὅνπερ τὸ διδασκαλεῖον τῶν ἐντολῶν τοῦ Θεοῦ παραλαβὸν (51), γεωργεῖν μετ' ἐπιμελείας, καὶ ἐκτρέφειν μετ' ἐπιστήμης, καὶ εἰς τελείωσιν ἄγειν Θεοῦ χάριτι πέφυκεν. Διὸ καὶ ἡμεῖς, τὴν σπουδὴν ὑμῶν ὡς ἀναγκαίαν τῷ σκοπῷ ἀποδεξάμενοι, Θεοῦ διδόντος, καὶ ὑμῶν ἐν ταῖς προσευχαῖς συναντιλαμβανομένων ἡμῖν, τὸν ἐγκεκρυμμένον ὑμῖν σπινθῆρα τοῦ θείου πόθου κατὰ τὴν ἐνδεδομένην (52) ἡμῖν διὰ τοῦ Πνεύματος δύναμιν διεγεῖραι σπουδά-
D σομεν. Εἰδέναι μέντοι χρὴ, ὅτι τοῦτο ἓν μὲν ἔστι τὸ κατόρθωμα· δυνάμει δὲ πάσης ἐνεργητικὸν καὶ περιεκτικόν (53) ἐστιν ἐντολῆς. *Ὁ γὰρ ἀγαπῶν με*, φησὶν ὁ Κύριος, *τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσει*· καὶ πάλιν, ὅτι *Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς*

[42] Matth. XXII, 36-39. [43] Joan. XIV, 23.

(46) Codex Voss. et Colb. et Reg. primus Κύριος ἀποκρίνεται.

(47) Editio Paris. τῆς δυνάμεώς σου. Editio Ven. et codex Combef. cum aliis tribus τῆς ἰσχύος σου. Nec ita multo post editi et tres mss. ὁμοία αὐτῆς. Coisl. secundus ὁμοία ταύτης. Coisl. primus ὁμοία αὐτῇ. Reg. primus ὁμοία αὕτη. Subinde Colb. καὶ ὁμοίαν ἐκείνης.

(48) Editi μαθεῖν. Codex Voss. et alii duo καταμαθεῖν.

(49) Vocem πολύ ex mss. multis addidimus.

(50) Antiqui duo libri φημὶ δή. Ibidem codex Voss. λόγος τις. Codex Colb. τις ὁ λόγος.

(51) Editiones Basil. et Paris. Θεοῦ παραλαβών, corrupte. Editio Ven. et tres mss. παραλαβόν, emendate. Ibidem codex Colb. παραλαβὼν, οὐδὲν ἕτερον ἢ γεωργεῖν.

(52) Codex Voss. et Colb. τὴν διδομένην. Hoc ipso in loco iidem mss. παρὰ τοῦ Πνεύματος.

(53) Codex Colb. ἐνεονητικὸν καὶ ποιητικόν.

ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Καὶ A οὐχὶ νῦν δι' ἀκριβείας ἐφοδεύειν τὸν λόγον ἐπιχειρήσομεν (οὕτω γὰρ ἂν λάθοιμεν πάντα τὸν περὶ ἐντολῶν λόγον ἐπικυκλοῦντες τῷ μέρει), ἀλλ' ὅσον σύμμετρον ἡμῖν καὶ οἰκεῖον τῷ παρόντι σκοπῷ, ὑπομνήσομεν ὑμᾶς περὶ τῆς ὀφειλομένης τῷ Θεῷ παρ' ἡμῶν ἀγάπης, ἐκεῖνο πρότερον εἰπόντες, ὅτι πασῶν τῶν δοθεισῶν ἡμῖν ἐντολῶν παρὰ Θεοῦ, τούτων καὶ τὰς δυνάμεις παρ' αὐτοῦ προειλήφαμεν, ἵνα μήτε δυσχεραίνωμεν, ὥς τι καινότερον ἀπαιτούμενοι, μήτε ἐπαιρώμεθα, ὡς πλέον τι τοῦ δεδομένου συνεισφερόμενοι. Καὶ διὰ τούτων τῶν δυνάμεων, ὀρθῶς μὲν καὶ προσηκόντως ἐνεργοῦντες, τὸν κατ' ἀρετὴν εὐσεβῶς συμπληροῦμεν βίον· παραφθείροντες δὲ αὐτῶν τὴν ἐνέργειαν, πρὸς τὴν κακίαν ὑποφερόμεθα. Καὶ B ἔστιν οὗτος κακίας ὅρος, ἡ πονηρὰ, καὶ παρ' ἐντολὴν τοῦ Κυρίου (54) χρῆσις τῶν ἐπ' ἀγαθῷ παρὰ τοῦ Θεοῦ δεδομένων ἡμῖν· ὥσπερ οὖν, τῆς παρὰ Θεοῦ ἐπιζητουμένης ἀρετῆς, ἡ ἐξ ἀγαθοῦ τοῦ συνειδότος κατ' ἐντολὴν τοῦ Κυρίου χρῆσις αὐτῶν. Τούτου δὲ οὕτως ἔχοντος, τὸ αὐτὸ καὶ (55) περὶ τῆς ἀγάπης ἐροῦμεν. Ἐντολὴν τοίνυν λαβόντες ἀγαπᾷν τὸν Θεὸν, τὴν ἀγαπητικὴν δύναμιν εὐθὺς τῇ πρώτῃ κατασκευῇ συγκαταβληθεῖσαν κεκτήμεθα· καὶ ἡ ἀπόδειξις οὐκ ἔξωθεν, ἀλλ' αὐτὸς ἄν τις τοῦτο παρ' ἑαυτοῦ καὶ ἐν ἑαυτῷ καταμάθοι. Τῶν τε γὰρ καλῶν ἐσμεν ἐπιθυμητικοὶ φυσικῶς (56), εἰ καὶ ὅτι μάλιστα ἄλλῳ ἄλλο φαίνεται καλόν· καὶ στοργὴν πρὸς τὸ οἰκεῖον καὶ συγγενὲς ἔχομεν ἀδιδάκτως, καὶ τοῖς εὐεργέταις C ἑκουσίως πᾶσαν εὔνοιαν ἐκπληροῦμεν (57). Τί οὖν κάλλους θείου θαυμασιώτερον; Τίς ἔννοια τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας χαριεστέρα; Ποῖος πόθος ψυχῆς οὕτω δριμὺς καὶ ἀφόρητος, ὡς ὁ ἀπὸ Θεοῦ ἐγγινόμενος τῇ ἀπὸ πάσης κακίας κεκαθαρμένῃ ψυχῇ, καὶ ἀπὸ ἀληθινῆς διαθέσεως λεγούσῃ, ὅτι *Τετρωμένη ἀγάπης ἐγώ εἰμι;* Ἄῤῥητοι παντελῶς καὶ ἀνεκδιήγητοι τοῦ θείου κάλλους αἱ ἀστραπαί· οὐ παρίστησι λόγος, οὐ δέχεται ἀκοή. Κἂν ἑωσφόρου αὐγὰς εἴπῃς, κἂν σελήνης λαμπρότητα, κἂν ἡλίου φῶς, πάντα ἄτιμα πρὸς εἰκασίαν τῆς δόξης, καὶ πλέον ἀπολειπόμενα (58) πρὸς τὴν τοῦ ἀληθινοῦ φωτὸς σύγκρισιν, ἢ καθόσον βαθεῖα νὺξ, καὶ στυγνὴ σκοτομήνη μεσημβρίας καθαρωτάτης. Τοῦτο τὸ κάλλος σαρκίνοις μὲν ὀφθαλμοῖς ἀθεώρητον, ψυχῇ δὲ μόνῃ καὶ διανοίᾳ D καταληπτὸν (59), εἴπου τινα περιέλαμψε τῶν ἁγίων, καὶ ἀφόρητον τοῦ πόθου τὸ κέντρον αὐτοῖς ἐγκατέλιπεν, οἳ ἀλύοντες πρὸς τὴν ἐνταῦθα ζωὴν ἔλεγον· *Οἴ μοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη. Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;* καὶ τὸ, *Ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖσσον·* καὶ τὸ, *Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα·* καὶ, *Νῦν ἀπο-*

dent [44]. Nunc autem accuratum sermonem instruere non aggrediemur, cum ita imprudentes omnem sermonem ad mandata spectantem in parte concluderemus, sed pro modulo nostro, et quantum proposito præsenti convenit, vos de ea quam Deo debemus charitate commonebimus: si prius illud dixerimus, nos omnium mandatorum quæ a Deo nobis tradita sunt, conficiendorum vim et facultatem ab eo in antecessum accepisse, ut neque ægre feramus, perinde quasi insolens aliquid a nobis exigatur, neque efferamur, tanquam qui aliquid amplius quam quod datum est rependamus. Et cum his viribus recte et apte utimur, vitam virtutibus ornatam pie traducimus: **337** corrupto vero illarum usu, in vitium delabimur. Atque hæc est vitii definitio, facultatum, quæ ad bonum perficiendum nobis a Deo datæ sunt, usus malus, et a Domini præceptis alienus: quemadmodum contra, virtutis, quam Deus requirit, usus earumdem ex bona conscientia proficiscens secundum Domini mandatum. Quod cum ita sit, idem de charitate dicturi sumus. Cum igitur de diligendo Deo mandatum acceperimus, statim a prima nostra constitutione insitam possedimus diligendi vim ac facultatem: neque ejus rei demonstratio ab externis argumentis petitur, sed quivis ipse a seipso et in seipso illud ediscere potest. Quippe bonas res ac pulchras naturaliter appetimus, quanquam ut primum aliud alii videtur pulchrum et bonum; itemque necessitudine et propinquitate conjunctum amamus licet indocti, et nostra sponte beneficos omni benevolentia complectimur. Ecquid, quæso, divina pulchritudine admirabilius? Quæ cogitatio magnificentia Dei gratior est et suavior? Quale animi desiderium tam vehemens est et violentum, quam illud quod a Deo ingeneratur animæ vitio omni purgatæ, et dicenti ex vero affectu: *Vulnerata charitatis ego sum* [45]? Ineffabiles omnino sunt et inenarrabiles divinæ pulchritudinis fulgores: non eas detegit oratio, non excipit auris. Etsi luciferi splendores dixeris, et lunæ claritatem, et solis lumen, omnia præ illius gloria vilia sunt et obscura, atque cum vera luce comparata, magis distant ab illa, quam profunda tristisque ac illunis nox a clarissima meridie dissidet. Pulchritudo hæc carneis quidem oculis conspici non potest; sed a sola anima ac mente apprehenditur. Ea si quando quempiam sanctorum illustravit, statim intolerandum in ipsis reliquit desiderii stimulum: quippe qui præsentis vitæ pertæsi dicebant: *Heu mihi, quia incolatus meus prolongatus est* [46]. *Quando veniam et apparebo ante faciem Dei* [47]? Item illud: *Dissolvi et esse cum*

[44] Matth. XXII, 40. [45] Cant. II, 5. [46] Psal. CXIX, 5. [47] Psal. XLI, 3.

(54) Editi et duo mss. ἐντολὴν τοῦ Χριστοῦ. Alii duo ἐντολὴν τοῦ Κυρίου.

(55) Vocula καὶ addita est ex veteribus quatuor libris.

(56) Reg. primus ἐσμὲν ἐπιθυμηταὶ φυσικῶς.

(57) Codex Colb. ἔννοιαν ἀποπληροῦμεν. Haud longe idem liber δριμὺς καὶ φορητός.

(58) Codex Colb. καὶ πλέον ἀπολιμπανόμενα. Mox Reg. tertius ἢ ὅσον.

(59) Codex Voss. et Colb. et Reg. primus διανοίᾳ θεωρητόν, eadem plane sententia. Mox duo mss. κέντρον αὐτῷ.

Christo multo longeque melius[48]. Illud quoque : *Sitivit anima mea ad Deum fortem vivum*[49]. Et : *Nunc dimittis servum tuum, Domine*[50]. Cum enim hanc vitam veluti carcerem ægre ferrent, ita demum eorum impetus contineri vix poterat, quorum scilicet animas divinum desiderium attigisset. Qui cum inexplebili contemplandæ divinæ pulchritudinis cupiditate flagrarent, illud precabantur, ut contemplatio jucunditatis Domini ad æternam omnem vitam sese extenderet. Sic igitur concupiscunt naturaliter homines res bonas ac honestas. Quod autem proprie pulchrum est et amabile, bonum est. Jam vero bonus est Deus : bonum autem appetunt omnia : Deum igitur omnia appetunt.

A *λύεις τὸν δοῦλόν σου, Δέσποτα*. Ὡς δεσμωτήριον τὴν ζωὴν ταύτην βαρυνόμενοι (60), οὕτω δυσκάθεκτοι ἦσαν ταῖς ὁρμαῖς, ὧν ὁ θεῖος πόθος τῶν ψυχῶν ἥψατο. Οἵ γε, διὰ τὸ ἀκορέστως ἔχειν τῆς θεωρίας τοῦ θείου κάλλους, εὐχὴν ἐποιοῦντο πάσῃ τῇ αἰωνίᾳ ζωῇ συμπαρεκτείνεσθαι τὴν θεωρίαν τῆς τερπνότητος τοῦ Κυρίου. Οὕτω μὲν οὖν φυσικῶς ἐπιθυμητικοὶ (61) τῶν καλῶν οἱ ἄνθρωποι. Κυρίως δὲ καλὸν καὶ ἀγαπητὸν τὸ ἀγαθόν. Ἀγαθὸς δὲ ὁ Θεός· ἀγαθοῦ δὲ πάντα ἐφίεται· Θεοῦ ἄρα πάντα ἐφίεται.

2. Quare quidquid voluntate nostra recte perficitur, inest nobis etiam naturaliter, si saltem cogitationes nostras non perverterit nequitia. Itaque Dei amor ceu necessarium debitum a nobis reposcitur, cujus privatio animæ est malorum omnium gravissimum. Nam abalienatio **338** et aversio a Deo malum est futuris etiam gehennæ suppliciis intolerabilius, eique cui contingit, gravius, non secus ac oculo luminis privatio, etiamsi dolor non adsit, et animali, ademptio vitæ. Quod si liberi amant naturaliter parentes, declaret autem hoc et brutorum animalium habitus, et hominum in prima ætate erga matres affectus, non videamur rationis magis expertes quam parvuli, neque bestiis agrestiores, quasi sine ullo amore erga Conditorem nostrum, et ab ipso abalienati : quem etiamsi ex ejus bonitate non nosceremus qualis sit, tamen ob id solum quod ab eo conditi sumus, diligere et amare quam maxime deberemus, perpetuoque de ejus memoria non aliter pendere, quam de matrum suarum ulnis pueruli soleant. Inter eos autem qui naturæ ductu diliguntur, primas tenet qui bene de nobis meritus est. Atque hæc affectio non hominum modo propria est, sed eis etiam cum omnibus fere animantibus communis est, ut videlicet boni cujusvis accepti auctores benevolentia prosequantur. *Cognovit*, inquit, *bos possessorem, et asinus præsepe domini sui*[51]. Absit autem ut de nobis dicantur quæ sequuntur, nimirum, *Israel autem me non cognovit, et populus me non intellexit*[52]. Nam de cane compluribusque ejusmodi aliis animalibus, quid attinet dicere quantam ostendant suis nutritoribus benevolentiam? Quod si erga eos

2. Ὥστε τὸ ἐκ προαιρέσεως κατορθούμενον καὶ φυσικῶς ἡμῖν ἐνυπάρχει, τοῖς γε μὴ ἐκ πονηρίας τοὺς λογισμοὺς διαστραφεῖσιν (62). Ἀναγκαῖον οὖν ὄφλημα τὴν εἰς Θεὸν ἀγάπην ἀπαιτούμεθα, ὃ τῇ B ἐλλειπούσῃ ψυχῇ πάντων κακῶν ἐστιν ἀφορητότατον. Θεοῦ γὰρ ἀλλοτρίωσις καὶ ἀποστροφὴ καὶ τῶν ἐν γεέννῃ προσδοκωμένων κολάσεων ἀφορητότερόν ἐστι, καὶ βαρύτερον τῷ παθόντι, ὡς ὀφθαλμῷ φωτὸς στέρησις, κἂν μὴ ὀδύνη προσῇ, καὶ τῷ ζώῳ τοῦ ζῆν. Εἰ δὲ καὶ τοῖς γεννήσασι φυσικὴ στοργὴ παρὰ τῶν γεννηθέντων ὑπάρχει (63), καὶ δηλοῖ τοῦτό τε ἡ τῶν ἀλόγων σχέσις, καὶ ἡ τῶν ἀνθρώπων παρὰ τὴν πρώτην ἡλικίαν πρὸς τὰς μητέρας διάθεσις, μὴ φανῶμεν ἀλογώτεροι τῶν νηπίων, μηδὲ τῶν θηρίων ἀγριώτεροι, ἀστόργως καὶ ἀλλοτρίως πρὸς τὸν ποιήσαντα ἡμᾶς διακείμενοι· ὃν εἰ καὶ μὴ ἐκ τῆς ἀγαθότητος ὁποῖός ἐστιν (64) ἠπιστάμεθα, ἐξ αὐτοῦ μόνου τοῦ παρ' αὐτοῦ γεγενῆσθαι ἀγαπᾷν καὶ στέργειν C ὑπερβαλλόντως ὀφείλομεν, καὶ ἀποκρέμασθαι τῆς μνήμης αὐτοῦ διηνεκῶς, καθάπερ τῶν μητέρων τὰ νήπια. Κρείττων δὲ (65) τῶν φυσικῶς ἀγαπωμένων ὁ εὐεργέτης. Καὶ τοῦτο οὐκ ἀνθρώπων ἴδιόν ἐστι μόνον, ἀλλὰ καὶ πάντων σχεδὸν ζώων πάθος, ἡ πρὸς τοὺς ἀγαθόν τι δεδωκότας οἰκείωσις. *Ἔγνω*, φησὶ, *βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ*. Ἀπείη δὲ λεχθῆναι περὶ ἡμῶν τὰ ἑξῆς· ὅτι *Ἰσραὴλ δέ* (66) *με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκε*. Περὶ γὰρ κυνὸς, καὶ πολλῶν ἄλλων τοιούτων, τί χρὴ καὶ λέγειν, ὅσην πρὸς τοὺς τρέφοντας τὴν εὔνοιαν ἐπιδείκνυνται; Εἰ δὲ τὴν πρὸς τοὺς εὐεργέτας εὔνοιαν καὶ τὸ φίλτρον φυσικῶς αἱρούμεθα, καὶ πάντα πόνον εἰς ἀντίδοσιν τῶν προγενομένων ἡμῖν ὑπομένομεν (67), τίς λόγος ἀξίως ἐφικέ-

[48] Philipp. I, 23. [49] Psal. XLI, 3. [50] Luc. II, 29. [51] Isa. I, 3. [52] ibid.

(60) Codex Voss. et alii duo τὴν ἐνταῦθα ζωὴν βαρυνόμενοι.

(61) Illud, φυσικῶς ἐπιθυμητικοί, etc., intelligendum est hoc modo : ita natura hominum comparata est, ut ex se quidem feratur ad bonum concupiscendum : sed tamen ne hoc quidem fit sine auxilio Dei. Mox codex Colb. καὶ ἀγαπητικὸν τὸ ἀγαθόν.

(62) Codex Voss. et Reg. primus τοῦ λογισμοῦ διαστραφεῖσιν.

(63) Reg. primus ἐνυπάρχει.

(64) Illud, ὁποῖός ἐστι, additum est ex antiquis duobus libris.

(65) Codex Combef. Κρείττων οὖν.

(66) Sic codex Voss. et alii duo. Vocula δέ in vul- D gatis deerat.

(67) Editi perinde ut Reg. tertius et Coisl. secundus τῶν προγενομένων ἡμῖν ὑπομένομεν. Reg. primus et Coisl. itidem primus et Colb. τῶν προσγενομένων ἡμῖν καλῶν ὑπομένομεν. Codex Voss. pro καλῶν corrupte habet καλόν. Codex Combef. secunda manu προσγενομένων ἡμῖν ὑπομένομεν. Mihi autem magis placet scriptura vulgata. Cum enim sermo sit de grati animi significatione, videtur ea lectio seligenda esse, quæ per se beneficia prius in nos collata significet. Pro his enim proprie gratiam referimus. Hæc est causa, cur vocem προγενομένων retinendam arbitremur. Exprimi vocem καλῶν nihil necesse est.

σθαι τῶν δωρεῶν τοῦ Θεοῦ δύναται; αἳ τοσαῦται μέν εἰσι τὸ πλῆθος, ὡς καὶ ἀριθμὸν διαφεύγειν· τηλικαῦται δὲ τὸ μέγεθος καὶ τοιαῦται, ὥστε ἐξαρκεῖν καὶ μίαν εἰς τὸ ὑπευθύνους ἡμᾶς εἰς πᾶσαν χάριν τῷ δεδωκότι ποιῆσαι. Τὰς μὲν οὖν ἄλλας παρήσω, αἳ, εἰ καὶ καθ' ἑαυτὰς ὑπερβάλλουσι μεγέθει καὶ χάριτι, ἀλλ' ὑπὸ τῶν μειζόνων, ὥσπερ ἀστέρες ἡλιακαῖς ἀκτῖσιν, ὑπερλαμπόμεναι, τὴν καθ' ἑαυτὰς χάριν ἀμυδροτέραν παρέχονται. Οὐ γὰρ σχολὴ καταλιπόντι τὰ ὑπερβάλλοντα, ἐκ τῶν ἐλαττόνων μετρεῖν τοῦ εὐεργέτου τὴν ἀγαθότητα.

A qui de nobis bene meriti sunt, benevolentiam amoremque naturalem habemus, nullumque non subimus laborem, ut beneficia prius in nos collata remuneremur, quisnam sermo Dei dona pro merito explicare possit? Tanta quidem est horum multitudo, ut etiam numerum effugiant: item magnitudine tanta sunt et talia, ut vel unicum satis ad id sit, ut omnimodam largitori gratiam rependere debeamus. Alia igitur omittam, quæ tametsi per se ipsa excellunt magnitudine et dignitate, tamen a majoribus non secus obscurata quam stellæ a solis radiis, per se in dignitate obscuriora et tenuiora apparent. Nec enim vacat, beneficiis præstantioribus prætermissis, ex minoribus benefici Dei bonitatem admetiri.

3. Σιωπάσθωσαν τοίνυν ἡλίου ἀνατολαὶ, καὶ σελήνης περίοδοι, κράσεις ἀέρων, ὡρῶν ἐναλλαγαὶ, ὕδωρ ἀπὸ νεφῶν, καὶ ἀπὸ γῆς ἕτερον, αὐτὴ ἡ θάλασσα, ἡ γῆ σύμπασα, τὰ (68) ἐκ γῆς φυόμενα, τὰ ἐν τοῖς ὕδασι διαιτώμενα, τὰ ἐν ἀέρι γένη, αἱ μυρίαι τῶν ζώων διαφοραὶ, πάντα τὰ πρὸς ὑπηρεσίαν τῆς ζωῆς ἡμῶν τεταγμένα. Ἀλλ' ἐκεῖνο οὐδὲ (69) βουλομένοις παρελθεῖν δυνατὸν, καὶ σιωπῆσαι μὲν τὴν χάριν τῷ γε νοῦν ὑγιᾶ καὶ λόγον ἔχοντι παντελῶς ἀμήχανον· εἰπεῖν δέ τι πρὸς ἀξίαν πλέον ἀδυνατώτερον, ὅτι κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν ποιήσας τὸν ἄνθρωπον ὁ Θεὸς, καὶ τῆς ἑαυτοῦ γνώσεως ἀξιώσας, καὶ λόγῳ παρὰ πάντα τὰ ζῶα κατακοσμήσας, καὶ τοῖς ἀμηχάνοις τοῦ παραδείσου κάλλεσιν ἐντρυφᾷν παρασχόμενος, καὶ τῶν ἐπὶ γῆς ἁπάντων ἄρχοντα καταστήσας, εἶτα κατασοφισθέντα ὑπὸ τοῦ ὄφεως (70), καὶ καταπεσόντα εἰς τὴν ἁμαρτίαν, καὶ διὰ τῆς ἁμαρτίας εἰς τὸν θάνατον, καὶ τὰ τούτου ἄξια, οὐ περιεῖδεν· ἀλλὰ τὰ μὲν πρῶτα νόμον ἔδωκεν εἰς βοήθειαν, ἀγγέλους ἐπέστησεν εἰς φυλακὴν καὶ ἐπιμέλειαν, προφήτας ἀπέστειλεν εἰς ἔλεγχον κακίας καὶ διδασκαλίαν ἀρετῆς, τὰς ὁρμὰς τῆς κακίας ταῖς ἀπειλαῖς ἐνέκοψε, τῶν ἀγαθῶν τὴν προθυμίαν ἐπαγγελίαις διήγειρε, τὸ πέρας (71) ἑκατέρου πολλάκις ἐν διαφόροις προσώποις εἰς νουθεσίαν τῶν ἄλλων προλαβὼν ἐφανέρωσε, καὶ ἐπὶ τούτοις καὶ τοῖς τοιούτοις ἅπασιν ἐπιμένοντας τῇ ἀπειθείᾳ οὐκ ἀπεστράφη. Οὐ γὰρ ἀφείθημεν ὑπὸ τῆς ἀγαθότητος τοῦ Δεσπότου, οὐδὲ ἐνεκόψαμεν αὐτοῦ τὴν εἰς ἡμᾶς ἀγάπην, ἀναισθησίᾳ τῶν τιμῶν τὸν εὐεργέτην παρυβρίσαντες (72)· ἀλλὰ ἀνεκλήθημεν ἐκ τοῦ θανάτου, καὶ ἐζωοποιήθημεν πάλιν ὑπ' αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐν ᾧ καὶ ὁ τρόπος τῆς εὐεργεσίας μεῖζον ἔχει τὸ θαῦμα· *Ἐν μορφῇ γὰρ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών.*

3. Sileantur igitur solis ortus, lunæ conversiones, temperies aeris, vicissitudines temporum, aquæ ex nubibus lapsæ, aliæ e terra erumpentes, B mare ipsum, tota terra, quæ ex terra nascuntur, quæ in aquis degunt, genera in aere versantia, innumeræ animalium differentiæ, omnia denique quæ destinantur ad vitæ nostræ ministerium. Sed ne volentes quidem illud præterire possumus, nec fieri potest ullo modo, ut is certe qui sana mente præditus est et rationis compos, id beneficii taceat, quanquam multo minus de eo pro merito aliquid dici possit, quod cum hominem condidisset ad imaginem et similitudinem suam, eumque cohonestasset sui ipsius cognitione, et ratione exornasset præ cæteris **339** animantibus, ipsique dedisset facultatem ut se incredibili paradisi pulchritudine oblectaret, ac tandem illum constituisset C omnium terrestrium principem, deinde a serpente deceptum, et collapsum in peccatum, et per peccatum in mortem, et in ærumnas ea dignas, non propterea tamen ipsum neglexit: sed lege quæ ei adjumento esset, primum tradita, custodiæ ejus et curæ præfecit angelos, misit prophetas ad redarguenda vitia et ad virtutem docendam, impetum nequitiæ per minas excidit et repressit, pollicitationibus excitavit bonorum alacritatem, utriusque generis finem non raro in diversis personis ad alios commonendos in antecessum declaravit, et tamen post hæc et talia, nos in contumacia perseverantes non est aversatus. Non enim nos deseruit bonitas Domini, neque per stupiditatem qua delatos ab ipso honores habebamus despicatui, D abolevimus ejus in nos amorem, etiamsi in benefacientem contumeliosi essemus: imo vero revocati sumus a morte, et vitæ rursus ab ipso Domino nostro Jesu Christo restituti. Qua in re etiam beneficii modus majorem habet admirationem: *Cum enim in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo: sed semetipsum exinanivit, formam servi accipiens* (Philipp. II, 6, 7).

(68) Codex Colb. καὶ ἡ γῆ σύμπασα καὶ τά. Mox idem ms. cum Reg. primo τὰ ἐναέρια γένη.

(69) Codex Voss. et alii duo ἐκεῖνο ὃ οὐδέ· sed vocula ὃ videtur redundare.

(70) Editi et duo mss. διὰ τοῦ ὄφεως. Codex Voss. et alii duo ὑπὸ τοῦ. Haud longe codex Voss. et alii duo οὐχ ὑπερεῖδεν. Ibidem liber Voss. ἀλλὰ καὶ νόμον.

(71) Hoc dicit Basilius: jam multis locis declaratum fuisse exitum utriusque classis, qua continentur et boni et mali.

(72) Editio Paris. et Basil. ἡ ἀναισθησία τῶν τιμῶν τὸν εὐεργέτην παρυβρίσασα. Editio Ven. æque ac codex Combef. et alii tres ἀγάπην ἀναισθησίᾳ τῶν τιμῶν, τὸν εὐεργέτην παρυβρίσαντες. Totum hunc locum ita edendum curavimus, uti in Coisl. secundo et in Colb. legitur, nisi quod in Coisl. scriptum sit περιυβρίσαντες. Aliquibus in libris legitur ἐνέκοψε.

neficentiæ ratio majorem movet admirationem : *Cum enim in forma Dei esset non rapinam arbitratus est esse se æqualem Deo : sed semetipsum exinanivit, formam servi accipiens*[53].

4. Atque etiam infirmitates nostras suscepit, et portavit languores, pro nobis vulneratus est, ut nos livore ejus sanaremur[54] : item redemit a maledicto, factus pro nobis maledictum[55], mortemque pertulit ignominiosissimam, ut nos ad gloriosam vitam reduceret. Nec satis habuit mortuos duntaxat ad vitam revocare, verum etiam largitus est divinitatis suæ dignitatem, atque æternam requiem humanum omne cogitatum lætitiæ magnitudine superantem præparavit. Quid igitur retribuemus Domino pro omnibus quæ retribuit nobis[56]? Est autem adeo bonus, ut neque remunerationem exigat, sed sat habet, si solum pro iis quæ tribuit, diligatur. Quæ omnia ubi mente recolo, ut meum affectum prodam, in horrorem quemdam et terrificum stuporem incido, nequando ob animi inconsiderantiam, aut propter meam circa res vanas occupationem a Dei dilectione excidens, Christo sim dedecori ac opprobrio. Qui enim nunc decipit nos, et per mundanas illecebras nos omni arte in benefici largitoris oblivionem inducere conatur, is in animarum nostrarum perniciem nobis insultans, et in nos invadens, tunc coram Domino contemptum nostrum probro vertet, atque de contumacia et de defectione nostra gloriabitur : qui cum nec creaverit nos, nec pro nobis subierit mortem, tamen suæ contumaciæ, suæque in observandis Dei mandatis negligentiæ socios nos ac comites habuerit. Illud quod Domino **340** infertur probrum, et illa adversarii jactantia mihi suppliciis gehennæ gravior videtur, quod Christi inimico præbeamus materiam adversus eum qui pro nobis mortuus est, et resurrexit, jactandi se et efferendi : cui tamen ea de causa, sicut scriptum est, majorem gratiam debemus. Sed hactenus de dilectione Dei. Neque enim fuit animus, uti jam dixi, omnia dicere, nec enim fieri potest : sed summatim parvum monumentum quo divinum desiderium semper excitetur, animo vestro relinquere

INTERROGATIO III.

De charitate erga proximum.

Sane consequens jam fuerit, ut de mandato et ordine et vi secundo disseratur.

RESPONSIO.

1. Superius quidem diximus legem earum quæ

A 4. Καὶ τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε (73), καὶ τὰς νόσους ἐβάστασε, καὶ ὑπὲρ ἡμῶν ἐτραυματίσθη, ἵνα τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰαθῶμεν (74)· καὶ τῆς κατάρας ἡμᾶς ἐξηγόρασε, γενόμενος ὑπὲρ ἡμῶν κατάρα, καὶ τὸν ἀτιμότατον ὑπέστη θάνατον, ἵνα ἡμᾶς εἰς τὴν ἔνδοξον ζωὴν ἐπαναγάγῃ. Καὶ οὐκ ἠρκέσθη μόνον νεκροὺς ὄντας ζωοποιῆσαι, ἀλλὰ καὶ θεότητος ἀξίωμα ἐχαρίσατο, καὶ ἀναπαύσεις ἡτοίμασεν αἰωνίους, πᾶσαν ἔννοιαν ἀνθρωπίνην τῷ μεγέθει τῆς εὐφροσύνης ὑπερβαινούσας (75). Τί οὖν ἀνταποδῶμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; Ὁ δὲ οὕτως ἐστὶν ἀγαθὸς, ὥστε οὔτε ἀντίδοσιν ἀπαιτεῖ, ἀλλ' ἀρκεῖται μόνον ἀγαπώμενος ἐφ' οἷς ἔδωκεν. Ὧν ἁπάντων ὅταν εἰς ἔννοιαν ἔλθω (ἵνα τὸ ἐμὸν πάθος ἐξείπω), εἰς φρίκην τινὰ καὶ ἔκστασιν φοβερὰν
B καταπίπτω, μήποτε ἐξ ἀπροσεξίας τοῦ νοῦ, ἢ τῆς περὶ τὰ μάταια ἀσχολίας, τῆς ἀγάπης τοῦ Θεοῦ ἐκπεσὼν ὄνειδος γένωμαι τῷ Χριστῷ. Ὁ γὰρ νῦν ἀπατῶν ἡμᾶς, καὶ διὰ τῶν κοσμικῶν δελεασμάτων λήθην ἐμποιεῖν (76) ἡμῖν τοῦ εὐεργέτου μηχανῇ πάσῃ σπουδάζων, ἐπ' ὀλέθρῳ τῶν ψυχῶν ἡμῶν ἐναλλόμενος ἡμῖν, καὶ ἐπεμβαίνων, εἰς ὀνειδισμὸν τότε προσοίσει τῷ Κυρίῳ τὴν ἡμετέραν καταφρόνησιν, καὶ ἐγκαυχήσεται τῇ ἀπειθείᾳ καὶ ἀποστασίᾳ ἡμῶν· ὅς γε οὔτε (77) κτίσας ἡμᾶς, οὔτε ἀποθανὼν ὑπὲρ ἡμῶν, ἀλλ' ὅμως ἔσχεν ἡμᾶς ἀκολουθοῦντας αὐτῷ ἐν τῇ ἀπειθείᾳ καὶ ἐν τῇ ἀμελείᾳ τῶν ἐντολῶν τοῦ Θεοῦ. Τοῦτο τὸ ὄνειδος, τὸ κατὰ τοῦ Κυρίου, καὶ τοῦτο τὸ καύχημα τοῦ ἐχθροῦ, βαρύτερον ἐμοὶ τῶν
C ἐν τῇ γεέννῃ κολάσεων φαίνεται, τῷ ἐχθρῷ τοῦ Χριστοῦ ὕλην γενέσθαι καυχήματος καὶ ἀφορμὴν ἐπάρσεως κατ' αὐτοῦ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, καὶ ἐγερθέντος, ᾧ καὶ διὰ τοῦτο περισσοτέρως ὀφειλέται ἐσμὲν, καθὼς γέγραπται. Καὶ περὶ μὲν τῆς εἰς Θεὸν ἀγάπης τοσαῦτα. Σκοπὸς γὰρ, ὡς προεῖπον, οὐχὶ πάντα εἰπεῖν· ἀδύνατον γάρ· ἀλλ' ἐπὶ κεφαλαίων (78) σύντομον ὑπόμνησιν ἀνακινοῦσαν ἀεὶ τὸν θεῖον πόθον ταῖς ψυχαῖς ἐμποιῆσαι.

ΕΡΩΤΗΣΙΣ Γ'.

Περὶ τῆς εἰς τὸν πλησίον ἀγάπης (79).

Ἀκόλουθον δ' ἂν εἴη περὶ τῆς δευτέρας καὶ τάξει καὶ δυνάμει ἐντολῆς διελθεῖν.

ΑΠΟΚΡΙΣΙΣ.

D 1. Ὅτι μὲν οὖν ὁ νόμος τῶν σπερματικῶς ἐνυπαρ

[53] Philipp. II, 6, 7. [54] Isa. LIII, 4. [55] Galat. III, 13. [56] Psal. CXV, 12.

(73) Editi et codex Combef. ἔλαβε. Liber Voss. et alii duo ἀνέλαβε.

(74) Codex Colb. solus ἡμεῖς πάντες, *ut nos omnes sanaremur*. Aliquanto post duo mss. ἡτοίμασεν αἰωνίας.

(75) Ita Reg. primus et Coisl. secundus; nec Ruffinus aliter legisse putandus est, cum ea quæ addidimus verba Latine reddiderit. Editi et mss. non pauci ὑπερβαινούσας. Ὁ δέ.

(76) Codex Colb. λήθην ἐμποιῶν. Mox unus Combef. conjuncte σπουδάζων ἐπ' ὀλέθρῳ, *operam dat, ut nos inducat in beneficii largitoris oblivionem ad animas nostras perdendas.*

(77) Editi ὥστε οὔτε. Codex Combef. et alii tres ὅς γε οὔτε. Mox codex Voss. et alii tres ἀλλ' ὅμως. Editi ἡμῶν, ὅμως. Subinde mss. tres καὶ ἐν τῇ ἀμελείᾳ. Editi καὶ ἀμελείᾳ.

(78) Codex Colb. ἐπὶ κεφαλαίῳ. Mox editio Paris. perinde ut Basil. ὑπόμνησιν ἀνακαινοῦσαν, *monitum quo renovetur divinum desiderium*. Editio Ven. et Colb. et Combef. et Reg. tertius ὑπόμνησιν ἀνακινοῦσαν, et ita quoque legitur in Reg. primo secunda manu : sed hic codex videtur prima manu habuisse ἀνακαινοῦσαν.

(79) Codex Voss. Ἐρώτ. γ' εἰς τὸν πλησίον. Mox Colb. ἐν ἡμῖν.

A χουσῶν ἡμῖν δυνάμεων γεωργός ἐστι καὶ τροφεὺς, εἴρηται ἡμῖν ἐν τοῖς ἔμπροσθεν λόγοις· ἐπειδὴ δὲ ἀγαπᾷν προστετάγμεθα τὸν πλησίον ὡς ἑαυτοὺς, καταμάθωμεν, εἰ καὶ δύναμιν πρὸς τὴν ἐκπλήρωσιν τῆς ἐντολῆς ταύτης ἔχομεν παρὰ τοῦ Θεοῦ. Τίς οὖν οὐκ οἶδεν, ὅτι ἥμερον καὶ κοινωνικὸν ζῶον ὁ (80) ἄνθρωπος, καὶ οὐχὶ μοναστικὸν, οὐδὲ ἄγριον; Οὐδὲν γὰρ οὕτως ἴδιον τῆς φύσεως ἡμῶν, ὡς τὸ κοινωνεῖν ἀλλήλοις, καὶ χρῄζειν ἀλλήλων, καὶ ἀγαπᾷν τὸ ὁμόφυλον. Ὧν οὖν αὐτὸς ἔδωκεν ὁ Κύριος ἡμῖν προλαβὼν τὰ σπέρματα, τούτων ἀκολούθως καὶ τοὺς καρποὺς ἐπιζητεῖ (81), λέγων· *Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.* Καὶ πρὸς ταύτην τὴν ἐντολὴν διεγεῖραι βουλόμενος ἡμῶν τὴν ψυχὴν, ἀπόδειξιν τῶν αὐτοῦ μαθητῶν, οὐ σημεῖα καὶ δυνάμεις
B παραδόξους ἀπῄτησεν (καίτοι καὶ τούτων ἐν Πνεύματι ἁγίῳ χαρισάμενος τὴν ἐνέργειαν)· ἀλλὰ τί φησιν; *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις* (82). Καὶ οὕτω πανταχοῦ τὰς ἐντολὰς ταύτας συνάπτει, ὥστε τὴν εἰς τὸν πλησίον εὐποιΐαν εἰς ἑαυτὸν μετατίθησιν. *Ἐπείνασα* γὰρ, φησὶ, *καὶ ἐδώκατέ μοι φαγεῖν*, καὶ τὰ ἑξῆς. Εἶτα ἐπάγει, ὅτι *Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.*

2. Οὐκοῦν διὰ μὲν τῆς πρώτης ἔστι κατορθῶσαι καὶ τὴν δευτέραν· διὰ δὲ τῆς δευτέρας ἐπανελθεῖν αὖθις ἐπὶ τὴν πρώτην· καὶ ἀγαπῶντα μὲν τὸν Κύριον, ἀγαπᾷν ἀκολούθως καὶ τὸν πλησίον. *Ὁ γὰρ ἀγαπῶν με*, εἶπεν ὁ Κύριος, *τὰς ἐντολάς μου*
C *τηρήσει* (83). *Αὕτη δέ ἐστι*, φησὶν, *ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς*· ἀγαπῶντα δὲ πάλιν τὸν πλησίον, τὴν εἰς τὸν Θεὸν ἀγάπην ἀποπληροῦν, αὐτοῦ εἰς ἑαυτὸν ὑποδεχομένου (84) τὴν χάριν. Διόπερ ὁ μὲν πιστὸς θεράπων τοῦ Θεοῦ Μωσῆς τοσαύτην ἐπεδείκνυτο τὴν εἰς τοὺς ἀδελφοὺς ἀγάπην, ὥστε καὶ ἐξαλειφθῆναι ᾑρεῖτο ἐκ τῆς βίβλου τοῦ Θεοῦ, εἰς ἣν ἐγέγραπτο, εἰ μὴ συγχωρηθείη τῷ λαῷ τὸ ἁμάρτημα. Παῦλος δὲ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν αὐτοῦ τῶν συγγενῶν κατὰ σάρκα ἀπετόλμησεν εὔξασθαι, τῆς πάντων σωτηρίας ἑαυτὸν ἀντάλλαγμα, κατὰ μίμησιν τοῦ Κυρίου (85), γενέσθαι βουλόμενος· ἅμα δὲ καὶ εἰδὼς, ὅτι ἀμήχανον ἦν ἀλλοτριωθῆναι Θεοῦ τὸν διὰ
D τὴν εἰς αὐτὸν ἀγάπην ὑπὲρ τῆς μεγίστης τῶν ἐντολῶν τὴν παρὰ τοῦ Θεοῦ χάριν προϊέμενον, καὶ ὅτι διὰ τοῦτο (86) πολυπλασίονα ἔμελλεν ὧν ἔδωκεν ἀντιλήψεσθαι. Πλήν γε ὅτι μέχρι τούτου τοῦ μέτρου τῆς πρὸς τὸν πλησίον ἀγάπης ἔφθασαν οἱ ἅγιοι, ἱκανὴν ἀπόδειξιν ἔχει τὰ εἰρημένα.

A nobis seminis in modum insitæ fuerunt facultatum cultricem esse et altricem : verum quoniam proximum juxta ac nosmetipsos diligere jussi sumus, consideremus num etiam a Deo hujusce mandati conficiendi facultatem acceperimus. Quis, quæso, ignorat, hominem animal esse mansuetum et sociabile, non autem solitarium et ferum? Nihil enim tam proprium est nostræ naturæ, quam ut mutuo consociemur, et alii aliorum indigeamus, eosque qui ejusdem sunt generis diligamus. Quorum igitur semina Dominus ipse prius nobis contulit, eorum etiam fructus postea reposcit, dicens: *Mandatum novum do vobis, ut diligatis invicem* [57]. Cum autem ad exsequendum illud mandatum animum nostrum excitare vellet, discipulorum suorum characterem
B et notam non in prodigiis et miraculis inauditis constituit, quanquam horum patrandorum eis vim et potestatem per Spiritum sanctum largitus fuisset : sed quid dicit? *In hoc cognoscent omnes, quia discipuli mei estis, si dilectionem habueritis ad invicem* [58]. Et sic ubique connectit hæc præcepta, ut beneficia in proximum collata in seipsum transferat. *Esurivi* enim, inquit, *et dedistis mihi manducare* [59], etc. Deinde subjungit : *Quatenus fecistis uni ex his fratribus meis minimis, mihi fecistis* [60].

2. Itaque per primum licet secundum etiam exsequi, ac rursus per secundum reverti ad primum; et qui Dominum amat, consequens est ut proximum quoque diligat. *Qui* enim *diligit me*, inquit
C Dominus, *mandata mea servabit* [61]. Ait autem : *Hoc est præceptum meum ut diligatis invicem, sicut ego dilexi vos* [62]. Ac rursus qui amat proximum, ei ipsi quæ Deo debetur charitati satisfacit, cum ipse recipiat in se hanc beneficentiam. Quapropter fidelis Dei servus Moyses tantum erga fratres ostendit amorem, ut etiam ex Dei libro in quo fuerat inscriptus, deleri voluerit, si peccati venia populo non concederetur [63]. **341** Paulus vero pro fratribus suis cognatis secundum carnem anathema esse a Christo optare ausus fuit [64] : quippe qui Domini exemplo fieri se salutis omnium pretium cuperet, simulque nosset fieri non posse, ut a Deo abalienaretur qui ob ejus amorem gratiam Dei abjecisset servandi maximi mandati causa, imo ob
D id multo plura quam quæ dedisset recepturum esse. Cæterum ad hanc usque mensuram pervenisse sanctorum erga proximum charitatem, ex dictis abunde demonstratum est.

[57] Joan. XIII, 34. [58] ibid. 35. [59] Matth. XXV, 35. [60] ibid. 40. [61] Joan. XIV, 23. [62] Joan. XV, 12. [63] Exod. XXXII, 32. [64] Rom. IX, 3.

(80) Codex Colb. ζῶόν ἐστιν ὁ. Statim idem ms. ἢ ἄγριον.

(81) Codex Colb. καρποὺς ἀπαιτεῖ. Statim idem ms. αὐτὴν τήν.

(82) Legitur in codice Voss. et in Colb. μετ' ἀλλήλων.

(83) Reg. primus Ἐὰν γὰρ ἀγαπᾶτέ με, εἶπεν ὁ Κύριος, τὰς ἐντολάς μου τηρήσατε. *Si diligitis me, inquit Dominus, mandata mea servate.*

(84) Reg. primus εἰς ἑαυτὸν ἀποδεχόμενον. Mox codex Voss. ὁ μὲν πιστὸς ἄνθρωπος.

(85) Unus Reg. μίμησιν τοῦ Χριστοῦ.

(86) Editi et duo mss. διὰ τούτου. Alii duo διὰ τοῦτο. Nec ita multo infra codex Voss. ἔχει προειρημένα.

INTERROGATIO IV.

De timore Dei.

RESPONSIO.

Atque iis quidem qui recens introducuntur ad pietatem, institutio ea quæ fit per timorem, utilior est, sapientissimo Salomone admonente ac dicente : *Principium sapientiæ, timor Domini* [65] : sed vobis veluti jam ex Christi infantia egressis, nec amplius lacte indigentibus, sed qui solido dogmatum alimento secundum internum hominem ad perfectionem deduci potestis, præceptis sublimioribus opus est, in quibus tota ejus quæ in Christo est dilectionis veritas perficitur. Nimirum cavendum est vobis, ne forte uberiora Dei dona graviori multæ obnoxios vos reddant, si in beneficum largitorem ingrati exstiteritis. *Cui* enim, inquit [66], *commendaverunt multum, plus repetent ab eo.*

ΕΡΩΤΗΣΙΣ Δ'.

Περὶ φόβου Θεοῦ.

ΑΠΟΚΡΙΣΙΣ.

A Τοῖς μὲν οὖν ἄρτι εἰσαγομένοις εἰς τὴν εὐσέβειαν ἡ διὰ τοῦ φόβου στοιχείωσις χρησιμωτέρα, κατὰ τὴν ὑποθήκην τοῦ σοφωτάτου Σολομῶντος, εἰπόντος· *Ἀρχὴ σοφίας, φόβος Κυρίου*· ὑμῖν δὲ, ὡς διαβεβηκόσι τὴν ἐν Χριστῷ νηπιότητα, καὶ (87) οὐκέτι δεομένοις γάλακτος, ἀλλὰ δυναμένοις τῇ στερεᾷ τῶν δογμάτων τροφῇ τὸν ἔσω ἄνθρωπον τελειοῦσθαι, τῶν κεφαλαιωδεστέρων ἐντολῶν χρεία, ἐν αἷς πᾶσα ἀλήθεια τῆς ἐν Χριστῷ ἀγάπης κατορθοῦται, φυλασσομένοις δηλονότι, μήποτε ἡ περιουσία τῶν δωρεῶν τοῦ Θεοῦ βαρυτέρας αἰτία ὑμῖν (88) καταχρίσεως γένηται, ἀχαρίστως πρὸς τὸν εὐεργέτην διατεθεῖσιν. B *Ὧ γὰρ παρέθεντο*, φησὶ, *πολὺ, περισσότερον ἀπαιτήσουσιν αὐτόν.*

INTERROGATIO V.

De cavenda mentis evagatione.

RESPONSIO.

1. Illud certe sciendum est, nos non posse aliud quodvis mandatum servare, neque Deum aut proximum diligere, si huc et illuc mente divagemur. Neque enim artem aut scientiam probe callere potest, qui ab alia ad aliam transit : neque unam etiam comparare, qui ea quæ propria finis sunt, ignorat. Par namque est actiones ad scopum et fidem quadrare : siquidem nihil quod rectum sit, via inepta et incongruenti peragitur. Nam neque artis ærariæ finis per figlinæ opera acquiri solet : neque per sedulum tibiæ cantum parantur athleticæ coronæ, sed unicuique fini peculiaris ac idoneus labor requiritur. Quare exercitatio etiam quæ fit juxta Christi Evangelium ad placendum Deo, in eo posita est, si curis mundi amandatis, omnem mentis avocationem propellamus. Quamobrem Apostolus, etsi alioquin permissæ sint nuptiæ, fuerintque habitæ benedictione dignæ, tamen eas quæ ex his nascuntur occupationes curis pro Deo gerendis opposuit, perinde quasi hæc inter se cohærere non **342** possent, his verbis : *Qui sine uxore est, sollicitus est quæ Domini sunt, quomodo placiturus sit Deo : qui autem cum uxore est, sollicitus est quæ sunt mundi, quomodo placiturus sit uxori* [67]. Ita et Dominus suis discipulis animo sincero et ab omni aberratione vacuo præditis testimonium reddidit dicens : *Vos de mundo hoc non estis* [68]. Et contra, fieri non posse testatus est, ut mundus reciperet Dei cognitionem, et Spiritum sanctum caperet : *Pater* enim *juste*, inquit,

ΕΡΩΤΗΣΙΣ Ε'.

Περὶ τοῦ κατὰ διάνοιαν ἀμετεωρίστου.

ΑΠΟΚΡΙΣΙΣ.

1. Ἐκεῖνο μέντοι γε γινώσκειν χρὴ, ὅτι οὔτε ἄλλης τινὸς ἐντολῆς τήρησιν, οὔτε αὐτὴν τὴν πρὸς Θεὸν ἀγάπην, οὔτε τὴν πρὸς τοὺς πλησίον δυνάμεθα κατορθῶσαι, ἄλλοτε περὶ ἄλλα ταῖς διανοίαις ἀποπλανώμενοι. Οὔτε γὰρ τέχνην ἢ ἐπιστήμην ἀκριβῶσαι δυνατὸν, ἄλλοτε ἐπ' ἄλλην μεταβαίνοντα· μήτε μὴν (89) μιᾶς περιγενέσθαι, μὴ τὰ οἰκεῖα τοῦ τέλους γνωρίσαντα. Δεῖ γὰρ ἀκολούθους εἶναι τῷ σκοπῷ τὰς πράξεις, ὡς οὐδενὸς τῶν κατὰ λόγον διὰ τῶν ἀνοι- C κείων κατορθουμένου. Ἐπεὶ οὔτε τὸ χαλκευτικῆς τέλος διὰ τῶν ἔργων τῆς κεραμείας περιγενέσθαι (90) πέφυκεν, οὔτε ἀθλητικοὶ στέφανοι ἐκ τῆς περὶ τὸ αὐλεῖν σπουδῆς κατορθοῦνται· ἀλλὰ ἑκάστῳ τέλει οἰκεῖος ὁ πόνος καὶ συναρμόζων ἐπιζητεῖται (91). Ὥστε καὶ ἡ ἄσκησις τῆς κατὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ πρὸς Θεὸν εὐαρεστήσεως ἐν τῇ ἀναχωρήσει τῶν μεριμνῶν τοῦ κόσμου καὶ τῇ παντελεῖ ἀλλοτριώσει τῶν περισπασμῶν ἡμῖν κατορθοῦται. Διόπερ ὁ Ἀπόστολος, καὶ ταῦτα συγκεχωρημένου τοῦ γάμου, καὶ εὐλογίας ἠξιωμένου, τὰς ἀπ' αὐτοῦ ἀσχολίας ταῖς περὶ Θεὸν (92) μερίμναις ἀντέθηκεν, ὡς οὐ δυναμένων τούτων ἀλλήλοις συμβῆναι, εἰπών· *Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ* D *Κυρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί.* Οὕτω καὶ τοῖς μαθηταῖς ὁ Κύριος μετὰ τὴν εἰλικρινῆ καὶ ἀμετεώριστον διάθεσιν ἐμαρτύρει, λέγων· *Ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου.* Καὶ ἀπὸ τοῦ ἐναντίου, τὴν τοῦ Θεοῦ ἐπίγνωσιν τὸν κόσμον ἀδύνατον εἶναι δέξασθαι, μηδὲ Πνεῦμα ἅγιον χωρῆσαι διεμαρτύρατο· *Πάτερ* γὰρ,

[65] Prov. I, 7. [66] Luc. XII, 48. [67] I Cor. VII, 32, 33. [68] Joan. XV, 19.

(87) Voculam καὶ addidimus ex antiquis tribus libris. Haud longe codex Voss. ἐν ᾗ πᾶσα.

(88) Editi αἰτία ὑμῖν. Antiqui quatuor libri ἡμῖν.

(89) Codex Voss. et alii duo οὔτε μήν. Mox codex Voss. τῶν σκοπῶν, καὶ τὰς πράξεις. At Colb. καὶ τῶν σκοπῶν τάς.

(90) Antiqui duo libri περιγίνεσθαι.

(91) Reg. tertius συναρμόζων ἐπινοεῖταί τε καὶ ἐπιζητεῖται, *excogitatur et requiritur*. Codex Colb. συναρμόζων ἐπιτελεῖται.

(92) Codex Voss. et alii nonnulli περὶ Θεοῦ.

φησὶ, *δίκαιε, ὁ κόσμος σε οὐκ ἔγνω*· καὶ, *Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν.*

2. Λυθῆναι οὖν δεῖ τῶν δεσμῶν τῆς προσπαθείας τοῦ βίου τόν γε ἀληθινῶς τῷ Θεῷ ἀκολουθήσειν (93) μέλλοντα· τοῦτο δὲ διὰ παντελοῦς ἀναχωρήσεως καὶ λήθης τῶν παλαιῶν ἐθῶν κατορθοῦται. Ὡς εἰ μή γε ἀποξενώσοιμεν (94) ἑαυτοὺς, καὶ συγγενείας σαρκικῆς, καὶ κοινωνίας βίου, οἱονεὶ πρὸς ἕτερον κόσμον διὰ τῆς σχέσεως μεταβαίνοντες, κατὰ τὸν εἰπόντα. *Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει* (95), ἀμήχανον ἡμᾶς περιγενέσθαι τοῦ σκοποῦ τῆς πρὸς Θεὸν εὐαρεστήσεως, τοῦ Κυρίου ὁριστικῶς εἰπόντος, ὅτι· *Οὕτω πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν ἑαυτοῦ, οὐ δύναται εἶναί μου μαθητής.* Τοῦτο δὲ ποιήσαντας, πάσῃ φυλακῇ τηρεῖν προσήκει τὴν ἑαυτῶν καρδίαν, ὡς μήποτε τὴν περὶ Θεοῦ ἔννοιαν ἐκβαλεῖν (96), ἢ τὴν μνήμην τῶν θαυμασίων αὐτοῦ φαντασίαις τῶν ματαίων καταῤῥυπαίνειν· ἀλλὰ διὰ τῆς διηνεκοῦς καὶ καθαρᾶς μνήμης ἐντετυπωμένην ταῖς ψυχαῖς ἡμῶν, ὥσπερ σφραγῖδα ἀνεξάλειπτον, τὴν ὁσίαν τοῦ Θεοῦ ἔννοιαν περιφέρειν. Οὕτω γὰρ ἡμῖν περιγίνεται ἡ πρὸς Θεὸν ἀγάπη (97), ἅμα τε διεγείρουσα πρὸς τὴν ἐργασίαν τῶν ἐντολῶν τοῦ Κυρίου, καὶ ὑπ' αὐτῶν πάλιν αὐτὴ συντηρουμένη πρὸς τὸ διαρκὲς καὶ ἀδιάπτωτον. Καὶ τοῦτο δείκνυσιν ὁ Κύριος, ποτὲ μὲν λέγων· *Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε*, ποτὲ δὲ, ὅτι *Ἐὰν τὰς ἐντολάς μου* (98) *τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου*, καὶ ἔτι δυσωπητικώτερον· *Καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ.*

3. Ἐξ ὧν παιδεύει ἡμᾶς, ἀεὶ τοῦ προκειμένου ἔργου τὸ θέλημα τοῦ προστάξαντος ὥσπερ σκοπὸν προτιθεμένους, πρὸς αὐτὸν (99) τὰ τῆς σπουδῆς κατευθύνειν, καθὰ καὶ ἀλλαχοῦ φησιν, ὅτι *Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.* Ὥσπερ γὰρ αἱ κατὰ τὸν βίον τέχναι, σκοπούς τινας οἰκείους ἑαυταῖς προστησάμεναι, ἀκολούθως ἐκείνοις τὰς κατὰ μέρος συναρμόζουσιν ἐνεργείας· οὕτω καὶ τοῖς ἡμετέροις ἔργοις ἑνὸς ὅρου καὶ κανόνος ἐπικειμένου, τοῦ εὐαρέστως τῷ Θεῷ ποιῆσαι τὰς ἐντολὰς, ἀδύνατον (1) ἄλλως τὸ ἀκριβὲς τοῦ ἔργου κατορθωθῆναι μὴ κατὰ τὸ βούλημα τοῦ ἐκδεδωκότος ἐπιτελούμενον. Ἐν δὲ τῇ ἀκριβεῖ πρὸς τὸ θέλημα τοῦ Θεοῦ περὶ τὸ ἔργον σπουδῇ συνάπτεσθαι τῷ Θεῷ διὰ τῆς μνήμης ὑπάρξει. Ὥσπερ γὰρ ὁ χαλκεὺς ἐν τῇ ἐργασίᾳ, εἰ τύχοι, τῆς ἀξίνης, τοῦ ἐκδεδωκότος αὐτῷ μεμνημένος, καὶ ἐν τῇ διανοίᾳ φέρων αὐτὸν, καὶ σχῆμα ἐκεῖνο καὶ μέγεθος ἐννοεῖ, καὶ πρὸς τὸ

etiam mundus te cognovit [69]; et: *Spiritus veritatis, quem mundus non potest accipere* [70].

2. Quisquis igitur vere Deum sequi vult, vinculis affectionum vitæ hujus solvatur necesse est: quod per integrum secessum morumque veterum oblivionem perficitur. Quare nisi nos ipsi et a cognatione carnali et a societate vitæ removerimus, veluti ad alterum mundum per animi habitudinem transmigrantes, juxta eum qui dixit: *Nostra enim conversatio in cœlis est* [71], scopum nostrum attingere non possumus, Deo videlicet ut placeamus, cum Dominus verbis decretoriis dixerit: *Sic omnis ex vobis qui non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus* [72]. His autem peractis, cor nostrum omni custodia servandum est [73], ne unquam amittatur Dei cogitatio, neve rerum mirabilium ab eo gestarum memoria vanis phantasmatibus coinquinetur: sed circumferenda est sancta Dei cogitatio, sic ut quasi sigillum indelebile ex perpetua et pura recordatione in animis nostris imprimatur. Ita enim a nobis comparatur Dei dilectio, quæ simul excitat ad conficienda Dei mandata, et ipsa ab ipsis vicissim perpetuo et constanter servatur. Atque hoc Dominus ostendit, qui nunc quidem ait: *Si diligitis me, mandata mea servate* [74]: nunc vero, *Si præcepta mea servaveritis, manebitis in dilectione mea* [75]; et, quod efficacius etiam possit commovere: *Sicut et ego Patris mei præcepta servavi, et maneo in ejus dilectione* [76].

3. Quibus illud nos docet, semper in opere quod faciendum constituerimus, præcipientis voluntatem tanquam scopum nobis proponere debere, ad eumque studium nostrum dirigere, uti etiam alio loco dicit: *Descendi de cœlo, non ut faciam voluntatem meam, sed voluntatem ejus qui misit me, Patris* [77]. Ut enim artes quæ ad parandum victum excogitatæ sunt, ubi proposuerint sibi scopos quosdam peculiares, congruenter illis convenienterque singula opera sua accommodant: ita etiam cum opera nostra finem unum ac regulam habeant, nimirum ut mandata modis Deo acceptis exsequamur, opus accurate peragi aliter non potest nisi ad jubentis voluntatem efficiatur. Futurum est autem ut, si in quovis opere diligens studium ad voluntatem Dei faciendam conferamus, Deo per hanc recordationem conjungamur. Quemadmodum enim **343** faber ferrarius, cum securim, exempli causa, cudit, ejus qui id sibi operis locavit,

[69] Joan. XVII, 25. [70] Joan. XIV, 17. [71] Philipp. III, 20. [72] Luc. XIV, 33. [73] Prov. IV, 23. [74] Joan. XIV, 15. [75] Joan. XV, 10. [76] ibid. [77] Joan. VI, 38.

(93) Codex Voss. et Reg. primus ἀκολουθεῖν. Codex Colb. pro Θεῷ habet Κυρίῳ.
(94) Veteres duo libri ἀποξενώσαιμεν.
(95) Editiones veteres οὐρανοῖς ὑπάρχῃ. Antiqui tres libri præter Voss. ὑπάρχει. Mox Reg. primus ἡμᾶς περιγίνεσθαι.
(96) Reg. primus ἔννοιαν ἐκβάλλειν.
(97) Codex Colb. ἡ τοῦ Θεοῦ ἀγάπη. Mox Reg. primus ἐντολῶν τοῦ Θεοῦ, καὶ ὑπ' αὐτῶν πάλιν αὐτὴ.
(98) Antiqui duo libri τὰς ἐντολὰς τὰς ἐμάς.
(99) Editio Paris. æque ac Basil. et Reg. tertius πρὸς αὐτό, *ad voluntatem*. Editio Ven. et mss. tres πρὸς αὐτόν, *ad scopum*.
(1) Codex Colb. ἀδύνατον γάρ

memor est, ipsumque fert in animo, ac formam hanc quæ sibi ab eo præscripta est et magnitudinem attendit, atque suum opus ad voluntatem ejus qui illud injunxit, dirigit (si enim hunc ceperit oblivio, aut quidpiam aliud, aut longe dissimile efficiet ejus, quod facere instituerat) : ita et Christianus omni actione tum parva tum magna ad Dei voluntatem directa, simul et opus suum diligenter conficit, et memoriam præcipientis servat, ac implet quod dictum est : *Providebam Dominum in conspectu meo semper, quoniam a dextris est mihi, ne commovear* [78]. Quin et perficit præceptum illud : *Sive manducatis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite* [79]. Si quis autem agendo depravat præcepti integritatem, eum languide Dei meminisse planum est. Memores igitur vocis illius qui dixit : *Nonne cœlum et terram ego impleo? dicit Dominus* [80] ; et : *Deus appropinquans ego sum, et non Deus de longe* [81] ; et : *Ubi sunt duo vel tres congregati in nomine meo, ibi sum in medio eorum* [82] ; omnia facere debemus, ut fieri decet quæ in oculis Domini efficiuntur, et omnia cogitare, ut cogitari decet quæ ab ipso cernuntur. Sic enim et perpetuus futurus est timor odio habens iniquitatem, sicut scriptum est [83], et contumeliam, et superbiam, et vias malorum, atque charitas perficitur, impletque quod dictum fuit a Domino : *Non quæro voluntatem meam, sed voluntatem ejus qui misit me, Patris* [84], cum anima continuo sibi plane persuadeat et bonas actiones judici et vitæ nostræ arbitro acceptas esse, et malas ab eo condemnari. Puto autem una cum hoc etiam illud contingere, ut ne ipsa quidem Domini mandata conficiantur ad captandam hominum benevolentiam. Nemo est enim qui se ad inferiorem convertat, si persuasum habeat adesse præstantiorem. Quin potius si contigerit, ut quæ fiunt cuipiam homini clariori et illustriori grata sint et accepta, alteri vero viliori invisa et reprehensione digna videantur ; contempta hac inferioris reprehensione, pluris facit præstantioris approbationem. Quod si inter homines res ita se habeant, quænam, quæso, anima vere prudens et sana, quæ Deum præsentem esse sibi penitus persuaserit, iis omissis quibus Deo placere possit, modo se ad aucupandam humanam gloriam conversura est, modo vero neglectis Dei mandatis, inserviet humanæ consuetudini, aut a communi et anticipata opinione vincetur, aut flectetur a dignitatibus? Sic erat animatus qui dixit : *Narraverunt mihi iniqui fabulationes, sed non ut lex tua, Domine* [85]. Et rursus : *Et loquebar in testimoniis tuis in conspectu regum, et non confundebar* [86].

A βούλημα τοῦ ὑποθεμένου τὴν (2) ἐργασίαν εὐθύνει (ἐὰν γὰρ ἐπιλάθηται, ἄλλο τι, ἢ ἀλλοῖον ποιήσει παρ' ὃ προέθετο)· οὕτω καὶ ὁ Χριστιανὸς, πᾶσαν ἐνέργειαν καὶ μικρὰν καὶ μείζονα πρὸς τὸ βούλημα τοῦ Θεοῦ (3) κατευθύνων, ὁμοῦ τε τὴν πρᾶξιν τῇ ἀκριβείᾳ κατακοσμεῖ, καὶ τὴν τοῦ προστάξαντος ἔννοιαν διασώζει, καὶ πληροῖ τὸ εἰρημένον· *Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.* Καὶ κατορθοῖ τὸ προστεταγμένον ἐκεῖνο· *Εἴτε ἐσθίετε* (4), *εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.* Παραφθείρων δὲ ἐν τῇ ἐργασίᾳ τὴν ἀκρίβειαν τῆς ἐντολῆς, δῆλός ἐστι περὶ τὴν μνήμην τοῦ Θεοῦ ἀσθενῶν. Μεμνημένους οὖν τῆς φωνῆς τοῦ εἰπόντος· *Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος*· καὶ τὸ, *Θεὸς ἐγγίζων* B *ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόῤῥωθεν*· καὶ τὸ, *Ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν*· πᾶσαν ἐνέργειαν, ὡς ὑπὸ ταῖς ὄψεσι τοῦ Κυρίου γινομένην, καὶ πᾶσαν ἔννοιαν, ὡς παρ' αὐτοῦ ἐποπτευομένην, ἐπιτελεῖν χρή. Οὕτω γὰρ καὶ ὁ φόβος διαρκὴς ἐνυπάρξει, μισῶν ἀδικίαν, κατὰ τὸ γεγραμμένον, ὕβριν τε καὶ ὑπερηφανίαν (5) καὶ ὁδοὺς πονηρῶν, καὶ ἡ ἀγάπη τελειοῦται, πληροῦσα τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον, ὅτι *Οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρὸς*, ἐν πληροφορίᾳ διηνεκεῖ τῆς ψυχῆς οὔσης τοῦ καὶ τὰς ἀγαθὰς πράξεις ἀποδεκτὰς εἶναι τῷ κριτῇ καὶ ἀθλοθέτῃ τοῦ ἡμετέρου βίου, καὶ τὰς ἐναντίως ἐχούσας αὐτόθεν δέχεσθαι τὴν κατάκρισιν. C Οἶμαι δὲ τούτῳ συγκατορθοῦσθαι (6) καὶ τὸ μηδὲ αὐτὰς τὰς ἐντολὰς τοῦ Κυρίου πρὸς ἀνθρωπαρέσκειαν γίνεσθαι. Οὐδεὶς γὰρ ἐν πληροφορίᾳ τῆς παρουσίας τοῦ κρείττονος πρὸς τὸν ἐλάττονα ἐπιστρέφεται· ἀλλὰ, κἂν συμβῇ τὸ γινόμενον τῷ μὲν ἐνδοξοτέρῳ προσώπῳ ἀπόδεκτον καὶ εὐάρεστον εἶναι, τῷ δὲ ὑποδεεστέρῳ ἀβούλητον καὶ ψεκτὸν καταφαίνεσθαι, πλείονος ἀξίαν τιθέμενος τὴν τοῦ ὑπερέχοντος ἀποδοχὴν, καταφρονεῖ τῆς τοῦ ἐλάττονος μέμψεως. Εἰ δὲ ἐπ' ἀνθρώπων οὕτως, ἥ γε ὡς ἀληθῶς νήφουσα καὶ ὑγιαίνουσα ψυχὴ ἐν πληροφορίᾳ τῆς τοῦ Θεοῦ παρουσίας, ποτὲ ἀφεμένη τοῦ πρὸς εὐαρέστησιν Θεοῦ ποιεῖν τι, πρὸς τὰς παρὰ τῶν ἀνθρώπων δόξας (7) ἐπιστραφήσεται· ποτὲ δὲ ἀμελήσασα τῶν τοῦ Θεοῦ προσταγμάτων, ἀνθρωπίνῳ ἔθει δουλεύσει, ἢ D ὑπὸ κοινῆς προλήψεως κρατηθήσεται, ἢ καὶ ὑπὸ ἀξιωμάτων δυσωπηθήσεται. Τοιαύτη διάθεσις ἦν τοῦ εἰπόντος· *Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε*· καὶ πάλιν· *Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.*

[78] Psal. xv, 8. [79] I Cor. x, 31. [80] Jerem. xxiii, 24. [81] ibid. 23. [82] Matth. xviii, 20. [83] Psal. cxviii, 163. [84] Joan. v, 30. [85] Psal. cxviii, 85. [86] ibid. 46.

(2) Reg. primus καὶ πρὸς τὸ θέλημα τοῦ ποθουμένου τὴν, *ad voluntatem ejus qui id opus desiderat.* Paulo ante codex Colb. σχῆμα ἐκείνου.

(3) Reg. unus πρὸς τὸ θέλημα τοῦ Θεοῦ.

(4) Editiones veteres Εἴτε ἐσθίετε. Codex Voss. et alii duo Εἴτε οὖν ἐσθίετε.

(5) Antiquæ editiones ὕβριν τε καὶ περιφάνειαν, corrupte. Codex Combef. et alii tres καὶ ὑπερηφανίαν.

(6) Codex Colb. Οἶμαι δὲ καὶ τοῦτο συγκατορθοῦσθαι, τὸ μηδέ. Reg. tertius Οἶμαι δὲ, ὅτι τούτῳ συγκατορθοῦται καὶ τό.

(7) Reg. primus et Voss. τὰς τῶν ἀνθρώπων δόξας. Statim duo mss. ἢ καὶ ὑπὸ κοινῆς.

ΕΡΩΤΗΣΙΣ ϛʹ.

Ὅτι ἀναγκαῖον τὸ ἰδιάζειν.

ΑΠΟΚΡΙΣΙΣ.

1. Συντελεῖ δὲ πρὸς τὸ ἀμετεώριστον τῇ ψυχῇ καὶ τὸ ἰδιάζειν κατὰ τὴν οἴκησιν. Τὸ γὰρ ἀναμεμιγμένην ἔχειν τὴν ζωὴν τοῖς ἀφόβως καὶ καταφρονητικῶς πρὸς τὴν ἀκριβῆ τήρησιν τῶν ἐντολῶν διακειμένοις βλαβερὸν καὶ ὁ τοῦ Σολομῶντος ἀποδείκνυσι λόγος, διδάσκοντος ἡμᾶς, ὅτι *Μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει· φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου, μήποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ* (8), *καὶ λάβῃς βρόχους τῇ σῇ ψυχῇ*, καὶ τό, *Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος*, πρὸς τὸ αὐτὸ φέρει. Οὐκοῦν ἵνα μήτε διὰ ὀφθαλμῶν μήτε διὰ ὤτων ἐρεθισμοὺς εἰς ἁμαρτίαν δεχώμεθα, καὶ κατὰ τὸ λανθάνον προσεθισθῶμεν αὐτῇ, καὶ ὥσπερ τύποι τινὲς καὶ χαρακτῆρες τῶν ὁρωμένων καὶ ἀκουομένων ἐναπομείνωσι (9) τῇ ψυχῇ εἰς ὄλεθρον καὶ ἀπώλειαν, καὶ ἵνα δυνηθῶμεν ἐπιμένειν τῇ προσευχῇ, ἀφιδιάζωμεν πρῶτον κατὰ τὴν οἴκησιν. Οὕτω γὰρ ἂν καὶ τοῦ προλαβόντος ἔθους περιγενοίμεθα, ἐν ᾧ ἀλλοτρίως ἐζήσαμεν τῶν ἐντολῶν τοῦ Χριστοῦ (10) (οὐ μικρὸς δὲ οὗτος ἀγών, τῆς ἑαυτοῦ συνηθείας περιγενέσθαι· ἔθος γὰρ διὰ μακροῦ χρόνου βεβαιωθὲν φύσεως ἰσχὺν λαμβάνει), καὶ τοὺς ἐξ ἁμαρτίας δὲ σπίλους ἐκτρῖψαι δυνησόμεθα τῇ τε φιλοπόνῳ προσευχῇ (11) καὶ τῇ ἐπιμόνῳ μελέτῃ τῶν τοῦ Θεοῦ θελημάτων· ἧς μελέτης καὶ προσευχῆς ἐν πολλοῖς τοῖς περιέλκουσι τὴν ψυχήν, καὶ ἀσχολίας βιωτικὰς ἐμποιοῦσι, περιγενέσθαι ἀμήχανον. Καὶ τό, *Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν* (12), πότε ἄν τις ἐν τούτοις ὢν πληρῶσαι δυνηθείη; Χρὴ γὰρ ἡμᾶς, ἀπαρνησαμένους ἑαυτούς, καὶ ἄραντας τὸν σταυρὸν τοῦ Χριστοῦ, οὕτως ἀκολουθεῖν αὐτῷ. Ἄρνησις δέ ἐστιν ἑαυτοῦ ἡ παντελὴς τῶν παρελθόντων λήθη, καὶ ἡ τῶν θελημάτων ἑαυτοῦ (13) ἀναχώρησις, ἣν ἐν τῇ ἀδιαφόρῳ συνηθείᾳ ζῶντα κατορθῶσαι δυσκολώτατον, ἵνα μὴ λέγω, ὅτι παντελῶς ἀνεπίδεκτον. Ἀλλὰ καὶ πρὸς τὸ ἆραι τὸν σταυρὸν ἑαυτοῦ καὶ ἀκολουθεῖν τῷ Χριστῷ ἐμπόδιόν ἐστιν ἡ πρὸς τὸν τοιοῦτον βίον ἐπιμιξία. Ἡ γὰρ ἑτοιμασία πρὸς (14) τὸν ὑπὲρ Χριστοῦ θάνατον, καὶ ἡ νέκρωσις τῶν μελῶν τῶν ἐπὶ τῆς γῆς, καὶ τὸ παρατεταγμένως πρὸς πάντα κίν-

A **344** INTERROGATIO VI.

Quod necesse sit in secessu vitam degere.

RESPONSIO.

1. Atque etiam ad cavendam mentis evagationem conducit remota ac solitaria habitatio. Vitam siquidem, quæ promiscue agitur cum iis qui secure perfectam præceptorum observationem contemnunt, perniciosam esse ac exitiosam ipse etiam Salomon ostendit, qui nos ita docet : *Noli esse sodalis viro furioso, neque una cum amico iracundo habites : ne forte discas vias ejus, et sumas laqueos animæ tuæ* [87]. Et illud : *Exite de medio eorum, et separamini, dicit Dominus* [88], eodem pertinet. Ne
B igitur per oculos auresve subeant peccati irritamenta, eique imprudentes assuescamus : neve rerum quas viderimus et audierimus quasi formæ quædam ac imagines, in anima permaneant ad exitium interitumque nostrum ; et ut in precatione insistere possimus, primum habitatio eligatur solitaria et ab hominum consortio remota. Sic enim licebit et priores mores vincere, per quos vitam egimus a Christi præceptis alienam (non mediocre autem est hoc certamen, suam ipsius consuetudinem superare : nam consuetudo per longum tempus corroborata, naturæ vim ac robur obtinet), et poterimus quoque peccati maculas abstergere, tum diligenti precatione, tum meditatione assidua voluntatum Dei : cui meditationi preca-
C tionique, inter multos qui animum distrahant, eumque in vitæ hujus negotiis occupatum teneant, vacare non possumus. Et illud : *Si quis vult post me venire, abneget semetipsum* [89], quis unquam inter hos degens explere poterit? Nos enim oportet, si nosmetipsos abnegemus, et crucem Christi tollamus, sic ipsum sequi. Abnegare autem semetipsum est præteritorum prorsus oblivisci, atque a voluntatibus suis secedere : quem secessum in promiscua hominum consuetudine servare difficillimum fuerit, ne dicam viribus omnino impar. Atque etiam ne quis tollat crucem suam, Christumque sequatur, impedimento est ejusmodi vitæ so-
D cietas. Nam præparare se ad mortem pro Christo perferendam, mortificare membra quæ sunt super

[87] Prov. XXII, 24, 25. [88] II Cor. VI, 17. [89] Luc. IX, 23.

(8) Codex Voss. τὴν ὁδὸν αὐτοῦ. Haud longe codex Colb. βρόχους τῇ σεαυτοῦ. Subinde editi et Reg. secundus πρὸς τοῦτο αὐτό. At mss. tres πρὸς τὸ αὐτό.

(9) Reg. primus ἐναπομένωσι. Codex Colb. ἀπομείνωσι.

(10) Codex Colb. ἐντολῶν τοῦ Θεοῦ.

(11) Idem ms. τῇ τε φιλοπόνῳ σχολάζειν προσευχῇ. Reg. primus emendatus habet σχολάζοντες. Sed illud σχολάζειν, sive σχολάζοντες, habeo pro additamento librariorum, quippe quod non obscure redundet. Quæ statim sequuntur, ἐν πολλοῖς τοῖς, etc., ea non nego intelligi posse de rebus, quæ distrahant animum : sed mihi verisimilius fit, intelligenda esse de personis. Basilii enim is est scopus, ut nos ad vitandam hominum frequentiam exhortetur. —Verte *inter multa animam distrahentia*. MARAN.

(12) Codex Voss. perinde ut Regii secundus et tertius Εἴ τις ἔρχεται πρὸς μὲ, ἀπαρνησάσθω ἑαυτόν. *si quis venit ad me, abneget semetipsum*. Codex Colb uberius Εἴ τις ἔρχεται πρὸς μὲ, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

(13) Editi et Combef. αὐτοῦ. Alii tres mss. præter Voss. ἑαυτοῦ. Haud longe codex Colb. ἀδιαφόρῳ συνοδίᾳ, *in promiscuo hominum cœtu*. Lectio non inepta.

(14) Legitur in Colb. Ἡ γὰρ ἐπιθυμία πρός, *desiderium mortis*.

terram, accingi quasi in instructa acie ad periculum omne subeundum, quod nobis pro Christi nomine impendeat, vitaque præsenti non affici, hoc est crucem suam tollere : ad quod magna nobis impedimenta a communi vitæ consuetudine accedere videmus.

2. Et præter alia omnia quæ multa sunt, respiciens animus in delinquentium multitudinem, primum quidem non habet spatium peccata sua sentiendi, seque ob delicta conterendi per pœnitentiam; **345** imo deterioribus secum collatis, etiam quamdam sibi vindicat virtutis speciem : deinde præ tumultibus et negotiis quæ vita communis parere solet, a pretiosissima Dei memoria abstractus, non id duntaxat detrimenti accipit ut nec gaudeat, nec delectetur in Deo, nec perfruatur Domini deliciis, nec verborum ejus dulcedinem degustet, ita ut dicere queat : *Memor fui Dei, et delectatus sum* [90] ; et : *Quam dulcia faucibus meis eloquia tua, super mel ori meo* [91]; sed etiam judicia ipsius aspernari ac prorsus oblivisci assuescit, quo nullum majus aut perniciosius malum ei accidere potest.

A δυνον τὸν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐπερχόμενον ἡμῖν διακεῖσθαι, καὶ τὸ ἀπροσπαθῶς ἔχειν πρὸς τὴν παροῦσαν ζωὴν, τοῦτό ἐστιν ἆραι (15) τὸν σταυρὸν ἑαυτοῦ· πρὸς ὃ μεγάλα ὁρῶμεν τὰ ἐμπόδια ὑπὸ τῆς τοῦ κοινοῦ βίου συνηθείας ἡμῖν ἐγγινόμενα.

2. Καὶ πρὸς πᾶσι τοῖς ἄλλοις πολλοῖς οὖσιν, εἰς τὸ πλῆθος τῶν παρανομούντων ἀποβλέπουσα ψυχὴ, πρῶτον μὲν οὐκ ἄγει καιρὸν ἐπαισθάνεσθαι τῶν ἰδίων ἁμαρτημάτων (16), καὶ συντρῖψαι ἑαυτὴν διὰ τῆς μετανοίας ἐπὶ τοῖς πλημμελήμασιν· ἐν δὲ τῇ συγκρίσει τῶν χειρόνων καὶ κατορθώματός τινα φαντασίαν προσκτᾶται· εἶτα ὑπὸ τῶν θορύβων καὶ τῶν ἀσχολιῶν, ἃς ὁ κοινὸς βίος πέφυκεν ἐμποιεῖν, τῆς ἀξιολογωτέρας μνήμης τοῦ Θεοῦ ἀποσπωμένη, οὐ μόνον τὸ ἐναγαλλιᾶσθαι καὶ ἐνευφραίνεσθαι (17) τῷ Θεῷ ζη-
B μιοῦται, καὶ τὸ κατατρυφᾷν τοῦ Κυρίου, καὶ τὸ καταγλυκαίνεσθαι τοῖς ῥήμασιν αὐτοῦ, ὥστε δύνασθαι εἰπεῖν· *Ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην*· καί, *Ὡς γλυκέα* (18) *τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου*· ἀλλὰ καὶ εἰς καταφρόνησιν καὶ λήθην τῶν κριμάτων αὐτοῦ παντελῆ συνεθίζεται, οὗ μεῖζον κακὸν οὐδὲν ἂν οὐδὲ ὀλεθριώτερον πάθοι.

INTERROGATIO VII.

Quod vita agenda sit cum iis qui eodem animo impulsi, Deo placere sibi proponunt. et quod difficile simulque periculosum sit, solitarium vivere.

Quoniam igitur ex verbis tuis nobis persuasissimum est, vitam quæ degitur cum iis qui Domini præcepta contemnunt, periculosam esse, ex ordine discere volumus, num qui secessit a talibus, debeat privatim et seorsum a cæteris degere, an cum fratribus concordibus, et qui eumdem pietatis scopum sibi constituerint, vitam ducere.

ΕΡΩΤΗΣΙΣ Ζ'.

Περὶ τοῦ δεῖν τοῖς ὁμόφροσι πρὸς τὸν σκοπὸν τῆς πρὸς Θεὸν εὐαρεστήσεως συζῆν· καὶ ὅτι δύσκολον ὁμοῦ καὶ ἐπικίνδυνον τὸ μονάζειν.

Ἐπεὶ οὖν ἐπληροφόρησεν ἡμᾶς ὁ λόγος, ἐπικίνδυνον εἶναι τὴν μετὰ τῶν καταφρονητικῶς ἐχόντων
C περὶ τὰς ἐντολὰς τοῦ Κυρίου ζωὴν, ἀκολούθως μαθεῖν ἀξιοῦμεν, εἰ χρὴ τὸν ἀναχωρήσαντα τούτων ἰδιάζειν καθ' ἑαυτὸν, ἢ ὁμόφροσιν ἀδελφοῖς καὶ τὸν αὐτὸν σκοπὸν τῆς εὐσεβείας προελομένοις συζῆν.

RESPONSIO.

1. Vitam quæ simul cum pluribus agitur ad multa utiliorem esse scio. Ac primum quidem, quod nemo nostrum sit, qui sibi ipsi sufficiat ad sublevandas corporis necessitates, sed in comparandis rebus necessariis alter alterius opera indigeamus. Quemadmodum enim pes aliam quidem obtinet facultatem, alia vero caret, et neque sine reliquorum membrorum auxilio suam ipsius vim reperit idoneam, aut perseveranter sibi ipsi sufficientem, neque in se subsidia habet, quæ quod sibi deest, suppleant : ita quoque in solitaria vita, et quod adest nobis, inutile redditur, et quod deest, comparari non potest : siquidem opifex Deus nos alterum alterius ope egere decrevit, sicut scriptum est [92], ut sic inter nos conjungamur.

ΑΠΟΚΡΙΣΙΣ.

1. Πρὸς πολλὰ χρησιμωτέραν καταμανθάνω τὴν ἐπὶ τὸ αὐτὸ τῶν πλειόνων διαγωγήν. Πρῶτον μὲν, ὅτι οὐδὲ πρὸς τὰς τοῦ σώματος χρείας ἕκαστος ἡμῶν ἑαυτῷ αὐτάρκης, ἀλλ' ἐν τῷ πορισμῷ τῶν ἀναγκαίων ἀλλήλων χρῄζομεν. Ὥσπερ γὰρ ὁ ποὺς τὴν μὲν ἔχει δύναμιν, τῆς δὲ ἐπιδεής ἐστι, καὶ ἄνευ τῆς τῶν λοιπῶν μελῶν συλλήψεως οὔτε τὴν ἑαυτοῦ (19) ἐνέργειαν δυνατὴν ἢ αὐτάρκη ἑαυτῷ πρὸς διαμονὴν εὑρίσκει,
D οὔτε παραμυθίαν ἔχει τοῦ λείποντος· οὕτω καὶ ἐν τῇ μονήρει ζωῇ καὶ τὸ παρὸν ἡμῖν ἄχρηστον γίνεται, καὶ τὸ ἐλλεῖπον ἀπαραμύθητον, τοῦ δημιουργοῦ Θεοῦ ὁρίσαντος χρῄζειν ἡμᾶς ἀλλήλων, καθὼς γέγραπται, ἵνα καὶ συναπτώμεθα ἀλλήλοις. Ἄνευ δὲ τούτου καὶ ὁ τῆς ἀγάπης τοῦ Χριστοῦ λόγος οὐκ ἐπιτρέπει τὸ ἴδιον σκοπεῖν ἕκαστον. *Ἡ ἀγάπη* γὰρ, φησὶν, *οὐ*

[90] Psal. LXXVI, 4. [91] Psal. CXVIII, 103. [92] Eccli. XIII, 20.

(15) Veteres duo libri τοῦτό ἐστι τὸ ἆραι.

(16) Scriptum invenitur in Colb. τῶν οἰκείων ἁμαρτ.

(17) Reg. primus οὐ μόνον τὸ ἐναγάλλεσθαι καὶ ἐνευφ. Legitur vero in Colb. οὐ μόνον τὸ ἐν ἀγαλλιάσει ἐνευφραίνεσθαι τῷ Θεῷ ζημιοῦται. Haud longe ante verbum κατατρυφᾷν voculam τό addidimus ex mss. multis.

(18) Editi γλυκεῖα. At Voss. et alii duo γλυκέα. Ibidem Colb. στόματί μου, καὶ κηρίον, *et super favum*. Hoc ipso in loco duo mss. ἢ καὶ λήθην.

(19) Reg. primus οὐδὲ τὴν ἑαυτοῦ. Statim Voss. οὕτως οὖν ἐν τῇ μονήρει.

ζητεῖ τὰ ἑαυτῆς. Ὁ δὲ ἀφιδιαστικὸς (20) βίος ἕνα σκοπὸν ἔχει, τὴν οἰκείαν ἑκάστου τῶν χρειῶν θεραπείαν. Τοῦτο δὲ προδήλως μαχόμενόν ἐστι τῷ τῆς ἀγάπης νόμῳ, ὃν ὁ Ἀπόστολος ἐπλήρου, μὴ ζητῶν τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν. Ἔπειτα ἐν τῷ καταχωρισμῷ (21) οὐδὲ τὸ ἐλάττωμα ῥᾳδίως ἕκαστος τὸ ἑαυτοῦ ἐπιγνώσεται, οὐκ ἔχων τὸν ἐλέγχοντα αὐτὸν, καὶ ἐν πρᾳότητι καὶ εὐσπλαγχνίᾳ ἐπανορθούμενον. Ἔλεγχος μὲν γὰρ καὶ παρὰ ἐχθροῦ πολλάκις ἂν γένοιτο θεραπείας ἐπιθυμίαν ἐμποιῶν τῷ εὐγνώμονι· θεραπεία δὲ ἁμαρτήματος ἐπιστημόνως παρὰ τοῦ εἰλικρινῶς ἀγαπήσαντος κατορθοῦται. *Ὁ γὰρ ἀγαπῶν*, φησὶν, *ἐπιμελῶς παιδεύει*. Ὃν ἐπὶ τῆς μονώσεως εὑρεῖν ἄπορον, μὴ προενωθέντα κατὰ τὸν βίον· ὥστε συμβαίνειν αὐτῷ τὸ εἰρημένον ἐκεῖνο· *Οὐαὶ τῷ ἑνὶ, ὅτι ἐὰν πέσῃ, οὐκ ἔστιν ὁ ἐγείρων αὐτόν*. Καὶ αἱ ἐντολαὶ δὲ ὑπὸ μὲν τῶν πλειόνων ἐπὶ τὸ αὐτὸ ῥᾳδίως γίνονται πλείους, ὑπὸ δὲ τοῦ ἑνὸς οὐκέτι· ἐν γὰρ τῇ ἐργασίᾳ τῆς μιᾶς ἐμποδίζεται ἡ ἄλλη. Οἷον, ἐν τῇ ἐπισκέψει τοῦ ἀσθενοῦντος ἡ ὑποδοχὴ τοῦ ξένου, καὶ ἐν τῇ μεταδόσει καὶ κοινωνίᾳ τῶν χρειῶν (22) (καὶ μάλιστα, ὅταν διὰ μακροῦ αἱ διακονίαι γίνωνται), ἡ περὶ τὰ ἔργα σπουδή· ὥστε ἐκ τούτου τὴν μεγίστην καὶ σύντονον πρὸς σωτηρίαν ἐντολὴν ἐλλιμπάνεσθαι· μήτε τοῦ πεινῶντος τρεφομένου, μήτε τοῦ γυμνοῦ περιβαλλομένου. Τίς ἂν οὖν ἕλοιτο τὴν ἀργὴν καὶ ἄκαρπον ζωὴν τῆς ἐγκάρπου καὶ κατ' ἐντολὴν τοῦ Κυρίου ἐπιτελουμένης προτιμῆσαι;

A Sed præterea diligendi Christi ratio et modus unumquemque quod proprium sibi fuerit, spectare non sinit. *Charitas* enim, inquit, *non quærit quæ sua sunt*[93]. Vita autem solitaria et seorsum a cæteris omnibus acta scopum unicum habet, ut suis quisque utilitatibus inserviat. Hoc autem aperte adversatur charitatis legi, quam implevit Apostolus, qui non sua, sed multorum commoda quærebat, ut salvi fierent[94]. Adhæc in hujusmodi secessu unusquisque ne **346** delictum quidem suum facile cognoscet, cum non habeat a quo redarguatur, et mansuete ac clementer corrigatur. Reprehensio enim quæ ab inimico etiam fit, sæpe in viro probo et æquo sanitatis quærendæ desiderium parit : peccatum vero ab eo qui sincere di-
B ligit, scienter curatur. *Qui* enim, inquit, *diligit, diligenter erudit*[95]. Talem autem in solitudine reperire difficillimum est, si prius in vitæ societatem adjunctus non fuerit. Quare accidit ei quod dictum est : *Væ uni, quia si ceciderit, non est qui erigat eum*[96]. Adhæc præcepta plura a pluribus simul congregatis facile perficiuntur, ab uno non item : quandoquidem dum unum fit, impeditur alterum. Exempli causa, infirmi visitatio facit ut hospes non excipiatur, et rerum ad vitam necessariarum largitio et distributio (maxime quando in his ministeriis multum insumendum est temporis) in causa est cur ad facienda opera studium conferri
C non possit, sic ut deseratur mandatum maximum, et maxime saluti conducibile : siquidem neque nutritur qui esurit, neque amicitur qui nudus est. Quis igitur inertem et infructuosam vitam ei, quæ fructuosa sit et Domini præcepto consentanea, velit anteponere ?

2. Εἰ δὲ καὶ πάντες, οἱ ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως προσληφθέντες, ἕν σῶμά ἐσμεν, κεφαλὴν ἔχοντες τὸν Χριστόν· ὁ δὲ καθεὶς ἀλλήλων μέλη, ἐὰν μὴ ἐκ συμφωνίας πρὸς ἑνὸς σώματος ἁρμολογίαν ἐν Πνεύματι ἁγίῳ συναρμοσθῶμεν· ἕκαστος δὲ ἡμῶν τὴν μόνωσιν αἱρῆται (23), μὴ κατὰ τὸ εὐάρεστον τῷ Θεῷ πρὸς τὸ κοινῇ συμφέρον τῇ οἰκονομίᾳ δουλεύων, ἀλλὰ τὸ ἴδιον τῆς αὐταρεσκείας πάθος πληροφορῶν· πῶς δυνάμεθα ἀπεσχισμένοι καὶ διῃρημένοι σώζειν τὴν τῶν μελῶν πρὸς ἄλληλα σχέσιν τε καὶ ὑπηρεσίαν, ἢ τὴν ὑποταγὴν πρὸς τὴν κεφαλὴν ἡμῶν, ἥτις ἐστὶν ὁ Χριστός; Οὔτε γὰρ τῷ δοξαζομένῳ συγχαίρειν, οὔτε συμπάσχειν δυνατὸν τῷ πάσχοντι, ἐν τῇ διαστάσει τοῦ βίου, οὐ δυναμένου κατὰ τὸ εἰκὸς ἑκάστου γινώσκειν τὰ τοῦ πλησίον. Εἶτα καὶ ἑνὸς μὴ ἐξαρκοῦντος

2 Quod si etiam omnes, qui fuimus in una vocationis spe assumpti[97], unum corpus sumus, ac caput Christum habemus, sumusque singuli alii aliorum membra[98], nisi per concordiam in sancto Spiritu coagmentemur in unius corporis compagem; contra, si quisque nostrum eligat vitam solitariam, neque in rebus dispensandis communi utilitati, ut Deo acceptus sit, inserviat, sed illi suæ cupiditati in qua sibi placet, obsequatur : qui fieri poterit, ut divisi ac disjuncti mutuam membro-
D rum inter se habitudinem, obsequiaque et obedientiam nostro capiti, qui Christus est, servemus ac tueamur? Neque enim possumus, si vitæ genere separemur, una cum eo qui gloria afficitur, gaudere : neque cum eo qui patitur, simul pati[99], cum

[93] I Cor. XIII, 5. [94] I Cor. X, 33. [95] Prov. XIII, 24. [96] Eccle. IV, 10. [97] Ephes. IV, 4. [98] I Cor. XII, 12. [99] ibid. 26.

(20) Codex Combef. emendatus habet ἀπιδιαστικός non solum hoc loco, sed ubicunque vox ἀφιδιαστικός invenitur. Basilius cum ita invehitur in solitariam vitam, nihil aliud sibi proponit, nisi ut ostendat hoc vivendi genus periculis multis, iisque maximis, obnoxium esse. Hujus interpretationis auctorem habeo Basilium ipsum, qui paulo post ita scripsit : Ὅπερ ἡλίκον ἔχει κίνδυνον, ἴστε πάντες οἱ ἀνεγνωκότες τὰ Εὐαγγέλια· *Quod quanto periculo obnoxium sit, scitis quotquot Evangelia legistis*. Haud longe apertius loquitur. Ejus hæc sunt verba, κίνδυνος δὲ παρέπεται τῇ μοναστικῇ ζωῇ πρὸς τοῖς εἰρημένοις, *quinetiam præter ea quæ dicta sunt, periculum comitatur vitam solitariam*.

(21) Pro καταχωρισμῷ legitur in Colb. χωρισμῷ. Mox Reg. primus ἕκαστος τὸ ἑαυτοῦ. Vocula τό in editis deerat.

(22) Antiquæ editiones κοινωνίᾳ τῶν χειρῶν. At mss. tres præter Voss. τῶν χρειῶν, et ita legerat interpres. Mox editio Paris. perinde ut Basil. διακονίαι γίνονται. Editio Ven. et quatuor mss. γίνωνται. Subinde codex Voss. πρὸς σωτηρίαν ἐντολὴν ἐλλιμπάνεσθαι. Codex Colb. εἰς σωτηρίαν.

(32) Antiqui duo libri αἱρεῖται.

unusquisque non valeat, ut credibile est, proximi statum cognoscere. Adhæc cum nemo unus idoneus sit, qui dona spiritualia omnia suscipiat, sed juxta rationem fidei [1], quæ est in unoquoque, detur Spiritus, in vitæ societate proprium cujusque donum fit contubernalium commune. *Alteri enim datur sermo sapientiæ, alteri vero sermo scientiæ, alteri fides, alii prophetia, alii dona sanationum* [2], etc. : quæ singula qui accipit, is ipsa non sua magis quam aliorum causa habet. Quare in vitæ communitate, Spiritus sancti vis et efficacia uni tributa simul ad omnes transeat necesse est. Qui igitur vivit ab omni hominum cœtu sejunctus, fortasse unum donum habet : sed cum illud in seipso defossum detineat, ipsum per inertiam inutile reddit : quod quanti sit periculi nostis quotquot legistis Evangelia. Contra, in plurium contubernio et suo quisque dono fruitur, ipsumque multiplicat communicando, et ex alienis tanquam ex suis fructum capit.

A ὑποδέξασθαι πάντα τὰ πνευματικὰ χαρίσματα, ἀλλὰ κατὰ τὴν ἀναλογίαν τῆς ἐν ἑκάστῳ πίστεως (24), τῆς ἐπιχορηγίας τοῦ Πνεύματος γινομένης, ἐν τῇ τῆς ζωῆς κοινωνίᾳ, τὸ ἑκάστου ἴδιον χάρισμα κοινὸν τῶν συμπολιτευομένων γίνεται. *Ὧ μὲν γὰρ δίδοται λόγος σοφίας, ἑτέρῳ δὲ λόγος γνώσεως, ἄλλῳ πίστις, ἄλλῳ προφητεία, ἄλλῳ χαρίσματα ἰαμάτων*, καὶ τὰ ἑξῆς· ὧν ἕκαστον οὐ μᾶλλον δι' ἑαυτὸν ἢ διὰ τοὺς ἄλλους ὁ λαμβάνων ἔχει. Ὥστε ἀνάγκη ἐν τῷ κοινωνικῷ βίῳ τὴν ἐν τῷ ἑνὶ τοῦ ἁγίου Πνεύματος ἐνέργειαν εἰς πάντας ὁμοῦ διαβαίνειν. Ὁ μὲν οὖν καθ' ἑαυτὸν ζῶν ἓν τυχὸν ἔχει χάρισμα, καὶ τοῦτο ἄχρηστον ποιεῖ διὰ τῆς ἀργίας, κατορύξας ἐν ἑαυτῷ· ὅπερ ἡλίκον ἔχει κίνδυνον, ἴστε πάντες οἱ ἀνεγνωκότες (25) τὰ Εὐαγγέλια· ἐν δὲ τῇ τῶν πλειόνων
B συμβιώσει καὶ τοῦ ἰδίου ἀπολαύει, πολυπλασιάζων αὐτὸ τῇ μεταδόσει (26), καὶ τὰ τῶν ἄλλων ὡς ἑαυτοῦ καρποῦται.

3. Prætereaque plura commoda, quæ enumerare omnia non facile sit, complectitur vitæ societas : siquidem et ad bona quæ a Deo nobis **347** data sunt conservanda, utilior est quam solitudo, et ad cavendas externas inimici insidias tutior est expergefactio illa, quæ a vigilantibus fit, siquando contingat, ut unus aliquis obdormiscat eo mortis somno, quem ut deprecaremur a nobis, docuit nos David his verbis [3] : *Illumina oculos meos, ne unquam obdormiam in morte :* et peccanti, si condemnationem concorditer a pluribus prolatam vereatur, facilius est secedere a peccato, sic ut convenire possit in eum illud *: Sufficit illi qui ejusmodi est, objurgatio hæc quæ fit a pluribus* [4] : et ei qui recte agit, satis est magna illa ac firma persuasio, quæ sibi multis approbantibus, atque operi assentientibus, innascitur. Si enim in ore duorum aut trium testium stabit omne verbum [5], profecto qui bonum opus peregerit cum plurium testimonio, longe solidius firmabitur. Cæterum pericula præter ea quæ diximus, vitam solitariam comitantur. Primum quidem et maximum in eo situm est quod sibi quisque placet. Cum enim neminem habeat qui ipsius opus probare possit, ad præcepti perfectionem jam pervenisse se arbitrabitur : deinde animi habitudinem semper inexercitam includens, neque vitia sua, neque profectum quem in quibusvis operibus

3. Ἔχει δὲ καὶ πλείονα ἡ ἐπὶ τὸ αὐτὸ ζωὴ ἀγαθὰ, ἅπερ οὐ ῥᾴδιον ἐξαριθμεῖσθαι πάντα. Πρός τε γὰρ τὴν τήρησιν τῶν δεδομένων ἡμῖν παρὰ τοῦ Θεοῦ ἀγαθῶν τῆς μονώσεώς ἐστι χρησιμωτέρα (27), καὶ πρὸς τὴν φυλακὴν τῆς ἔξωθεν ἐπιβουλῆς τοῦ ἐχθροῦ ἀσφαλέστερος ὁ παρὰ τῶν ἐγρηγορότων ἐξυπνισμὸς, εἴποτε ἄρα τῷ ἑνὶ ἀπονυστάξαι συμβαίη (28) ὕπνον ἐκεῖνον τὸν εἰς θάνατον, ὃν ἐδιδάχθημεν παρὰ τοῦ Δαβὶδ ἀπεύχεσθαι ἡμῖν συμβῆναι, λέγοντος· *Φώτι-*
C *σον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον·* καὶ τῷ μὲν ἁμαρτάνοντι τῆς ἁμαρτίας ἡ ἀναχώρησις ῥᾴων μᾶλλον, ἐντρεπομένῳ τὴν παρὰ τῶν πλειόνων ἐν συμφωνίᾳ γινομένην κατάγνωσιν, ὥστ' ἂν ἁρμόσαι αὐτῷ τὸ (29), *Ἀρκετὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη, ἡ ὑπὸ τῶν πλειόνων·* τῷ δὲ κατορθοῦντι ἡ πληροφορία πολλὴ ἔν τε (30) τῇ τῶν πολλῶν δοκιμασίᾳ καὶ συγκαταθέσει τοῦ ἔργου. Εἰ γὰρ ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, πολλῷ δηλονότι παγιώτερον ὁ τὸ ἀγαθὸν ἔργον ἐπιτελῶν ἐν τῇ τῶν πλειόνων μαρτυρίᾳ βεβαιωθήσεται. Κίνδυνος δὲ παρέπεται τῇ μοναστικῇ ζωῇ πρὸς τοῖς εἰρημένοις. Πρῶτος μὲν καὶ μέγιστος ὁ τῆς αὐταρεσκείας. Οὐδένα γὰρ ἔχων, ὃς δυνήσεται δοκιμάσαι αὐτοῦ τὸ ἔργον, εἰς τὸ τέλειον οἰήσεται
D τῆς ἐντολῆς ἐφθακέναι· εἶτα ἀγύμναστον ἀεὶ τὴν ἕξιν κατακλείσας, οὔτε τὰ ὑστερήματα (31) ἑαυτοῦ γνωρίζει, οὔτε τὴν ἐν τοῖς ἔργοις προκοπὴν ἐπιγι-

[1] Rom. XII, 6. [2] I Cor. XII, 8-10. [3] Psal. XII, 4. [4] II Cor. II, 6. [5] Matth. XVIII, 6.

(24) Scriptum invenitur in Colb. τῆς ἐν ἑκάστῳ φύσεως.

(25) Editi ἴστε πάντως ἀνεγνωκότες. Reg. primus πάντως οἱ ἀνεγνωκότες. Alii duo mss. πάντες οἱ ἀνεγνωκότες.

(26) Antiqui duo libri ἐν τῇ μεταδόσει. Mox codex Voss. et alter ἐξαριθμήσασθαι. Codex Colb. ἀριθμήσασθαι.

(27) Editiones veteres et duo mss. χρησιμωτέρα. Codex Voss. et alii duo προτιμοτέρα, *solitudini anteponenda*.

(28) Legitur et in Voss. et in Reg. primo ἀπονυστάξαι συμβῇ.

(29) Codex Colb. ὡς ἂν ἁρμόσῃ αὐτῷ ἡ ἐπιτιμία αὕτη ἡ, etc. Ibidem in codice Voss. pro ἀρκετὸν corrupte legitur ἀρέσκον.

(30) Sic antiqui duo libri. Vocula τέ deest in vulgatis.

(31) Vox ὑστέρημα usitate quidem sumitur pro defectu, pro penuria : sed tamen vitia et pravos mores hoc loco significare mihi videtur.

νώσκει, τῷ πᾶσαν ὕλην τῆς ἐργασίας τῶν ἐντολῶν περιῃρηκέναι (32).

4. Ἐν τίνι γὰρ τὴν ταπεινοφροσύνην ἐπιδείξεται, μηδένα ἔχων, οὗ ταπεινότερον ἑαυτὸν ἀποδείξει; Ἐν τίνι τὴν εὐσπλαγχνίαν, ἀποτετμημένος τῆς κοινωνίας τῶν πλειόνων; Πρὸς μακροθυμίαν δὲ πῶς ἑαυτὸν γυμνάσει, μηδενὸς ἀνθισταμένου αὐτοῦ τοῖς θελήμασιν; Εἰ δέ τις λέγει ἀρκεῖσθαι τῇ τῶν θείων (33) Γραφῶν διδασκαλίᾳ πρὸς τὴν κατόρθωσιν τῶν ἠθῶν, ὅμοιον ποιεῖ τῷ μανθάνοντι μὲν τεκταίνειν, μηδέποτε δὲ τεκταίνοντι, καὶ διδασκομένῳ μὲν χαλκευτικὴν, εἰς ἔργον δὲ προάγειν τὰ διδάγματα μὴ αἱρουμένῳ (34). Πρὸς ὃν εἴποι ἂν ὁ Ἀπόστολος· *Οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται.* Ἰδοὺ γὰρ ὁ Κύριος δι' ὑπερβολὴν φιλανθρωπίας οὐκ ἠρκέσθη τῇ ἐκ τοῦ λόγου διδασκαλίᾳ μόνον, ἀλλ' ὥστε ἀκριβῶς καὶ ἐναργῶς ἡμῖν παραδοῦναι τὸ ὑπόδειγμα τῆς ταπεινοφροσύνης ἐν τῇ τελειότητι τῆς ἀγάπης, αὐτὸς περιζωσάμενος ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. Τίνα οὖν ἀπονίψεις; τίνα θεραπεύσεις; τίνος ἔσχατος ἔσῃ, αὐτὸς καθ' ἑαυτὸν διάγων; Τὸ δὲ καλὸν καὶ τερπνὸν, ἡ τῶν ἀδελφῶν ἐπὶ τὸ αὐτὸ κατοίκησις, ἣν μύρῳ (35) τῆς τοῦ ἀρχιερέως κεφαλῆς ἀποπνέοντι τὸ Πνεῦμα τὸ ἅγιον παρεικάζει, πῶς ἐν τῇ καταμόνας οἰκήσει συμπληρωθήσεται; Στάδιον οὖν ἀθλήσεως, καὶ προκοπῆς εὐοδία (36), καὶ διηνεκὴς γυμνασία, καὶ μελέτη τῶν τοῦ Κυρίου ἐντολῶν, καὶ ἐπὶ τὸ αὐτὸ κατοίκησίς ἐστι τῶν ἀδελφῶν· σκοπὸν μὲν ἔχουσα τὴν δόξαν τοῦ Θεοῦ κατ' ἐντολὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· *Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς·* χαρακτῆρα δὲ σώζουσα τῶν ἐν ταῖς Πράξεσιν ἱστορουμένων ἁγίων, περὶ ὧν γέγραπται· *Πάντες δὲ οἱ πιστεύοντες* (37) *ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά·* καὶ πάλιν· *Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία· καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά.*

ΕΡΩΤΗΣΙΣ Η'.

Περὶ ἀποταγῆς.

Εἰ χρὴ πρῶτον ἀποτάσσεσθαι πᾶσι, καὶ οὕτως προσιέναι τῇ κατὰ Θεὸν πολιτείᾳ.

ΑΠΟΚΡΙΣΙΣ.

1. Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πολλὴν

A fecerit, cognoscit, cum materia omnis et occasio mandatorum conficiendorum resecetur.

4. In quo enim humilitatem ostendit, qui neminem habet, quo seipsum declaret humiliorem? In quo commiserationem, amputata et abscissa plurium societate? Quomodo autem exercebit se ad patientiam, nemine voluntatibus ipsius obsistente? Quod si quispiam dicat Scripturarum doctrinam satis sibi esse ad mores emendandos, perinde facit atque is qui discit quidem ædificare, nec unquam tamen ædificat, aut eodem modo atque is qui edoctus est artem ærariam, sed qui data sibi documenta ad actum redigere non vult. Ad quem Apostolus possit dicere: *Non auditores legis justi sunt apud Deum, sed factores legis justificabuntur* [6].

B Ecce enim Dominus ob benignitatis suæ magnitudinem non sola doctrina quæ in verbis sita est, contentus fuit: sed ut expresse evidenterque in dilectionis perfectione nobis traderet humilitatis exemplum, cinxit se ipse, et discipulorum pedes lavit. Quem igitur tu lavabis? in quem officiosus eris? præ quo futurus es ultimus, si ipse tecum solus degas? Bonum autem et jucundum illud, fratrum videlicet eodem in loco habitatio, quam unguento odorem ex summi pontificis capite emittenti Spiritus sanctus comparat [7], qua tandem ratione in solitaria habitatione implebitur? Itaque certaminis stadium, et expedita proficiendi via, et perpetuum exercitium, et mandatorum Domini

C **348** meditatio, fratrum est eodem in loco habitatio: quæ et pro scopo habet Dei gloriam ex præcepto Domini nostri Jesu Christi, qui dixit: *Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cœlis est* [8], et ritum ac formam sanctorum servat, quorum fit in Actis mentio, et de quibus scriptum est: *Omnes autem qui credebant erant simul in eodem loco, et habebant omnia communia* [9]. Et rursus: *Multitudinis autem credentium erat cor unum, et anima una: nec quisquam, eorum quæ possidebat aliquid suum esse dicebat, sed erant illis omnia communia* [10].

INTERROGATIO VIII.

De renuntiatione.

D Num oporteat primum renuntiare omnibus, et ita demum ad vitæ genus quod secundum Deum sit, accedere.

RESPONSIO.

1. Cum Dominus noster Jesus Christus post do-

[6] Rom. II, 13. [7] Psal. CXXXII, 1, 2. [8] Matth. V, 16. [9] Act. II, 44. [10] Act. IV, 32.

(32) Reg. tertius ἐντολῶν προῃρηκέναι. Mox Reg. primus ἑαυτὸν ἐπιδείξει.

(33) Sic codex Voss. et Reg. primus. Vox θείων in vulgatis deerat.

(34) Reg. primus προαγαγεῖν τὰ διδασκόμενα μὴ προαιρουμένῳ. Codex Voss. loco προάγειν habet quoque προαγαγεῖν.

(35) Codex Colb. Τὸ δὲ ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν. ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό, ἣν μύρῳ, *ecce nunc quid bonum, vel quid jucundum, nisi habitare fratres in unum.*

(36) Reg. primus et Colb. προκοπῆς εὐδοκία, *voluntas ad proficiendum propensa.* Alii duo mss. et editi εὐοδία.

(37) Antiqui duo libri cum Voss. οἱ πιστεύσαντες. Mox mss. duo ἡ καρδία καὶ ἡ ψυχή. Deerant articuli in vulgatis.

cumenta multa, eaque ex multis operibus valide comprobata, dicat omnibus : *Si quis venit ad me, abneget semetipsum, et tollat crucem suam, et sequatur me* [11] ; et iterum : *Sic ergo omnis ex vobis, qui non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus* [12] ; arbitramur hoc præceptum ad plura a quibus abalienari oportet, pertinere. Nam et diabolo ante omnia et carnis affectibus renuntiamus, qui nuntium remisimus occultis turpitudinibus, cognationibus corporeis, hominum amicitiis et vitæ consuetudini, quæ integritati Evangelii salutis adversetur. Et quod his magis necessarium est, sibi ipse renuntiat qui exuit veterem hominem cum actibus ipsius [13], qui corrumpitur secundum desideria erroris [14]. Ac etiam renuntiat omnibus mundanis affectibus, qui pietatis scopo impedimento esse possunt. Itaque qui ejusmodi est, veros parentes eos esse existimabit, qui ipsum in Christo Jesu per Evangelium genuerint [15] : fratres vero eos, qui acceperint eumdem adoptionis Spiritum, prætereaque omnibus divitiis tanquam rebus alienis, ut reipsa sunt, intendet. Uno verbo, is cui propter Christum mundus totus crucifixus est, et ipse mundo [16], quomodo adhuc potest curarum mundanarum particeps esse? cum Dominus noster Jesus Christus et animæ odium et sui ipsius abnegationem ad summum perducat his verbis : *Si quis vult post me venire, abneget semetipsum, et tollat crucem suam :* tumque subjungit : *Et sequatur me* [17]. Et rursus : *Si quis venit ad me, et non odit patrem suum, et matrem, et uxorem, et filios, et fratres, et sorores, adhuc autem et animam suam, non potest meus esse discipulus* [18]. Quamobrem in eo sita est perfecta renuntiatio, si quem nec ipsius vitæ amor moveat, sed habeat sententiam mortis, sic ut nihil sibi confidat [19]. Inde autem initium sumit, si videlicet alienemur a rebus externis, **349** exempli causa, a possessionibus, ab inani gloria, a vitæ consuetudine, a rerum inutilium studio, uti docuerunt nos sancti Domini discipuli, Jacobus et Joannes, qui patrem suum Zebedæum, ipsumque, a quo tota illorum victus ratio pendebat, navigium reliquere : Matthæus vero, cum ab ipso telonio surrexit, Dominumque secutus est : qui non telonii solum emolumenta reliquit, sed pericula etiam contempsit, quæ a magistratibus tum sibi tum consanguineis suis impendebant, quod vectigalium rationes reliquisset infectas. Paulo denique totus etiam mundus crucifixus erat, et ipse mundo [20].

A καὶ διὰ πλειόνων πραγμάτων ἰσχυρὰν ἀπόδειξιν λέγοντος πρὸς πάντας· *Εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω* (38) *τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι·* καὶ πάλιν· *Οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής·* ἡγούμεθα τὸ παράγγελμα ἐπὶ πλείονα διατείνειν, ὧν ἡ ἀλλοτρίωσις ἀναγκαία. Καὶ γὰρ τῷ διαβόλῳ πρὸ πάντων ἀποτασσόμεθα, καὶ τοῖς πάθεσι τῆς σαρκὸς, οἱ ἀπειπάμενοι τὰ κρυπτὰ τῆς αἰσχύνης, καὶ συγγενείαις σωματικαῖς, καὶ ἑταιρείαις ἀνθρώπων, καὶ ἔθει βίου μαχομένῳ πρὸς τὴν ἀκρίβειαν τοῦ Εὐαγγελίου τῆς σωτηρίας. Καὶ τὸ τούτων ἀναγκαιότερον, αὐτὸς ἑαυτῷ ἀποτάσσεται ὁ ἀποδυσάμενος τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πρά- B ξεσιν αὐτοῦ, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης. Ἀποτάσσεται δὲ καὶ πάσαις προσπαθείαις (39) τοῦ κόσμου, ἐμποδίζειν τῷ σκοπῷ τῆς εὐσεβείας δυναμέναις. Γονεῖς μὲν οὖν ὁ τοιοῦτος τοὺς ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου γεννήσαντας αὐτὸν ἀληθινοὺς ἡγήσεται, ἀδελφοὺς δὲ τοὺς τὸ αὐτὸ Πνεῦμα τῆς υἱοθεσίας λαβόντας, κτήμασι δὲ πᾶσιν ὡς ἀλλοτρίοις, ὅπερ ἐστὶ, προσέξει. Ἑνὶ δὲ λόγῳ, ᾧ διὰ Χριστὸν ὅλος ὁ κόσμος ἐσταύρωται, καὶ αὐτὸς τῷ κόσμῳ, πῶς ἔτι δύναται εἶναι μέτοχος τῶν μεριμνῶν τοῦ κόσμου (40); τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἄκρον προάγοντος τό τε μῖσος τῆς ψυχῆς καὶ τὴν ἑαυτοῦ ἄρνησιν δι' ὧν φησιν· *Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ·* καὶ τότε ἐπαγαγόντος· C *Καὶ ἀκολουθείτω μοι·* καὶ πάλιν· *Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου εἶναι μαθητής.* Ὥστε ἡ μὲν τελεία ἀποταγὴ (41) ἐστιν ἐν τῷ τὸ ἀπροσπαθὲς κατορθῶσαι καὶ πρὸς αὐτὸ τὸ ζῆν, καὶ τὸ ἀπόκριμα τοῦ θανάτου ἔχειν, ὥστε μὴ ἐφ' ἑαυτῷ πεποιθέναι· ἄρχεται δὲ ἀπὸ τῆς τῶν ἔξωθεν (42) ἀλλοτριώσεως, οἷον, κτημάτων, δόξης ματαίας, συνηθείας βίου, προσπαθείας τῶν ἀνωφελῶν, καθὰ καὶ οἱ ἅγιοι μαθηταὶ τοῦ Κυρίου ὑπέδειξαν ἡμῖν, Ἰάκωβος μὲν καὶ Ἰωάννης, καταλιπόντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον, καὶ αὐτὸ τὸ πλοῖον τὴν πᾶσαν ἀφορ- D μὴν τοῦ βίου· Ματθαῖος δὲ ἀπ' αὐτοῦ τοῦ τελωνείου ἐξαναστὰς, καὶ ἀκολουθήσας τῷ Κυρίῳ, οὐ τὰ κέρδη μόνον τὰ ἐν τῷ τελωνείῳ καταλιπὼν, ἀλλὰ καὶ τῶν κινδύνων ὑπεριδὼν, οἳ ἐπακολουθεῖν ἤμελλον αὐτῷ τε καὶ τοῖς οἰκείοις παρὰ τῆς ἐξουσίας, ἀτελεῖς τοὺς λόγους τοῦ τελωνείου καταλιμπάνοντι. Παύλῳ δὲ καὶ ὁ σύμπας κόσμος ἐσταύρωτο, καὶ αὐτὸς τῷ κόσμῳ.

[11] Matth. XVI, 24. [12] Luc. XIV, 33. [13] Coloss. III, 9. [14] Ephes. IV, 22. [15] I Cor. IV, 15. [16] Galat. VI, 14. [17] Matth. XVI, 24. [18] Luc. XIV, 26. [19] II Cor. I, 9. [20] Galat. VI, 14.

(38) Codex Colb. ἀπαρνησάσθω ἑαυτὸν ἀπὸ τοῦ κόσμου, καὶ ἀράτω.

(39) Veteres duo libri ταῖς προσπαθείαις. Mox editi μὲν οὖν. Illud οὖν in nostris mss. non legitur.

(40) Regii secundus et tertius æque ac editiones veteres δοῦλος εἶναι τῶν μερῶν τοῦ κόσμου, *quomodo potest adhuc servus esse partium mundi.* Reg. primus et Voss. εἶναι μέτοχος τῶν, etc., *qui fieri potest, ut particeps sit partium mundi.* Codex Colb. δύναται εἶναι μέτοχος τῶν μεριμνῶν τοῦ κόσμου; et ita, ut mihi quidem videtur, legi præstat.

(41) Codex Voss. ἀγάπη, *perfecta charitas.*

(42) Veteres duo libri cum Voss. ἐκ τῆς ἔξωθεν. Mox Regii primus et Colb. ἢ δόξης.

2. Οὕτως ὁ σφόδρα τῇ ἐπιθυμίᾳ τοῦ ἀκολουθεῖν A Χριστῷ κατεχόμενος πρὸς οὐδὲν ἔτι τῆς ζωῆς ταύτης ἐπιστραφῆναι δύναται, οὐ πρὸς γονέων ἢ οἰκείων φίλτρον, ὅταν ἐναντιούμενον ᾖ τοῖς τοῦ Κυρίου προστάγμασι (τότε γὰρ καιρὸν ἔχει καὶ τό· *Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα*, καὶ τὰ λοιπά)· οὐ πρὸς ἀνθρώπινον φόβον, ὥστε δι' αὐτὸν ὑποσταλῆναί τι τῶν συμφερόντων, ὅπερ κατώρθωσαν οἱ ἅγιοι, εἰπόντες· *Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις*· οὐ πρὸς τὸν ἐπὶ τοῖς καλοῖς (43) παρὰ τῶν ἔξωθεν γέλωτα, ὥστε τῷ φαυλισμῷ αὐτῶν ἡττηθῆναι. Εἰ δέ τις βούλοιτο ἀκριβέστερον καὶ τρανότερον γνωρίσαι τὸν συνεζευγμένον τόνον τῇ ἐπιθυμίᾳ τῶν ἀκολουθούντων τῷ Κυρίῳ, μνημονευσάτω τοῦ Ἀποστόλου διηγουμένου τὰ καθ' ἑαυτὸν εἰς διδασκα- B λίαν ἡμετέραν, καὶ λέγοντος· *Εἴ τις δοκεῖ πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον· περιτομῇ ὀκταήμερος, ἐκ γένους Ἰσραὴλ, φυλῆς Βενιαμὶν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν Ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος· ἀλλ' ἅτινα* (44) *ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. Ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω.* Εἰ γὰρ (ἵνα τι καὶ εἴπω τολμηρὸν μὲν, ἀληθὲς δὲ), εἰ τοῖς ἐκβλητοτάτοις τοῦ σώματος, καὶ ἀποπτύ- C στοις, καὶ ὧν μάλιστα πρὸς τὴν ἀλλοτρίωσιν ἐπειγόμεθα, τούτοις προσείκασεν αὐτὰ τὰ παρὰ Θεοῦ πρὸς καιρὸν δεδομένα νομικὰ προτερήματα, ὡς ἐμπόδια τῆς τοῦ Χριστοῦ γνώσεως, καὶ τῆς ἐν αὐτῷ δικαιοσύνης, καὶ τῆς πρὸς θάνατον αὐτοῦ συμμορφώσεως, τί ἂν τις εἴποι περὶ τῶν ἀνθρώποις (45) νενομισμένων; Καὶ τί χρὴ λογισμοῖς ἡμετέροις καὶ τοῖς τῶν ἁγίων ὑποδείγμασι τὸν λόγον πιστοῦσθαι; ἐξὸν αὐτὰ παραθέσθαι τοῦ Κυρίου τὰ ῥήματα, καὶ δι' αὐτῶν τὴν ἔμφοβον ψυχὴν δυσωπῆσαι, σαφῶς καὶ ἀναντιῤῥήτως διαμαρτυρομένου ἐν τῷ λέγειν· *Οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ* (46) *ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής*· καὶ ἀλλαχοῦ μετὰ τὸ, *Εἰ θέλεις τέλειος εἶναι*, πρότερον D εἰπόντος· *Ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς*· καὶ τότε ἐπαγαγόντος τὸ, *Δεῦρο, ἀκολούθει μοι*. Καὶ ἡ παραβολὴ δὲ τοῦ ἐμπόρου παντὶ σαφὴς (47) ἐστι τῷ εὐγνώμονι πρὸς τοῦτο φέρουσα. *Ὁμοία γάρ ἐστι*, φησὶν, *ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς*

2. Sic qui vehementer Christum sequi desiderat, nihil, quod ad hanc vitam attineat, curare amplius potest, non ipsum parentum aut propinquorum amorem, si Domini præceptis adversetur (tunc enim locum etiam habet illud : *Si quis venit ad me, et non odit patrem suum et matrem* [21], et cætera) : non humanum timorem, ita ut illius causa aliquid utilium subtrahatur : quod præstitere sancti, qui dicebant : *Obedire oportet Deo magis quam hominibus* [22] : non hominum profanorum risum quem bona opera concitarint, sic ut eorum contemptui cedat. Quod si quispiam velit eorum qui Dominum sequuntur, vim ac robur, cum desiderio conjunctum, accuratius ac dilucidius cognoscere, meminerit Apostoli, qui ad docendos nos narrat quæ ad se spectabant, ac dicit : *Si quis videtur confidere in carne, ego magis : circumcisus octavo die, ex genere Israel, de tribu Benjamin, Hebræus ex Hebræis, secundum legem Pharisæus : secundum æmulationem persequens Ecclesiam, secundum justitiam quæ in lege est, conversatus sine reprehensione : sed quæ mihi erant lucra, hæc arbitratus sum propter Christum detrimenta. Verumtamen existimo omnia detrimentum esse propter eminentem scientiam Jesu Christi Domini nostri : propter quem omnia detrimentum feci, et arbitror stercora esse ut Christum lucrifaciam* [23]. Etenim (ut nonnihil audacter, at vere tamen eloquar) si Apostolus ipsa legis privilegia quæ ad tempus tradita erant, comparavit cum spurcissimis corporis sordibus, quas et aversamur, et a nobis citissime removemus, quod videlicet obessent Christi cognitioni, eique quæ in ipso est justitiæ, et nostræ ad ipsius mortem conformationi, quid quis dixerit de hominum institutis? Et quid opus est nostris ratiocinationibus et sanctorum exemplis confirmare sermonem? cum ipsa liceat afferre Domini verba, iisque timentem animam convincere : quibus hæc aperte ac evidenter testatur, ubi dicit : *Sic ergo omnis ex vobis, qui non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus* [24]. Et alibi post illud, *Si vis perfectus esse*, prius dixerat : *Vade, vende quæ habes, et da pauperibus*; tumque subjunxit : *Veni, sequere me* [25]. Atque etiam mercatoris parabola huc **350** spectare cuivis æquo rerum æstimatori videbitur. *Simile est* enim, inquit, *regnum cœlorum homini negotiatori, quærenti bonas margaritas; inventa autem una pretiosa margarita, abiit, et vendidit omnia quæ habuit, et emit eam* [26]. Planum est enim regnum cœleste per pretiosam margaritam adumbrari : quod nos assequi non posse declarant Domini

[21] Luc. XIV, 26. [22] Act. V, 29. [23] Philipp. III, 4-8. [24] Luc. XIV, 33. [25] Matth. XIX, 21. [26] Matth. XIII, 45, 46.

(43) Editio Basil. perinde ut Paris. ἐπὶ τοῖς κακοῖς, quo nihil alienius aut ineptius. Editio Ven. et codex Voss. et Combef. et alii duo Regii καλοῖς, bene.

(44) Editiones veteres ἀλλά τινα. Codex Combef. et alii duo ἀλλ'. ἅτινα. Statim Reg. tertius Ἀλλὰ μενοῦνγε καί. Ibidem tres mss. τὰ πάντα. Mox Reg. primus Κυρίου μου, *Domini mei*.

(45) Reg. primus περὶ τῶν ἐν ἀνθρώποις.

(46) Idem ms. τοῖς ἑαυτῷ.

(47) Editio Basil. æque ac Paris. παντὶ σαφός. Codex Combef. et alii tres σαφής. Ibidem antiquæ editiones et duo mss. τῶν εὐγνωμόνων. Reg. primus et Voss. et Colb. τῷ εὐγνώμονι.

verba, nisi omnia simul quæ habemus, et divitias, et gloriam, et genus, et si quid aliud est, cujus studio desiderioque plerique teneantur, pro eo comparando deseramus.

A *μαργαρίτας, ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν ἐπώλησε πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν.* Δῆλον γὰρ, ὅτι ὁ πολύτιμος μαργαρίτης πρὸς τὴν ὁμοίωσιν τῆς ἐπουρανίου βασιλείας (48) παρείληπται, ἣν ἀδύνατον ἡμῖν προσγενέσθαι ὁ τοῦ Κυρίου δείκνυσι λόγος, μὴ πάντα ὁμοῦ τὰ προσόντα ἡμῖν, καὶ πλοῦτον, καὶ δόξαν, καὶ γένος, καὶ εἴ τι ἄλλο τῶν πολλοῖς (49) περισπουδάστων, πρὸς τὴν ἀνταλλαγὴν αὐτῆς προεμένοις.

3. Deinde fieri quoque non posse ut recte agatur quod cupitur studiosius, si mens in varias curas diducta sit, idem Dominus affirmavit, cum dixit: *Nemo potest duobus dominis servire* [27]; et rursus: *Non potestis Deo servire et mammonæ* [28]. Quamobrem thesaurus cœlestis a nobis eligendus est solus, ut in eo cor habeamus. *Ubi enim*, inquit, *est thesaurus tuus, ibi et cor tuum erit* [29]. Si igitur nobis ipsis aliquam possessionem terrenam aliquasque opes corruptioni obnoxias servaverimus, necesse est, mente hic quasi in quodam cœno defossa, animam ad Dei contemplationem nunquam pertingere, nec ullo unquam cœlestis pulchritudinis bonorumque nobis promissorum desiderio commoveri: quæ adipisci non possumus, nisi assiduum ac vehemens desiderium nos ad ea petenda impellat, suscipiendumque eorum causa laborem levem reddat. Est igitur renuntiatio, ut ex dictis constat, dissolutio simul vinculorum terrenæ hujus ac temporariæ vitæ, et humanorum officiorum liberatio: quæ nos efficit magis idoneos, qui iter ad Deum deducens inceptemus. Est et occasio impedimenti expers, qua obtinetur possessio ususque rerum pretiosarum *Super aurum et lapidem pretiosum multum* [30]. Et, ut in summa dicam, est cordis humani ad cœlestem conversationem translatio, sic ut dicere possimus: *Nostra enim conversatio in cœlis est* [31]. Et, quod maximum est, similitudinis ejus quam cum Christo habere debemus, initium est: qui propter nos egenus factus est, cum esset dives [32]: quam nisi prius consequamur, vivendi rationem Christi Evangelio consentaneam attingere non possumus. Quando enim aut cordis contritio, aut mentis humilitas, aut iræ, tristitiæ, sollicitudinum, et, ne longum faciam, exitiosorum animi motuum liberatio in divitiis hujusque vitæ curis et aliarum rerum affectu atque consuetudine comparari potest? Uno verbo, cui ne de ipsis quidem

3. Εἶτα μέντοι καὶ ἀδύνατον πρὸς διαφόρους φροντίδας τοῦ νοῦ μεριζομένου κατορθοῦσθαι τὸ σπουδαζόμενον ὁ Κύριος ἀπεφήνατο, εἰπών· *Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν·* καὶ πάλιν· *Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ.* Ἕνα οὖν θησαυρὸν τὸν ἐπουράνιον ἡμῖν ἐκλεκτέον, ἵνα ἐν αὐτῷ ἔχωμεν τὴν καρδίαν. *Ὅπου γὰρ*, φησὶν, *ἐστὶν ὁ θησαυρός σου, ἐκεῖ καὶ ἡ καρδία σου* B *ἔσται.* Ἐὰν οὖν τι ὑπολειπώμεθα (50) ἑαυτοῖς κτῆμα γήϊνον καὶ περιουσίαν τινὰ φθαρτὴν, ἐνταῦθα τοῦ νοῦ οἷον ἔν τινι βορβόρῳ κατορυγέντος, ἀνάγκη τὴν ψυχὴν ἀθέατον εἶναι Θεοῦ (51), καὶ πρὸς τὴν ἐπιθυμίαν τῶν ἐπουρανίων καλῶν καὶ τῶν ἀποκειμένων ἡμῖν ἀγαθῶν ἐν ἐπαγγελίαις ἀκίνητον· ὧν τὴν κτῆσιν περιγίνεσθαι ἡμῖν ἀμήχανον, μὴ ἀπερισπάστου καὶ σφοδροτέρου πόθου ἄγοντος ἡμᾶς πρὸς τὴν αὐτῶν αἴτησιν, καὶ τὸν ἐπ' αὐτοῖς πόνον ἐπικουφίζοντος. Ἔστιν οὖν ἡ ἀποταγὴ, ὡς ὁ λόγος ὑπέδειξε, λύσις μὲν τῶν δεσμῶν τῆς ὑλικῆς ταύτης καὶ προσκαίρου ζωῆς, ἐλευθερία δὲ τῶν ἀνθρωπίνων καθηκόντων, ἐπιτηδειοτέρους κατασκευάζουσα πρὸς τὸ ἀπάρξασθαι τῆς πρὸς Θεὸν ὁδοῦ. Τῆς τῶν πο- C λυτιμήτων κτήσεώς τε καὶ χρήσεως ἀκώλυτος ἀφορμὴ τῶν *Ὑπὲρ χρυσίον* (52) *καὶ λίθον τίμιον πολύν.* Καὶ, συνελόντα εἰπεῖν, καρδίας ἀνθρωπίνης πρὸς τὴν ἐν οὐρανῷ πολιτείαν μετάθεσις, ὥστε δύνασθαι λέγειν· *Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει.* Καὶ, τὸ μέγιστον, ἀρχὴ τῆς πρὸς Χριστὸν ὁμοιώσεως, ὃς (53) δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὤν· ἣν εἰ μὴ κατορθώσαιμεν (54), ἀδύνατον ἡμᾶς τῆς κατὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ πολιτείας ἐφάψασθαι. Πότε γὰρ ἢ καρδίας συντριμμὸς, ἢ ταπείνωσις φρονήματος, ἢ θυμοῦ, καὶ λύπης, καὶ φροντίδων, καὶ, συνελόντα εἰπεῖν, τῶν ὀλεθρίων παθῶν τῆς ψυχῆς ἀπαλλαγὴ, ἐν πλούτῳ καὶ μερίμναις βιωτικαῖς, προσπαθείᾳ τε καὶ συνηθείᾳ τῶν ἄλλων κατορθωθῆναι δύναται (55); Ὅλως D δὲ, ᾧ μηδὲ περὶ αὐτῶν τῶν ἀναγκαίων μεριμνᾷν

[27] Matth. vi, 24. [28] ibid. [29] ibid. 21 [30] Psal. xviii, 11 [31] Philipp. iii, 20. [32] II Cor. viii, 9.

(48) Antiqui tres libri τῆς ἐν οὐρανῷ βασιλείας.

(49) Editi et mss. tres τῶν τοῖς πολλοῖς. Reg. primus τῶν πολλοῖς, rectius. Codex Colb. ἄλλο τὸ πολλοῖς περισπούδαστον. Subinde codex Voss. et Colb. προϊεμένοις. Ait Combefisius, videri auctorem e regno cœlorum excludere eos, qui non renuntiant omnibus, nec paupertatem evangelicam amplexantur: sed videtur ipse hujus loci sententiam assecutus non fuisse. Non enim auctor universe ait necesse esse, ut omnes, qui salvi esse volunt, renuntient omnibus: sed ait duntaxat, eos qui semel vitam monasticam professi sunt, omnibus renuntiare debere, si salutem æternam consequi velint.

(50) Veteres duo libri ὑπολιπώμεθα. Statim duo mss. κτῆμα γήϊνον.

(51) Unus Reg. emendatus ἄθελκτον εἶναι Θεοῦ, *necesse est animam nullis Dei illecebris moveri.* Aliquanto post Reg. primus κτῆσιν περιγενέσθαι.

(52) Veteres duo libri cum Voss. χρυσίον. Editiones antiquæ et unus ms. χρυσόν. Haud longe Reg. primus τὴν ἐν οὐρανοῖς.

(53) Ita in Colb. legitur, καὶ τὸ μέγιστον καύχημα τῆς πρὸς Θεὸν ὁμοιώσεως, ὅς.

(54) Codex Colb. κατορθώσωμεν. Mox idem ms. ἢ καὶ ταπείνωσις.

(55) Pro δύναται legitur in Colb. δυνήσεται. Statim codex Voss. et Colb. μέριμνα συγχωρεῖται. Alii tres mss. συγχεχώρηται.

συγχωρεῖται, οἷον τροφῆς, καὶ ἐνδύματος, τούτῳ τίς A ἐπιτρέπει λόγος, οἷον ἀκάνθαις συνέχεσθαι πονηραῖς ταῖς μερίμναις τοῦ πλούτου, τῆς παρὰ τοῦ γεωργοῦ τῶν ψυχῶν ἡμῶν ἐγκαταβαλλομένης σπορᾶς τὴν καρποφορίαν ἐμποδιζούσαις; τοῦ Κυρίου ἡμῶν (56) εἰπόντος· *Οὗτοι δέ εἰσιν οἱ εἰς τὰς ἀκάνθας σπαρέντες, οἱ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου συμπνίγονται, καὶ οὐ τελεσφοροῦσιν.*

rebus necessariis sollicito esse licet, veluti victu et vestitu, huic, quæso, quænam ratio **351** permittet, ut malis divitiarum curis tanquam spinis detineatur, quæ quin jactum ab animarum nostrarum agricola semen ferat fructum, impediunt? Domino nostro dicente : *Hi sunt qui in spinis seminati fuerunt, qui a curis et divitiis et voluptatibus vitæ suffocantur, et non referunt fructum* [33].

ΕΡΩΤΗΣΙΣ Θ'.

Εἰ χρὴ τὸν συναπτόμενον τοῖς τῷ Κυρίῳ ἀνακειμένοις προσαφιέναι ἀδιαφόρως τοῖς ἀγνώμοσι τῶν οἰκείων τὰ αὐτῷ διαφέροντα.

INTERROGATIO IX.

Qui adjungitur iis qui Domino consecrantur, debetne facultates suas cognatis improbis citra delectum concredere?

ΑΠΟΚΡΙΣΙΣ.

1. Τοῦ Κυρίου εἰπόντος, *Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο, ἀκολούθει μοι·* B καὶ πάλιν· *Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην·* λογίζομαι, ὅτι τὸν ἐξερχόμενον ἀπὸ τῶν ἰδίων, σκοπῷ τοιούτῳ, οὐ χρὴ καταφρονητικῶς περὶ τῶν διαφερόντων αὐτῷ διακεῖσθαι, ἀλλὰ πειρᾶσθαι πάντα μετὰ ἀκριβείας λαβόντα, ὡς τῷ Κυρίῳ λοιπὸν ἀφιερωμένα, μετὰ πάσης εὐλαβείας οἰκονομεῖν, ἢ δι' ἑαυτοῦ, ἐὰν δυνατῶς καὶ ἐμπείρως ἔχῃ, ἢ διὰ τῶν μετὰ δοκιμασίας πολλῆς ἐπιλεγέντων, καὶ ἀπόδειξιν δεδωκότων τοῦ δύνασθαι πιστῶς καὶ φρονίμως οἰκονομεῖν· εἰδότα, ὅτι οὐκ ἀκίνδυνόν ἐστιν οὔτε τὸ προσαφιέναι τοῖς οἰκείοις, οὔτε τὸ διὰ τοῦ τυχόντος οἰκονομῆσαι. Εἰ γὰρ ὁ φροντίδα βασιλικῶν κτημάτων (57) ἐγχειρισθεὶς, κἂν μὴ νοσφίσηται πολλάκις C ἐκ τῶν ἑτοίμων, ἀμελείᾳ δέ τινι καταπροδῷ τὰ προσκτηθῆναι δυνάμενα, οὐκ ἀπολύεται (58) τοῦ ἐγκλήματος· τίνα χρὴ προσδοκᾷν ἐπὶ τῶν ἤδη κατονομασθέντων τῷ Κυρίῳ τὴν κατάκρισιν ὑποστήσεσθαι, χαύνως καὶ ἠμελημένως διατεθέντας (59) πρὸς τὴν διοίκησιν; Οὐχ ὑποδίκους εἶναι τοῦ κρίματος τῶν ἀμελούντων; κατὰ τὸ γεγραμμένον· *Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς.*

2. Πανταχοῦ δὲ φυλακτέον ἡμῖν, μὴ, προφάσει μιᾶς ἐντολῆς, ἑτέραν φανῶμεν καταλύοντες. Οὔτε γὰρ μάχεσθαι, οὔτε συνδιαπληκτίζεσθαι (60) τοῖς ἀγνωμονοῦσιν εὐπρεπὲς ἡμῖν· ἐπείπερ δοῦλον Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλὰ τὸν ἀγνωμονούμενον παρὰ τῶν κατὰ σάρκα συγγενῶν μνημονεύειν χρὴ D τοῦ Κυρίου εἰπόντος, ὅτι *Οὐκ ἔστιν ὅστις ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα* (61), *ἢ τέκνα, ἢ ἀγροὺς,* οὐχ

RESPONSIO.

1. Cum Dominus dicat : *Vende quæ habes, et da pauperibus, et habebis thesaurum in cœlo : et veni, sequere me* [34]; et iterum : *Vendite quæ possidetis, et date eleemosynam* [35]; puto eum qui hujusmodi consilio ductus a suis discedit, opes suas non oportere negligere, sed illud curare, ut omnia accurate accepta jam tanquam Domino consecrata cum omni pietate distribuat, aut per seipsum, si potest, eique licet per experientiam, aut per alios, qui multo cum examine delecti sint, quique facto de se periculo, ostenderint se eas fideliter prudenterque dispensare posse, cum scire debeat ipsas non sine periculo aut propinquis relinqui, aut a quovis obvio distribui. Etenim si is cujus curæ regia bona concredita sunt, etiamsi sæpe nihil ex iis quæ jam parta fuere, rapuerit, si tamen quæ acquiri poterant, negligentia sua non compararit, a crimine non absolvitur; quodnam judicium censere debemus ferendum ab iis qui res Domino jam dicatas ignave ac negligenter dispensarint? Nonne negligentium multæ futuri sunt obnoxii? uti scriptum est : *Maledictus quisquis facit opera Domini negligenter* [36].

2. Ubique autem nobis cavendum est, ne, unius mandati obtentu et nomine, alterum dissolvere videamur. Neque enim pugnare, aut cum iniquis contendere nobis decorum fuerit (siquidem servum Domini non oportet litigare [37]) : sed qui a carnalibus propinquis iniquius tractatus est, debet meminisse Domini, qui ait : *Nemo est qui reliquerit domum, aut fratres, aut sorores, aut patrem, aut matrem, aut uxorem, aut liberos, aut agros,* non

[33] Luc. VIII, 14. [34] Matth. XIX, 21. [35] Luc. XII, 33. [36] Jerem. XLVIII, 10. [37] II Tim. II, 24.

(56) Veteres duo libri Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

(57) Reg primus βασιλικῶν χρημάτων, *regiarum pecuniarum.*

(58) Codex Voss. οὐκ ἀπόλλυται, male. Mox Reg. primus τῶν ἤδη κατωνομασμένων.

(59) Editi διατιθέντας. Veteres quatuor libri διατεθέντας. Ibidem editio Basil. perinde ut Paris. πρὸς τὴν ἔκτισιν. Editio Ven. et uterque Combef. et codex Voss. et alii tres πρὸς τὴν ἐκδίκησιν. Sed cum neutra harum vocum mihi probaretur, conjectura ductus, ut verum fatear, emendavi. Itaque pro ἐκδίκησιν edendum curavi διοίκησιν, *in bonorum dispensatione* : qua de re judicabunt eruditi. Hoc ipso in loco codex Voss. et alii mss. et editio Ven. καὶ οὐχ, aut καὶ οὐχί. Vocula καί in editione Paris. deerat.

(60) Codex Voss. οὔτε συνδικάζεσθαι, non male. Codex Colb. οὔτε συνδιατείνεσθαι. Statim duo mss. ἡμῖν· δοῦλον γάρ.

(61) Veteres aliquot libri præter Voss. ἢ γυναῖκα. Vocula ἢ in editis desiderabatur.

simpliciter, sed *propter me et Evangelium, qui non* A *accipiat centies tantum in tempore hoc, et in sæculo venturo vitam æternam* [38]. Certe quidem hisce improbis declarari oportet, ipsos sacrilegii scelere obstringi, idque ex præcepto Domini, qui ait : *Si peccaverit frater tuus, vade, corripe eum* [39], etc. Sed cum ipsis pro tribunali externo litigare vetat pietatis sermo, his verbis : *Ei qui vult tecum judicio contendere, et tunicam tuam tollere, dimitte ei et pallium* [40] ; et, *Audet aliquis vestrum, habens negotium adversus alterum,* **352** *judicari apud iniquos, et non apud sanctos* [41] ? Illos autem coram his in judicium vocemus, majore habita ratione salutis fratris, quam copiæ divitiarum. Postquam enim Dominus dixit : *Si te audierit*, subjunxit : *Lucratus es*, non pecunias, sed *fratrem tuum* [42]. Est tamen B cum explanandæ veritatis causa, ipso injuriæ auctore nos non raro ad communium arbitrorum judicium provocante, ad examen devenimus, nequaquam ipsi aggressi, sed eos qui provocaverant secuti, non nostrum iræ aut contentionis motum in apertum proferentes, sed veritatem declarantes. Sic enim et illum a malis eximemus vel invitum, et ipsi mandata Dei non violabimus, tanquam Dei ministri, non pugnaces, nec avari, constanter veritati patefaciendæ insistentes, et nusquam concessum studii modum excedentes.

ἁπλῶς, ἀλλ' *ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, ὃς οὐ μὴ λάβῃ ἑκατονταπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον*. Τοῖς γε μὴν ἀγνωμονοῦσι διαμαρτύρασθαι χρὴ τὴν τῆς ἱεροσυλίας ἁμαρτίαν, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου εἰπόντος· *Ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν*, καὶ τὰ ἑξῆς. Δικάζεσθαι (62) δὲ περὶ αὐτῶν ἐπὶ δικαστηρίων ἐξωτικῶν ἀπηγόρευσεν ὁ τῆς θεοσεβείας λόγος δι' ὧν φησι· *Τῷ θέλοντί σε κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον*· καὶ ὅτι *Τολμᾷ τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων ;* Καὶ ἐπὶ τούτων δὲ εἰς κρίσιν προσκαλεσώμεθα (63), πλείονα λόγον ἔχοντες τῆς τοῦ ἀδελφοῦ σωτηρίας, ἢ τῆς τῶν χρημάτων περιουσίας. Καὶ γὰρ ὁ Κύριος εἰπὼν, *Ἐάν σου ἀκούσῃ*, ἐπήγαγεν, *Ἐκέρδησας*, οὐχὶ τὰ χρήματα, ἀλλὰ *τὸν ἀδελφόν σου*. Ἔστι δὲ ὅτε ὑπὲρ τοῦ τρανωθῆναι τὴν ἀλήθειαν, αὐτοῦ πολλάκις ἡμᾶς τοῦ τῆς (64) ἀγνωμοσύνης κατάρχοντος εἰς κοινὴν δίαιταν προκαλουμένου, συγκαταβαίνομεν πρὸς τὸν ἔλεγχον, οὐχ αὐτοὶ κατάρξαντες, ἀλλὰ τοῖς προσκαλεσαμένοις ἀκολουθοῦντες, οὐχ ἴδιον πάθος ὀργῆς ἢ φιλονεικίας πληροφοροῦντες (65), ἀλλὰ τὴν ἀλήθειαν φανεροῦντες. Οὕτω γὰρ κἀκεῖνον καὶ ἄκοντα τῶν κακῶν ἐξαιρήσομεν, καὶ αὐτοὶ τὰς ἐντολὰς οὐ παρελευσόμεθα (66), ὡς Θεοῦ διάκονοι ἄμαχοι καὶ ἀφιλάργυροι, τῇ φανερώσει τῆς ἀληθείας εὐσταθῶς συνιστάμενοι, καὶ οὐδαμοῦ τὸ δεδομένον μέτρον τῆς σπουδῆς ὑπερβαίνοντες.

INTERROGATIO X.

C

Num omnes qui accedunt, recipiendi sint, vel quinam : et utrum statim sint admittendi, an cum probatione, et cum quali probatione.

ΕΡΩΤΗΣΙΣ Γ'.

Πότερον χρὴ πάντας τοὺς προσιόντας δέχεσθαι, ἢ τίνας; καὶ εὐθὺς αὐτοὺς προσίεσθαι, ἢ μετὰ δοκιμασίας, καὶ ποίας ταύτης ;

RESPONSIO.

1. Cum benignus Deus, idemque Salvator noster Jesus Christus prædicet, ac dicat : *Venite ad me, omnes qui laboratis, et onerati estis, et ego reficiam vos* [43] ; periculosum est repellere eos qui nostra opera accedunt ad Dominum, ejusque jugum suave, ac præceptorum onus, quo ad cœlum attollimur, subire volunt. Nec tamen permittendum est, ut ullus illotis pedibus ad sancta documenta veniat, sed quemadmodum Dominus noster Jesus Christus adolescentem qui ad se accesserat de ejus vita anteacta percontatus est, cumque eam D recte fuisse actam comperisset, præterea ut con-

ΑΠΟΚΡΙΣΙΣ.

1. Τοῦ φιλανθρώπου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κηρύσσοντος καὶ λέγοντος· *Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*· οὐκ ἀκίνδυνον ἀπωθεῖσθαι τοὺς τῷ Κυρίῳ δι' ἡμῶν προσιόντας, καὶ ὑπελθεῖν αὐτοῦ τὸν χρηστὸν ζυγὸν, καὶ τὸ τῶν ἐντολῶν φορτίον, τὸ πρὸς οὐρανὸν ἡμᾶς ἀνακουφίζον, βουλομένους. Οὐ μὴν οὐδὲ ἀνίπτοις ποσὶν ἐπιτρέπειν χρὴ τῆς σεμνότητος ἐπιβαίνειν τῶν διδαγμάτων· ἀλλ' ὥσπερ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὸν προσελθόντα νεανίσκον ἐπηρώτησε περὶ τοῦ προτέρου βίου, καὶ μαθὼν, ὅτι κατώρθωται, τὸ πρὸς τὴν

[38] Marc. x, 29, 30. [39] Matth. xviii, 15. [40] Matth. v, 40. [41] I Cor. vi, 1. [42] Matth. xviii, 15. [43] Matth. xi, 28.

(62) Illud, *δικάζεσθαι δὲ περὶ αὐτῶν*, etc., ita Latine reddidit vetus interpres : *Porro de his rebus experiri apud judices extrarios, vetat nos idem Dominus :* sed qui hunc locum paulo attentius legerit, facile, opinor, fatebitur intelligendum eum esse non de rebus, sed de personis.

(63) Alii mss. προσκαλεσώμεθα. Alii προσκαλεσόμεθα. Alii προκαλεσόμεθα. Mox Reg. primus τῆς τῶν κτημάτων περιουσίας. Statim duo mss. οὐ τὰ χρήματα.

(64) Regii duo mss. ἡμᾶς τοῦ τῆς. Editi ἡμᾶς τῆς. Mox Reg. primus et Colb. εἰς κοινὴν διάσκεψιν, *in communem considerationem*, vel potius, *ad commune arbitrium :* sed non dubito quin præferenda sit scriptura vulgata ; eoque magis, quod veterum quorumdam librorum testimonio confirmetur. Ibidem codex Colb. προσκαλουμένου. Aliquanto infra Reg. primus emendatus προκαλεσαμένοις.

(65) Reg. primus et Voss. φιλονεικίας κινοῦντες. Codex Combef. et alii cum editis πληροφοροῦντες : quod non inepte ita forte verti poterit, *motum contentionis non explentes*.

(66) Codex Colb. οὐ παρασαλευσόμεθα, *non evertemus mandata*.

τελείωσιν ἐλλεῖπον ἔτι πληρῶσαι (67) προσέταξε, καὶ τότε ἐπέτρεψεν ἀκολουθεῖν· οὕτω δηλονότι καὶ ἡμᾶς προσήκει τὸν παρελθόντα βίον τῶν προσιόντων καταμανθάνειν· καὶ οἷς μὲν ἤδη τι προκατώρθωται, τὰ τελειότερα τῶν διδαγμάτων παραδιδόναι, τοὺς δὲ ἢ ἐκ βίου πονηροῦ μετατιθεμένους (68), ἢ ἐκ τῆς ἀδιαφορίας πρὸς τὸν ἀκριβῆ βίον τῆς θεογνωσίας ὁρμήσαντας ἀνακρίνειν χρὴ, ὁποῖοι τὸ ἦθός εἰσι· μὴ ἄστατοι, καὶ πρὸς τὰς κρίσεις εὐκίνητοι.

2. Ὕποπτον γὰρ τῶν τοιούτων τὸ εὐμετάθετον, οἳ, πρὸς τὸ μηδὲν ἑαυτοὺς ὠφελῆσαι, ἔτι καὶ ἑτέροις αἴτιοι βλάβης γίνονται, ὀνείδη καὶ ψεύδη, καὶ βλασφημίας πονηρὰς τοῦ ἔργου ἡμῶν κατέχοντες. Ἐπεὶ δὲ (69) πάντα ἐπιμελείᾳ κατορθοῦται, καὶ φόβος Θεοῦ παντοίων ἐλαττωμάτων ψυχῆς περιγίνεται, οὐδὲ τούτων ἀπογνωστέον εὐθὺς, ἀλλὰ ἄγειν αὐτοὺς εἰς τὰ προσήκοντα γυμνάσια δεῖ, χρόνῳ καὶ ἐπιπόνοις ἀγωνίσμασι πεῖραν τῆς κρίσεως αὐτῶν λαμβάνοντας (70), ὡς, ἐάν τι βέβαιον παρ' αὐτοῖς εὕρωμεν, ἀκινδύνως αὐτοὺς προσίεσθαι· εἰ δὲ μὴ, ἔξω ὄντας, ἀποπέμπεσθαι· ὥστε ἀζήμιον (71) τὴν πεῖραν τῇ ἀδελφότητι γίνεσθαι. Δοκιμάζειν δὲ χρὴ καὶ εἴ τις, ἐν ἁμαρτήμασι προληφθεὶς, ἀνεπαισχύντως ἐξαγορεύει τὰ κρυπτὰ τῆς αἰσχύνης, καὶ κατήγορος ἑαυτοῦ γίνεται· ὁμοῦ τε καταισχύνων (72) καὶ ἀποποιούμενος τοὺς τῶν πονηρῶν ἔργων ἑαυτοῦ συνεργοὺς, κατὰ τὸν εἰπόντα· *Ἀπόστητε ἀπ' ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν*· καὶ ἀσφάλειαν ἑαυτῷ εἰς τὸν ἑξῆς βίον κτώμενος, πρὸς τὸ μηκέτι τοῖς ὁμοίοις πάθεσι περιπεσεῖν. Κοινὸς δὲ ἐπὶ πάντων δοκιμασίας τρόπος, εἰ πρὸς πᾶσαν ταπεινοφροσύνην ἀνεπαισχύντως διάκειται (73), ὡς καὶ τὰς εὐτελεστάτας δέχεσθαι τέχνας, ἐὰν τὴν ἐκείνων ἐργασίαν χρήσιμον εἶναι ὁ λόγος ἐγκρίνῃ. Καὶ ἐπειδὰν διὰ πάσης ἐξετάσεως ἕκαστος παρὰ (74) τῶν ἐπιστημόνως ἐρευνᾷν τὰ τοιαῦτα δυναμένων, ὥσπερ τι σκεῦος εὔχρηστον τῷ Δεσπότῃ, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἕτοιμον ἀποδειχθῇ, συναριθμείσθω τοῖς ἀνατεθεικόσιν ἑαυτοὺς τῷ Κυρίῳ. Μάλιστα δὲ τῷ ἀπό τινος περιφανεστέρου βίου πρὸς τὴν καθ' ὁμοίωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ταπεινοφροσύνην ἐπειγομένῳ (75), ὁρίζειν χρή τινα τῶν ἐπονειδίστων εἶναι δοκούντων παρὰ τοῖς ἔξωθεν, καὶ

A pararet quod ad perfectionem deerat, præcepit, et tunc ei se sequendi copiam fecit : ita profecto et a nobis præterita accedentium vita est expendenda, et iis qui quid recte jam gesserint, documenta perfectiora tradenda sunt, qui vero vel ex prava vita convertuntur, vel ex indifferenti statu ad perfectam vitam in Dei cognitione sitam transeunt, hos perscrutari par est, nimirum qualibus præditi sint moribus, num instabiles, num ad judicia ferenda proni.

2. Enimvero qui sunt hujusmodi, inconstantiæ sunt suspecti. Hi nempe, præterquamquod ipsi nihil utilitatis capiunt, præterea sunt etiam cæteris detrimenti auctores, sparsis in opus nostrum probris, mendaciisque, et blasphemiis. Cum autem B cura atque diligentia nihil non corrigatur, vincatque omnigena animæ vitia Dei timor, isti non sunt statim desperandi, sed ducendi ad idoneas exercitationes, sic ut **353** temporis progressu ac laboriosis exercitiis periculum facientes eorum sententiæ atque propositi, si modo firmi aliquid in ipsis invenerimus, illos tuto admittamus : sin minus, dum adhuc extra sunt, dimittamus, ne experimentum fratribus afferat damni aliquid et exitii. Atque etiam explorare operæ pretium est, num quis prius peccatis implicitus, abjecta omni verecundia prodat occultam turpitudinem, seque ipse accuset, simulque malorum suorum operum socios pudore afficiat, illosque a se ableget, juxta eum qui dixit : C *Discedite a me, omnes qui operamini iniquitatem* [44]; num etiam muniat se ad posteram vitam, ut ne amplius in similia vitia dilabatur. Cæterum communis cujusque probandi modus est, utrum scilicet citra pudorem paratus sit ad omnem humilitatem, sic ut artes suscipiat vel vilissimas, si illarum opus utile esse ratio comprobarit. Postquam autem unusquisque quasi vas quoddam Domino commodum, et ad quodvis bonum opus paratum omni tentatione adhibita declaratus fuerit ab iis qui talia scite scrutari possunt, ita demum inter eos qui se Domino dedicarunt, annumeretur. Maxime autem ei, qui ab illustriore quodam vitæ genere juxta Domini nostri Jesu Christi exemplum ad humilitatem D festinat, aliqua quæ probrosa admodum apud ex-

[44] Psal. VI, 9.

(67) Idem ms. ἐλλεῖπον ἐπιπληρῶσαι.

(68) Reg. primus et Voss. et Colb. μετατιθεμένους. Alii duo mss. et editi μεταθεμένους. Mox Reg. primus βίον τῆς θεοσεβείας ὁρμ., *ad vitam divinæ pietati excolendæ idoneam*. Lectio non mala. Nec ita multo post codex Colb. τῷ μηδέν. Ibidem codex Voss. ἑαυτοῖς ὠφελῆσαι.

(69) Codex Colb. Ἐπειδὴ δέ. Statim idem ms. et Reg. primus φόβος Κυρίου, *timor Domini*.

(70) Editi et duo mss. λαμβάνοντας. Codex Voss. et Colb. λαμβάνοντες. Nec ita multo infra editi et duo mss. περὶ αὐτοὺς εὕρωμεν. Reg. primus et Voss. παρ' αὐτοῖς, rectius. Codex Colb. παρ' αὐτούς.

(71) Reg. primus et Colb. ὥστε ἀζημίωτον.

(72) Reg. primus ὁμοῦ τε καὶ αἰσχύνων. Haud longe tres mss. ἔργων ἑ. Editi et unus ms. αὐτοῦ.

(73) Reg. primus et Voss. διάκειται. Aliquanto post duo mss. præter Voss. ἐργασίαν χρησίμην.

(74) Reg. primus ἐξετάσεως ἐξετασθῇ παρά. Codex Colb. et Coisl. primus ἐξετάσεως ἐτασθῇ. Regii secundus et tertius et Coisl. alter æque ac editiones veteres ut in contextu. Combefisius asseveranter dicit pro ἕκαστος legi oportere ἐξετασθῇ· sed vir doctus non videtur totam periodum legisse. Etenim si legisset, facile animadvertisset periodi hujus hanc esse constructionem : Καὶ ἐπειδὰν διὰ πάσης ἐξετάσεως ἕκαστος παρὰ τῶν ἐπιστημόνως ἐρευνᾷν τὰ τοιαῦτα δυναμένων ἀποδειχθῇ ὥσπερ τι, etc. Sed si legas ἐξετασθῇ, loci hujus nulla bona constructio fieri potest.

(75) Reg. primus et Voss. τὸν ἀπὸ... ἐπειγόμενον.

ternos esse videantur, præscribenda sunt; observandumque, num sine ulla dubitatione seipsum ceu operarium pudoris expertem Deo exhibeat.

INTERROGATIO XI.

De servis.

RESPONSIO.

Porro quicunque servi, sub jugo detenti, ad fratrum conventum confugiunt, admoniti et meliores effecti, ad dominos suos remittendi sunt: in quo imitandus est beatus Paulus, qui cum genuisset Onesimum per Evangelium, eum ad Philemonem remisit [45], sic ut alteri quidem persuaserit, ut si servitutis jugum modo Domino placenti perferretur, dignum eum regno cœlorum redderet, alterum vero exhortatus est non minas modo quas huic intenderat, remitteret, memor veri Domini, qui B dixit: *Si dimiseritis peccata eorum, dimittet et Pater vester cœlestis delicta vestra* [46], sed ut animo etiam æquiore erga ipsum afficeretur, sic scribens: *Forsitan enim ideo discessit ad horam, ut æternum illum reciperes: jam non ut servum, sed pro servo charissimum fratrem* [47]. Sed tamen si dominus improbus sit, qui aliqua contra legem præscribat, vimque servo inferat ad mandata veri heri Domini nostri Jesu Christi violanda, operam dare debemus, ut ne nomen Dei **354** blasphemetur propter servum illum, qui quidpiam egerit non acceptum Deo. Adhibetur autem ejusmodi sollicitudo, aut cum servus ille præparatur ad eas ærumnas quibus afficiendus est tolerandas, ut, quemadmodum scriptum est [48], Deo magis quam C homini obediat, aut cum qui servum recepere, tentationes quæ sibi ipsius causa imminent, perferunt eo qui Deo acceptus sit modo.

INTERROGATIO XII.

Quomodo recipiendi sint qui connubio junguntur.

RESPONSIO.

Atque ii etiam qui, matrimonio conjuncti, ad hujusmodi vitæ genus accedunt, interrogandi sunt, an mutuo consensu id efficiant ex Apostoli præcepto (*Nam*, inquit, *sui corporis potestatem non habet* [49]); sicque qui accedit, coram pluribus testibus recipiendus est. Nam obedientiæ Deo debitæ nihil est præferendum. Quod si dissentiat altera D

A ἐπιτηρεῖν εἰ μετὰ πάσης πληροφορίας ἐργάτην ἀνεπαίσχυντον τῷ Θεῷ ἑαυτὸν παρίστησιν.

ΕΡΩΤΗΣΙΣ ΙΑʹ.

Περὶ δούλων.

ΑΠΟΚΡΙΣΙΣ.

Ὅσοι δὲ ὑπὸ ζυγὸν ὄντες δοῦλοι ταῖς ἀδελφότησι προσφεύγουσι, νουθετηθέντας αὐτοὺς, καὶ βελτιωθέντας ἀποπέμπεσθαι χρὴ τοῖς δεσπόταις, καθ' ὁμοίωσιν τοῦ μακαρίου Παύλου, ὅς, τὸν Ὀνήσιμον γεννήσας διὰ τοῦ Εὐαγγελίου, ἀνέπεμψε (76) τῷ Φιλήμονι, τὸν μὲν πληροφορήσας, ὅτι ὁ ζυγὸς τῆς δουλείας εὐαρέστως τῷ Κυρίῳ κατορθούμενος βασιλείας οὐρανῶν ἄξιον συνίστησι· τὸν δὲ παρακαλέσας οὐ μόνον (77) ἀνεῖναι τὴν κατ' αὐτοῦ ἀπειλὴν, μεμνημένον τοῦ ἀληθινοῦ Κυρίου εἰπόντος, *Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν*, ἀλλὰ καὶ χρηστοτέραν ἔχειν πρὸς αὐτὸν τὴν διάθεσιν, τῷ γράψαι· *Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς, οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον ἀδελφὸν ἀγαπητόν.* Εἰ μέντοι κακὸς ὁ δεσπότης τύχοι, παράνομά τινα ἐπιτάσσων, καὶ πρὸς παράβασιν ἐντολῆς τοῦ ἀληθινοῦ (78) Δεσπότου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸν δοῦλον βιαζόμενος, ἀγωνίζεσθαι χρὴ, ὅπως μὴ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημηθῇ (79) διὰ τὸν δοῦλον ἐκεῖνον ποιήσαντά τι (80), ὃ μὴ ἀρέσκει Θεῷ. Κατορθοῦται δὲ ὁ ἀγὼν ἢ ἐν τῷ τὸν δοῦλον ἐκεῖνον καταρτισθῆναι πρὸς ὑπομονὴν τῶν ἐπιφερομένων αὐτῷ παθημάτων, ὑπὲρ τοῦ πειθαρχῆσαι Θεῷ μᾶλλον ἢ ἀνθρώπῳ (81), καθὼς γέγραπται, ἢ ἐν τῷ τοὺς ὑποδεξαμένους ἀναδέξασθαι ὡς ἀρέσκει Θεῷ τοὺς ὑπὲρ αὐτοῦ ἐπαγομένους αὐτοῖς πειρασμούς.

ΕΡΩΤΗΣΙΣ ΙΒʹ.

Ὅπως χρὴ τοὺς ἐν συζυγίᾳ προσδέχεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Καὶ τοὺς ἐν συζυγίᾳ δὲ γάμου τοιούτῳ βίῳ προσερχομένους ἀνακρίνεσθαι δεῖ, εἰ ἐκ συμφώνου (82) τοῦτο ποιοῦσι κατὰ τὴν διαταγὴν τοῦ Ἀποστόλου (*Τοῦ γὰρ ἰδίου σώματος*, φησὶν, *οὐκ ἐξουσιάζει*)· καὶ οὕτως ἐπὶ πλειόνων μαρτύρων δέχεσθαι τὸν προσερχόμενον. Τῆς γὰρ πρὸς Θεὸν ὑπακοῆς οὐδὲν (83) προτιμότερον. Εἰ δὲ διαστασιάζοι τὸ ἕτερον

[45] Philem. 10, 12. [46] Matth. vi, 14. [47] Philem. 15, 16. [48] Act. v, 29. [49] I Cor. vii, 4.

(76) Unus Reg. ἀπέπεμψε.

(77) Reg. primus et Voss. μὴ μόνον. Ibidem codex Colb. ἀνιέναι τήν. Statim veteres duo libri et editi τοῦ ἀληθινοῦ Θεοῦ. Alii tres mss. τοῦ ἀληθινοῦ Κυρίου.

(78) Reg. primus et Colb. ἐντολῆς Θεοῦ τοῦ ἀληθινοῦ.

(79) Si servus herum improbum fugiens, et contraria divinæ legi imperantem, ad monasterium confugiat; dandam esse ait operam, ut ne nomen Dei blasphemetur, διὰ τὸν δοῦλον ἐκεῖνον ποιήσαντά τι, ὃ μὴ ἀρέσκει Θεῷ, *propter servum illum, si quid fecerit non acceptum Deo*, manere scilicet apud herum coactus, et a monasterio repulsus. Maran.

(80) Combefisius putat legi potius debere ποιήσοντα, quam ποιήσαντα· sed conjecturæ ipsius non favent libri antiqui. Ibidem codex Voss. ἀρέσκῃ Θεῷ. Statim idem liber et alii duo δοῦλον ἐκεῖνον καταρτισθῆναι. Vox ἐκεῖνον in vulgatis deerat.

(81) Sic codex Voss. et alii non pauci. Editiones veteres πειθαρχῆσθαι.... ἢ ἀνθρώποις. Mox Reg. primus et Voss. τοὺς ὑποδεχομένους. Subinde codex Voss. αὐτοὺς πειρασμούς.

(82) Reg. primus et Voss. et Colb. ἐκ συμφωνίας, sensu non dissimili. Ibidem codex Colb. ποιῶσι.

(83) Reg. primus πρὸς Θεὸν ὑποταγῆς οὐδέν. Mox codex Voss. Εἰ δὲ διστασιάζοι. Reg. primus διστάζοι.

μέρος, καὶ διαμάχοιτο, ἔλαττον φροντίζον τῆς πρὸς Θεὸν εὐαρεστήσεως, μνημονευέσθω ὁ Ἀπόστολος λέγων· *Ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεός*· καὶ πληρούσθω τὸ πρόσταγμα τοῦ Κυρίου εἰπόντος· *Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα* (84), *καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα*, καὶ τὰ λοιπὰ, *οὐ δύναταί μου εἶναι μαθητής*. Τῆς γὰρ πρὸς Θεὸν ὑπακοῆς οὐδὲν προτιμότερον. Ἡμεῖς δὲ ἔγνωμεν ἐν πολλοῖς πολλάκις καὶ διὰ συντόνου προσευχῆς καὶ νηστείας ἀνενδότου τὸν σκοπὸν τῆς ἐν ἁγνείᾳ ζωῆς περιγενόμενον, τοῦ Κυρίου τοὺς μέχρι παντὸς ἀπειθοῦντας καὶ δι' ἀνάγκης (85) πολλάκις σωματικῆς τῇ συγκαταθέσει τῆς ὀρθῆς κρίσεως ὑπάγοντος.

A pars, repugnetque, quod minus sollicita sit, quomodo placeat Deo, in mentem veniat Apostoli, qui dicit : *In pace autem vocavit nos Deus* [80]; atque impleatur præceptum Domini, qui dixit : *Si quis venit ad me, et non odit patrem suum, et matrem, et uxorem et filios*, etc., *non potest meus esse discipulus* [81]. Nihil enim obedientiæ Deo debitæ est anteponendum. Cæterum nos castæ vitæ agendæ consilium non raro tum vehementium precum, tum assidui jejunii ope in multis prævaluisse novimus, Domino eos qui prorsus obstinati erant, sæpe etiam per corporalem necessitatem ad rectum judicium comprobandum inducente.

ΕΡΩΤΗΣΙΣ ΙΓ'.

Ὅτι χρήσιμον τοῖς εἰσαγομένοις καὶ τὸ διὰ σιωπῆς γυμνάσιον. B

ΑΠΟΚΡΙΣΙΣ.

Ἀγαθὸν δὲ τοῖς εἰσαγομένοις καὶ τὸ διὰ σιωπῆς γυμνάσιον. Ὁμοῦ τε γὰρ ἀπόδειξιν τῆς ἐγκρατείας ἱκανὴν παρέξονται, γλώσσης κρατοῦντες, καὶ ἐν ἡσυχίᾳ συντόνως καὶ ἀμετεωρίστως μαθήσονται (86) παρὰ τῶν ἐπιστημόνως κεχρημένων τῷ λόγῳ, πῶς δεῖ καὶ ἐρωτᾷν, καὶ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Ἔστι γὰρ καὶ τόνος φωνῆς, καὶ συμμετρία λόγου, καὶ καιροῦ ἐπιτηδειότης, καὶ ῥημάτων ἰδιότης, οἰκεία καὶ διαφέρουσα τοῖς εὐσεβέσιν, ἣν οὐχ οἷόν τε διδαχθῆναι, μὴ τὰ ἐκ τῆς συνηθείας ἀπομαθόντα· τῆς σιωπῆς ὁμοῦ τε λήθην τῶν προτέρων διὰ τῆς ἀργίας ἐμποιούσης, καὶ σχολὴν πρὸς τὴν τῶν ἀγαθῶν μάθησιν παρεχομένης. Ὥστε, ἐὰν μή τις C ἡ οἰκεία χρεία πρός τε τὴν ἐπιμέλειαν τῆς ἑαυτοῦ ψυχῆς, καὶ πρὸς τὴν ἀπαραίτητον τοῦ ἐν χερσὶν ἔργου ἀνάγκην, ἢ ἐπερώτημά τι τοιοῦτον προσαγόμενον κατεπείγῃ, ἐν σιωπῇ διάγειν, ἐκτὸς δηλονότι ψαλμῳδίας (87).

INTERROGATIO XIII.

Quod etiam utilis est novitiis silentii exercitatio.

RESPONSIO.

Atqui novitiis utilis est etiam silentii exercitatio. Etenim si linguam doment, simul et daturi sunt magnum continentiæ argumentum, et in silentio studiosissime atque attentissime discent ab iis qui scienter sermone utuntur, quando et interrogare et unicuique respondere oporteat. Est enim et vocis contentio, et sermonis modus, et opportunitas temporis, et verborum proprietas, quæ pietatis cultoribus propria sit et peculiaris : quam fieri non potest ut discat qui consueta non dedidicerit. Silentium autem simul et priorum oblivionem ex intermissione parit, et otium ad discenda bona suppeditat. Quamobrem, nisi aut peculiare aliquod negotium, **355** et ad animæ suæ curam, et ad inevitabilem operis alicujus, quod in manibus sit, necessitatem pertinens, aut instituta quæstio aliqua urgeat, in silentio degendum est, excepta videlicet psalmorum modulatione.

ΕΡΩΤΗΣΙΣ ΙΔ'.

Περὶ τῶν ἑαυτοὺς τῷ Θεῷ καθομολογησαμένων, εἶτα τὴν ὁμολογίαν ἀθετεῖν ἐπιχειρούντων.

ΑΠΟΚΡΙΣΙΣ.

Παραδεχθέντα μέντοι εἰς τὴν ἀδελφότητα τούτων ἕκαστον, εἶτα τὴν ὁμολογίαν ἀθετήσαντα, οὕτω χρὴ ὁρᾶσθαι, ὡς εἰς Θεὸν ἐξαμαρτόντα, ἐφ' οὗ καὶ εἰς ὃν τὴν ὁμολογίαν τῶν συνθηκῶν κατέθετο. *Ἐὰν δὲ εἰς Θεόν τις*, φησὶν, *ἁμάρτῃ, καὶ τίς προσεύξεται* (88) *περὶ αὐτοῦ;* Ὁ γὰρ ἀναθεὶς ἑαυτὸν τῷ D Θεῷ, εἶτα πρὸς ἄλλον βίον ἀποπηδήσας, ἱερόσυλος γέγονεν, αὐτὸς ἑαυτὸν διακλέψας, καὶ ἀφελόμενος

INTERROGATIO XIV.

De iis qui seipsos Deo voverunt, et deinde professionem suam irritam facere conantur.

RESPONSIO.

Utique horum unusquisque, qui inter fratres admissus fuerit, posteaque professionem suam resciderit, perinde aspici debet, ut qui in Deum peccaverit, coram quo et in quo pactorum confessionem deposuit. *Si vero*, inquit, *in Deum quis peccaverit, et quis orabit pro eo* [82]? Qui enim seipsum dicavit Deo, et deinde ad aliud vitæ genus transiit, factus est sacrilegus, cum ipse sui ipsius fur fuerit,

[80] I Cor. VII, 15. [81] Luc. XIV, 26. [82] I Reg. II, 25.

(84) Unus ms. μητέρα αὐτοῦ.

(85) Codex Colb. δι' ἀνάγκην. Basilius ultimis suæ responsionis verbis rationem reddit, cur permiserit viro monasterium ingredi, invita uxore, et vice versa. Nam, inquit, non raro vidimus, partem dissentientem, per preces et jejunia adductam tandem fuisse ad assentiendum. Sed si altera pars nunquam consensisset, procul dubio Basilius virum aut mulierem ante professionem e monasterio egredi debere dixisset.

(86) Reg. primus et Colb. et Voss. παρέξονται, καὶ ἐν ἡσυχίᾳ συντόνῳ καὶ ἀμετεωρίστῳ γλώσσης κρατοῦντες μαθήσονται.

(87) Reg. primus et Colb. ψαλμῳδίας. Παραδεχθέντα, etc., sine ullo titulo intermedio. Nec valde admodum dubito, quin ita legi præstet; quoniam tamen invenitur titulus et in vulgatis et in antiquis quibusdam libris, nihil mutavimus.

(88) Reg. primus εὔξεται. Mox idem ms. βίον ἀποδημήσας.

donariumque Deo consecratum abstulerit. Quibus æquum est non amplius fores fratrum aperiri, ne si in brevi quidem transitu ad poscendum tectum accederent. Perspicua est enim Apostoli regula, qua jubemur subducere nos ab omni inordinato, neque commisceri cum illo, ut confundatur [83].

A τοῦ Θεοῦ τὸ ἀνάθημα. Οἷς εὔλογόν ἐστι, μηκέτι θύραν τῶν ἀδελφῶν ἀνοίγεσθαι, μηδὲ εἰ κατὰ ψιλὴν ποτε πάροδον (89) σκέπης ἕνεκεν ἐπιδημήσειαν. Ὁ γὰρ ἀποστολικὸς κανὼν φανερὸς, κελεύων ἡμᾶς στέλλεσθαι ἀπὸ παντὸς ἀτάκτου, καὶ μὴ συναναμίγνυσθαι αὐτῷ, ἵνα ἐντραπῇ.

INTERROGATIO XV.

Qua ætate permittendum sit ut Deo seipsos voveant: qua item ætate virginitatis professio rata habenda sit et firma.

ΕΡΩΤΗΣΙΣ ΙΕ'.

Ἀπὸ ποίας ἡλικίας ἐπιτρέπειν χρὴ καθομολογεῖν ἑαυτοὺς τῷ Θεῷ. καὶ (90) *τὴν τῆς παρθενίας ὁμολογίαν πότε βεβαίαν ἡγεῖσθαι.*

RESPONSIO.

1. Cum Dominus dicat: *Sinite pueros venire ad me* [84], et Apostolus eum laudet, qui ab infantia sacras litteras didicit [85], rursusque præcipiat liberos educari in disciplina et correptione Domini [86], omne tempus, primæ etiam ætatis, iis qui accedunt excipiendis idoneum esse censemus, eos quidem qui parentibus orbati sunt, nostrapte sponte assumentes, ut ad Jobi exemplum orphanorum parentes efficiamur [87]; eos vero, qui sub parentibus sunt, ab ipsis adductos, coram multis testibus suscipientes, ne occasionem demus volentibus occasionem, sed eorum qui adversum nos blasphemiam loquuntur, os omne injustum obstruatur. Excipiendi igitur sunt ad hunc modum, nec ipsi tamen statim in fratrum corpore aut annumerandi sunt, aut recensendi, ne si illi a fine proposito aberrarent, ipsorum probra in pium vitæ institutum refunderentur: sed educandi illi quidem sunt in omni pietate, tanquam communes fratrum liberi, prætereaque puerorum, sive mares sint, sive feminæ, separari oportet et domos et diætam, **356** ut erga seniores neque licentiam majorem, neque fiduciam immodicam habeant, sed congressus raritate erga antiquiores reverentiam servent, neque ex pœnis quæ perfectioribus ob neglecta officia irrogantur (siquando eos ab his discessisse contigerit), peccandi facilitas, aut sæpe animi elatio latenter eis innascatur, dum in iis quæ ipsi recte faciunt, sæpenumero antiquiores delinquentes vident. Qui enim puer est mente, ab eo qui ætate puer est, nihil differt. Quare nihil mirum si in utrisque eadem etiam vitia sæpenumero reperiantur. Neque vero in quibus antiquiores decorum servant ob suam ætatem, ea juniores ante tempus et præter de-

ΑΠΟΚΡΙΣΙΣ.

1. Τοῦ Κυρίου λέγοντος· *Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με*, καὶ τοῦ Ἀποστόλου ἐπαινοῦντος τὸν ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα μεμαθηκότα, καὶ πάλιν παραγγέλλοντος ἐκτρέφειν τὰ τέκνα ἐν παι- B δείᾳ καὶ νουθεσίᾳ Κυρίου, πάντα καιρὸν, καὶ τὸν τῆς πρώτης ἡλικίας εὔθετον εἶναι πρὸς τὴν τῶν προσιόντων παραδοχὴν δοκιμάζομεν, τὰ μὲν ἔρημα γονέων ἀφ' ἑαυτῶν προσλαμβανόμενοι, ὥστε γενέσθαι κατὰ τὸν ζῆλον τοῦ Ἰὼβ ὀρφανῶν πατέρας· τὰ δὲ ὑπὸ γονεῖς ὄντα, παρ' αὐτῶν ἐκείνων προσαγόμενα, ἐπὶ πολλῶν μαρτύρων δεχόμενοι, ὥστε μὴ δοῦναι ἀφορμὴν τοῖς θέλουσιν ἀφορμήν· ἀλλὰ πᾶν ἄδικον στόμα τῶν λαλούντων καθ' ἡμῶν βλασφημίαν ἐπισχεθῆναι (91). Δέχεσθαι μὲν οὖν χρὴ, κατὰ τοῦτον τὸν λόγον, οὐ μὴν εὐθὺς αὐτὰ, καὶ συναριθμεῖσθαι καὶ συγκαταλέγεσθαι τῷ σώματι προσήκει τῶν ἀδελφῶν (92), ὥστε μὴ τὰ ἐκ τῆς ἀποτυχίας αὐτῶν ὀνείδη ἐπὶ τὸν βίον τὸν κατ' εὐσέβειαν ἀναφέ- C ρεσθαι· ἀλλ' ἐκτρέφεσθαι μὲν αὐτὰ ἐν πάσῃ εὐσεβείᾳ ὡς κοινὰ τέκνα τῆς ἀδελφότητος, ἀφωρίσθαι δὲ καὶ οἴκους καὶ δίαιταν τοῖς τε ἄρσεσι τῶν παίδων, καὶ ταῖς θηλείαις, ὡς μήτε (93) παῤῥησίαν, μήτε θάρσος ἄμετρον πρὸς τοὺς πρεσβυτέρους αὐτοῖς ἐγγίνεσθαι, τῷ δὲ σπανίῳ τῆς συντυχίας τὸ πρὸς τοὺς προάγοντας (94) αἰδέσιμον σώζεσθαι· μήτε ἐκ τῶν ἐπιτιμίων τῶν προσαγομένων τοῖς τελειοτέροις ἐν τοῖς παροράμασι τῶν καθηκόντων, εἴποτε ἄρα μετεωρισθῆναι συμβαίη, εὐχέρειαν αὐτοῖς τῶν ἁμαρτημάτων, ἢ ἔπαρσιν πολλάκις κατὰ τὸ λεληθὸς ἐντίκτεσθαι, ὅταν ἐν οἷς αὐτοὶ κατορθοῦσι, πολλάκις τοὺς πρεσβυτέρους ἴδωσι διαπταίοντας. Διαφέρει γὰρ οὐδὲν τοῦ νηπίου καθ' ἡλικίαν ὁ ταῖς φρεσὶ νηπιάζων. Ὥστε οὐδὲν θαυμαστὸν καὶ τὰ D αὐτὰ πάθη πολλάκις ἐν ἀμφοτέροις εὑρίσκεσθαι.

[83] II Thess. III, 14. [84] Marc. X, 14. [85] II Tim. III, 15. [86] Ephes. VI, 4. [87] Job XXIX, 12.

(89) Editio Basil. æque ac Paris. κατὰ ψύχους ποτὲ πάροδον, *frigoris tempore transeuntes*, male. Editio Ven. κατὰ ψυχήν ποτε πάροδον non melius. Veteres quatuor libri cum Voss. ut in contextu, nisi quod vox ποτε in aliquibus mss. desit. Mox Reg. primus κανὼν φανερῶς κελεύει, *regula apostolica manifesto jubet*, haud male.

(90) Reg. primus ἑαυτοὺς τῷ Κυρίῳ καί. Mox idem ms. βεβαίαν ποιεῖσθαι.

(91) Reg. primus et Voss. et Colb. ἀλλὰ πᾶσαν βλασφημίαν τῶν πονηρευομένων καθ' ἡμῶν ἐν τῷ μέρει τούτῳ περικοπῆναι. Δέχεσθαι, *sed omnis malignorum hac in parte adversum nos obtrectatio auferatur.*

(92) Antiqui duo libri cum Voss. προσήκει τῆς ἀδελφότητος. Mox editio Basil. perinde ut Paris. τὸν βίον κατ' εὐσ. Editio Ven. et mss. non pauci τὸν βίον τὸν κατ' εὐσ. Ibidem Reg. primus ἀλλὰ τρέφεσθαι. Rursus hoc ipso in loco veteres duo libri præter Voss. ἐν πάσῃ εὐσεβείᾳ, *in omni pietate.* Editi et mss. nonnulli ἐν πάσῃ ἀγάπῃ, *in omni dilectione.*

(93) Reg. primus et Colb. οἶκον καὶ δίαιταν τοῖς παισίν, ὥστε μήτε. Codex Voss. οἴκους καὶ δίαιταν τοῖς παισίν, ὡς· quod ut brevius, ita fortasse et melius quoque esse judicabitur. Alii quidam mss. et editi ut in contextu.

(94) Editi πρὸς προάγοντας. At mss. tres πρὸς τοὺς προά.

Μήτε μὴν ἐν οἷς διὰ τὴν ἡλικίαν τὸ πρέπον τοῖς πρεσβυτέροις σώζεται, πρὸς ταῦτα τοὺς νέους διὰ τῆς συναναστροφῆς πρὸ καιροῦ ἀπρεπῶς προπετεύεσθαι.

2. Ταύτης τε οὖν τῆς οἰκονομίας ἕνεκεν καὶ τῆς λοιπῆς σεμνότητος διωρίσθαι χρὴ τῶν παίδων καὶ τῶν τελειοτέρων τὴν οἴκησιν. Καὶ ἅμα οὐδὲ θόρυβον ἕξει ὁ οἶκος τῶν ἀσκητῶν ἐν τῇ μελέτῃ τῶν διδαγμάτων ἀναγκαίᾳ οὔσῃ (95) τοῖς νέοις. Ἀλλὰ προσευχαὶ μὲν κοιναὶ καὶ παισὶ καὶ πρεσβυτέροις ἔστωσαν, αἱ κατὰ τὴν ἡμέραν διατετυπωμέναι· τοῖς τε γὰρ παιδίοις ἐθισμὸς ἐκ τοῦ ζήλου τῶν τελειοτέρων πρὸς κατάνυξιν (96), καὶ τοῖς προάγουσιν οὐ μικρὰ ἐν προσευχαῖς ἡ παρὰ νηπίων βοήθεια· μελέται δὲ ἰδιάζουσαι, καὶ δίαιται (97) κατά τε ὕπνον καὶ ἐγρήγορσιν, καὶ τροφῆς καιρὸν, καὶ μέτρον καὶ ποιότητα παιδίοις πρεπόντως ἀφωρίσθω. Ἐπιτετάχθω δὲ τοῖς τοιούτοις ὁ καθ' ἡλικίαν προήκων, καὶ τὴν ἐμπειρίαν ὑπὲρ τοὺς ἄλλους ὢν, καὶ μαρτυρίαν ἔχων ἐπὶ μακροθυμίᾳ· ὥστε πατρικῇ μὲν εὐσπλαγχνίᾳ, λόγῳ δὲ ἐπιστημονικῷ τὰ ἁμαρτήματα τῶν νέων ἐπανορθοῦσθαι, οἰκείας ἑκάστῳ πταίσματι τὰς θεραπείας προσάγοντα, ὥστε (98) τὸ αὐτὸ καὶ ἐπιτίμησιν ἔχειν τοῦ ἁμαρτήματος, καὶ γυμνάσιον ἀπαθείας (99) τῇ ψυχῇ γίνεσθαι. Οἷον, ὠργίσθη πρὸς τὸν ὁμήλικα; τοῦτον θεραπεῦσαι, καὶ ὑπηρετῆσαι αὐτῷ κατὰ ἀναλογίαν τοῦ τολμήματος ἀναγκασθήτω. Ὁ γὰρ πρὸς τὴν ταπείνωσιν ἐθισμὸς οἷον ἐκτέμνει (1) τῆς ψυχῆς τὸ θυμούμενον, τῆς ἐπάρσεως ὡς τὰ πολλὰ ἡμῖν τὴν ὀργὴν ἐμποιούσης. Ἥψατο βρωμάτων παρὰ καιρόν; ἐπὶ πλεῖστον τῆς ἡμέρας ἀπόσιτος ἔστω. Ἀμέτρως ἢ ἀσχημόνως σιτούμενος κατεγνώσθη; κατὰ τὸν καιρὸν τῆς τροφῆς εἰργόμενος τῶν σιτίων, ὁρᾷν τοὺς ἄλλους κατ' ἐπιστήμην ἐσθίοντας ἀναγκαζέσθω, ὥστε καὶ κολάζεσθαι τῇ ἀποχῇ, καὶ διδάσκεσθαι τὴν σεμνότητα. Λόγον ἀφῆκεν ἀργὸν, ὕβριν εἰς τὸν πλησίον, ψεῦδος, ἄλλο τι τῶν ἀπηγορευμένων; Τῇ τε γαστρὶ καὶ τῇ σιωπῇ σωφρονιζέσθω.

3. Δεῖ δὲ καὶ τὴν τῶν γραμμάτων μελέτην οἰκείαν εἶναι τῷ σκοπῷ· ὥστε καὶ ὀνόμασιν αὐτοὺς τοῖς ἐκ τῶν Γραφῶν (2) κεχρῆσθαι, καὶ ἀντὶ μύθων τὰς τῶν παραδόξων ἔργων ἱστορίας αὐτοῖς διηγεῖσθαι, καὶ γνώμαις παιδεύειν ταῖς ἐκ τῶν Παροιμιῶν, καὶ ἆθλα μνήμης ὀνομάτων τε καὶ πραγμάτων αὐτοῖς προτιθέναι, ὥστε μετὰ τερπνότητος καὶ ἀνέσεως ἀλύπως αὐτοῖς καὶ ἀπροσκόπως τὸν σκοπὸν διανύεσθαι. Καὶ ἡ προσοχὴ δὲ τῆς διανοίας (3), καὶ ὁ

A corum temere agant ob frequentem cum ipsis consuetudinem.

2. Quapropter cum hujus œconomiæ, tum reliquæ etiam servandæ disciplinæ ac sanctimoniæ causa distinctam esse oportet puerorum et natu majorum habitationem. Prætereaque, dum necessaria illa juvenibus exercitatio fiet, non turbabitur monachorum domus. Precationes autem quæ per diem institutæ sunt, et pueris et antiquioribus sint communes. Nam pueri majorum exemplo compungi consuescunt: antiquiores vero in precationibus a pueris haud parum adjuvantur. Cæterum quod ad somnum, ad vigilias, ad tempus, mensuramque et B qualitatem alimentorum attinet, convenienter pueris decernantur exercitationes et diætæ peculiares. Præficiatur autem talibus quispiam ætate provectior, cæterisque experientia præstantior, qui etiam lenitatis testimonium habeat: ut paterna clementia ac perito sermone corrigat juvenum peccata, atque peculiaria remedia singulis delictis afferat; simulque et reprehendatur peccatum, et anima ad imperturbatum quemdam statum exerceatur. Exempli causa, iratus est quispiam suo coæquali? Eum placare, ipsique pro facinoris ratione subservire cogatur. Nam humilitatis assuetudo iracundiam animi quasi exscindit; cum contra ejusdem elatio plerumque nobis iram ingeneret. Sumpsit cibos C præter tempus? Maxima diei parte jejunet. Immodice aut indecore cibum cepisse deprehensus est? Ipse refectionis tempore a cibo abactus, alios rite edentes intueri cogatur, ut et abstinentia plectatur, et honestatem discat. Protulit verbum otiosum, contumeliam in proximum, mendacium, aliquid aliud quod interdictum sit? Et ventre et silentio castigetur.

3. Atque etiam litterarum studium eorum instituto accommodatum esse oportet, et vocabulis e Scriptura sumptis utantur, et ipsis narrentur admirabilium factorum historiæ loco fabularum, et edoceantur sententias Proverbiorum, et memoriæ D præmia eisdem proponantur tam pro nominibus quam pro rebus, ut jucunde et quasi animum relaxantes, nulla cum molestia, nullaque offensione, ad scopum pertingant. **357** Prætereaque qui sunt

(95) Reg. primus et Voss. ἀναγκαίας οὔσης.

(96) Reg. primus emendatus πρὸς κατάνοιξιν. Mox codex Voss. οὐ μικρόν. Statim editio Basil. βοήθεια προσγίνεται, et ita quoque legitur in editione Parisiensi. Illud προσγίνεται neque in editione Ven., neque in codice Voss. neque in aliis quatuor mss. invenitur.

(97) Reg. primus καὶ δίαιτα. Mox unus ms. πρεπόντως ἀφοριζέσθω.

(98) Codex Voss. ἐπανορθοῦσθαι οἰκείως ἑκάστῳ πταίσματι, ὥστε, brevius quidem, sed sensu non dissimili. Reg. primus emendatus ἐπάγοντα.

(99) Reg. primus et Voss. et Colb. γυμνάσιον εὐπειθείας, *obedientiæ exercitatio*. Editiones veteres et Combef. et Reg. tertius ἀπειθείας.

(1) Legitur in Colb. οἱονεὶ ἐκτέμνει. Mox antiquæ editiones et Reg. secundus τῆς ἐπάρσεως πολλάκις ἡμῖν τὴν ὀργὴν ἐμποιούσης. Alii tres mss. cum Voss. ut in contextu. Utro autem modo legatur, non multum interest. Nam ex utraque lectione eadem plane sententia efficitur.

(2) Codex Voss. τῶν πραγμάτων, corrupte.

(3) Reg. primus Ἡ προσευχὴ δὲ τῆς, *mentis precatio*. Haud longe idem ms. ἐγγίνοιτο. Alter ἐγγίγνοιτο.

ejusmodi, recte educati, attentionem animi facile assequentur, atque mentis aberrationem vitare assuescent, si a magistris assidue interrogentur, ubi sit eorum animus, et quid in mente versent. Etenim illa ætas, utpote simplex, fraudis nescia, et ad mendacium inepta, nullo negotio animi arcana prodit: accedit etiam, quod qui talis est, ne perpetuo vetitis commentis immorari deprehendatur, fugiet absurdas cogitationes, atque objurgationum dedecus reveritus, semetipsum assidue ab ineptis revocabit.

4. Animus igitur dum adhuc facile conformari potest, dumque tener est, ac instar mollis ceræ, rerum oblatarum formas nullo negotio induit, ad omnia bona statim ab initio exercendus est: ut ubi adfuerit ratio, habitusque discernendi accesserit, a jactis initio elementis, et a traditis pietatis formis cursus instituatur, ratione id quod utile est suggerente, consuetudine vero facilitatem ad recte agendum præbente. Tunc autem admittenda est virginitatis professio, tanquam quæ jam firma sit, et quæ ab ipsorum sententia ac judicio proficiscatur, jam perfecta et absoluta ratione: post quod tempus et præmia et pœnæ peccantibus aut recte facientibus ab æquo judice pro operum merito decernuntur. Testes autem hujusce propositi adhibendi sunt ecclesiarum præfecti, ut ipsorum opera et corporis sanctimonia veluti res quædam sacra Deo dedicetur, et firma sit hæc actio per testimonium. *Nam*, inquit, *in ore duorum aut trium testium stabit omne verbum* [58]. Sic enim et fratrum agendi ratio nec male audiet, et eis qui se ipsos Deo desponderunt, ac deinde professionem irritam facere conantur, nulla impudentiæ occasio relinquetur. Sed qui in virginitate vitam agere non vult, is, tanquam qui res Domini curare non valeat, coram iisdem testibus dimittatur. Cæterum qui professus fuerit post multam indagationem ac deliberationem, quam ei licere debet privatim facere dierum plurium spatio, ne quid per raptum a nobis fieri videatur, ita demum suscipiendus est, et inter fratres annumerandus, eamdem deinceps et domum et diætam habiturus cum majoribus. Sed quod dicere nos fugit, et nunc addere non abs re fuerit, nos, quod quibusdam artibus statim a puero danda opera sit, ubi jam pueri aliqui ad eas discendas visi fuerint esse idonei, nequaquam prohibere, quominus cum artis magistris interdiu maneant. Sed noctu eos necessario ad æquales suos trans-

τοῦ μὴ μετεωρίζεσθαι ἐθισμὸς, εὐκόλως ἂν διὰ τῆς ὀρθῆς ἀγωγῆς τοῖς τοιούτοις ἐγγένοιτο, εἰ παρὰ τῶν ἐπιστατούντων συνεχῶς ἀνακρίνοιντο, ποῦ ἔχουσι τὴν διάνοιαν, καὶ τί στρέφουσιν ἐν τοῖς λογισμοῖς. Τὸ γὰρ ἁπλοῦν τῆς ἡλικίας καὶ ἄδολον, καὶ πρὸς τὸ ψεῦδος ἀνεπιτήδειον, ἐξαγορεύει μὲν εὐκόλως τὰ ἀπόρρητα τῆς ψυχῆς· ὑπὲρ δὲ τοῦ μὴ συνεχῶς ἐγκαταλαμβάνεσθαι τοῖς ἀπηγορευμένοις, ὁ τοιοῦτος φεύγοι ἂν τὰς τῶν ἀτόπων ἐννοίας, καὶ συνεχῶς ἑαυτὸν ἐκ τῶν ἀτόπων ἀνακαλέσεται, τὴν ἐκ τῶν ἐλέγχων αἰσχύνην φοβούμενος.

4. Εὔπλαστον οὖν ἔτι οὖσαν καὶ ἁπαλὴν τὴν ψυχὴν, καὶ ὡς κηρὸν εὔεικτον, ταῖς τῶν ἐπιβαλλομένων μορφαῖς ῥᾳδίως ἐκτυπουμένην, πρὸς πᾶσαν ἀγαθῶν ἄσκησιν εὐθὺς καὶ ἐξ ἀρχῆς ἐνάγεσθαι (4) χρή· ὥστε τοῦ λόγου προσγενομένου, καὶ τῆς διακριτικῆς ἕξεως προσελθούσης, δρόμον ὑπάρχειν ἐκ τῶν ἐξ ἀρχῆς στοιχείων, καὶ τῶν παραδοθέντων τῆς εὐσεβείας τύπων, τοῦ μὲν λόγου τὸ χρήσιμον ὑποβάλλοντος, τοῦ δὲ ἔθους εὐμάρειαν πρὸς τὸ κατορθοῦν ἐμποιοῦντος. Τότε καὶ τὴν ὁμολογίαν τῆς παρθενίας προσίεσθαι δεῖ, ὡς ἤδη βεβαίαν, καὶ ἀπὸ γνώμης οἰκείας καὶ κρίσεως γινομένην μετὰ τὴν τοῦ λόγου (5) συμπλήρωσιν· μεθ' ὃν καὶ τιμαὶ, καὶ τιμωρίαι τοῖς ἁμαρτάνουσιν, ἢ τοῖς κατορθοῦσι παρὰ τοῦ δικαίου κριτοῦ κατὰ τὴν τῶν ἔργων ἀξίαν δίδονται (6). Μάρτυρας δὲ τῆς γνώμης τοὺς προεστῶτας τῶν ἐκκλησιῶν παραλαμβάνειν, ὥστε δι' αὐτῶν καὶ τὸν ἁγιασμὸν τοῦ σώματος ὥσπερ τι ἀνάθημα τῷ Θεῷ καθιεροῦσθαι (7), καὶ βεβαίωσιν εἶναι τοῦ γινομένου διὰ τῆς μαρτυρίας. *Ἐπὶ στόματος* γὰρ, φησὶ, *δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα*. Οὕτω γὰρ καὶ ἡ σπουδὴ τῶν ἀδελφῶν τὸ ἀβλασφήμητον ἕξει, καὶ τοῖς ἑαυτοὺς καθομολογησαμένοις Θεῷ, εἶτα ἀθετεῖν ἐπιχειροῦσιν, ἀφορμὴ πρὸς ἀναισχυντίαν οὐχ ὑπολειφθήσεται. Ὁ δὲ μὴ καταδεχόμενος τὸν ἐν παρθενίᾳ βίον, ὡς οὐ δυνάμενος μεριμνᾷν τὰ τοῦ Κυρίου, ἐπὶ τῶν αὐτῶν μαρτύρων ἀπολυέσθω. Τόν γε μὴν καθομολογησάμενον (8) μετὰ πολλὴν ἀνάκρισιν καὶ ἐπίσκεψιν, ἣν ἐν πλείοσιν ἡμέραις ἐπιτρέπειν αὐτῷ ποιεῖσθαι καθ' ἑαυτὸν προσήκει, ὡς μὴ δόξαι τι καθ' ὑφαρπαγὴν παρ' ἡμῶν γίνεσθαι, οὕτως ἤδη παραδέχεσθαι δεῖ, καὶ ἐναρίθμιον ποιεῖσθαι τῇ ἀδελφότητι (9), καὶ οἴκου καὶ διαίτης τῆς αὐτῆς τοῖς τελειοτέροις μεθέξοντα. Ὃ δὲ παρέλαθεν ἡμᾶς εἰπεῖν, οὐδὲ νῦν προσθεῖναι ἄκαιρον, ὅτι διὰ τό τινας τῶν τεχνῶν εὐθὺς ἐκ νηπίου ἐπιτηδεύεσθαι δεῖν, ἐπειδὰν ἤδη τινὲς τῶν παίδων ἐπιτηδείως ἔχοντες φανῶσι πρὸς τὴν

[58] Matth. XVIII, 16.

(4) Codex Colb. ἀναγαγέσθαι. Mox idem ms. εὔδρομον ὑπάρχειν.

(5) Editio Basil. æque ac Paris. κατὰ τὴν τοῦ λόγου. Editio Ven. et tres mss. μετὰ τὴν, recte. Statim Colb. μεθ' ὧν καί. Alii duo mss. et editi μεθ' ὅν, *postquam emissa est professio*.

(6) Veteres duo libri cum Voss. ἀνταποδίδονται.

(7) Codex Colb Θεῷ ἀφιεροῦσθαι.

(8) Editio Paris. pariter ac Basil. καθομολογησόμενον, *qui professionem est facturus, obligaturus se votis*. Editio Ven. et codex Combef. cum aliis tribus καθομολογησάμενον. Mox Reg. primus et Voss. ἐπὶ πλείοσιν. Subinde impressi libri ποιῆσαι. At quatuor mss. ποιεῖσθαι.

(9) Veteres duo libri τῆς ἀδελφότητος. Ibidem editio Basil. perinde ut Paris. καὶ οἴνου. Editio Ven. et mss. non pauci καὶ οἴκου.

μάθησιν, τὸ μὲν συνδιημερεύειν αὐτοὺς τοῖς διδασκάλοις τῆς τέχνης οὐκ ἀπαγορεύομεν· νύκτωρ δὲ ἀναγκαίως πρὸς τοὺς ὁμήλικας μεθιστῶμεν, μεθ' ὧν καὶ τῆς τροφῆς αὐτοῖς ἀναγκαῖον μεταλαμβάνειν.

A mittimus, quibuscum cibum etiam capiant necesse est.

ΕΡΩΤΗΣΙΣ ΙϚ'.

Εἰ ἀναγκαῖον τῷ μέλλοντι εὐσεβῶς ζῇν τὸ ἐγκρατεύεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

1. Ὅτι μὲν ἀναγκαῖος ὁ τῆς ἐγκρατείας λόγος, δῆλον· πρῶτον μὲν ἐκ τοῦ τὸν Ἀπόστολον ἐν τοῖς καρποῖς τοῦ Πνεύματος τὴν ἐγκράτειαν ἀριθμῆσαι (10), ἔπειτα δὲ ἐκ τοῦ τὸ ἄμωμον τῆς διακονίας καὶ ἐκ ταύτης εἰπεῖν κατορθοῦσθαι, ἐν οἷς φησιν· *Ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι*· καὶ ἑτέρωθι· *Ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις· ἐν λιμῷ καὶ δίψει· ἐν νηστείαις πολλάκις* (11)· καὶ πάλιν· *Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται.* Καὶ ὁ ὑπωπιασμὸς δὲ τοῦ σώματος, καὶ ἡ δουλαγωγία, ὑπ' οὐδενὸς ἄλλου τοσοῦτον, ὡς ὑπὸ τῆς ἐγκρατείας κατορθοῦται. Τὸ γὰρ βράζον τῆς νεότητος, καὶ πρὸς τὰς ὁρμὰς δυσκάθεκτον, οἷον χαλινῷ τινι (12) τῇ ἐγκρατείᾳ καθείργεται. *Οὐ γὰρ συμφέρει ἄφρονι τρυφή*, κατὰ τὸν Σολομῶντα. Τί δὲ σαρκὸς εὐπαθούσης καὶ νεότητος (13) περιφερομένης ἀφρονέστερον; Διό φησιν ὁ Ἀπόστολος· *Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας*· καί, *Ἡ σπαταλῶσα, ζῶσα τέθνηκεν.* Καὶ τὸ ὑπόδειγμα δὲ τῆς τοῦ πλουσίου τρυφῆς ἀναγκαίαν ἡμῖν τὴν ἐγκράτειαν παρίστησι, μήποτε ἀκούσωμεν ὃ ἤκουσεν ὁ πλούσιος, ὅτι *Ἀπέλαβες* (14) *τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου.*

2. Ὅπως δὲ φοβερὸν ἡ ἀκρασία, καὶ ὁ Ἀπόστολος ἔδειξεν, ἐν τοῖς ἰδιώμασι τῆς ἀποστασίας καταριθμήσας αὐτήν, καὶ εἰπών· *Ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. Ἔσονται γὰρ ἄνθρωποι φίλαυτοι.* Καὶ πλείονα ἀπαριθμησάμενος τῆς κακίας εἴδη, ἐπήγαγε (15)· *Διάβολοι, ἀκρατεῖς.* Καὶ ὁ Ἡσαῦ δὲ τὸ μέγιστον τῶν κακῶν τὴν ἀκρασίαν κατηγορήθη, ὡς ἀντὶ βρώσεως μιᾶς ἀποδόμενος τὰ πρωτοτόκια. Καὶ ἡ πρώτη παρακοὴ δι' ἀκρασίας ἐνέπεσε τῷ ἀνθρώπῳ. Ἐν ἐγκρατείᾳ δὲ οἱ ἅγιοι πάντες ἐμαρτυρήθησαν. Καὶ πᾶσα δὲ ἡ τῶν ἁγίων καὶ μακαρίων ζωή, καὶ τὸ παρ' αὐτοῦ τοῦ Κυρίου ἐν τῇ ἐπιδημίᾳ τῇ διὰ σαρκὸς (16) ὑπόδειγμα πρὸς

358 INTERROGATIO XVI.

An ei qui pie vivere vult, necessaria sit temperantia.

RESPONSIO.

1. Liquet necessariam esse temperantiæ exercitationem: primum quidem, quoniam temperantia ab Apostolo inter fructus Spiritus recensetur [59]; deinde vero, quoniam dicit nostrum ministerium etiam per illam inculpatum fieri, his verbis utens: B *In laboribus, in vigiliis, in jejuniis, in castitate* [60]; et alibi: *In labore et ærumna, in vigiliis sæpe: in fame et siti, in jejuniis sæpe* [61]; et rursus: *Omnis autem qui in agone contendit, ab omnibus se abstinet* [62]. Nulla autem res alia tam corpus castigat quam temperantia, aut illud æque in servitutem redigit. Nam juventutis fervor, et libidinum reprimendarum difficultas temperantia quasi freno quodam cohibetur. *Non enim prosunt stulto deliciæ*, juxta Salomonem [63]. Ecquid autem carne in deliciis degente, et juventute sese quoquoversum ferente stultius fingi potest? Quapropter Apostolus dicit: *Et carnis curam ne faciatis ad concupiscentias* [64]; item: *Quæ in deliciis est, vivens mortua est* [65]. Adde quod exemplum deliciarum quibus C dives fruebatur, temperantiam nobis necessariam esse ostendat, ne forte audiamus quod dives audivit, nimirum: *Recepisti bona tua in vita tua* [66].

2. Quam vero metuenda intemperantia sit, etiam Apostolus docuit, cum illam numeravit inter defectionis proprietates, ac dixit: *In novissimis diebus instabunt tempora periculosa. Erunt enim homines seipsos amantes* [67]. Ac pluribus nequitiæ generibus recensitis, subjunxit: *Criminatores, intemperantes* [68]. Atque Esau etiam intemperantia ceu malo maximo accusatus est, tanquam qui prioris ortus jura pro uno edulio vendidisset [69]. Præterea per intemperantiam cœpit homo non obtemperare. At sancti omnes temperantiæ laude fuerunt spectati. Imo potius omnis sanctorum ac D beatorum vita, ipsiusque Domini in carne præ-

[59] Galat. v, 23. [60] II Cor. vi, 5. [61] II Cor. xi, 27. [62] I Cor. ix, 25. [63] Prov. xix, 10. [64] Rom. xiii, 14. [65] I Tim. v, 6. [66] Luc. xvi, 25. [67] II Tim. iii, 1, 2. [68] ibid. 3. [69] Gen. xxv, 33.

(10) Reg. tertius ἐναριθμῆσαι. Vox ἐγκράτεια multis modis Latine reddi potest. Fortasse non male interpretabitur, qui eam hoc loco pro *cibi abstinentia* sumet. Aliquanto post Reg. primus τὸ ἀμώμητον τῆς.

(11) Totum illud, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, additum est ex codice Voss. et ex aliis duobus Regiis. Haud longe codex Colb. καὶ ὁ ὑποπιεσμός, *corporis afflictatio*.

(12) Antiqui duo libri cum Voss. χαλινῷ τινι ἄρχειν καὶ πιέζειν τῇ ἐγκρατείᾳ προσῆκεν, *temperantia velut freno quodam stringi ac premi debet.*

(13) Editiones veteres καὶ νεότητι. At Reg. tertius et Colb. καὶ νεότητος.

(14) Antiqui duo libri πλούσιος· τό, Ἀπέλαβες. Haud longe Reg. primus et Voss. et Colb. Ἀπόστολος ἐδίδαξεν. Subinde tres mss. καταριθμήσας αὐτήν, εἰπών.

(15) Veteres duo libri τελευταῖον ἐπήγαγε. Nec ita multo post editi et duo mss. ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια. Reg. primus et Colb. ita ut edidimus.

(16) Editio ἐπιδημίᾳ τῆς σαρκός. Reg. primus et Colb. τῇ διὰ σαρκός. Statim Reg. primus εἰς τοῦτο. Ibid. antiqui duo libri ὠφελεῖ. Editi ὠφέλησεν. Rursus hoc ipso in loco codex Voss. et alii duo: Τοῦτο μὲν Μωϋσέως διὰ τῆς παρατεταμένης ἐκείνης νηστείας προσεδρεύσαντος τῷ Θεῷ καὶ τυχόντος τῆς διακονίας, τοῦτο δὲ Ἠλία τότε τῆς ὀπτασίας τοῦ Θεοῦ καταξιωθέντος, ὅτε καὶ αὐτὸς τῷ ἴσῳ μέτρῳ τῆς ἀποχῆς τῶν

sentis exemplum ad hoc suggerendum nobis prodest. Moyses per longam in jejunio et precatione perseverantiam legem accepit [70], Deique verba audivit, *Tanquam si quis*, inquit, *loqueretur cum amico suo* [71]. Elias Dei visione dignus tunc est habitus, cum ipse quoque pari modo abstinentia usus est [72]. Quid autem Daniel? Quo pacto conspexit mira? An non post vicesimam jejunii diem [73]? Quomodo vero tres **359** pueri vim ignis exstinxerunt? Nonne per abstinentiam [74]? Ac etiam Joannis tota vivendi ratio ab abstinentia sumpsit exordium [75]. Ab hac Dominus quoque se ipse ostendere cœpit [76]. Temperantiam autem dicimus non universam prorsus ciborum abstinentiam (hoc enim violenta quædam vitæ dissolutio est), sed eam, qua a rebus jucundis abstinemus, quæ ad pertinaciam carnis frangendam et ad attingendum pietatis scopum instituta sit.

3. Et in summa, quibus rebus frui desiderant qui libidinose vivunt, earum abstinentia nobis qui ad pietatem informamur, necessaria est. Neque vero in sola escarum voluptate moderanda exercetur temperantia, sed sese ad omnem etiam rei cujusque adversantis privationem extendit. Quare qui perfecte temperans est, non ita ventrem domabit, ut vincatur ab humana gloria; non ita turpem cupiditatem superabit, ut non amplius superet divitias, aut alium quemvis probrosum affectum, veluti iram, aut tristitiam, aut reliqua vitia, quæ animas disciplinæ inexpertes in servitutem redigere solent. Fere enim, quod in omnibus præceptis cernimus, illa inter se connexa esse, neque fieri posse, ut alterum separatim ab altero impleatur, id maxime in temperantia cernitur. Etenim et humilis est qui circa gloriam temperans est, et evangelicam inopiæ mensuram explet qui erga divitias temperanter afficitur, et iræ expers qui

A τοῦτο ἡμᾶς ὠφελεῖ. Ὁ Μωϋσῆς διὰ τῆς μακρᾶς ἐν νηστείᾳ καὶ προσευχῇ προσεδρίας τὸν νόμον ἔλαβε, καὶ Θεοῦ λόγων ἤκουσεν, *Ὡς ἄν εἴ τις λαλήσαι* (17), φησὶ, *τῷ ἑαυτοῦ φίλῳ*. Ὁ Ἠλίας τότε τῆς ὀπτασίας τοῦ Θεοῦ κατηξιώθη, ὅτε καὶ αὐτὸς ἐν τῷ ἴσῳ μέτρῳ τῆς ἐγκρατείας γέγονε. Τί δὲ ὁ Δανιήλ; Πῶς ἐν τῇ ὀπτασίᾳ τῶν παραδόξων ἐγένετο; Οὐ μετὰ τὴν εἰκοστὴν τὴν νηστείας ἡμέραν; Πῶς δὲ οἱ τρεῖς παῖδες τὴν δύναμιν ἔσβεσαν τοῦ πυρός; Οὐ διὰ τῆς ἐγκρατείας; Καὶ Ἰωάννου δὲ ἡ πᾶσα τοῦ βίου ἔνστασις ἀπὸ τῆς ἐγκρατείας ὥρμητο. Ἀπὸ ταύτης καὶ ὁ Κύριος τῆς φανερώσεως αὐτοῦ ἤρξατο. Ἐγκράτειαν δὲ λέγομεν οὐ πάντως τὴν παντελῆ ἀποχὴν (18) τῶν βρωμάτων (τοῦτο γὰρ βιαία τίς ἐστι διάλυσις τῆς ζωῆς), ἀλλὰ τὴν ἐπὶ καθαιρέσει τοῦ φρονήματος τῆς B σαρκὸς πρὸς τὸν τῆς εὐσεβείας σκοπὸν ἐπιτετηδευμένην (19) ἀποχὴν τῶν ἡδέων.

3. Καὶ ἁπαξαπλῶς, ὧν αἱ ἀπολαύσεις ἐπιθυμηταὶ τοῖς κατὰ πάθος ζῶσι, τούτων ἡμῖν (20) ἡ ἐγκράτεια ἀναγκαία τοῖς ῥυθμιζομένοις πρὸς τὴν εὐσέβειαν (21). Οὐ μὴν περὶ τὴν ἡδονὴν τῶν βρωμάτων μόνην ἡ τῆς ἐγκρατείας ἄσκησις κατορθοῦται, ἀλλὰ διατείνει καὶ ἐπὶ πᾶσαν τοῦ ἐμποδίζοντος ἀποχήν. Ὥστε ὁ ἀκριβῶς ἐγκρατὴς οὐ γαστρὸς μὲν κρατήσει, δόξῃ δὲ ἀνθρωπίνῃ ἡττηθήσεται· οὐχ ἐπιθυμίας (22) μὲν αἰσχρᾶς περιγενήσεται, πλούτου δὲ οὐκέτι, οὐδὲ ἄλλης τινὸς ἀγεννοῦς διαθέσεως, οἷον ὀργῆς, ἢ λύπης, ἢ τῶν ὅσα τὰς ἀπαιδεύτους ψυχὰς καταδουλοῦσθαι πέφυκε. C Σχεδὸν γὰρ, ὃ ἐπὶ πασῶν θεωροῦμεν τῶν ἐντολῶν, ὅτι ἀλλήλων ἔχονται, καὶ ἀπεσχισμένως ἄλλην ἀπ' ἄλλης κατορθοῦσθαι ἀμήχανον, τοῦτο μάλιστα περὶ τὴν ἐγκράτειαν θεωρεῖται. Ταπεινόφρων τε (23) γάρ ἐστιν ὁ περὶ δόξαν ἐγκρατής· καὶ τῆς ἀκτημοσύνης τὸ εὐαγγελικὸν ἐκπληροῖ μέτρον ὁ περὶ χρήματα ἐγκρατῶς διακείμενος· καὶ ἀόργητος ὁ θυμοῦ καὶ ὀργῆς ἐπικρατῶν (24). Καὶ γλώσσῃ δὲ μέτρα, καὶ

[70] Deut. IX, 9. [71] Exod. XXXIII, 11. [72] III Reg. XIX, 8. [73] Dan. X, 3. [74] Dan. I, 8. [75] Matth. III, 4; Luc. I, 15. [76] Matth. IV, 2.

βρωμάτων ἐγένετο. Τοῦ Δανιὴλ δὴ καὶ ἡ τῶν τριῶν παίδων πρὸς Θεὸν εὐαρέστησις καὶ τὸ πάντων κατακρατῆσαι τῶν ἐχθρῶν δι' ἐγκρατείας κατωρθώθη, καὶ Ἰωάννου. Eadem fere aliis verbis. Regii secundus et tertius ὁ Μωϋσῆς διὰ τῆς, etc., ita ut in contextu legere cuique licet.

(17) Editiones veteres λαλήσει. At duo mss. Regii λαλήσαι. Ibidem editio Paris. pariter ac Basil. τῷ ἑαυτῷ φίλῳ. Editio Ven. et duo mss. ἑαυτοῦ.

(18) Editi τὴν εἰς τὸ παντελὲς ἀποχήν. Reg. primus et Voss. et Colb. ita ut edidimus.

(19) Antiqui tres libri ἐπιτηδευόμενον. Ibidem Reg. primus et Voss. fusius τῶν ἡδέων· σκοπὸν δὲ ἔχουσαν τὴν τῆς χρείας ἐκπλήρωσιν, *cujus scopus sit, ut necessitati fiat satis*. Hoc ipso in loco legitur in Voss. Καὶ ἁπλῶς. Et Colb. quoque uberius ἡδέων ἢ καὶ αὐτῶν πολλάκις τῶν ἀναγκαίων, *loquimur de abstinentia rerum jucundarum, aut etiam de earum abstinentia, quæ sæpe necessariæ sunt*.

(20) Vocem ἡμῖν et ex codice Voss. addidimus, et ex aliis duobus.

(21) Codex Voss. εὐσέβειαν. Ὥστε μὴ... τὴν ἄσκησιν κατορθοῦσθαι.... βλάπτοντος ἀποχήν.... ὁ ἀκριβής. Reg. primus et Colb. Ὥστε μὴ περὶ τὴν ἡδονὴν τῶν βρωμάτων μόνην τὴν τῆς ἐγκρατείας ἄσκησιν κατορθοῦσθαι, ἀλλὰ διατείνειν ἐπὶ πᾶσαν τοῦ βλάπτοντος ἀποχήν. Ὥστε ὁ ἀκριβής. Deinde quæ leguntur in editis, scripta quoque inveniuntur et in Colbertino. Sic autem Reg. primus prosequitur, Ὥστε ὁ ἀκριβὴς ἐγκρατὴς οὐ δόξης ἀνθρωπίνης, D οὐχ ἐπιθυμίας, οὐ πλούτου, οὐχ ἄλλης τινὸς ἀπρεποῦς ἡδονῆς, οὐχ ὀργῆς, οὐ λύπης, οὐδενὸς τῶν κατακρατεῖν εἰωθότων ἀπαιδεύτου ψυχῆς ἡττηθήσεται. Καὶ σχεδὸν ὅ. *Itaque qui perfecte temperans est, non humanæ gloriæ, non cupiditati, non alteri cuipiam indecoræ voluptati, non iræ, non tristitiæ, nec vitio ulli quod animum disciplinæ expertem vincere soleat, succumbet.* Nec aliter legitur in codice Vossii, nisi quod pro ἀπαιδεύτου habeat ἀποδέκτου· in quibus omnibus videntur librarii plus justo sibi indulsisse. Regii primus et secundus uti in vulgatis.

(22) Colb. οὐδὲ ἐπιθυμίας. Aliquanto post idem ms. Καὶ σχεδὸν ὅ.

(23) Vocula τε in antiquis tribus libris non legitur. Mox mss. tres πληροῖ μέτρον.

(24) Reg. primus ὀργῆς κρατῶν. Ibidem editi et duo mss. γλώσσης δέ. Reg. tertius γλώσσῃ, et ita quoque secunda manu legitur in Reg. primo.

ὀφθαλμοῖς ὅρους, καὶ ὠσὶν ἀπερίεργον ἀκοὴν ὁ ἀκριβὴς τῆς ἐγκρατείας ὁρίζει λόγος (25)· οἷς ὁ μὴ ἐμμένων ἀκρατὴς καὶ ἀκόλαστος. Ὁρᾷς πως περὶ μίαν ἐντολὴν ταύτην αἱ πᾶσαι ὡς ἐν χορῷ ἀλλήλων ἔχονται;

A indignationem et iracundiam continet in officio. Imo etiam perfecta temperantiæ ratio linguæ præfinit terminos, et oculis limites, et auribus auditionem non curiosam : in quibus si quis non immoratur, intemperans est et protervus. Vides quemadmodum circum hoc unum præceptum, reliqua omnia tanquam in choro inter se conjuncta cohæreant?

ΕΡΩΤΗΣΙΣ ΙΖ'.

Ὅτι δεῖ καὶ γέλωτος ἐγκρατῶς ἔχειν.

ΑΠΟΚΡΙΣΙΣ.

1. Καὶ τὸ παρὰ τοῖς πολλοῖς δὲ παρορώμενον οὐ μετρίας φυλακῆς τοῖς ἀσκουμένοις ἄξιον. Τὸ γὰρ γέλωτι ἀκρατεῖ καὶ ἀσχέτῳ κατέχεσθαι, ἀκρασίας σημεῖον, καὶ τοῦ μὴ κατεσταλμένα ἔχειν τὰ κινήματα (26), καὶ τοῦ μὴ ἀκριβεῖ λόγῳ τῆς ψυχῆς τὸ χαῦνον καταπιέζεσθαι. Ἄχρι μὲν γὰρ μειδιάματος φαιδροῦ τὴν διάχυσιν τῆς ψυχῆς ὑποφαίνειν οὐκ ἀπρεπὲς, ὅσον δεῖξαι μόνον τὸ γεγραμμένον· *Καρδίας εὐφραινομένης, πρόσωπον θάλλει*· ἐγκαγχάζειν δὲ τῇ φωνῇ, καὶ ἀναβράζεσθαι ἀπροαιρέτως (27) τὸ σῶμα, οὐ τοῦ κατεσταλμένου τὴν ψυχὴν, οὐδὲ τοῦ δοκίμου, οὐδὲ τοῦ περικρατῶς ἔχοντος ἑαυτοῦ (28). Τοῦτο εἶδος τοῦ γέλωτος καὶ ὁ Ἐκκλησιαστὴς παραιτούμενος, ὡς περιτρέπον μάλιστα τὸ σταθερὸν τῆς ψυχῆς, φησί· *Τῷ γέλωτι εἶπα περιφοράν*· καί· *Ὡς φωνὴ* (29) *τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα, οὕτως ὁ γέλως τῶν ἀφρόνων*. Καὶ ὁ Κύριος τὰ μὲν ἀναγκαῖα πάθη τῆς σαρκὸς ὑπομείνας φαίνεται, καὶ ὅσα ἀρετῆς μαρτυρίαν φέρει· οἷον κόπον, καὶ τὸν ἐπὶ τοῖς θλιβομένοις ἔλεον· γέλωτι δὲ μηδαμοῦ χρησάμενος, ὅσον ἐκ τῆς τῶν Εὐαγγελίων ἱστορίας, ἀλλὰ καὶ ταλανίζων τοὺς κατεχομένους ὑπ' αὐτοῦ. Μὴ παραχρουέσθω δὲ ἡμᾶς ἡ ὁμωνυμία τοῦ γέλωτος. Σύνηθες γὰρ τῇ Γραφῇ πολλάκις τὴν χαρὰν τῆς ψυχῆς καὶ τὴν φαιδρὰν ἐπὶ τοῖς ἀγαθοῖς διάθεσιν γέλωτα ὀνομάζειν, ὡς ἡ Σάῤῥα φησί· *Γέλωτά μοι ἐποίησεν ὁ Θεός*· καὶ τὸ, *Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε* (30)· καὶ τὸ ἐν τῷ Ἰὼβ δὲ κείμενον· *Ἀληθινὸν δὲ στόμα ἐμπλήσει γέλωτος*. Ταῦτα γὰρ πάντα ἀντὶ ἱλαρότητος ἐπὶ τῆς κατὰ ψυχὴν ἀγαλλιάσεως εἴληπται τὰ ὀνόματα. Ὥστε ὁ παντὸς πάθους ἀνώτερος, καὶ μηδένα

INTERROGATIO XVII.

Quod oportet etiam risum continere.

RESPONSIO.

1. Atque etiam quod a plerisque negligitur, id diligenter pietatis studiosis cavendum est. Nam intemperanti ac immodico risu detineri, indicio B est grassari intemperantiam, nec sedari motus, nec a severa ratione comprimi laxitatem animi. Risu quidem leni et hilari effusionem animi detegere indecorum non est, quantum scilicet necesse fuerit ut solum indicetur quod scriptum est, *Cordis læti facies floret* [77] : sed cachinnis vocem sustollere, et corpore præter voluntatem concuti non ejus est qui mente quieta sit, aut **360** probus, aut sui ipsius compos. Hoc risus genus Ecclesiastes quoque reprobans, tanquam quod animi constantiam maxime labefactet, ait : *Risui dixi circumlationem* [78]; et : *Sicut vox spinarum sub olla, ita risus stultorum* [79]; et Dominus eos quidem affectus, qui necessario corpus comitantur, et reliquos alios qui virtutis testimonium præ se ferunt, veluti C lassitudinem et commiserationem erga afflictos, ipse suscepisse perhibetur : sed, quantum ex Evangeliorum historia constat, risu nunquam usus est, imo vero eos qui risu tenentur, miseros pronuntiat [80]. Neque vero fallat nos ambiguum risus nomen. Est enim Scripturæ familiare, sæpenumero animi gaudium et hilarem affectum ex bonis ortum, risum appellare, quemadmodum ait Sara : *Risum mihi fecit Deus* [81]; et illud : *Beati qui nunc fletis, quia ridebitis* [82]. Item illud Jobi : *Os autem verax implebit risu* [83]. Nam omnia hæc nomina pro hilaritate ob animi gaudium usurpata D sunt. Quamobrem qui affectu omni superior est,

[77] Prov. xv, 13. [78] Eccle. II, 2. [79] Eccle. VII, 7. [80] Luc. VI, 25. [81] Gen. XXI, 6. [82] Luc. VI, 21. [83] Job VIII, 21.

(25) Reg. primus τῆς ἐγκρατείας κατορθοῖ λόγος, non ita recte. Mox duo mss. ὁρᾷς ὅπως. Titulus, qui statim sequitur, non legitur neque in Reg. primo, neque in codice Colbertino.

(26) Reg. primus τὰ κινήματα τῆς.... ἀλλ' ἄχρι μὲν μειδιάματος. Codex Colb. σημεῖον καὶ τοῦ μὴ ἀκριβεῖ λόγῳ κατεσταλμένα ἔχειν τὰ κινήματα τῆς ψυχῆς ἄχρι, etc.

(27) Vocem ἀπροαιρέτως addidimus ex mss. multis.

(28) Post illud, ἔχοντος ἑαυτοῦ, ita in vulgatis legitur, Βεβαιοῖ δὲ τὸν λόγον ὁ σοφώτατος Σολομὼν, φήσας· Μωρὸς ἐν γέλωτι ἀνυψοῖ τὴν φωνὴν αὐτοῦ· ἀνὴρ δὲ σοφὸς μόλις ἡσυχῇ μειδιάσει, *confirmat autem hunc sermonem sapientissimus Salomon his verbis : Fatuus in risu exaltat vocem suam; vir autem sapiens vix tacite subridebit* : quæ verba delevimus, utriusque codicis Coisliniani et Reg. primi et Colb. fidem secuti. Et vero videntur addita primum fuisse in libri ora ab aliquo, qui monere vellet ea quæ a Basilio dicebantur, ex Salomone confirmari posse : aut potius ex Ecclesiastico XXI, 23. Sed quod non raro contigit, hæc quæ retuli verba postmodum in ipsum contextum fluxere.

(29) Editi et nonnulli καὶ παροιμιαστής· ὡς φωνή. At Coisl. primus καί, ὡς φωνή, rectius. Non enim quæ proferuntur verba, leguntur in Proverbiorum libro, sed apud Eccles. VII, 7. Nec ita multo post Reg. primus et Colb. et uterque Coisl. γέλωτι δὲ μηδαμοῦ χρησάμενος, ὅσον. Alii duo mss. et editi γέλωτα δὲ μηδαμοῦ παραδεξάμενος, sensu non dissimili. Subinde editio Basil. simul et Paris. παραχρουέσθω δὲ ὑμᾶς. Editio Ven. et tres mss. præter Combef. ἡμᾶς.

(30) Codex Voss. et Colb. ὅτι γελάσονται, *quia ridebunt*. Haud longe unus ms. καὶ ἐπὶ τῆς κατά.

quique nullum patitur voluptatis incitamentum, aut certe qui nullum prodit, sed gerit se constanter ac fortiter adversus omnem noxiam delectationem, is perfectus est continens; qui autem ejusmodi est, utique liber est ab omni peccato. Imo vero aliquando ab ipsis etiam rebus, quæ permittuntur, quæque necessariæ sunt ad vitam, abstinendum est, cum scilicet ob fratrum nostrorum utilitatem abstinentia instituitur. Sic Apostolus: *Si esca*, inquit, *scandalizat fratrem meum, non manducabo carnem in æternum* [84]. Qui etiam cum haberet potestatem vivendi ex Evangelio, non usus est hac potestate, ne quod offendiculum daret Evangelio Christi [85].

2. Temperantia igitur tollit peccata, turbulentos motus amandat, mortificat corpus ad ipsas etiam usque naturales affectiones ac cupiditates, initium est spiritualis vitæ, conciliat æterna bona, stimulum voluptatis in seipsa exstinguit. Voluptas enim magna illa est mali illecebra, qua nos homines ad peccatum valde admodum proclives sumus: a qua anima omnis velut ab hamo ad interitum pertrahitur. Quare qui ab ipsa non effeminatur, nec frangitur, per temperantiam peccata omnia vitat. Quod si quispiam, vitatis plurimis, ab uno superatur, is continens non est: quemadmodum neque sanus est, qui uno corporali morbo laborat; neque liber, qui imperio subjicitur unius, quicunque tandem ille sit, vilisque et plebeius. Ac reliquæ quidem **361** virtutes cum in occulto exerceantur, raro veniunt in hominum conspectum: continentia vero eum a quo possidetur, vel ipso congressu notum efficit. Ut enim obesitas et bonus color athletam notat, ita corporis macies et pallor, qui ex continentia emergit, indicio est, Christianum vere athletam esse præceptorum Christi: qui inimicum suum in corporis infirmitate vincat, viresque suas in pietatis certaminibus ostendat, convenienter verbis illis: *Cum infirmor, tunc potens sum* [86]. Quantum ex eo lucri est, si solum continentem videamus, vix et parce rebus necessariis utentem, et veluti onerosum naturæ ministerium persolventem, tempusque quo iis immoratur, ægro animo ferentem, et cito a mensa ad opera peragenda surgentem. Arbitror enim

A εξ ἡδονῆς ἐρεθισμὸν πάσχων, ἢ καὶ προϊέμενος (31), ἀλλ' ἐγκρατῶς καὶ ἀνενδότως πρὸς πᾶσαν ἀπόλαυσιν βλαβερὰν διακείμενος, ὁ τέλειός ἐστιν ἐγκρατής· ὁ δὲ τοιοῦτος δηλονότι καὶ πάσης ἀπήλλακται ἁμαρτίας. Ἔστι δὲ ὅτε καὶ αὐτῶν τῶν συγκεχωρημένων καὶ ἀναγκαίων πρὸς τὸ ζῆν ἀφεκτέον, ὅταν ἐπ' ὠφελείᾳ τῶν ἀδελφῶν ἡμῶν ἡ ἀποχὴ οἰκονομῆται (32). Ὡς ὁ Ἀπόστολος· *Εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου*, φησὶν, *οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα*. Καὶ ἔχων ἐξουσίαν ἐκ τοῦ Εὐαγγελίου ζῆν, οὐκ ἐχρήσατο τῇ ἐξουσίᾳ, ἵνα μὴ ἐγκοπήν τινα δῷ τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ.

2. Ἔστιν οὖν ἡ ἐγκράτεια ἁμαρτίας ἀναίρεσις, B παθῶν ἀπαλλοτρίωσις, σώματος νέκρωσις μέχρι καὶ αὐτῶν τῶν φυσικῶν παθημάτων τε καὶ ἐπιθυμιῶν, ζωῆς πνευματικῆς ἀρχὴ, τῶν αἰωνίων ἀγαθῶν πρόξενος, ἐν ἑαυτῇ τὸ κέντρον τῆς ἡδονῆς ἀφανίζουσα. Ἡδονὴ γάρ ἐστι τὸ μέγα τοῦ κακοῦ δέλεαρ, δι' ἣν εὐέμπτωτοι (33) μάλιστα πρὸς ἁμαρτίαν ἐσμὲν οἱ ἄνθρωποι· ὑφ' ἧς πᾶσα ψυχὴ ὡς ὑπ' ἀγκίστρου πρὸς τὸν θάνατον ἕλκεται. Ὡς ὅ γε μὴ ἐκθηλυνόμενος, μηδὲ κατακαμπτόμενος ὑπ' αὐτῆς (34), διὰ τῆς ἐγκρατείας πᾶσαν φυγὴν ἁμαρτημάτων κατώρθωσεν. Εἰ δὲ τὰ μὲν πλεῖστα ἔφυγεν, ὑφ' ἑνὸς δὲ κρατεῖται, οὐκ ἐγκρατὴς ὁ τοιοῦτος· ὥσπερ καὶ ὁ ὑφ' ἑνὸς πάθους σωματικοῦ ἐνοχλούμενος οὐχ ὑγιής· καὶ ὑφ' ἑνὸς καὶ τοῦ τυχόντος κυριευόμενος (35) οὐκ ἐλεύθερος. C Αἱ μὲν οὖν λοιπαὶ ἀρεταὶ, ἐν τῷ κρυπτῷ κατορθούμεναι, ὀλιγάκις διαφαίνονται τοῖς ἀνθρώποις· ἡ δὲ ἐγκράτεια ἀπ' αὐτῆς τῆς συντυχίας γνώριμον ποιεῖ τὸν ἔχοντα. Ὡς γὰρ τὸν ἀθλητὴν ἡ πολυσαρκία καὶ ἡ εὔχροια χαρακτηρίζει, οὕτω τὸν Χριστιανὸν τὸ κατεσκληκὸς τοῦ σώματος, καὶ ἡ ἐκ τῆς ἐγκρατείας ἐπανθοῦσα ὠχρία (36) δείκνυσιν, ὅτι ἀθλητὴς ὄντως ἐστὶ τῶν ἐντολῶν τοῦ Χριστοῦ· ἐν τῇ ἀσθενείᾳ τοῦ σώματος καταπαλαίων ἑαυτοῦ τὸν ἐχθρὸν, καὶ τὸ δυνατὸν ἐν τοῖς τῆς εὐσεβείας ἄθλοις ἐπιδεικνύμενος, κατὰ τὸ εἰρημένον, ὅτι *Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι*. Ὅσον τὸ κέρδος, ὀφθῆναι μόνον τὸν ἐγκρατῆ, μόλις καὶ κατὰ μικρὸν τῶν ἀναγκαίων D ἁπτόμενον, καὶ ὡς λειτουργίαν ἐπαχθῆ ὑποτελοῦντα τῇ φύσει, καὶ δυσχεραίνοντα μὲν τῷ καιρῷ τῆς περὶ

[84] I Cor. VIII, 13. [85] I Cor. IX, 12. [86] II Cor. XII, 10.

(31) Reg. primus et Voss. et Colb. et Coisl. primus ἐρεθισμὸν πάσχων ἢ καὶ προϊέμενος, *quique nullum voluptatis incitamentum patitur, aut certe qui nullum prodit*. Editi et tres mss. καὶ μηδένα ἐξ ἡδονῆς ἐρεθισμὸν προσιέμενος, *quique nullum voluptatis incitamentum admittit*: quæ scriptura falsa simul et manca fecit, ut Combefisius auctorem Stoicæ cujusdam apathiæ immerito accusarit. Et ut magis suam opinionem confirmaret, in suo Maz. seu Reg. primo legere voluit προσιέμενος, *admittit*: quo in codice tamen legitur προϊέμενος, *prodit*, *declarat*. Mox Reg. primus et Voss. et Colb. διακείμενος, ὁ τέλειός ἐστιν ἐγκρατής. Editi et Reg. secundus οὗτος ἂν ᾖ ἐγκρατής. Reg. tertius οὗτος ἂν εἴη ἐγκρατής.

(32) Codex Colb. οἰκονομεῖται. Ibidem idem liber cum Reg. primo Ὡς φησιν ὁ Ἀπόστολος· Ἐὰν ὁ ἀδελφός μου σκανδαλίζηται, οὐ. Haud longe legitur in Colb καίπερ ἔχων ἐκ τοῦ.

(33) Reg. primus et Voss. et Colb. δέλεαρ, καὶ δι' αὐτὴν εὐέμπτωτοι.

(34) Sic codex Voss. et Colb. et Reg. primus. Alii duo mss. et editi ἐκθηλυνόμενος ὑπ' αὐτῆς, brevius quam par erat.

(35) Reg. primus et Voss. et Colb. ὁ τοιοῦτος· ὡς οὔτε ὑγιὴς ὁ ἐνὶ σωματικῷ πάθει παρενοχλούμενος, οὔτε ἐλεύθερος ὁ ὑφ' ἑνὸς καὶ τοῦ τυχόντος κυριευόμενος.

(36) Editi et mss. nonnulli ἐπανθοῦσα χροιά, *color*. Reg. primus et Voss. ὠχρία, *pallor*, quod melius judicavi et verius.

ταῦτα διατριβῆς, ταχὺ δὲ τῆς τραπέζης ἀποπηδῶντα πρὸς τὴν τῶν ἔργων σπουδήν. Οἶμαι γὰρ ἂν καὶ τοῦ ἀκολάστου περὶ γαστέρα μηδένα λόγον τοσοῦτον τῆς ψυχῆς καθάψασθαι, καὶ πρὸς μεταβολὴν ἐναγαγεῖν (37), ὅσον καὶ μόνην τὴν συντυχίαν τοῦ ἐγκρατοῦς. Καὶ τοῦτό ἐστιν, ὡς ἔοικε, τὸ εἰς δόξαν Θεοῦ ἐσθίειν καὶ πίνειν· ὥστε καὶ ἐπὶ τῆς τραπέζης (38) λάμπειν τὰ καλὰ ἡμῶν ἔργα πρὸς τὸ δοξασθῆναι τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

ΕΡΩΤΗΣΙΣ ΙΗ'.

Ὅτι δεῖ πάντων τῶν παρατιθεμένων ἡμῖν ἀπογεύεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Ἀναγκαίως μέντοι κἀκεῖνο προσδιωρίσθω, ὅτι πρὸς τὸν (39) ὑπωπιασμὸν τοῦ σώματος ἀπαραίτητον τοῖς τῆς εὐσεβείας ἀγωνισταῖς ἡ ἐγκράτεια· *Πᾶς γὰρ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται.* Πρὸς δὲ τὸ μὴ συνεμπίπτειν τοῖς ἐχθροῖς τοῦ Θεοῦ τοῖς κεκαυτηριασμένοις τὴν ἰδίαν συνείδησιν, καὶ διὰ τοῦτο ἀπεχομένοις βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετ' εὐχαριστίας τοῖς πιστοῖς, ἅπτεσθαι μὲν ἑκάστου χρὴ, καιροῦ ποτε συνεμπεσόντος, ὅσον ἐνδείκνυσθαι τοῖς ὁρῶσιν, ὅτι πάντα καθαρὰ τοῖς καθαροῖς καὶ ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον· *Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ, καὶ ἐντεύξεως*· φυλάσσειν δὲ καὶ οὕτω τὸν τῆς ἐγκρατείας σκοπόν· τοῖς μὲν εὐτελεστέροις καὶ ἀναγκαίοις πρὸς τὸ ζῆν μέχρι τῆς χρείας προσδιατρίβοντα, καὶ ἐν τούτοις τοῦ κόρου τὸ βλαβερὸν ἐκκλίνοντα, τῶν δὲ πρὸς ἡδονὴν καθόλου ἀπεχόμενον. Οὕτω γὰρ καὶ τῶν φιληδόνων τὸ πάθος ἐκκόψομεν, καὶ τοὺς κεκαυτηριασμένους τὴν ἰδίαν συνείδησιν, τό γε ἐφ' ἡμῖν, θεραπεύσομεν, καὶ ἑαυτοὺς δὲ τῆς ἐν ἑκατέρᾳ (40) ὑπονοίας ἐλευθερώσομεν. *Ἵνα τί γὰρ*, φησὶν, *ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;* Ἐγκράτεια δείκνυσι τὸν συναποθανόντα Χριστῷ, καὶ νεκρώσαντα ἑαυτοῦ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. Ταύτην οἴδαμεν σωφροσύνης μητέρα, ὑγείας πρόξενον (41), τῆς τῶν ἀγαθῶν ἐν Χριστῷ καρποφορίας ἱκανῶς ὑπεξαίρουσαν τὰ ἐμπόδια· εἴπερ, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ αἱ ἡδοναὶ τοῦ βίου, καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται. Ταύτην καὶ δαίμονες ἀποφεύγουσιν, αὐτοῦ τοῦ Κυρίου διδάξαντος ἡμᾶς, ὅτι Τοῦτο τὸ γένος οὐκ ἐκπορεύεται (42), εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

A animum ejus qui circa ventrem intemperans est, nullo sermone æque ac temperantis occursu vel solo commoveri, aut immutari. Atque hoc est, uti videtur, ad Dei gloriam edere, et bibere, ut in mensa etiam luceant bona nostra opera, ut Pater noster qui in cœlis est, gloria afficiatur.

INTERROGATIO XVIII.

Quod omnia quæ nobis apponuntur sunt degustanda.

RESPONSIO.

Et illud quoque necessario statuatur, temperantiam iis qui pro pietate certant, prorsus ad corpus B macerandum necessariam esse : *Omnis enim qui in agone contendit, ab omnibus se abstinet* [87]. Sed tamen, ne una cum Dei inimicis corruamus, qui suam ipsorum conscientiam habent cauterio inustam, ob idque abstinent a cibis, quos Deus creavit, ut a fidelibus cum gratiarum actione sumantur [88], omnia, si quando occasio se dederit, degustanda nobis sunt, ut videntibus compertum sit et exploratum, cuncta mundis munda esse [89], omnemque Dei creaturam esse bonam, nec quidquam quod cum gratiarum actione assumatur, rejiciendum esse : *Sanctificatur enim per verbum Dei et orationem* [90]. Sic autem servanda est temperantiæ ratio, ut alimentis vilioribus, et ad vitam necessariis, quantum necessitas postulat, utamur, in eisque capiendis sa- C tietatis damnum vitemus, et ab his quæ ad voluptatem parata sunt, prorsus abstineamus. Ita enim et voluptariorum libidinem excidemus, et eos quorum conscientia cauterio notata est, certe quantum in nobis erit, curabimus, et nosmetipsos a suspicione utrinque liberabimus. **362** *Utquid enim*, inquit, *libertas mea judicatur ab aliena conscientia* [91]*?* Temperantia hominem indicat, qui una cum Christo mortuus sit, ac terrestria sua membra mortificarit. Hanc novimus matrem esse castimoniæ, sanitatis conciliatricem, atque impedimentorum quibus eorum quæ in Christo sunt operum fecunditas præpeditur, maxime expultricem esse ; siquidem, juxta Domini vocem, curæ hujus sæculi, voluptates vitæ, reliquarumque rerum cupiditates verbum suffo- D cant [92], atque adeo infructuosum redditur. Ab hac etiam aufugiunt dæmones, cum Dominus ipse nos docuerit, genus illud nisi precatione et jejunio nequaquam exire [93].

[87] I Cor. IX, 25. [88] I Tim. IV, 2, 3. [89] Tit. I, 15. [90] I Tim. IV, 4, 5. [91] I Cor. X, 29. [92] Matth. XIII, 22. [93] Matth. XVII, 20.

(37) Reg. primus μεταβολὴν ἀγαγεῖν.
(38) Idem liber cum Voss. ἐπὶ τῆς τραπέζης. Deest articulus in vulgatis. Titulus qui mox sequitur, omissus est in Colb. et in Reg. primo.
(39) Veteres duo libri πρὸς μὲν τόν.
(40) Veteres duo libri τῆς ἐν ἑκατέρῳ, *nosmetipsos utrinque a suspicione liberabimus*, hoc est, *neque gulæ, neque erroris Manichæorum suspecti erimus.*
(41) Unus mss. ὑγείας πρόξενον, νηφαλιότητος καὶ τοῦ ἀμετεωρίστως ἔχειν πρὸς Θεὸν σύμμαχον, *hanc novimus adjutricem esse ad parandam sobrietatem, et ad perpetuam cum Deo conjunctionem servandam.*
(42) Antiqui duo libri Τοῦτο ἐν οὐδενὶ ἐξέρχεται.

INTERROGATIO XIX.

Quis sit continentiæ modus.

RESPONSIO.

1. In animi quidem vitiis unus est continentiæ modus, integra scilicet a rebus ad perniciosam voluptatem ferentibus alienatio. In cibis autem quemadmodum alii aliis sunt necessarii, suntque et pro ætate et pro vitæ instituto, et pro corporis habitudine convenienter distincti : ita quoque illis utendi modus et ratio diversa sunt. Quo fit ut regula una omnes pietatis exercitatores comprehendi non possint. Iis autem qui rebus administrandis fuerunt præfecti, permittimus, ut habita ratione eorum quæ cuique accidunt, mensuram pro ascetis sanis a nobis statutam prudenter immutent. Neque enim omnia sigillatim oratio complecti potest : sed ea solum quæ a communi et generali doctrina dependent. Præfecti enim danda ægrotis per cibos solatia, aut levamentum ejus qui cæteroquin defatigatus fuerit propter operum assiduitatem, aut etiam levamen illius qui exempli gratia ad itineris aut arduæ cujusvis alterius rei laborem accingitur, pro necessitatis ratione semper præscribent, sequenturque eum, qui dicit, ***Dividebatur singulis prout cuique opus erat*** [94]. Neque igitur idem sumendi cibi tempus, neque modus, neque mensura omnibus sanciri potest : sed sit is scopus communis, ut fiat satis necessitati. Ventrem namque supra modum impleri, atque cibis onerari, res est maledicto digna, cum Dominus dixerit : *Væ vobis qui saturati estis nunc* [95]; hoc quoque et ipsum corpus ad opera inutile, et proclive ad somnum, et incommodis magis expositum reddit. Neque vero esus jucunditas finis loco habenda est, sed usus ad vitam necessarius, vitata voluptatis intemperantia, atque protervitate. Etenim servire voluptatibus nihil aliud est quam ventrem Deum suum efficere. Quoniam **363** enim corpus nostrum, utpote quod semper exinaniatur ac diffluat, expletione indiget (quæ etiam causa est cur cibi appetitiones naturales sint), recta cibis utendi ratio repleri ad animalis conservationem jubet quod evacuatum est, sive sicco, sive humido opus fuerit alimento.

2. Quod igitur nos simpliciore apparatu a necessitate liberaturum est, id est adhibendum. Hoc

[94] Act. II, 45. [95] Luc. VI, 25

A

ΕΡΩΤΗΣΙΣ ΙΘ'.

Τί τὸ μέτρον τῆς ἐγκρατείας.

ΑΠΟΚΡΙΣΙΣ.

1. Ἐπὶ μὲν τῶν τῆς ψυχῆς παθῶν ἓν μέτρον ἐγκρατείας, ἡ παντελὴς ἀπαλλοτρίωσις (43) τῶν πρὸς τὴν ὀλεθρίαν ἡδονὴν φερόντων· ἐπὶ δὲ τῶν βρωμάτων, ὥσπερ αἱ χρεῖαι ἄλλαι ἄλλων εἰσὶ, κατά τε ἡλικίας καὶ ἐπιτηδεύματα, καὶ πρὸς τὴν τοῦ σώματος ἕξιν οἰκείως διαιρούμεναι· οὕτω δὴ καὶ τὸ μέτρον τῆς χρήσεως διάφορον, καὶ ὁ τρόπος. Ὥστε ἑνὶ μὲν κανόνι πάντας περιλαμβάνεσθαι τοὺς ἐν τῇ γυμνασίᾳ τῆς εὐσεβείας ἀδύνατον (44)· ἀφορίσαντες δὲ τὸ περὶ τοὺς ὑγιαίνοντας τῶν ἀσκουμένων μέτρον, ἀπὸ τούτου τὴν παραλλαγὴν πρὸς τὰ ἑκάστῳ συμ- B πίπτοντα ἐστοχασμένως γίνεσθαι παρὰ τῶν ἐπιτεταγμένων τὴν οἰκονομίαν ἀφίεμεν. Οὐδὲ γὰρ τὰ καθ' ἕκαστον τῷ λόγῳ περιλαμβάνειν δυνατὸν, ἀλλ' ὅσα τῆς κοινῆς καὶ καθόλου διδασκαλίας ἤρτηται. Τὴν γὰρ τῶν ἀῤῥώστων παραμυθίαν ἐκ τῶν βρωμάτων, ἢ τὴν τοῦ ἄλλως κεκμηκότος ἐπὶ συντόνοις ἔργοις, ἢ καὶ τὴν τοῦ παρασκευαζομένου πρὸς κάματον (45), οἷον ὁδοιπορίας, ἢ τινος ἄλλου τῶν ἐπιπόνων, οἱ ἐφεστῶτες πρὸς λόγον ἀεὶ τῆς χρείας οἰκονομήσουσιν, ἑπόμενοι τῷ εἰπόντι, ὅτι ***Διεδίδοτο ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχεν***. Οὔτε οὖν καιρὸν τροφῆς τὸν αὐτὸν πᾶσι νομοθετῆσαι δυνατὸν, οὔτε τὸν τρόπον, οὔτε τὸ μέτρον· ἀλλὰ σκοπὸς μὲν κοινὸς ἔστω ἡ τῆς χρείας ἐκπλήρωσις (46). Τὸ γὰρ ὑπερεμπίπλασθαι C τὴν γαστέρα, καὶ καταβαρύνεσθαι ταῖς τροφαῖς, κατάρας ἄξιον, τοῦ Κυρίου εἰπόντος· *Οὐαὶ ὑμῖν οἱ* (47) *ἐμπεπλησμένοι νῦν*· καὶ αὐτὸ δὲ τὸ σῶμα δύσχρηστον πρὸς τὰς ἐνεργείας παρασκευάζει, καὶ πρὸς ὕπνους εὐκατάφορον, καὶ ἑτοιμότερον πρὸς τὰς βλάβας. Οὐ μὴν οὐδὲ τὸ ἡδὺ τέλος ποιεῖσθαι τῆς βρώσεως χρὴ, ἀλλὰ τὴν πρὸς τὸ ζῆν χρείαν, παραιτουμένους τῆς ἡδονῆς τὸ ἀκόλαστον. Τὸ γὰρ δουλεύειν ταῖς ἡδοναῖς οὐδὲν ἕτερόν ἐστιν ἢ Θεὸν ἑαυτοῦ (48) τὴν κοιλίαν ποιεῖν. Ἐπειδὴ γὰρ τὸ σῶμα ἡμῶν, ἀεὶ κενούμενον καὶ ἀποῤῥέον, τῆς πληρώσεως ἐπιδεῖται (διὸ καὶ φυσικαί εἰσιν αἱ τῆς τροφῆς ὀρέξεις), ὁ ὀρθὸς λόγος τῆς τῶν βρωμάτων χρήσεως τὴν πλήρωσιν τοῦ κενωθέντος πρὸς τὴν τοῦ ζώου σύστασιν ὑπαγορεύει, εἴτε ξηρᾶς εἴτε ὑγρᾶς τροφῆς ἡ ἔνδεια γέ- D νοιτο.

2. Ὅπερ ἂν οὖν μέλλῃ ἀπεριεργότερον ἡμᾶς ἀπαλλάσσειν (49) τῆς χρείας, τοῦτο προσενεκτέον. Δηλοῖ δὲ

(43) Reg. primus et Voss. et Colb. ἡ παντελὴς ἀποχὴ, *integra abstinentia*.

(44) Reg. primus περιλαμβάνεσθαι τοὺς ἐν τῇ ἀδελφότητι ἀδύνατον, *fieri non potest, ut fratres comprehendantur omnes*. Ibidem codex Voss. et alii duo ἀφορίσαντας δέ. Haud longe Reg. primus καὶ πρὸς τὰ ἑκάστῳ συνεμπίπτοντα. Subinde idem ms. Οὐ γὰρ τὰ καθέκαστον τῷ λόγῳ περιλαβεῖν δυνατὸν, ἀλλ' ὅσα τῆς κοινῆς διδασκαλίας καθόλου ἤρτηται.

(45) Editiones veteres παρασκευαζομένου πρὸς κάματον, οἷον ὁδοιπορίαν, ἤ τι ἄλλο. Regii duo mss. παρασκευαζομένου πρὸς ὁδοιπορίαν, ἤ τι ἄλλο. Alius Reg. et Voss. et Colb. ut in contextu. Mox iidem alii quos mox dixi libri ἀεὶ τῆς χρήσεως, non ita recte. Nec ita multo post codex Colb. Διεδίδοτο δὲ ἑκάστῳ καθ' ὃν ἄν.

(46) Reg. primus et Voss. ἔστω τὸ μὴ ἀναμένειν τὸν κόρον, *is scopus sit, ut non exspectetur satietas*.

(47) Editi Οὐαὶ οἱ. At mss. duo οὐαὶ ὑμῖν οἱ. Aliquanto post Colb. Οὐ μὴν δὲ οὐδέ.

(48) Sic veteres quatuor libri. Editi αὐτοῦ. Mox codex Voss. κινούμενον καὶ ἀποῤῥέον ἀεί εἰσιν αἱ τῆς τροφῆς ἐπιθυμίαι. Reg. primus ἀποῤῥέον ἀεὶ τῆς . . τροφῆς ἐπιθυμίαι.

(49) Reg. primus ὥστε ὅπερ ἂν γένοιτο εὐκολώτερον ἡμᾶς ἀπαλλάσσειν. Codex Colb. ὥστε ὅπερ ἂν

τοῦτο αὐτὸς ὁ Κύριος ἐν οἷς ἐδεξιοῦτο τὰ κεκμηκότα A πλήθη πρὸς τὸ μὴ ἐκλυθῆναι ἐν τῇ ὁδῷ, ὡς γέγραπται. Δυνάμενος γὰρ ἐπιτεῖναι τὸ θαυμάσιον (50) ἐν τῇ ἐρήμῳ τῇ ἐπινοίᾳ τῆς πολυτελείας, οὕτω λιτὴν καὶ ἀπέριττον τὴν τροφὴν αὐτοῖς παρεσκεύασεν, ὥστε ἄρτους μὲν κριθίνους (51) εἶναι, καὶ ἰχθύος δὲ μέρος ἐπὶ τῷ ἄρτῳ. Περὶ δὲ ποτοῦ οὐδὲ ἐμνημόνευσεν, ὡς αὐτοφυοῦς πᾶσι καὶ ἀρκοῦντος ταῖς χρείαις τοῦ ὕδατος προκειμένου· πλὴν εἰ μή τινι (52) δι' ἀῤῥωστίαν βλαβερὸν εἴη τὸ τοιοῦτον ποτὸν, ὡς παραιτητέον κατὰ τὴν συμβουλὴν Παύλου τὴν πρὸς Τιμόθεον. Καὶ πάντα δὲ ὅσα προφανῆ τὴν βλάβην ἔχει παραιτητέα. Ἀνακόλουθον γὰρ διὰ μὲν τὴν σύστασιν τοῦ σώματος τὰς τροφὰς αἱρεῖσθαι, δι' αὐτῶν δὲ πάλιν τῶν τροφῶν προσπολεμεῖν τῷ σώματι, καὶ ἐμποδίζειν αὐτῷ πρὸς τὴν τῆς ἐντολῆς ὑπηρεσίαν. B Τὸ αὐτὸ δὲ τοῦτο καὶ ὑπόδειγμα ἡμῖν ἐστι τοῦ τὴν ψυχὴν ἡμῶν ἐθίζειν φεύγειν τὰ βλαβερὰ, κἂν ἡδονὴν ἔχῃ (53). Χρὴ μέντοι ἐκ παντὸς τρόπου τὸ εὐποριστότερον προτιμᾷν, ὥστε μὴ προφάσει ἐγκρατείας περιεργάζεσθαι ἡμᾶς τὰ τιμιώτερα, καὶ πολυδάπανα παραρτύοντας διὰ τῶν πολυτιμήτων ἡδυσμάτων τὰ βρώματα· ἀλλὰ τὸ ἐν ἑκάστῃ χώρᾳ εὔληπτον καὶ εὐτελὲς καὶ τοῖς πολλοῖς εἰς χρῆσιν ἕτοιμον (54), τοῦτο αἱρεῖσθαι, τῶν ἐπεισάκτων μόνοις τοῖς ἀναγκαιοτάτοις πρὸς τὴν ζωὴν κεχρημένους· οἷον ἐλαίῳ, καὶ τοῖς τοιούτοις, καὶ εἴ τι πρὸς τὴν ἀναγκαίαν τῶν ἀσθενούντων παραμυθίαν ἐπιτήδειον, καὶ τοῦτο ἐὰν ὑπάρχῃ ἄνευ πολυπραγμοσύνης καὶ θορύβων καὶ περισπασμῶν περιγενέσθαι (55).

autem declaravit Dominus ipse, cum fatigatam multitudinem, ne in via deficeret, epulo excepit, uti scriptum est [96]. Etenim cum excogitando apparatu aliquo sumptuoso posset in deserto miraculum augere, adeo tenuem ac simplicem cibum eis paravit, ut et panes hordeacei essent, et pars piscis adhiberetur ad panem [97]. De potu autem ne mentionem quidem fecit, quod aqua quæ sponte naturæ scaturit, necessitatique sufficit, in promptu sit omnibus; nisi tamen ejusmodi potus cuipiam noceret ob infirmitatem, sic ut ex Pauli ad Timotheum consilio rejici deberet [98]. Imo vero omnia quæ manifesto nocent, rejicienda sunt. Neque enim par est escas corporis conservandi causa assumere, ac rursus per ipsas escas inferre bellum corpori, eique ad mandatum conficiendum impedimento esse. Atque hoc idem nobis exemplo est, ut ad ea quæ nocent fugienda, licet grata sint et jucunda, animum nostrum assuefaciamus. Quod igitur facilius paratur, prorsus est anteponendum, ut ne continentiæ prætextu cariora ac sumptuosiora anxie inquiramus, et magno partis condimentis edulia apparemus: sed quod in unaquaque regione nullo negotio haberi potest, et vile est, et quo vulgus facile utitur, deligamus, ita ut ex quæsitis alimentis utamur iis solis quæ ad vitam sunt maxime necessaria, uti oleo, et aliis ejusmodi, et si quid ad necessarium ægrotantium levamen idoneum sit, idque si citra sollicitudinem tumultumque et negotium comparare liceat.

C

ΕΡΩΤΗΣΙΣ Κ'.

Τίς ὁ τρόπος τῆς ἐν βρώμασι δεξιώσεως.

ΑΠΟΚΡΙΣΙΣ.

1. Ἡ κενοδοξία, καὶ ἡ ἀνθρωπαρέσκεια, καὶ τὸ πρὸς ἐπίδειξίν τι ποιεῖν, ὅλως ἐπὶ παντὸς πράγματος Χριστιανοῖς ἀπηγόρευται· ὅπου γε καὶ αὐτὴν τὴν ἐντολὴν ὁ πρὸς τὸ θεαθῆναι ὑπὸ τῶν ἀνθρώπων καὶ δοξασθῆναι ποιῶν τὸν ἐπ' αὐτῇ μισθὸν ἀπόλλυσι. Τοῖς δὲ πᾶν εἶδος ταπεινώσεως διὰ τὴν ἐντολὴν τοῦ Κυρίου καταδεξαμένοις μεθ' ὑπερβολῆς φευκτέος (56) πᾶς κενοδοξίας τρόπος. Ἐπεὶ δὲ τοὺς ἔξωθεν ὁρῶμεν τὸ ταπεινὸν τῆς πενίας αἰσχυνομένους, καὶ ἐπιτηδεύοντας πᾶσαν ἀφθονίαν βρωμάτων καὶ πολυτέλειαν, ὅταν τινὰ τῶν ξένων δέχωνται, φοβοῦμαι μὴ καὶ D ἡμῶν (57) κατὰ τὸ λανθάνον τὸ αὐτὸ πάθος ἅψηται, καὶ ἐλεγχθῶμεν ἐπαισχυνόμενοι τὴν ὑπὸ Χριστοῦ μακαριζομένην πτωχείαν. Ὥσπερ οὖν σκεύη ἀργυρᾶ,

INTERROGATIO XX.

Quæ ratio tenenda sit in cibis, cum excipiuntur hospites.

RESPONSIO.

1. Vana gloria, studium placendi hominibus, et quælibet res ad ostentationem gesta, prorsus in omni negotio Christianis interdicta sunt: quandoquidem qui et ipsum mandatum ideo perficit, ut spectetur ab hominibus, et gloria afficiatur, mercedem ob ipsum sperandam amittit. Itaque iis qui omnem humilitatis speciem propter Domini præceptum amplexi sunt, fugiendus admodum est omnis vanæ gloriæ modus. Quoniam autem videmus mundanos homines, qui cum pudore ferant paupertatis humilitatem, et ubi aliquis ipsis suscipiendus est hospes, omnem ciborum copiam ac magnificentiam studiosius apparent, timeo ne nos quoque clanculum eidem **364** vitio fiamus ob-

[96] Matth. xv, 32. [97] Joan. vi, 9. [98] I Tim. v, 23.

μᾶλλον ἀπεριεργότερον. Liber Voss. ὅτι γένοιτο εὐκολώτερον. Paulo post Reg. primus Δηλοῖ δὲ καὶ ὁ Κύριος ἐν οἷς.

(50) In Colb. pro θαυμάσιον legitur θαῦμα.

(51) Antiqui duo libri cum Voss. ὥστε ἄρτους κατὰ μὲν τὸν Ἰωάννην κριθίνους. Statim codex Colb. ἐπὶ τῶν ἄρτων.

(52) Editi πλὴν μή τινι. At mss. tres præter Combef. ut in contextu. Mox mss. nonnulli ὃ παραιτητέον.

(53) Editio Basil. pariter ac Paris. ἡδονὴν ἔχει. Editio Ven. et mss. plerique omnes ἔχῃ. Rursus editiones Basil. et Paris. περιεργάζεσθαι ὑμᾶς. Editio Ven. et mss. non pauci ἡμᾶς.

(54) Reg. primus et Voss. et Colb. εὐτελὲς καὶ πᾶσιν εἰς χρῆσιν προκείμενον, *quod omnibus ad usum proponitur.*

(55) Reg. primus et Voss. περιγίνεσθαι.

(56) In codice Voss. pro φευκτέος legitur φευκταῖος. Mox Reg. primus τοὺς ἔξω. Nec ita multo post codex Colb. πενίας ἐπαισχυνομένους.

(57) Unus ms. μὴ καὶ ὑμῶν.

noxii, atque de paupertate, quæ a Christo beata prædicata est [10], erubescere deprehendamur. Quemadmodum igitur vasa argentea, aut vela purpurea, aut stratum molle, aut vestimenta pellucida extrinsecus comparare nobis non convenit: sic fuerit indecorum excogitare epulas a nostra vivendi ratione multum abhorrentes. Nam circumcursare nos, ac investigare ea quæ non ad necessarium usum requiruntur, sed quæ ad miseram voluptatem et ad inanem exitiosamque gloriam adinventa fuerunt, non turpe modo, et a scopo nobis proposito alienum, sed detrimentum etiam affert non leve, cum scilicet qui in deliciis vivunt, et ventris voluptatibus metiuntur beatitudinem, nos quoque eisdem curis quibus ipsi cum admiratione et stupore incumbunt, distentos vident. Et- B enim si malæ sunt deliciæ, et fugiendæ, nunquam eas amplecti debemus. Nihil enim eorum quæ reprobata sunt, potest ullo tempore opportunum esse. Qui laute et delicate vivunt, præstantissimisque illinuntur unguentis, et vinum percolatum bibunt, eos incusat Scriptura [1]. Et ob delicias vidua, quæ viva erat, dicitur mortua [2]. Dives ob hujus vitæ delicias privatus est paradiso [3]. Quid igitur nobis cum apparatibus sumptuosis? Accessit hospes aliquis? Si frater sit, et idem vitæ institutum sequatur, suam ipsius mensam agnoscet. Quæ enim reliquit domi, ea inventurus est apud nos. At fatigatus est ex itinere? Tantum afferimus levamenti, quantum requiritur ad lassitudinem sublevandam.

A ἢ καταπετάσματα περιπόρφυρα, ἢ στρωμνὴν μαλαχὴν, ἢ ἐπιβλήματα διαφανῆ συμπορίζεσθαι ἔξωθεν οὐκ εὐπρεπὲς ἡμῖν· οὕτως οὐδὲ βρώματα (58) περινοεῖν παρὰ πολὺ τῆς ἡμετέρας διαίτης ἐξηλλαγμένα. Τὸ γὰρ περιτρέχειν ἡμᾶς διερευνωμένους τὰ μὴ πρὸς τὸ ἀναγκαῖον τῆς χρείας (59) ἐπιζητούμενα, ἀλλὰ πρὸς τὴν ἀθλίαν ἡδονὴν καὶ ὀλεθρίαν κενοδοξίαν περινενοημένα, οὐ μόνον αἰσχρὸν καὶ ἀσύμφωνον τῷ προκειμένῳ ἡμῖν σκοπῷ, ἀλλὰ καὶ βλάβην ἔχον οὐ τὴν τυχοῦσαν, ὅταν οἱ τρυφῶντες, καὶ ταῖς ἡδοναῖς τῆς γαστρὸς τὴν μακαριότητα ὁριζόμενοι, περὶ τὰς αὐτὰς φροντίδας ὁρῶσι καὶ ἡμᾶς στρεφομένους, περὶ ἃς ἐκεῖνοι ἐπτόηνται. Εἰ γὰρ πονηρὸν ἡ τρυφὴ καὶ φευκτὸν (60), οὐδέποτε ἡμῖν αἱρετή. Οὐδὲν γὰρ τῶν κατεγνωσμένων δύναται εἶναι πρὸς καιρὸν ἐπιτήδειον. Οἱ σπαταλῶντες, καὶ τὰ πρῶτα μύρα χριόμενοι, καὶ τὸν διυλισμένον οἶνον πίνοντες, κατηγοροῦνται ὑπὸ τῆς Γραφῆς. Καὶ διὰ τὴν σπατάλην ἡ χήρα, ζῶσα, τεθνηκέναι λέγεται. Ὁ πλούσιος ἀπεστερήθη τοῦ παραδείσου διὰ τὴν ἐνταῦθα τρυφήν. Τί οὖν ἡμῖν καὶ ταῖς πολυτελείαις; Ἐπεδήμησέ τις τῶν ξένων; Εἰ μὲν ἀδελφὸς, καὶ τὸν αὐτὸν σκοπὸν ἔχων τοῦ βίου, τὴν οἰκείαν τράπεζαν ἐπιγνώσεται. Ἃ γὰρ κατέλιπεν οἴκοι, ταῦτα εὑρήσει παρ' ἡμῖν. Ἀλλὰ κέκμηκεν ἐκ τῆς ὁδοιπορίας; Τοσοῦτον αὐτῷ προστίθεμεν (61), ὅσον τὸν κόπον παραμυθήσασθαι.

2. Advenit alius sæculo huic addictus? Ex factis C discat quæ ei sermo non persuasit, et frugalitatis in escis servandæ formam et exemplar accipiat. Maneant in ipso monumenta mensæ Christianorum, et ejus paupertatis, quæ Christi causa citra verecundiam perferenda est. Quodsi his ille minime commovebitur, ac potius deridebit, rursus nobis non exhibiturus est molestiam. Nos autem, cum divites quosdam videmus, qui deliciarum usum ponunt in præcipuis bonis, eorum vicem valde dolemus, quod vita omni in vanitate insumpta, et voluptatibus suis pro Deo habitis, nescientes in vita hac recipiunt bonorum partem, ac per præsentes delicias in paratum ignem præcipitantur, et in illius ardorem: imo siquando sese nobis obtulerit occasio, ne ipsis quidem hæc dicere dubitemus. D Quod si futurum est, ut ipsi quoque simus eorumdem rei, et quoad licet nobis, inquiramus etiam ea quæ pertinent ad voluptatem, et ipsa ad ostentationem apparemus, vereor ne quæ destruimus, ea ædificare videamur, et per quæ cæteros judicamus,

2. Ἄλλος ἐλήλυθεν ἐκ τοῦ ἔξωθεν βίου; Μαθέτω διὰ τῶν ἔργων, ὅσα ὁ λόγος αὐτὸν οὐκ ἔπεισε, καὶ λαβέτω τύπον καὶ ὑπογραμμὸν τῆς ἐν τροφαῖς αὐταρκείας. Ἐναπομεινάτω αὐτῷ ὑπομνήματα (62) Χριστιανῶν τραπέζης, καὶ ἀνεπαισχύντου διὰ Χριστὸν πτωχείας. Εἰ δὲ οὐ προσέξει, ἀλλὰ καταγελάσει, δεύτερον ἡμῖν οὐκ ἐνοχλήσει. Ἡμεῖς δὲ, ὅταν τινὰς τῶν πλουσίων ἴδωμεν, οἳ τὴν ἀπόλαυσιν τῶν ἡδέων ἐν τοῖς πρώτοις τῶν ἀγαθῶν τίθενται (63), μέγα στενάζομεν ἐπ' αὐτοῖς, ὅτι τῇ ματαιότητι πάντα τὸν βίον προσαναλίσκοντες, καὶ θεοποιήσαντες ἑαυτῶν τὰς ἡδονὰς, ἐν τῇ ζωῇ ταύτῃ τῶν ἀγαθῶν τὸ μέρος ἀπολαμβάνοντες οὐκ αἰσθάνονται, διὰ τῆς ἐνταῦθα τρυφῆς, ἐφ' ἕτοιμον τὸ πῦρ καὶ τὸν ἐν αὐτῷ καύσωνα πορευόμενοι. Κἂν καιροῦ ποτε τύχωμεν, οὐδὲ πρὸς (64) αὐτοὺς ἐκείνους ταῦτα διεξελθεῖν ὀκνοῦμεν. Εἰ δὲ μέλλοιμεν καὶ αὐτοὶ τοῖς αὐτοῖς ἐνέξεσθαι, καὶ, κατὰ τὴν ὑπάρχουσαν ἡμῖν δύναμιν, καὶ τὰ πρὸς ἡδονὴν ἐπιζητεῖν, καὶ πρὸς ἐπίδειξιν παρασκευάζεσθαι, φοβοῦμαι, μὴ ἃ καταλύομεν, ταῦτα φανῶμεν οἰκοδομοῦντες, καὶ δι' ὧν ἑτέρους κρίνο-

[10] Matth. v, 3. [1] Amos vi, 6. [2] I Tim. v, 6. [3] Luc. xvi, 22.

(58) Codex Colb. οὔτε δὲ βρώματα.

(59) Reg. primus et Voss. ἀναγκαῖον τῆς χρήσεως. Mox duo mss. πρὸς τὴν ὀλεθρίαν ἡδονὴν καὶ βλαβερὰν κενοδοξίαν.

(60) Reg. primus καὶ φευκτέον. Codex Voss. φευκταῖον.


374 INTERROGATIO XXX.

Quali animi affectione debeant præfecti fratrum curam habere.

RESPONSIO.

Vicissim præfectum non extollat dignitas, ne ipse quoque ab ea quæ humilibus promissa est [56]

A ρεθέντος δεῖ τὴν ἐργασίαν μὴ καταμίγνυσθαι τῇ παρὰ τῶν ταπεινῶν τῇ καρδίᾳ καὶ συντετριμμένων τῷ πνεύματι γινομένῃ ἐργασίᾳ, καὶ ὅλως μὴ ἀναλίσκεσθαι παρὰ τοῖς εὐλαβέσι. *Διότι τὸ ὑψηλὸν ἐν ἀνθρώποις βδέλυγμά ἐστιν ἐνώπιον τοῦ Θεοῦ.* Καὶ ἄλλο παράγγελμα (31) τοῦ Ἀποστόλου, λέγοντος· *Μηδὲ γογγύζετε, καθάπερ τινὲς αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ·* καὶ τὸ, *Μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης.* Ἀπρόσδεκτον οὖν τὸ (32) τῶν τοιούτων ἔργον, ὡς θυσία ἐπίμωμος· ὅπερ ἐγκαταμιγῆναι τῇ τῶν λοιπῶν ἐργασίᾳ οὐκ εὐαγές. Εἰ γὰρ οἱ πῦρ ἀλλότριον προσάγοντες τῷ θυσιαστηρίῳ τοσαύτης ὀργῆς ἐπειράθησαν, πῶς οὐκ ἐπικίνδυνον ἀπὸ ἐχθρᾶς τῷ Θεῷ διαθέσεως ἔργον εἰς τὴν οἰκονομίαν τῶν ἐντολῶν παραδέχεσθαι; *Τίς γὰρ* B *μετοχὴ*, φησὶ, *δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;* Διόπερ φησίν (33)· *Ὁ ἄνομος, ὁ θύων μοι μόσχον, ὡς ὁ ἀποκτείνων κύνα· καὶ ὁ προσφέρων σεμίδαλιν, ὡς αἷμα ὕειον.* Ὅθεν ἀναγκαίως τὰ τοῦ ὀκνηροῦ καὶ ἀντιλόγου (34) ἔργα ἀλλοτριωτέον τῆς ἀδελφότητος. Καὶ τούτου τοῦ μέρους ἀκριβῶς ἐπιμελεῖσθαι δεῖ τοὺς προεστῶτας, ἵνα μήτε αὐτοὶ παραφθείρωσι τὸ δόγμα τοῦ εἰπόντος· *Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει· οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου, ποιῶν ὑπερηφανίαν·* μήτε τὸν τῇ ἐντολῇ τὴν ἁμαρτίαν ἐπιμιγνύντα, καὶ μολύνοντα τὴν ἐργασίαν ῥᾳθυμίᾳ τοῦ κόπου, ἢ ἐπάρσει τοῦ πλεονεκτήματος, οἰκοδομῶσιν (35) ἐπιμένειν τῇ διαστροφῇ δι' ὧν αὐτοὶ C προσδέχονται, οὐκ ἐῶντες αὐτὸν εἰς συναίσθησιν τῶν οἰκείων κακῶν ἐφικνεῖσθαι. Χρὴ οὖν καὶ τὸν προεστῶτα πεπεῖσθαι, ὅτι τὸ μὴ κατὰ λόγον προστῆναι τοῦ ἀδελφοῦ βαρεῖαν αὐτῷ καὶ ἀπαραίτητον τὴν ὀργὴν ἐπάγει· τὸ γὰρ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν αὐτοῦ ἐκζητηθήσεται, καθὼς γέγραπται (36)· καὶ τὸν ὑπήκοον οὕτω παρεσκευάσθαι, ὡς πρὸς μηδὲν ἐπίταγμα, μηδὲ τὸ χαλεπώτατον, ἀποκνεῖν, πεπεισμένον, ὅτι ὁ μισθὸς πολὺς ἐν τοῖς οὐρανοῖς. Τὸν μὲν οὖν ὑπακούοντα εὐφραινέτω ἡ ἐλπὶς τῆς δόξης, ἵνα ἐν πάσῃ χαρᾷ καὶ ὑπομονῇ τὸ ἔργον τοῦ Κυρίου γένηται (37).

ΕΡΩΤΗΣΙΣ Λ'.

Ποταπῇ διαθέσει χρὴ τῶν ἀδελφῶν ἐπιμελεῖσθαι τοὺς προεστῶτας (38).

D

ΑΠΟΚΡΙΣΙΣ.

Τὸν δὲ προεστῶτα μὴ ἐπαιρέτω τὸ ἀξίωμα, ἵνα μὴ καὶ αὐτὸς ἐκπέσῃ τοῦ μακαρισμοῦ τῆς ταπεινο-

[48] Luc. xvi, 15. [49] I Cor. x, 10. [50] II Cor. ix, 7. [51] Levit. x, 1, 2. [52] II Cor. vi, 14, 15. [53] Isa. lxvi, 3. [54] Psal. c, 6, 7. [55] Ezech. iii, 18. [56] Matth. v, 3.

(31) Unus ms. Καὶ ἄλλο δέ ἐστι παράγγ.

(32) Reg. primus ἀπρόσδεκτον δὲ καὶ τό. Mox editio Basil. pariter ac Paris. ἐγκαταμιγῆναι. Editio Ven. et duo mss. ἐγκαταμιγνύναι. Alii duo mss. cum Voss. ἐγκαταμίγνυσθαι. Subinde Reg. primus et Voss. ἀλλότριον προσαγαγόντες.

(33) Editiones veteres et Regii tres mss. Διόπερ φησὶν ὁ νόμος : quod ita verterat interpres vetus, *idcirco scriptum est in lege, qui immolat mihi*, etc. Sed ubi ita in lege scriptum sit, frustra, opinor, quæras. At Coisl. secundus et Colb. Διόπερ φησίν· Ὁ ἄνομος : quam scripturam veram esse et germanam non inficiabitur, qui ultimum Isaiæ caput legerit. Ibidem Codex Voss. ὥσπερ ὁ. Ibidem mss. multi ἀποκτέννων. Editio Paris. ἀποκτείνων.

(34) Veteres duo libri ὀκνηροῦ καὶ ἀντιλογικοῦ.

(35) Reg. primus manu recentiore οἰκονομῶσιν. Mox editi et mss. nonnulli δι' ὧν αὐτοί. Reg. primus αὐτόν. Nec ita multo post codex Voss. et alii quidam mss. ἀφικέσθαι.

(36) Ex Vossii codice et ex aliis duobus additum est illud, καθὼς γέγραπται.

(37) Reg. primus γίνηται.

(38) Antiqui duo libri τὸν προεστῶτα.

φροσύνης, ἢ καὶ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου (39)· ἀλλ' ἐκεῖνο πεπείσθω, ὅτι ἡ τῶν πλειόνων ἐπιμέλεια πλειόνων ἐστὶν ὑπηρεσία. Ὡς οὖν ὁ πολλοῖς ὑπηρετῶν τετραυματισμένοις (40), καὶ ἀποξύων μὲν τοὺς ἰχῶρας ἑνὸς ἑκάστου τραύματος, προσάγων δὲ τὰ βοηθήματα κατὰ τὴν ἰδιότητα (41) τῆς ὑποκειμένης κακώσεως, οὐχὶ ἐπάρσεως ἀφορμὴν τὴν ὑπηρεσίαν λαμβάνει, ἀλλὰ μᾶλλον ταπεινώσεως, ἀγωνίας τε καὶ ἀγῶνος· οὕτω καὶ (42) πολλῷ πλέον ὁ τὰ ἀσθενήματα ἰᾶσθαι τῆς ἀδελφότητος πιστευθεὶς, ὡς πάντων ὑπηρέτης, καὶ ὑπὲρ πάντων λόγον δώσων (43), διανοεῖσθαι καὶ ἀγωνιᾷν ὀφείλει. Τούτῳ γὰρ τῷ τρόπῳ κατορθωθήσεται αὐτῷ ὁ σκοπὸς, τοῦ Κυρίου εἰπόντος· *Εἴ τις θέλει ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ἀπάντων ἔσχατος, καὶ πάντων διάκονος.*

A beatitudine excidat, aut etiam inflatus incidat in judicium diaboli [87]: sed illud pro certo habeat, plurium curam habere esse pluribus servire. Ut igitur qui sauciis multis ministrat, detergitque singulorum vulnerum saniem, et remedia pro præsentis mali natura adhibet, ex hoc ministerio nequaquam occasionem sumit elationis, sed potius humilitatis, studiique ac sollicitudinis: sic multo etiam magis cui totius fratrum societatis sanandæ provincia est delegata, is ut omnium minister, et tanquam qui de omnibus rationem redditurus sit, animum attendere et sollicitus esse debet. Hoc enim pacto assecuturus est propositum, cum Dominus dicat: *Qui vult esse inter vos primus, sit omnium novissimus, et omnium minister* [88].

B

ΕΡΩΤΗΣΙΣ ΛΑ'.

Ὅτι δεῖ καταδέχεσθαι τὴν παρὰ τοῦ προεστῶτος ὑπηρεσίαν.

Χρὴ μέντοι καὶ τὴν σωματικὴν ὑπηρεσίαν παρὰ τῶν προέχειν δοκούντων ἐν τῇ ἀδελφότητι προσαγομένην τοὺς πολλοὺς καταδέχεσθαι. Ὁ γὰρ τῆς ταπεινοφροσύνης λόγος καὶ τῷ μείζονι τὸ ὑπηρετεῖν ὑποβάλλει, καὶ τῷ ἐλάττονι τὸ ὑπηρετεῖσθαι οὐκ ἀφαρμόζον δείκνυσι. Τὸ γὰρ ὑπόδειγμα τοῦ Κυρίου πρὸς τοῦτο ἡμᾶς ὁδηγεῖ, τοῦ μὲν νίψαι τοὺς πόδας τῶν ἑαυτοῦ μαθητῶν μὴ ἀπαξιώσαντος, τῶν δὲ πρὸς τοῦτο μὴ τολμησάντων ἐνστῆναι. Ἀλλὰ καὶ ὁ διὰ πολλὴν εὐλάβειαν τὰ πρῶτα μὴ καταδεξάμενος Πέτρος εὐθέως ἑαυτὸν πρὸς τὴν ὑπακοὴν μετέβαλε, τὸν ἐκ τῆς (44) ἀπειθείας κίνδυνον διδαχθείς. Οὐκ ἔστιν οὖν φόβος τῷ ὑπηκόῳ, μὴ λυθῇ αὐτῷ τῆς ταπεινοφροσύνης σκοπὸς, ὑπηρετουμένῳ ποτὲ παρὰ τοῦ μείζονος. Διδασκαλίας γὰρ αὐτῷ ἕνεκεν, καὶ ὑποδείγματος ἐνεργοῦς (45) μᾶλλον, ἢ καὶ χρείας πολλάκις ἀναγκαίας ἡ ὑπηρεσία προσάγεται. Ἐν οὖν τῇ ὑπακοῇ καὶ τῇ μιμήσει τὸ ταπεινὸν ἐπιδεικνύσθω. Καὶ μὴ ἀντιδιατιθέμενος, σχήματι ταπεινοφροσύνης, ὑπερηφανίας ἔργον καὶ ἀλαζονείας ποιείτω. Ἡ γὰρ ἀντιλογία τὸ αὐτοκρατορικὸν καὶ τὸ (46) ἀνυπότακτον δείκνυσι. Φυσιώσεως οὖν μᾶλλον καὶ καταφρονήσεως ἀπόδειξιν ἔχει, ἀλλ' οὐχὶ ταπεινότητος καὶ τῆς ἐν πᾶσιν ὑπακοῆς. Διόπερ ἀναγκαῖον πείθεσθαι τῷ εἰπόντι· *Ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ.*

INTERROGATIO XXXI.

Quod exhibitum a præfecto ministerium sit suscipiendum.

RESPONSIO.

Atque officia etiam ad corpus pertinentia, quæ ab iis præstantur, qui inter fratres principatum videntur tenere, suscipienda sunt ab inferioribus. Nam humilitatis ratio et majorem, ut subserviat, admonet, et minori ostendit non ab re sibi operam dari. Nam Domini exemplum ad hoc nos deducit, qui pedes discipulorum suorum lavare dedignatus non est, nec tamen ipsi adversus id ausi sunt resistere. Sed et qui initio ob multam reverentiam recusarat Petrus, statim ipse, inobedientiæ periculum edoctus, obedivit. Non est igitur cur metuat subditus, ne ab humilitatis proposito aberret, siquando sibi subserviat major. Sæpe enim confertur officium ad eum docendum, et ad dandum efficax exemplum magis, quam quod instans ulla necessitas id postulet. Ostendat igitur in obedientia et imitatione humilitatem, non autem reluctans superbiæ ac arrogantiæ opus efficiat, obtentu et simulatione humilitatis. Contradictio enim indicio est velle eum, qui repugnat, sui juris esse neque alteri parere. Magis ergo inflationis et contemptus specimen edit, non autem humilitatis ac obedientiæ in omnibus. Quapropter necesse fuerit obedire ei qui dixit: *Supportantes invicem in charitate* [89].

C

D

ΕΡΩΤΗΣΙΣ ΛΒ'.

Πῶς δεῖ πρὸς τοὺς κατὰ σάρκα οἰκείους διακεῖσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

1. Χρὴ μέντοι τοὺς ἅπαξ παραδεχθέντας εἰς τὴν

375 INTERROGATIO XXXII.

Quomodo oporteat erga cognatos secundum carnem affici.

RESPONSIO.

1. Iis quidem qui semel admissi sunt inter fra-

[87] I Tim. III, 6. [88] Marc. IX, 34. [89] Ephes. IV, 2.

(39) Codex Colb. ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου, *ne incidat in judicium et laqueum diaboli.*

(40) In Voss. et Colb. pro τετραυματισμένοις legitur τετρωμένοις: quibus ex codicibus vox ἑνός, quæ mox sequitur, addita est.

(41) Editi κατὰ τὰ ἰδιώματα. Regii duo et Voss. ut in contextu.

(42) Sic codex Voss. et alii duo. Vocula καί aberat a vulgatis.

(43) Reg. primus λόγον ἀποδώσων.

(44) Editi τὸν ἐπὶ τῆς. Veteres quatuor libri ita, ut edidimus.

(45) Editiones antiquæ et duo mss. Regii ὑποδείγματος ἐναργοῦς, *exempli manifesti*, non ita apte. Alius Reg. et Colb. ἐνεργοῦς, *exempli efficacis*, hoc est *exempli ad persuadendum vim maximam habentis.*

(46) Sic veteres duo libri. Deerat articulus in vulgatis. Statim Reg. primus et Voss. Φυσιώσεως

tres, permittere non debet præfectus, ut ad quidquam distrahantur, aut per speciem visitandorum cognatorum secedant a fratribus, vitamque degant a testibus remotam, aut curis incumbant, suis secundum carnem propinquis patrocinaturi. Nam in summa, meum et tuum in fratribus dici vetat Scriptura: *Erat* enim, inquit, *omnium credentium cor unum et anima una: nec quisquam eorum, quæ possidebat, aliquid suum esse dicebat* [60]. Itaque parentes alicujus vel fratres secundum carnem, si quidem secundum Deum vivunt, ab omnibus fratribus tanquam communes patres aut cognati colantur. *Quicunque enim fecerit*, inquit Dominus, *voluntatem Patris mei qui in cœlis est, hic frater meus et soror et mater est* [61]. Sed tamen satius ducimus horum curam attinere ad fratrum præfectum. Quod si implicati sunt vita communi, nulla res cum eis nobis communis est, qui honestum decorumque servare et assidue Deo cohærere studemus, citra ullam mentis aberrationem. Nam præterquam quod nihil ipsis afferimus utilitatis, tumultibus etiam atque perturbatione nostram ipsorum vitam replemus, peccatorumque occasiones accersimus. Sed ne eos quidem qui olim fuerint propinqui, acceduntque ad visitandos nos, si Dei aspernentur mandata, ac pietatis officium ducant pro nihilo, par est suscipere, ut qui Dominum non diligant, qui dixit: *Qui non diligit me, sermones meos non servat* [62]. *Quæ est autem societas justitiæ et iniquitati? aut quæ pars fideli cum infideli* [63]?

2. Et in primis prorsus curandum est, ut iis qui adhuc in virtutum exercitio degunt, adimantur peccandi occasiones, quarum hæc est maxima, recordatio anteactæ vitæ, nequando ipsis contingat quod dictum est: Conversi sunt cordibus suis in Ægyptum [64]: quod plerumque usu venit, quando cum iis qui secundum carnem propinqui sunt, crebrum ac frequens colloquium seritur. In universum autem permitti non debet, ut sive cognatus, sive externus aliquos sermones habeat cum fratribus, nisi de illis id nobis persuasum sit, ipsos ad ædificationem et animarum perfectionem in collocutionem venire. Quodsi opus est eos qui semel accesserint, alloqui, fungantur hoc munere ii quibus concreditum est donum loquendi, tanquam iis qui scienter possint loqui et audire, quæ ad fidei ædificationem pertineant; cum Apostolus non omnibus inesse **376** loquendi facultatem, sed id donum paucis concessum fuisse manifeste doceat, cum dixit: *Alii enim per Spiritum datur sermo sa-*

A ἀδελφότητα μὴ ἐπιτρέπεσθαι παρὰ τοῦ προεστῶτος πρὸς μηδὲν ἀπομετεωρίζεσθαι (47)· μηδὲ προφάσει οἰκείων ἐπισκέψεως ἀναχωρεῖν τῶν ἀδελφῶν, καὶ ἀμάρτυρον ζωὴν διάγειν, μήτε φροντίδας συγχωρεῖσθαι ἔχειν ἐν τῇ προστασίᾳ τῶν συγγενῶν κατὰ σάρκα. Ὅλως μὲν γὰρ ἀποδοκιμάζει ὁ λόγος τὸ ἐμὸν καὶ τὸ σὸν ἐν ἀδελφότητι λέγεσθαι· *Ἦν* γάρ, φησί, *πάντων τῶν πιστευσάντων καρδία καὶ ψυχὴ μία· καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι*. Οἱ οὖν κατὰ σάρκα τινὸς γονεῖς, ἢ ἀδελφοί, εἰ μὲν κατὰ Θεὸν ζῶσιν, ὑπὸ πάντων τῶν ἐν τῇ ἀδελφότητι ὡς κοινοὶ πατέρες ἢ οἰκεῖοι θεραπευέσθωσαν. *Ὅστις γὰρ ἂν ποιῇ*, φησὶν ὁ Κύριος, *τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, οὗτος ἀδελφός* (48) *μου καὶ ἀδελφὴ καὶ μήτηρ ἐστί*.
B Καὶ τούτων δὲ τὴν ἐπιμέλειαν διαφέρειν δοκιμάζομεν τῷ προεστῶτι τῆς ἀδελφότητος. Εἰ δὲ ἐμπεπλεγμένοι εἰσὶ τῷ κοινῷ βίῳ, οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος, τοῖς τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ Κυρίῳ ἀπερισπάστως κατορθοῦν ἐσπουδακόσι. Πρὸς γὰρ τῷ ἐκείνοις μηδὲν παρέχειν ὄφελος, ἔτι καὶ τὴν ἑαυτῶν ζωὴν θορύβων καὶ (49) ταραχῆς πληροῦμεν, καὶ ἁμαρτιῶν ἀφορμὰς ἐπισπώμεθα. Ἀλλὰ οὐδὲ ἐρχομένους εἰς ἐπίσκεψιν τῶν (50) ποτὲ οἰκείων, τοὺς καταφρονοῦντας τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ τὸ ἔργον τῆς εὐσεβείας ἐξουθενοῦντας, ἀκόλουθον παραδέχεσθαι, ὡς οὐκ ἀγαπῶντας τὸν Κύριον τὸν εἰπόντα· *Ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ. Τίς δὲ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;*

C 2. Καὶ ὅτι μάλιστα δεῖ παντὶ τρόπῳ σπουδάζειν περιαιρεῖν τῶν ἔτι ἐν γυμνασίᾳ τῶν κατορθωμάτων τὰς πρὸς τὸ ἁμαρτάνειν ἀφορμάς, ὧν μεγίστη ἐστὶν ἡ μνήμη τοῦ προτέρου βίου, μήποτε πάθωσι τὸ εἰρημένον ὅτι, Ἐστράφησαν ταῖς καρδίαις αὐτῶν εἰς Αἴγυπτον· ὅπερ ἐν τῇ συνεχεῖ ὁμιλίᾳ τῶν κατὰ σάρκα οἰκείων ὡς τὰ πολλὰ γίνεται. Καθόλου δὲ οὔτε οἰκεῖον οὔτε ξένον ἐπιτρέπειν χρὴ λόγους τινὰς προσάγειν τοῖς ἀδελφοῖς (51), ἐὰν μὴ πεισθῶμεν περὶ αὐτῶν, ὅτι πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν τῶν ψυχῶν ποιοῦνται τὰς διαλέξεις. Εἰ δὲ χρεία γένοιτο λόγου πρὸς τοὺς ἅπαξ συνεμπεσόντας, παρὰ τῶν πεπιστευμένων τὸ τοῦ λόγου χάρισμα γινέσθω, ὡς ἐχόντων δύναμιν μετ' ἐπιστήμης εἰπεῖν καὶ
D ἀκοῦσαι πρὸς οἰκοδομὴν τῆς πίστεως· σαφῶς τοῦ Ἀποστόλου διδάσκοντος μὴ πᾶσι παρεῖναι τὴν τοῦ λόγου δύναμιν, ἀλλ' ὀλίγοις ὑπάρχειν τὸ χάρισμα (52), δι' ὧν φησιν· *Ὧι μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως*· καὶ ἀλλαχοῦ· *Ἵνα δυνατὸς ᾖ παρακαλεῖν* (53) *ἐν τῇ*

[60] Act. IV, 32. [61] Matth. XII, 50. [62] Joan. XIV, 24. [63] II Cor. VI, 14, 15. [64] Num. XIV, 4.

γάρ. Nec ita multo infra mss. duo præter Voss. ἀλλ' οὐ.

(47) Reg. primus et Voss. et Colb. πρός τινα ἀπομ. Alii duo Regii pariter ac editiones veteres πρὸς μηδὲν ἀπομ. Aliquanto post Reg. primus μήτε φροντίδα.

(48) Codex Colb. οὗτός μου καὶ ἀδελφός.

(49) Idem ms. θορύβου καί.

(50) Rursus idem ille, quem mox dixi, liber ἐπίσκεψίν τινας τῶν.

(51) Unus ms. ἐν τοῖς ἀδελφοῖς. Haud longe mss. duo præter Voss. Εἰ δὲ καὶ χρεία γένηται. Nec ita multo post duo mss. cum Voss. παρὰ τῶν ἐμπεπιστευμένων.

(52) Ita in Voss. et Colb. scriptum invenitur, ὑπάρχειν τοῦ λόγου τὸ χάρισμα.

(53) Reg. primus et Colb. ἢ καὶ παρακαλεῖν.

ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

ΕΡΩΤΗΣΙΣ ΛΓ'.

Τίς ὁ τρόπος τῆς πρὸς τὰς ἀδελφὰς συντυχίας.

ΑΠΟΚΡΙΣΙΣ.

1. Ὁ ἅπαξ γάμον ἀπαρνησάμενος ἀπαρνήσεται, δηλονότι, πολὺ πρότερον τὰς μερίμνας, ἅς φησιν ὁ Ἀπόστολος μεριμνᾷν τὸν γεγαμηκότα, πῶς ἀρέσει τῇ γυναικὶ αὐτοῦ (54), καὶ καθαρίσει ἑαυτὸν παντάπασι πάσης μερίμνης τῆς πρὸς ἀρέσκειαν γυναικὸς γινομένης, φοβούμενος τὸ κρῖμα τοῦ εἰπόντος ὅτι, *Ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων.* Ὥστε πρὸς ἀρέσκειαν μὲν οὐδὲ ἀνδρὶ συντυχεῖν ἀνέξεται· ἕνεκεν δὲ τῆς κατ' ἐντολὴν Θεοῦ ὀφειλομένης ἑκάστῳ παρὰ τοῦ πλησίον σπουδῆς τῆς χρείας (55) ἀπαιτούσης ἐπὶ τὴν συντυχίαν ἐλεύσεται. Οὐ μὴν οὐδὲ τοῖς βουλομένοις ἁπλῶς ἐφίεσθαι χρὴ τὴν συντυχίαν, οὐδὲ καιρὸς πρὸς ταύτην, οὐδὲ τόπος (56) πᾶς ἐπιτήδειος. Ἀλλ' εἴ γε μέλλοιμεν κατὰ τὸ πρόσταγμα τοῦ Ἀποστόλου ἀπρόσκοποι γίνεσθαι καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, πάντα δὲ εὐσχημόνως καὶ κατὰ τάξιν, καὶ πάντα πρὸς οἰκοδομὴν ποιεῖν, ἀνάγκη καὶ πρόσωπον, καὶ καιρὸν, καὶ χρείαν, καὶ τόπον κατ' ἐκλογὴν ἀφωρίσθαι (57) πρεπόντως· δι' ὧν ἁπάντων ὑπονοίας μὲν πονηρᾶς καὶ σκιὰ πᾶσα ἐξελαθήσεται, σεμνότητος δὲ καὶ σωφροσύνης ἀπόδειξις ἐν παντὶ τρόπῳ ἐπιφανήσεται τοῖς δοκιμασθεῖσιν ὁρᾷν ἀλλήλους (58), καὶ βουλεύεσθαι περὶ τῶν ἀρεσκόντων Θεῷ κατά τε τὴν σωματικὴν χρείαν καὶ τὴν τῶν ψυχῶν ἐπιμέλειαν. Ἔστωσαν δὲ μὴ ἐλάττους τῶν δύο ἐξ ἑκατέρου μέρους (59)· τὸ γὰρ ἓν πρόσωπον εὐεπηρέαστον εἰς ὑποψίαν, ἵνα μὴ πλέον τι λέγω καὶ ἀσθενέστερον πρὸς τὴν τῶν λεγομένων βεβαίωσιν, σαφῶς τῆς Γραφῆς διαγορευούσης ἐπὶ δύο καὶ τριῶν ἵστασθαι (60) πᾶν ῥῆμα· μήτε τῶν τριῶν πλείους, ὥστε μὴ τὴν σπουδὴν τῆς φιλεργίας τῆς διὰ τὴν ἐντολὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γινομένης ἐμποδίζεσθαι.

2. Εἰ δέ τινας (61) τῶν ἄλλων τῶν ἐν τῇ ἀδελφότητι χρεία γένοιτο εἰπεῖν ἢ καὶ ἀκοῦσαί τι ἰδίᾳ τινὶ διαφέρον, μὴ αὐτοὶ ἐκεῖνοι εἰς ὁμιλίαν ἐρχέσθωσαν ἀλλήλοις· οἱ δὲ ἐπιλεγέντες πρεσβύτεροι ταῖς ἐπιλεγείσαις πρεσβυτέραις τὰ παρ' αὐτῶν διακονείτωσαν, καὶ οὕτω διὰ τῆς τούτων μεσιτείας ἡ τοῦ λό-

A pientiæ : alii autem sermo scientiæ [65]. Et alio in loco : *Ut potens sit exhortari in doctrina sana, et eos, qui contradicunt, arguere* [66].

INTERROGATIO XXXIII.

Quis sit modus colloquendi cum sororibus.

RESPONSIO.

1. Qui semel nuptias abnegavit, abnegabit utique multo magis eas curas, quibus ait Apostolus confici maritum, quomodo scilicet placiturus sit suæ uxori [67], omninoque ab omni sollicitudine quæ ad ineundam a muliere gratiam suscipitur, purgabit semetipsum, veritus judicium ejus, qui dixit : *Deus dissipavit ossa eorum qui hominibus placent* [68]. Quare B ne cum viro quidem congredi animum inducet, ad ejus sibi conciliandam gratiam ; sed ob id studium quod cuique a proximo juxta Dei præceptum debetur, necessitate exigente, cum eo in colloquium veniet. Neque vero sine ullo delectu cuilibet volenti concedenda est loquendi potestas : neque ad eam rem tempus omne, aut omnis locus idoneus est. Sed si juxta Apostoli præceptum nolumus cuiquam offendiculo esse [69], neque Judæis, neque Græcis, neque Ecclesiæ Dei, sed omnia decore ac ordinate, omniaque ad ædificationem perficere, necesse fuerit et personæ, et temporis, et utilitatis, et loci delectum decenter ac rite haberi : quibus omnibus vel umbra quævis suspicionis pravæ fugabitur. In omni autem agendi ratione apparebit gravitatis ac casti- C moniæ specimen in iis, qui admissi sunt et adlecti, cum scilicet mutuis fruentur conspectibus, et de rebus Deo placentibus, sive ad corporis necessitatem, sive ad animarum curam pertineant, deliberabunt. Sint autem non pauciores quam duo ex utraque parte. Nam persona una facile fit obnoxia suspicioni, ut ne quid amplius dicam, et ad ea quæ dicuntur, confirmanda, minus habet roboris, cum aperte declaret Scriptura [70], in duobus aut tribus stare omne verbum. Neque vero plures quam tres, ne studium sedulitatis ejus quæ propter Domini nostri Jesu Christi præceptum adhibetur, impediatur.

2. Quod si necessarium est quosdam ex aliis fratribus quidquam, quod ad quempiam privatim pertineat, loqui aut audire, non hi ipsi in mutuum D veniant congressum et colloquium : sed cum selectis sororibus ætate provectioribus res ipsorum tractent selecti seniores, et ita eorum opera sermo,

[65] I Cor. XII, 8. [66] Tit. I, 9. [67] I Cor. VII, 33. [68] Psal. LII, 6. [69] I Cor. X, 32. [70] Deut. XIX, 15; Matth. XVIII, 16.

(54) Vox αὐτοῦ in veteribus quatuor libris non legitur.
(55) Reg. primus et Colb. σπουδῆς ἢ χρείας.
(56) Codex Voss. οὐδὲ πᾶς καιρός. Mox in Colb. scriptum invenitur ἀπρόσκοποι γενέσθαι.
(57) Unus ms. cum Voss. ἀφορίσαι. Mox Reg. primus ὑπόνοια μὲν πονηρὰ καὶ σκιὰ πᾶσα.
(58) *Τοῖς δοκιμασθεῖσιν ὁρᾷν ἀλλήλους. In iis qui probati et electi fuerint ut se invicem invisant ac deliberent*, etc. MARAN.
(59) Editi ἑκάστου μέρους. Veteres duo libri ἑκατέρου μέρους.
(60) Codex Voss. et alii duo σταθήσεται.
(61) Editio Basil. simul et Paris. Εἰ δέ τινος. Editio Ven. et mss. quatuor Εἰ δέ τινας. Haud longe ex Vossii codice voculam τι addidimus. Statim in Reg. primo et Colb. pro διαφέρον legitur διαφέροντι. Nec ita multo post hi ipsi duo codices habent ἐρχέσθωσαν ἀλλήλων. Mox Reg. primus ταῖς ἐπιλεγομέναις πρεσβυτέραις.

qui necessarius fuerit, fiat. Hic autem ordo non in mulieribus solum erga viros, aut in viris erga mulieres, sed in personis etiam ejusdem sexus erga sexus ejusdem personas servetur. Hi igitur præter reliquam in omnibus pietatem **377** ac gravitatem, sint etiam prudentes et in interrogando, et in respondendo, fidelesque et providi ad sermonem administrandum, ac impleant illud : *Disponet sermones suos in judicio* [71], sicut ut simul et negotia eorum qui sese ipsorum fidei commiserint, conficiantur, et de iis quas tractaverint rebus nihil jam habeant dubitationis. Inserviant autem et corporis necessitatibus alii quidam, et ipsi quoque cum approbatione, qui sint et ætate provecta et habitu ac moribus graves, ut ne percutiant alicujus conscientiam per malam suspicionem. *Utquid enim libertas mea judicatur ab aliena conscientia* [72]?

γου χρεία πληρούσθω (62). Ἡ δὲ αὐτὴ εὐταξία οὐ μόνον ἐν γυναιξὶ πρὸς ἄνδρας, ἢ ἀνδράσι πρὸς γυναῖκας, ἀλλὰ καὶ ἐν τοῖς ὁμογενέσι πρὸς τοὺς ὁμογενεῖς φυλασσέσθω. Οὗτοι μὲν οὖν ἔστωσαν μετὰ τῆς ἄλλης ἐν πᾶσιν εὐλαβείας τε καὶ σεμνότητος, καὶ συνετοὶ πρός τε ἐπερώτησιν καὶ ἀπόκρισιν, πιστοί τε καὶ φρόνιμοι πρὸς τὴν τῶν λεγομένων οἰκονομίαν, καὶ πληροῦντες τό (63)· *Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει*, ὥστε καὶ τοῖς ἐμπιστεύουσιν αὐτοῖς ὁμοῦ τήν τε χρείαν πληροῦσθαι, καὶ τὴν πληροφορίαν ὑπάρχειν περὶ τῶν ἐν αὐτοῖς κινουμένων. Ὑπηρετείτωσαν δὲ καὶ ταῖς τοῦ σώματος χρείαις ἄλλοι τινὲς, καὶ αὐτοὶ μετὰ δοκιμασίας, τήν τε ἡλικίαν προήκοντες καὶ τὸ σχῆμα καὶ τὸ ἦθος σεμνοὶ, πρὸς τὸ μὴ πλῆξαί τινος συνειδὸς εἰς ὑποψίαν κακήν. *Ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;*

INTERROGATIO XXXIV.

Cujusmodi esse debeant ii qui fratribus dispensant res necessarias.

ΕΡΩΤΗΣΙΣ ΛΔʹ.

Ποταποὺς χρὴ εἶναι τοὺς τὰ πρὸς τὴν χρείαν οἰκονομοῦντας ἐν τῇ ἀδελφότητι.

RESPONSIO.

1. Atque etiam ex iis, qui intus res necessarias distribuunt, omnino necesse est in singulis ordinibus aliquos esse, qui eos imitari possint a quibus efficiebatur quod dictum est in Actis : *Dividebatur singulis prout cuique opus erat* [73] : qui curent magnopere, ut misericordes sint ac lenes erga quoslibet, neque ulli suspicionem præbeant singularis studii aut propensionis erga quosdam, juxta mandatum Apostoli, qui dixit : *Nihil faciens in alteram partem declinando* [74], neque vicissim contra, jurgii et contentionis, quam idem tanquam a Christianis alienam rejicit dicens : *Si quis videtur contentiosus esse, nos talem consuetudinem non habemus, neque Ecclesiæ Dei* [75] : ut horum causa, et iis, quibuscum ipsis contentio est, necessarias res subtrahant, et iis, in quos animi inclinatione propendent, plus æquo largiantur. Illud autem significationem habet odii fraterni, hoc vero amoris singularis, qui hinc maxime vituperatur, quod per eum ea quæ e charitate oritur concordia fugetur e fratrum cœtu, et in ipsius locum suspiciones pravæ, æmulationesque et contentiones, ac quædam ad agendum segnities succedant.

2. Quamobrem qui fratribus distribuunt necessaria, tum ob ea quæ dicta sunt, tum ob alia ejusdem generis multa, quæ accidere solent, eos ne-

ΑΠΟΚΡΙΣΙΣ.

1. Καὶ τῶν ἔσω δὲ τὰ πρὸς τὴν χρείαν ἐπινεμόντων ἐν ἑκάστῳ τάγματι (64) πάντως ἔσονταί τινες οἱ δυνάμενοι μιμεῖσθαι τοὺς ἐν ταῖς Πράξεσι ποιοῦντας τὸ εἰρημένον ὅτι, *Διεδίδοτο ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχε*· πρόνοιαν ποιούμενοι πολλὴν τοῦ τε εὐσπλάγχνου καὶ μακροθύμου πρὸς πάντας, καὶ τοῦ μήτε ὑποψίαν δοῦναί τινι προσπαθείας, ἢ προσκλίσεως (65) πρός τινας, κατὰ τὸ παράγγελμα τοῦ Ἀποστόλου εἰπόντος· *Μηδὲν ποιῶν κατὰ πρόσκλισιν*, ἢ πάλιν φιλονεικίας (66) ἣν ὡς ἀνοίκειον Χριστιανοῖς ὁ αὐτὸς ἀποπέμπεται εἰπών· *Εἴ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ*· ὡς διὰ τούτων τῶν μὲν ὑφαιρεῖσθαι τὴν χρείαν, πρὸς οὓς ἂν φιλονείκως ἔχωσι, τῶν δὲ ὑπερβαλεῖν (67), οἷς ἂν προσκεκλιμένοι τυγχάνωσιν. Ἔστι δὲ τὸ μὲν μισαδελφίας, τὸ δὲ προσπαθείας, τῆς μάλιστα διαβεβλημένης, ἐξ ὧν ἡ μὲν (68) ἐξ ἀγάπης σύμπνοια τῆς ἀδελφότητος διασπᾶται, ὑποψίαι δὲ πονηραὶ, καὶ ζῆλοι, καὶ ἔριδες, καὶ ὄκνοι πρὸς τὰς ἐργασίας ἀντεισέρχονται.

2. Προσπαθείας μὲν οὖν καὶ φιλονεικίας διά τε τὰ εἰρημένα καὶ ἄλλα πολλὰ τοιαῦτα ἐπισυμβαίνοντα καθαρεύειν εἰς ἄκρον ἀναγκαῖον τοὺς τὰ πρὸς τὴν

[71] Psal. CXI, 5. [72] I Cor. X, 29. [73] Act. IV, 35. [74] I Tim. V, 21. [75] I Cor. XI, 16.

(62) Sic Reg. primus codex optimæ notæ. Editiones veteres et aliquot mss. πληρούσθω. Οὗτοι μέν, omissis quæ legi possunt in contextu.

(63) Sic Colb. codex notæ optimæ. Hic autem Scripturæ locus et in editis et in veteribus multis libris deest, etsi ad auctoris propositum maxime facit. Aliquanto post duo mss. καὶ ἄλλοι.

(64) Antiqui duo libri ἑκάστῳ πράγματι. Nec ita multo infra Colb. Διεδίδοτο δὲ ἑκάστῳ καθὸ ἄν.

(65) Editi et mss. ἢ προσκλήσεως, nec ita multo post iidem illi libri omnes κατὰ πρόσκλησιν : in quibus idem est vitium. Sed utrumque locum ex sacro textu vulgato correximus. Reg. primus pro ποιῶν habet ποιεῖν.

(66) Editi et duo mss. πάλιν φιλονεικίαν, male. Reg. tertius φιλονεικίας, bene : ubi vox ὑποψίαν supplenda est ex superioribus.

(67) Editi ὑπερβαλεῖν. Antiqui tres libri cum Voss. ὑπερβάλλειν. Ibidem editiones veteres προκεκλημένοι. Antiqui quatuor libri præter Voss. προσκεκλημένοι. Reg. tertius προκεκλιμένοι : quas lectiones omnes ad veram prope accedere fateor quidem, sed puto nullam pro vera haberi posse. Judico enim legendum προσκεκλιμένοι, et ita edendum curavi.

(68) Editiones veteres ἐξ ὧν ἡμῖν, corrupte. Regii primus et tertius cum Colb. ἐξ ὧν ἡ μέν, emendate.

χρείαν ἐπινέμοντας τῇ ἀδελφότητι. Διάθεσίν γε μὴν τοιαύτην ἑαυτοῖς συνειδέναι ὀφείλουσι, καὶ σπουδὴν τοσαύτην ἐπιδείκνυσθαι αὐτοί τε καὶ οἱ τὴν ἄλλην ἐργασίαν πρὸς τὴν τῶν ἀδελφῶν ὑπηρεσίαν ἐκτελοῦντες, ὡς οὐκ ἀνθρώποις, ἀλλ' αὐτῷ τῷ Κυρίῳ ἐξυπηρετούμενοι, τῷ διὰ πολλὴν ἀγαθότητα εἰς ἑαυτὸν λογιζομένῳ τὴν εἰς τοὺς ἀνακειμένους (69) αὐτῷ τιμήν τε καὶ σπουδὴν, καὶ βασιλείας οὐρανῶν κληρονομίαν ὑπὲρ τούτων ἐπαγγελλομένῳ. Δεῦτε γὰρ, φησὶν, *οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ὅτι ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.* Καὶ ἐκ τοῦ ἐναντίου τῆς ἀμελείας γνωρίζειν τὸν κίνδυνον, μεμνημένους τοῦ εἰπόντος· *Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς.* Ὅτι οὐ μόνον τῆς βασιλείας ἐκβάλλονται, ἀλλὰ καὶ τὴν (70) τοῦ Κυρίου φρικώδη καὶ φοβερὰν ἐκείνην ἐκδέχονται κατὰ τῶν τοιούτων ἀπόφασιν· *Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.* Εἰ δὲ οἱ τὴν ἐπιμέλειαν καὶ τὴν ὑπηρεσίαν προσάγοντες τοσοῦτον μὲν τῆς σπουδῆς τὸ κέρδος εὑρίσκουσι, τοσοῦτον δὲ τῆς ἀμελείας τὸ κρῖμα ἐκδέχονται· πόσου ἀγῶνος χρεία τοῖς ὑποδεχομένοις τὴν ὑπηρεσίαν πρὸς τὸ ἀξίους ἑαυτοὺς ἀποδεῖξαι τῆς τῶν ἀδελφῶν τοῦ Κυρίου προσηγορίας; διὰ τῆς τοῦ Κυρίου διδασκαλίας, εἰπόντος· *Ὅστις γὰρ ἂν ποιήσῃ* (71) *τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, οὗτός μου καὶ ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν.*

3. Ἐπεὶ ὅ γε μὴ τὸ θέλημα τοῦ Θεοῦ (72) διὰ παντὸς τοῦ βίου σκοπὸν προθέμενος, ὥστε καὶ ἐν ὑγείᾳ τὸν κόπον τῆς ἀγάπης διὰ τῆς σπουδῆς τῶν τοῦ Κυρίου ἔργων ἐνδείκνυσθαι, καὶ ἐν ἀῤῥωστίᾳ πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς ἐπιδείκνυσθαι, κίνδυνον ἔχει· πρῶτον μὲν καὶ μέγιστον, ὅτι τοῦ Κυρίου ἀπηλλοτρίωται, καὶ τῆς τῶν ἀδελφῶν αὐτοῦ μερίδος, διὰ τὸ μὴ ποιεῖν τὸ θέλημα τοῦ Θεοῦ, ἑαυτὸν ἀποσχίσας· δεύτερον δὲ, ὅτι ἀναξίως μετέχειν τολμᾷ τῶν τοῖς ἀξίοις ἡτοιμασμένων. Διόπερ ἀναγκαῖον καὶ ἐν τούτῳ μεμνῆσθαι τοῦ Ἀποστόλου εἰπόντος· *Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς·* καὶ τοὺς εἰς τόπον ἀδελφῶν τοῦ Κυρίου κληθέντας μὴ καθυβρίζαι τὴν τοιαύτην τοῦ Θεοῦ χάριν, μηδὲ προδοῦναι τὸ τοσοῦτον ἀξίωμα διὰ τῆς ἀμελείας τῶν τοῦ Θεοῦ θελημάτων, ὑπακοῦσαι δὲ μᾶλλον τῷ αὐτῷ Ἀποστόλῳ λέγοντι· *Παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε.*

A cesse est summe ab amore singulari et a contentione puros esse atque expurgatos. Saneque debent hujus affectus sibi ipsi conscii esse, ac studium adeo magnum ostendere, tam ipsi, quam ii qui alio munere funguntur ad fratrum ministerium, tanquam si non hominibus, sed Domino ipsi inserviant, qui ob multam bonitatem delata iis qui se ipsi consecrarunt, honorem et studium, perinde habet, quasi ea ipse accepisset, et pro his hæreditatem regni cœlorum pollicetur. *Venite* enim, inquit, *benedicti Patris* **378** *mei, possidete paratum vobis regnum a constitutione mundi. Nam quatenus fecistis uni ex his fratribus meis minimis, mihi fecistis* [76]. Contraque oportet segnitiei et in- B curiæ agnoscere periculum, ac meminisse ejus, qui dixit: *Maledictus omnis qui facit opera Domini negligenter* [77]. Etenim non e regno solum ejiciuntur, sed Domini etiam exspectant sententiam illam, quæ adversus istiusmodi homines lata est, horrendam quidem et terribilem: *Discedite a me, maledicti, in ignem æternum, qui paratus est diabolo et angelis ejus* [78]. Quod si ii qui in curam et ministerium incumbunt lucrum tantum ex suo studio referunt, et judicium tam grave ex negligentia præstolantur, quanta iis qui ministrandi munus suscipiunt, opus est sollicitudine, ut se reddant dignos, qui vocentur Domini fratres? id quod Dominus docet, cum dicit: *Quicunque enim fecerit voluntatem Patris mei, qui in cœlis est, hic meus et frater* C *et soror et mater est* [79].

3. Quisquis enim Dei voluntatem per totam suam vitam scopum sibi non proposuit, sic ut et in sanitate per studium operum Domini ostendat dilectionis laborem, et in infirmitate tolerantiam omnem atque lenitatem cum gaudio commonstret, is in periculo versatur. Primum quidem et maximum est, quod a Domino et a fratrum ipsius consortio sit abalienatus, quoniam separavit se ipse, cum Dei voluntatem non fecit: secundum vero, quod audet indigne particeps fieri eorum quæ dignis parata sunt. Quapropter etiam in hoc operæ pretium est meminisse Apostoli, qui dixit: *Adjuvantes autem etiam exhortamur, ne in vacuum gra-* D *tiam Dei recipiatis* [80]: et jubemus eos qui in locum fratrum Domini vocati sunt, talem Dei gratiam contumelia non afficere, neque dignitatem tantam amittere ob neglectam Dei voluntatem, sed potius obtemperare eidem Apostolo, dicenti: *Obsecro vos ego vinctus in Domino, ut digne ambuletis vocatione, qua vocati estis* [81].

[76] Matth. xxv, 34, 40. [77] Jerem. XLVIII, 10. [78] Matth. xxv, 41. [79] Matth. XII, 50. [80] II Cor. VI, 1. [81] Ephes. IV, 1.

(69) Reg. primus εἰς τοὺς εἰς αὐτὸν ἀνακειμένους. Ibidem idem ms. et Colb. καὶ βασιλείαν οὐρανῶν κληρονομεῖν, etc. Codex Voss. εἰς αὐτὸν ἀνακειμένους... κληρονομεῖν ἐπαγγειλαμένῳ.

(70) Editi ἀλλὰ καὶ τοῦ Κυρίου τήν. At mss. duo ut in contextu.

(71) Antiqui duo libri ὅστις ποιήσει. Mox duo mss. οὗτός μου. Editio Paris. ἐμοῦ.

(72) Reg. primus et Voss. et Colb. θέλημα τοῦ Κυρίου. Ibidem codex Colb. διὰ παντός. Vox διά aberat a vulgatis. Statim codex Voss. et Colb. τὸν σκοπὸν τῆς. Alii mss. et editi τὸν κόπον. Nec ita multo post Reg. primus Κυρίου ἔργων δῆλον ποιεῖν.

INTERROGATIO XXXV.

An in eodem pago construi conveniat plures fratrum conventus.

RESPONSIO.

1. Hanc nobis quæstionem membrorum exemplum, quod ad multas res usurpamus, commode explanat. Quoniam igitur superius ostensum est, corpori, quod ad omnem actionem pulchre ac rite aptum futurum sit et accommodatum, opus esse oculis, et lingua, et reliquis, quæcunque necessaria sunt et potissima, difficile sane, nec sine multo negotio invenitur anima quæ plurium oculus esse possit. Etenim si fratrum præfectum disciplinæ ratio postulet et providum, et loquendi peritum, et sobrium, et misericordem, et in perfecto corde justificationes Dei requirentem, **379** qui, quæso, fieri potest, ut hujusmodi plures in eodem pago reperiantur? Quod si tamen adinvenirentur forte aliquando duo aut tres, quod quidem non est facile factu, nec unquam factum cognovimus, longe præstabilius est, si hi inter se curam sollicitudinemque partiantur, alterque alterius laborem sublevet, videlicet ut peregre profecto altero, aut occupatione aliqua distento, aut aliis quibusdam casibus impedito, quemadmodum usu venit, ut unus aliquis præpositus secedat nonnunquam a fratrum conventu, præsto sit alter, qui de ejus absentia ipsos consoletur; aut si res non ita se habeat, ad conventum alium se conferat, cui opus sit moderatore. Atque etiam ad scopum quem nobis proposuimus, multum nobis prodesse potest externorum negotiorum experientia. Quemadmodum igitur artium communium periti invident artium earumdem æmulis, ipsa re latenter æmulationem vulgo ingenerante: ita etiam hoc ut plurimum accidit in hac vita. Initio enim de virtute contendentes, studentesque superare se invicem, sive in recipiendis hospitibus, sive in augendo monachorum numero, sive in aliis quibusdam ejusmodi operibus faciendis, tum demum progrediendo in rixas et jurgia delabuntur. Deinde contingit, ut peregre quidem advenientibus fratribus oboriatur dubitatio multa difficultasque, ejus quam exspectabant requiei vice ac loco, dum scilicet ita animo distrahuntur, ut nesciant ad utros accedere oporteat, quando et hos illis anteponere grave est, et tamen fieri non potest ut utrisque, maxime si festinent, fiat satis: iis vero, qui ab initio accesserunt ad eamdem cum ipsis vitam agendam, non mediocrem afferent animi anxietatem, quos suæ vitæ moderatores oporteat seligi, cum omnino necesse sit si qui deligantur, reliquos improbari.

A

ΕΡΩΤΗΣΙΣ ΛΕ'.

Εἰ χρὴ ἐν τῇ αὐτῇ κώμῃ πλείονας ἀδελφότητας συγκροτεῖσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

1. Τὸ ὑπόδειγμα τῶν μελῶν ἐπὶ πολλὰ ἀγομένων χρησίμως ἡμῖν διαρθροῖ τὸ προκείμενον. Ἐπεὶ οὖν ἔδειξεν ὁ λόγος, ὅτι τῷ μέλλοντι σώματι καλῶς καὶ κατὰ λόγον πρὸς πᾶσαν ἐνέργειαν συνηρμόσθαι χρεία ὀφθαλμῶν, καὶ γλώσσης, καὶ τῶν λοιπῶν, ὅσα ἀναγκαῖα καὶ κυριώτατα, χαλεπὸν δὲ καὶ δυσεύρετον ψυχὴ δυναμένη εἶναι ὀφθαλμὸς πλειόνων (73). Εἰ γὰρ καὶ προορατικὸν, καὶ ἐν λόγῳ τὸ αὔταρκες ἔχοντα, καὶ νηφαλέον, καὶ εὔσπλαγχνον, καὶ ἐν τελείᾳ καρδίᾳ ἐκζητοῦντα τὰ δικαιώματα τοῦ Θεοῦ, τὸν προεστῶτα τῆς ἀδελφότητος ἐπιζητεῖ ἡ ἀκρίβεια, πῶς δυνατὸν B ἐν τῇ αὐτῇ κώμῃ τοιούτων πλειόνων ἐπιτυχεῖν; Εἰ δὲ καὶ συμβαίη ποτὲ εὑρεθῆναι δύο ἢ τρεῖς, ὅπερ οὐκ εὔκολον οὐδὲ ἔγνωμέν ποτε· πολλῷ βέλτιον κοινωνεῖν ἀλλήλοις τοῦ φροντίσματος τούτους καὶ ἐπικουφίζειν τὸν πόνον· ὡς ἐν τῇ τοῦ ἄλλου ἀποδημίᾳ, ἢ ἀσχολίᾳ, ἢ ἐν ἄλλαις τισὶ περιστάσεσι, καθὼς (74) χωρίζεσθαι συμβαίνει τῆς ἀδελφότητος τὸν ἕνα τὸν προεστῶτα, εἶναι τὸν ἕτερον εἰς παραμυθίαν τῆς ἀπολείψεως· ἢ εἰ μὴ τοῦτο, ἀπιέναι εἰς ἄλλην ἀδελφότητα δεομένην τοῦ ὁδηγήσοντος. Πολλὰ δὲ καὶ ἡ τῶν ἔξωθεν πραγμάτων πεῖρα εἰς τὸν προκείμενον σκοπὸν (75) ὠφελεῖν ἡμᾶς δύναται. Ὡς οὖν καὶ οἱ τῶν κοινῶν τεχνῶν ἔμπειροι ζηλοτύπως ἔχουσι πρὸς τοὺς ἀντιτέχνους, αὐτοῦ τοῦ πράγματος, κατὰ τὸ λανθάνον, τὰς φιλονεικίας ἐμποιεῖν πεφυκότος· οὕτω καὶ C ἐπὶ τῆς τοιαύτης ζωῆς, ὡς τὰ πολλὰ, συμβαίνει γίνεσθαι. Ἀρχόμενοι γὰρ ἀπὸ τοῦ διαμιλλᾶσθαι εἰς τὸ καλὸν καὶ σπουδάζειν ἀλλήλους ὑπερβαλέσθαι (76), ἢ ἐν ταῖς ξενοδοχίαις, ἢ ἐν τῇ αὐξήσει τοῦ ἀριθμοῦ τῶν συνασχουμένων, ἢ ἐν ἄλλοις τισὶ τοιούτοις ἔργοις, προϊόντες εἰς ἐριθείας ἐκπίπτουσιν. Εἶτα τοῖς μὲν ἐπιδημοῦσι τῶν ἀδελφῶν πολλὴν ἀμφιβολίαν συμβαίνειν γίνεσθαι καὶ δυσχολίαν ἀντὶ ἀναπαύσεως, μεριζομένοις τὸν λογισμὸν, πρὸς τίνας χρὴ καταχθῆναι· ἥ τε γὰρ προτίμησις λυπηρὰ, καὶ τὸ ἀμφοτέρους πληροφορῆσαι ἀδύνατον, καὶ μάλιστα ὅταν ἐπειγόμενοι τυγχάνωσι· τοῖς δὲ (77) ἐξ ἀρχῆς προσιοῦσιν (78) εἰς τὸ συζῆν πολλὴν ἀδημονίαν παρέξουσι, τίνας δεῖ προεστῶτας τῆς ἑαυτῶν ζωῆς ἑλέσθαι, καὶ D πάντως ἐκ τοῦ τινας αἱρεῖσθαι, τοὺς λοιποὺς ἀποδοκιμάζειν

(73) Editiones veteres ψυχὴν δυναμένην εἶναι ὀφθαλμῶν πλειόνων· ex quibus idoneam ullam sententiam effici posse non video. At Regii duo et Voss. et Colb. ut in contextu, recte.

(74) Editi et Reg. tertius καθώς. Alii duo mss. καθ' ἅς. Codex Colb. καθ' ἅ. Mox Reg. primus et Colb. ἀδελφότητος τὸν προεστῶτα, τὸν ἕτερον εἶναι εἰς. Editi ἀδελφότητος τὸν ἕνα, εἶναι τὸν ἕτερον. Codex Voss. ita ut in contextu videre cuique licet.

(75) In Colb. scriptum invenitur προκείμενον ἡμῖν τὸν σκοπόν. Haud longe duo mss. λανθάνον τὴν φιλονεικίαν.

(76) Unus ms. ὑπερβάλλεσθαι.

(77) In eodem pago plura construi monasteria non probat sanctus Basilius, cum pluribus aliis de causis, tum quia et hospitibus fratribus, et iis qui tum primum adveniunt, ut monasticam vitam amplectantur, τοῖς δὲ ἐξ ἀρχῆς προσιοῦσιν εἰς τὸ συζῆν, difficilis et molesta incideret deliberatio, utrum eligant monasterium.

(78) Reg. primus ἐξ ἀρχῆς ἐπιοῦσιν. Mox duo Regii et Voss. ἀδημονίαν παρέξουσι. Editi παρέχουσι. Nec ita multo post Reg. primus et Voss. et Colb. ἐν τῷ τίνας.

2. Εὐθὺς οὖν αὐτοὺς ἀπὸ τῆς πρώτης εἰς ἔπαρσιν A συμβαίνει βλάπτεσθαι, οὐχὶ τυποῦντας ἑαυτοὺς εἰς μάθησιν, ἀλλ' ἐθιζομένους κριτὰς καὶ δοκιμαστὰς τῆς ἀδελφότητος γίνεσθαι. Ὁπότε τοίνυν ἀγαθὸν μὲν οὐδὲν ὁμολογούμενόν ἐστιν ἐν τῇ διαιρέσει τῶν οἰκήσεων, τὰ δὲ ὑπεναντία τοσαῦτα, τὸ χωρίζεσθαι ἀπ' ἀλλήλων παντελῶς ἀσύμφορον. Εἰ δὲ προειλῆφθαί τινα (79) συμβαίη, ἐπείγεσθαι χρὴ πρὸς τὴν διόρθωσιν, καὶ μάλιστα μετὰ τὴν πεῖραν τῶν βλαβερῶν. Τὸ δὲ ἐπιμένειν τῇ κρίσει φιλονεικία σαφής. *Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι*, φησὶν ὁ Ἀπόστολος, *ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ*. Τίνος γὰρ ἕνεκεν φήσουσιν εἰς τὴν συνάφειαν κωλύεσθαι; Πότερον χρειῶν; Ἀλλὰ πολλῷ εὐπορώτεραί εἰσιν ἐν τῇ κοινωνίᾳ, ἑνὸς λύχνου, καὶ B μιᾶς ἑστίας, καὶ πάντων τῶν τοιούτων τοῖς πᾶσιν ἐπαρκέσαι δυναμένων. Χρὴ γάρ, εἴπερ τι ἕτερον, καὶ τὴν ἐν τούτοις εὐχέρειαν μεταδιώκειν ἐκ παντὸς τρόπου, ἐπὶ τὸ ἔλαττον τὰς κτήσεις τῶν ἀναγκαίων (80) συστέλλοντας. Ἔπειτα καὶ τῶν ἔξωθεν τὰς χρείας ἐπεισαγόντων τῇ ἀδελφότητι, ἐν μὲν τῇ διαιρέσει πλειόνων χρεία, ἐν δὲ τῇ συνοικήσει τῶν ἡμίσεων. Ὅπως δὲ δύσκολόν ἐστιν εὑρεθῆναι ἄνδρα μὴ καταισχύνοντα τὸ ὄνομα τοῦ Χριστοῦ (81), ἀλλ' ἀξίαν τοῦ ἐπαγγέλματος τὴν τῶν ἔξωθεν συντυχίαν ἐν ταῖς ἀποδημίαις ποιούμενον, γνώριμον ὑμῖν πρὸ τῶν ἐμῶν λόγων. Εἶτα οἱ ἐπιμένοντες τῇ διαστάσει πῶς δύνανται (82) τοὺς ἐν τῷ κοινῷ βίῳ οἰκοδομεῖν, ἢ πρὸς εἰρήνην συνελαύνοντες, εἴ ποτε δέοι, ἢ πρὸς τὰς ἄλλας ἐντολὰς παρακαλοῦντες, ὑπονοίας πονηρὰς C ἐκ τοῦ μὴ ἡνῶσθαι καθ' ἑαυτῶν παρεχόμενοι; Καὶ πρὸς τούτοις ἀκούομεν τοῦ Ἀποστόλου γράφοντος (83) Φιλιππησίοις, ὅτι *Πληρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν· μὴ τὰ ἑαυτῶν σκοποῦντες* (84), *ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστοι.*

3. Τίς οὖν μείζων ἀπόδειξις ταπεινοφροσύνης τοῦ ἀλλήλοις ὑποταγῆναι (85) τοὺς προεστῶτας τῆς ἀδελφότητος; Εἴτε γὰρ ἴσοι εἰσὶν ἐν τοῖς πνευματικοῖς χαρίσμασι, κάλλιόν ἐστιν ἡ συνάθλησις (86). Ὥσπερ D οὖν ὑπέδειξεν ἡμῖν αὐτὸς ὁ Κύριος, ἀνὰ δύο δύο ἀποστείλας· καὶ ὁ ἕτερος αὐτῶν αἱρήσεται πάντως μετὰ χαρᾶς ὑποτετάχθαι τῷ ἑτέρῳ, μεμνημένος τοῦ Κυρίου λέγοντος, ὅτι *Ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται* (87). Εἰ δὲ τὸν μὲν ἐλαττοῦσθαι, τὸν δὲ ὑπερ-

2. Contingit igitur statim a prima die, ut ipsi ex quadam animi elatione lædantur, quod non seipsos forment ad disciplinam, sed assuescant fratrum judices fieri atque censores. Cum ergo nullum bonum certum et confessum reperiatur in divisis ac distinctis habitationibus, imo vero cum sint incommoda tot et tanta, prorsus abs re fuerit alias ab aliis separari. Quod si forte domicilium aliquod ita jam constructum sit, cito emendandum est ac reformandum, et maxime post detrimentorum experientiam. Nam in sententia sua perseverare, manifesta contentio est. *Si quis autem videtur contentiosus esse*, inquit Apostolus, *nos talem consuetudinem non habemus, neque Ecclesiæ Dei* [82]. Quam enim causam dicturi sunt impedimento sibi esse, ne conjungantur? Num ob res necessarias comparandas? At paratu sunt longe faciliores in communi domicilio, cum una lucerna, et unus focus, et omnia talia omnibus sufficere possint. Oportet enim, si quid aliud, etiam in his facilitatem omnimodo **380** requiri, sic ut earum quæ necessario possidendæ sunt rerum copia imminuatur. Accedit etiam, quod in divisis habitationibus major numerus esse debeat eorum qui necessaria fratribus extrinsecus afferunt : contra, dimidio minor in uno et eodem contubernio. Quam autem difficile sit inveniri virum, qui Christi nomen non dedecoret, sed qui suum cum externis congressum in peregrinationibus efficiat sua professione dignum, vobis, me vel tacente, notum est. Ad hæc qui sic disjuncti permanent, qua ratione possunt, eos qui in communi vivunt, ædificare, sive compellendo ad pacem, si quando opus fuerit, sive exhortando ad præcepta alia? qui quod inter se conjuncti non sunt, pravas sibimetipsis suspiciones moveant. Præterea que audimus Apostolum ad Philippenses scribentem : *Implete gaudium meum, ut idem sapiatis, eamdem charitatem habentes, unanimes, idem sentientes : nihil per contentionem, neque per inanem gloriam, sed in humilitate superiores sibi invicem arbitrantes, non quæ sua sunt singuli considerantes, sed etiam ea quæ aliorum* [83].

3. Quæ igitur major est humilitatis significatio, quam si fratrum præfecti alii aliorum imperio subjiciantur? Si enim pares sunt in spiritualibus donis, eos simul decertare satius est. Quemadmodum igitur ostendit nobis Dominus ipse, cum discipulos binos et binos misit[84] : ita ex ipsis alter alteri submitti prorsus cum gaudio volet, haud immemor Domini dicentis : *Qui se humiliat, exaltabitur* [85]. Quod si forte hic pauciora habuerit, ille plura, præstabi-

[82] I Cor. xi, 16. [83] Philipp. ii, 2, 3. [84] Marc. vi, 7. [85] Luc. xviii, 14.

(79) Antiqui duo libri præter Voss προειλῆφθαί τινας.

(80) Codex Voss. καὶ τῶν ἀναγκαίων. Ibidem in Colbertino legitur Ἔπειτα δὲ καί.

(81) Reg. primus ὄνομα τοῦ Κυρίου. Statim libri veteres γνώριμον ὑμῖν. Editi ἡμῖν.

(82) Codex Voss. δύνωνται. Ibidem editi et Reg. tertius una voce κοινοβίῳ. Alii tres mss. duabus vocibus κοινῷ βίῳ.

(83) Reg. primus ἀκούομεν τοῦ Παύλου γρά.

(84) Idem ms. μὴ τα ἑαυτῶν ἕκαστος σκοποῦντες.

(85) Ita in Colb. scriptum invenitur, ταπεινοφροσύνης τῆς ἐκ τοῦ ἀλλήλοις ὑποτάσσεσθαι. Habet quoque Vossii codex ὑποτάσσεσθαι.

(86) Veteres duo libri cum Voss. ἡ συνάσκησις, *pietatis exercitatio communis*. Alii duo mss. et editi ἡ συνάθλησις. Utro quis modo legat, nihil, aut parum ad sensum refert.

(87) Post verbum ὑψωθήσεται ita in Colbertino

lius est debiliorem a fortiori assumi. Atque etiam quomodo non manifeste violatur apostolicum præceptum quo dicitur: *Non quæ sua sunt singuli considerantes, sed etiam ea quæ aliorum*[86]? Arbitror enim fieri non posse, ut hoc in divisis mansionibus recte perficiatur, cum quælibet turma pro iis quibuscum versatur, curam singularem et propriam gerat, cæteros vero non curet: quod, ut dixi, manifeste adversatur Apostoli præcepto. Et quoniam sancti illi, quorum frequens est mentio in Actis, idipsum plerumque testantur, de quibus scriptum est, modo quidem: *Multitudinis credentium erat cor unum et anima una*[87]; modo vero: *Omnes credentes erant in eodem loco, et habebant omnia communia*[88]: liquet nullam fuisse inter hos omnes divisionem, nec quemquam fuisse sui juris: sed omnes una et eadem cura gubernatos fuisse; idque, etiamsi horum omnium numerus esset quinque millium: in quibus fortasse non pauca erant, quæ hominum judicio viderentur conjunctionem ac concordiam impedire. Cum autem qui in singulis vicis reperiuntur, adeo illis numero inferiores sint, quæ ratio permittit ipsos a se invicem separatos esse? Utinam autem fieri posset, ut non modo qui in eodem pago simul sunt congregati, sic permanerent, sed **381** plures etiam, qui diversis in locis constituti sunt fratrum conventus, ab una tantum cura, eorum, qui æquo in omnes animo sapienterque rebus omnium consulere possent, in spiritus consensione et pacis vinculo regerentur!

INTERROGATIO XXXVI.

De iis qui secedunt a fratrum societate.

RESPONSIO.

Sane qui semel mutuo professi sunt victuros se simul in eodem loco, iis nequaquam licitum est indifferenter abire et secedere; quando illud quod quis in iis quæ cepit consiliis non perseveret, duabus de causis contingit, vel ex damno, quod ex communi habitatione oriatur, vel ex animi instabilitate illius, qui sententiam mutet. Qui igitur separat se a fratribus ob detrimentum, non occultet in semetipso causam, sed damnum prodat juxta modum a Domino traditum, cum dixit: *Si peccaverit frater tuus, vade, corripe ipsum inter te et ipsum solum*,[89] etc. Et quidem si id quod postulat, emendetur, et fratres lucratus est, nec ipsorum societa-

A ἔχειν συμβαίνει, ὠφελιμώτερόν ἐστι προσληφθῆναι ὑπὸ τοῦ ἰσχυροτέρου τὸν ἀσθενέστερον. Πῶς δὲ καὶ οὐχὶ φανερὰ παρακοή ἐστι τοῦ ἀποστολικοῦ παραγγέλματος, τοῦ λέγοντος· *Μὴ τὰ ἑαυτῶν ἕκαστοι* (88) *σκοποῦντες, ἀλλὰ καὶ ἑτέρων ἕκαστοι*; Λογίζομαι γὰρ μὴ εἶναι δυνατὸν ἐν τῇ διαιρέσει τοῦτο κατορθωθῆναι, ἑκάστου τάγματος τὴν μὲν ὑπὲρ τῶν συνόντων μέριμναν ἰδιοποιουμένου, τῆς δὲ ὑπὲρ τῶν ἄλλων φροντίδος ἠλλοτριωμένου (89), ὅπερ, ὡς εἶπον, σαφῶς ἐναντιοῦται τῷ ἀποστολικῷ παραγγέλματι. Καὶ τῶν ἐν ταῖς Πράξεσιν ἁγίων πολλάκις μαρτυρουμένων, περὶ ὧν γέγραπται (90), ποτὲ μὲν ὅτι, *Τοῦ πλήθους τῶν πιστευσάντων ἦν καρδία καὶ ψυχὴ μία*· ποτὲ δὲ ὅτι, *Πάντες οἱ πιστεύσαντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά*· πρό-
B δηλον ὅτι οὐδεμία διάστασις ἦν ἐν τοῖς πᾶσιν, οὔτε ἐν ἐξουσίᾳ ἑαυτοῦ διῆγεν ἕκαστος, ἀλλὰ ὑπὸ μίαν καὶ τὴν αὐτὴν οἱ πάντες ᾠκονομοῦντο φροντίδα· καὶ ταῦτα ἐν ὅλοις πεντακισχιλίοις τὸν ἀριθμὸν, ἐφ' ὧν ἴσως οὐκ ὀλίγα ἦν τὰ κατὰ τὸν ἀνθρώπινον λογισμὸν ἐμποδίζειν δοκοῦντα τῇ συναφείᾳ. Ὅπου δὲ τοσοῦτον ἐλαττοῦνται οἱ καθ' ἑκάστην κώμην εὑρισκόμενοι, τίς ἐπιτρέπει λόγος διεστάναι αὐτοὺς ἀπ' ἀλλήλων; Εἴθε δὲ ἦν δυνατὸν μὴ μόνον τοὺς ἐν τῇ αὐτῇ κώμῃ ἐπὶ τὸ αὐτὸ συνηγμένους οὕτως εἶναι, ἀλλὰ καὶ πλείους ἀδελφότητας, ἐν διαφόροις καθεστώσας τόποις, ὑπὸ μιᾷ φροντίδι (91) τῶν δυναμένων ἀπροσκλίτως καὶ σοφῶς οἰκονομεῖν τὰ πάντων ἐν τῇ ἑνότητι τοῦ πνεύματος καὶ τῷ συνδέσμῳ τῆς εἰρήνης
C οἰκοδομεῖσθαι.

ΕΡΩΤΗΣΙΣ ΛϚ'.

Περὶ τῶν ἀναχωρούντων ἀπὸ ἀδελφότητος.

ΑΠΟΚΡΙΣΙΣ.

Τούς γε μὴν ἅπαξ καθομολογησαμένους ἀλλήλοις τὴν ἐπὶ τὸ αὐτὸ ζωὴν ἀδιαφόρως ἀναχωρεῖν οὐχ οἷόν τε· διότι τὸ μὴ ἐπιμένειν τοῖς δεδογμένοις δύο αἰτίας ἔχει, ἢ τὴν ἐκ τῆς συνοικήσεως βλάβην, ἢ τὸ ἄστατον τῆς γνώμης τοῦ μεταβαλλομένου (92). Ὁ μὲν οὖν διὰ τὸ βλάπτεσθαι ἀποσπώμενος ἀδελφῶν μὴ κρυπτέτω καθ' ἑαυτὸν τὴν αἰτίαν, ἀλλ' ἐλεγχέτω τὴν βλάβην, κατὰ τὸν τρόπον τὸν παρὰ τοῦ Κυρίου παραδοθέντα, εἰπόντος· *Ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ*
D *μόνου*, καὶ τὰ ἑξῆς. Καὶ ἐὰν μὲν διορθωθῇ τὸ ἐπιζητούμενον παρ' αὐτοῦ, τούς τε ἀδελφοὺς ἐκέρδησε, καὶ τὴν κοινωνίαν αὐτῶν οὐκ ἀτιμάζει· ἐὰν δὲ ἐπι-

[86] Philipp. II, 4. [87] Act. IV, 32. [88] Act. II, 44. [89] Matth. XVIII, 15.

legitur: Ἐὰν τοῦτο ποιῶσι ἀμφότεροι, ἀμφότεροι μὲν παρὰ τῷ Κυρίῳ τοῦ στεφάνου τῆς δόξης· τοῖς δὲ πᾶσι τύποι γενήσονται καὶ κανὼν ἀγάπης καὶ ταπεινοφροσύνης· Εἰ δὲ τόν, *Si hoc fecerit uterque, ut donabitur uterque a Domino corona gloriæ, ita omnibus est forma regulaque charitatis et humilitatis.* In Græcis aliquid deesse nemo non videt.

(88) Veteres duo libri ἕκαστος.... ἕκαστος.

(89) Reg. primus secunda manu ἀλλοτριουμένου.

(90) Editiones veteres et duo mss. δι' ὧν, *per ea quæ scripta sunt.* Reg. primus et Voss. περὶ ὧν, rectius.

(91) Codex Colb. μίαν φροντίδα. Ibidem editiones veteres Basil. et Paris. ἀπροσκόπτως, *sine offendiculo.* Editio Ven. et Voss. cum quatuor aliis ἀπροσκλήτως· quod non probo quidem, sed tale esse judico, ut ex eo vera scriptura facile cognosci possit. Suspicari enim promptum est, pro ἀπροσκλήτως legendum ἀπροσκλίτως, *sine ulla inclinatione voluntatis in quemquam.* Ea de re judicabunt eruditi. In fine periodi Reg. primus habet οἰκονομεῖσθαι.

(92) Veteres duo libri cum Voss μεταβουλευομένου, male.

μένοντας αὐτοὺς τῷ κακῷ καὶ μὴ καταδεχομένους A τὴν διόρθωσιν ἴδῃ, τοῖς τὰ τοιαῦτα κρίνειν ἱκανοῖς ἐπιδείξει (93)· καὶ μετὰ τὴν τῶν πλειόνων μαρτυρίαν τότε χωριζέσθω. Χωρισθήσεται δὲ οὐκέτι ἀδελφῶν, ἀλλὰ ἀλλοτρίων, τοῦ Κυρίου τὸν ἐπιμένοντα τῷ κακῷ ἐθνικῷ καὶ τελώνῃ συγκρίνοντος. *Ἔστω γάρ σοι*, φησὶν, ὁ τοιοῦτος *ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης*. Εἰ δὲ διὰ ἰδίαν κουφότητα ἀποπηδᾷ τῆς συναφείας (94) τῶν ἀδελφῶν, τὸ ἑαυτοῦ ἀσθενὲς θεραπευσάτω, ἢ μὴ καταδεξάμενος, ἀπρόσδεκτος ἔστω ταῖς ἀδελφότησιν. Ἐὰν δὲ διὰ ἐντολὴν τοῦ Κυρίου ἄλλος ἀλλαχοῦ ἕλκηται, οὐ χωρίζονται οἱ τοιοῦτοι, ἀλλ' οἰκονομίαν πληροῦσιν. Ἄλλην δὲ αἰτίαν χωρισμοῦ ἀδελφῶν ὁ λόγος οὐ καταδέχεται· πρῶτον μὲν, ὅτι τὸ συναγαγὸν ὄνομα (95) τοῦ Κυρίου ἡμῶν B Ἰησοῦ Χριστοῦ ἀτιμάζεται· ἔπειτα δὲ, ὅτι οὐδὲ ἡ συνείδησις ἑκάστου πρὸς τὸν ἕτερον καθαρεύειν δυνήσεται, ἀλλὰ δι' ὑποψίας ἀλλήλοις ἔσονται. Τοῦτο δὲ ἐναντιοῦται σαφῶς τῷ προστάγματι τοῦ Κυρίου εἰπόντος· *Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ· ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε· πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.*

ΕΡΩΤΗΣΙΣ ΛΖ'.

Εἰ δεῖ προφάσει τῶν προσευχῶν καὶ τῆς ψαλμῳδίας ἀμελεῖν τῶν ἔργων, καὶ ποῖοι καιροὶ τῆς προσευχῆς ἐπιτήδειοι, καὶ πρῶτον, εἰ χρὴ ἐργάζεσθαι.

ΑΠΟΚΡΙΣΙΣ. C

1. Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος, *Ἄξιος*, οὐχ ἁπλῶς ἕκαστος, οὐδὲ ὡς ἔτυχεν, ἀλλ' *Ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι*· καὶ τοῦ Ἀποστόλου προστάσσοντος κοπιᾷν καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶ τὸ ἀγαθὸν, ἵνα ἔχωμεν (96) μεταδιδόναι τῷ χρείαν ἔχοντι, τὸ μὲν, ὅτι χρὴ ἐργάζεσθαι σπουδαίως, δῆλόν ἐστιν αὐτόθεν. Οὐ γὰρ πρόφασιν ἀργίας, οὐδὲ ἀποφυγὴν πόνου τὸν τῆς εὐσεβείας σκοπὸν ἡγεῖσθαι χρὴ, ἀλλὰ ὑπόθεσιν ἀθλήσεως, καὶ πόνων περισσοτέρων, καὶ ὑπομονῆς τῆς ἐν θλίψεσιν, ἵνα καὶ ἡμῖν ἐξῇ λέγειν· *Ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις περισσοτέρως, ἐν λιμῷ καὶ δίψει*· οὐ μόνον διὰ τὸν ὑπωπιασμὸν τοῦ σώματος χρησίμου οὔσης ἡμῖν (97) τῆς τοιαύτης ἀγωγῆς, ἀλλὰ καὶ διὰ τὴν εἰς τὸν D πλησίον ἀγάπην, ἵνα καὶ τοῖς ἀσθενοῦσι τῶν ἀδελφῶν δι' ἡμῶν ὁ Θεὸς τὴν αὐτάρκειαν παρέχῃ, κατὰ τὸν ἐν ταῖς Πράξεσιν ὑπὸ τοῦ Ἀποστόλου δεδομένον τύπον (98), εἰπόντος· *Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων*· καὶ πάλιν· *Ἵνα ἔχητε μεταδιδόναι τῷ*

1. Εἴρηται μὲν, ὡς ἐν κεφαλαίῳ, καὶ περὶ τοῦ μέρους τούτου· πλὴν ἀλλ' ἐπειδὴ (57) καλῶς ποιοῦντες ἐπὶ πλεῖον τρανωθῆναι τὸ μέρος τοῦτο βούλεσθε B (διότι οἷον ἐὰν ᾖ τὸ ἐπιστατοῦν καὶ ἄρχον, τοιοῦτον, ὡς τὰ πολλὰ, γίνεσθαι φιλεῖ (58) καὶ τὸ ἀρχόμενον), ἀναγκαῖον μὴ παρέργως αὐτὸ παρελθεῖν. Χρὴ τοίνυν τὸν προεστῶτα μεμνημένον τῆς τοῦ Ἀποστόλου παραγγελίας λέγοντος, *Τύπος γίνου τῶν πιστῶν*, πάσης ἐντολῆς τοῦ Κυρίου ἐναργὲς ὑπόδειγμα τὸν ἑαυτοῦ βίον παρέχειν, ὡς μηδεμίαν τοῖς διδασκομένοις ἀφορμὴν καταλιμπάνειν πρὸς τὸ ἀδύνατον ἢ εὐκαταφρόνητον ἡγεῖσθαι τὴν ἐντολὴν τοῦ Κυρίου. Πρῶτον μὲν οὖν, ὃ πρῶτόν ἐστιν, ἐν ἀγάπῃ Χριστοῦ τὴν ταπεινοφροσύνην οὕτω χρὴ παρ' αὐτοῦ (59) κατορθοῦσθαι, ὡς καὶ σιωπῶντος αὐτοῦ τὸ ἐκ τῶν ἔργων ὑπόδειγμα παντὸς λόγου ἰσχυρότερον εἰς διδασκαλίαν προκεῖσθαι. Εἰ γὰρ οὗτος ὅρος Χριστιανισμοῦ, μίμησις Χριστοῦ ἐν τῷ μέτρῳ τῆς ἐνανθρωπήσεως, C κατὰ τὸ ἐπιβάλλον τῇ ἑκάστου κλήσει, οἱ τὴν ὁδηγίαν τῶν πολλῶν πεπιστευμένοι τοὺς ἔτι ἀσθενεστέρους διὰ τῆς ἑαυτῶν μεσιτείας προβιβάζειν ὀφείλουσι τῇ τοῦ Χριστοῦ ἐξομοιώσει, κατὰ τὸν μακάριον Παῦλον λέγοντα· *Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.*

2. Πρώτους οὖν αὐτοὺς, τὸ παραδοθὲν τῆς ταπεινοφροσύνης μέτρον παρὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατορθοῦντας, ὑπογραμμὸν ἀκριβῆ προσήκει γίνεσθαι. *Μάθετε γὰρ*, φησὶν, *ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.* Πραότης οὖν τρόπου καὶ καρδίας ταπείνωσις χαρακτηριζέτω τὸν προϊστάμενον. Εἰ γὰρ ὁ Κύριος τὴν διακονίαν τῶν ἰδίων δούλων οὐκ ἐπῃσχύνθη (60), ἀλλὰ κατεδέξατο ὑπηρέ- D της εἶναι τῆς γῆς καὶ τοῦ πηλοῦ, ὃν αὐτὸς ἔπλασε, καὶ εἰς ἄνθρωπον διεμόρφωσεν (*Ἐγὼ γὰρ εἰμὶ*, φησὶν, *ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν*)· τί χρὴ ποιοῦντας ἡμᾶς τοῖς ὁμοτίμοις νομίζειν αὐτοῦ τῆς μιμήσεως ἐφικνεῖσθαι; Ἓν μὲν δὴ τοῦτο ἐπὶ τοσοῦτον ὑπάρχειν δεῖ τῷ προεστῶτι. Ἔπειτα εὔσπλαγχνον (61), καὶ μακροθύμως ἀνεχόμενον τῶν ἐξ ἀπειρίας ἐλλιμπανόντων τι τῶν καθηκόντων, οὐχ ὑποσιωπῶντα τοῖς

[36] Jerem. XVII, 6. [37] I Tim. IV, 12. [38] I Cor. XI, 1. [39] Matth. XI, 29. [40] Luc. XXII 27.

(57) Veteres duo libri cum Voss. πλὴν ἀλλ' ἐπειδή. Editi πλὴν ἐπειδή.

(58) Antiqui duo libri et editi ὀφείλει, male. Reg. tertius et Colb. φιλεῖ, bene. Hoc ipso in loco conjunctionem καί ex priscis duobus libris addidimus.

(59) Codices aliquot simul et editi παρ' αὐτῷ: at in Colbertino legitur παρ' αὐτοῦ.

(60) Reg. primus et Combef. οὐκ ἐπῃσχύνθη. Alius ms. et editi ἐπαισχύνθη.

(61) Antiqui duo libri cum Voss. εὐσπλάγχνως. Editi εὔσπλαγχνον.

ἁμαρτήμασιν, ἀλλὰ πράως ἀνεχόμενον τῶν ἀφηνιαζόντων (62) καὶ τὰς ἰατρείας αὐτοῖς ἐν πάσῃ εὐσπλαγχνίᾳ καὶ συμμετρίᾳ προσάγοντα. Ἱκανὸν δὲ τρόπον τῆς θεραπείας τῷ πάθει οἰκεῖον ἐξευρεῖν, οὐ μετὰ αὐθαδείας ἐπιτιμῶντα, ἀλλ' ἐν πραότητι νουθετοῦντα καὶ παιδεύοντα, καθὼς γέγραπται, νηφάλιον ἐν τοῖς παροῦσι, προορατικὸν τῶν μελλόντων, ἱκανὸν μὲν τοῖς ἰσχυροῖς συναθλεῖν, τῶν δὲ ἀδυνάτων βαστάζειν τὰ ἀσθενήματα, καὶ πάντα ποιεῖν καὶ λέγειν δυνάμενον πρὸς καταρτισμὸν τῶν συνόντων· μὴ ἑαυτῷ λαμβάνοντα τὴν προστασίαν, ἀλλ' ἐγκριθέντα τῶν ἐν ταῖς (63) ἄλλαις ἀδελφότησι προεχόντων, καὶ ἱκανὴν πεῖραν τοῦ τρόπου ἐν τῷ παρελθόντι βίῳ δεδωκότα. *Καὶ οὗτοι γὰρ*, φησὶ, *δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν, ἀνέγκλητοι ὄντες*. Οὕτω καὶ ὁ τοιοῦτος ἐπιτρεπέσθω τὴν προστασίαν, καὶ τὴν εὐταξίαν ὁριζέτω τῇ ἀδελφότητι, τὴν διανομὴν τῶν ἔργων, καθ' ὃ ἕκαστος (64) ἐπιτηδείως ἔχει, ποιούμενος.

A sufferentem, non prætereuntem silentio peccata, sed rebelles tolerantem leniter, medelamque cum omni clementia atque moderatione eis adhibentem. Item idoneum esse, qui remedii modum morbo convenientem excogitet, non autem aspere increpantem, sed cum mansuetudine commonefacientem, atque erudientem, uti scriptum est [41], pervigilem in administrandis rebus præsentibus, providum futurorum, peritum decertandi cum fortibus, et debilium infirmitates perferendi, talem, qui omnia et facere et dicere possit ad eorum qui secum degunt, perfectionem. Præfecturam non sibi sumentem, sed qui delectus sit ab iis qui primas obtinent in aliis fratrum conventibus, et qui in vita ante acta morum suorum specimen sufficiens ediderit. B *Et hi enim*, inquit, *probentur primum, deinde ministrent, nullum crimen habentes* [42]. Sic qui ejusmodi est, accipiat præfecturam, instituatque inter fratres disciplinam, et opera, prout unusquisque idoneus est, dispertiatur.

ΕΡΩΤΗΣΙΣ ΜΔʹ.

Τίσιν ἐπιτρέπειν χρὴ τὰς ἀποδημίας· καὶ πῶς ἐπανιόντας αὐτοὺς ἀνακρίνειν.

INTERROGATIO XLIV.

Quibus permittendæ sint peregrinationes, et quomodo, ubi redierint, sint interrogandi.

ΑΠΟΚΡΙΣΙΣ.

1. Τὴν μὲν ἀποδημίαν ἐπιτρεπέτω τῷ δυναμένῳ ἀβλαβῶς τῇ ἑαυτοῦ ψυχῇ καὶ ὠφελίμως τοῖς συντυγχάνουσιν αὐτὴν (65) ἐκτελεῖν. Ὡς ἐὰν μὴ παρῇ ὁ ἐπιτήδειος, βέλτιον ἐν ἐνδείᾳ τῶν ἀναγκαίων πᾶσαν θλῖψιν καὶ στενοχωρίαν μέχρι καὶ θανάτου ὑπενεγκεῖν, ἢ παραμυθίας ἕνεκεν σωματικῆς βλάβην ψυχῆς ὁμολογουμένην περιορᾷν. *Καλὸν γάρ μοι*, φησὶν ὁ Ἀπόστολος, *μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ*· καὶ τοῦτο ἐν τοῖς ἐπ' ἐξουσίας· πόσῳ οὖν μᾶλλον ἐν τοῖς κατ' ἐντολήν; Καίτοιγε οὐδὲ τοῦτο ἀπαραμύθητον ὁ τῆς ἀγάπης νόμος ἀφίησιν. Ἐὰν γὰρ συμβῇ μὴ παρεῖναι μιᾷ ἀδελφότητι τὸν ἐπιτηδείως ἀποστελλόμενον, οἱ σύνεγγυς τὸ λεῖπον ἀναπληρώσουσι (66), κοινὰς τὰς ἀποδημίας καὶ ἀχωρίστους ἀλλήλων ποιούμενοι, ὡς τούς τε κατὰ ψυχὴν ἀσθενεῖς, ἢ καὶ κατὰ τὸ σῶμα σαθροὺς ἐν τῇ τοιαύτῃ κοινωνίᾳ τοῖς ἰσχυροτέροις συνδιασώζεσθαι, πόῤῥωθεν καὶ τοῦτο τοῦ πεπιστευμένου προκαθιστῶντος, ὡς μὴ παρ' αὐτὰ ἐπὶ τῆς χρείας ἄπορον ἐκ τοῦ καιροῦ τῆς στενοχωρίας τὴν παραμυθίαν εὑρίσκεσθαι. Μετὰ δὲ τὴν ἐπάνοδον ἀνακρινέτω τὸν ἀπόδημον, τίνες αἱ πράξεις, ποταπῶν ἀνδρῶν αἱ συντυχίαι αὐτῷ γεγόνασιν· οἱ λόγοι τίνες,

RESPONSIO.

1. Peregrinandi detur facultas ei, qui citra animæ suæ detrimentum, et cum utilitate eorum, quibuscum graditur, iter perficere possit. Nam si nemo idoneus affuerit, præstat in rerum necessariarum penuria afflictionem omnem atque **391** C angustiam vel ad mortem usque perpeti, quam corporalis levamenti causa certissimum animæ detrimentum negligere. *Bonum est enim mihi*, inquit Apostolus, *magis mori, quam ut gloriam meam quis evacuet* [43]: et hoc in iis, quæ liberum est omittere, quanto igitur magis in his, quæ præcepta sunt? Quanquam etiam huic ipsi incommodo medetur lex charitatis. Si enim contigerit, ut in uno fratrum conventu desit, qui commode mitti possit, ii qui propinqui sunt, supplebunt quod deerit, iter facientes simul, nec unquam a se invicem disjungentur, ut tam qui infirmi sunt anima, quam qui corpore etiam debiles sunt, ii sic cum fortioribus conjuncti, incolumes serventur. Atque hoc longe antea a præposito constitutum sit, ne postea in D ipso necessitatis articulo remedium ullum, quod per temporis angustias adhibere liceat, nanciscatur. Cæterum præfectus post reditum via-

[41] II Tim. II, 25. [42] I Tim. III, 10. [43] I Cor. IX, 15.

(62) Editiones veteres et Reg. tertius τῶν ἀφηνιαζόντων, *rebelles patienter tolerantem*. Regii primus et tertius cum Colb. τῶν νηπιαζόντων, *pueros patienter tolerantem :* quam scripturam pro vera habet Combefisius: neque ego contendam, si futuri sint qui ita velint. Sed rationem cur ita legendum putet, probare non possum. Ait enim rebelles dure, non leniter tractandos, cum et ipsos quoque si non semper, at nonnunquam tamen leniter tractari debere doceat Apostolus, II Tim. II, 25.

(63) Editi τὴν προστασίαν τῶν ἐν ταῖς, etc., ubi supplendum quod ex veteribus quatuor libris addidimus. Ita hoc loco legitur in ora Regii primi, τίνες ἐγκρίνειν τὸν ἡγούμενον ὀφείλουσιν, *quinam eligere debeant præpositum.*

(64) Unus ms. καθὼς ἕκαστος.

(65) Vox αὐτὴν deest in vulgatis : sed et in Vossii codice et in aliis duobus legitur. Nec ita multo post duo mss. μέχρι θανάτου ὑπομένειν. Verbum ὑπομένειν invenitur quoque in Vossii veteri libro.

(66) Reg. primus λεῖπον ἀποπληρώσουσι. Aliquanto post idem ms. ἰσχυροτέροις διασώζεσθαι. Mox hic ipse liber πεπιστευμένου καθιστῶν.

torem percontetur, quid egerit, in quorum hominum venerit congressum, quos cum eis sermones habuerit, quid versaverit animo, num diem totam totamque noctem exegerit in timore Dei, an prævaricatus sit, et aliquid violaverit eorum quæ statuta sunt, aut externis incommodis victus, aut sua ipsius segnitie dilapsus.

2. Et quod quidem recte gestum est, laudando confirmet: in quo vero deliquit, id corrigat diligenti ac perita adhortatione. Ita enim et qui peregre proficiscentur, vigilantiores erunt, si itineris rationem reddere cogantur, et nos ne in separationis quidem tempore vitam ipsorum negligere videbimur. Hoc autem et sanctis familiare fuisse, Actorum historia tradit, ubi docet, quemadmodum Petrus Hierosolymam reversus, aliis illic commorantibus rationem reddiderit societatis ejus, quæ sibi fuisset cum gentibus [44]; similiterque, quemadmodum Paulus et Barnabas reversi, coacta Ecclesia, annuntiaverint quæ cum ipsis fecisset Deus [45]; et rursus, quod siluerit universa multitudo, et audierit Barnabam et Paulum, qui narrabant quæcunque Deus fecisset per ipsos. Illud autem nosse oportet, itiones, negotiationesque et quæstus cauponios fratribus omni modo fugiendos esse.

INTERROGATIO XLV.

Quod oportet post præfectum etiam alium aliquem esse, qui possit, eo absente, aut occupatione aliqua distento, fratrum curam suscipere.

RESPONSIO.

1. Quandoquidem usu venit non raro, ut vel propter corporis infirmitatem, vel peregrinandi necessitatem, vel ob alium quemvis casum, præfectus absit a fratrum conventu, etiam aliquis alius cum approbatione tam ipsius, quam aliorum qui approbandi periti sint, ad hoc delectus sit, ut eo absente suscipiat fratrum curam, sic ut etiam præsentes unus aliquis sermone **392** adhortetur soleturque, non autem fratres, absente præposito, formam status popularis assumant, ad regulæ et traditæ disciplinæ dissolutionem, et quæcunque approbata sunt et recepta, ad Dei gloriam observentur: ut etiam adsit qui advenientibus hospitibus prudenter respondeat, ut et qui sermonem requirunt, ædificentur pro argumenti dignitate, nec tamen fratrum communitas confundatur. Etenim si omnes æqualiter accurrant ad dicendum, id tumultus causa est, et perturbatæ disciplinæ signum; cum Apostolus ne eos quidem qui docendi munere donati sunt, plures simul loqui sinat, ubi dicit: *Quod si alii revelatum fuerit, prior taceat* [46]. Et

A οὓς πρὸς αὐτοὺς ἐποιήσατο· ποῖα τὰ τῆς ψυχῆς αὐτοῦ διανοήματα· εἰ πᾶσαν ἡμέραν καὶ πᾶσαν νύκτα τῷ φόβῳ τοῦ Θεοῦ συζῶν ἐξετέλεσεν, ἤ που (67) παρετράπη, καὶ παρεκίνησέ τι τῶν δεδογμένων, ἢ ταῖς ἔξωθεν περιστάσεσιν ἐνδοὺς, ἢ τῇ οἰκείᾳ ῥᾳθυμίᾳ παραῤῥυείς.

2. Καὶ τὸ μὲν ὀρθῶς ἐπιτελεσθὲν ἀποδοχῇ βεβαιούτω· τὸ δὲ ἐσφαλμένον τῇ ἐμμελεῖ καὶ ἐπιστημονικῇ (68) διδασκαλίᾳ διορθούσθω. Οὕτω γὰρ νηφαλιώτεροί τε οἱ ὁδεύοντες ἔσονται τῇ φροντίδι τῆς ἀποδόσεως τοῦ λόγου, καὶ ἡμεῖς δόξομεν μήτε ἐν καιρῷ τοῦ χωρισμοῦ ἀμελεῖν αὐτῶν τῆς ζωῆς. Καὶ τοῖς ἁγίοις δὲ τοῦτο εἶναι (69) σύνηθες ἡ ἱστορία τῶν Πράξεων παραδίδωσι, διδάσκουσα ἡμᾶς ὅπως
B μὲν Πέτρος τὸν λόγον τῆς τῶν ἐθνῶν κοινωνίας, ἐπανελθὼν εἰς τὰ Ἱεροσόλυμα, τοῖς ἐκεῖ ἀποδίδωσιν· ὅπως δὲ Παῦλος καὶ Βαρνάβας παραγενόμενοι, καὶ συναγαγόντες τὴν Ἐκκλησίαν, ἀνήγγειλαν ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν· καὶ πάλιν, ὅτι ἐσιώπησεν ἅπαν τὸ πλῆθος, καὶ ἤκουον Βαρνάβα καὶ Παύλου ἐξηγουμένων ὅσα ἐποίησεν ὁ Θεός. Ἐκεῖνο μέντοι εἰδέναι χρὴ, ὅτι τὰς περιδρομὰς καὶ πραγματείας καὶ τὰ καπηλικὰ (70) κέρδη παντὶ τρόπῳ φευκτέον ταῖς ἀδελφότησι.

ΕΡΩΤΗΣΙΣ ΜΕ'.

Ὅτι χρὴ μετὰ τὸν προεστῶτα καὶ ἄλλον εἶναί τινα τὸν δυνάμενον ἐν ἀπουσίᾳ (71) *ἢ ἀσχολίᾳ ἐκείνου τῶν ἀδελφῶν ἐπιμελεῖσθαι.*

ΑΠΟΚΡΙΣΙΣ.

C 1. Ἐπειδὴ συμβαίνει πολλάκις ἢ δι' ἀσθένειαν σώματος, ἢ ἀποδημίας ἀνάγκην, ἢ κατά τινα ἄλλην περίστασιν, χωρίζεσθαι τῆς ἀδελφότητος τὸν προεστῶτα, ἔστω τις καὶ ἕτερος μετὰ δοκιμασίας αὐτοῦ τε καὶ ἄλλων τῶν ἱκανῶν δοκιμάζειν, εἰς τοῦτο ἐξειλεγμένος, εἰς τὸ, ἀπόντος ἐκείνου, διαδέχεσθαι τὴν ἐπιμέλειαν τῶν ἀδελφῶν, ὥστε καὶ τοῖς παροῦσι παρ' ἑνὸς γίνεσθαι τὰς παρακλήσεις τοῦ λόγου (72)· ἀλλὰ μὴ ἐν τῇ ἀποδημίᾳ τοῦ προεστῶτος δημοκρατικόν τι σχῆμα μεταλαμβάνειν τὴν ἀδελφότητα ἐπὶ διαλύσει τοῦ κανόνος καὶ τῆς παραδεδομένης εὐταξίας· φυλάσσεσθαι δὲ τὰ μετὰ δοκιμασίας ἐγκριθέντα εἰς δόξαν Θεοῦ, καὶ τοῖς ἐπιδημοῦσι δὲ τῶν ξένων εἶναι τὸν ἀποκρινόμενον συνετῶς, ἵνα οἵ τε
D τὸν λόγον ἐπιζητοῦντες οἰκοδομῶνται τῆς ὑποθέσεως ἐπαξίως, καὶ τὸ κοινὸν τῆς ἀδελφότητος μὴ καταισχύνηται. Τὸ γὰρ πάντας ὁμοίως ἐπιπηδᾷν τῷ λόγῳ, θορύβου αἴτιον, καὶ ἀταξίας σημεῖον· τοῦ Ἀποστόλου μηδὲ τοὺς κατηξιωμένους (73) τοῦ χαρίσματος τῆς διδασκαλίας πλείους ἐπὶ τὸ αὐτὸ λαλεῖν συγχωρήσαντος, δι' ὧν φησιν· *Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ*,

[44] Act. xi, 5 sqq. [45] Act. xv, 12. [46] I Cor. xiv, 30.

(67) Reg. tertius εἴ που.

(68) Sic Voss. et Colb, et Reg. primus. Editi et Reg. tertius τῇ ἐπιμελείᾳ καὶ ἐπιστημονικῇ.

(69) Illud εἶναι additum fuit ex antiquis duobus libris.

(70) Editi et Reg. tertius ὅτι τὰ καπηλικά. Codex Voss. et alii duo consueti libri ut in contextu, fusius et melius.

(71) Ita Colb. habet, ἐν παρουσίᾳ ἢ ἀπουσίᾳ, *in præsentia et in absentia*. Nec ita multo post idem ms. ἐπειδὴ δέ.

(72) Codex Voss. et Reg. primus emendatus παρακλήσεις αὐτοῦ τὰς διὰ τοῦ λόγου.

(73) Unus ms. μηδὲ τοὺς καταξιουμένους.

ὁ πρῶτος σιγάτω· καὶ πάλιν τὸ ἄτοπον τῆς τοιαύτης ἀταξίας διελέγχοντος ἐν τῷ λέγειν· *Ἐὰν οὖν συνέλθῃ ἡ Ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες λαλῶσι γλώσσαις, εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε;*

2. Καὶ ἐὰν ὑπὸ ἀγνοίας δὲ ἄλλῳ προσαγάγῃ τὰς ἐπερωτήσεις ὁ ξένος, κἂν ἔχῃ ἀποκρίνεσθαι (74) ἀνενδεῶς ὁ παρὰ πρόσωπον ἐπερωτηθεὶς, ὅμως τῆς εὐταξίας ἕνεκεν αὐτὸς μὲν σιωπάτω, ὑποδεικνύτω δὲ τὸν τὸ μέρος τοῦτο πεπιστευμένον (75), ὡς ἐποίησαν οἱ ἀπόστολοι ἐπὶ τοῦ Κυρίου, ὥστε εὔτακτον καὶ εὐσχήμονα τὴν χρῆσιν τοῦ λόγου γίνεσθαι. (76) Εἰ γὰρ ἐπὶ τῆς σωμάτων θεραπείας οὔτε σιδήρῳ παντός ἐστι χρήσασθαι ἐπὶ τῶν ἀσθενούντων, ἀλλὰ τοῦ τέχνην ἀνειληφότος, καὶ χρόνῳ μακρῷ, καὶ πείρᾳ, B καὶ μελέτῃ τῶν ἔργων, καὶ διδασκαλίᾳ τῶν ἐπιστημόνων· τίνα ἔχει λόγον τῇ διὰ τοῦ λόγου θεραπείᾳ τοὺς τυχόντας ἐπιπηδᾷν; Ἐν ᾧ καὶ τὸ μικρότατον παροφθὲν μεγίστην φέρει τὴν ζημίαν. Παρ' οἷς γὰρ οὐδὲ ἄρτου μετάδοσις τοῖς τυχοῦσιν ἐφίεται, ἀλλ' ἑνὶ προσήκει ἡ τοιαύτη διακονία, τῷ μετὰ δοκιμασίας πεπιστευμένῳ, παρὰ τούτοις πῶς οὐχὶ πολὺ πλέον τὴν πνευματικὴν τροφὴν ἐξειλεγμένως (77) καὶ παρατετηρημένως ὑφ' ἑνὸς τῶν δυνατωτέρων προσάγεσθαι χρὴ τοῖς αἰτοῦσιν; Ὥστε οὐ τῆς τυχούσης αὐθαδείας τὸν ἐπερωτηθέντα κρῖμα Θεοῦ, ἀδεῶς οὕτω καὶ ὡς ἔτυχε κατατολμᾷν τῆς ἀποκρίσεως, ἀλλὰ μὴ ὑποδεικνύειν τὸν ἐγκεχειρισμένον τὴν τοῦ λόγου οἰκονομίαν, ὃς, διὰ τὸ πιστὸς εἶναι πάντως καὶ φρόνιμος οἰκονόμος, ἐπελέγη εἰς τὸ (78) διαδι- C δόναι μὲν ἐν καιρῷ τὴν πνευματικὴν τροφὴν, οἰκονομεῖν δὲ τοὺς λόγους αὐτοῦ ἐν κρίσει, καθὼς γέγραπται. Κἂν διαφεύγῃ δέ τι τὸν ὀφείλοντα ἀποκρίνεσθαι, καὶ ἄλλος ἐξεύρῃ, μὴ τῷ ἐλέγχῳ εὐθὺς ἐπιπηδάτω, ἀλλ' ἰδίᾳ ὑποβαλλέτω (79) τὸ παραστάν. Ἐπάρσεως γὰρ ἀφορμὴ ἐκ τούτου κατὰ τῶν προεχόντων τοῖς ὑποδεεστέροις γίνεται, ὥστε, κἂν χρησίμως ἀποκριθῇ τις, μὴ καθηκόντως δὲ, ἔνοχός ἐστι τοῖς τῆς ἀταξίας ἐπιτιμίοις.

A rursus hujusce perturbationis in piam coarguit, his verbis: *Si ergo convenerit universa Ecclesia in unum, et omnes linguis loquantur, intraverint autem idiotæ, aut infideles, nonne dicent, quod insanitis* [47]?

2. Quod si ex ignorantia alium interroget hospes; quanquam qui alterius loco interrogatus est, copiose respondere possit, sileat tamen ipse disciplinæ servandæ causa, eumque cui hæc provincia data est, ostendat, uti coram Domino fecere apostoli, idque, ut recte decenterque sermone utamur. Etenim si in sanandis corporibus non est cujusvis aut medicamento aut ferro uti ad infirmos curandos, sed illius, qui et longo tempore et experientia, et curationum exercitio, et peritorum documentis artem hanc assecutus sit; quomodo par fuerit quoslibet ad curationem eam, quæ per sermonem adhibetur, indiscriminatim prosilire? Qua in re quod etiam minimum est, si negligatur, maximum detrimentum affert. Enimvero apud quos ne panis quidem distributio quibuslibet permittitur, sed ejusmodi munus ad quemdam, qui cum approbatione huic rei præpositus sit, pertinet, quomodo non cum delectu ac cautione multo majore alimentum spirituale petentibus dandum est ab aliquo, qui ad id magis idoneus sit? Quare non est arrogantiæ vulgaris, aliquem de Dei judicio interrogatum tam audacter tamque temere respondere audere, neque eum, cui sermonis dispensandi partes traditæ sunt, indicare: qui cum sit omnino fidelis ac prudens dispensator, et ad spiritualem escam in tempore distribuendam electus est [48], et, ut scriptum est [49], ad suos sermones in judicio dispensandos. Quodsi quidpiam fugiat eum qui respondere debet, noverit vero alter, non statim ipsum redarguere festinet, sed privatim quod sibi visum est, suggerat. Hæc enim causa est inferioribus, efferendi se adversum superiores. Quare etiamsi quis responderit utiliter, sed præter officium, pœnis perturbatæ disciplinæ obnoxius est.

[47] I Cor. XIV, 23. [48] Luc. XII, 42. [49] Psal. CXI, 5.

(74) Veteres duo libri Κἂν ὑπὸ ἀγνοίας δὲ ἄλλῳ προσάγῃ τὰς ἐπερωτήσεις ὁ ἐπιδημήσας, κἂν ἔχῃ ἀποκρίνασθαι. Ibidem Reg. tertius et editi τὸ ἀνενδεές. Alii tres mss. ἀνενδεῶς. Codex Voss. κἂν.... προσάγει.... ὁ ἐπιδημήσας ἀνενδεῶς.

(75) Reg. primus, et, ut solet, Voss. et Colb. τοῦτο ἐπιτεταγμένον.

(76) Reg. primus et Voss.: Εἰ γὰρ ἐν ταῖς τοῦ σώματος χρείαις τοσαύτη ἐστὶν ἡ εὐταξία, καὶ οὐκ ἄν τις ἕλοιτο χειρουργεῖν ἐπιχειρῆσαι τῆς ἰατρικῆς ἄπειρος, ἀλλ' οὐδὲ ἄρτον ἤ τι τοιοῦτον αἰτηθεὶς παρά τινος, ἐπαισχύνεται παραπέμψαι τὸν αἰτήσαντα πρὸς τὸν ἐγκεχειρισμένον τὴν τοιαύτην οἰκονομίαν· πόσης ἂν εἴη τῆς αὐθαδείας τὸν ἐπερωτηθέντα κρῖμα Θεοῦ; *Etenim, si in corporis necessitatibus disciplina tam diligens servatur, et si is qui artis medicæ expers est, nunquam chirurgi munere fungi aggreditur: imo* D *vero, si panem aut quid ejusmodi aliquis petierit, haud pudet remittere poscentem ad illum cui dispensatio ejusmodi concredita sit, quantæ arrogantiæ fuerit*, etc. Alii tres mss. et editi ita, ut in contextu legi potest.

(77) Codex Colb. ἐκλελεγμένως. Aliquanto post duo mss. cum Voss. καὶ μὴ ὑποδεικνύειν.

(78) Reg. primus ἐξείλεκται εἰς τό. Codex Voss. et Colb. ἐξήλεκται, corrupte, pro ἐξείλεκται. Nec ita multo post hi quos mox nominavi libri τοὺς λόγους τοῦ Κυρίου ἐν κρίσει εἴς τε θεραπείαν καὶ εἰς τὸν καταρτισμὸν τῆς ἑκάστου ψυχῆς. Κἂν διαφ. *Ut dispenset Domini sermones in judicio ad curandam perficiendamque animam cujusque.*

(79) Codex Colb. ὑποβαλέτω. Haud longe duo mss. ὥστε, εἰ καὶ χρησίμως. Ibidem duo mss. ἐπιβαλλόντως. Liber Voss. ἐκβαλλόντως.

393 INTERROGATIO XLVI.

Quod non debet quisquam fratri aut sibi ipsi peccata occultare.

RESPONSIO.

Peccatum omne præfecto declarari oportet, sive ab eo ipso qui peccavit, sive ab iis qui conscii sunt, si ipsi non possint mederi, uti a Domino præceptum est. Enimvero vitium silentio dissimulatum morbus est in animo oblitescens. Ut igitur eum de nobis bene meritum esse non dixerimus, qui exitiosa mala in corpore includeret, sed eum potius, qui ea afficiendo dolore, et incidendo proferret in apertum, ut aut per vomitum rejiceretur quod noxium est, aut tandem morbo jam detecto, modus curandi facile cognosceretur; ita utique peccatum occultare, est consciscere mortem ægrotanti. *Nam*, inquit, *stimulus mortis, peccatum*[80]. *Objurgationes autem apertæ meliores sunt amicitia abscondita*[81]. Itaque alter alteri non occultet peccatum, ut ne fratricida pro fratris amatore evadat, neque ipse sibiipsi. *Qui enim*, inquit, *non medetur sibi in operibus suis, frater est perdentis se ipsum*[82].

INTERROGATIO XLVII.

De iis qui non admittunt ea quæ a præposito constituta sunt.

RESPONSIO.

Cum quis præpositi statuta non admittit, debet aperte vel privatim ei contradicere, si modo suppetat ipsi valida aliqua ratio, eaque Scripturis consentanea, vel silentio mandatum conficere. Quodsi eum pudeat, ad hoc adhibeat alios quosdam internuntios, ut, si hoc mandatum Scripturæ adversetur, ipse et seipsum et suos fratres a noxa eximat: sin autem liqueat illud a recta ratione alienum non esse, se a vana ac periculosa inquisitione liberet. *Qui enim hæsitat*, inquit, *si manducaverit, condemnatus est: quia non ex fide*[83]: et ut simplicioribus nullam infringendæ obedientiæ occasionem det. *Expedit enim*, inquit Dominus, *ut suspendatur mola asinaria circa collum ejus, et projiciatur in mare, quam ut scandalizet unum de pusillis istis*[84]. Quod si quipiam perseveraverint in contumacia, clanculum quidem queribundi, sed non detegentes tamen mœrorem, tanquam disceptationis inter fratres exortæ auctores, et perinde ac si certissimam mandatorum auctoritatem concussissent, essentque

A ΕΡΩΤΗΣΙΣ ΜϚ'.

Περὶ τοῦ μὴ συγκρύπτειν ἁμαρτήματα ἀδελφῷ ἢ ἑαυτῷ.

ΑΠΟΚΡΙΣΙΣ

Πᾶν δὲ ἁμάρτημα ἀναφέρεσθαι δεῖ (80) τῷ προεστῶτι, ἢ παρ' αὐτοῦ τοῦ ἡμαρτηκότος, ἢ παρὰ τῶν συνεγνωκότων, ἐὰν αὐτοὶ θεραπεῦσαι μὴ δυνηθῶσι, κατὰ τὸ ὑπὸ τοῦ Κυρίου προστεταγμένον. Κακία γὰρ σιωπηθεῖσα νόσος ὕπουλός (81) ἐστιν ἐν τῇ ψυχῇ. Ὡς οὖν οὐκ ἂν εἴποιμεν εὐεργέτην τὸν ἐγκατακλείοντα τῷ σώματι τὰ ὀλέθρια, ἀλλὰ μᾶλλον τὸν διὰ ὀδύνης καὶ ἀμύξεως εἰς τὸ φανερὸν ἕλκοντα, ὥστε ἢ διὰ ἐμέτου ἀποῤῥίψαι τὸ βλάπτον, ἢ καθόλου διὰ τῆς τοῦ πάθους φανερώσεως εὔγνωστον ὑπάρξαι τὸν τρόπον τῆς θεραπείας· οὕτω, δηλονότι, καὶ τὸ κρύπτειν
B ἁμαρτίαν συγκατασκευάζειν ἐστὶ τῷ νοσοῦντι τὸν θάνατον. *Κέντρον γὰρ*, φησὶ, *τοῦ θανάτου ἡ ἁμαρτία. Κρείσσους δὲ* (82) *ἔλεγχοι μετὰ παῤῥησίας κρυπτομένης φιλίας*. Μήτε οὖν ἄλλος ἄλλῳ συγκρυπτέτω, ἵνα μὴ ἀδελφοκτόνος ἀντὶ φιλαδέλφου γένηται, μήτε αὐτὸς ἑαυτῷ. *Ὁ γὰρ μὴ ἰώμενος*, φησὶν, *ἑαυτὸν ἐν τοῖς ἔργοις αὐτοῦ ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν*.

ΕΡΩΤΗΣΙΣ ΜΖ'.

Περὶ τῶν μὴ καταδεχομένων τὰ παρὰ τοῦ προεστῶτος τυπούμενα.

ΑΠΟΚΡΙΣΙΣ

Τὸν δὲ μὴ καταδεχόμενον τὰ παρὰ τοῦ προεστῶτος ἐγκριθέντα (83) χρὴ φανερῶς ἢ ἰδίᾳ αὐτῷ ἀντιλέγειν,
C εἴ τινα ἔχοι λόγον ἰσχυρὸν κατὰ τὸ βούλημα τῶν Γραφῶν, ἢ σιωπήσαντα τὸ προστεταγμένον ποιεῖν. Εἰ δὲ αὐτὸς αἰσχύνοιτο (84), ἄλλοις τισὶ μεσίταις πρὸς τοῦτο χρησάσθω, ἵνα, εἰ μὲν παρὰ τὴν Γραφὴν εἴη ἡ διαταγὴ, ἐξέληται (85) καὶ αὐτὸς ἑαυτὸν καὶ τοὺς ἀδελφοὺς βλάβης· εἰ δὲ δειχθείη κατὰ λόγον τὸν προσήκοντα γενομένη, καὶ ἑαυτὸν διακρίσεως ματαίας καὶ ἐπικινδύνου ἐλευθερώσῃ. *Ὁ γὰρ διακρινόμενος*, φησὶν, *ἐὰν φάγῃ, κατακέκριται· ὅτι οὐκ ἐκ πίστεως*· καὶ τοῖς ἁπλουστέροις μηδένα (86) δυσπειθείας ὄλισθον ἐμποιήσῃ. *Συμφέρει γὰρ*, φησὶν ὁ Κύριος, *ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἐῤῥιπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων*. Ἐὰν δέ τινες ἐπιμένωσι (87) τῇ ἀπειθείᾳ, λάθρα μὲν κα-
D ταμεμφόμενοι, μὴ δημοσιεύοντες δὲ τὴν λύπην, ὡς καὶ διακρίσεως αἴτιοι τῇ ἀδελφότητι, καὶ τὴν πρὸς τὰς ἐντολὰς πληροφορίαν διασαλεύοντες, καὶ δυσπει-

[80] 1 Cor. xv, 56. [81] Prov. xxvii, 5. [82] Prov. xviii, 9. [83] Rom. xiv, 23. [84] Matth. xviii, 6.

(80) Antiqui duo libri Πᾶν ἁμάρτημα ἀναφέρεσθαι χρή. Mox Colb. παρὰ τῶν ἀνεγνωκότων.

(81) Reg. primus et Voss. et Colb. νόσος γίνεται ἀθεράπευτος, (*vitium silentio absconditum*) *morbus fit insanabilis*. Ibidem Colb. εἴποιμεν εὐεργετεῖν τόν.

(82) Codex Colb. Κρείσσους γάρ. Aliquanto post idem ms. ἔργοις ἑαυτοῦ.

(83) Editiones veteres et Reg. secundus προεστῶτος διαπεπραγμένα. Reg. primus et Voss. et Colb. ἐγκριθέντα. Hoc ipso in loco voculam ἢ ex tribus illis quos mox dixi libris addidi. Codex Voss. pro βούλημα habet βούλευμα.

(84) Veteres duo libri cum Voss. αἰσχύνεται.

(85) Codex Voss. ἐξελεῖται. Mox idem ms. et tres alii ἀδελφοὺς βλάβης. Editiones veteres et Reg. secundus ἀδελφοὺς ἀβλαβεῖς. Ibidem Reg. primus εἰ δὲ δειχθείη κατὰ τὸν λόγον τὸν προσήκοντα γινομένη.

(86) Antiqui duo libri pro μηδένα habent οὐδένα.

(87) Unus ms. ἐπιμείνωσι. Nec ita multo infra duo mss. cum Voss. μὴ δημοσιεύοντες δὲ τὴν γνώμην, *animum suum non aperientes*

θείας καὶ παρακοῆς διδάσκαλοι, ἐκβαλλέσθωσαν τῆς ἀδελφότητος. *Ἔκβαλλε γὰρ* (88), φησὶ, *λοιμὸν ἐκ συνεδρίου, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος·* καὶ πάλιν· *Ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. Διότι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.*

rebellionis et inobedientiæ magistri, e fratrum conventu amandentur. *Ejice enim,* inquit, *pestilentem ex concilio, et exibit cum eo jurgium* [85]. Et rursus: *Expellite pravum a vobis ipsis. Nam paululum fermenti totam conspersionem fermentat* [86].

ΕΡΩΤΗΣΙΣ ΜΗ'.

Ὅτι οὐ δεῖ (89) *περιεργάζεσθαι τὰς οἰκονομίας τοῦ προεστῶτος, τῷ δὲ ἰδίῳ προσέχειν ἔργῳ.*

ΑΠΟΚΡΙΣΙΣ.

Ὑπὲρ δὲ τοῦ μὴ ῥᾳδίως τινὰ (90) τῷ τοιούτῳ πάθει τῆς διακρίσεως εἰς βλάβην ἑαυτοῦ καὶ τῶν ἑτέρων περιπίπτειν, ἐκεῖνο καθόλου παραφυλακτέον ἐν ἀδελφότητι, τὸ τὴν ἀρχὴν μηδένα τὰς τοῦ προεστῶτος οἰκονομίας περιεργάζεσθαι, μηδὲ πολυπραγμονεῖν τὰ γινόμενα ἐκτὸς τῶν ἐγγυτέρων τοῦ προεστῶτος καὶ βαθμῷ καὶ συνέσει· οὓς καὶ εἰς τὴν περὶ τῶν κοινῶν βουλήν τε καὶ σκέψιν ἀναγκαίως παραλήψεται (91), πειθόμενος τῇ παραινέσει τοῦ εἰπόντος· *Μετὰ βουλῆς πάντα ποίει.* Εἰ γὰρ τῶν ψυχῶν ἡμῶν ἐπετρέψαμεν αὐτῷ τὴν οἰκονομίαν, ὡς Θεῷ τὸν λόγον δώσοντι, ἀλόγιστον παντελῶς περὶ τῶν εὐτελεστάτων ἀπιστεῖν, καὶ ὑποψιῶν ἀτόπων κατὰ τοῦ (92) ἀδελφοῦ αὐτόν τε πληροῦσθαι, καὶ τοῖς ἄλλοις ἀφορμὴν παρέχειν. Διόπερ, ἵνα μὴ τοῦτο συμβαίνῃ, ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω· καὶ τῇ φροντίδι τῶν αὐτῷ ἐπιβαλλόντων ὅλον ἑαυτὸν ἀποδοὺς, μηδὲν τὰς ἄλλας (93) οἰκονομίας περιεργαζέσθω, μιμούμενος τοὺς ἁγίους μαθητὰς τοῦ Κυρίου, ἐφ' ὧν, καίτοι τοῦ πράγματος τοῦ κατὰ τὴν Σαμαρεῖτιν εἰς ὑποψίαν ἀγαγεῖν δυναμένου, ὅμως *Οὐδεὶς,* φησὶν, *εἶπε· Τί ζητεῖς, ἢ τί λαλεῖς μετ' αὐτῆς;*

INTERROGATIO XLVIII.

Quod præpositi agendi ratio non est curiose examinanda, sed suo quisque operi intentus esse debet.

RESPONSIO.

Cæterum ne quis facile in hoc disceptationis ac contentionis vitium incidat, ad suum et aliorum detrimentum, illud in universum inter fratres observandum est, ut initio nullus investiget curiose præfecti agendi rationem, neque eorum, quæ fiunt, satagat, iis solum exceptis, qui tum gradu, tum prudentia ipsi præposito sunt proximi; quos etiam necessario ad consilium ac deliberationem de rebus communibus faciendam adhibebit, obsecutus hortamento illius, qui dixit: *Omnia fac cum consilio* [87]. Cum enim ei animas nostras gubernandas commiserimus, tanquam Deo de his rationem reddituro; abs re omnino fuerit in rebus vilissimis ipsi fidem non adhibere, et absurdis ineptisque contra fratrem suspicionibus et nos ipsos repleri, et aliis earumdem occasionem præbere. Ne igitur id contingat, unusquisque ad quod vocatus est, in eo permaneat: et ita totum se in rerum ad se pertinentium cura occupet, ut in inquirendis aliorum negotiis nullo modo sollicitus sit, sed sanctos Domini discipulos imitetur, inter quos, cum res ipsa quæ de Samaritana narratur, quandam posset injicere suspicionem: Nihilominus tamen, inquit, *nemo dixit: Quid quæris, aut quid loqueris cum ea* [88]?

ΕΡΩΤΗΣΙΣ ΜΘ'.

Περὶ τῶν ἀμφισβητουμένων ἐν τῇ ἀδελφότητι.

ΑΠΟΚΡΙΣΙΣ.

Περὶ δὲ τῶν ἀμφισβητουμένων ἐν τῇ ἀδελφότητι, ὅταν ἀσύμφωνοί τινες ὦσι περί τινος πράγματος, οὐ χρὴ φιλονείκως ἀλλήλοις ἀντιτείνειν, ἀλλὰ ταμιεύεσθαι τοῖς δυνατωτέροις τὴν ἐπίκρισιν. Ὥστε δὲ μήτε τὴν τάξιν συγχεῖσθαι, πάντων ἐπερωτώντων, καὶ πάντοτε, μήτε ἀφορμὴν (94) ἐρεσχελίας καὶ φλυαρίας ἐγγίνεσθαι, ἕνα τινὰ εἶναι χρὴ τὸν δοκιμασθέντα, δυνατῶς ἔχειν ἢ εἰς κοινὴν ἐπίσκεψιν προτιθέναι (95) τῇ ἀδελφότητι τὰ παρά τισιν ἀμφιβαλλόμενα, ἢ τῷ προέχοντι ἀνατίθεσθαι. Ἀκολουθοτέρα γὰρ καὶ ἐπιστημονικωτέρα ἡ διάσκεψις οὕτω τῶν

INTERROGATIO XLIX.

De iis quæ in controversiam veniunt inter fratres.

RESPONSIO.

De controversiis autem quæ inter fratres oriuntur, illud statuendum est. Quotiescunque dissident aliqui inter se de re aliqua, non oportet contentiose inter se colluctari, sed ad aliquos magis idoneos judicium transferre. Quare ne ordo confundatur, omnibus interrogantibus, et semper, neve garriendi et nugandi detur occasio, unum aliquem esse oportet approbatum, qui possit ea de quibus nonnulli ambigunt, aut communi fratrum examini proponere, aut ad præfectum referre. Ita enim rectius et magis scite quæsita expendentur. Etenim si

[85] Prov. XXII, 10. [86] I Cor. V, 13, 6. [87] Eccli. XXXII, 24. [88] Joan. IV, 27.

(88) Reg. primus Ἔκβαλε γάρ. Statim idem ms. et Voss. Ὅτι ἐξάρατε.

(89) In antiquis duobus libris legitur ὅτι δεῖ μή.

(90) Vox τινά ex Vossii codice et ex aliis duobus addita est. Ibidem iidem illi mss. πάθει τῆς πρὸς τὸν ἔφορον διακρίσεως. Illud, πρὸς τὸν ἔφορον, deest et in editis et in duobus aliis codicibus; nec valde admodum dubito quin hæ voces melius absint, cum vox ἔφορος facile ex orationis serie suppleri possit.

(91) Unus ms. ἀναγκαίως περιλήψεται, non ita recte. Paulo post Reg. primus et Voss. Εἰ γὰρ περὶ τῶν. Subinde duo mss. παντελῶς καί.

(92) Codex Colb. κατὰ τοῦ προεστῶτος, *in præpositum.* Alii tres mss. et editi κατὰ τοῦ ἀδελφοῦ. Pro voce αὐτόν, quæ proxime sequitur, suspicor legi debere αὐτούς, hoc est, ἡμᾶς.

(93) Unus ms. μηδὲ τὰς ἄλλας. Aliquanto post Reg. primus ὑποψίαν ἄγειν.

(94) Reg. primus καὶ πάντοτε μὲν ἀφορμήν. Codex Voss. πάντοτε μέν τε ἀφορμήν.

(95) Reg. primus et Colb. προτιθέντα.... ἀνατιθέμενον· quæ ultima vox reperitur quoque in Vossii codice.

in unoquoque negotio scientia atque experientia opus est, multo magis in ejusmodi rebus. Et si instrumentorum usum nemo inexpertis committat, multo magis operæ pretium fuerit sermonis tractationem **395** peritis concedere : qui possint et locum et tempus et interrogandi modum dignoscere, atque citra contentionem, tum prudenter quærendo, tum sapienter auscultando, controversiarum enodationem ad communitatis ædificationem summa cum diligentia servare.

INTERROGATIO L.

Quomodo præpositus increpare et objurgare debeat.

RESPONSIO

Cæterum præpositus delinquentes non objurget, aliqua animi commotione impulsus. Nam redarguere fratrem cum indignatione et ira non est illum a peccato liberare, sed se ipsum delictis obstringere. Quamobrem dixit : *In mansuetudine corripiat eos qui resistunt* [59]. Neque, si in contemptum veniat alicui, ob id præbere se vehementem debet : ubi vero alium contemni viderit, erga eum qui deliquit declaret se benignum ac indulgentem, quin potius tunc in ipsum peccatum invehatur. Ita enim et suspicionem a se illam hominis seipsum immodice amantis submovebit, et planissime se non peccantem odisse, sed peccatum aversari declarabit, qui scilicet diverse se gerat in sua, et in alterius causa. Quod si indignatur non eo quem dixi modo, sed diverso, præ se fert, se neque propter Deum, neque propter delinquentis periculum, sed ob suæ gloriæ cupiditatem, aut imperitandi studium indignari. Oportet enim studium quidem pro Dei gloria, cui violatione mandati infertur injuria, ostendi : misericordiam vero fraterno amore dignam, pro fratris salute, qui in peccato periclitatur (quia *Anima quæ peccaverit, ipsa morietur* [60]), in quovis peccato tanquam in peccatum incitari, et in eo acriter vindicando animi fervorem commonstrare.

INTERROGATIO LI.

Quomodo delictum illius qui peccavit, corrigendum sit.

RESPONSIO.

De reliquo corrigat male affectos ad modum medicorum, non irascens debilibus, sed pugnans adversus morbum : imo vero insurgat in vitia, atque severiore disciplina, si opus est, morbum animæ sanet, exempli causa, vanam gloriam, injungendis humilitatis exercitiis : otiosos sermones silentio : immodicum somnum, vigiliis in precando insumen-

A ζητουμένων γενήσεται. Εἰ γὰρ ἑκάστῳ (96) πράγματι ἐπιστήμης καὶ ἐμπειρίας χρεία, πολλῷ πλέον ἐν τοῖς τοιούτοις. Καὶ εἰ ἐργαλείων χρῆσιν οὐκ ἄν τις ἐπιτρέψειεν ἀπείροις, πολλῷ μᾶλλον χρὴ τὴν τῶν λόγων μεταχείρισιν τοῖς δυνατοῖς συγχωρεῖν· οἳ καὶ τόπον καὶ καιρὸν καὶ τρόπον τῶν ἐπερωτήσεων ἱκανοὶ ἔσονται διαγινώσκειν, ἀφιλονείκως τε καὶ φρονίμως ἀντιθέντες, καὶ συνετῶς ἀκούοντες, ἀκριβῶς φυλάσσειν τῶν ἐπιζητηθέντων τὰς λύσεις πρὸς οἰκοδομὴν τοῦ κοινοῦ.

ΕΡΩΤΗΣΙΣ Ν'.

Πῶς χρὴ ἐπιτιμᾷν τὸν προεστῶτα.

ΑΠΟΚΡΙΣΙΣ.

Ἀλλὰ καὶ τὰς ἐπιτιμήσεις μὴ ἐμπαθῶς τοῖς ἡμαρ- B τηκόσιν ὁ προεστὼς προσαγέτω. Τὸ γὰρ μετὰ θυμοῦ καὶ ὀργῆς ἐλέγχειν τὸν ἀδελφὸν οὐχὶ ἐκεῖνόν ἐστιν ἁμαρτίας ἐλευθερῶσαι, ἀλλ' ἑαυτὸν περιβαλεῖν (97) πλημμελήμασι. Διόπερ φησίν· *Ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους*· μηδὲ ἐν οἷς μὲν ἂν αὐτὸς παροφθῇ, σφοδρὸν εἶναι, ἐν οἷς δὲ ἂν ἄλλον καταφρονούμενον ἴδῃ, τὴν πρὸς τὸν ἡμαρτηκότα χρηστότητα ἐπιδείκνυσθαι (98)· ἀλλὰ καὶ μᾶλλον δυσχεραίνειν ἐπὶ τῷ κακῷ τότε. Οὕτω γὰρ τῆς τε φιλαυτίας τὴν ὑποψίαν ἐκφεύξεται, καὶ ἀπόδειξιν δώσει τοῦ μὴ τὸν ἡμαρτηκότα μισεῖν, ἀλλὰ τὴν ἁμαρτίαν ἀποστρέφεσθαι, τῇ διαφορᾷ τῇ ἑαυτοῦ πρὸς τὸν ἕτερον. Διαφορὰν δὲ ἀγανακτήσεως ποιούμενος, μὴ τὴν εἰρημένην, ἀλλὰ τὴν ἐναντίαν, φανερός ἐστιν (99) ὅτι οὔτε διὰ τὸν Θεὸν οὔτε διὰ τὸν κίνδυνον τοῦ ἡμαρ- C τηκότος, ἀλλὰ διὰ τὴν ἑαυτοῦ φιλοδοξίαν ἢ φιλαρχίαν ἀγανακτεῖ. Χρὴ γὰρ, ζῆλον μὲν ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης ἀτιμαζομένου ἐν τῇ τῆς ἐντολῆς παραβάσει ἐπιδεικνύμενον, εὐσπλαγχνίαν δὲ φιλαδελφίας ὑπὲρ τῆς τοῦ ἀδελφοῦ σωτηρίας ἔχοντα κινδυνεύοντος ἐν τῇ ἁμαρτίᾳ (ὅτι *Ἡ ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται*), ἐπὶ παντὸς ἁμαρτήματος ὡς κατὰ ἁμαρτήματος κινεῖσθαι, καὶ τῇ σφοδρότητι τῆς ἐκδικήσεως δεικνύειν τὸ διάπυρον τῆς διαθέσεως (1).

ΕΡΩΤΗΣΙΣ ΝΑ'.

Ποίῳ τρόπῳ δεῖ (2) διορθοῦσθαι τὸ πλημμέλημα τοῦ ἡμαρτηκότος.

ΑΠΟΚΡΙΣΙΣ.

Καὶ τὰς διορθώσεις δὲ κατὰ τὸν τῆς ἰατρείας λό- D γον προσαγέτω τοῖς ἐμπαθέσι, μὴ ὀργιζόμενος τοῖς ἀσθενοῦσιν (3), ἀλλὰ τῇ νόσῳ μαχόμενος, καὶ ἀπεναντίον μὲν ἱστάμενος πρὸς τὰ πάθη, δι' ἐπιπονωτέρας δὲ, εἰ δέοι, διαγωγῆς ἰώμενος τὸ ἀῤῥώστημα τῆς ψυχῆς· οἷον τὴν κενοδοξίαν τοῖς ἐπιτάγμασι τῶν (4) τῆς ταπεινοφροσύνης ἐπιτηδευμάτων· τὴν

[59] II Tim. II, 25. [60] Ezech. XVIII, 4.

(96) Reg. primus ἐν ἑκάστῳ.
(97) In Colbertino pro περιβαλεῖν legitur ἐπιβάλλειν. Mox Reg. primus ἐν πραότητι παιδεύοντες.
(98) Reg. primus et Voss. et Colb. μακροθυμίαν ἐπιδείκνυσθαι, sensu non impari.
(99) Codex Voss. φανερόν ἐστιν.
(1) Idem ms. et alii duo διάπυρον τῆς διορθώσεως, *ostendenda est vehementia correctionis.*

(2) Unus ms. Πῶς δεῖ.
(3) Reg. primus et Voss. et Colb. τοῖς ἀσθενέσιν. Mox duo mss. καὶ ἀπεναντίως. Subinde tres mss. ἀγωγῆς ἰώμενος. Ibidem tres illi quos sæpius simul nominavi codices Reg. primus et Voss. et Colb. pro ἀῤῥώστημα habent πάθος.
(4) Sic Voss. et Colb. et Reg. primus. Alii duo mss. et editi κενοδοξίαν τῇ ἐπιτάσει τῶν τῆς, auct[illegible] *humilitatis exercitationibus.*

ἀργολογίαν τῇ σιωπῇ· ὕπνον ἄμετρον διὰ τῆς ἐν προσευχαῖς (5) ἀγρυπνίας· ἀργίαν σώματος διὰ τῶν κόπων· βρῶσιν ἀπρεπῆ διὰ τῆς ἀσιτίας· γογγυσμὸν διὰ τοῦ ἀφορισμοῦ, ὥστε μήτε συνεργάζεσθαι (6) αὐτῷ τινα τῶν ἀδελφῶν ἐλέσθαι, μήτε τὸ παρ' αὐτοῦ ἔργον ἀναμιγνύναι τοῖς ἄλλων, καθὰ προείρηται, πλὴν εἰ μὴ ἄρα διὰ τῆς ἀνεπαισχύντου μετανοίας ἀπαλλαγεὶς τοῦ πάθους φανείη (7). Καὶ τότε τὴν ἐν τῷ γογγυσμῷ γενομένην ἐργασίαν προσδέχεσθαι· μηδὲ οὕτως εἰς ὑπηρεσίαν τῆς τῶν ἀδελφῶν χρήσεως, ἀλλ' εἰς ἑτέραν χρείαν οἰκονομοῦντας. Καὶ τούτων ὁ λόγος ἀρκούντως προαποδέδεικται.

A dis : segnitiem corporis, labore : edacitatem indecoram, jejunio : murmurationem, separatione a reliquis, sic ut neque ex fratribus quisquam velit cum eo operari, neque ipsius opus cæterorum operibus **398** admiscere, sicut supra dictum est, nisi exacta citra pudorem pœnitentia appareat eum hoc vitio liberatum esse. Tunc enim opus, quod inter murmurandum confectum fuerit, admitti poterit : et tamen ne sic quidem inserviat fratrum usui, sed ad alium usum convertatur. Horum autem ratio in superioribus satis exposita fuit.

ΕΡΩΤΗΣΙΣ ΝΒʹ.

Μετὰ ποίας διαθέσεως καταδέχεσθαι (8) δεῖ τὰ ἐπιτίμια.

ΑΠΟΚΡΙΣΙΣ

B Ὥσπερ δὲ τὸν προεστῶτα εἴπομεν χρῆναι ἀπαθῶς προσάγειν τὰς θεραπείας τοῖς ἀσθενοῦσιν, οὕτω πάλιν χρὴ τοὺς θεραπευομένους μὴ πρὸς ἔχθραν δέχεσθαι τὰ ἐπιτίμια, μηδὲ τυραννίδα νομίζειν τὴν ἀπὸ εὐσπλαγχνίας ἐπὶ σωτηρίᾳ τῆς ψυχῆς προσαγομένην αὐτῷ ἐπιμέλειαν. Αἰσχρὸν γὰρ τοὺς μὲν τὰ σώματα νοσοῦντας τοσοῦτον τοῖς ἰατροῖς καταπιστεύειν, ὥστε, κἂν τέμνωσι, κἂν καίωσι, καὶ πικροῖς τοῖς φαρμάκοις ἀνιῶσιν, εὐεργέτας λογίζεσθαι· ἡμᾶς δὲ πρὸς τοὺς τῶν ψυχῶν ἡμῶν θεραπευτάς, ὅταν δι' ἐπιπόνου ἀγωγῆς τὴν σωτηρίαν ἡμῖν κατεργάζωνται (9), μὴ τὴν αὐτὴν ἔχειν διάθεσιν, τοῦ Ἀποστόλου λέγοντος· *Καὶ τίς ἐστιν ὁ εὐφραίνων με εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;* καὶ πάλιν· *Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν.* C Ὥστε, πρὸς τὸ τέλος ἀποβλέποντα, εὐεργέτην προσήκει κρίνειν τὸν τὴν κατὰ Θεὸν λύπην ἡμῖν ἐμποιοῦντα.

INTERROGATIO LII.

Quo animo irrogatæ pœnæ perferendæ sint.

RESPONSIO.

Quemadmodum autem diximus medelam infirmis a præposito afferendam esse citra ullam animi concitationem : ita vicissim ab iis qui curantur, mulctæ odii loco non sunt accipiendæ, neque cura ea, quæ ex misericordia ad animæ eorum salutem ab ipso adhibetur, ducenda est pro tyrannide. Turpe est enim eos qui ægro corpore sunt, tantum medicis confidere, ut sive secent, sive urant, sive amarulentis medicamentis molestiam creent, ipsos de se bene meritos fuisse putent ; nos vero erga animarum nostrarum medicos, quando disciplina duriore salutem nobis afferunt, non eodem modo affici, cum Apostolus dicat : *Et quis est, qui me lætificet, nisi qui contristatur ex me* [61]? Item : *Ecce enim hoc ipsum, secundum Deum contristari vos, quantam in vobis operatur sollicitudinem* [62]. Quare, habita finis ratione, qui molestiam quæ secundum Deum est, nobis exhibet, beneficus habendus est.

ΕΡΩΤΗΣΙΣ ΝΓʹ.

Πῶς οἱ τῶν τεχνῶν διδάσκαλοι διορθώσονται τοὺς παῖδας πταίοντας.

ΑΠΟΚΡΙΣΙΣ.

(10) Δεῖ μέντοι καὶ τοὺς τὰς τέχνας διδάσκοντας, ὅσα εἰς αὐτὴν τὴν τέχνην ἐξαμαρτάνουσιν οἱ μανθάνοντες, ἐφ' ἑαυτῶν ἐλέγχειν τὸ πλημμέλημα, καὶ ἐπανορθοῦσθαι τὰ σφάλματα (11). Ὅσα δὲ τῶν ἁμαρτημάτων τῆς τοῦ ἤθους διαστροφῆς ἐστι κατηγορήματα, οἷον ἀπείθειαι καὶ ἀντιλογίαι, καὶ ῥαθυ-

INTERROGATIO LIII.

Quomodo ab artium magistris pueri delinquentes corrigendi sint.

RESPONSIO.

Atque etiam oportet artium magistros, si qua in re deliquerint discipuli contra ipsam artem, privatim vitium reprehendere, et errata emendare. Quæcunque vero peccata indicant morum perversitatem, veluti contumacia, contradictio, segnities circa opera, aut otiosus sermo, aut mendacium,

[61] II Cor. II, 2. [62] II Cor. VII, 11.

(5) Reg. primus et Voss. et Colb. διὰ τῆς ἀγρυπνίας καὶ προσευχῆς, *per vigilias et preces*.

(6) Veteres duo libri ὥστε μὴ συνεργάζεσθαι ... μηδὲ τὸ παρ' αὐτοῦ. Statim duo mss. cum Voss. τοῖς τῶν ἄλλων καθὼς προείρηται.

(7) Unus ms. πάθους φανῇ.

(8) In Voss. codice et in Reg. primo legitur Μετὰ ποταπῆς διαθέσεως δέχεσθαι. Ibidem Reg. primus pro δεῖ habet χρή.

(9) Veteres duo libri κατεργάζωνται. Editi κατεργάζονται. Aliquanto post Colb. λέγοντος· Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς, *si enim ego contristo vos, et quis*, etc.

(10) Reg. primus et Voss. : Δεῖ μέντοι καὶ παρὰ τῶν ἐκδιδασκόντων τὰς τέχνας τοὺς καταγνωσθέντας τῶν ἀδελφῶν ἐπὶ τοῦ προεστῶτος ἐλέγχεσθαι, ὥστε αὐτὸν ὁρίζειν τὸ πρέπον ἑκάστῳ ἁμαρτήματι ἐπιτί- D μιον. Οὕτω γὰρ καὶ ὁ ἁμαρτὼν εὐπειθέστερος γίνεται τὸν ἐπὶ τῶν πλειόνων ἔλεγχον αἰσχυνόμενος, καὶ οἱ λοιποὶ ἀσφαλέστεροι πρὸς τὸ μὴ περιπίπτειν τοῖς ὁμοίοις, καὶ ἡ κατάλληλος θεραπεία παρὰ τοῦ ἐμπειροτέρου μᾶλλον προσαχθῆναι δυνήσεται. *Oportet quoque, ut si qua in re fratres deliquerint, ab artium magistris arguantur coram præposito, ut ipse pœnam cuique delicto convenientem constituat. Hoc enim modo ut is qui deliquit, ad obediendum paratior efficitur, quem scilicet pudeat ejus quæ coram pluribus fit reprehensionis : ita reliqui cautiores reddentur, ne et ipsi incidant in similia, atque medela aptior a peritiore adhiberi poterit.* In Vossii codice deest quidem hoc loco hæc interrogatio ; sed inter *Regulas breviores* reperitur. Deest et in Reg. primo.

(11) Unus ms. τὰ ἁμαρτήματα.

aut quidpiam aliud ejusmodi, quod piis interdictum sit, ea oportet ad communis disciplinæ moderatorem referre, et coram eo redarguere, ut ipse et mensuram et modum quibus peccata sanentur, excogitet. Si enim objurgatio est animæ curatio, non est cujuslibet objurgare, sicut nec mederi, nisi si præfectus ipse, multo adhibito examine, id cuipiam permiserit.

397 INTERROGATIO LIV.

Quod ii qui præficiuntur fratrum conventibus, de negotiis suis inter se colloqui debent.

RESPONSIO.

Operæ pretium est autem, fratrum præfectos nonnunquam statis quibusdam temporibus et locis in unum convenire: in quibus res præter rationem occurrentes, moresque tractatu difficiles, et quomodo singula gesserint, sibi invicem exponant, ut si quis in aliquo deliquerit aliquando, id certissime detegatur multorum judicio, contraque, si quid recte factum sit, id plurium testimonio confirmetur.

INTERROGATIO LV.

An medicinæ usus pietatis instituto conveniat.

RESPONSIO

1. Quemadmodum singulæ artes subsidii loco ob naturæ debilitatem nobis a Deo concessæ sunt, velut agricultura, quod ea quæ sua sponte e terra gignuntur, non essent satis ad necessitates sublevandas, textoria vero, quod necessarius esset indumentorum usus tum ad decorum, tum ad arcendas aeris injurias, pariterque ars domorum exstruendarum: ita et ars medica data est. Cum enim corpus nostrum, utpote morbis obnoxium, variis incommodis, tum extrinsecus advenientibus, tum intrinsecus ab alimentis proficiscentibus subjaceat, et modo redundantia, modo defectu affligetur, ars medica pro exemplo medelæ ejus, quæ animo curando adhibenda sit, nobis a totius vitæ nostræ moderatore Deo concessa est, cujus ductu quod superfluum est rescinderetur, et quod deest, adjiceretur. Ut enim si essemus in paradiso voluptatis, nihil industria et labore indigeremus: ita quoque, si a morbis essemus immunes, uti ante lapsum, cum primum res creatæ sunt, fuerat concessum, nullo medicinæ subsidio nobis ad levamen opus esset. Sed quemadmodum posteaquam expulsi sumus in hunc locum, et audivimus illud: *In sudore vultus tui vesceris pane tuo* [63], tunc facta

[63] Gen. III, 19.

A μία (12) περὶ τὰ ἔργα, ἢ ἀργολογία, ἢ ψεῦδος, ἢ ἄλλο τι τῶν τοιούτων ἀπειρημένων τοῖς εὐσεβέσιν, ἐπὶ τὸν ἔφορον τῆς κοινῆς εὐταξίας ἄγοντας δεῖ ἐλέγχειν, ὥστε παρ' αὐτοῦ καὶ τὸ μέτρον καὶ τὸν τρόπον τῆς ἰάσεως τῶν ἁμαρτημάτων ἐπινοεῖσθαι. Εἰ γὰρ ἰατρεία ψυχῆς ἐστιν ἡ ἐπιτίμησις, οὐ παντός ἐστιν ἐπιτιμᾷν, ὡς οὐδὲ τὸ ἰατρεύειν, πλὴν ἐὰν μή τινι αὐτὸς ὁ προεστὼς ἐπιτρέψῃ μετὰ δοκιμασίας πλείονος.

ΕΡΩΤΗΣΙΣ ΝΔ'

Περὶ τοῦ δεῖν (13) τοὺς προεστῶτας τῆς ἀδελφότητος ἀλλήλοις τὰ καθ' ἑαυτοὺς ἀνατίθεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Ἀγαθὸν δέ ποτε καὶ συνέδριον (14) κατά τινας B ὡρισμένους καιροὺς καὶ τόπους τῶν ἐπιτεταγμένων ταῖς ἀδελφότησι γίνεσθαι· καθ' οὓς τά τε παρὰ λόγον ἀπαντήσαντα πράγματα, καὶ τῶν ἠθῶν τὰ δυσμεταχείριστα, καὶ ὅπως διέθηκαν ἕκαστον, ἀναθήσονται ἀλλήλοις, ὥστε καὶ τὸ ἐσφαλμένως ποτὲ γενόμενόν τινι τῇ κρίσει τῶν πολλῶν ἀξιοπίστως ἀποκαλυφθῆναι, καὶ τὸ κατορθωθὲν τῇ μαρτυρίᾳ τῶν πλειόνων βεβαιωθῆναι

ΕΡΩΤΗΣΙΣ ΝΕ'.

Εἰ τοῖς ἐκ τῆς ἰατρικῆς κεχρῆσθαι κατὰ σκοπόν ἐστι τῆς εὐσεβείας (15).

ΑΠΟΚΡΙΣΙΣ.

1. Ὥσπερ ἑκάστη τῶν τεχνῶν βοήθεια ἡμῖν πρὸς τὸ τῆς φύσεως ἀσθενὲς ὑπὸ τοῦ Θεοῦ κεχάρισται, οἷον γεωργία μὲν, ἐπειδὴ οὐκ ἐξαρκεῖ τὰ αὐτομάτως ἐκ C τῆς γῆς φυόμενα πρὸς τὴν τῶν χρειῶν παραμυθίαν· ὑφαντικὴ δὲ, ἐπειδὴ ἀναγκαία ἡ τῶν σκεπασμάτων χρεία πρός τε τὸ εὔσχημον καὶ τὰς ἀπὸ τοῦ ἀέρος βλάβας, καὶ οἰκοδομικὴ ὁμοίως (16)· οὕτω καὶ ἰατρική. Ἐπειδὴ τὸ ἐμπαθὲς ἡμῶν σῶμα ποικίλαις βλάβαις, ταῖς τε ἔξωθεν προσπιπτούσαις καὶ ταῖς ἔνδοθεν ἀπὸ τροφῶν συνισταμέναις, ὑπόκειται, καὶ πλεονασμοῖς καὶ ἐλλείψεσι καταπονεῖται, ἡ ἰατρικὴ τέχνη εἰς τύπον τῆς κατὰ ψυχὴν θεραπείας τὴν ἀπόθεσιν τοῦ περισσοῦ, καὶ τὴν τοῦ λείποντος πρόσθεσιν ὑποτιθεμένη ὑπὸ τοῦ πᾶσαν ἡμῖν τὴν ζωὴν οἰκονομοῦντος Θεοῦ συγκεχώρηται. Ὥσπερ γὰρ, εἰ ἦμεν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, οὐδὲν ἂν ἐπινοίας καὶ μόχθου γεωργικοῦ ἐπεδεήθημεν· οὕτω καὶ D εἰ ἐν ἀπαθείᾳ ἦμεν κατὰ τὸ πρὸ τοῦ παραπτώματος ἐν τῇ δημιουργίᾳ χάρισμα, οὐδενὸς ἂν τῶν ἐξ ἰατρικῆς πρὸς παραμυθίαν (17) ἐχρῄζομεν. Ἀλλ' ὥσπερ μετὰ τὸ ἐξορισθῆναι εἰς τὸν τόπον τοῦτον, καὶ ἀκοῦσαι τὸ, *Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου*, τότε τῇ μακρᾷ πείρᾳ καὶ τῇ περὶ τὴν γῆν ταλαιπωρίᾳ τῆς γεωργίας τὴν τέχνην συνεστητόν, etc.

(12) Codex Colb. ἀπείθεια καὶ ἀντιλογία καὶ ῥαθυμία. Mox idem ms. τῶν ἀπηγορευμένων τοῖς εὐσεβέσιν.

(13) Ex Colbertino verbum δεῖν additum est. Ibidem idem ms. ταῖς ἀδελφότησι.

(14) Hic ipse quem mox dixi liber Ἀκόλουθον δέ ποτε καὶ συνέδρια. Mox idem ms. γίνεσθαι κἀκεῖσε τὰ παρὰ λόγον.

(15) Reg. primus Εἰ τοῖς ἰατρικοῖς κεχρῆσθαι κατὰ σκοπόν, etc. Pro εὐσεβείας Colbertinus habet θεοσεβείας.

(16) Reg. primus τὰς ἀπὸ τῶν ἀέρων βλάβας, καὶ οἰκοδομικὴ δὲ ὁμοίως. Mox idem ms. ταῖς τε ἔξωθεν. Vocula τε in editis desideratur. Rursus hoc ipso in loco idem ms. cum Voss. καὶ ταῖς ἔσωθεν.

(17) Reg. primus et Voss. ἐξ ἰατρικῆς παραμυθίας. Ibidem editi χρῄζομεν. Veteres tres libri præter Voss. ἐχρῄζομεν.

σάμεθα εις παραμυθίαν τῶν ἐκ τῆς κατάρας λυπηρῶν, τὴν σύνεσιν ἡμῖν καὶ κατάληψιν τῆς τέχνης ταύτης τοῦ Θεοῦ χαρισαμένου· οὕτω καὶ ἐπειδὴ ἐκελεύσθημεν εἰς τὴν γῆν πάλιν ἀποστραφῆναι, ἀφ' ἧς ἐλήφθημεν, καὶ ὀδυνηρᾷ σαρκὶ συνεζεύχθημεν εἰς φθορὰν καταδεδικασμένῃ διὰ τὴν ἁμαρτίαν, καὶ διὰ τοῦτο τοῖς πάθεσι τούτοις ὑποβληθείσῃ, παρεσχέθη ἡμῖν καὶ ἡ ἐκ τῆς ἰατρικῆς προσαγομένη τοῖς κάμνουσι, κατὰ τὸ ποσὸν γοῦν, ἐπικουρία.

2. Οὔτε γὰρ αὐτομάτως ἐκ τῆς γῆς ἐβλάστησαν αἱ βοτάναι, αἱ πρὸς ἕκαστον τῶν παθῶν οἰκείως ἔχουσαι· ἀλλὰ, δηλονότι, τῷ βουλήματι τοῦ δημιουργοῦ πρὸς τὸν τῆς ἡμετέρας ὠφελείας σκοπὸν ἐξηνέχθησαν. Ἡ μὲν οὖν ἐν ταῖς ῥίζαις, καὶ τοῖς ἄνθεσιν, ἢ φύλλοις, ἢ καρποῖς, ἢ ὀποῖς φύσις, ἢ ὅσα ἀπὸ μετάλλων, ἢ ὅσα ἐκ τῆς θαλάσσης (18) πρὸς τὴν τῆς σαρκὸς ὠφέλειαν οἰκείως ἔχειν ἐξεύρηται, ὅμοιά ἐστι τῆς τῶν ἐσθιομένων καὶ πινομένων εὑρέσεως· τὸ δὲ περινενοημένον καὶ περίεργον, καὶ ἀσχολίαν πολλὴν ἐμποιοῦν, καὶ οἱονεὶ πᾶσαν ἡμῶν τὴν ζωὴν εἰς τὴν τῆς σαρκὸς ἐπιμέλειαν περιστρέφον, παραιτητέον Χριστιανοῖς· καὶ σπουδαστέον οὕτω κεχρῆσθαι τῇ τέχνῃ, εἴποτε δέοι, ὡς μὴ ἐν αὐτῇ τὴν πᾶσαν αἰτίαν τοῦ ὑγιαίνειν ἢ νοσεῖν τίθεσθαι, ἀλλ' ὡς εἰς δόξαν Θεοῦ καὶ τύπον τῆς τῶν ψυχῶν ἐπιμελείας τὴν χρῆσιν τῶν ἀπ' αὐτῆς (19) παραλαμβάνειν. Ἐν ἐρημίᾳ δὲ τῶν ἐξ ἰατρικῆς βοηθημάτων μὴ πᾶσαν ἔχειν τὴν ἐλπίδα πρὸς τὴν τῶν λυπηρῶν παραμυθίαν ἐν τῇ τέχνῃ ταύτῃ, ἀλλ' εἰδέναι, ὅτι ἢ οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα (20) ὑπενεγκεῖν, ἢ ὥσπερ τότε ὁ Κύριος, ποτὲ μὲν πηλὸν ποιῶν, ἐπέχριε, καὶ νίψασθαι προσέτασσεν εἰς τὸν Σιλωὰμ, ποτὲ δὲ ἠρκεῖτο τῷ βουλήματι μόνῳ (21), λέγων, *Θέλω, καθαρίσθητι*· τινὰς δὲ καὶ ἐναθλεῖν τοῖς ἐπιπόνοις ἀφῆκε, δοκιμωτέρους αὐτοὺς διὰ τῆς πείρας παρασκευάζων· οὕτω καὶ ἐφ' ἡμῶν, ὁτὲ μὲν ἀοράτως ἐκ τοῦ ἀφανοῦς ἐφαπτόμενος, ὅταν τοῦτο συμφέρον ταῖς ψυχαῖς ἡμῶν καταμάθῃ, ὁτὲ δὲ καὶ ὑλικαῖς κεχρῆσθαι βοηθείαις ἐπὶ τῶν παθῶν ἡμῶν εὐδοκεῖ, τῇ παρατάσει τῆς θεραπείας ἔμμονον τὴν μνήμην τῆς χάριτος ἐμποιῶν, ἢ καὶ τύπον τινὰ πρὸς τὴν ἐπιμέλειαν, ὡς εἶπον, τῆς ψυχῆς παρεχόμενος. Ὡς γὰρ ἐπὶ τῆς σαρκὸς ἥ τε τοῦ ἀλλοτρίου ἀπόθεσις ἀναγκαία, καὶ ἡ πρόσθεσις τοῦ ἐνδέοντος· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς ἡμῶν ἀποικονομεῖσθαι μὲν τὸ ἀλλότριον, προσλαμβάνειν δὲ τὸ κατὰ φύσιν προσῆκον. Ὅτι ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον εὐθῆ· καὶ ἔκτισεν ἡμᾶς ἐπὶ ἔργοις ἀγαθοῖς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.

3. Καὶ ὥσπερ ἐκεῖ τομῶν, καὶ καύσεων, καὶ πι-

A longa experientia multoque insumpto labore in excolenda terra, ad lenienda ejus exsecrationis incommoda artem agriculturæ effecimus, Deo nobis ejus artis intelligentiam atque cognitionem impertiente : sic quoque ubi in terram, unde fueramus assumpti, denuo reverti jussi sumus, et ad molestam carnem morti ob peccatum addictam, ob idque his morbis subjectam, juncti sumus, oblatum est nobis medicinæ etiam auxilium, quo saltem aliquantulum ægrotantes levarentur.

2. Neque enim fortuito ex terra **398** germinaverunt herbæ, quæ ad singulos morbos accommodatæ sunt : imo certe productæ sunt ex conditoris voluntate, commodis nostris inservituræ. Quamobrem ea quidem naturalis vis, quæ in radi- B cibus inest, et in floribus, aut foliis, aut fructibus, aut succis, aut quæcunque ex metallis, aut ex mari ad corporis utilitatem opportuna esse deprehensa sunt, ab aliis inventis, quæ ad cibum et potum spectant, nihil differunt : sed tamen quod superflue ac curiose excogitatum est, et multum negotii requirit, et quasi omnem nostram vitam convertit ad carnem curandam, vitandum est Christianis; dandaque nobis studiose opera est, ut ita, siquando opus fuerit, hac arte utamur, ut ei non tribuamus omnem bonæ aut malæ valetudinis causam, sed ut ad declarandam Dei gloriam et ad habendum animæ curandæ exemplar, usum eorum quæ offert, admittamus. Quod si defecerint nos medicinæ præsidia, nequaquam levandi mali om- C nem spem in hac arte reponamus : sed sciendum, fore, ut aut non sinat tentari nos ultra quam possumus [64], aut quemadmodum olim Dominus, modo lutum faciens, illinebat, jubebatque lavari in Siloam [65], modo sola voluntate contentus erat, dicens : *Volo, mundare* [66]; quosdam vero in afflictationibus decertare permisit, probatiores ipsos per tentationem efficiens ; ita nunc quoque peculiari aliqua ratione agere nobiscum velit, qui scilicet aliquando invisibiliter latenterque medeatur, cum id animis nostris expedire judicaverit, aliquando vero statuat nos et ipsis corporeis auxiliis in nostris morbis uti, idque, ut hac curationis dilatione firmam et stabilem reddat accepti beneficii memoriam, aut etiam, quemadmodum dixi, ut aliquod D exemplum, quod in curandis animis imitari possimus, nobis proponat. Ut enim in corpore necesse est amoveri quod alienum est et contrarium, et quod deest apponi : sic etiam in animis nostris, non abs re fuerit quod alienum est et contrarium removere, et quod secundum naturam est, assumere. Siquidem fecit Deus hominem rectum [67], nosque ad bona opera condidit, ut in eis ambulemus.

3. Et quemadmodum illic secari, uri, et amara

[64] I Cor. x, 13. [65] Joan. ix, 6, 7. [66] Matth. viii, 3. [67] Eccle. vii, 30.

(18) Antiqui duo libri cum Voss. ἐκ τῆς θαλάσσης. Deerat articulus in vulgatis. Mox Reg. tertius ἔχειν ἐξεύρηνται.
(19) Reg. primus χρῆσιν τὴν ἀπ' αὐτῆς.
(20) Codex Voss. ὑπὲρ ὃ οὐ δυνάμεθα. Mox Col. ἐπέχρισε τοὺς ὀφθαλμοὺς, καὶ, *illivit oculos*. Ibidem Reg. primus νίψασθαι προσέταξεν.
(21) Editi et Reg. secundus βουλήματι μόνῳ Alii tres mss. μόνον.

medicamenta sumere non recusamus, corporis sanandi causa: ita etiam hic, sermonem objurgatorium quantumvis secantem, et amarulenta reprehensionum remedia pro animæ medela operæ pretium est perferre: quod quidem iis qui emendati non fuerant exprobrat propheticus sermo, his verbis: *Nunquid resina non est in Galaad? aut medicus non est ibi? Quare non ascendit sanatio filiæ populi mei* [68]? Atque hoc etiam, quod in morbis inveteratis, per longum tempus, perque auxilia simul dolorem creantia et varia, exspectatur sanitas, indicio est, animæ quoque peccata per sedulas preces, et **399** diuturnam pœnitentiam, ac disciplinam severiorem, quam ratio ad sanationem nobis sufficientem esse monuerit, a nobis corrigi debere. Non igitur, quoniam aliqui arte medica non probe utuntur, ejus nobis utilitas omnis fugienda est. Neque enim, quoniam intemperantes quidam voluptatum sectatores coquinaria, aut pistoria, aut textoria ad delicias excogitandas abutantur, cum limites rerum necessariarum excedant, continuo omnes simul artes rejici a nobis debent: contra potius, quod ab illis corruptum fuit, id ex recto ipsarum usu coarguendum est. Sic etiam et in medicina, par non est acceptum a Deo munus criminari ob malum usum. Nam et in medicorum manibus sanitatis suæ spem collocare, belluinum est; quod tamen usu venire nonnullis miseris videmus, qui etiam non verentur eos appellare servatores: et commoda ex ea nascentia omnino aversari, animi est obstinati. Sed sicut Ezechias ficorum massam non putabat primam esse sanitatis suæ causam [69], neque ei acceptam referebat corporis sui curationem, sed ad Dei gloriam gratiarum etiam actionem adjecit ob conditas ficus: sic nos quoque, si a Deo bene prudenterque vitam nostram moderante plagas accipimus, primum quidem ab ipso petimus, ut indicet nobis causam, cur ita plectamur: deinde, ut liberemur ab his molestiis, deturque nobis patientia, adeo ut una cum tentatione præstet etiam eventum, quo possimus sufferre [70].

4. Collatum autem nobis sanitatis beneficium, sive per vinum oleo admistum [71], ut in eo qui incidit in latrones, sive per ficus, ut in Ezechia [72], cum gratiarum actione recipimus. Nec quidquam differre arbitremur, sive modo invisibili Deus nos curet, sive corporeum quiddam adhibeat: quæ corporalia sæpenumero efficacius non conducunt ad munus Domini intelligendum. Atque etiam sæpe castigationis causa in morbos collapsi, ad asperam gravemque curationem perferendam pœnæ loco

A χρῶν φαρμάκων μεταλήψεως ὑπὲρ τῆς τοῦ σώματος θεραπείας ἀνεχόμεθα· οὕτω καὶ ἐνταῦθα τὰ τμητικὰ τοῦ ἐλεγκτικοῦ λόγου, καὶ τὰ πικρὰ τῶν ἐπιτιμήσεων φάρμακα ὑπὲρ τῆς κατὰ ψυχὴν θεραπείας καταδέχεσθαι χρή. Ὅπερ τοῖς μὴ παιδευθεῖσιν ὁ προφητικὸς λόγος ἐπονειδίζων (22) φησί· *Μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ; ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ; Διὰ τί οὐκ ἀνέβη ἴασις θυγατρὸς λαοῦ μου;* Καὶ τὸ ἐπὶ τῶν χρονίων δὲ παθῶν διὰ μακροῦ χρόνου καὶ διὰ βοηθημάτων ἀλγεινῶν τε ὁμοῦ καὶ ποικίλων τὴν ἴασιν ἀναμένειν, ἔνδειγμά ἐστι τοῦ καὶ τὰ τῆς ψυχῆς ἁμαρτήματα διὰ φιλοπόνου δεήσεως καὶ πολυχρονίου μετανοίας καὶ ἀγωγῆς ἐπιπόνου, ἣν (23) ἂν ὁ λόγος ἡμῖν αὐτάρκη πρὸς ἴασιν ὑποβάλῃ, ὀφείλειν ἡμᾶς ἐπανορθοῦσθαι. Οὐ τοίνυν, B ἐπειδή τινες οὐ καλῶς χρῶνται τῇ τέχνῃ τῇ ἰατρικῇ, φευκτέον ἡμῖν πᾶσαν τὴν ἀπ' αὐτῆς ὠφέλειαν. Οὐδὲ γὰρ, ἐπειδὴ μαγειρικῇ πρὸς τρυφῆς ἐπίνοιαν οἱ περὶ τὰς ἡδονὰς ἀκόλαστοι κέχρηνται, ἢ τῇ ἀρτοποιΐᾳ, ἢ τῇ ὑφαντικῇ, ὑπερβαίνοντες τὸν ὅρον τῶν ἀναγκαίων, ἤδη ἡμᾶς πάσας ὁμοῦ χρὴ παραιτεῖσθαι τὰς τέχνας· τὸ ἐναντίον μὲν οὖν, ἐκ τῆς ὀρθῆς αὐτῶν χρήσεως τὸ ὑπ' ἐκείνων παραφθειρόμενον διελέγχειν. Οὕτω δὲ καὶ ἐπὶ τῆς ἰατρικῆς τὴν παρὰ τοῦ Θεοῦ χάριν πονηρᾷ διαβάλλειν χρήσει οὐκ εὔλογον. Τό τε γὰρ ἐν ταῖς χερσὶ τῶν ἰατρῶν τὴν ἐλπίδα ἔχειν τῆς ἑαυτῶν ὑγείας κτηνῶδες· ὅπερ πάσχοντάς τινας τῶν ἀθλίων ὁρῶμεν, οἳ καὶ σωτῆρας αὐτοὺς ὀνομάζειν οὐ παραιτοῦνται· τό τε πάντῃ τὰς ἀπ' αὐτῆς (24) ὠφελείας ἀποφεύγειν φιλόνεικον. Ἀλλ' ὥσπερ ὁ Ἐζεκίας τὴν παλάθην τῶν C σύκων οὐχὶ πρῶτον αἴτιον ὑγείας ἡγεῖτο, οὐδὲ τούτῳ (25) τὴν αἰτίαν τῆς ἰάσεως τοῦ σώματος ἐλογίζετο, προσετίθει δὲ τῇ δόξῃ τοῦ Θεοῦ καὶ τὴν ἐπὶ τῇ κτίσει τῶν σύκων εὐχαριστίαν· οὕτω καὶ ἡμεῖς, παρὰ τοῦ ἀγαθῶς καὶ φρονίμως οἰκονομοῦντος τὴν ζωὴν ἡμῶν Θεοῦ δεχόμενοι τὰς πληγὰς, παρ' αὐτοῦ πρῶτον μὲν αἰτοῦμεν τὴν γνῶσιν τοῦ λόγου καθ' ὃν ἐπάγει τὰς μάστιγας, ἔπειτα δὲ τήν τε ἀπαλλαγὴν τῶν ὀδυνηρῶν καὶ τὴν ὑπομονὴν, πρὸς τὸ σὺν τῷ πειρασμῷ παρασχεῖν καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ἡμᾶς (26) ὑπενεγκεῖν.

4. Δοθεῖσαν δὲ ἡμῖν τῆς ἰάσεως τὴν χάριν, ἢ διὰ τοῦ οἰνελαίου, ὡς ἐπὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστὰς, ἢ διὰ τῶν σύκων, ὡς ἐπὶ τοῦ Ἐζεκίου, εὐχαρίστως D ὑποδεχόμεθα (27). Καὶ οὐδὲν διοισόμεθα, εἴτε ἐκ τοῦ ἀφανοῦς γένοιτο ἡμῖν ἡ ἐπιμέλεια τοῦ Θεοῦ, εἴτε καὶ διά τινος τῶν σωματικῶν· ἃ πολλάκις ἐνεργέστερον ἡμᾶς ἄγει εἰς συναίσθησιν τῆς παρὰ τοῦ Κυρίου χάριτος. Πολλάκις δὲ καὶ πρὸς παιδείαν περιπεσόντες ταῖς νόσοις, μέρος τῆς παιδεύσεως καὶ τὴν διὰ τῶν ἐπιπόνων θεραπείαν ὑποστῆναι κατεδικάσθημεν. Οὔτε

[68] Jerem. VIII, 22. [69] IV Reg. XX, 7. [70] I Cor. X, 13. [71] Luc. X, 34. [72] IV Reg. XX, 7.

(22) In Vossii veteri libro pro ἐπονειδίζων legitur ἐνονειδίζων.

(23) Editiones veteres et Reg. secundus καὶ ἀγῶνος ἐπιπόνου ἦν, male. Veteres tres libri præter Voss. καὶ ἀγωγῆς ἐπιπόνου ἦν, recte. Statim antiqui duo libri cum Voss. ὑποβόλῃ. Editi ὑποβάλλῃ.

(24) Editi τὰς ἐπ' αὐτῆς. At duo mss. τὰς ἀπ' αὐτῆς.

(25) Reg. primus τοῦτο. Ibidem Colb. ἰάσεως τοῦ τραύματος, *neque huic curationem sui vulneris referebat acceptam.*

(26) Reg. primus δύνασθαι ὑμᾶς.

(27) Idem mss. εὐχαρίστως ὑποδεχώμεθα.

οὔν τομὰς, οὔτε καύσεις, οὔτε διὰ (28) τῶν δριμέων καὶ ἐπιπόνων φαρμάκων ἀλγήματα, οὔτε ἀσιτίας, οὔτε διαίτης ἀκριβῆ μέτρα, οὔτε ἀποχὴν τῶν φθειρόντων παραιτεῖσθαι ἡμᾶς ὁ ὀρθὸς λόγος ὑπαγορεύει· σωζομένου (πάλιν λέγω) τοῦ σκοποῦ τῆς κατὰ ψυχὴν ὠφελείας, ὡς ἐν ὑποδείγματος λόγῳ τὴν ἑαυτῆς ἐπιμέλειαν παιδευομένης. Κίνδυνος δὲ οὐχ ὁ τυχὼν εἰς μετεωρισμὸν τὴν διάνοιαν ἐκπεσεῖν, ὡς παντὸς πάθους τῶν ἐξ ἰατρικῆς βοηθημάτων προσδεομένου. Οὐ γὰρ πάντα φύσεώς εἰσιν ἀῤῥωστήματα, οὐδὲ ἐκ πλημμελοῦς διαίτης ἡμῖν, ἢ τινων ἄλλων σωματικῶν ἀρχῶν προσγινόμενα, πρὸς ἅπερ ἐνίοτε ὁρῶμεν τὴν ἰατρικὴν χρησιμεύουσαν. Πολλάκις γὰρ καὶ μάστιγες ἁμαρτημάτων εἰσὶ τὰ ἀῤῥωστήματα, εἰς ἐπιστροφὴν προσαγόμενα. *Ὃν γὰρ*, φησὶν, *ἀγαπᾷ Κύριος, παιδεύει*· καὶ, *Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν* (29), *οὐκ ἂν ἐκρινόμεθα. Κρινόμενοι δὲ ὑπὸ Κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν*. Τοὺς οὖν τοιούτους ἡσυχάζοντας, καὶ ἀφεμένους τῶν ἰατρικῶν ἐπιτηδευμάτων, ὑπομένειν χρὴ τὰ ἐπαγόμενα, ὅταν γνωρίσωμεν ἑαυτῶν τὰ πλημμελήματα, κατὰ τὸν εἰπόντα· *Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ*· καὶ τὴν διόρθωσιν ἐπιδείκνυσθαι, διὰ τοῦ ποιεῖν (30) καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μεμνῆσθαι τοῦ Κυρίου εἰπόντος· *Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται*. Γίνεται (31) δέ ποτε καὶ κατὰ ἐξαίτησιν τοῦ πονηροῦ, ὥσπερ ἀγωνιστὴν μέγαν, συγκαθιέντος αὐτῷ εἰς τὸν ἀγῶνα τοῦ φιλανθρώπου Δεσπότου, καὶ τὴν μεγαλαυχίαν αὐτοῦ διὰ τῆς εἰς ἄκρον ὑπομονῆς τῶν δούλων ἑαυτοῦ καθαιροῦντος· ὅπερ ἐπὶ τοῦ Ἰὼβ γενόμενον μεμαθήκαμεν. Ἢ καὶ εἰς ὑπόδειγμα τοῖς ἀφερεπόνοις παράγονται ὑπὸ τοῦ Θεοῦ οἱ δυνάμενοι μέχρι θανάτου ἐγκαρτερῆσαι τοῖς ἀλγεινοῖς· ὡς ὁ Λάζαρος, ὃς, τοιούτοις ἕλκεσι συνεχόμενος, οὐδαμοῦ γέγραπται οὔτε αἰτήσας τι τὸν πλούσιον (32), οὔτε δυσαρεστηθεὶς τοῖς παροῦσι· διὸ καὶ ἔτυχε τῆς ἐν τῷ κόλπῳ τοῦ Ἀβραὰμ ἀναπαύσεως, ὡς ἀπολαβὼν τὰ κακὰ ἐν τῇ ζωῇ αὐτοῦ. Εὕρομεν δὲ καὶ ἄλλην αἰτίαν ἀῤῥωστημάτων τοῖς ἁγίοις συμβαίνουσαν, ὡς ἐπὶ τοῦ Ἀποστόλου. Ἵνα γὰρ μὴ δόξῃ ὑπερβαίνειν τὸν ὅρον τῆς ἀνθρωπίνης φύσεως, καὶ μή τις αὐτὸν λογίσηται (33) ἐν τῇ φυσικῇ κατασκευῇ ἔχειν τι περισσὸν (ὅπερ ἔπαθον οἱ Λυκάονες, στέμματα καὶ ταύρους προσάγοντες), εἰς παράστασιν τῆς ἀνθρωπίνης φύσεως, τῇ ἀῤῥωστίᾳ συνῆν διαρκῶς.

A condemnati sumus. Itaque neque sectiones, neque ustiones, neque acrium molestorumque remediorum acerbitatem, neque inedias, neque exactam diætæ et victus rationem, neque rerum exitialium abstinentiam a nobis repudiandas esse recta ratio suadet, salvo tamen (rursus dico) proposito animæ utilitatis, quippe cui hoc exemplum propositum sit, ut illud in sui ipsius curatione imitari discat. Periculum autem est non mediocre, ne mens in errorem incidat, quasi omnis morbus subsidiis medicinæ indigeret. Non enim naturæ tribuendæ sunt ægritudines omnes, neque ex vitioso victu, aut aliis quibusdam corporalibus principiis nobis accedunt: quibus quidem curandis utilem esse medicinam nonnunquam videmus. Sæpe enim morbi B sunt peccatorum mulctæ, ad convertendos nos irrogatæ. *Quem enim*, inquit, *diligit Dominus, castigat* [73]. Item: *Ideo inter vos multi infirmi, et imbecilles, et dormiunt multi. Si enim nosmetipsos dijudicaremus, non utique judicaremur. Dum judicamur autem, a Domino corripimur, ut non cum hoc mundo damnemur* [74]. **400** Quamobrem qui sunt hujusmodi, ubi nostra ipsorum delicta cognoverimus, usu medicinæ prætermisso, pœnas sibi illatas debent silentio perferre, juxta eum, qui dixit, *Iram Domini portabo, quoniam peccavi ei* [75]· et ita emendare se, ut dignos pœnitentiæ fructus edant: item meminisse Domini, qui dixit: *Ecce sanus factus es: jam noli peccare, ne deterius tibi aliquid contingat* [76]. C Accidunt autem etiam aliquando ægritudines, postulante diabolo, cum scilicet benignus Dominus aliquem velut pugilem magnum cum ipso in certamen committit, et jactantiam ipsius summa servorum suorum tolerantia deprimit: quod in Job factum fuisse didicimus [77]. Aut etiam iis qui malorum intolerantes sunt, in exemplum a Deo proponuntur quidam, qui adversa ad mortem usque perseveranter tolerare potuerunt, velut Lazarus, qui cum tot et talibus ulceribus afflictaretur [78], nusquam tamen scribitur quidquam ab illo divite aut petivisse, aut morosum se præstitisse et molestum ob præsentem rerum statum. Quapropter assecutus est requiem in sinu Abrahæ, tanquam qui recepisset mala in vita sua [79]. Quanquam et aliorum morbo- D rum causam in sanctis contingere reperimus, velut in Apostolo. Etenim, ne naturæ terminum videretur excedere, neve quispiam arbitraretur eum naturaliter aliquid solito majus et excellentius habere (quod visum est Lycaonibus, qui ei coronas obtulere et tauros [80]), idcirco ad declarandam naturam humanam jugiter cum ægritudine conflictabatur.

[73] Prov. III, 12. [74] I Cor. XI, 30 32. [75] Mich. VII, 9. [76] Joan. V, 14. [77] Job II, 6. [78] Luc. XVI, 20. [79] ibid. 22, 25. [80] Act. XIV, 12.

(28) Editi οὐ τὰ διά. At mss. duo οὔτε διά. Aliquanto post in Vossii veteri libro corrupte legitur οὔτε ἀποδοχὴν τῶν φθ.

(29) Unus mss. ἑαυτοὺς ἐκρίνομεν.

(30) Veteres duo libri διὰ τὸ ποιεῖν.

(31) Sic mss. duo præter Combefisianum. Editi γίνεσθαι. Mox Reg. primus et Voss. ὥσπερ γάρ.

(32) Editi et unus ms. τι τὸν πλησίον, *a proximo*, corrupte. Alius ms. πλούσιον, emendate. Codex Voss. τοιοῦτον τὸν πλούσιον.

(33) Reg. primus λογίσαιτο, Vossii vetus liber ἐλογίσατο. Statim tres mss. præter Voss. ὅπερ ἔπαθον οἱ Λυκ. Reg. tertius et editi ὥσπερ οἱ. Nec ita multo post Colb. στέμματα καὶ τράγους, *coronas et hircos*.

5. Quid igitur emolumenti ex medicina accedere A possit ejusmodi hominibus? ceu potius, quod eis periculum non impendet, qui scilicet ad corpus curandum se a recta ratione avertant? Qui vero ex prava diæta sibiipsis ascivere infirmitatem, ii corporis curatione, quasi quodam typo et exemplari, ad animam curandam uti debent, sicut superius dictum est. Etenim et ex re nostra fuerit, a noxiis ex medica ratione abstinere, utilia seligere, præcepta servare. Atque ipsa etiam corporis ab infirmitate ad bonam habitudinem commutatio sit nobis loco solatii, ut ne desperemus de anima, quasi ex peccatis ad suam ipsius integritatem rursus per pœnitentiam reverti non posset. Neque igitur fugienda penitus ars ista est, neque in ea omnis spes collocanda. B Sed quemadmodum utimur quidem agricultura, sed tamen a Deo petimus fructus, et quemadmodum committimus gubernaculum gubernatori, Deum vero rogamus ut ex pelago evadamus incolumes: ita quoque, si, cum ratio sinit, medicum advocemus, ab ea quæ in Deo ponenda est spe non excidimus. Videtur autem mihi hæc ars ad continentiam quoque non parum conferre. Video enim et voluptates ab ipsa rescindi, et satietatem damnari, et victus varietatem, nimiamque in apparandis condimentis solertiam velut incommodam ablegari: et in summa indigentiam ab eadem appellari sanitatis matrem, ita ut ex hac etiam parte ejus consilium **401** nobis inutile non sit. Sive igitur utimur aliquando medicinæ præceptis, sive ea re- C pudiamus ob aliquam causam earum, quas ante memoravimus, huc spectandum est, ut Deo placeamus, consulaturque animæ utilitati, et compleatur mandatum Apostoli, qui dicit: *Sive ergo manducatis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite* [31].

5. Τί οὖν τοῖς τοιούτοις παρὰ τῆς ἰατρικῆς γένοιτο κέρδος; καὶ οὐχὶ μᾶλλον κίνδυνος, μετεωριζομένοις ἀπὸ τοῦ ὀρθοῦ λόγου εἰς τὴν τοῦ σώματος ἐπιμέλειαν; Τοῖς γε μὴν ἐκ πονηρᾶς διαίτης τὴν ἀῤῥωστίαν ἑαυτοῖς συναθροίσασιν οἷον τύπῳ τινὶ καὶ ὑπογραμμῷ χρηστέον τῇ τοῦ σώματος θεραπείᾳ πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν, καθὰ πρότερον εἴρηται. Ἡ γὰρ ἀποχὴ τῶν βλαπτόντων κατὰ τὸν ἰατρικὸν λόγον καὶ ἡμῖν ἐστιν ὠφέλιμος, ἡ ἐκλογὴ τῶν χρησίμων, ἡ φυλακὴ τῶν παραγγελμάτων. Καὶ αὐτὴ δὲ ἡ τῆς σαρκὸς ἀπὸ ἀῤῥωστίας πρὸς εὐεξίαν μεταβολὴ παραμυθία γινέσθω πρὸς τὸ μὴ ἀπογινώσκειν ἡμᾶς τῆς ψυχῆς, ὡς οὐ δυναμένης ἐκ τῶν ἁμαρτημάτων πρὸς τὴν οἰκείαν πάλιν ὁλοκληρίαν διὰ τῆς μετανοίας B ἐπανελθεῖν. Οὔτε οὖν φευκτέον πάντῃ τὴν τέχνην, οὔτε ἐπ' αὐτῇ πάσας τὰς ἐλπίδας ἔχειν ἀκόλουθον. Ἀλλ' ὡς κεχρήμεθα μὲν τῇ γεωργικῇ, αἰτούμεθα δὲ παρὰ τοῦ Θεοῦ τοὺς καρπούς· καὶ τῷ κυβερνήτῃ μὲν τὸ (34) πηδάλιον ἐπιτρέπομεν, τῷ Θεῷ δὲ προσευχόμεθα ἐκ τοῦ πελάγους ἀποσωθῆναι· οὕτω καὶ ἰατρὸν εἰσάγοντες, ὅτε λόγος συγχωρεῖ (35), τῆς πρὸς Θεὸν ἐλπίδος οὐκ ἀφιστάμεθα. Ἐμοὶ δὲ καὶ πρὸς ἐγκράτειαν οὐ μικρὸν συντελεῖν ἡ τέχνη φαίνεται. Ὁρῶ γὰρ, ὅτι καὶ τρυφὰς ἀποκόπτει (36), καὶ πλησμονὴν διαβάλλει, καὶ ποικιλίαν διαίτης, καὶ περίεργον ἀρτυμάτων ἐπίνοιαν, ὡς ἀσύμφορον, ἀποπέμπεται· καὶ τὸ σύμπαν, τὴν ἔνδειαν μητέρα τῆς ὑγείας ἀποκαλεῖ, ὥστε καὶ κατὰ τοῦτο οὐκ ἄχρηστος ἡμῖν ἡ παρ' αὐτῆς συμβουλή. Εἴτε οὖν χρώμεθά ποτε τοῖς τῆς ἰατρικῆς C παραγγέλμασιν (37), εἴτε παραιτούμεθα, κατά τινα τῶν προαποδεδομένων λόγων, ὁ σκοπὸς τῆς πρὸς Θεὸν εὐαρεστήσεως σωζέσθω, καὶ ἡ ὠφέλεια τῆς ψυχῆς οἰκονομείσθω, καὶ τὸ πρόσταγμα τοῦ Ἀποστόλου πληρούσθω, εἰπόντος· *Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.*

[31] I Cor. x, 31.

(34) Editi κυβερνήτῃ δὲ τό. Antiqui tres libri κυβερνήτῃ μὲν τό.

(35) Reg. tertius et Voss. συγχωρήσει. Ibidem editi τῆς πρὸς αὐτὸν ἐλπίδος. Codices non pauci præter Voss. τῆς πρὸς Θεὸν ἐλπίδος.

(36) In Vossii veteri libro legitur τρυφὰς ἐπικόπτει.

(37) Unus ms. ἰατρικῆς ἐπαγγέλμασι. Mox Reg. primus emendatus τὸν ἀποδεδομένον λόγον.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΣΙΛΕΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ

ΚΕΦΑΛΑΙΑ ΤΩΝ ΟΡΩΝ ΤΩΝ ΚΑΤΑ ΕΠΙΤΟΜΗΝ.

SANCTI PATRIS NOSTRI BASILII

CÆSAREÆ CAPPADOCIÆ ARCHIEPISCOPI

CAPITA REGULARUM BREVIUS TRACTATARUM.

401 1 An liceat aut expediat cuipiam, ut sibi D permittat aut facere aut dicere quæ bona putat, citra testimonium divinarum Scripturarum.

α' Εἰ ἔξεστιν ἢ συμφέρει τινὶ ἑαυτῷ ἐπιτρέπειν, καὶ ποιεῖν ἢ λέγειν ἃ νομίζει καλὰ, ἄνευ τῆς μαρτυρίας τῶν θεοπνεύστων Γραφῶν.

β' Ποίαν ὁμολογίαν ἀπαιτεῖσθαι δεῖ παρ' ἀλλήλων τοὺς ἐπὶ τὸ αὐτὸ ζῆν κατὰ Θεὸν βουλομένους.

γ' Τὸν ἁμαρτάνοντα πῶς ἐπιστρέψομεν, ἢ μὴ ἐπιστρέφοντα πῶς ἔχειν χρή.

δ' Ἐάν τις καὶ εἰς τὰ (38) μικρὰ ἁμαρτήματα στενοχωρῇ τοὺς ἀδελφοὺς, λέγων ὅτι, Ὀφείλετε μετανοῆσαι, μήποτε καὶ αὐτὸς ἄσπλαγχνός ἐστι, καὶ τὴν ἀγάπην καταλύει.

ε' Πῶς ὀφείλει τις μετανοῆσαι ἐφ' ἑκάστῳ ἁμαρτήματι.

ς' Ὁ λόγῳ ὁμολογῶν μετανοεῖν, τὸ δὲ ἁμάρτημα μὴ διορθούμενος, ποταπός ἐστιν.

ζ' Τί τὸ κρῖμα τῶν ἐκδικούντων τοὺς ἁμαρτανοντας.

η' Τὸν μετανοοῦντα γνησίως πῶς προσδέχεσθαι χρή.

θ' Πρὸς τὸν ἀμετανόητα ἁμαρτάνοντα πῶς διατεθῶμεν.

ι' Ψυχὴ ἐν ἁμαρτίαις πολλαῖς ταλαιπωρήσασα μετὰ ποταποῦ φόβου καὶ ποταπῶν δακρύων ὀφείλει ἀναχωρῆσαι τῶν ἁμαρτημάτων.

ια' Πῶς κατορθοῖ τις τὸ μῖσος πρὸς τὰ ἁμαρτήματα.

ιβ' Πῶς πληροφορηθῇ ἡ ψυχὴ, ὅτι ἀφῆκεν αὐτῇ ὁ Θεὸς τὰ ἁμαρτήματα.

ιγ' Εἰ χρὴ τὸν μετὰ τὸ βάπτισμα ἐξαμαρτήσαντα ἀπογινώσκειν τῆς ἑαυτοῦ σωτηρίας, ἐν πλήθει κακῶν εὑρεθέντα· ἢ ἕως (39) ποίου μέτρου ἁμαρτιῶν ἐπελπίζειν χρὴ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ διὰ τῆς μετανοίας.

ιδ' Ἐκ ποίων καρπῶν ὀφείλει δοκιμάζεσθαι ἡ ἀληθὴς μετάνοια.

ιε' Τί ἐστι τὸ, *Ποσάκις ἁμάρτῃ εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ.*

ις' Διὰ τί ποτὲ μὲν ἡ ψυχὴ καὶ μὴ σπουδάζουσα, αὐτομάτως σχεδὸν ἐμπεσόντος πόνου, κατανύσσεται, ποτὲ δὲ ἄπονος οὕτως ἐστὶν, ὡς καὶ βιαζομένη κατανυγῆναι μὴ δύνασθαι.

ιζ' Ἐάν τις κατὰ νοῦν μνημονεύσῃ τοῦ φαγεῖν, εἶτα καταγνῷ ἑαυτοῦ, εἰ καὶ οὗτος ὡς μεριμνήσας ἐγκληθήσεται.

ιη' Εἰ χρὴ ἐν ἀδελφότητι τῷ ἐξαμαρτήσαντί ποτε φροντίδα τινὰ ἐγχειρίζειν μετὰ πολλὴν ἄσκησιν· καὶ εἰ χρὴ, ποίαν ταύτην.

ιθ' Ἐάν τις ὑποπτεύηται ἐπὶ ἁμαρτήματι, προφανῶς δὲ τοῦτο μὴ ποιῇ, εἰ δεῖ αὐτὸν ἐπιτηρεῖν, ἵνα καὶ ἐφευρεθῇ ὃ ὑποπτεύεται.

κ' Εἰ χρὴ τὸν ἐν ἁμαρτίαις ἐξετασθέντα φεύγειν τὴν πρὸς τοὺς ἑτεροδόξους κοινωνίαν, ἢ καὶ πρὸς τοὺς κακῶς ζῶντας διακρίνεσθαι.

κα' Πόθεν ὁ μετεωρισμὸς καὶ οἱ διαλογισμοί· καὶ πῶς αὐτοὺς διορθωσόμεθα.

κβ' Πόθεν αἱ νυκτεριναὶ φαντασίαι αἱ ἀπρεπεῖς γίνονται.

κγ' Ἕως ποίων ῥημάτων ἡ ἀργολογία κρίνεται.

A 2 Qualem professionem a se mutuo exigere debent, qui simul secundum Deum vivere volunt.

3 Quomodo convertemus peccantem, aut quomodo erga eum qui se non convertit, affici debemus.

4 Si quis etiam ob levia peccata urgeat fratres dicens, pœnitentiam ab ipsis esse agendam, nunquid et ipse immisericors est, et charitatem dissolvit.

5 Quæ cuique pro quoque peccato agenda pœnitentia sit.

6 Qui verbis confitetur se pœnitere, peccatum vero non corrigit, cujusmodi est.

7 Quodnam sit judicium adversus eos qui defendunt peccantes.

8 Quem vere pœnitet, quomodo is recipiendus
B est.

9 Quomodo erga eum qui citra pœnitentiam peccat, afficiamur.

10 Quanto cum tremore, quantisque cum lacrymis recedere debet a peccatis anima, quæ misere volutata est in multis peccatis.

11 Quomodo oderit quis peccata.

12 Quomodo persuasum esse potest animæ, Deum sibi peccata dimisisse.

13 An, qui post baptisma peccavit, debeat de salute sua desperare, maxime si in multis peccatis deprehensus fuerit: vel usque ad quam mensuram peccatorum sperandum sit in Dei bonitate per pœnitentiam.

C 14 Ex quibus fructibus probari debet vera pœnitentia.

15 Quid significet hoc: *Quoties peccaverit in me frater meus, et dimittam ei* [81].

16 Cur aliquando anima etiam citra conatum compungitur, dolore fere naturaliter in se incidente; aliquando vero ita doloris expers est, ut etiam quovis conatu adhibito, compungi non possit.

17 Si quis comedere in animo habuerit, deinde condemnaverit se ipsum, an id sibi tanquam anxie sollicito vertendum sit vitio.

18 An par fuerit, ei qui in fratrum conventu aliquando deliquit, munus aliquod demandare post multam exercitationem, et si par sit, quale tandem illud esse debet.

D 19 Si quis venit in suspicionem peccati, **402** nec tamen aperte illud committat: nunquid debeat is observari, ut deprehendatur quod suspectum est.

20 An ille qui in peccatis versatus fuerit, refugere debeat hæreticorum societatem, aut etiam prave viventium consuetudinem declinare.

21 Unde mentis aberratio, et variæ cogitationes, et quomodo ipsas corrigamus.

22 Unde nascuntur inhonesta illa visa noctu contingentia.

23 Per qualia verba otiosus sermo judicatur.

[81] Matth. XVIII, 21.

(38) Editio Paris. ἐάν τις καὶ τά. Editio Ven. ἐάν τις καὶ εἰς τά.

(39) Illud, ἢ ἕως, et quidquid sequitur usque ad vocem μετανοίας, deest in Veneta editione.

24 Quid est convicium.
25 Quid est obtrectatio.
26 Qui detrahit fratri, vel audit detrahentem, et tolerat, qua dignus est pœna.
27 Si quis detrahat præfecto, quomodo ipsi attendemus.
28 De eo qui voce audaciore, et verbis petulantibus respondet.
29 Quomodo quis possit non irasci.
30 Quomodo exscindamus vitium concupiscentiæ malæ.
31 An ridere prorsus non liceat.
32 Intempestivus et immodicus sopor unde nascatur et quomodo ipsum propulsemus.
33 Qua ratione deprehendatur quis studio placendi hominibus obnoxius esse.
34 Quomodo effugiat quis vitium complacendi hominibus.
35 Quo pacto agnoscatur superbus, et quomodo curetur.
36 Nunquid honos quærendus sit.
37 Quomodo qui piger est ad mandatum conficiendum, diligentiam studiumque possit recuperare.
38 Si præcipiatur aliquid fratri, et contradicat, postea vero a seipso abeat.
39 Si quis obediens murmuret.
40 Si quis frater fratri molestiam conficiat, quomodo emendandus sit.
41 Si nolit se purgare.
42 Quæ ratio tenenda sit, si is qui offendit, purget se, is vero qui offensus est, nolit cum eo in gratiam redire.
43 Quomodo quis auscultare debeat expergefacienti ad precandum.
44 Si is qui expergefactus fuit ad precandum fiat mœstus, aut etiam irascatur, qua mulcta dignus est.
45 De eo qui negligit internosse Dei placita, ne gravius plectatur, tanquam qui cognoverit, nec tamen fecerit.
46 An qui alium patitur peccare reus sit peccati.
47 Si erga eos qui peccant, silendum sit.
48 Quo termino judicetur avaritia.
49 Quid est perperam agere.
50 Si quis vestimentis pretiosioribus depositis, aliud vile, sive pallium, sive calceamentum, **403** certo quodam modo velit, ut sibi conveniat, num peccet, aut quali morbo laboret.
51 Quid sonat *Raca* [82].
52 Quis sit inanis gloriæ cupidus, quisve placere hominibus studeat.
53 Quodnam sit inquinamentum carnis, et quod inquinamentum spiritus, et quomodo ab ipsis purgabimus nosmetipsos. Aut quæ est sanctimonia, et quomodo eam adipiscamur.

A κδ' Τί ἐστι λοιδορία.
κε' Τί ἐστι καταλαλιά.
κς' Ὁ καταλαλῶν ἀδελφοῦ, ἢ ἀκούων καταλαλοῦντος, καὶ ἀνεχόμενος, τίνος ἐστὶν ἄξιος
κζ' Ἐὰν δὲ τοῦ προεστῶτος καταλαλήσῃ, πῶς αὐτῷ προσέξομεν.
κη' Περὶ τοῦ θρασυτέρᾳ φωνῇ καὶ ῥήμασι θρασέσιν ἀποκρινομένου.
κθ' Ποίῳ τρόπῳ δυνηθῇ τις μὴ ὀργίζεσθαι.
λ' Πῶς ἐκκόψομεν τὸ πάθος τῆς ἐπιθυμίας τῆς κακῆς.
λα' Εἰ καθόλου γελᾷν οὐκ ἔξεστιν.
λβ' Ὁ ἄκαιρος καὶ ἄμετρος νυσταγμὸς πόθεν, καὶ πῶς αὐτὸν ἀποθώμεθα.
λγ' Πῶς ἐλέγχεται ὁ ἀνθρωπάρεσκος.
B λδ' Πῶς φύγῃ τις τὸ πάθος τῆς ἀνθρωπαρεσκείας.
λε' Πῶς γνωρίζεται ὁ ὑπερήφανος, ἢ πῶς θεραπεύεται
λς' Εἰ χρὴ τιμὴν ἐπιζητεῖν.
λζ' Ὁ ὀκνηρὸς πρὸς τὴν ἐντολὴν ποίῳ τρόπῳ σπουδὴν δυνηθῇ ἀναλαβεῖν.
λη' Ἐὰν ἐπιταχθῇ ἀδελφὸς, καὶ ἀντείπῃ, ὕστερον δὲ ἀφ' ἑαυτοῦ ἀπέλθῃ.
λθ' Ἐὰν δὲ ὑπακούσας τις γογγύσῃ.
μ' Ἐὰν δὲ ἀδελφὸς ἀδελφὸν λυπήσῃ, πῶς ὀφείλει διορθώσασθαι.
μα' Ἐὰν δὲ μὴ ἀνέχηται ἀπολογήσασθαι.
C μβ' Ἐὰν δὲ ἀπολογουμένου τοῦ λυπήσαντος, μὴ θέλῃ διαλλαγῆναι ὁ λυπηθείς.
μγ' Πῶς ὀφείλει τις προσέχειν τῷ εἰς προσευχὴν ἐξυπνίζοντι.
μδ' Ἐὰν δὲ στυγνάσῃ ὁ ἐξυπνισθεὶς εἰς εὐχὴν (40), ἢ καὶ ὀργισθῇ, τίνος ἐστὶν ἄξιος.
με' Περὶ τοῦ ἀμελοῦντος τῆς γνώσεως τῶν τοῦ Θεοῦ θελημάτων, ἵνα μὴ πλέον κολασθῇ, ὡς γνοὺς καὶ μὴ ποιήσας.
μς' Ὁ ἑτέρου ἀνεχόμενος εἰς τὸ ποιῆσαι ἁμαρτίαν, εἰ ἔνοχός ἐστι τῆς ἁμαρτίας.
μζ' Εἰ δεῖ τοῖς ἁμαρτάνουσιν ἐφησυχάζειν.
μη' Ἡ πλεονεξία μέχρι τίνος κρίνεται.
μθ' Τί ἐστι τὸ περπερεύεσθαι.
D ν' Ἐάν τις τὰ μὲν πολυτελέστερα τῆς ἐσθῆτος ἀπωθῆται, αὐτὸ δὲ τὸ εὐτελὲς, εἴτε ἱμάτιον, εἴτε ὑπόδημα, οἱονεὶ θέλῃ ἵνα πρέπῃ αὐτῷ, εἰ ἁμαρτάνει, ἢ ποῖον πάθος νοσεῖ.
να' Τί ἐστι Ῥακά.
νβ' Τίς ὁ κενόδοξος, καὶ τίς ὁ ἀνθρωπάρεσκος.
νγ' Τίς ἐστιν ὁ μολυσμὸς τῆς σαρκός· καὶ τίς ὁ μολυσμὸς τοῦ πνεύματος· καὶ πῶς αὐτῶν καθαρεύσομεν· ἢ τίς ὁ ἁγιασμὸς, καὶ πῶς αὐτὸν κτησόμεθα.

[82] Matth. v, 22.

(40) Sic Reg. tertius. Illud, εἰς εὐχὴν, aberat a vulgatis.

νδ' Τί ἐστι φιλαυτία, καὶ πῶς γνωρίσει ἑαυτὸν ὁ φίλαυτος.

νε' Ποία διαφορὰ πικρίας καὶ θυμοῦ, καὶ ὀργῆς, καὶ παροξυσμοῦ.

νς' Τίς ἐστιν ὁ ὑψηλόφρων, καὶ τίς ὁ ἀλαζὼν, καὶ τίς ὁ ὑπερήφανος· τίς δὲ ὁ τετυφωμένος, καὶ ὁ πεφυσιωμένος.

νζ' Ἐάν τις ἐλάττωμα ἔχῃ ἀδιόρθωτον, καὶ συνεχέστερον καταγινωσκόμενος βλάπτηται, εἰ συμφέρει μᾶλλον ἐπαφιέναι αὐτῷ.

νη' Ὁ κατ' ἐπιτήδευσιν ψευσάμενος κρίνεται μόνον, ἢ καὶ ὁ κατὰ ἄγνοιάν τι παρὰ τὸ ἀληθὲς ἀπολύτως (41) φθεγξάμενος.

νθ' Ἐὰν ἐνθυμηθῇ τις ποιῆσαι μόνον τι, καὶ μὴ ποιήσῃ, εἰ καὶ οὗτος ὡς ψεύστης κρίνεται.

ξ' Περὶ τοῦ προπετῶς ὁρισαμένου πρᾶξαί τι τῶν μὴ ἀρεσκόντων Θεῷ.

ξα' Ἐάν τις μήτε ἐργάζεσθαι δύνηται, μήτε τοὺς ψαλμοὺς μαθεῖν βούληται.

ξβ' Τί ἐὰν ποιήσῃ τις, ὡς κρύψας τὸ τάλαντον, κατακρίνεται.

ξγ' Τί ἐὰν ποιήσῃ τις, κατακρίνεται ὡς ἐκεῖνοι οἱ γογγύσαντες κατὰ τῶν ἐσχάτων.

ξδ' Τί ἐστι τὸ σκανδαλίζειν, καὶ πῶς αὐτὸ φυλαξόμεθα.

ξε' Πῶς τὴν ἀλήθειαν ἐν ἀδικίᾳ τις κατέχει.

ξς' Τί ἐστιν ἔρις, καὶ τί ἐστιν ἐριθεία.

ξζ' Τί ἐστιν ἀκαθαρσία, καὶ τί ἐστιν ἀσέλγεια.

ξη' Τί ἴδιον θυμοῦ, καὶ τί ἴδιον ἀγανακτήσεως εὐλόγου.

ξθ' Περὶ τοῦ μήτε ἔλαττον ἐσθίοντος τῶν λοιπῶν, μήτε σῶμα ἔχοντος κατερῥιμμένον, καὶ ἀδυναμίαν εἰς τὸ ἔργον ὀδυρομένου.

ο' Τὸν παραχρώμενον τοῖς ἱματίοις ἢ ὑποδήμασι πῶς δεῖ μετέρχεσθαι.

οα' Εἰσί τινες οἱ πρὸ τοῦ πλείονος τὸ ἡδύτερον τῶν ἐδεσμάτων ἐπιζητοῦντες, ἄλλοι δὲ τὸ πλεῖον μᾶλλον ἢ τὸ ἡδὺ διὰ τὸν κόρον θέλουσιν· πῶς οὖν ἀμφοτέρους πληροφορεῖν χρή.

οβ' Περὶ τοῦ ἐν ἀδελφότητι ἀσέμνως περὶ τὴν μετάληψιν ἀναστρεφομένου, καὶ λαβρότερον ἐσθίοντος.

ογ' Περὶ τοῦ μὴ ἐν ἐπιθυμίᾳ τῆς τοῦ ἀδελφοῦ διορθώσεως ἐλέγχοντος τὸν ἁμαρτάνοντα, ἀλλ' ἐν πάθει τῆς ἑαυτοῦ ἐκδικήσεως.

οδ' Περὶ τῶν ἐξερχομένων ἐκ τῆς ἀδελφότητος, καὶ μονήρη βίον ζῆν προαιρουμένων.

οε' Εἰ παντὸς ἁμαρτήματος, εἴτε κατὰ νοῦν, εἴτε κατὰ λόγον, εἴτε κατὰ πρᾶξιν, τὸν Σατανᾶν αἴτιον λέγειν δεῖ.

ος' Εἰ χρὴ οἰκονομίᾳ δῆθεν χρησίμου τινὸς ψεύδεσθαι.

οζ' Τί ἐστι δόλος, καὶ τί ἐστι κακοήθεια.

οη' Ἐφευρεταὶ κακῶν τίνες εἰσίν.

οθ' Ἐάν τις συνεχῶς ἑαυτοῦ ἐπιλαμβάνηται, ὅτι σκληρῶς προσφέρεται τῷ ἀδελφῷ, πῶς διορθωθήσεται.

A 54 Quid est amor sui: item quomodo qui sui ipsius amore corripitur, cognoscet semetipsum.

55 Quodnam est discrimen inter amaritudinem, indignationem, iram et irritationem.

56 Quis est qui alta sapit, et quis arrogans, et quis superbus: item quis fastosus, et quis inflatus.

57 Si quis vitio cuipiam inemendabili sit obnoxius, et frequentius reprehensus læditur, an profuerit magis hoc ipsi permittere.

58 An solum judicetur is, qui de industria mentitus est: aut etiam is, qui nesciens aliquid absolute ontra veritatem locutus fuerit.

59 Si quis cogitaverit duntaxat aliquid facere, nec tamen fecerit, an is quoque velut mendax judicetur.

B 60 De eo qui proterve decrevit facere aliquid eorum quæ displicent Deo.

61 Si quis neque operari potest, neque psalmos discere velit.

62 Quid fecerit quis, ut condemnetur tanquam qui talentum occultavit.

63 Quid fecerit quis, ut condemnetur tanquam illi qui murmuraverunt contra postremos.

64 Quid est offendiculo esse, et qua id ratione cavebimus.

65 Quomodo quis veritatem detinet in injustitia.

66 Quid est altercatio, et quid contentio.

67 Quid est immunditia, et quid impuritas.

C 68 Quid est proprium iræ, et quid proprium æquæ indignationis.

69 De eo qui licet non minus edat quam cæteri, neque sit fracto et invalido corpore, conqueritur tamen, tanquam qui non queat operari.

70 Quomodo puniendus sit, qui vestibus aut calceamentis abutitur.

71 Non desunt qui ciborum suavitatem expetant magis quam copiam, alii vero satietatis ergo copiam anteponunt suavitati: qui igitur utrique tractandi sint.

72 De eo qui in cibis sumendis immodeste inter fratres recumbit, aut voracius sese ingurgitat.

D 73 De eo qui non fraternæ emendationis desiderio redarguit delinquentem, sed ex libidine se ipsum ulciscendi.

74 De iis qui recedunt a fratrum conventu, præferuntque vitam solitariam.

75 404 An peccati cujusque, sive mente, sive verbo, sive opere patratum fuerit, auctorem Satanam dicere oporteat.

76 An oporteat mentiri, videlicet utilis cujusdam œconomiæ causa.

77 Quid est dolus, et quid morum perversitas.

78 Inventores malorum qui sint

79 Si quis assidue se ipsum accuset, quod durius tractet fratrem, quomodo corrigetur.

(41) Editio Ven. et Reg. tertius ἀληθὲς ἀκωλύτως.

80 Unde fit, ut animus noster quasi destituatur A bonis cogitationibus, sollicitudinibusque Deo placitis.

81 Si pii sunt eodem modo objurgandi, atque alii quivis indifferentes

82 Si forte anus idem peccatum admiserit, quod adolescentula, num obnoxia sit mulctæ eidem.

83 Si quis multa recte gesserit, deliquerit vero in uno duntaxat, quomodo cum eo nobis agendum est.

84 De eo qui tumultuosis moribus atque turbulentis præditus est.

85 Si conveniat aliquid proprium habere in fratrum societate.

86 Si quis dicat : Neque accipio a fratribus, neque B eis do, sed meis contentus sum : quid erga talem observandum est.

87 Si unicuique liceat suum vetus indumentum dare, cum voluerit, ex præcepto.

88 Quid est sollicitudo hujus vitæ.

89 Quia scriptum est : *Pretium redemptionis animæ viri, suæ ipsius divitiæ*[82] : quid nobis faciendum est, qui his destituimur ?

90 Si licet nocturnum vestimentum habere, sive ex pilis confectum, sive aliud.

91 Si frater cui nihil proprium suppetit, rogatus fuerit ab aliquo, ut det id ipsum quod gestat : quid facere debeat, maxime si nudus fuerit, qui petit.

92 Cum Dominus jubeat bona vendere, qua mente C et quo sensu id faciendum est.

93. Qui semel bona sua reliquit, et proprium nihil habere professus est, quo animo uti debet rebus ad vitam necessariis, veluti vestitu ac victu.

94 De eo qui dereliquit tributa, et accessit ad fratres.

95 An expediat iis qui recens advenerunt, statim divinas Scripturas ediscere.

96 An permittendum sit cuilibet volenti, ut discat litteras, aut lectioni vacet.

97 Si quis dicit : Volo ad modicum tempus a vobis utilitatem capere, num excipiendus sit.

98 Quali animo præditus esse debet præfectus in D iis quæ præcipit, aut constituit.

99 Quonam affectu oporteat increpantem increpare.

100 Qui forinsecus adveniunt mendicantque, quomodo hos dimittemus.

101 De eo, cui credita dispensatio est, et de mendicantibus.

102 De egrediente a fratrum cœtu quacunque **405** de causa.

103 Cum usu veniat nonnunquam, ut et ipse senior labatur in aliquibus, an sit ipse redarguendus.

π' Πόθεν ἐπισυμβαίνει τὸ ὥσπερ τῇ διανοίᾳ ἐπιλείπειν λογισμοὺς ἀγαθοὺς, καὶ μερίμνας ἀρεσκούσας τῷ Θεῷ.

πα' Εἰ χρὴ ἴσως ἐπιτιμᾷν τοῖς εὐλαβέσι καὶ τοῖς ἀδιαφόροις.

πβ' Ἐὰν συμβῇ τὴν πρεσβυτέραν ἁμαρτῆσαι τὸ αὐτὸ τῇ νεωτέρᾳ, εἰ τῷ αὐτῷ ὑπόκειται ἐπιτιμίῳ.

πγ' Ἐάν τις, πολλὰ κατορθῶν, ἐν ἑνὶ μόνῳ διαπταίῃ, πῶς αὐτὸν παρέλθωμεν.

πδ' Περὶ τοῦ ἦθος ἔχοντος θορυβοποιὸν καὶ ταραχῶδες.

πε' Εἰ χρὴ ἔχειν τι ἴδιον ἐν ἀδελφότητι.

πς' Ἐὰν δὲ λέγῃ τις ὅτι, Οὔτε λαμβάνω παρὰ τῆς ἀδελφότητος, οὔτε δίδωμι, ἀλλὰ τοῖς ἐμοῖς ἀρκοῦμαι· τί δεῖ πρὸς τὸν τοιοῦτον παραφυλάξαι.

πζ' Εἰ ἔξεστιν ἑκάστῳ τὸ παλαιὸν αὐτοῦ ἱμάτιον δοῦναι ὅπου ἐὰν θέλῃ εἰς ἐντολήν.

πη' Τίς ἐστιν ἡ μέριμνα ἡ βιωτική

πθ' Ἐπειδὴ γέγραπται, *Λύτρον ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος*, ἡμῖν δὲ οὐ προεχώρησε τοῦτο, τί ποιήσομεν ;

ϙ' Εἰ ἔξεστι νυκτερινὸν ἱμάτιον ἔχειν, εἴτε τρίχινον εἴτε ἀλλοῖον.

ϙα' Ἐὰν ἀδελφὸς, ἴδιον οὐκ ἔχων οὐδὲν, αἰτηθῇ παρά τινος αὐτὸ ὃ φορεῖ, τί ὀφείλει ποιῆσαι, μάλιστα δὲ ἐὰν γυμνὸς ᾖ ὁ αἰτήσας.

ϙβ' Τοῦ Κυρίου προστάσσοντος πωλεῖν τα ὑπάρχοντα, τί διανοούμενον χρὴ τοῦτο ποιεῖν.

ϙγ' Τὸν ἅπαξ ἀποκτησάμενον, καὶ ἴδιον μηδὲν ἔχειν ἐπαγγειλάμενον, ποίᾳ διανοίᾳ κεχρῆσθαι δεῖ τοῖς πρὸς τὸ ζῆν ἀναγκαίοις, οἷον ἐσθῆτι καὶ τροφῇ.

ϙδ' Περὶ τοῦ καταλιπόντος φόρους, καὶ ἀδελφότητι προσελθόντος.

ϙε' Εἰ συμφέρει τοῖς ἄρτι προσερχομένοις εὐθὺς τὰ ἀπὸ τῶν Γραφῶν ἐκμανθάνειν.

ϙς' Εἰ δεῖ παντὶ τῷ βουλομένῳ ἐπιτρέπειν γράμματα μανθάνειν, ἢ ἀναγνώσμασι προσέχειν.

ϙζ' Ἐὰν λέγῃ τις ὅτι, Θέλω παρ' ὑμῖν ὀλίγον χρόνον ὠφεληθῆναι, εἰ δεῖ αὐτὸν προσδέχεσθαι.

ϙη' Ποταπὸν φρόνημα ὀφείλει ἔχειν ὁ προεστὼς, ἐν οἷς ἐπιτάσσει, ἢ διατάσσεται.

ϙθ' Ποταπῇ διαθέσει δεῖ ἐπιτιμᾷν τὸν ἐπιτιμῶντα.

ρ' Τοὺς ἔξωθεν ἐρχομένους καὶ προσαιτοῦντας πῶς ἀπολύσομεν.

ρα' Περὶ τοῦ ἐγχειριζομένου τὴν οἰκονομίαν, καὶ περὶ τῶν προσαιτούντων.

ρβ' Περὶ τοῦ ἐξερχομένου ἀπὸ ἀδελφότητος, καθ' ὃν δήποτε λόγον.

ργ' Ἐπειδὴ συμβαίνει εἴς τινα καὶ αὐτὸν ὀλισθαίνειν τὸν πρεσβύτερον, εἰ δέοι αὐτὸν ἐλέγχεσθαι.

[82] Prov. XIII, 8.

ρδ' Πῶς χρὴ τὰς φροντίδας ἐγχειρίζειν τοῖς ἀδελφοῖς.

ρε' Εἰ χρὴ τοὺς εἰσερχομένους εἰς ἀδελφότητα εὐθέως τέχνας μανθάνειν.

ρς' Ποίοις ἐπιτιμίοις κεχρῆσθαι δεῖ ἐν ἀδελφότητι.

ρζ' Περὶ τοῦ λέγοντος ἐπιθυμίαν ἔχειν συζῆν τῇ ἀδελφότητι.

ρη' Εἰ χρὴ τὸν προεστῶτα ἐκτὸς τῆς προεστώσης λαλεῖν ἀδελφῇ τινι τὰ πρὸς οἰκοδομὴν τῆς πίστεως.

ρθ' Εἰ χρὴ τὸν προεστῶτα μετὰ τῆς προεστώσης πυκνῶς διαλέγεσθαι.

ρι' Εἰ χρὴ, ἐξομολογουμένης ἀδελφῆς τῷ πρεσβυτέρῳ, καὶ τὴν πρεσβυτέραν παρεῖναι.

ρια' Εἰ, τοῦ πρεσβυτέρου γενέσθαι τι προστάξαντος ἐν ταῖς ἀδελφαῖς παρὰ γνῶσιν τῆς πρεσβυτέρας, εὐλόγως ἀγανακτεῖ ἡ πρεσβυτέρα.

ριβ' Ἐάν τις προσέλθῃ τῷ κατὰ Θεὸν βίῳ, εἰ ἀκόλουθόν ἐστι τὸν προεστῶτα ἄνευ γνώμης τῶν ἀδελφῶν τὸν τοιοῦτον προσδέχεσθαι.

ριγ' Εἰ δύναται ὁ φροντίδα ψυχῶν ἐγκεχειρισμένος φυλάξαι τὸ, *Ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία.*

ριδ' Εἰ δεῖ παντὶ τῷ ἐπιτάσσοντι καὶ οἰῳδηποτοῦν ὑπακούειν.

ριε' Πῶς ὑπακούειν ἀλλήλοις χρή.

ρις' Μέχρι πόσου ὑπακούειν χρή.

ριζ' Ὁ μὴ πληροφορούμενος ἐν τοις καθ' ἡμέραν πρὸς τὴν προκειμένην ἐντολὴν ἐπιτάγμασι, τέχνην δὲ μαθεῖν ἐπιζητῶν, ποῖον πάθος νοσεῖ, καὶ εἰ χρὴ αὐτοῦ ἀνέχεσθαι.

ριη' Ὁ σπουδαῖος εἰς τὴν ἐντολὴν, καὶ ἐργαζόμενος οὐχ ὃ ἐπιτάσσεται, ἀλλ' ὃ αὐτὸς θέλει, ποῖον μισθὸν ἔχει.

ριθ' Εἰ ἔξεστιν ἑκάστῳ παραιτεῖσθαι τὸ ἐγχειρισθὲν ἔργον, καὶ ἄλλο ἐπιζητεῖν.

ρκ' Εἰ δεῖ ἀπιέναι που χωρὶς ὑπομνήσεως τοῦ προεστῶτος.

ρκα' Εἰ ἔξεστι παραιτεῖσθαι τὰ βαρύτερα τῶν ἔργων.

ρκβ' Ἐάν τις, ἐπιτιμηθεὶς εὐλογίαν μὴ λαβεῖν, λέγῃ ὅτι, Ἐὰν μὴ λάβω εὐλογίαν, οὐκ ἐσθίω· εἰ δεῖ αὐτὸν ἀνέχεσθαι.

ρκγ' Ἐάν τις λυπῆται μὴ ἐπιτρεπόμενος ποιεῖν ὃ μὴ δύναται ἐπιτηδείως ποιεῖν, εἰ χρὴ αὐτοῦ ἀνέχεσθαι.

ρκδ' Εἰ δεῖ μετὰ αἱρετικῶν ἢ μετὰ Ἑλλήνων εὑρεθέντα που συνεσθίειν αὐτοῖς, ἢ ἀσπάζεσθαι αὐτούς.

ρκε' Τὸν πιστευόμενον ἔργον, καὶ ποιοῦντά τι χωρὶς ὑπομνήσεως παρὰ τὸ διατεταγμένον αὐτῷ, εἰ δεῖ ἔχειν τὸ ἔργον.

ρκς' Πῶς ἂν τις μὴ ἡττηθείη τῆς ἐν βρώμασι φιληδονίας.

A 104 Quæ ratio tenenda sit in officiis fratribus delegandis.

105 An statim ut aliqui in fratrum conventum ingressi fuerint, debeant artes discere.

106 Cujusmodi pœnis in fratrum societate uti oporteat.

107 De eo qui dicit cupere se simul cum fratribus vivere.

108 An conveniat præfectum, præfecta absente, cum sorore aliqua loqui de iis, quæ pertinent ad fidei ædificationem.

109 An conveniat præfectum cum præfecta frequenter colloqui.

110 An ipso seniore sororis confessionem excipiente, ipsa etiam senior adesse debeat.

B 111 Si senior, sorore seniore inscia, jusserit aliquid a sororibus fieri, an senior illa jure ac merito indignetur.

112 Si quis accedit ad vitam quæ secundum Deum est, an conveniat talem recipi a præfecto citra consensum fratrum.

113 An possit is cui animarum cura concredita est, hoc observare : *Nisi conversi fueritis, et facti fueritis sicut parvuli* [84].

114 Nunquid cuivis et quodvis imperanti obedire conveniat.

115 Quomodo sibi invicem obedire oporteat

116 Ad quosnam terminos se debet extendere obedientia.

C 117 Qui non assentitur iis quæ sibi quotidie injunguntur, quantum attinet ad propositum quoddam præceptum, et artem discere cupit; is quali morbo laborat, et nunquid tolerari debeat.

118 Qui strenuus est in mandato conficiendo, sed facit quod sibi non præcipitur, sed quod ipsi est placitum, qualem mercedem habet.

119 An liceat unicuique delatum sibi munus recusare, et aliud petere.

120 An conveniat aliquo abire non monito præfecto.

121 An licitum sit graviora opera rejicere.

122 Cui pœna hæc irrogata fuit, nimirum ut non accipiat benedictionem : si is dicat : Nisi accepero benedictionem, non edo : nunquid ferendus est.

D

123 Si quis molestia afficiatur, quod non permittatur facere id quod commode facere non potest, an tolerandus sit.

124 An ille qui usquam in hæreticos et gentiles incidit, debeat una cum ipsis cibum capere, aut ipsos salutare.

125 Cui munus aliquod creditum est, et sine ulla commonitione facit aliquid præter id quod ipsi injunctum fuit debetne ille munus suum retinere.

126 **406** Quomodo quis non vincatur a voluptate eduliorum.

[84] Matth. xviii, 3.

127 Dicunt quidam fieri non posse, ut homo non irascatur. A

128 Cum quis vult abstinentiam supra vires exercere, ita ut etiam in mandato, quod sibi proponitur, conficiendo impediatur, num id ei permittendum est.

129 De eo qui multum jejunat, et in edendo non potest cibum tolerare.

130 Quomodo jejunandum sit, ubi jejunio opus fuerit.

131 Qui non capit cibos, quos fratres edunt, sed alios requirit, num recte facit.

132 Qui dicit: Id mihi nocet, et ægre fert, nisi aliud datum fuerit: quid hoc est.

133 Si etiam murmuraverit ille ciborum causa.

134 Si etiam iratus recuset necessaria accipere. B

135 An conveniat aliquem fatigatum quidquam consuetis amplius requirere.

136 An necesse sit omnes ad horam prandii convenire: et si quis non occurrit, sed post prandium venit, quomodo nobis cum eo agendum sit.

137 An recte faciat, qui verbi gratia statuit certo quodam aut cibo aut potu ad aliquod tempus abstinere.

138 An oporteat inter fratres aliquem plus aliis jejunare.

139 Imbecilliores ad laborem evadimus, aucto jejunio. Quid igitur magis facto opus est? Laboremne rescindere propter jejunium, an negligere jejunium propter laborem? C

140 Si quis temperans non fuerit in noxiis cibis capiendis, imo vero his abunde sumptis incidat in morbum, nunquid cura illius sit suscipienda.

141 An conveniat peregrinos reperiri in officinis.

142 An debeant artifices opus ab aliquo accipere, citra præfecti sententiam.

143 Quomodo operarii commissa sibi instrumenta debeant accurare.

144 Si quis ex negligentia aliquod perdat, aut aliquo per contemptum abutatur.

145 Si quis ex seipso alicui commodet, aut illud accipiat.

D

146 Si urgente necessitate, præpositus ab ipso petat instrumentum, et contradicat.

147 Cum quis explendo cellarii aut coqui munere, vel quovis alio hujusmodi destinetur, si non interfuerit in constituto psalmodiæ et precationis tempore, isne nullum animæ detrimentum patitur.

148 Qualem potestatis mensuram inter dispensandum obtineat is cui cellarii cura fuit concredita.

149 Cuinam judicio obnoxius erit œconomus, si aliquid fecerit pro personarum ratione, aut per contentionem.

150 Si præ negligentia non dederit fratri necessaria.

ρκζ' Λέγουσί τινες, ὅτι ἀδύνατόν ἐστι μὴ ὀργισθῆναι ἄνθρωπον.

ρκη' Τῷ θέλοντι ἐγκρατεύεσθαι ὑπὲρ δύναμιν, ὥστε καὶ εἰς τὴν προκειμένην ἐντολὴν ἐμποδίζεσθαι, εἰ δεῖ συγχωρεῖν.

ρκθ' Περὶ τοῦ πολλὰ νηστεύοντος, ἐν δὲ τῇ μεταλήψει μὴ δυναμένου ἀνέχεσθαι τοῦ βρώματος.

ρλ' Πῶς χρὴ νηστεύειν, ὅταν χρεία γένηται νηστείας.

ρλα' Ὁ μὴ μεταλαμβάνων ὅθεν οἱ ἀδελφοὶ ἐσθίουσιν, ἀλλ' ἕτερον ἐπιζητῶν, εἰ καλῶς ποιεῖ.

ρλβ' Ὁ λέγων ὅτι, Βλάπτει με τοῦτο, καὶ λυπούμενος ἐὰν ἄλλο μὴ δοθῇ, τί ἐστιν.

ρλγ' Ἐὰν δὲ καὶ γογγύσῃ διὰ βρῶμα.

ρλδ' Ἐὰν δὲ καὶ ὀργισθεὶς παραιτῆται λαβεῖν τὰ πρὸς τὴν χρείαν.

ρλε' Εἰ χρὴ τὸν κάμνοντα αὐτὸν ἐπιζητῆσαι πλέον τι τῆς συνηθείας.

ρλς' Εἰ ἀναγκαῖον πάντας συνάγεσθαι ἐν τῇ ὥρᾳ τοῦ ἀρίστου, καὶ τὸν ἀπολιμπανόμενον, καὶ μετὰ τὸ ἄριστον ἐρχόμενον, πῶς παρέλθωμεν.

ρλζ' Εἰ καλόν ἐστι τὸ κρῖναι ἐπὶ τοσόνδε, εἰ τύχοι, χρόνον ἀποσχέσθαι τοῦδέ τινος τοῦ βρώματος ἢ τοῦ πόματος.

ρλη' Εἰ χρὴ ἐν ἀδελφότητί τινα πλέον τῶν ἄλλων νηστεύειν.

ρλθ' Τῆς νηστείας ἐπιτεινομένης, ἀτονώτεροι γινόμεθα εἰς τὸ ἔργον. Τί οὖν χρὴ μᾶλλον; Ἐμποδίζειν τῷ ἔργῳ διὰ τὴν νηστείαν, ἢ παρορᾷν ἐκείνην διὰ τὸ ἔργον;

ρμ' Ἐάν τις μὴ ἐγκρατεύηται περὶ τὰ βλαβερὰ τῶν βρωμάτων, μεταλαμβάνων δὲ ἀφειδῶς κακώσει περιπέσῃ, εἰ χρὴ αὐτοῦ ἐπιμέλειαν ποιεῖσθαι.

ρμα' Εἰ δεῖ ξένους ἐνευρίσκεσθαι τοῖς ἐργαστηρίοις.

ρμβ' Εἰ χρὴ τοὺς τεχνίτας δέχεσθαι παρά τινος ἔργον, ἄνευ γνώμης τοῦ προεστῶτος.

ρμγ' Πῶς ὀφείλουσιν ἐπιμελεῖσθαι οἱ ἐργαζόμενοι τῶν πεπιστευμένων αὐτοῖς σκευῶν.

ρμδ' Ἐὰν δέ τις ἐξ ἀμελείας ἀπολέσῃ τι, ἢ ἐκ καταφρονήσεως παραχρήσηται.

ρμε' Ἐὰν δὲ ἀφ' ἑαυτοῦ χρήσῃ τινὶ ἢ λάβῃ.

ρμς' Ἐὰν δὲ, καὶ συνεχούσης χρείας, ὁ προεστὼς ἐπιζητήσῃ παρ' ἑαυτοῦ σκεῦος, καὶ ἀντείπῃ.

ρμζ' Ὁ περὶ τὸ ἔργον τοῦ κελλαρίου ἢ τοῦ μαγείρου, ἢ περί τι ἄλλο τοιοῦτον ἀσχολούμενος, ἐὰν μὴ φθάσῃ παρεῖναι τῷ κανόνι τῆς ψαλμῳδίας καὶ τῆς προσευχῆς, εἰ μηδὲν ζημιοῦται τὴν ψυχήν.

ρμη' Ποῖον μέτρον ἐξουσίας ἔχει ἐν τῇ οἰκονομίᾳ ὁ πιστευθεὶς τὴν φροντίδα τοῦ κελλαρίου.

ρμθ' Τί τὸ κρῖμα τοῦ οἰκονομοῦντος, ἐάν τι κατὰ προσωποληψίαν ἢ φιλονεικίαν ποιήσῃ.

ρν' Ἐὰν δὲ ἀμελήσας μὴ δῷ τῷ ἀδελφῷ τὰ πρὸς τὴν χρείαν.

ρνα' Εἰ ἔξεστι τῷ ὑπηρετοῦντι μετὰ φωνῆς μείζονος λαλεῖν.

ρνβ' Περὶ τοῦ ὑπὲρ δύναμιν κάμνοντος ἐν τῇ ὑπηρεσίᾳ.

ρνγ' Ἡ τὰ ἔρια πιστευθεῖσα πῶς αὐτὰ ὀφείλει ἔχειν.

ρνδ' Ἐὰν συμβῇ ὀλίγους ὄντας ἀδελφοὺς, καὶ πλείοσιν ἀδελφαῖς ἐξυπηρετουμένους, εἰς ἀνάγκην ἐμπίπτειν τοῦ διΐστασθαι ἀπ' ἀλλήλων διαμεριζομένους πρὸς τὰ ἔργα, εἰ ἀκίνδυνόν ἐστι τὸ τοιοῦτον.

ρνε' Πῶς δεῖ προσφέρεσθαι τοῖς ἐν τῷ ξενοδοχείῳ ἀῤῥώστοις.

ρνς' Τὸν πεπιστευμένον φροντίδα ἤτοι κελλαρίου, ἢ ἄλλου τινὸς τοιούτου, εἰ δεῖ πάντοτε ἔχειν τὴν φροντίδα, ἢ καὶ ἐναλλάσσεσθαι.

ρνζ' Ποταπῇ διαθέσει ὀφείλει τις δουλεύειν Θεῷ.

ρνη' Ποταπῇ διαθέσει ὀφείλει δέχεσθαί τις τὸ ἐπιτίμιον.

ρνθ' Ὁ λυπούμενος κατὰ τοῦ ἐπιτιμήσαντος αὐτῷ ποταπός ἐστιν.

ρξ' Μετὰ ποίας διαθέσεως ὀφείλομεν ὑπηρετεῖν τοῖς ἀδελφοῖς.

ρξα' Μετὰ ποταπῆς ταπεινώσεως ὀφείλει τις δέχεσθαι τὴν ὑπηρεσίαν παρὰ τοῦ ἀδελφοῦ.

ρξβ' Ποταπὴν ἐν ἀλλήλοις ἔχειν δεῖ τὴν ἀγάπην.

ρξγ' Ποίῳ τρόπῳ δυνηθῇ τις κατορθῶσαι τὴν πρὸς τὸν πλησίον ἀγάπην.

ρξδ' Τί ἐστι τὸ, *Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε.*

ρξε' Πῶς γνωρίσει τις, εἰ ζήλῳ Θεοῦ κινεῖται κατὰ τοῦ ἁμαρτάνοντος ἀδελφοῦ, ἢ ὀργίζεται.

ρξς' Μετὰ ποίας διαθέσεως ὑπακούειν δεῖ τῷ εἰς ἔργον τῆς ἐντολῆς κατεπείγοντι.

ρξζ' Ποταπὴ ὀφείλει εἶναι ἡ ψυχὴ, ὅτε ὅλως κατηξιώθη ἐν τῷ ἔργῳ τοῦ Θεοῦ καταληφθῆναι.

ρξη' Μετὰ ποταπῆς διαθέσεως δεῖ λαμβάνειν ἱμάτιον ἢ ὑπόδημα, οἷον ἂν ᾖ.

ρξθ' Ἐὰν ἀδελφὸς νεώτερος ἐπιταχθῇ διδάξαι τι τὸν πρεσβύτερον καθ' ἡλικίαν, πῶς αὐτῷ προσενεχθήσεται.

ρο' Εἰ δεῖ ἴσως προσέχειν τῷ πλεῖον κατορθοῦντι, καὶ τῷ ἔλαττον.

ροα' Ἐὰν δὲ λυπῆται ὁ ἐλάττων, προτιμωμένου τοῦ εὐλαβεστέρου.

ροβ' Ποταπῷ φόβῳ, ἢ ποίᾳ πληροφορίᾳ, ἢ ποίᾳ διαθέσει μεταλάβωμεν τοῦ σώματος τοῦ Κυρίου.

ρογ' Εἰ δεῖ ἐν τῇ ὥρᾳ τῆς κατ' οἶκον ψαλμῳδίας λαλιάν τινα γίνεσθαι.

ροδ' Πῶς δυνηθῇ τις ἐνδιαθέτως καὶ μετὰ προθυμίας ποιεῖν τὰς ἐντολὰς τοῦ Κυρίου.

ροε' Πῶς φαίνεται ὁ ἀγαπῶν τὸν ἀδελφὸν κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου.

ρος' Τίνες εἰσὶν οἱ ἐχθροὶ, οὓς ἀγαπᾷν προσετάχθημεν.

ροζ' Πῶς ὀφείλουσιν οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν.

A 151 An ministranti liceat voce altiore loqui.

152 De eo qui ultra quam vires ipsius ferre possunt, in ministrando defatigatur. 407

153 Cui lanæ concreditæ sunt, quomodo debeat illas accurare.

154 Si forte cum pauci sunt fratres, et inserviunt pluribus sororibus, eo necessitatis deveniant ut a se invicem separentur, ad opera agenda divisi, utrum id periculo vacet.

155 Quomodo in hospitio tractare oporteat ægrotantes.

156 Nunquid is cui cellarii, aut alterius ejusmodi cura tradita est, debeat semper illius curam habere, aut immutari. B

157 Quo animo quis debeat Deo servire.

158 Quo affectu debeat quivis mulctam sustinere.

159 Qui ægre fert increpantem, qualis est

160 Quo animo debeamus fratribus inservire.

161 Qua humilitate debeat quis a fratre ministerium accipere.

162 Mutua charitas qualis esse debet.

163 Quomodo quis proximi dilectionem acquirere valeat.

164 Quidnam sibi velit illud : *Nolite judicare, et non judicabimini* [88].

C 165 Quomodo cognoscet quis, utrum Dei studio commoveatur in peccantem fratrem, an irascatur.

166 Quo animo ei qui ad mandatum conficiendum urget, auscultandum sit.

167 Qualis debet esse anima, quando prorsus digna habita est, quæ in Dei opere occupetur.

168 Quo affectu vestimentum aut calceamentum, qualecunque tandem fuerit, accipere oporteat.

169 Si frater junior jubeatur aliquid docere alterum ætate grandiorem, quomodo ipsum adibit

170 Si æqualis habenda sit ratio, tum ejus qui aliquid magis recte facit, tum illius qui minus recte.

D 171 Si tristitia afficiatur inferior, cum is qui magis pius est, sibi anteponitur.

172 Quo timore, aut qua fidei plenitudine, aut quo animo corpus Domini nobis accipiendum sit.

173 An deceat tempore psalmodiæ, quæ in domo fit, colloquia seri.

174 Quomodo possit quis ex animo et cum alacritate exsequi Domini mandata.

175 Quomodo constat ab aliquo amari fratrem, juxta Domini mandatum.

176 Quinam sint inimici quos diligere jussi sumus.

177 Quomodo debeant fortes imbecillorum infirmitates portare.

[88] Luc. VI, 37.

178 Quid est, alterum alterius onera portare [86].

179 Quomodo potest quis absque charitate fidem habere tantam, ut montes transferat, aut bona sua omnia det pauperibus, aut **408** corpus suum tradat, ut exuratur.

180 Quo animo et qua attentione ea audienda sint, quæ nobis cibum sumentibus leguntur.

181 Si duæ fratrum societates fuerint inter se vicinæ, et altera egestate laboret, altera vero ad impertiendum sit arctior, quomodo inopem affici oportet erga tenacem.

182 Quibus fructibus probari debet qui ex misericordia peccantem redarguit.

183 Si contingat nonnunquam ut aliqui in fratrum conventu viventes dissideant inter se, an periculo vacet una cum eis versari, charitatis causa.

184 Quomodo possit quis, quoties vel hortatur, vel arguit, studere non solum quomodo scienter loquatur, sed etiam quomodo debitam tum Deo, tum iis quoque quibuscum sermonem habet, animi affectionem servet.

185 Si quis in loquendo auditores sibi assentientes videns, gaudeat, quo pacto cognoscet seipsum, affectune bono lætetur, an vitiosa quadam affectione sibi propria.

186 Pro quibus amicis animam ponere debemus.

187 An unusquisque ab iis qui sibi sanguine conjunguntur, quidquam accipere debeat.

188 Quomodo eos qui nostri olim fuere contubernales, et eos qui cognatione nobis conjunguntur, cum accedunt, videamus.

189 Si adhortando etiam velint nos ad propria reducere.

190 An oporteat nos misereri cognatorum secundum carnem, salutem illorum concupiscentes.

191 Quis est mansuetus.

192 Quæ est tristitia secundum Deum, et quæ sit mundi tristitia.

193 Quale est in Christo gaudium.

194 Qualem luctum admittemus, ut beatitudine digni efficiamur [87].

195 Quomodo quis omnia facit ad gloriam Dei.

196 Quomodo edit quis bibitque ad gloriam Dei.

197 Quomodo efficiet dextera ut sinistra non cognoscat.

198 Quid sit humilitas, et quomodo eam assequemur.

199 Quomodo exoptaverit quis se etiam periculis objicere pro Domini mandato.

200 Quomodo ii qui diutius in Dei opere laboraverunt, possint recens accedentes juvare.

201 Quomodo quis attentionem in precando assequetur.

A ροη' Τί ἐστι τὸ ἀλλήλων τὰ βάρη βαστάζειν.

ροθ' Πῶς δύναταί τις ἄνευ ἀγάπης πίστιν κτήσασθαι τοσαύτην, ὥστε ὄρη μεθιστάνειν, ἢ τὰ ὑπάρχοντα πάντα δοῦναι πτωχοῖς, ἢ παραδοῦναι τὸ ἑαυτοῦ σῶμα, ἵνα καυθῇ.

ρπ' Μετὰ ποταπῆς διαθέσεως καὶ προσοχῆς ὀφείλομεν ἀκούειν τῶν ἐν τῷ καιρῷ τῆς μεταλήψεως παραναγινωσκομένων ἡμῖν.

ρπα' Ἐὰν ὦσιν ἀδελφότητες πλησίον ἀλλήλων, καὶ ἡ μὲν πτωχεύει, ἡ δὲ ἑτέρα περὶ τὴν κοινωνίαν δυσχερεστέρα ᾖ, πῶς δεῖ τὴν πτωχεύουσαν πρὸς τὴν μὴ μεταδιδοῦσαν διατίθεσθαι.

ρπβ' Ἐκ ποίων καρπῶν δοκιμάζεσθαι ὀφείλει ὁ συμπαθῶς ἐλέγχων τὸν ἁμαρτάνοντα.

ρπγ' Ἐὰν συμβῇ τινας ἐν ἀδελφότητι ζῶντας διαφωνῆσαι πρὸς ἀλλήλους, εἰ ἀκίνδυνόν ἐστιν ἀγάπης B ἕνεκεν συμπεριφέρεσθαι τοῖς τοιούτοις.

ρπδ' Πῶς δυνηθῇ τις, καὶ ὅτε παρακαλεῖ, καὶ ὅτε ἐλέγχει, μὴ μόνον σπουδάζειν ἐπιστημόνως λαλῆσαι, ἀλλὰ καὶ τὴν διάθεσιν τὴν ὀφειλομένην σώζειν πρός τε τὸν Θεὸν καὶ πρὸς ἐκείνους οἷς λαλεῖ.

ρπε' Ἐάν τις ἐν διαλέξει συνδιατιθεμένους ὁρῶν τοὺς ἀκούοντας χαίρῃ, πῶς γνωρίσει ἑαυτὸν, εἰ διαθέσει ἀγαθῇ χαίρει, ἢ πάθει τινὶ ἰδίῳ.

ρπς' Ὑπὲρ ποταπῶν φίλων τιθέναι τὴν ψυχὴν ὀφείλομεν.

ρπζ' Εἰ χρὴ παρὰ τῶν κατὰ σάρκα οἰκείων δέχεσθαί τι ἕκαστον.

C ρπη' Πῶς ἴδωμεν τοὺς ποτὲ συνοίκους ἡμῶν, ἢ συγγενεῖς εἰσερχομένους.

ρπθ' Ἐὰν δὲ καὶ παρακαλῶσιν ἡμᾶς θέλοντες ἀπαγεῖν εἰς τὰ ἴδια.

ρϙ' Εἰ δεῖ ἐλεεῖν τοὺς κατὰ σάρκα οἰκείους, ἐπιθυμοῦντας τὴν σωτηρίαν αὐτῶν.

ρϙα' Τίς ἐστιν ὁ πραΰς.

ρϙβ' Τίς ἐστιν ἡ λύπη ἡ κατὰ Θεὸν, καὶ τίς ἡ τοῦ κόσμου.

ρϙγ' Ποία ἐν Χριστῷ χαρά.

ρϙδ' Ποῖον πένθος ἀναλάβωμεν, ἵνα καταξιωθῶμεν τοῦ μακαρισμοῦ.

ρϙε' Πῶς πάντα εἰς δόξαν Θεοῦ ποιεῖ τις.

ρϙς' Πῶς ἐσθίει τις, καὶ πίνει εἰς δόξαν Θεοῦ.

D ρϙζ' Πῶς ποιήσει ἡ δεξιὰ ἵνα μὴ γινώσκῃ (42) ἡ ἀριστερά.

ρϙη' Τί ἐστι ταπεινοφροσύνη, καὶ πῶς αὐτὴν κατορθώσομεν.

ρϙθ' Πῶς ἄν τις προθυμηθείη καὶ πρὸς κινδύνους ὑπὲρ τῆς ἐντολῆς τοῦ Κυρίου παραβουλεύσθαι.

σ' Οἱ προκάμνοντες ἐν τῷ ἔργῳ τοῦ Θεοῦ, πῶς δύνανται ὠφελεῖν τοὺς ἄρτι προσερχομένους.

σα' Πῶς κατορθοῖ τις ἐν τῇ προσευχῇ τὸ ἀμετεώριστον.

[86] Gal. vi, 2. [87] Matth. v, 5.

(42) Sic Reg. tertius. Editi, Πῶς ὁ ποιεῖ... γινώσκει.

σβʹ Εἰ δυνατὸν κατορθῶσαι ἐν παντὶ καὶ πάντοτε τὸ ἀμετεώριστον. A

σγʹ Τῶν κατ' ἐντολὴν τοῦ Κυρίου κατορθωμάτων πότερον ἓν μέτρον ἐστὶν ἐν πᾶσιν, ἢ ὁ μὲν πλεῖον ἔχοι, ὁ δὲ ἔλαττον

σδʹ Πῶς καταξιοῦταί τις Πνεύματος ἁγίου γενέσθαι μέτοχος.

σεʹ Τίνες εἰσὶν οἱ πτωχοὶ τῷ πνεύματι.

σςʹ Τοῦ Κυρίου παραγγέλλοντος, μὴ μεριμνᾷν τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα· μέχρι τίνος ἐστὶν ἡ ἐντολὴ, ἢ πῶς κατορθοῦται.

σζʹ Τίνι λόγῳ δεῖ ἐργάζεσθαι.

σηʹ Εἰ καλόν ἐστι τὸ καθόλου σιγὴν ἀσκεῖν.

σθʹ Πῶς δυνηθῶμεν φοβηθῆναι τὰ κρίματα τοῦ Θεοῦ. B

σιʹ Τίς ἐστιν ἡ ὑπὸ τοῦ Ἀποστόλου παραδεδομένη καταστολὴ κοσμία.

σιαʹ Τί τὸ μέτρον τῆς πρὸς Θεὸν ἀγάπης.

σιβʹ Πῶς κατορθοῦται ἡ πρὸς Θεὸν ἀγάπη.

σιγʹ Τίνα ἐστὶ τὰ γνωρίσματα τῆς πρὸς Θεὸν ἀγάπης.

σιδʹ Χρηστότης καὶ ἀγαθωσύνη τίνι διαφέρουσιν ἀλλήλων.

σιεʹ Τίς ἐστιν ὁ ὑπὸ τοῦ Κυρίου μακαριζόμενος εἰρηνοποιός.

σιςʹ Ἐν τίνι στραφῆναι δεῖ καὶ γενέσθαι ὡς τὰ παιδία.

σιζʹ Πῶς δεξώμεθα τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον. C

σιηʹ Ποίαν σύνεσιν αἰτεῖν παρὰ τοῦ Θεοῦ ὀφείλομεν.

σιθʹ Ἐὰν εὐεργετηθῶμεν παρά τινος, πῶς δυνηθῶμεν καὶ τῷ Κυρίῳ τὴν ὀφειλομένην εὐχαριστίαν καθαρὰν καὶ ὁλόκληρον ἀποδοῦναι, καὶ τὴν πρὸς τὸν εὐεργέτην ἐπιστημόνως πληρῶσαι.

σκʹ Εἰ παντὶ τῷ βουλομένῳ ἀδελφαῖς συντυγχάνειν ἐπιτρέπειν χρή.

σκαʹ Τοῦ Κυρίου διδάσκοντος προσεύχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν, εἰ δεῖ προσεύχεσθαι μὴ περιπεσεῖν ὀδύναις σωματικαῖς.

σκβʹ Τίς ἐστιν ὁ ἀντίδικος ἑκάστου ἡμῶν, ἢ καὶ πῶς αὐτῷ εὐνοήσομεν.

σκγʹ Ὁ θέλων διά τινα λόγον ἀρέσκοντα Θεῷ νηστεῦσαι, ἐπειδὴ καὶ ὡς οὐ θέλει φαίνεται τοῖς ἀνθρώποις, τί ποιήσει. D

Ψυχὴ ἐν ἁμαρτίαις πολλαῖς ταλαιπωρήσασα (70) *μετὰ ποταποῦ φόβου καὶ ποταπῶν δακρύων ὀφείλει ἀναχωρῆσαι τῶν ἁμαρτημάτων· καὶ μετὰ ποίας ἐλπίδος καὶ διαθέσεως προσελθεῖν τῷ Θεῷ.*

C ΑΠΟΚΡΙΣΙΣ.

Πρῶτον μὲν ὀφείλει μισῆσαι τὸν κατεγνωσμένον ἑαυτῆς πρότερον βίον, καὶ τὴν μνήμην αὐτῆν σιχχαίνουσα (71) καὶ βδελυσσομένη· γέγραπται γάρ· *Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα*· ἔπειτα δὲ φόβου μὲν διδάσκαλον (72) λαμβάνειν τὴν ἀπειλὴν τῆς αἰωνίου κρίσεως καὶ κολάσεως, δακρύων δὲ καιρὸν γνωρίζειν τὸν καιρὸν τῆς μετανοίας, ὡς ἐδίδαξεν ὁ Δαβὶδ ἐν τῷ ἕκτῳ ψαλμῷ· πληροφορηθεῖσα τὸν καθαρισμὸν τῶν ἁμαρτημάτων διὰ τοῦ αἵματος τοῦ Χριστοῦ ἐν τῷ μεγέθει τοῦ ἐλέους καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, τοῦ εἰπόντος, ὅτι *Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ.* Τότε τὴν D ἐξουσίαν καὶ τὴν δύναμιν λαβοῦσα τῆς πρὸς Θεὸν εὐαρεστήσεως, λέγει· *Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις* (73). *Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοὶ, διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην, ὅπως ἂν ψάλλῃ σοι ἡ δόξα μου.* Καὶ

[61] Matth. v, 29. [62] Luc. xv, 6. [63] Matth. xviii, 17. [64] II Thess. iii, 6. [65] Psal. cxviii, 163. [66] Isa. i, 18. [67] Psal. xxix, 6, 12, 13

(68) Reg. primus et Colb. ὡς ὁ Κύριος ἐδίδαξεν εἰπών· Ἐάν, etc. Codex Voss. brevius ὡς ὁ Κύριος ἐδίδαξεν εἰπών· Ἔστω σοι ὥσπερ ἐθνικός.

(69) Antiqui duo libri ἣν παρελάβετε, *quam accepistis*. Reg. secundus ἣν παρελάβοσαν.

(70) Veteres duo libri cum Voss. πολλαῖς οὖσα. Mox duo mss. προσελθεῖν τῷ Κυρίῳ.

(71) Reg. primus et Combef. αὐτὴν σιγχαίνουσα. Reg. tertius σιχχένουσα. Codex Colb. συχαίνουσα. Editiones veteres σιχχαίνουσα. Fecit novitas vocis, ut tam varie a librariis scriberetur.

(72) Unus mss. φοβουμένη διδάσκαλον. Mox duo mss. τῆς αἰωνίου κολάσεως.

(73) Totum illud, τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις, sumptum est ex Vossii codice et ex Reg. primo.

οὕτω προσελθοῦσα, ψάλλει τῷ Θεῷ, λέγουσα· *Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ.*

ΕΡΩΤΗΣΙΣ ΙΑ'.

Πῶς κατορθοῖ τις τὸ μῖσος πρὸς τὰ ἁμαρτήματα.

ΑΠΟΚΡΙΣΙΣ

Ἀεὶ ἐκ τοῦ ἀηδοῦς καὶ λυπηροῦ ἀποτελέσματος τὸ μῖσος πρὸς τοὺς αἰτίους τῶν τοιούτων ἐγγίνεται. Ἐὰν οὖν τις πληροφορηθῇ ὅσων καὶ ἡλίκων κακῶν γίνεται αἴτια τὰ ἁμαρτήματα, αὐτομάτως καὶ ἐνδιαθέτως πάσχει τὸ πρὸς αὐτὰ μῖσος, οἷον ἔδειξεν ὁ εἰπών· *Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην.*

ΕΡΩΤΗΣΙΣ ΙΒ'.

Πῶς πληροφορηθῇ ἡ ψυχὴ, ὅτι ἀφῆκεν αὐτῇ ὁ Θεὸς τὰ ἁμαρτήματα (74).

ΑΠΟΚΡΙΣΙΣ.

Ἐὰν θεωρήσῃ ἑαυτὴν (75) ἐν τῇ διαθέσει τοῦ εἰπόντος· *Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην.* Ὁ γὰρ Θεὸς, ὑπὲρ τῆς ἀφέσεως τῶν ἡμετέρων ἁμαρτημάτων καταπέμψας τὸν μονογενῆ αὐτοῦ Υἱὸν, τὸ ὅσον ἐφ' ἑαυτῷ προλαβὼν πᾶσιν ἀφῆκεν. Ἐπειδὴ δὲ ἔλεον καὶ κρίσιν ᾄδει ὁ ἅγιος Δαβὶδ (76), καὶ μαρτυρεῖ, ὅτι ὁ Θεὸς ἐλεήμων ἐστὶ καὶ δίκαιος, ἀνάγκη τὰ εἰρημένα ὑπό τε τῶν προφητῶν καὶ τῶν ἀποστόλων εἰς τοὺς περὶ μετανοίας τόπους παρ' ἡμῶν γίνεσθαι, ἵνα τὰ κρίματα (77) τῆς δικαιοσύνης τοῦ Θεοῦ ἀναδειχθῇ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς ἄφεσιν τῶν ἁμαρτιῶν τελειωθῇ.

ΕΡΩΤΗΣΙΣ ΙΓ'.

Εἰ χρὴ τὸν μετὰ τὸ βάπτισμα ἐξαμαρτήσαντα (78) ἀπογινώσκειν τῆς ἑαυτοῦ σωτηρίας, ἐν πλήθει κακῶν εὑρεθέντα· ἢ ἕως ποίου μέτρου ἁμαρτιῶν ἐπελπίζειν χρὴ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ διὰ τῆς μετανοίας.

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ πλῆθος οἰκτιρμῶν Θεοῦ ἀριθμῆσαι, καὶ μέγεθος ἐλέους (79) Θεοῦ μετρῆσαι δυνατὸν, ἐν συγκρίσει πλήθους καὶ μεγέθους ἁμαρτημάτων ἡ ἀπόγνωσις γινέσθω. Εἰ δὲ ταῦτα μὲν, ὡς εἰκὸς, καὶ μέτρῳ ὑποβάλλεσθαι, καὶ ἀριθμητὰ εἶναι συμβαίνει, Θεοῦ δὲ ἔλεος μετρῆσαι καὶ οἰκτιρμοὺς ἀριθμῆσαι ἀδύνατον· οὐχ ἀπογνώσεως καιρὸς, ἀλλ' ἐπιγνώσεως ἐλέους καὶ καταγνώσεως ἁμαρτημάτων, ὧν ἡ ἄφεσις πρόκειται ἐν τῷ αἵματι τοῦ Χριστοῦ (80), καθὼς γέγραπται. Ὅτι δὲ οὐ χρὴ ἀπογινώσκειν, διδασκόμεθα πολλαχοῦ μὲν καὶ πολυτρόπως, μάλιστα δὲ ἐκ τῆς παραβολῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς ἐπὶ τοῦ υἱοῦ τοῦ λαβόντος τὴν τοῦ πατρὸς οὐσίαν καὶ καταναλώσαντος εἰς ἁμαρτήματα. Οὗ ἡ

A *niam suscepisti me, nec delectasti inimicos meos super me* [68].

INTERROGATIO XI.

Quomodo oderit quis peccata.

RESPONSIO.

Eventus tristis ac molestus semper odium parit in eos qui ejusmodi rerum auctores sunt. Si cui igitur persuasum sit, quot et quantorum malorum causa peccata sint, ea sponte et ex animo prosequitur ejusmodi odio, quale ostendit, qui dixit: *Iniquitatem odio habui et abominatus sum* [69].

INTERROGATIO XII.

Quomodo animus habeat persuasum, peccata sibi a Deo fuisse remissa.

B

RESPONSIO.

Nempe si viderit affectum se, siculi illum, qui dixit: *Iniquitatem odio habui et abominatus sum* [70]. Deus enim cum unigenitum Filium suum pro remissione peccatorum nostrorum demisit, ea, quantum in ipso fuit, omnibus in antecessum condonavit. Quoniam autem misericordiam et judicium David sanctus canit [71], testaturque Deum misericordem esse et justum, necesse fuerit quæ et prophetæ et apostoli in locis ubi de pœnitentia agunt, retulere, ea a nobis effici, ut appareant judicia justitiæ Dei, et misericordia ipsius in condonandis peccatis exerceatur.

INTERROGATIO XIII.

C *An oporteat post baptisma peccantem de salute desperare, si inveniatur in multitudine peccatorum: aut usque ad cujusmodi mensuram peccatorum sperandum sit in benignitate Dei, per pœnitentiam.*

RESPONSIO.

Si fieri potest ut multitudo miserationum Dei numeretur, ac magnitudo misericordiæ Dei mensura quapiam circumscribatur, collata cum multitudine et magnitudine peccatorum, tunc abjiciatur spes omnis. Quod si ea, ut constat, et ad mensuram et ad numerum redigi possint, fieri autem non queat ut metiatur quis Dei misericordiam, ac miserationes numeret, non tempus est desperandi, sed agnoscendi misericordiam, ac detestandi peccata, quorum venia **419** proponitur in Christi
D sanguine, velut scriptum est. Quod autem nequaquam desperandum sit, docemur ex multis locis, multisque modis, maxime autem ex parabola Domini nostri Jesu Christi, quæ de eo filio narra-

[68] Psal. XXIX, 2. [69] Psal. CXVIII, 163. [70] ibid. [71] Psal. C, 1.

(74) Reg. primus τὰς ἁμαρτίας.

(75) Antiqui duo libri ἑαυτήν. Reg. tertius αὐτήν. Editi αὐτόν. Mox Reg. primus et Colb. Ὁ γὰρ Θεός. Vox Θεός typographis exciderat. Haud longe Reg. primus τὸν ἑαυτοῦ μονογενῆ Υἱόν.

(76) Vox Δαβίδ, addita est ex Vossii veteri libro et ex aliis duobus.

(77) Codex Voss. et Colb. τὸ κρῖμα. Reg. primus ἵνα τὸ κρῖμα τῆς δικαιοσύνης τοῦ Θεοῦ κατὰ τὸ ἔλεος αὐτοῦ ἀποδειχθῇ, καὶ εἰς ἄφεσιν.

(78) Codex Voss. ἐξαμαρτόντα. Aliquanto post unus ms. χρὴ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν.

(79) Sic Voss. et Colb. et Reg. primus. Vox ἐλέους in editis desiderabatur. Reg. tertius μέγεθος ἐλέους μετρῆσαι.

(80) Reg. primus αἵματι τοῦ Κυρίου. Addita est non longe vocula καί ex libris veteribus.

tur [72], qui acceptam hæreditatem paternam insumpserat in peccata. Cujus pœnitentia qualem et quantam celebritatem meruerit, ex ipsis Domini verbis ediscimus. Sed et per Isaiam dicit Deus : *Si fuerint peccata vestra quasi phœniceum, sicut nivem dealbabo : et si fuerint ut coccinum, sicut lanam dealbabo* [73]. Quod quidem tantummodo verum esse nobis sciendum est, si pœnitentiæ modus ex animi affectione peccatum exsecrante eximius et excellens adhibeatur, sicut scriptum est tum in Veteri, tum in Novo Testamento : et edatur fructus dignus [uti dictum [est in ea, quæ ad hoc pertinet, interrogatione.

A μετάνοια οἵας καὶ ὅσης (81) ἑορτῆς ἀξία γέγονεν, ἐξ αὐτῶν τῶν ῥημάτων τοῦ Κυρίου μανθάνομεν. Καὶ διὰ Ἡσαΐου δέ φησιν ὁ Θεός· *Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον* (82) *λευκανῶ.* Ὅπερ ὀφείλομεν εἰδέναι ἀληθὲς μόνον, ἐὰν ὁ τρόπος τῆς μετανοίας ἐκ διαθέσεως βδελυσσομένης τὴν ἁμαρτίαν ἀξιόλογος γένηται, καθὼς γέγραπται ἔν τε Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ· καὶ ὁ καρπὸς ἄξιος, καθὼς εἴρηται ἐν τῷ περὶ τούτου ἐπερωτήματι.

INTERROGATIO XIV.

Ex quibus fructibus probanda sit vera pœnitentia.

RESPONSIO.

Mores pœnitentium, et affectus recedentium a peccato, et studium fructuum pœnitentia dignorum relata sunt in suis locis.

ΕΡΩΤΗΣΙΣ ΙΔ'.

B *Ἐκ ποίων καρπῶν ὀφείλει δοκιμάζεσθαι ἡ ἀληθὴς μετάνοια*

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ τρόπος τῶν μετανοούντων (83) καὶ ἡ διάθεσις τῶν ἀναχωρούντων τοῦ ἁμαρτήματος, καὶ ἡ σπουδὴ τῶν ἀξίων καρπῶν τῆς μετανοίας εἴρηται ἐν τοῖς ἰδίοις τόποις

INTERROGATIO XV.

Quid hoc sibi vult : « Quoties peccaverit in me frater meus, et remittam ei [74] *? » Et in cujusmodi peccatis meum est condonare*

RESPONSIO.

Potestas remittendi non absolute tradita est, sed consistit in obedientia pœnitentis, et in concordia quæ habenda est cum eo, qui animam ipsius curat. Scriptum namque est de talibus : *Si duo ex vobis consenserint super terram, de omni re quamcunque petierint, fiet illis a Patre meo, qui in cœlis est* [75]. At vero de cujusmodi peccatis id sit intelligendum, ne quærere quidem licet, cum Testamentum Novum nullum nobis discrimen indicet, sed quibuslibet rite pœnitentibus polliceatur veniam cujusque : et maxime, cum Dominus ex sua ipsius persona pollicitus sit de omni re.

ΕΡΩΤΗΣΙΣ ΙΕ'

Τί ἐστι τὸ, « Ποσάκις ἁμάρτῃ (84) εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ; » Καὶ ἐπὶ ποίοις ἐμόν ἐστιν ἀφιέναι.

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ ἐξουσία τοῦ ἀφιέναι οὐχ ἀπολύτως δέδοται· ἀλλ' ἐν ὑπακοῇ τοῦ μετανοοῦντος, καὶ συμφωνίᾳ πρὸς τὸν ἐπιμελούμενον (85) αὐτοῦ τῆς ψυχῆς. Γέγραπται γὰρ ἐπὶ τῶν τοιούτων, ὅτι *Ἐὰν δύο ὑμῶν* C *συμφωνήσωσιν ἐπὶ τῆς γῆς, περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.* Τὸ δὲ ἐπὶ ποίοις οὐδὲ ἐρωτᾷν (86) ἐστι, τῆς Καινῆς Διαθήκης διαφορὰν ἡμῖν μηδεμίαν δηλωσάσης (87), πάσης δὲ ἁμαρτίας τὴν ἄφεσιν τοῖς ἀξιολόγως μετανοοῦσιν ἐπαγγελλομένης· καὶ μάλιστα τοῦ Κυρίου ἐξ ἰδίου προσώπου ἐπαγγειλαμένου περὶ παντὸς πράγματος.

420 INTERROGATIO XVI.

Cur aliquando anima etiam sine conatu, dolore naturaliter fere quasi illapso, compungatur, aliquando vero ita doloris expers sit, ut etiam conatu adhibito compungi non possit.

RESPONSIO.

Talis quidem compunctio donum Dei est, aut ad excitandum desiderium, ut animus gustata doloris ejusmodi dulcedine, eum excolere studeat, aut ad id demonstrandum, posse animum diligentioris studii ope in assidua compunctione versari, ut nullus sit excusationi locus iis qui illam ex negligentia

ΕΡΩΤΗΣΙΣ Ιϛ'.

Διὰ τί ποτὲ μὲν ἡ ψυχὴ καὶ μὴ σπουδάζουσα, αὐτομάτως σχεδὸν ὡς (88) ἐμπεσόντος πόνου, κατανύσσεται· ποτὲ δὲ ἄπονος οὕτως ἐστὶν, ὡς καὶ βιαζομένη κατανυγῆναι μὴ δύνασθαι.

ΑΠΟΚΡΙΣΙΣ.

D Ἡ μὲν τοιαύτη κατάνυξις Θεοῦ ἐστι δῶρον, ἢ εἰς ἐρεθισμὸν τῆς ἐπιθυμίας, ἵνα γευσαμένη ἡ ψυχὴ τῆς γλυκύτητος τοῦ τοιούτου πόνου, σπουδάσῃ τοῦτον ἐξομαλίσαι· ἢ εἰς ἀπόδειξιν τοῦ δύνασθαι τὴν ψυχὴν διὰ σπουδαιοτέρας ἐπιμελείας (89) ἐν κατανύξει εἶναι πάντοτε, πρὸς τὸ ἀναπολόγητον τῶν διὰ

[72] Luc. xv, 13 sqq. [73] Isa. i, 18. [74] Matth. xviii 21. [75] ibid. 19.

(81) Reg. primus μετάνοια οἵα καὶ ὅσης. Ibidem Colb. καὶ πόσης ἑορ.
(82) Codex Voss. ὡσεὶ ἔριον. Mox idem ms. et alii duo εἰδέναι ἀκριβῶς μόνον.
(83) Sic veteres quatuor libri. Illud, τῶν μετανοούντων, abest a vulgatis.
(84) Reg. primus ἁμαρτήσει, *peccabit*. Mox idem ms. et Voss. τὸ ἀφιέναι.
(85) Reg. tertius et Voss. πρὸς τὸν ἐπιμελόμενον.
(86) Codex Voss. et alter ms. οὔτε ἐρωτᾷν.
(87) Reg. primus μηδεμίαν δηλούσης. Aliquanto post idem ms. et Voss. προσώπου ἐπαγγελλομένου.
(88) Voculam ὡς ex antiquis tribus libris addidimus.
(89) Unus ms. σπουδαιοτέρας ἐπιθυμίας καὶ ἐπιμελείας. Haud longe duo mss. ταύτην ἀποβαλλόντων.

ῥᾳθυμίας ταύτην ἀποβαλόντων· τὸ δὲ βιάζεσθαι καὶ μὴ δύνασθαι, ἅμα μὲν ἔλεγχος τῆς ἐν τῷ ἄλλῳ χρόνῳ ἀμελείας ἡμῶν (οὐ γὰρ δυνατὸν ἄνευ μελέτης καὶ συγγυμνασίας πλείονος καὶ συνεχοῦς (90), ἐξαίφνης ἐπί τι παρελθόντα, περιγενέσθαι αὐτοῦ)· ἅμα δὲ δείκνυσι τὴν ψυχὴν ὑφ' ἑτέρων παθῶν κυριευομένην, καὶ ὑπ' ἐκείνων οὐδὲ πρὸς ἃ βούλεται, ἐλευθεριάζειν ἐπιτρεπομένην, κατὰ τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον θεώρημα, εἰπόντος· *Ἐγὼ δὲ σαρκικός εἰμι* (91), *πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. Οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ·* καὶ πάλιν· *Νῦν δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία·* τοῦ Θεοῦ καὶ τοῦτο συμβαίνειν ἡμῖν εἰς ἀγαθὸν συγχωρήσαντος, ἐὰν ἄρα δι' ὧν ἀκουσίως πάσχει ἡ ψυχὴ, εἰς αἴσθησιν (92) ἔλθοι τοῦ κρατοῦντος, καὶ γνωρίσασα ἑαυτὴν ἐν οἷς ἀκουσίως δουλεύει τῇ ἁμαρτίᾳ, ἀνανήψῃ ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἕτοιμον εὑρίσκουσα τὸ ἔλεος τοῦ Θεοῦ εἰς ἀντίληψιν τῶν γνησίως μετανοούντων.

A amiserint : sed conari, et tamen non posse, simul et nostram negligentiam cui in alio tempore dediti fuerimus, manifeste arguit (neque enim fieri potest, ut quis derepente aliquid aggressus, id assequatur citra meditationem, ac citra multam assiduamque exercitationem), et eodem tempore indicio est, animum subjici vitiis aliis, neque sibi ab his permitti, ut vel ad ea quæ vult liber sit; juxta eam quam Apostolus protulit sententiam : *Ego autem carnalis sum, venumdatus sub peccato. Non enim quod volo, hoc ago : sed quod odi, illud facio* [76]. Et rursus · *Nunc autem jam non ego operor illud, sed quod habitat in me peccatum* [77] : nimirum Deus ipse id nobis ad nostram utilitatem contingere sinit, si quomodo animus per ea quæ invitus patitur, cognitio- B nem attingat ejus, in cujus potestate sit, et ut sibiipsi conscius quibus in rebus peccato serviat præter voluntatem, resipiscat ex laqueo diaboli, inveniens Dei misericordiam ad eos quos vere pœnitet suscipiendos paratam.

ΕΡΩΤΗΣΙΣ ΙΖ'

Ἐὰν τις κατὰ νοῦν μνημονεύσῃ τοῦ φαγεῖν, εἶτα καταγνῷ ἑαυτοῦ, εἰ καὶ οὗτος ὡς μεριμνήσας ἐγκληθήσεται.

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μὲν, τῆς φύσεως μὴ ἐνοχλούσης, πρὸ καιροῦ τῆς πείνης ἡ μνήμη γίνεται (93), πρόδηλος μὲν ὁ μετεωρισμὸς τῆς ψυχῆς, κατηγορῶν αὐτῆς τήν τε περὶ τὰ παρόντα προσπάθειαν καὶ τὴν περὶ τὰ ἀρέσκοντα Θεῷ ῥᾳθυμίαν· ἕτοιμον δὲ καὶ οὕτως τὸ τοῦ Θεοῦ ἔλεος. Καταγνοὺς γάρ τις ἑαυτοῦ, τῷ λόγῳ τῆς μετανοίας ἀπολέλυται τοῦ ἐγκλήματος, καὶ ἐὰν φυλάξηται τοῦ λοιποῦ τὸν ὄλισθον, μνημονεύων τοῦ Κυρίου εἰπόντος· *Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.* Εἰ δὲ, τῆς φύσεως ἀναγκαζούσης, καὶ τῆς πείνης κρατούσης, ἡ μὲν αἴσθησις τὴν μνήμην κινεῖ, νικᾷ δὲ ὁ λογισμὸς τῇ περὶ τὰ κρείττονα σπουδῇ τε (94) καὶ σχολῇ, οὐχ ἡ μνήμη καταγνώσεως ἀξία, ἀλλ' ἡ νίκη ἐπαίνου.

INTERROGATIO XVII.

Si quis comedere in anima habuerit, deinde condemnaverit seipsum, nunquid id ei tanquam anxie sollicito sit vitio vertendum.

RESPONSIO.

Sane si memoria, nondum natura perturbante, prævertit esuriendi tempus, manifesta est animi aberratio, accusans ipsius tum erga præsentia affectionem, tum erga ea quæ Deo placent, segnitiem. C Parata est autem etiam sic Dei misericordia. Etenim si quis seipsum condemnarit, pœnitentiæ causa absolutus est a crimine, et si caverit de cætero lapsum, memor Domini qui dixit, *Ecce sanus factus es, jam noli peccare, ne deterius tibi aliquid contingat* [78]. Quod si cogente natura, et fame invalescente, sensus commoveat **421** memoriam, sed tamen superet ratio tum ob studium, tum ob suam circa meliora occupationem; memoria hæc non condemnanda est, sed victoria laudanda.

ΕΡΩΤΗΣΙΣ ΙΗ'

Εἰ χρὴ ἐν ἀδελφότητι τῷ ἐξαμαρτήσαντί ποτε φροντίδα τινὰ ἐγχειρίζειν μετὰ πολλὴν ἄσκησιν· καὶ εἰ χρὴ, ποίαν ταύτην.

ΑΠΟΚΡΙΣΙΣ.

Μνημονεύοντες τοῦ Ἀποστόλου λέγοντος, *Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ*

INTERROGATIO XVIII.

An par fuerit, ei qui in fratrum conventu aliquando deliquit, munus aliquod demandare post multam exercitationem, et si par sit, quale tandem illud D *esse debeat.*

RESPONSIO.

Memores Apostoli dicentis, *Sine offensione estote et Judæis, et Gentibus, et Ecclesiæ Dei : sicut et*

[76] Rom. VII, 14, 15. [77] ibid. 17. [78] Joan. v, 14.

(90) Reg. tertius et Voss. καὶ συγγυμνασίας μείζονος καὶ συνεχοῦς. Codex Colb. ἄνευ πολλῆς μελέτης καὶ γυμνασίας μείζονος καὶ συνεχοῦς καὶ ἀπαραλείπτου, ἐξαίφνης ἐπὶ εὐχὴν παρελθόντα, περιγίνεσθαι ἑαυτοῦ.

(91) Veteres aliquot libri σαρκικός εἰμι. Editi σάρκινος. Aliquanto post Reg. primus Νυνὶ δέ. Subinde codex Voss. εἰς ἀγαθὸν συγχωροῦντος.

(92) Antiqui duo libri cum Voss. ψυχὴ εἰς διόρθωσιν, *si videlicet emendet affectum dominantem.* Alii duo mss. et editi εἰς αἴσθησιν. Pro ἔλθοι mss. nonnulli habent ἔλθῃ. Statim Colb. δουλεύῃ... ἀνανήψει.

(93) Reg. primus μνῆμα γένηται. Aliquanto post idem ms. τήν τε πρὸς τὰ παρόντα συμπάθειαν, καὶ τὴν πρὸς τὰ ἀρέσκοντα.

(94) Antiqui duo libri cum Voss. σπουδῇ τε. Vocula τε in editis desiderabatur. Ibidem codex Voss. σχολῇ, καὶ περιγένηται τῆς μνήμης, οὐχ. Statim editi et Reg. secundus καταγνώσεως αἰτία, *non causa est condemnationis.* Alii tres mss. præter Voss. καταγνώσεως ἀξία, longe melius.

ego per omnia omnibus placeo, non quærens quod mihi utile est, sed quod multis, ut salvi fiant [79], multam adhibere debemus curam, ne quod offendiculum demus Evangelio Christi, neve infirmis simus offensioni, et ne quosdam instruamus ad improbitatem. Quamobrem in his quoque qui hujusmodi sunt, necessario considerandum est et expendendum id quod faciat ad fidei ædificationem, et ad cujusque virtutis in Christo profectum.

INTERROGATIO XIX.

Si quis veniat in suspicionem peccati, nec tamen aperte illud committat, nunquid debeat is observari, ut deprehendatur id quod suspectum est.

RESPONSIO.

Pravæ suspiciones, et quæ a proposito malevolo proficiscuntur, culpantur ab Apostolo [80]. Verum is cui fuit demandata omnium cura, omnes observet necesse est, in charitate Christi, et desiderio illius qui suspectus est, curandi, ut fiat quod dictum est ab Apostolo: *Ut exhibeamus omnem hominem perfectum in Christo Jesu* [81].

INTERROGATIO XX.

Debetne is qui in peccatis versatus fuerit, hæreticorum societatem refugere, aut etiam prave viventium consuetudinem declinare.

RESPONSIO.

Cum Apostolus dixerit, *Subtrahatis vos ab omni fratre ambulante inordinate, et non secundum traditionem quam acceperunt a nobis* [82], in universum quævis cujusque rei vetitæ societas et in mente, et in sermone, et in actione, noxia est omnibus et periculosa. Est autem operæ pretium eos qui in peccatis versati sunt, sese etiam diligentius observare. Primum quidem, quod animus peccato assuetus, ad illud ut plurimum proclivior sit: deinde vero, quod quemadmodum **422** in curandis iis qui corpore laborant, cautione majore opus est, ita ut ea etiam quæ sanis utilia sunt, sæpenumero rejiciantur, ita in iis etiam qui animo ægrotant, multo major cautio et diligentia requiratur. Quantum autem detrimentum accedat ex peccantium societate, idem Apostolus hocce argumento declarat: *Modicum fermentum totam massam fermentat* [83]. Quod si ab iis qui in moralibus errant, tantum affertur detrimentum, ecquid de iis dicendum est, qui prave sentiunt de Deo,

A τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, *καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ* (95) *συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι*, πολλὴν φροντίδα ἔχειν ὀφείλομεν, ὅπως μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, καὶ ὅπως μὴ πρόσκομμα γενώμεθα τοῖς ἀσθενοῦσι, μήτε μὴν οἰκοδομήσωμέν τινας (96) εἰς κακίαν. Διόπερ ἀναγκαῖον καὶ ἐπὶ τῶν τοιούτων σκοπεῖν καὶ δοκιμάζειν τὸ πρὸς οἰκοδομὴν τῆς πίστεως, καὶ προκοπὴν πάσης ἀρετῆς ἐν Χριστῷ.

ΕΡΩΤΗΣΙΣ ΙΘ'.

Ἐάν τις ὑποπτεύηται ἐπὶ ἁμαρτήματι, προφανῶς δὲ τοῦτο μὴ ποιῇ, εἰ δεῖ αὐτῷ ἐπιτηρεῖν (97) *ἵνα καὶ ἐφευρεθῇ ὃ ὑποπτεύεται.*

ΑΠΟΚΡΙΣΙΣ

B Αἱ μὲν πονηραὶ ὑπόνοιαι καὶ ἀπὸ προαιρέσεως ἐθελοκάκου γινόμεναι κατηγοροῦνται ὑπὸ τοῦ Ἀποστόλου· ἐπιτηρεῖν δὲ χρὴ τοῖς πᾶσιν ἐν ἀγάπῃ Χριστοῦ, καὶ ἐν ἐπιθυμίᾳ θεραπείας τοῦ ὑποπτευομένου τὸν ἐπιτεταγμένον τὴν πάντων ἐπιμέλειαν, ὅπως γένηται τὸ εἰρημένον ὑπὸ τοῦ Ἀποστόλου· *Ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ.*

ΕΡΩΤΗΣΙΣ Κ'.

Εἰ χρὴ τὸν ἐν ἁμαρτίαις ἐξετασθέντα φεύγειν τὴν πρὸς τοὺς ἑτεροδόξους κοινωνίαν, ἢ καὶ πρὸς τοὺς κακῶς ζῶντας διακρίνεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Ἀποστόλου εἰπόντος, *Στέλλεσθαι ὑμᾶς ἀπὸ* C *παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον* (98) *παρ' ἡμῶν*, καθόλου παντὶ πᾶσα κοινωνία παντὸς ἀπηγορευμένου πράγματος κατά τε νοῦν καὶ λόγον, καὶ πρᾶξιν ἐπιβλαβὴς καὶ ἐπικίνδυνος. Τοὺς δὲ ἐν ἁμαρτίαις ἐξετασθέντας καὶ πλέον ἀκριβεύεσθαι χρή. Πρῶτον μὲν, ὅτι ὀλισθηροτέρα (99) ἡ ψυχὴ πρὸς τὴν ἁμαρτίαν ὡς ἐπὶ τὸ πλεῖστόν ἐστιν, ἡ ἐν συνηθείᾳ ταύτης γενομένη· ἔπειτα δὲ, ὅτι, καθάπερ ἐπὶ τῶν τὰ σώματα ἀσθενούντων ἡ ἐπιμέλεια τὴν ἐπιτήρησιν (1) ἀκριβεστέραν ἔχει, ὡς καὶ τὰ ὠφελοῦντα τοὺς ὑγιαίνοντας παραιτεῖσθαι πολλάκις· οὕτω καὶ ἐπὶ τῶν τὴν ψυχὴν ἀῤῥωστησάντων πολὺ πλείονος (2) χρεία τῆς παραφυλακῆς καὶ τῆς ἐπιμελείας. Ὅση δέ ἐστιν ἐκ τῆς πρὸς τοὺς ἁμαρτάνοντας κοινωνίας ἡ D βλάβη, παρίστησιν ὁ αὐτὸς Ἀπόστολος ἐπὶ τοιαύτης (3) ὑποθέσεως εἰπών· *Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.* Εἰ δὲ ἐπὶ τῶν ἐν τοῖς ἠθικοῖς σφαλλομένων τοσαύτη ἐστὶν ἡ βλάβη, τί χρὴ λέγειν περὶ

[79] I Cor. x, 32, 33. [80] I Tim. vi, 4. [81] Coloss. i, 28. [82] II Thess. iii, 6. [83] I Cor. v, 6.

(95) Editi et Reg. secundus τὸ ἑαυτοῦ. Regii duo τὸ ἐμαυτοῦ. Alius itidem Reg. et Voss. τὸ ἐμὸν συμφέρον.

(96) Reg. primus οἰκοδομήσωμέν τινα. Mox mss. nonnulli καὶ ἐπὶ τῶν. Vocula καί abest a vulgatis. Ibidem duo mss. σκοπεῖν τε ἀεὶ καὶ δοκιμάζειν.

(97) Editio Basil. pariter ac Paris. αὐτὸν ἐπιτηρεῖν. Editio Ven. et mss. quatuor αὐτῷ.

(98) Regii primus et tertius ἣν παρελάβοσαν.

(99) Reg. primus et Voss. et Colb. ὅτι εὐολισθοτέρα. Alii duo mss. et editi ὀλισθηροτέρα. Mox Reg. primus ταύτης γινομένη. Ibidem Reg. primus et Voss. ἔπειτα δὲ, ὅτι. Vox ὅτι in editis non legitur.

(1) Antiqui tres libri præter Voss. ἐπιμέλεια τὴν ἐπιτήρησιν. Editi τὴν τήρησιν.

(2) Veteres duo libri πολλῷ πλείονος. Alii mss. et editi πολύ.

(3) Reg. primus περὶ τῆς τοιαύτης. Statim Regii duo mss. cum Voss. φύραμα δολοῖ. Ibidem tres mss. præter Voss. Εἰ δὲ ἐπὶ τῶν ἐν τοῖς. Editi et Reg. tertius Εἰ δὲ ἐπὶ τοῖς.

τῶν περὶ Θεοῦ κακοδοξούντων, οὓς ἡ κακοδοξία οὐδὲ ἐν τοῖς ἄλλοις ὑγιαίνειν ἐᾷ, παραδιδομένους ἅπαξ (4) δι' αὐτὴν τοῖς τῆς ἀτιμίας πάθεσιν; ὡς πολλαχόθεν δείκνυται καὶ ἐκ τῶν ἐν τῇ πρὸς Ῥωμαίους εἰρημένων περί τινων οὕτως· *Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα· πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ· μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας· ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς, ἀσυνέτους, ἀσυνθέτους* (5), *ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας· οἵτινες, τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, οὐκ ἐνόησαν ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον δὲ αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσιν.*

A quos opinio prava ne in cæteris quidem sanos esse permittit, semel ob ipsam ignominiæ vitiis traditos? uti liquet ex multis locis, et maxime ex iis quæ in Epistola ad Romanos de quibusdam dicta sunt hunc in modum: *Et sicut non probaverunt Deum habere in notitia, tradidit illos Deus in reprobum sensum, ut faciant ea quæ non conveniunt: repletos omni iniquitate, fornicatione, malitia, avaritia, nequitia: plenos invidia, homicidio, contentione, dolo, malignitate: susurrones, detractores, Deo odibiles, contumeliosos, superbos, elatos, inventores malorum, parentibus non obedientes, insipientes, incompositos, sine affectione, absque fœdere, sine misericordia: qui cum justitiam Dei cognovissent, non intellexerunt quoniam qui talia agunt,* B *digni sunt morte: et non solum qui ea faciunt, sed etiam qui consentiunt facientibus* [84]

ΕΡΩΤΗΣΙΣ ΚΑ'.

Πόθεν ὁ μετεωρισμὸς καὶ οἱ διαλογισμοί· καὶ πῶς αὐτοὺς διορθωσόμεθα.

ΑΠΟΚΡΙΣΙΣ.

Γίνεται ὁ (6) μετεωρισμὸς ἀπὸ ἀργίας τοῦ νοῦ μὴ ἀσχολουμένου περὶ τὰ ἀναγκαῖα. Ἀργεῖ δὲ ὁ νοῦς καὶ ἀμεριμνεῖ ἐξ ἀπιστίας τοῦ παρεῖναι τὸν Θεόν, ἐτάζοντα καρδίας καὶ νεφρούς. Εἰ γὰρ τοῦτο ἐπίστευε, πάντως ἐποίει τὸ εἰρημένον· *Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.* Ὁ δὲ τοῦτο καὶ τὰ ὅμοια τούτῳ κατορθῶν οὔτε τολμήσει ποτέ, οὔτε ἕξει σχολὴν διαλογίσασθαί τι τῶν (7) μὴ πρὸς οἰκοδομὴν τῆς πίστεως οἰκονομουμένων, κἂν ἀγαθὸν εἶναι δοκῇ, οὐχ ὅτι γε τῶν ἀπηγορευμένων, καὶ μὴ ἀρεσκόντων Θεῷ.

INTERROGATIO XXI.

Unde mentis aberratio, et variæ cogitationes: et quomodo ipsas emendabimus.

RESPONSIO.

Evagatur animus, ubi iners est, nec in rebus necessariis occupatur. Iners autem ex eo efficitur mens, et plus justo secura, quod Deum adesse non credat, corda et renes scrutantem. Si enim hoc crederet, perageret prorsus quod dictum est: *Providebam Dominum in conspectu meo semper, quoniam a dextris est mihi, ne commovear* [85]. Qui au- C tem hoc, et quæ huic similia sunt, facit, neque audebit unquam, neque ei licebit per otium, quidquam cogitare eorum, quæ minime dirigantur ad fidei ædificationem, etiamsi bonum esse videtur, nedum eorum, quæ prohibita sunt, et Deo non placent.

ΕΡΩΤΗΣΙΣ ΚΒ'.

Πόθεν αἱ νυκτεριναὶ φαντασίαι αἱ ἀπρεπεῖς γίνονται.

ΑΠΟΚΡΙΣΙΣ.

Γίνονται μὲν ἐκ τῶν μετὰ ἡμέραν ἀλλοκότων (8) τῆς ψυχῆς κινημάτων. Ἐὰν δὲ ἐν τῇ σχολῇ τῶν τοῦ Θεοῦ κριμάτων καθαρεύσῃ ἡ ἐκείνων ψυχή, καὶ ἐν μελέτῃ γένηται διηνεκεῖ τῶν καλῶν καὶ ἀρεσκόντων Θεῷ, τοιαῦτα ἕξει καὶ τὰ ἐνύπνια.

INTERROGATIO XXII.

Unde nascuntur turpia illa visa noctu contingentia.

RESPONSIO.

Nascuntur certe ex absurdis motibus interdiu in animo contingentibus. Quod si anima in Dei judiciis occupata, exstiterit pura, atque res honestas et Deo placitas assiduo meditata fuerit, etiam **423**
D ejusmodi insomnia habebit

ΕΡΩΤΗΣΙΣ ΚΓ'.

Ἕως ποίων ῥημάτων ἡ ἀργολογία κρίνεται (9).

ΑΠΟΚΡΙΣΙΣ.

Καθόλου πᾶν ῥῆμα, τὸ μὴ συντελοῦν πρὸς τὴν

INTERROGATIO XXIII.

Ex cujusmodi verbis otiosus sermo judicetur.

RESPONSIO

In summa verbum omne, quod non facit ad pro-

[84] Rom. I, 28-32. [85] Psal. XV, 8.

(4) Reg. primus παραδεδομένους ἅπαξ. Nec ita multo post codex Voss. πρὸς Ῥωμαίους εἰρημένων ἐπιστολῇ οὕτως.

(5) Veteres aliquot libri cum Voss. ἀσυνέτους, ἀσυνθέτους. Vox ultima in editis desideratur. Statim editi ἐπιγνόντες, ὅτι. At mss. nonnulli cum Voss. ut in contextu. Vocula δέ non longe addita est ex antiquis duobus libris. Ibidem Colb. αὐτοὶ ποιοῦσιν.

(6) Reg. primus γίνεται μὲν ὁ. Aliquanto post idem ms. τοῦτο ἐπίστευσε.

(7) Reg. primus, τι τῶν. Editi, τι οὔτε τῶν.

(8) Veteres duo libri cum Voss. ἐκ τῶν μεθημερινῶν ἀλλοκότων.

(9) Reg. primus et Voss. ἡ ἀργολογία ἐστίν. Ibidem duo mss. προκειμένην ἐν Χριστῷ χρείαν

positum in Domino negotium, otiosum est. Et tantum est ejusmodi verbi periculum, ut etiamsi bonum sit quod dicitur, si tamen non dirigatur ad fidei ædificationem, non jam propter verbi bonitatem is qui locutus est, effugiat periculum, sed propterea quod verbum non protulerit ad ædificationem, contristet Spiritum sanctum Dei. Hoc enim aperte docuit Apostolus, his verbis : *Omnis sermo spurcus ex ore vestro non procedat, sed si quis bonus ad ædificationem fidei, ut det gratiam audientibus* [86]; quin et illud subjungit : *Et nolite contristare Spiritum sanctum Dei, in quo signati estis* [87]. Contristare autem Spiritum Dei, quantum malum sit, quid jam attinet dicere ?

INTERROGATIO XXIV

Quid est convicium.

RESPONSIO.

Verbum omne, quod eo animo profertur, ut imprimatur dedecus, convicium est, quanquam ipsum verbum non videtur esse contumeliosum. Atque hoc planum est et manifestum ex Evangelio, in quo de Judæis dicitur illud : *Ipsum conviciis sunt consectati, dixeruntque ei : Tu es illius discipulus* [88].

INTERROGATIO XXV.

Quid est obtrectatio

RESPONSIO.

Duo tempora esse arbitror, in quibus liceat mali aliquid de aliquo dicere, nimirum quando necesse est aliquem cum aliis qui ad id idonei sint, consilium inire quo pacto corrigendus sit qui peccavit ; et rursus cum opus fuerit communire aliquos, qui sæpe ex ignorantia alicui malo tanquam bono adjungi possent : quandoquidem præcipit Apostolus [89], ut ne cum talibus conjungamur, ne quis forte nanciscatur laqueos animæ suæ. Quod quidem eumdem Apostolum fecisse comperimus ex his quæ ad Timotheum scribit : *Alexander ærarius multa mihi mala ostendit, quem et tu devita : valde enim restitit verbis nostris* [90]. At vero præter hujusmodi necessitatem, si quis aliquid dicat contra aliquem, ut illum ipsum criminetur, aut vitio vertat, maledicus est et obtrectator, tametsi verum est quod dicitur.

προκειμένην ἐν Κυρίῳ χρείαν, ἀργόν ἐστι. Καὶ τοσοῦτός ἐστι τοῦ τοιούτου ῥήματος ὁ κίνδυνος, ὅτι, κἂν ἀγαθὸν ᾖ τὸ λεγόμενον, μὴ πρὸς οἰκοδομὴν δὲ τῆς πίστεως οἰκονομῆται, οὐχ (10) ἐν τῇ ἀγαθότητι τοῦ ῥήματος ὁ λαλήσας ἔχει τὸ ἀκίνδυνον, ἀλλ' ἐν τῷ μὴ πρὸς οἰκοδομὴν οἰκονομῆσαι τὸ ῥηθὲν (11), λυπεῖ τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ. Τοῦτο γὰρ σαφῶς ἐδίδαξεν ὁ Ἀπόστολος, εἰπών· *Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω· ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς πίστεως, ἵνα δῷ χάριν τοῖς ἀκούουσι*· καὶ τοῦτο ἐπαγαγών (12)· *Καὶ μὴ λυπῆτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε.* Τὸ δὲ λυπῆσαι τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ὅσον ἐστὶ κακὸν, τί δεῖ καὶ λέγειν ;

ΕΡΩΤΗΣΙΣ ΚΔ'.

Τί ἐστι λοιδορία.

ΑΠΟΚΡΙΣΙΣ.

Πᾶν ῥῆμα ἐκ διαθέσεως τοῦ ἀτιμάσαι λεγόμενον λοιδορία ἐστὶ, κἂν αὐτὸ τὸ ῥῆμα μὴ δόξῃ εἶναι ὑβριστικόν. Καὶ τοῦτο δῆλον ἐκ τοῦ Εὐαγγελίου λέγοντος περὶ τῶν Ἰουδαίων, ὅτι *Ἐλοιδόρησαν αὐτὸν, καὶ εἶπον αὐτῷ· Σὺ εἶ μαθητὴς ἐκείνου.*

ΕΡΩΤΗΣΙΣ ΚΕ'.

Τί ἐστι καταλαλιά.

ΑΠΟΚΡΙΣΙΣ.

Δύο καιροὺς εἶναι ἡγοῦμαι (13), καθ' οὓς ἔξεστιν εἰπεῖν τι περί τινος φαῦλον· ὅτε ἀνάγκην ἔχει τις βουλεύσασθαι μετὰ καὶ ἑτέρων τῶν εἰς τοῦτο δεδοκιμασμένων πῶς διορθωθῇ (14) ὁ ἡμαρτηκώς· καὶ πάλιν ὅταν χρεία γένηται ἀσφαλίσασθαί τινας τοὺς ἐξ ἀγνοίας δυναμένους πολλάκις συναναμιγῆναι τῷ κακῷ ὡς καλῷ, τοῦ Ἀποστόλου παραγγέλλοντος, μὴ συναναμίγνυσθαι τοῖς τοιούτοις, μή ποτε λάβῃ τις βρόχους τῇ ἑαυτοῦ ψυχῇ. Ὅπερ εὑρίσκομεν τὸν αὐτὸν Ἀπόστολον πεποιηκότα δι' ὧν γράφει Τιμοθέῳ, ὅτι *Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο, ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις.* Ἐκτὸς δὲ τῆς τοιαύτης ἀνάγκης ὁ λέγων τι κατά τινος, ἵνα αὐτὸ τοῦτο διαβάλῃ, ἢ διασύρῃ, κατάλαλός ἐστι, κἂν ἀληθὲς ᾖ τὸ λεγόμενον.

[86] Ephes. IV, 29. [87] Ephes. II, 30. [88] Joan. IX, 28. [89] II Thess. III, 14. [90] II Tim. IV, 14.

(10) Veteres duo libri οἰκονομεῖται, οὐχ. Alius ms. et vulgati libri, οἰκοδομῆται, οὐχ. In Reg. tertio utrumque verbum positum est, οἰκοδομῆταί τε καὶ οἰκοδομῆται.

(11) Regii duo mss. cum Voss. οἰκονομῆσαι τὸ ῥηθέν. Alius ms. et editi οἰκοδομῆσαι : quorum verborum cum alterum occurrit in uno codice, alterum fere in alio occurrere solet.

(12) Codex Voss. et Colb. καὶ τοῦτο ἐπήγαγε. Ibidem Reg. primus et Colb. Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ· οὗ τί ἂν γένοιτο μεῖζον κακόν; Reliqua in duobus his mss. desunt. Codex Voss. ὅσον ἐστὶ οὔτε ἂν γένοιτο μεῖζον κακόν; nec quid quam amplius eo in libro legitur. Reg. secundus et editi, Καὶ μὴ λυπῆτε... ἅγιον ὅσον ἐστί, etc. Reg. tertius ut in contextu.

(13) Reg. primus et Voss. ἡγούμεθα. Mox unus ms. ἔξεστι λαλεῖν. Ibidem duo mss. cum Voss. ὅτε ἀνάγκη βουλεύεσθαι. Editi, ὅτι ἀνάγκην, etc. Reg. tertius et Combef. ὅτε ἀνάγκην, etc.

(14) Unus ms. ὅπως διορθωθῇ

ΕΡΩΤΗΣΙΣ ΚϚ'.

Ὁ καταλαλῶν ἀδελφοῦ, ἢ ἀκούων καταλαλοῦντος καὶ ἀνεχόμενος, τίνος ἐστὶν ἄξιος.

ΑΠΟΚΡΙΣΙΣ.

Ἀφορισμοῦ καὶ ἀμφότεροι. *Τὸν γὰρ καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.* Καὶ ἀλλαχοῦ εἴρηται· *Μὴ ἡδέως ἄκουε καταλαλοῦντος, ἵνα μὴ ἐξαρθῇς.*

ΕΡΩΤΗΣΙΣ ΚΖ'.

Ἐὰν δὲ τοῦ προεστῶτος καταλαλήσῃ, πῶς αὐτῷ προσέξομεν.

ΑΠΟΚΡΙΣΙΣ.

Φανερὸν τοῦτο (15) τὸ κρῖμα ἐκ τῆς ὀργῆς τοῦ Θεοῦ, τῆς ἐπὶ Μαριάμ, ἡνίκα κατελάλησε Μωϋσέως, ἧς τὸ ἁμάρτημα, οὐδὲ αὐτοῦ Μωϋσέως δεομένου, ἀνεκδίκητον ἀφῆκεν ὁ Θεός.

ΕΡΩΤΗΣΙΣ ΚΗ'.

Ἐάν τις θρασυτέρᾳ φωνῇ καὶ ῥήμασι θρασέσιν ἀποκρίνηταί τινι, καὶ ὑπομνησθεὶς λέγῃ, ὅτι οὐδὲν πονηρὸν ἔχω ἐν τῇ καρδίᾳ, εἰ δεῖ αὐτῷ πιστεῦσαι.

ΑΠΟΚΡΙΣΙΣ.

Οὐ πάντα τὰ πάθη τῆς ψυχῆς φανερά ἐστι τοῖς πᾶσιν, οὔτε αὐτῷ τῷ πάσχοντι, ὡς οὐδὲ τὰ τοῦ σώματος. Ὥσπερ οὖν ἐπὶ τοῦ σώματος οἱ ἐπιστήμονες σημεῖα ἔχουσί τινα τῶν κεκρυμμένων παθῶν, καὶ φευγόντων τὴν αἴσθησιν τοῦ πάσχοντος· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, κἂν μὴ αἰσθάνηται τοῦ ἰδίου πάθους (16) ὁ ἁμαρτάνων, πιστεύειν δεῖ τῷ Κυρίῳ, καὶ αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ διαβεβαιωσαμένῳ (17), ὅτι ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὰ πονηρά. Ὁ μὲν γὰρ κακὸς ἀγαθόν τι ῥῆμα ἢ πρᾶγμα πολλάκις καὶ σχηματίζεται· τὸν δὲ ἀγαθὸν (18) σχηματίσασθαί τι κακὸν ἀμήχανον. *Προνοούμενοι γὰρ καλὰ*, φησὶν, *οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων.*

ΕΡΩΤΗΣΙΣ ΚΘ'.

Ποίῳ τρόπῳ δυνηθῇ τις μὴ ὀργίζεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Ἐὰν Θεὸν ἐπόπτην, καὶ τὸν Κύριον παρόντα ἐνοπτρίζεσθαι ἡγῆται ἀεί. Τίς γὰρ ὑπήκοος ἐν ὀφθαλμοῖς ἄρχοντός ποτε κατατολμᾷ τινος τῶν μὴ ἀρεσκόντων αὐτῷ (19); Καὶ ἐὰν μὴ ἐκδέχηται τὴν παρ' ἑτέρων (20) ὑπακοὴν, ἀλλ' αὐτὸς πρὸς ὑπακοὴν παρασκευάζηται, πάντας ἡγούμενος ὑπερέχοντας ἑαυτοῦ. Εἰ μὲν γὰρ πρὸς τὴν ἑαυτοῦ χρείαν τὴν ὑπακοὴν ἐπιζητεῖ, γινωσκέτω, ὅτι ὁ λόγος τοῦ Κυρίου

424 INTERROGATIO XXVI.

Qui detrahit fratri, vel audit detrahentem et tolerat: qua dignus est animadversione.

RESPONSIO.

Separandi sunt ambo a reliquorum societate. *Detrahentem enim secreto proximo suo, hunc persequebar* [91]. Et alibi dictum est: *Detrahentem nolito libenter audire, ne evertaris* [92].

INTERROGATIO XXVII.

Si vero detrahat quis præfecto, quomodo ipsi attendemus.

RESPONSIO

Judicium illud manifestum est ex ira Dei adversum Mariam, quando de Moyse oblocuta est, cujus peccatum Deus, ne ipso quidem Moyse precante, inultum reliquit [93].

INTERROGATIO XXVIII.

Si quis voce audaciore, et verbis petulantibus respondeat alicui, et de hoc commonefactus dicat: Nihil mali mihi est in corde, sine fides adhibenda est?

RESPONSIO.

Non omnia animi vitia manifesta sunt omnibus, ne ei quidem, qui his obnoxius est, quemadmodum contingit et in corpore. Ut igitur in corpore harum rerum periti signa quædam habent morborum occultorum, et qui ipsius ægri sensum effugiunt: ita et in animo, etsi suum ipsius morbum non sentit qui peccat, fides tamen habenda est Domino, qui et huic, et iis qui cum ipso sunt, declarat, malum hominem ex malo cordis sui thesauro mala proferre. Etenim qui malus est, bonum aliquod verbum aut factum sæpe etiam simulat: bonus vero mali aliquid simulare non potest. *Providentes enim bona*, inquit, *non tantum coram Domino, sed etiam coram hominibus* [94].

INTERROGATIO XXIX.

Quomodo possit quis non irasci.

RESPONSIO.

Si ab inspectore Deo et a Domino præsente se semper conspici putet. Quis enim subjectus unquam in principis oculis quidquam audet eorum, quæ ipsi non placent? Etsi non exspectet 425
ab aliis obedientiam, ipse tamen præparetur ad obtemperandum, ratus se ab omnibus superari. Si enim obedientiam requirit utilitatis suæ causa, noverit quod Domini sermo unumquemque aliis

[91] Psal. c, 5. [92] Prov. xx, 13. [93] Num. xii, 10. [94] Rom. xii, 17.

(15) Veteres duo libri, Φανερὸν τοῦτο. Alius et editi, Φανερὸν καὶ τοῦτο. Aliquanto post Reg. primus, ἀφῆκεν ὁ Κύριος.

(16) Reg. primus τοῦ οἰκείου πάθους.

(17) Editi τῷ Κυρίῳ, καὶ τοὺς μετ' αὐτοῦ βεβαιωσαμένῳ. Reg. tertius et Voss. ita, ut edidimus. Quod statim in vulgatis sequitur, θησαυροῦ αὐτοῦ τῆς καρδίας, perturbatum est: sed quæque vox suo loco posita est ex libris antiquis.

(18) Editi πρᾶγμα πολλάκις, εἰ καὶ σχηματίζεται, οὐ δύναται προΐεσθαι, τὸν δὲ ἀγαθόν. Codex Combef. et Colb. ut in contextu. Nec ita multo post Colb. δυνηθείη τις.

(19) Reg. primus, ἐνοπτρίζηται ἀεὶ, ὅπουγε οὐδὲ ὑπήκοος ἐν ὀφθαλμοῖς ἄρχοντος σημεῖα δίδωσι τῶν μὴ ἀρεσκόντων, *Dominum præsentem semper intuetur, siquidem neque subditus in principis oculis signa profert eorum, quæ ei displicent:* et ita quoque scriptum invenitur in Colbertino, nisi quod pro ἐνοπτρίζηται habeat ἐνοπτρίζεται. Codex Voss. ἐνοπτρίζηται ἡγεῖται ἀεὶ ὅπουγε οὐδὲ ὑπήκοος.

(20) Reg. primus et Colb. et Voss. τὴν παρ' ἑτέρων. Alii duo mss. et editi, τὴν ἑτέρων.

inservire debere doceat: sin ulciscitur violatum Domini præceptum, non opus est ira, sed misericordia et commiseratione, juxta eum qui dixit: *Quis infirmatur, et ego non infirmor* [95]?

INTERROGATIO XXX.

Quomodo amputabimus vitium pravæ concupiscentiæ.

RESPONSIO.

Flagranti atque vehementi desiderio explendi voluntatem Dei, talique, quale se habere indicavit, qui dixit: *Judicia Domini vera, justificata in semetipsa; desiderabilia super aurum et lapidem pretiosum multum, et dulciora super mel et favum* [96]. Semper enim desiderium rerum meliorum, si potestatem habeat atque facultatem fruendi iis quæ desiderantur, cogit minora aspernari aversarique, uti docuere omnes sancti: quanto autem magis ea quæ mala sunt et pudore digna.

INTERROGATIO XXXI.

An omnino ridere non liceat.

RESPONSIO

Cum Dominus eos qui nunc rident, condemnet [97], perspicuum est nullum tempus fideli ad ridendum unquam dari: maxime, cum tot sint, qui Deum ignominia afficiant [98] per legis violationem, et in peccatis morti tradantur, pro quibus mœrere convenit ac ingemiscere.

INTERROGATIO XXXII.

Intempestivus et immodicus sopor unde nascatur, et quomodo ipsum propulsemus.

RESPONSIO.

Contingit hujusmodi sopor, cum anima Dei cogitationibus fit segnior, Deique judicia aspernamur: deponimus autem ipsum, cum sincere ac rite cogitamus de majestate Dei, ejusque voluntatem expetimus, juxta eum qui dixit: *Si dedero somnum oculis meis, et palpebris meis dormitationem, et requiem temporibus meis, donec inveniam locum Domino, tabernaculum Deo Jacob* [99].

426 INTERROGATIO XXXIII.

Qua ratione deprehenditur quis studio placendi hominibus obnoxius esse.

RESPONSIO

Cum studium erga laudatores ostenderit, segnitiem vero et socordiam erga vituperatores. Si enim Domino placere vult, semper et ubique idem

A αὐτὸν ἕκαστον (21) τοῖς ἄλλοις ὑπηρετεῖν διδάσκει· εἰ δὲ τῆς τοῦ Κυρίου ἐντολῆς παρακοὴν ἐκδικεῖ, οὐκ ὀργῆς χρεία, ἀλλ' οἴκτου (22) καὶ συμπαθείας κατὰ τὸν εἰπόντα· *Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ;*

ΕΡΩΤΗΣΙΣ Λ'.

Πῶς ἐκκόψομεν τὸ πάθος τῆς ἐπιθυμίας τῆς κακῆς.

ΑΠΟΚΡΙΣΙΣ.

Ἐπιθυμίᾳ διαπύρῳ τῶν θελημάτων τοῦ Θεοῦ, καὶ τοιαύτῃ, οἵαν ἔδειξεν ἔχειν ὁ εἰπών· *Τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό· ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν* (23), *καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.* Ἀεὶ γὰρ ἡ τῶν κρειττόνων ἐπιθυμία ἐν ἐξουσίᾳ καὶ δυνάμει ἔχουσα τὴν ἀπόλαυσιν τῶν ἐπιθυμουμένων, B καταφρονεῖν καὶ ἀποστρέφεσθαι ἀναγκάζει τὰ ἐλάττονα, ὡς ἐδίδαξαν (24) οἱ ἅγιοι πάντες· πόσῳ δὲ μᾶλλον τὰ φαῦλα, καὶ αἰσχύνης ἄξια;

ΕΡΩΤΗΣΙΣ ΛΑ'.

Εἰ καθόλου γελᾷν οὐκ ἔξεστιν.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου τοὺς νῦν γελῶντας κατακρίνοντος (25), εὔδηλον, ὅτι οὐδέποτε καιρὸς γέλωτός ἐστι τῷ πιστῷ, καὶ μάλιστα ἐν τοσούτῳ πλήθει τῶν διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμαζόντων καὶ θανατουμένων ἐν τῇ ἁμαρτίᾳ, ὑπὲρ ὧν ἀθυμεῖν καὶ στένειν χρή (26).

ΕΡΩΤΗΣΙΣ ΛΒ'.

C *Ὁ ἄκαιρος καὶ ἄμετρος νυσταγμὸς πόθεν* (27), *πῶς αὐτὸν ἀποθώμεθα.*

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μὲν τοιοῦτος νυσταγμὸς γίνεται, ὅταν νωθροτέρα γένηται ἡ ψυχὴ περὶ τὰς περὶ Θεοῦ ἐννοίας, καὶ τῶν κριμάτων τοῦ Θεοῦ καταφρονῶμεν· ἀποτιθέμεθα (28) δὲ αὐτὸν, ὅταν γνησίαν καὶ ἀξιόλογον ἀναλάβωμεν τῆς μεγαλειότητος τοῦ Θεοῦ τὴν ἔννοιαν, καὶ τῶν θελημάτων αὐτοῦ τὴν ἐπιθυμίαν, κατὰ τὸν εἰπόντα· *Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ* (29) *ἀνάπαυσιν τοῖς κροτάφοις μου· ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.*

ΕΡΩΤΗΣΙΣ ΛΓ.

Πῶς ἐλέγχεται ὁ ἀνθρωπάρεσκος.

D

ΑΠΟΚΡΙΣΙΣ.

Ὅταν ἐπὶ μὲν τῶν ἐπαινούντων (30) σπουδὴν ἐπιδείξηται, ἐπὶ δὲ τῶν ψεγόντων ὀκνηρὸς γένηται. Εἰ γὰρ τῷ Κυρίῳ ἀρέσκειν βούλεται, πάντοτε καὶ

[95] II Cor. XII, 29. [96] Psal. XVIII, 10, 11. [97] Luc. VI, 25. [98] Rom. II, 23. [99] Psal. CXXXI, 4, 5.

(21) Reg. primus et Colb. λόγος τοῦ Θεοῦ ἕκαστον. Editi et tertius, λόγος τοῦ Κυρίου αὐτῶν ἕκαστον.

(22) Veteres duo libri, ὀργῆς χρεία οὐκ ἔστιν, ἀλλ' οἴκτου.

(23) Unus ms. τίμιον πολύ.

(24) Reg. secundus et editi, ἔδειξαν. Alii tres ἐδίδαξαν.

(25) Unus ms. γελῶντας καταχρίναντος.

(26) Reg. primus et Voss. ἀθυμεῖν καὶ πενθεῖν χρή.

(27) Iidem illi quos mox dixi libri πόθεν ἔρχεται. Ibidem Reg. primus, καὶ πῶς αὐτῶν ἀπωσόμεθα, sensu non dissimili.

(28) Antiqui duo libri περὶ τὰς τοῦ Κυρίου ἐννοίας καὶ τοῦ κριμάτων τοῦ Θεοῦ· ἀποτιθέμεθα.

(29) Editi νυσταγμὸν, ἕως, etc. Veteres tres libri præter Voss. ita, ut in contextu videre cuique licet.

(30) Reg. tertius et Colb. ἐπαινούντων τὰ καλά. Mox Reg. primus et Voss. ὀκνηρότερος γένηται.

πανταχοῦ ὁ αὐτὸς ἔσται, πληρῶν τὸ εἰρημένον· *Διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν· διὰ δόξης καὶ ἀτιμίας· διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι, καὶ ἀληθεῖς.*

A erit, perficiens quod dictum est : *Per arma justitiæ a dextris et a sinistris : per gloriam et ignobilitatem : per infamiam et bonam famam : ut seductores, et veraces* [1].

ΕΡΩΤΗΣΙΣ ΛΔ'.

Πῶς φύγῃ τις τὸ πάθος τῆς ἀνθρωπαρεσκείας, καὶ τὸ περιβλέπεσθαι τοὺς παρὰ τῶν ἀνθρώπων ἐπαίνους.

ΑΠΟΚΡΙΣΙΣ

Πληροφορίᾳ τῆς τοῦ Θεοῦ παρουσίας, καὶ ἀπερισπάστῳ φροντίδι τῆς πρὸς τὸν Θεὸν εὐαρεστήσεως (31), καὶ διαπύρῳ ἐπιθυμίᾳ τῶν παρὰ τοῦ Κυρίου μακαρισμῶν. Οὐδεὶς γὰρ ἐν ὄψεσι δεσπότου πρὸς ἀρέσκειαν συνδούλου ἐπὶ ἀτιμίᾳ τοῦ δεσπότου καὶ καταχρίσει ἑαυτοῦ μετεωρίζεται.

INTERROGATIO XXXIV.

Quomodo effugerit quis vitium complacendi hominibus : et quomodo hominum laudes ei futuræ non sint admirationi.

RESPONSIO.

Si sibi certo persuaserit Deum præsentem esse : si studuerit assidue Deo placere, si denique beatitudines a Domino promissas animo ferventi concupiscat. Nemo enim in sui heri oculis ad illius ignominiam et ad suam ipsius condemnationem, conservo placiturus, evagatur.

ΕΡΩΤΗΣΙΣ ΛΕ'.

B

Πῶς γνωρίζεται ὁ ὑπερήφανος, καὶ πῶς (32) θεραπεύεται.

ΑΠΟΚΡΙΣΙΣ.

Γνωρίζεται μὲν ἐκ τοῦ τὰ τῆς ὑπεροχῆς ἐπιζητεῖν· θεραπεύεται δὲ, ἐὰν πιστεύσῃ τῷ κρίματι τοῦ εἰπόντος· *Κύριος ὑπερηφάνοις ἀντιτάσσεται* (33), *ταπεινοῖς δὲ δίδωσι χάριν.* Ἐκεῖνο μέντοι εἰδέναι χρὴ, ὅτι, ὅπως ἂν τις φοβηθῇ τὸ κρῖμα τῆς ὑπερηφανίας, οὐ δύναται θεραπευθῆναι τὸ πάθος, ἐὰν μὴ ἀναχωρήσῃ τῶν τῆς ὑπεροχῆς ἐπιτηδευμάτων ἁπάντων· ὡς οὐ δύναται ἀπομαθεῖν διάλεκτον ἢ οἵαν δήποτε τέχνην, μὴ τελείως ἀναχωρήσας (34) οὐ μόνον τοῦ ποιεῖν, ἢ λαλεῖν τι κατ' ἐκείνην τὴν τέχνην, ἀλλὰ καὶ τοῦ ἀκούειν (35) τῶν λαλούντων, καὶ βλέπειν τοὺς ποιοῦντας· ὅπερ παρατηρητέον καὶ ἐπὶ πάσης κακίας. C

INTERROGATIO XXXV.

Quo pacto agnoscitur superbus, et quomodo curatur.

RESPONSIO.

Cognoscitur quidem ex eo quod ea quæ ad principatum pertinent, requirit : curatur vero, si fidem habeat sententiæ illius, qui dixit : *Dominus superbis resistit, humilibus autem dat gratiam* [2]. Illud tamen sciendum est, ut quis superbiæ judicium extimuerit, non posse tamen ab eo vitio sanari, nisi omne dominandi studium reliquerit : quemadmodum linguam aut qualemcunque artem dediscere non potest, qui non omnino supersederit non solum facere, aut loqui aliquid quod pertineat ad hanc artem, sed etiam de ea loquentes audire, et eam factitantes videre : quod in quovis etiam vitio observandum est.

ΕΡΩΤΗΣΙΣ ΛϚ'.

Εἰ χρὴ τιμὴν ἐπιζητεῖν.

ΑΠΟΚΡΙΣΙΣ.

Ἀποδιδόναι μὲν τῷ τὴν τιμὴν, τὴν τιμὴν ἐδιδάχθημεν, ἐπιζητεῖν δὲ τιμὴν ἐκωλύθημεν, τοῦ Κυρίου εἰπόντος· *Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες* (36); Ὥστε τὸ ζητεῖν παρὰ τῶν ἀνθρώπων δόξαν ἀπόδειξίς ἐστιν ἀπιστίας, καὶ θεοσεβείας ἀλλοτρίωσις, τοῦ Ἀποστόλου εἰπόντος· *Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.* Εἰ δὲ οἱ τὴν δεδομένην (37) παρὰ τῶν ἀνθρώπων δόξαν λαμβάνοντες D οὕτω κατεκρίθησαν, οἱ τὴν μὴ δεδομένην ἐπιζητοῦντες ἄῤῥητον ἔχουσι τὸ κρῖμα.

INTERROGATIO XXXVI.

An honos debeat quæri.

RESPONSIO.

Reddere quidem honorem, cui honor debetur, edocti sumus [3] : requirere autem honorem, prohibiti, his Domini verbis : *Quomodo vos potestis credere, qui gloriam ab invicem* **427** *accipitis, et gloriam quæ a solo Deo est, non quæritis* [4] ? Quare gloriam ab hominibus quærere argumentum est incredulitatis, et pietatis abalienatio, cum Apostolus dixerit [5] : *Si adhuc hominibus placerem, Christi servus non essem.* Quod si ii qui accipiunt datam ab hominibus gloriam, sic condemnati sunt : ii qui non oblatam inquirunt, judicium quod exprimi non potest subibunt.

[1] II Cor. VI, 7, 8. [2] Jac. IV, 6. [3] Rom. XIII, 7. [4] Joan. V, 44. [5] Galat. I, 10.

(31) Reg. secundus, φροντίδι τῆς περὶ αὐτοῦ εὐαρ. Mox Colb. παρὰ τοῦ Θεοῦ μακαρισμῶν.

(32) Editi, ἢ πῶς. At mss. tres, καὶ πῶς.

(33) Sic Voss. et Colb. et Reg. primus. Alii duo mss. et editi, ἀντιτάσσεται. Ἐκεῖνο. Ibidem Voss. χρὴ ὅτι, ὡς ἐὰν φοβηθῇ τὸ κρῖμα τοῦ Θεοῦ καὶ τῆς. Et alii quoque mss. a vulgatis dissident in aliquibus : sed, cum sint nullius momenti, ea notare piget. Imo etiam vereor, ne et hoc loco et multis aliis plura, quam par erat, notasse videar.

(34) Antiqui duo libri, ὡς ἀδύνατόν ἐστιν... τὸν μὴ τελείως ἀναχωρήσαντα.

(35) Editi, καὶ ἀπὸ τοῦ ἀκούειν. Voculam ἀπό delevimus, fidem veterum duorum librorum secuti.

(36) Reg. primus et Voss. οὐ ζητεῖτε. Ibidem iidem mss. εἰπόντος, ὅτι, εἰ ἔτι. Ibidem Colb. ἀρέσκειν ἤθελον, *placere vellem.*

(37) Codex Colb. utroque in loco διδομένην.

INTERROGATIO XXXVII.

Quomodo qui piger est ad mandatum conficiendum, diligentiam studiumque queat recuperare.

RESPONSIO.

Si ei persuasum sit de præsentia Domini Dei omnia inspicientis, et de minis pigrescenti intentis, deque spe magnæ illius remunerationis retribuendæ a Domino, qui per apostolum Paulum pollicitus est, accepturum unumquemque propriam mercedem secundum suum laborem [6]: item ad id faciunt quæcunque alia id genus scripta sunt, ut aut proprium uniuscujusque studium accendatur, aut comparetur patientia ad gloriam Dei.

INTERROGATIO XXXVIII.

Si præcipiatur aliquid fratri, et contradicat, postea vero a semetipso abeat.

RESPONSIO.

In eo quidem quod contradixit velut contumax, aliosque ad idipsum provocans, statuatur esse obnoxius judicio huic: *Contradictiones suscitat omnis malus: Dominus autem angelum immisericordem immittit ipsi* [7]. Sit autem persuasissimum ei, se non homini contradicere aut obedire, sed Domino ipsi, qui dixit: *Qui vos audit, me audit: et qui vos spernit, me spernit* [8]. Ac tandem prius compunctus, excuset sese, sicque, si sibi permissum fuerit, opus peragat.

INTERROGATIO XXXIX

Si quis obediendo murmuret.

RESPONSIO.

Cum Apostolus dixerit [9]: *Omnia facite sine murmurationibus et hæsitationibus*, quisquis murmurat, abalienatus est etiam a conjunctione fratrum, et opus illius ab illorum usu: palam est enim, eum tum incredulitate, tum spei ambiguitate laborare.

428 INTERROGATIO XL.

Si frater fratri molestiam aspergat, quomodo emendandus est.

RESPONSIO.

Si quidem ita molestiam exhibuit, quemadmodum Apostolus, cum dixit [10]: *Contristati enim estis secundum Deum, ut in nullo detrimentum patiamini ex nobis*, non is qui contristavit, indiget emendatione, sed qui contristatus fuit, proprietates ejus quæ secundum Deum sit tristitiæ debet ostendere. Quod si tristitia affecit in rebus indifferentibus, recordetur is, qui molestum se præbuit, Apo-

A ΕΡΩΤΗΣΙΣ ΛΖʹ.

Ὁ ὀκνηρὸς πρὸς τὴν ἐντολὴν ποίῳ τρόπῳ σπουδὴν δυνηθῇ ἀναλαβεῖν.

ΑΠΟΚΡΙΣΙΣ.

Πληροφορηθεὶς τὴν παρουσίαν τοῦ Δεσπότου Θεοῦ τοῦ τὰ (38) πάντα ἐφορῶντος, καὶ τὴν ἀπειλὴν τὴν κατὰ τοῦ ὀκνηροῦ, καὶ τὴν ἐλπίδα τῆς μεγάλης παρὰ τοῦ Κυρίου μισθαποδοσίας, τοῦ ἐπαγγειλαμένου διὰ Παύλου τοῦ ἀποστόλου, ὅτι ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον· καὶ ὅσα τοιαῦτα γέγραπται πρὸς τὴν ἰδίαν (39) ἑκάστου σπουδὴν, ἤτοι ὑπομονὴν εἰς δόξαν Θεοῦ

ΕΡΩΤΗΣΙΣ ΛΗʹ

B *Ἐὰν ἐπιταχθῇ ἀδελφὸς, καὶ ἀντείπῃ, ὕστερον δὲ ἑαυτῷ ἀπέλθῃ* (40).

ΑΠΟΚΡΙΣΙΣ.

Ἐν ᾧ μὲν ἀντεῖπεν ὡς ἀντιλογικὸς, καὶ ἄλλους πρὸς τὸ αὐτὸ ἐρεθίζων, γνωριζέσθω ὑπόδικος εἶναι τοῦ κρίματος ἐκείνου, ὅτι *Ἀντιλογίας ἐγείρει πᾶς κακός· ὁ δὲ Κύριος ἄγγελον ἀνελεήμονα ἐπιπέμπει αὐτῷ*. Πληροφορείσθω δὲ (41), ὅτι οὐχ ἀνθρώπῳ ἀντιλέγει ἢ ὑπακούει, ἤδη δὲ καὶ αὐτῷ τῷ Κυρίῳ τῷ εἰπόντι· *Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ*. Καὶ κατανυγεὶς πρότερον, ἀπολογησάσθω, καὶ οὕτως, ἐὰν ἐπιτραπῇ, ποιείτω τὸ ἔργον.

ΕΡΩΤΗΣΙΣ ΛΘʹ.

Ἐὰν δὲ ὑπακούσας τις γογγύσῃ.

C ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Ἀποστόλου εἰπόντος· *Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν* (42) *καὶ διαλογισμῶν*, ἀπηλλοτρίωται καὶ ὁ γογγύζων τῆς ἑνώσεως τῶν ἀδελφῶν, καὶ τὸ τούτου ἔργον τῆς χρήσεως αὐτῶν· φανερὸς δέ ἐστιν ὁ τοιοῦτος νοσῶν τήν τε ἀπιστίαν καὶ τῆς ἐλπίδος τὴν ἀμφιβολίαν.

ΕΡΩΤΗΣΙΣ Μʹ.

Ἐὰν ἀδελφὸς ἀδελφὸν λυπήσῃ, πῶς ὀφείλει διορθώσασθαι (43)

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μὲν οὕτως ἐλύπησεν, ὡς ὁ Ἀπόστολος, εἰπών· *Ἐλυπήθητε γὰρ κατὰ Θεὸν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν*, οὐχ ὁ λυπήσας χρῄζει διορθώσεως, D ἀλλ' ὁ λυπηθεὶς ὀφείλει τὰ ἰδιώματα τῆς κατὰ Θεὸν λύπης ἐπιδείξασθαι· εἰ δὲ ἐν τοῖς ἀδιαφόροις ἐλύπησε, μνημονευσάτω ὁ λυπήσας τοῦ Ἀποστόλου εἰπόντος· *Εἰ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς*· καὶ γνωρί-

[6] I Cor. III, 8. [7] Prov. XVII, 11. [8] Luc. X, 16. [9] Philipp. II, 14. [10] II Cor. VII, 9

(38) Sic veteres quatuor libri. Editi, τοῦ Δεσπότου Χριστοῦ τοῦ τά, *certissime persuadeat sibi, Christum Dominum præsentem esse*. Aliquanto post duo mss. cum Voss. τῆς μεγάλης ἐντολῆς παρὰ τοῦ Κυρίου τοῦ μισθαποδότου ἐπαγγειλαμένου διά, haud recte.

(39) Vox ἰδίαν ex Vossii codice et ex aliis tribus adjecta est.

(40) Editi, ὕστερον δὲ ἀπέλθῃ. Reg. primus et Voss. et Combef. ut in contextu. Paulo post unus ms. cum Voss. ἀντιλογικὸς κρίνεται.

(41) Veteres duo libri cum Voss. Πληροφορεῖσθαι δὲ ὀφείλει, *Debet indubitanter credere*. Reg. tertius, Πληροφορηθεὶς δέ. Editi, Πληροφορείσθω.

(42) Reg. primus χωρὶς γογγυσμοῦ.

(43) Unus ms. πῶς διορθώσηται. Codex Voss. πῶς διορθώσεται,

σας τὸ τοιοῦτον ἁμάρτημα, πληρωσάτω τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· *Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον* (44), *καὶ ἐκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν, πρόσφερε τὸ δῶρόν σου.*

ΕΡΩΤΗΣΙΣ ΜΑʹ.

Ἐὰν δὲ μὴ ἀνέχηται ἀπολογήσασθαι ὁ λυπήσας (45).

ΑΠΟΚΡΙΣΙΣ.

Πληρῶσαι ὀφείλομεν ἐπ' αὐτῷ τὰ ὑπὸ τοῦ Κυρίου ἐπὶ τοῦ ἁμαρτήσαντος καὶ μὴ μετανοήσαντος εἰρημένα (46)· *Ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης.*

ΕΡΩΤΗΣΙΣ ΜΒʹ.

Ἐὰν δὲ, ἀπολογουμένου τοῦ λυπήσαντος, μὴ θέλῃ διαλλαγῆναι ὁ λυπηθείς.

ΑΠΟΚΡΙΣΙΣ.

Quando datis a Deo bonis abutitur ad suas ipsius voluntates : quod respuit Apostolus his verbis : *Non enim sumus, sicut plurimi, adulterantes verbum Dei* [80]; ac rursus : *Neque enim aliquando fuimus in sermone adulationis, sicut scitis : neque in occasione avaritiæ, Deus testis est; nec quærentes* B *ab hominibus gloriam, neque a vobis, neque ab aliis* [81].

ΕΡΩΤΗΣΙΣ ΞϚ'.

Τί ἐστιν ἔρις, καὶ τί ἐστιν ἐριθεία.

ΑΠΟΚΡΙΣΙΣ

Ἔρις μέν ἐστιν, ὅταν τις, ὑπὲρ τοῦ μὴ ἐλάττων φανῆναί τινος, σπουδάζῃ ποιεῖν τι· ἐριθεία δὲ τὸ ἐξ ὧν ποιεῖ τις ἐπιδεικτικῶς ἢ κενοδόξως προκαλεῖσθαι, καὶ ἐρεθίζειν ἄλλους (13) εἰς τὰ ὅμοια. Καὶ γὰρ ὁ Ἀπόστολος, ποτὲ μὲν ἐριθείας μνημονεύων, τὴν κενοδοξίαν ἐπισυνάπτει, εἰπὼν, *Μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξίαν*· ποτὲ δὲ κενοδοξίαν προτάξας, μετὰ ταύτης καὶ τὴν ἐριθείαν ἑτέρῳ ὀνόματι ἀπαγορεύει, λέγων· *Μὴ γινώμεθα* (14) *κενόδοξοι, ἀλλήλους προκαλούμενοι.*

INTERROGATIO LXVI.

Quid est æmulatio, et quid contentio

RESPONSIO.

Sane æmulatio est, cum quis, ne altero videatur esse inferior, aliquid studet facere; contentio autem est, alios per ea quæ quis facit, cum ostentatione atque jactantia provocare et exstimulare ad similia. Nam aliquando **439** Apostolus, facta contentionis mentione, continenter adjungit inanem gloriam, his verbis · *Nihil per contentionem, neque per inanem gloriam* [82]: aliquando vero inani gloria prius memorata, una cum hac prohibet quo- C que contentionem alio nomine, inquiens [83] : *Non efficiamur inanis gloriæ cupidi, invicem provocantes.*

ΕΡΩΤΗΣΙΣ ΞΖ'.

Τί ἐστιν ἀκαθαρσία, καὶ τί ἐστιν ἀσέλγεια.

ΑΠΟΚΡΙΣΙΣ.

Τὴν μὲν ἀκαθαρσίαν ὁ νόμος ἔδειξε (15), χρησάμενος τῷ ὀνόματι ἐπὶ τῶν ἀκουσίως ἐκ φυσικῆς ἀνάγκης συμβαινόντων· τὴν δὲ ἀσέλγειαν δοκεῖ μοι ἐμφαίνειν (16) ὁ σοφώτατος Σολομὼν, ἡδὺν καὶ ἀνάλγητον ὀνομάσας· ὡς εἶναι τὴν ἀσέλγειαν διάθεσιν ψυχῆς μὴ ἔχουσαν (17) ἢ μὴ φέρουσαν ἄλγος ἀθλητικόν· ὥσπερ καὶ ἀκρασία ἐστὶν ἡ μὴ σχοῦσα κράτος κατὰ τῶν ἐνοχλουσῶν ἡδονῶν

INTERROGATIO LXVII.

Quid est immunditia, et quid impuritas.

RESPONSIO

Immunditiam quidem lex indicavit, cum in rebus quæ ex naturali necessitate præter voluntatem accidunt, vocem illam usurpavit : impuritatem vero designare mihi videtur Salomon sapientissimus, cum indulgentem voluptati et doloris expertem nominat, sic ut impuritas sit animi affectio, quæ non habet, vel non fert dolorem athleticum : quemadmodum incontinentia est, quæ non habet imperium in eas quæ infestant voluptates.

ΕΡΩΤΗΣΙΣ ΞΗ'.

Τί ἴδιον θυμοῦ, καὶ τί ἴδιον ἀγανακτήσεως εὐλόγου, καὶ πῶς πολλάκις ἀπὸ ἀγανακτήσεως ἀρχόμενοι (18), *εὑρισκόμεθα θυμούμενοι.*

ΑΠΟΚΡΙΣΙΣ.

Θυμοῦ ἴδιον ὁρμὴ ψυχῆς ἐν μελέτῃ κακώσεως

D INTERROGATIO LXVIII.

Quid est furoris proprium, et quid proprium æquæ indignationis, et quomodo plerumque exorsi ab indignatione, in furorem incidisse deprehendimur.

RESPONSIO.

Furoris proprium est animæ impetus cum con-

[79] Ezech. III, 18. [80] II Cor. II, 17. [81] I Thess. II, 5, 6. [82] Philipp. II, 3. [83] Galat. V, 26.

(11) Sic mss. non pauci, non ut vulgati ὅταν τις.
(12) Vocula ἐν adjecta est ex Colbertino.
(13) Reg. primus et Voss. καὶ ἐρεθίζειν καὶ ἄλλους.
(14) Reg. primus μὴ γενώμεθα.
(15) Codex Colb. ὁ νόμος ἐδίδαξεν.
(16) Editi ἐκφαίνειν, Antiqui tres libri cum Voss. ἐμφαίνειν. Mox Colb. ἡδὺ καί, etc. Alii mss. ἡδύν. Basilius respicere videtur ad illud Prov. XIV, 23: Ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος ἐν ἐνδείᾳ ἔσται, *Jucundus autem et dolore carens in egestate erit.*
(17) Reg. primus διάθεσιν ψυχῆς μὴ ἔχουσα. Nec ita multo post alii duo mss. cum Voss. ἡ μὴ ἔχουσα.
(18) Editi et Reg. primus δῆθεν ἀρχόμενοι. Vocem primam uti superfluam delevimus, veterum duorum librorum auctoritate innixi, Mox Reg. primus et Voss. θυμοῦ μέν. Statim iidem mss. κατὰ τοῦ παροξύνοντος.

veam cadent [69]. Et multa hujuscemodi poterit quis A invenire tum in Evangeliis, tum apud Apostolum. Cum vero ob ea quæ in potestate nostra posita sunt, offenditur quis, aut scandalum patitur, tunc revocanda sunt in memoriam hæc Domini ad Petrum verba, quando dixit: *Ergo liberi sunt filii; ut autem non scandalizemus eos, profectus ad mare mitte hamum: et eum piscem qui primus ascenderit, tolle: et aperto ore ejus, invenies staterem; illum sumens, da eis pro me et te* [70], item quæ ab Apostolo ad Corinthios scripta sunt his verbis: *Non manducabo carnem in æternum, ne fratrem meum scandalizem* [71]; ac rursus: *Bonum est non manducare carnem, et non bibere vinum, neque in quo frater tuus offenditur, aut scandalizatur, aut infirmatur* [72]. Quam autem metuendum sit in iis, quæ viden- B tur sita esse in potestate nostra, aspernari fratrem qui ob hæc scandalo afficitur, ostendit præceptum Domini, qui in universum prohibet **438** omne scandali genus, ac dicit [73]: *Videte ne contemnatis unum ex his pusillis: dico enim vobis, quia angeli eorum semper vident faciem Patris mei, qui in cœlis est.* Quin et idem testatur Apostolus, qui quidem modo dicit [74]: *Sed hoc judicate magis, ne ponatis offendiculum fratri, vel scandalum:* modo vero hoc delictum vehementius interdicit verborum apparatu uberiore, ubi ait: *Si quis enim viderit te, qui habes scientiam, in idolio recumbentem, nonne conscientia ejus, qui infirmus est, ædificabitur ad manducandum idolothyta? Et peribit infirmus frater in tua scientia, propter quem Christus mortuus est* [75]. C Quibus adjungit: *Sic autem peccantes in fratres, et percutientes conscientiam eorum infirmam, in Christum peccatis. Quapropter, si esca scandalizat fratrem meum, non manducabo carnem in æternum, ne fratrem meum scandalizem* [76]. Et alio in loco postquam dixit: *An ego solus et Barnabas non habemus potestatem hoc operandi* [77]*?* subinde adjungit: *Sed non usi sumus hac potestate, sed omnia sustinemus, ne quod offendiculum demus Evangelio Christi* [78]. Cæterum, cum rem ita horrendam esse demonstratum sit, in iis quæ in potestate nostra posita sunt, fratri esse exemplo malo, quidnam possit quis de iis dicere, qui vetita faciendo aut loquendo dant scandalum? et maxime, cum aut D scientia majore præditus esse videtur qui est offensioni, aut constituitur in aliquo gradu sacerdotali: qui cum debeat aliis esse præpositus velut regula et exemplar, si vel minimum quid neglexerit eorum quæ scripta sunt, aut fecerit prohibitum quiddam aut aliquid quod præceptum sit omiserit, aut uno

καὶ ἐν τοῖς Εὐαγγελίοις, καὶ παρὰ τῷ Ἀποστόλῳ εὕροι τις ἄν. Ὅταν δὲ ἐπὶ τοῖς ἐν ἐξουσίᾳ ἡμετέρᾳ κειμένοις προσκόπτῃ τις, ἢ σκανδαλίζηται, εἰς ἀνάμνησιν ἐλθεῖν δεῖ τότε τῶν τοῦ Κυρίου (5) πρὸς τὸν Πέτρον ῥημάτων, εἰπόντος· *Ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί· ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβαίνοντα* (6) *πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ·* καὶ τῶν τοῦ Ἀποστόλου πρὸς Κορινθίους γραμμάτων, ἐν οἷς φησιν· *Οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω·* καὶ πάλιν· *Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ.* Ὅπως δέ ἐστι φοβερὸν τὸ ἐπὶ τοῖς ἐν ἐξουσίᾳ κεῖσθαι δοκοῦσι περιορᾷν τὸν ἀδελφὸν σκανδαλιζόμενον ἐν τούτοις (7), δείκνυσι μὲν ἡ τοῦ Κυρίου παραγγελία, καθόλου πάντα σκανδαλισμοῦ τρόπον ἀπαγορεύοντος, καὶ λέγοντος· *Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου, τοῦ ἐν οὐρανοῖς.* Μαρτυρεῖ δὲ καὶ ὁ Ἀπόστολος (8) λέγων ποτὲ μέν· *Ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον·* ποτὲ δὲ διὰ περισσοτέρας κατασκευῆς σφοδρότερον ἀπαγορεύων τὸ ἄτοπον, δι' ὧν φησιν· *Ἐὰν γάρ τις ἴδῃ σὲ, τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; καὶ ἀπολεῖται* (9) *ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανεν.* Οἷς ἐπιφέρει· *Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν* (10), *εἰς Χριστὸν ἁμαρτάνετε. Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.* Καὶ ἀλλαχοῦ, εἰπών· *Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;* ἑξῆς ἐπιλέγει· *Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ.* Οὕτω δὲ φοβεροῦ δειχθέντος τοῦ ἐπὶ τοῖς ἐν ἐξουσίᾳ κειμένοις σκανδαλίζειν τὸν ἀδελφὸν, τί ἄν τις εἴποι περὶ τῶν ἐν τῷ τὰ ἀπηγορευμένα ποιεῖν ἢ λέγειν σκανδαλιζόντων; καὶ μάλιστα ὅταν ἢ γνῶσιν ἔχων περισσοτέραν φαίνηται ὁ σκανδαλίζων, ἢ ἐν βαθμῷ ἐξετάζηται ἱερατικῷ· ὃς, ὥσπερ κανὼν καὶ τύπος ὀφείλων προκεῖσθαι τοῖς ἄλλοις, κἂν βραχύ τι παρίδῃ τῶν γεγραμμένων, ἢ πράξας τὸ κεκωλυμένον, ἢ ἐλλιπὼν τὸ προστεταγμέ-

[69] Matth. xv, 12-14. [70] Matth. xvii, 25, 26. [71] I Cor. viii, 13. [72] Rom. xiv, 21. [73] Matth. xviii, 10. [74] Rom. xiv, 13. [75] I Cor. viii, 10, 11. [76] ibid. 12, 13. [77] I Cor. ix, 6. [78] ibid. 12.

(5) Editi, τῶν ὑπὸ τοῦ Κυρίου. Antiqui tres libri τῶν τοῦ, rectius.
(6) Codex Voss. τὸν ἀναβάντα.
(7) Reg. tertius ἐπὶ τούτοις.
(8) Codex Colb. ἀπόστολος Παῦλος. Aliquanto post Reg. primus τῷ ἀδελφῷ εἰς σκάνδαλον.
(9) Editi et Reg. tertius ἀπόλλυται, *perit*. Alii duo mss. perinde ut textus sacer, cui vulgata consentit, ἀπολεῖται, *peribit*.
(10) Ita Vossii codex et alii tres. Vox ἀσθενοῦσαν deest in vulgatis. Nec ita multo post codex Colb. μὴ μόνος ἐγώ.

νον, ἢ ὅλως ἐφησυχάσας τινὶ τοιούτῳ, καὶ ἐν τούτῳ μόνῳ τοσοῦτον ἔχει τὸ κρῖμα, ὥστε τὸ αἷμα τοῦ ἁμαρτάνοντος, φησὶν, ἐκ τῶν χειρῶν αὐτοῦ ἐκζητηθήσεται.

A verbo indifferenter et silentio tulerit quidvis hujusmodi, judicio tanto vel ob hoc unum obnoxius est, ut sanguis illius qui peccavit, inquit [79], ex manibus ipsius requiratur.

ΕΡΩΤΗΣΙΣ ΞΕʹ.

Πῶς τὴν ἀλήθειαν ἐν ἀδικίᾳ τις κατέχει.

ΑΠΟΚΡΙΣΙΣ

Ὅταν (11) τοῖς παρὰ τοῦ Θεοῦ δεδομένοις ἀγαθοῖς εἰς τὰ ἴδια θελήματα καταχρήσηται, ὅπερ ἀπηρνήσατο ὁ Ἀπόστολος εἰπών· *Οὐ γάρ ἐσμεν, ὡς οἱ πολλοὶ, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ*· καὶ πάλιν· *Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν* (12) *προφάσει πλεονεξίας, Θεὸς μάρτυς· οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπὸ ἄλλων.*

INTERROGATIO LXV.

Quomodo quis veritatem detinet in injustitia.

RESPONSIO.

Quando datis a Deo bonis abutitur ad suas ipsius voluntates : quod respuit Apostolus his verbis : *Non enim sumus, sicut plurimi, adulterantes verbum Dei* [80] ; ac rursus : *Neque enim aliquando fuimus in sermone adulationis, sicut scitis : neque in occasione avaritiæ, Deus testis est; nec quærentes* B *ab hominibus gloriam, neque a vobis, neque ab aliis* [81].

ΕΡΩΤΗΣΙΣ ΞϚʹ.

Τί ἐστιν ἔρις, καὶ τί ἐστιν ἐριθεία.

ΑΠΟΚΡΙΣΙΣ

Ἔρις μέν ἐστιν, ὅταν τις, ὑπὲρ τοῦ μὴ ἐλάττων φανῆναί τινος, σπουδάζῃ ποιεῖν τι· ἐριθεία δὲ τὸ ἐξ ὧν ποιεῖ τις ἐπιδεικτικῶς ἢ κενοδόξως προκαλεῖσθαι, καὶ ἐρεθίζειν ἄλλους (13) εἰς τὰ ὅμοια. Καὶ γὰρ ὁ Ἀπόστολος, ποτὲ μὲν ἐριθείας μνημονεύων, τὴν κενοδοξίαν ἐπισυνάπτει, εἰπὼν, *Μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξίαν*· ποτὲ δὲ κενοδοξίαν προτάξας, μετὰ ταύτης καὶ τὴν ἐριθείαν ἑτέρῳ ὀνόματι ἀπαγορεύει, λέγων· *Μὴ γινώμεθα* (14) *κενόδοξοι, ἀλλήλους προκαλούμενοι.*

INTERROGATIO LXVI.

Quid est æmulatio, et quid contentio

RESPONSIO.

Sane æmulatio est, cum quis, ne altero videatur esse inferior, aliquid studet facere; contentio autem est, alios per ea quæ quis facit, cum ostentatione atque jactantia provocare et exstimulare ad similia. Nam aliquando **439** Apostolus, facta contentionis mentione, continenter adjungit inanem gloriam, his verbis · *Nihil per contentionem, neque per inanem gloriam* [82] : aliquando vero inani gloria prius memorata, una cum hac prohibet quoque C contentionem alio nomine, inquiens [83] : *Non efficiamur inanis gloriæ cupidi, invicem provocantes.*

ΕΡΩΤΗΣΙΣ ΞΖʹ.

Τί ἐστιν ἀκαθαρσία, καὶ τί ἐστιν ἀσέλγεια.

ΑΠΟΚΡΙΣΙΣ.

Τὴν μὲν ἀκαθαρσίαν ὁ νόμος ἔδειξε (15), χρησάμενος τῷ ὀνόματι ἐπὶ τῶν ἀκουσίως ἐκ φυσικῆς ἀνάγκης συμβαινόντων· τὴν δὲ ἀσέλγειαν δοκεῖ μοι ἐμφαίνειν (16) ὁ σοφώτατος Σολομὼν, ἡδὺν καὶ ἀνάλγητον ὀνομάσας· ὡς εἶναι τὴν ἀσέλγειαν διάθεσιν ψυχῆς μὴ ἔχουσαν (17) ἢ μὴ φέρουσαν ἄλγος ἀθλητικόν· ὥσπερ καὶ ἀκρασία ἐστὶν ἡ μὴ σχοῦσα κράτος κατὰ τῶν ἐνοχλουσῶν ἡδονῶν

INTERROGATIO LXVII.

Quid est immunditia, et quid impuritas.

RESPONSIO

Immunditiam quidem lex indicavit, cum in rebus quæ ex naturali necessitate præter voluntatem accidunt, vocem illam usurpavit : impuritatem vero designare mihi videtur Salomon sapientissimus, cum indulgentem voluptati et doloris expertem nominat, sic ut impuritas sit animi affectio, quæ non habet, vel non fert dolorem athleticum : quemadmodum incontinentia est, quæ non habet imperium in eas quæ infestant voluptates.

ΕΡΩΤΗΣΙΣ ΞΗʹ.

Τί ἴδιον θυμοῦ, καὶ τί ἴδιον ἀγανακτήσεως εὐλόγου, καὶ πῶς πολλάκις ἀπὸ ἀγανακτήσεως ἀρχόμενοι (18), *εὑρισκόμεθα θυμούμενοι.*

ΑΠΟΚΡΙΣΙΣ.

Θυμοῦ ἴδιον ὁρμὴ ψυχῆς ἐν μελέτῃ κακώσεως

D

INTERROGATIO LXVIII.

Quid est furoris proprium, et quid proprium æquæ indignationis, et quomodo plerumque exorsi ab indignatione, in furorem incidisse deprehendimur.

RESPONSIO.

Furoris proprium est animæ impetus cum con-

[79] Ezech. III, 18. [80] II Cor. II, 17. [81] I Thess. II, 5, 6. [82] Philipp. II, 3. [83] Galat. V, 26.

(11) Sic mss. non pauci, non ut vulgati ὅταν τις.
(12) Vocula ἐν adjecta est ex Colbertino.
(13) Reg. primus et Voss. καὶ ἐρεθίζειν καὶ ἄλλους.
(14) Reg. primus μὴ γενώμεθα.
(15) Codex Colb. ὁ νόμος ἐδίδαξεν.
(16) Editi ἐκφαίνειν, Antiqui tres libri cum Voss. ἐμφαίνειν. Mox Colb. ἡδὺ καί, etc. Alii mss. ἡδύν. Basilius respicere videtur ad illud Prov. XIV, 23 : Ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος ἐν ἐνδείᾳ ἔσται, *Jucundus autem et dolore carens in egestate erit.*
(17) Reg. primus διάθεσιν ψυχῆς μὴ ἔχουσα. Nec ita multo post alii duo mss. cum Voss. ἡ μὴ ἔχουσα.
(18) Editi et Reg. primus δῆθεν ἀρχόμενοι. Vocem primam uti superfluam delevimus, veterum duorum librorum auctoritate innixi, Mox Reg. primus et Voss. θυμοῦ μέν. Statim iidem mss. κατὰ τοῦ παροξύνοντος.

silio opprimendi ejus qui irritavit; indignationis autem, quæ prudens sit, proprium fuerit, sibi emendationem peccantis proponere, ex affectu rem factam ægre ferente. Porro animum a bono exordientem delabi in malum, nihil mirum est: quippe a quolibet plura hujusmodi possunt reperiri. Quapropter operæ pretium est meminisse Scripturæ divinæ, quæ sic habet: *Juxta iter scandala posuerunt mihi*[84]; et iterum: *Si autem et certet aliquis, non coronatur, nisi legitime certaverit*[85]; est autem ubique cavenda nimietas, importunitasque ac perturbatio. Nam ea de causa unumquodque eorum quæ memorata sunt, quanquam bonum esse videtur, sæpenumero in malum degeneravit.

INTERROGATIO LXIX.

Qui non minus edit quam cæteri, neque est fracto et invalido corpore, cujusque morbi non cognoscuntur, conqueritur tamen se laborare non posse, quomodo agendum cum illo sit.

RESPONSIO.

Omnis prætextus segnitiei prætextus est peccati; nam ad mortem usque par est studium sicut et patientiam ostendere. Quod **440** autem segnities nequitiæ conjuncta segnem ac pigrum condemnet, planum est ex verbis Domini, qui dixit[86]: *Serve male et piger.*

INTERROGATIO LXX.

Quomodo tractandus sit qui abutitur vestibus aut calceamentis; cum enim reprehenditur, nimiam parcitatem et murmurationem in reprehendente suspicatur. Quod si permaneat in eodem proposito post alteram tertiamve admonitionem idoneam, quid huic facere conveniat.

RESPONSIO

Abusum amandat Apostolus, cum ait: *Tanquam utentes mundo hoc, et non abutentes*[87]. Usus enim mensura est utendi necessitas inevitabilis: usus vero qui necessitatem excedit, aut avaritiæ, aut voluptatis, aut vanæ gloriæ morbo obnoxius est. Cæterum qui perseverat in peccato, is subit judicium idem, quod qui pœnitentiam non agit

INTERROGATIO LXXI.

Sunt qui in cibis suavitatem consectantur magis quam copiam: alii vero copiam magis quam suavitatem satietatis causa exoptant: qui igitur utrique tractandi sunt.

RESPONSIO.

Ægrotant utrique, hi voluptate, illi immodica aviditate. Neque vero voluptarius, neque is qui plus æquo in quacunque re avidus est, vitat condem-

A κατὰ τοῦ παροξύναντος· ἀγανακτήσεως δὲ ἐπιστήμονος ἴδιον σκοπὸς διορθώσεως τοῦ ἡμαρτηκότος ἀπὸ διαθέσεως ἀπαρεσκομένης τῷ γενομένῳ (19). Τὸ δὲ ἀπὸ καλοῦ ἀρχομένην ψυχὴν ἐκπίπτειν εἰς κακὸν, οὐδὲν παράδοξον· πολλὰ γὰρ ἄν τις εὕροι τοιαῦτα. Διόπερ μνημονεύειν χρὴ τῆς θεοπνεύστου Γραφῆς λεγούσης· *Ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι·* καὶ πάλιν· *Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ·* καὶ φυλάσσεσθαι πανταχοῦ τήν τε ἀμετρίαν (20) καὶ τὴν ἀκαιρίαν, καὶ τὴν ἀταξίαν. Παρὰ γὰρ τὴν αἰτίαν τῶν εἰρημένων ἕκαστον, καὶ τὸ δόξαν εἶναι καλὸν, πολλάκις εἰς κακὸν μετέπεσεν.

B

ΕΡΩΤΗΣΙΣ ΞΘ'.

Τὸν μὴ ἔλαττον ἐσθίοντα τῶν λοιπῶν (21), μήτε σῶμα ἔχοντα κατεῤῥιμμένον, μήτε ἐμπαθῆ γνωριζόμενον, ἀδυναμίαν δὲ πρὸς τὸ ἔργον ὀδυρόμενον, πῶς δεῖ μετέρχεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Πᾶσα πρόφασις ἀργίας πρόφασίς ἐστιν ἁμαρτίας· τὴν γὰρ σπουδὴν μέχρι θανάτου, ὥσπερ καὶ τὴν ὑπομονὴν, ἐπιδείκνυσθαι χρή. Ὅτι δὲ ἡ ὀκνηρία τῇ πονηρίᾳ συνεζευγμένη κατακρίνει τὸν ὀκνηρὸν, ἐκ τῶν (22) τοῦ Κυρίου ῥημάτων φανερὸν, εἰπόντος· *Δοῦλε πονηρὲ καὶ ὀκνηρέ*

ΕΡΩΤΗΣΙΣ Ο'.

C *Τὸν παραχρώμενον τοῖς ἱματίοις ἢ τοῖς ὑποδήμασι πῶς δεῖ μετέρχεσθαι· ἐγκαλούμενος γὰρ, μικρολογίαν τοῦ ἐγκαλοῦντος καὶ γογγυσμὸν ὑποπτεύει. Εἰ δὲ μετὰ τὴν προσήκουσαν δευτέραν καὶ τρίτην παράκλησιν τοῖς αὐτοῖς ἐπιμένοι, τί χρὴ αὐτῷ ποιεῖν (23)*

ΑΠΟΚΡΙΣΙΣ.

Ἐκβάλλει τὴν παράχρησιν ὁ Ἀπόστολος εἰπών· *Ὡς χρώμενοι τῷ κόσμῳ τούτῳ, καὶ μὴ παραχρώμενοι*(24). Τῆς γὰρ χρήσεως τὸ μέτρον ἡ ἀπαραίτητος ἀνάγκη τῆς χρείας· ἡ δὲ ὑπὲρ τὴν χρείαν ἢ πλεονεξίας, ἢ φιληδονίας, ἢ κενοδοξίας ἔχει τὴν νόσον. Ὁ δὲ ἐπιμένων τῇ ἁμαρτίᾳ ἔχει τὸ κρῖμα τοῦ μὴ μετανοοῦντος.

ΕΡΩΤΗΣΙΣ ΟΑ'.

Εἰσί τινες οἱ πρὸ πλείονος τὸ ἡδύτερον τῶν ἐδεσμάτων ἐπιζητοῦντες· ἄλλοι δὲ τὸ πλεῖον μᾶλλον ἢ τὸ ἡδὺ διὰ τὸν κόρον θέλουσιν· πῶς οὖν ἀμφοτέρους πληροφορεῖν (25) χρή.

D

ΑΠΟΚΡΙΣΙΣ.

Ἀμφότεροι νοσοῦσιν· ὁ μὲν τὴν φιληδονίαν, ὁ δὲ τὴν πλεονεξίαν. Οὔτε δὲ ὁ φιλήδονος οὔτε ὁ πλεονέκτης ἐν οἱῳδήποτε (26) πράγματι ἐκτὸς κατακρί-

[84] Psal. CXXXIX, 6. [85] II Tim. II, 5. [86] Matth. XXV, 26. [87] I Cor. VII, 3.

(19) Unus ms. τῷ γεγενημένῳ.

(20) Unus ms. Combef. τήν γε ἀμετρίαν.

(21) Vetus Vossii liber et alii duo ἐσθίοντα τῶν ἄλλων. Mox Reg. primus μήτε ἐν πάθει γνωριζόμενον. Hoc ipso in loco mss. tres præter Voss. ἀδυναμίαν δέ. Editi et Reg. tertius ἀδυναμεῖν δέ.

(22) Editi καὶ τῶν. Veteres duo libri præter Combef. ἐκ τῶν.

(23) Reg. primus Τοὺς παραχρωμένους ἱμάτιον ἢ ὑπόδημα πῶς δεῖ μετέρχεσθαι· ἐγκαλούμενοι γάρ... γογγυσμὸν ὑποπτεύουσιν... τοῖς αὐτοῖς ἐμμένοιεν, τί χρὴ ποιεῖν. Codex Colb. Τοὺς παραχρωμένους τοῖς ἱματίοις ἢ τοῖς ὑποδήμασι... ἐπιμένοιεν, τί χρὴ ποιεῖν.

(24) Reg. primus καὶ μὴ καταχρώμενοι.

(25) Veteres duo libri ἀμφοτέρους πληροφορῆσαι.

(26) Vossii vetus liber ἐν ᾧ δήποτε. Mox Reg. tertius et editi ἐκτὸς καταχρίσεως. Ὧν εὐσπλάγχνως ἐπιμεληθῆναι χρή. Εἰ δέ. Alii duo mss. cum Voss. ut in contextu.

σεώς ἐστιν. Ἀμφοτέρων οὖν εὐσπλάγχνως ἐπιμεληθῆναι χρὴ πρὸς θεραπείαν τοῦ πάθους. Εἰ δὲ μὴ θεραπεύονται τὴν νόσον, φανερὸν τὸ κρῖμα τῶν μὴ μετανοούντων.

A nationem. Quamobrem leniter et benigne ambo curandi sunt, ad vitium hoc sanandum. Quod si ex morbo non convalescant, judicium eorum qui pœnitentiam non agunt, perspicuum est et compertum.

ΕΡΩΤΗΣΙΣ ΟΒ'.

Ἐάν τις περὶ τὴν μετάληψιν ἐν ἀδελφότητι ἀσέμνως ἀναστρέφηται (27) λαβρότερον ἐσθίων ἢ πίνων, εἰ δεῖ αὐτὸν ἐλέγχεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ τοιοῦτος οὐ φυλάσσει τὸ παράγγελμα τοῦ Ἀποστόλου εἰπόντος· *Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε*· καὶ πάλιν· *Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω*· καὶ χρῄζει διορθώσεως, πλὴν εἰ μή τις ἀνάγκη τοῦ κόπου ἢ τοῦ τάχους (28) κατεπείγοι· ἀλλὰ καὶ τότε χρὴ τὸ ἀπρόσκοπον ἐσπουδασμένως φυλάττειν.

INTERROGATIO LXXII.

Si quis in cibis sumendis inter fratres se gerat immodeste, voracius edens aut bibens, an ipsum reprehendere oporteat.

RESPONSIO.

Qui hujusmodi est, non servat præceptum Apostoli, qui dixit : *Sive manducatis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite*[88]; ac iterum : *Omnia honeste et secundum ordinem fiant*[89]; et indiget correctione, nisi si qua illum urgeret B laborandi aut festinandi necessitas : imo etiam tunc vitanda sedulo offensio est.

ΕΡΩΤΗΣΙΣ ΟΓ'.

Τὸν μὴ ἐν ἐπιθυμίᾳ τῆς τοῦ ἀδελφοῦ διορθώσεως ἐλέγχοντα τὸν ἁμαρτάνοντα, ἀλλ' ἐν πάθει τῆς ἑαυτοῦ ἐκδικήσεως, πῶς χρὴ διορθοῦσθαι μετὰ πλείονα παράκλησιν τῷ αὐτῷ ἐπιμένοντα πάθει (29)

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς φίλαυτος καὶ φίλαρχος γνωριζέσθω ὁ τοιοῦτος (30)· καὶ ὁ τῆς διορθώσεως τρόπος αὐτῷ κατ' ἐπιστήμην τῆς θεοσεβείας φανερούσθω. Εἰ δὲ ἐπιμένοι τῇ κακίᾳ, δῆλον τὸ κρῖμα κατὰ τῶν μὴ μετανοούντων.

441 INTERROGATIO LXXIII.

Qui non desiderio correctionis fraternæ, sed libidine seipsum ulciscendi redarguit delinquentem, quomodo is corrigi debeat, si sæpius admonitus perseveret in eodem vitio.

RESPONSIO.

Qui hujusmodi est, pro homine sui amante dominandique cupido habeatur, ac correctionis modus pro pietatis solertia ei declaretur. Quod si in sua perseveret nequitia, manifestum est judicium, quod in eos, quos non pœnitet, pronuntiatur.

ΕΡΩΤΗΣΙΣ ΟΔ'.

Τοὺς ἐξερχομένους ἐκ (31) τῆς ἀδελφότητος, καὶ βουλομένους μονήρη βίον ζῆν, ἢ μετὰ ὀλίγων τῷ αὐτῷ ἕπεσθαι σκοπῷ τῆς εὐσεβείας, εἰ χρὴ ἀφορίζειν, διδαχθῆναι ἀπὸ τῆς Γραφῆς δεόμεθα.

ΑΠΟΚΡΙΣΙΣ.

Πολλάκις τοῦ Κυρίου εἰπόντος· *Ὁ Υἱὸς ἀφ' ἑαυτοῦ ποιεῖ οὐδέν*· καὶ ὅτι *Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός*· καὶ τοῦ Ἀποστόλου μαρτυροῦντος, *Ὅτι ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλωμεν, ταῦτα* (32) *ποιῶμεν*· πᾶν τὸ κατὰ τὸ ἴδιον θέλημα αἱρετὸν ἀλλότριον θεοσεβούντων. Πληρέστερον δὲ περὶ τῶν τοιούτων ἐν τοῖς κατὰ πλάτος εἰρημένοις ἀπεκρινάμεθα.

INTERROGATIO LXXIV.

C *Qui secedunt a fratrum conventu, voluntque solitariam vitam degere, aut cum paucis eumdem pietatis scopum sequi, an a cæteris sint separandi, ex Scriptura edoceri postulamus.*

RESPONSIO.

Cum Dominus sæpe dixerit : *Filius a seipso nihil facit*[90]; item : *Descendi de cœlo, non ut faciam voluntatem meam, sed voluntatem ejus qui misit me, Patris*[91]; quin etiam cum ita testetur Apostolus : *Quod caro concupiscit adversus spiritum, spiritus autem adversus carnem : hæc enim sibi invicem adversantur, ut non quæcunque volumus, illa faciamus*[92], quidquid eligitur propria voluntate, id alienum est a pietatis cultoribus. Verum de iis qui hujusmodi sunt, in quæstionibus fuse explicatis D uberius respondimus.

ΕΡΩΤΗΣΙΣ ΟΕ'.

Εἰ παντὸς ἁμαρτήματος, εἴτε κατὰ νοῦν, εἴτε κατὰ λόγον, εἴτε κατὰ πρᾶξιν, τὸν Σατανᾶν αἴτιον λέγειν ἀκόλουθον.

ΑΠΟΚΡΙΣΙΣ.

Καθόλου οἶμαι, ὅτι αὐτὸς καθ' ἑαυτὸν ὁ Σατανᾶς

INTERROGATIO LXXV.

An peccati cujusque, sive mente, sive verbo, sive actione patratum fuerit, Satanam auctorem dicere conveniat.

RESPONSIO.

In universum arbitror Satanam per se ipsum

[88] I Cor. x, 31. [89] I Cor. xiv, 40. [90] Joan. v, 19. [91] Joan. vi, 38. [92] Galat. v, 17.

(27) Reg. primus ἀναστρέφεται. Aliquanto post idem ms. pariter atque Voss. εἰ δεῖ αὐτοῦ ἀνέχεσθαι, *num perferendus est ?*

(28) Veteres duo libri et Voss. κόπου ἢ τοῦ ἔργου. Ibid. Reg. tertius κατεπείγει.

(29) Antiqui duo libri ἐπιμένοντα πάθει. Vox ultima aberat a vulgatis.

(30) Editi et duo mss. γνωριζέσθω ὁ τοιοῦτος, *cognoscatur, habeatur*. Codex Colb. χωριζέσθω ὁ τ., *separetur*. Infra Reg. primus Εἰ δὲ ἐπιμένει.

(31) Pro ἐκ et in Vossii codice et in aliis duobus legitur ἀπό. Aliquanto post Reg. tertius et editi βουλόμεθα. Alii tres mss. cum Voss. δεόμεθα.

(32) Vocem ταῦτα ex antiquis duobus libris addidimus.

cuiquam auctorem esse non posse ad peccandum : sed modo insitis unicuique a natura motionibus, modo etiam interdictis affectionibus utens, per has eos, qui non vigilant, ad ea quæ vitiorum propria sunt conatur abducere. Naturalibus quidem motionibus usus est, velut in Domino facere tentavit, quando illum esurientem animadvertens, dixit : *Si Filius Dei es, dic ut lapides isti panes fiant* [93]; affectibus vero interdictis utitur, ut in Juda, quem cum avaritiæ morbo laborare intellexisset, hacce affectione usus, avarum illum nummis triginta argenteis ad proditionis scelus impulit. Quod autem etiam mala ex nobisipsis nascantur, manifeste Dominus ostendit : *De corde enim*, **442** inquit, *exeunt cogitationes malæ* [94]. Id autem iis contingit, qui ex incuria naturalia bonorum semina inculta relinquunt, convenienter dicto illi Proverbiorum : *Velut ager, vir insipiens; et velut vinea, homo ratione egens. Si dimiseris eum, desertus fiet, et herbis luxuriabit totus, et fit derelictus* [95]. Ea autem anima quæ ex hujusmodi negligentia manet inculta et derelicta, necessaria quadam consecutione producit spinas ac tribulos, experiturque quod dictum est : *Exspectavi ut faceret uvam, fecit autem spinas* [96]. De qua anima prius dictum fuerat : *Et plantavi vineam Sorec* [97]; quod si interpreteris, sonat *electam*. Huic autem consimile quiddam potest quis invenire etiam apud Jeremiam ex persona Dei dicentem : *Ego plantavi vitem fructiferam, totam veram : quomodo conversa es in amaritudinem, vitis aliena* [98]?

INTERROGATIO LXXVI.

An oporteat mentiri, videlicet rei cujusdam utilis causa.

RESPONSIO.

Hoc non permittit sententia Domini, qui præcise dixit mendacium ex diabolo esse [99], nullo assignato mendacii discrimine. Quin et Apostolus id testatur cum scripsit : *Et si certet aliquis, non coronatur, nisi legitime certaverit* [1].

INTERROGATIO LXXVII.

Quid est dolus, et quid malignitas.

RESPONSIO.

Malignitas quidem est, uti arbitror, ipsa prima et occulta morum malitia : dolus vero, est sedula ad struendas insidias opera, cum scilicet quis,

A αἴτιος γενέσθαι τινὶ ἁμαρτίας (33) οὐ δύναται· τοῖς δὲ ἐνυπάρχουσι ποτὲ μὲν φυσικοῖς κινήμασι, ποτὲ δὲ καὶ ἀπηγορευμένοις πάθεσι συγχρώμενος, δι' αὐτῶν καὶ ἐπὶ τὰ οἰκεῖα τῶν παθῶν ἀπάγειν ἐπιχειρεῖ τοὺς μὴ νήφοντας. Συγκέχρηται δὲ τοῖς μὲν φυσικοῖς, ὡς ἐπὶ τοῦ Κυρίου ποιῆσαι ἐπειράθη, ἡνίκα ᾔσθετο αὐτοῦ πεινάσαντος, εἰπών· *Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται·* πάθεσι δὲ ἀπηγορευμένοις, ὡς ἐπὶ τοῦ Ἰούδα, ὃν ἐπειδὴ φιλαργυρίαν νοσοῦντα κατέμαθε, τούτῳ συγχρησάμενος τῷ πάθει, καὶ εἰς τὸ τῆς προδοσίας πτῶμα τὸν φιλάργυρον διὰ τῶν τριάκοντα ἀργυρίων κατηκόντισεν. Ὅτι δὲ καὶ τὰ κακὰ ἐξ ἡμῶν αὐτῶν ἀναφύεται, δείκνυσι σαφῶς ὁ Κύριος· *Ἐκ γὰρ τῆς καρδίας*, φησὶν, *ἐξέρχονται οἱ διαλογισμοὶ* (34) *οἱ πονηροί*. Συμβαίνει
B δὲ τοῦτο τοῖς ἐξ ἀμελείας ἀγεώργητα καταλιποῦσι τὰ φυσικὰ τῶν ἀγαθῶν σπέρματα, ὡς κατὰ τὸ ἐν Παροιμίαις εἰρημένον (35)· *Ὥσπερ γεώργιον ἀνὴρ ἄφρων, καὶ ὥσπερ ἀμπελὼν ἄνθρωπος ἐνδεὴς φρενῶν. Ἐὰν ἀφῇς αὐτὸν, χερσωθήσεται, καὶ χορτομανήσει ὅλος, καὶ γίνεται ἐκλελειμμένος.* Τῇ δὲ ἐκ τῆς τοιαύτης ἀμελείας κεχερσωμένῃ καὶ ἐκλελειμμένῃ ψυχῇ ἀκόλουθον ἐξ ἀνάγκης τὸ ἀκάνθας καὶ τριβόλους ἀνατέλλειν, καὶ πάσχειν ἐκεῖνο τὸ εἰρημένον· *Ἔμεινα ἵνα ποιήσῃ σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας.* Περὶ ἧς ψυχῆς προείρηται· *Καὶ ἐφύτευσα ἄμπελον Σωρὴχ*, ὃ ἑρμηνεύεται *ἐκλεκτὴ* (36). Τὸ παραπλήσιον δὲ τούτῳ καὶ παρὰ τῷ Ἱερεμίᾳ εὕροι τις ἂν ἐκ προσώπου τοῦ Θεοῦ λέγοντι (37)· *Ἐγὼ*
C *ἐφύτευσα ἄμπελον καρποφόρον, πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς πικρίαν, ἡ ἄμπελος ἡ ἀλλοτρία;*

ΕΡΩΤΗΣΙΣ ΟϚʹ.

Εἰ χρὴ οἰκονομίᾳ δῆθεν χρησίμου τινὸς ψεύδεσθαι (38).

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ ἀπόφασις τοῦ Κυρίου τοῦτο οὐ συγχωρεῖ, ἅπαξ εἰπόντος, ὅτι τὸ ψεῦδος ἐκ τοῦ διαβόλου ἐστί· διαφορὰν δὲ ψεύδους οὐδεμίαν ἐμφήναντος. Καὶ ὁ Ἀπόστολος δὲ μαρτυρεῖ γράψας· *Κἂν ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.*

ΕΡΩΤΗΣΙΣ ΟΖʹ.

Τί ἐστι δόλος, καὶ τί ἐστι κακοήθεια.

ΑΠΟΚΡΙΣΙΣ.

D Κακοήθεια μέν ἐστιν, ὡς λογίζομαι, αὐτὴ ἡ πρώτη καὶ κεκρυμμένη (39) κακία τοῦ ἤθους· δόλος δὲ τὸ πρὸς ἐπιβουλὴν περίεργον, ὅταν τις, ἀγαθόν τι σχη-

[93] Matth. IV, 3. [94] Matth. XV, 19. [95] Prov. XXIV, 30, 31, juxta LXX. [96] Isa. V, 4. [97] ibid. 2. [98] Jerem. II, 21. [99] Joan. VIII, 44. [1] II Tim. II, 5.

(33) Reg. primus γενέσθαι τινὶ ἀμελείας, *incuriæ auctor*.

(34) Reg. primus ἐξέρχονται, φησὶν, οἱ πονηροὶ λογισμοί.

(35) Illud, ὡς κατὰ τὸ ἐν Παροιμίαις εἰρημένον, deest et in Vossii codice et in Colbertino. Aliquanto post duo mss. ἐξ ἀνάγκης τὰς ἀκάνθας.

(36) Codex Colb. ὅ ἐστιν ἐκλεκτή.

(37) Editio Veneta et veteres quatuor libri τοῦ Θεοῦ λέγοντος. Editio Basil. perinde ut Paris. τοῦ Θεοῦ λέγοντι. Mox Reg. primus πῶς ἐστράφη εἰς.

(38) Codex Colb. οἰκονομίας δῆθεν χρησίμου τινὸς ἕνεκεν. Mox duo mss. Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Haud longe vocula δέ addita est ex antiquis tribus libris post vocem ἀπόστολος.

(39) Reg. primus πρώτη κεκρυμμένη. Codex Colb. αὐτὴ ἡ προκεκρυμμένη. Mox duo mss. pariter atque Voss. δόλος δὲ τὸ ἐκ κακίας εἰς ἐπιβουλὴν περίεργον, *dolus vero est sedula opera, quæ ex malitia datur ad insidiandum*. Mox Reg. primus ὡς δέλεαρ. Ibidem codex Voss. τινὶ προσθείς. Subinde idem ms. et alii duo ἐργάζηται.

ματισάμενος, καὶ τοῦτο, ὥσπερ δέλεαρ, τινὶ προθεὶς, δι' αὐτοῦ τὰ τῆς ἐπιβουλῆς κατεργάσηται

ΕΡΩΤΗΣΙΣ ΟΗ'.

Ἐφευρεταὶ κακῶν τίνες εἰσίν.

ΑΠΟΚΡΙΣΙΣ.

Οἱ παρὰ τὰ συνήθη τοῖς πολλοῖς καὶ γνώριμα κακὰ ἄλλα τινὰ προσεπινοοῦντες καὶ ἐξευρίσκοντες (40).

ΕΡΩΤΗΣΙΣ ΟΘ'.

Ἐὰν τις συνεχῶς ἑαυτοῦ ἐπιλαμβάνηται (41), ὅτι σκληρῶς προσφέρεται τῷ ἀδελφῷ, πῶς διορθωθήσεται.

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ μὲν πρᾶγμα συμβαίνει, ὡς ἐξ αὐτοῦ (42) στοχάζομαι, ἢ ἀπὸ φρονήματος ὑπεροχὴν φανταζομένου, ἢ ἀπὸ λύπης τῆς ἐπὶ ἐλαττώμασι τῶν κατορθοῦν ὀφειλόντων. Τὸ γὰρ ἐξ ἀγαθοῦ τινος ἐλπισθέντος ἐναντίον καὶ λυπηρὸν ἀπαντῆσαν καὶ σφοδρότερόν πως τῆς ψυχῆς καθάπτεται. Ἐπιμελείας δὲ (43) χρεία περισσοτέρας, ἵνα, εἰ μὲν τὸ πρῶτον εἴη, κολάσωμεν τῆς ὑπερηφανίας τὸ πάθος, εἰ δὲ τὸ δεύτερον, πρὸ τῆς ἀγανακτήσεως ἐν παρακλήσει καὶ νουθεσίᾳ τὴν εὐσπλαγχνίαν ἐπιδειξώμεθα. Ἐὰν δὲ ἄρα ὁ τρόπος οὗτος τῆς θεραπείας ἀνενέργητος φανῇ διὰ τὴν τοῦ ὑποκειμένου πάθους κακίαν τότε λοιπὸν καὶ τῇ σφοδρότητι τῆς ἀγανακτήσεως μετὰ συμπαθείας ἐπ' ὠφελείᾳ (44) καὶ διορθώσει τοῦ ἁμαρτήσαντος εὐκαίρως καὶ μετὰ λόγου χρησώμεθα.

ΕΡΩΤΗΣΙΣ Π'.

Πόθεν συμβαίνει τὸ ὥσπερ τῇ διανοίᾳ ἐπιλείπειν λογισμοὺς ἀγαθοὺς καὶ μερίμνας ἀρεσκούσας τῷ Θεῷ, καὶ πῶς, ἵνα μὴ τοῦτο πάσχωμεν.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Δαβὶδ εἰπόντος, *Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας*, εὔδηλον, ὅτι τὸ τοιοῦτον ἀπὸ νυσταγμοῦ τῆς ψυχῆς καὶ ἀναισθησίας συμβαίνει. Γρηγορούσῃ γὰρ τῇ ψυχῇ καὶ νηφούσῃ οὐχὶ μέριμνα Θεῷ ἀρέσκουσα καὶ λογισμὸς ἀγαθὸς ἐπιλείπει, ἀλλ' ἑαυτὴν τούτοις (45) ἐπιλείπουσαν ἐπιβλέπει. Εἰ γὰρ ὁ τοῦ σώματος ὀφθαλμὸς οὔτε ἀρκεῖ (46) πρὸς θεωρίαν καὶ ὀλίγων τινῶν τοῦ Θεοῦ δημιουργημάτων, οὔτε ἅπαξ τι θεασάμενος κόρον ἔσχεν, ἀλλὰ καὶ ἀεὶ τὸ αὐτὸ θεωρῶν, οὐ παύεται ὅμως τοῦ βλέπειν· πόσῳ μᾶλλον ὁ τῆς ψυχῆς ὀφθαλμὸς, ἐὰν ἐγρηγορὼς ᾖ καὶ νήφων, οὐκ ἐξαρκεῖ πρὸς θεωρίαν τῶν τοῦ Θεοῦ θαυμασίων καὶ κριμάτων; *Τὰ κρίματα γάρ σου*, φησὶν, *ἄβυσσος πολλή*· καὶ ἀλλαχοῦ· *Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν*· καὶ πολλὰ τοιαῦτα. Εἰ δὲ ἐπιλεί-

A bono quodam simulato, eoque alicui instar illecebræ objecto, illius ope molitur insidias.

INTERROGATIO LXXVIII.

Inventores malorum qui sint

RESPONSIO.

Qui, præter ea quæ plerisque familiaria ac nota sunt mala, quædam adhuc alia comminiscunt inveniuntque.

443 INTERROGATIO LXXIX.

Si quis assidue seipsum accusat, quod aspere tractet fratrem, quomodo corrigetur.

RESPONSIO

Res quidem ista, quantum ex ea conjecto, venit vel ab animo eximium aliquid de se excogitante, aut a tristitia ex delictis eorum, qui recte agere deberent, ortum habente. Cum enim bono aliquo exspectato, contrarium quiddam et molestum accidit, tum id vehementius nescio quomodo animum percellit. Cura autem opus est majore, ut si quidem primum fuerit superbiæ vitium, id coerceamus; sin secundum, antequam ad indignationem veniatur, misericordiam exhortando atque commonefaciendo ostendamus. Quod si hæc medendi ratio inefficax apparuerit propter insidentis vitii pravitatem, tum demum indignationis vehementiam una cum commiseratione ad peccantis utilitatem emendationemque opportune ac jure adhibuerimus.

INTERROGATIO LXXX.

Unde fit, ut cogitationes bonæ sollicitudinesque Deo placitæ mentem veluti deficiant : et qua ratione fiet, ut id caveamus

RESPONSIO

Cum David dixerit [a] : *Dormitavit anima mea præ tædio*, perspicuum est hujusmodi vitium ex animi sopore ac stupore exoriri. Siquidem animum vigilantem et sobrium sollicitudo Deo grata et bona cogitatio nequaquam deficit : quin potius eis semetipsum deesse videt. Nam, si corporis oculus neque satis est ad contemplanda etiam pauca quædam Dei opificia, neque si quid semel conspicatus sit, exsatiatur, sed etiamsi semper idem videat, tamen aspicere non desinit, quanto magis animæ oculus, si vigilans sit et expergefactus, ad Dei mirabilia, et ad illius judicia speculanda nequaquam sufficit. *Judicia* enim, inquit, *tua abyssus multa* [b] ; et alio in loco : *Mirabilis facta est scientia tua ex me : confortata est, non potero ad eam* [c]; et multa hujuscemodi. Quod si deficit ani-

[a] Psal. CXVIII, 28. [b] Psal. XXXV, 7. [c] Psal. CXXXVIII, 6.

(40) Antiqui duo libri καὶ ἐξευρίσκοντες. Alius καὶ ἐπεξευρίσκοντες. Editi εὑρίσκοντες.

(41) Veteres tres libri λαμβάνηται. Statim vulgatæ tres editiones et duo mss. πῶς διορθώσεται, corrupte. Reg. primus et Colb. διορθωθήσεται, emendate.

(42) Veteres duo libri ἐξ ἐμαυτοῦ. Reg. primus ἐξ ἑαυτοῦ. Nec ita multo infra unus ms. καὶ λυπηρὸν ὑπαντῆσαν, καὶ σφοδ.

(43) Reg. primus et Voss. ἐπιμελείας οὖν.

(44) Editi καὶ ἐπ' ὠφελείᾳ. Vocula καί in aliis tribus mss. non legitur.

(45) Reg. tertius et editi τοιούτοις. Alii duo mss. τούτοις.

(46) Editi ἀρκεῖται. At mss. tres ἀρκεῖ.

mam cogitatio bona, profecto adhuc deficit ipsam illuminatio : non quod deficiat quod illuminat, sed quod dormitet quod illuminari debet.

444 INTERROGATIO LXXXI.

Si pii sunt æqualiter objurgandi atque quivis alii indifferentes quando in eodem utrique peccato deprehenduntur.

RESPONSIO.

Si respexerimus ad animum peccantis et ad modum peccati, cognoscemus etiam modum increpandi. Nam, etiamsi idem peccatum esse videatur tum hominis indifferenter se gerentis, tum pii, tamen inter utrumque intercedit discrimen non mediocre. Pius enim, cum pius sit laboretque simul ac contendat ut placeat Deo, casu aliquo et fere quasi invitus aberravit et lapsus est; qui vero gerit se indifferenter, nullam neque sui ipsius, neque Dei rationem habens, atque vel ipso nomine id indicante, nullum discrimen ponens peccatum inter et virtutem, præcipuis ac ingentibus malis ægrotat, videlicet quod aut Deum aspernetur, aut Deum esse non credat. Hæc enim duo in causa sunt, cur peccet anima, ut testatur Scriptura, cum nunc quidem ait : *Dixit injustus, ut delinquat in semetipso; non est timor Dei ante oculos ejus* [5]; nunc vero : *Dixit insipiens in corde suo, Non est Deus : corrupti sunt et abominabiles facti sunt in studiis* [6]. Itaque aut contempsit, propterea que peccat, aut inficiatur Deum ipsum esse, et eam ob causam in studiis corrumpitur, tametsi videtur confiteri. *Confitentur enim*, inquit, *se nosse Deum, factis autem negant* [7]. Quæ cum ita se habeant, etiam objurgandi modum erga eos qui sunt ejusmodi diversum esse oportere puto. Pius enim quasi locali quodam præsidio indiget, et in ipsa re in qua offendit, debet objurgationem sufferre; indifferens vero, cum totum simul corruperit animæ bonum, ægrotetque ipsis generalioribus malis, aut tanquam contemptor, uti jam dixi, aut tanquam incredulus, et lugeri, et admoneri, et objurgari debet, quoad ei persuaderi possit, aut Deum esse justum judicem, et ita expavescat; aut in universum, Deum esse, sicque perterreatur. Atque etiam id scire operæ pretium est, contingere sæpe piorum delicta, divina providentia ita dispensante ad eorum utilitatem : Deus enim labi eos aliquando permittit, ad sanandam priorem quamdam animi elationem, quale est quod a Petro dictum fuit, et in eo ipso obtigit.

[5] Psal. xxxv, 1. [6] Psal. xiii, 1. [7] Tit. i, 16.

A πει τῇ ψυχῇ λογισμὸς ἀγαθὸς, δηλονότι ἔτι (47) ἐπιλείπει αὐτῇ φωτισμός· οὐ παρὰ τὸ ἐπιλείπειν τὸ φωτίζον, ἀλλὰ παρὰ τὸ νυστάζειν τὸ φωτισθῆναι ὀφεῖλον.

ΕΡΩΤΗΣΙΣ ΠΑ'.

Εἰ χρὴ ἴσως ἐπιτιμᾷν τοῖς εὐλαβέσι καὶ τοῖς ἀδιαφόροις (48), *ὅταν ἐν τῷ αὐτῷ ἁμαρτήματι εὑρίσκωνται ἀμφότεροι.*

ΑΠΟΚΡΙΣΙΣ

Ἐὰν ἀπίδωμεν εἰς τὴν διάθεσιν τοῦ ἁμαρτανοντος καὶ τὸν τρόπον τοῦ ἁμαρτήματος, γνωσόμεθα καὶ τὸν τρόπον τῆς ἐπιτιμήσεως. Κἂν γὰρ τὸ αὐτὸ ἁμάρτημα εἶναι δοκῇ τό τε τοῦ ἀδιαφόρου καὶ τὸ τοῦ εὐλαβοῦς, ἀλλὰ πολλὴ μεταξὺ αὐτῶν ἡ διαφορά. Ὁ μὲν γὰρ εὐλαβὴς, εὐλαβὴς ὢν ἀγωνιῶν τε ἅμα καὶ ἀγωνιζό-
B μενος περὶ τῆς πρὸς Θεὸν (49) εὐαρεστήσεως, κατὰ περίστασίν τινα καὶ σχεδὸν ὡς οὐκ ἤθελεν ἐσφάλη καὶ ὤλισθεν· ὁ δὲ ἀδιάφορος, οὐδένα λόγον οὐδὲ ἑαυτοῦ οὐδὲ τοῦ Θεοῦ ποιούμενος, καὶ οὐδεμίαν διαφορὰν τοῦ τε ἁμαρτάνειν καὶ τοῦ κατορθοῦν τιθέμενος, ὡς αὐτὸ δηλοῖ τὸ ὄνομα, τὰ πρῶτα καὶ μεγάλα κακὰ νοσεῖ· ἢ καταφρόνησιν Θεοῦ, ἢ ἀπιστίαν τοῦ εἶναι Θεόν. Δύο γὰρ ταῦτα αἴτια τῇ ψυχῇ τοῦ ἁμαρτάνειν γίνεται, ὡς ἡ Γραφὴ μαρτυρεῖ λέγουσα ποτὲ μέν· *Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ· οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ*· ποτὲ δέ· *Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός· διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν.* Ὥστε ἢ καταπεφρόνηκε, καὶ διὰ τοῦτο ἁμαρτά-
C νει, ἢ αὐτὸ τὸ εἶναι τὸν Θεὸν ἀρνεῖται, καὶ διὰ τοῦτο ἐν τοῖς ἐπιτηδεύμασι διαφθείρεται, κἂν ὁμολογεῖν δοκῇ. *Θεὸν γὰρ*, φησὶν (50), *ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται.* Ὧν οὕτως ἐχόντων, καὶ τὸν τρόπον τῆς ἐπιτιμήσεως λογίζομαι εἶναι δεῖν ἐπὶ τῶν τοιούτων διάφορον. Ὁ μὲν γὰρ εὐλαβὴς οἱονεὶ τοπικοῦ τινος χρῄζει τοῦ βοηθήματος, καὶ περὶ αὐτὸ τὸ πρᾶγμα, εἰς ὃ ἐσφάλη, τὴν ἐπιτίμησιν ὑποστῆναι ὀφείλει· ὁ δὲ ἀδιάφορος, ὅλον ὁμοῦ τὸ ψυχῆς καλὸν διαφθείρας, καὶ αὐτὰ τὰ τῶν κακῶν καθολικώτερα νοσῶν, ἢ ὡς καταφρονητὴς, ὥσπερ εἶπον (51), ἢ ὡς ἄπιστος, καὶ πενθεῖσθαι, καὶ νουθετεῖσθαι, καὶ ἐπιτιμᾶσθαι ὀφείλει, μέχρις ἂν πληροφορηθῆναι δυνηθῇ, ἢ ὅτι ὁ Θεὸς κριτὴς δίκαιος, καὶ φοβηθῇ, ἢ ὅτι ὅλως ἔστι Θεὸς, καὶ καταπλαγῇ. Κἀκεῖνο δὲ εἰδέναι χρὴ, ὅτι τὰ ἐλατ-
D τώματα τῶν εὐλαβῶν γίνεται πολλάκις καὶ κατ' οἰκονομίαν πρὸς τὸ συμφέρον· τοῦ Θεοῦ συγχωροῦντος ἐνίοτε ὀλισθῆσαι εἰς θεραπείαν (52) ἐπάρσεως προλαβούσης, οἷόν ἐστι τὸ ὑπὸ τοῦ Πέτρου εἰρημένον, καὶ ἐπ' αὐτοῦ γεγενημένον.

(47) Antiqui duo libri δῆλον ὅτι.
(48) Interpres vetus cum illud, καὶ τοῖς ἀδιαφόροις, ita vertit, *et quilibet de vulgo*, longe a sententia Basilii aberravit. Quid enim vetat eumdem hominem esse plebeium simul et pium? Ergo vox ἀδιάφορος, ut solet, debet hoc loco accipi pro *indifferente*, cui cura non est, bene an male agat.
(49) Reg. primus εἰς Θεόν.
(50) Illud, φησίν, additum est ex duobus codicibus.
(51) Veteres duo libri καταφρονητὴς, ὅπερ εἶπον. Paulo post codex Colb. καὶ πιστεύσας καταπλαγῇ, *et credens perterreatur.*
(52) Codices duo præter Voss. πρὸς θεραπείαν. Mox Reg. primus καὶ ἐπ' αὐτῷ.

ΕΡΩΤΗΣΙΣ ΠΒ'.

A

Ἐπειδὴ γέγραπται, « Πρεσβυτέρας ὡς μητέρας, » ἐὰν συμβῇ τὴν πρεσβυτέραν ἁμαρτῆσαι τὸ αὐτὸ τῇ νεωτέρᾳ, εἰ τῷ αὐτῷ ὑπόκειται ἐπιτιμίῳ.

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ μὲν Ἀπόστολος πρεσβυτέρας ὡς μητέρας τιμᾷν, ὡς οὐκ ἐπιτιμήσεως ἄξιόν τι ποιούσας, ἐδίδαξεν· εἰ δὲ συμβαίη ποτὲ τὴν πρεσβυτέραν τὸ αὐτὸ ἁμαρτῆσαι τῇ νεωτέρᾳ, καταμανθάνειν δεῖ πρῶτον μὲν τὰ φυσικὰ, ἵνα οὕτως εἴπω, τῆς ἡλικίας ἐλαττώματα· καὶ οὕτω τὸ προσῆκον ἑκατέρᾳ τῇ ἡλικίᾳ μέτρον τῆς ἐπιτιμήσεως ὁρίζειν. Οἷον φυσικόν ἐστι σχεδὸν τῷ γήρᾳ ὁ ὄκνος, οὐχὶ δὲ καὶ τῇ νεότητι (53)· ὥσπερ ὁ μετεωρισμὸς, καὶ ὁ τάραχος, καὶ ἡ θρασύτης, καὶ ὅσα τοιαῦτα, τῇ νεότητι, οὐχὶ δὲ καὶ τῷ B γήρᾳ· καὶ δοκεῖ βοηθεῖσθαι ὑπὸ τῆς ἐν τῇ νεότητι φυσικῆς θερμότητος. Ὥστε τὸ αὐτὸ ἁμάρτημα, ὁ ὄκνος, εἰ τύχοι, βαρυτέρων ἐγκλημάτων ἄξιον τῇ νεωτέρᾳ γίνεται, οὐδὲν ὑπὸ (54) παραιτουμένης τῆς ἡλικίας. Καὶ τὸ αὐτὸ ἁμάρτημα, ὁ μετεωρισμὸς, ἢ τὸ θράσος, ἢ ὁ τάραχος μείζονος ἀξίαν καταγνώσεως τὴν πρεσβυτέραν ποιεῖ, βοηθουμένην καὶ ὑπ' αὐτῆς τῆς ἡλικίας πρὸς τὸ πρᾶον καὶ ἤρεμον (55). Πρὸς δὲ τούτοις καὶ τὸν τρόπον τοῦ ἁμαρτήματος χρὴ ἐξετάζειν (56) ἐφ' ἑκατέρου προσώπου, καὶ οὕτω τὸν ἁρμόζοντα τρόπον τῆς θεραπείας διὰ τοῦ οἰκείου ἐπιτιμίου προσάγειν.

445 INTERROGATIO LXXXII

Quoniam scriptum est, « Anus ut matres [8], » si forte anus admiserit peccatum idem quod adolescentula, an obnoxia sit multæ eidem

RESPONSIO.

Apostolus quidem anus honorari oportere docuit ut matres, non ut facientes quidquam reprehensione dignum. Quod si contigerit aliquando ut anus peccatum idem atque adolescentula admiserit, primum quidem, ut ita dicam, consideranda sunt naturalia ætatis vitia, atque hoc pacto objurgationis modus ætati utrique conveniens est definiendus. Exempli causa, naturalis fere est senectæ pigritia, juventuti non item : quemadmodum mentis aberratio, perturbatioque, et audacia, et quæcunque ejusdem generis sunt, juventuti, non autem senectuti insita sunt, et a naturali juventutis calore videntur adjuvari. Quamobrem peccatum idem, puta segnities, gravius reprehendendum est in adolescentula, ætate nihil illam excusante. Sic peccatum idem, mentis aberratio, aut audacia, aut perturbatio anum reddit majori animadversione dignam, ætate ipsa ad lenitatem tranquillitatemque ostendendam suppetias veniente. Ad hæc et peccati modum abs re non fuerit in utraque persona expendere, sicque multa quadam convenienti idoneam medendi rationem adhibere.

ΕΡΩΤΗΣΙΣ ΠΓ'.

Ἐάν τις, τὰ πολλὰ (57) κατορθῶν, ἐν ἑνὶ μόνῳ διαπταίῃ, πῶς αὐτὸν παρέλθωμεν. C

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς τὸν Πέτρον ὁ Κύριος.

INTERROGATIO LXXXIII.

Si quis multa recte faciens, in uno delinquat duntaxat, quomodo ipsum tractabimus

RESPONSIO.

Velut Petrum Dominus

ΕΡΩΤΗΣΙΣ ΠΔ'.

Ἐάν τις, ἦθος ἔχων θορυβοποιὸν καὶ ταραχῶδες, καὶ ἐπὶ τούτῳ καταγινωσκόμενος, λέγῃ, ὅτι ὁ Θεὸς ἐποίησε τοὺς μὲν καλοὺς, τοὺς δὲ κακοὺς, εἰ καλῶς λέγει.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο τὸ φρόνημα πάλαι ὡς αἱρετικὸν κατεγνώσθη (58)· καὶ γὰρ βλάσφημόν ἐστι καὶ ἀσεβὲς, καὶ πρὸς ἁμαρτίαν εὐόλισθον τὴν ψυχὴν ἀπεργάζεται. Ὥστε ἢ διορθωθήτω, ἢ ἐξαρθήτω ἐκ μέσου, ἵνα μὴ γένηται· *Μικρὰ ζύμη ὅλον τὸ φύραμα δολοῖ* (59). D

INTERROGATIO LXXXIV.

Si quis, turbulentis ac tumultuosis moribus præditus, propterea correptus, dicat alios bonos, alios malos a Deo fuisse factos, an recte loquatur.

RESPONSIO.

Hæc opinio jampridem veluti hæretica damnata est : siquidem est blasphema et impia, animamque ad peccatum proclivem efficit. Quare aut corrigatur, aut pellatur e medio [9], ut ne illud contingat : *Modicum fermentum totam massam adulterat* [10]

[8] I Tim. v, 2. [9] I Cor. v, 2. [10] Galat. v, 9.

(53) Reg. primus et Colb. τῇ νεότητι· καὶ δοκεῖ βοηθεῖσθαι ὑπὸ τῆς ἐν νεότητι φυσικῆς θερμότητος ὁ μετεωρισμὸς, καὶ ὁ τάραχος, καὶ ἡ θρασύτης, καὶ ὅσα τοιαῦτα. Ὥστε τὸ αὐτό, *videnturque juvari a naturali juventutis calore aberratio mentis, et perturbatio, et audacia, et alia ejusdem generis*. Nihil in contextu mutandum censuimus.

(54) Sic veteres quatuor libri. Vox ὑπό in editis desiderabatur.

(55) Reg. primus et Colb. πρᾶον καὶ ἥμερον.

(56) Editi et duo mss. ἁμαρτήματος καὶ τὴν διάθεσιν τοῦ ἁμαρτήσαντος ἐξετάζειν.... δεῖ. Reg. primus καὶ τὴν διάθεσιν ἐξετάζειν χρή· ubi notandum, voces τοῦ ἁμαρτήσαντος eo in libro omissas esse. Puto autem ita scriptum fuisse ab aliquo, qui recte judicasset illud, τοῦ ἁμαρτήσαντος, rescindi debere. Cum enim hoc loco sermo sit de anu et adolescentula, scriptum fuisset ἁμαρτησάσης, non ἁμαρτήσαντος. Codex Colb. ut in contextu.

(57) Antiqui tres libri τὰ πολλά. Deerat articulus in vulgatis.

(58) Editi et mss. aliquot ὡς αἱρετικὸν ἐγνωρίσθη, *declarata est*. Codex Colb. ὡς αἱρετικὸν κατεγνώσθη, *damnata est ut hæretica*, optime.

(59) Veteres duo libri cum Voss. ζυμοῖ, *fermentat*.

446 INTERROGATIO LXXXV.

Nunquid conveniat aliquid proprium habere in fratrum societate.

RESPONSIO.

Hoc contrarium est testimonio quod in Actis refertur de iis qui crediderant, in quibus scriptum est : *Nec quisquam eorum, quæ possidebat, aliquid suum esse dicebat* [11]. Quare qui dicit suum aliquid esse, seipsum alienum facit ab Ecclesia Dei, et a charitate Domini, qui et verbo et facto docuit animam suam pro amicis ponendam esse, nedum opes externas.

INTERROGATIO LXXXVI.

Si quis dicat, Neque accipio a fratribus, neque eis do, sed meis contentus sum ecquid nobis erga talem observandum fuerit.

RESPONSIO.

Hic nisi pareat doctrinæ Domini, qui dixit : *Diligite invicem, sicut ego dilexi vos* [12], pareamus nos Apostolo, qui ait : *Auferte pravum ex vobis ipsis* [13], ne illud usu veniat : *Modicum fermentum totam massam adulterat* [14].

INTERROGATIO LXXXVII

Si liceat unicuique suum vetus indumentum aut calceamentum dare cui velit, juxta mandatum.

RESPONSIO.

Dare aut accipere, etiam secundum mandatum, non est cujuslibet, sed ejus cui post factum periculum delatum est munus dispensandi. Proinde sive vetus, sive novum fuerit, hic, habita ratione temporis cujusque, et dabit, et recipiet

INTERROGATIO LXXXVIII.

Quid sit sollicitudo hujus vitæ.

RESPONSIO.

Omnis cura, tametsi nihil eorum quæ prohibita sunt, videtur complecti, nisi tamen conferat ad pietatem, hujus vitæ sollicitudo est.

INTERROGATIO LXXXIX.

Quoniam scriptum est, « Pretium redemptionis animæ viri sunt suæ ipsius divitiæ [15] *; » quid nobis faciendum est, quibus id non suppetit.*

RESPONSIO.

Si quidem hoc nobis studio fuerit, nec tamen potuerimus, meminerimus responsi Domini ad Petrum, qui de hujusmodi re admodum 447 sollicitus dixerat [16] : *Ecce nos reliquimus omnia, et secuti sumus te : quid ergo erit nobis ?* sic autem ipsi respondet : *Omnis qui reliquerit domum, vel fratres, aut sorores, aut patrem, aut matrem, aut uxorem, aut filios, aut agros, propter me et Evan-*

A ΕΡΩΤΗΣΙΣ ΠΕ.

Εἰ χρὴ ἔχειν τι ἴδιον ἐν ἀδελφότητι.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο ἐναντίον ἐστὶ τῆς ἐν ταῖς Πράξεσι περὶ τῶν πιστευσάντων (60) μαρτυρίας, ἐν αἷς γέγραπται· *Καὶ οὐδεὶς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι.* Ὁ οὖν λέγων ἴδιόν τι εἶναι, ἑαυτὸν ἀλλότριον τῆς τοῦ Θεοῦ Ἐκκλησίας κατέστησε, καὶ τῆς τοῦ Κυρίου ἀγάπης, τοῦ διδάξαντος καὶ λόγῳ καὶ ἔργῳ τὴν ψυχὴν ἑαυτοῦ τιθέναι ὑπὲρ τῶν φίλων, οὐχ ὅτι γε τὰ ἐκτός.

ΕΡΩΤΗΣΙΣ ΠϚ'

B *Ἐὰν δὲ λέγῃ τις, ὅτι Οὔτε λαμβάνω παρὰ τῆς ἀδελφότητος, οὔτε δίδωμι, ἀλλὰ τοῖς ἐμοῖς ἀρκοῦμαι, τί πρὸς τοῦτον παραφυλάξομεν* (61).

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μὴ ἀνέχοιτο τῆς τοῦ Κυρίου διδασκαλίας εἰπόντος, *Ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς*, ἀνασχώμεθα τοῦ Ἀποστόλου εἰπόντος· *Ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν*· ἵνα μὴ γένηται τὸ, *Μικρὰ ζύμη ὅλον φύραμα δολοῖ* (62).

ΕΡΩΤΗΣΙΣ ΠΖ'.

Εἰ ἔξεστιν ἑκάστῳ τὸ παλαιὸν ἱμάτιον αὐτοῦ ἢ ὑπόδημα δοῦναι ὅπου θέλει, εἰς ἐντολήν

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ διδόναι ἢ λαμβάνειν, εἰ καὶ κατ' ἐντολήν, οὐ παντός (63) ἐστιν, ἀλλὰ τοῦ μετὰ δοκιμασίας πεπιστευμένου τὴν οἰκονομίαν. Ὥστε εἴτε παλαιὸν εἴτε C καινὸν, οὗτος, κατὰ τὸν ἴδιον ἑκάστου καιρὸν, καὶ δώσει, καὶ ὑποδέξεται.

ΕΡΩΤΗΣΙΣ ΠΗ'

Τίς ἡ (64) *μέριμνα ἡ βιωτική*

ΑΠΟΚΡΙΣΙΣ.

Πᾶσα μέριμνα, κἂν μηδὲν ἔχειν δοκῇ τῶν ἀπηγορευμένων, μὴ συντελῇ δὲ πρὸς θεοσέβειαν, βιωτική ἐστιν.

ΕΡΩΤΗΣΙΣ ΠΘ'

Ἐπειδὴ γέγραπται, « Λύτρον ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος, » ἡμῖν δὲ οὐ προσεχώρησε τοῦτο· τί ποιήσομεν.

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μὲν σπουδάσαντες οὐκ ἠδυνήθημεν, μνημονεύσωμεν (65) τῆς ἀποκρίσεως τοῦ Κυρίου πρὸς τὸν Πέτρον ἐπὶ τῷ τοιούτῳ ἀγωνιάσαντα καὶ εἰπόντα· D *Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν;* ἀποκρίνεται δὲ αὐτῷ οὕτως· *Πᾶς ὅστις ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγε*

[11] Act. IV, 32. [12] Joan. XIII, 34. [13] I Cor. V, 2. [14] Gal. V, 9. [15] Prov. XIII, 8. [16] Matth. XIX, 27-29.

(60) Codex Colb. τῶν πιστευόντων. Mox Reg. primus καὶ οὐδὲ εἷς τι τῶν.

(61) Vetus liber Vossii et alii duo παραφυλαξόμεθα.

(62) Et hic quoque variant, ut solent, libri veteres. Alii habent δολοῖ, alii ζυμοῖ.

(63) Voculam ἐστὶ addidimus ex Reg. tertio. Reg. primus pro οὐ παντός habet οὐ πάντων.

(64) Reg. primus τί ἐστιν ἡ. Mox Colb. ἔχειν δοκεῖ.

(65) Libri veteres μνημονεύσωμεν. Editi μνημονεύσομεν.

λίου, ἑκατονταπλασίονα (66) λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. Εἰ δὲ κατὰ ἀμέλειαν τοῦτο οὐκ ἐποιήσαμεν, νῦν τὴν σπουδὴν ἐπιδειξώμεθα. Εἰ δὲ κατὰ ἀμέλειαν τοῦτο οὐκ ἐποιήσαμεν, νῦν τὴν σπουδὴν ἐπιδειξώμεθα. Εἰ μηκέτι ἐστὶ μήτε καιρὸς μήτε δύναμις, παραμυθείσθω ἡμᾶς ὁ Ἀπόστολος λέγων· *Οὐ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς.*

ΕΡΩΤΗΣΙΣ Ϟ'.

Εἰ ἔξεστι νυκτερινὸν ἱμάτιον ἔχειν, εἴτε τρίχινον ἴτε ἀλλοῖον.

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ μὲν τοῦ τριχίνου χρῆσις καιροὺς ἔχει ἰδίους. Οὐ γὰρ χρείας σωματικῆς ἕνεκέν ἐστιν ἡ τούτων χρῆσις (67), ἀλλὰ κακουχίας καὶ ταπεινώσεως ψυχῆς. Τῆς δὲ τῶν δύο κτήσεως ἀπαγορευθείσης, εἰ δύναται ἡ χρῆσις παραληφθῆναι ἄνευ τῆς προειρημένης B αἰτίας, ἕκαστος ἑαυτῷ λογιζέσθω.

ΕΡΩΤΗΣΙΣ ϞΑ'.

Ἐὰν ἀδελφὸς, ἴδιον οὐκ ἔχων οὐδὲν, αἰτηθῇ παρά τινος αὐτὸ ὃ φορεῖ, τί ὀφείλει ποιῆσαι, μάλιστα δὲ ἐὰν γυμνὸς ᾖ ὁ αἰτήσας.

ΑΠΟΚΡΙΣΙΣ.

Εἴτε γυμνὸς, εἴτε πονηρὸς, καὶ εἴτε κατὰ χρείαν, εἴτε κατὰ πλεονεξίαν αἰτῇ (68), ἅπαξ ἐῤῥέθη, ὅτι τὸ διδόναι ἢ λαμβάνειν οὐ παντός ἐστιν, ἀλλὰ τοῦ ἐγκεχειρισμένου μετὰ δοκιμασίας τὴν τοιαύτην οἰκονομίαν (69). Καὶ φυλασσέσθω τὸ, *Ἕκαστος, ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω.*

ΕΡΩΤΗΣΙΣ ϞΒ'.

C *Τοῦ Κυρίου προστάσσοντος πωλεῖν τὰ ὑπάρχοντα, τί διανοούμενον χρὴ τοῦτο ποιεῖν· ὡς αὐτῶν τῶν ὑπαρχόντων φυσικῶς βλαπτόντων, ἢ διὰ τὸν συμβαίνοντα ἐξ αὐτῶν περισπασμὸν (70) τῇ ψυχῇ.*

ΑΠΟΚΡΙΣΙΣ.

Πρὸς τοῦτο πρῶτον μὲν ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι τῶν ὑπαρχόντων ἕκαστον, εἰ ἦν αὐτὸ καθ' ἑαυτὸ κακὸν, οὐδ' ἂν ἦν κτίσμα Θεοῦ· *Πᾶν γὰρ κτίσμα Θεοῦ*, φησὶ, *καλὸν, καὶ οὐδὲν ἀπόβλητον*· ἔπειτα δὲ, ὅτι ἡ ἐντολὴ τοῦ Κυρίου οὐχὶ ῥίπτειν ὡς κακὰ τὰ ὑπάρχοντα καὶ φεύγειν, ἀλλὰ οἰκονομεῖν ἐπαίδευσε. Καὶ κατακρίνεταί τις, οὐχ ὅτι ἔσχεν ὅλως, ἀλλ' ὅτι κακῶς ἐφρόνησε περὶ αὐτῶν, ἢ ὅτι μὴ καλῶς ἐχρήσατο αὐτοῖς. Ἡ γὰρ ἀπροσπαθὴς καὶ ὑγιὴς περὶ αὐτὰ διάθεσις, καὶ ἡ κατ' ἐντολὴν αὐτῶν οἰκο- D νομία πρός τε πολλὰ καὶ ἀναγκαιότατα ἡμῖν συμβάλλεται· ποτὲ μὲν πρὸς καθαρισμὸν τῶν οἰκείων ἁμαρτημάτων, διὸ γέγραπται· *Πλὴν τὰ ἐνόντα, δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστι* (71)· ποτὲ δὲ πρὸς κληρονομίαν βασιλείας οὐρανῶν, καὶ κτῆσιν θησαυροῦ ἀνεκλείπτου, κατὰ τὸ ἐν ἄλλῳ τόπῳ εἰρημένον· *Μὴ φοβοῦ, τὸ μικρὸν*

A τρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

INTERROGATIO CXXV.

Cui munus aliquod creditum est, et nemine admonito facit aliquid præter id quod ei injunctum fuit, aut ultra quam ipsi præscriptum est, isne debet id munus retinere.

RESPONSIO.

Aliquid sibimetipsi assumere in universum displicet Deo : neque id convenit, neque expedit iis quibus vinculum conservandæ pacis in studio est. Quod si perseveraverit in sua protervia, præstat id officii ab ipso auferri. Non enim servat præceptum ejus qui dixit : *Unusquisque in quo vocatus est, fratres, in hoc permaneat*[78]; et quod ad commovendum magis valet, addit : *Non plus sapere quam oportet sapere, sed sapere ad sobrietatem : unicuique sicut Deus divisit mensuram fidei*[79].

ΕΡΩΤΗΣΙΣ ΡΚΕ'.

Τὸν πιστευόμενον ἔργον, καὶ ποιοῦντά τι χωρὶς ὑπομνήσεως παρὰ τὸ διατεταγμένον, ἢ ὑπὲρ τὸ διατεταγμένον αὐτῷ (39), *εἰ δεῖ ἔχειν τὸ ἔργον.*

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ μὲν ἑαυτῷ λαμβάνειν καθόλου ἀπαρέσκει Θεῷ· καὶ οὔτε πρέπει, οὔτε συμφέρει τοῖς ἐσπουδακόσι τὸν σύνδεσμον τῆς εἰρήνης φυλάσσειν· εἰ δὲ ἐπιμένοι προπετευόμενος, συμφέρει ἀρθῆναι ἀπ' αὐτοῦ (40) τὸ ἔργον. Οὐ γὰρ φυλάσσει τὸ πρόσταγμα τοῦ εἰπόντος· *Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω*· καὶ ἔτι ἐντρεπτικώτερον· *Μὴ ὑπερφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως.* B

INTERROGATIO CXXVI.

Qua ratione quis non vincatur a voluptate eduliorum.

RESPONSIO.

Nempe si utilitatis rationem semper habere apud se statuerit ducem ac magistram eorum, quæ pro usu assumuntur, sive suavia fuerint, sive insuavia.

ΕΡΩΤΗΣΙΣ ΡΚϚ'.

Πῶς ἂν τις ἡττηθῇ τῆς ἐν βρώμασι φιληδονίας.

ΑΠΟΚΡΙΣΙΣ.

Κρίνας τὸν λόγον τοῦ συμφέροντος, ὁδηγὸν καὶ διδάσκαλον ἔχειν ἀεὶ τῶν εἰς τὴν χρῆσιν παραλαμβανομένων, εἴτε ἡδέα εἴτε ἀηδῆ ταῦτα εἴη.

459 INTERROGATIO CXXVII

Dicunt quidam fieri non posse, quin homo irascatur.

RESPONSIO.

Non continuo si fieri potest ut miles irascatur in oculis regis, rationi consentaneum est quod dicitur. Etenim si hominis, qui secundum naturam æqualis est, aspectus id vitium coerceat propter dignitatis præstantiam, quanto magis idem vitabitur si cui sit persuasum, se motuum suorum Deum inspectorem habere? Deus enim, qui scrutatur corda et renes, multo magis videt animi motus, quam homo quæ oculis subjiciuntur.

ΕΡΩΤΗΣΙΣ ΡΚΖ'.

Λέγουσί τινες, ὅτι ἀδύνατόν ἐστι μὴ ὀργισθῆναι ἄνθρωπον.

ΑΠΟΚΡΙΣΙΣ.

C Εἰ δυνατόν ἐστι τῷ στρατιώτῃ ἐν ὄψεσι βασιλέως ὀργισθῆναι, οὐδὲ οὕτω λόγον ἔχει τὸ λεγόμενον. Εἰ γὰρ ἀνθρώπου ὄψις ἰσοτίμου κατὰ τὴν φύσιν διὰ τὴν ὑπεροχὴν τοῦ (41) ἀξιώματος ἐκώλυσε τὸ πάθος, πόσῳ μᾶλλον, ἐὰν πληροφορηθῇ τις Θεὸν ἔχειν ἐπόπτην τῶν ἰδίων κινημάτων; Πολὺ γὰρ πλέον ὁ Θεὸς, ὁ ἐτάζων καρδίας καὶ νεφροὺς, βλέπει τὰ κινήματα τῆς ψυχῆς, ἢ ἄνθρωπος τὰ εἰς πρόσωπον.

INTERROGATIO CXXVIII.

Cum quis vult abstinentia supra vires uti, ita ut etiam in mandato quod sibi proponitur conficiendo impediatur, idne ipsi permittendum est.

RESPONSIO.

Quæstio hæc non mihi rite proposita videtur. Abstinentia enim non sita est in ciborum nihil ad rem pertinentium amotione, ex qua consequitur ea, quæ ab Apostolo redarguitur[80], immoderata corporis afflictatio, sed in perfecto a propriis voluntatibus secessu. Quam autem periculosum sit a mandato Domini excidere ob propriam voluntatem, ex Apostoli verbis liquet, ubi ait[81] : *Facientes voluntates carnis, et cogitationum, et eramus natura filii iræ.*

ΕΡΩΤΗΣΙΣ ΡΚΗ'.

Τῷ θέλοντι ἐγκρατεύεσθαι ὑπὲρ δύναμιν, ὥστε καὶ εἰς τὴν προκειμένην ἐντολὴν ἐμποδίζεσθαι, εἰ δεῖ συγχωρεῖν.

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ ἐρώτημα οὐ κυρίως φαίνεταί μοι πεποιημένον. Ἡ γὰρ ἐγκράτεια οὐκ ἐν ἀποχῇ ἀλόγων βρωμάτων (42) ἐστὶν, ἐν ᾗ συμβαίνει ἡ ὑπὸ τοῦ Ἀποστόλου κατηγορουμένη ἀφειδία σώματος, ἀλλ' ἐν τελείᾳ ἀναχωρήσει τῶν ἰδίων θελημάτων. Ὅσον δὲ ἔχει κίνδυνον διὰ τὸ ἴδιον θέλημα τῆς ἐντολῆς τοῦ Κυρίου ἐκπεσεῖν, δῆλον ἐκ τῶν ὑπὸ τοῦ (43) Ἀποστόλου εἰρημένων, εἰπόντος· *Ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἦμεν τέκνα φύσει ὀργῆς.* D

[77] I Cor. v, 9-11. [78] I Cor. vii, 24. [79] Rom. xii, 3. [80] Coloss. ii, 23. [81] Ephes. ii, 3.

(39) Sic antiqui duo libri. Editi αὐτό.
(40) Codex Colb. ἀρθῆναι ἀπ' αὐτοῦ. Alii quidam mss. et editi ἀρθῆναι αὐτοῦ.
(41) Reg. primus et Colb. διὰ τὸ ὑπερέχον τοῦ.
(42) Combefisius illud, ἄλογα βρώματα, ita Latine reddidit, *terreni cibi*.
(43) Reg. primus ἐκ τῶν παρὰ τοῦ.

ΕΡΩΤΗΣΙΣ ΡΚΘ'.

Ὁ πολλὰ νηστεύων, ἐν δὲ τῇ μεταλήψει μὴ δυνάμενος ἀνέχεσθαι τοῦ βρώματος (44) τοῦ κοινοῦ, τί μᾶλλον ἑλέσθαι ὀφείλει, νηστεύειν μετὰ τῶν ἀδελφῶν, καὶ ἐσθίειν μετ' αὐτῶν, ἤ, διὰ τὸ ἀμέτρως νηστεύειν, ἄλλων βρωμάτων ἔχειν χρείαν ἐν τῇ μεταλήψει.

ΑΠΟΚΡΙΣΙΣ.

Νηστείας καιρὸς, οὐ τὸ θέλημα ἑκάστου, ἀλλ' ἡ χρεία (45) τῶν εἰς θεοσέβειαν ἡκόντων· καθὼς καὶ αἱ Πράξεις τῶν ἀποστόλων ἱστοροῦσι, καὶ παρὰ τοῦ ἐκλεκτοῦ (46) Δαβὶδ μανθάνομεν. Ἐὰν οὖν τις κατὰ λόγον τοιοῦτον νηστεύῃ, καὶ τοῦ δύνασθαι πάντως καταξιοῦται. *Πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος.*

ΕΡΩΤΗΣΙΣ ΡΛ'.

Πῶς χρὴ νηστεύειν, ὅταν χρεία γένηται νηστείας πρός τι τῶν εἰς θεοσέβειαν ἐπιζητουμένων· ὡς ἀναγκαζόμενον, ἢ μετὰ προθυμίας.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου λέγοντος, *Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην*, πᾶν τὸ συντελοῦν εἰς θεοσέβειαν, μὴ μετ' ἐπιθυμίας καὶ σπουδῆς γινόμενον, ἐπικίνδυνον. Ὥστε τὸν μὲν νηστεύοντα μὴ προθύμως (47) τοῦτο ποιεῖν οὐκ ἀκίνδυνον· τὸ δὲ νηστεύειν ἐν καιρῷ χρείας τοιαύτης ἀναγκαῖον, τοῦ Ἀποστόλου μετὰ τῶν ἄλλων αὐτοῦ κατορθωμάτων καὶ τοῦτο πρὸς διδασκαλίαν ἡμετέραν διηγησαμένου τὸ, *Ἐν νηστείαις πολλάκις.*

ΕΡΩΤΗΣΙΣ ΡΛΑ'.

Ὁ μὴ μεταλαμβάνων ὅθεν οἱ ἀδελφοὶ ἐσθίουσιν, ἀλλ' ἕτερον ἐπιζητῶν, εἰ καλῶς ποιεῖ.

ΑΠΟΚΡΙΣΙΣ.

Καθόλου τὸ ἐπιζητεῖν βρῶμα παρ' ἐντολήν ἐστι, τοῦ Κυρίου εἰπόντος· *Μὴ ζητεῖτε* (48) *τί φάγητε, καὶ τί πίητε· καὶ μὴ μετεωρίζεσθε·* καὶ καταπληκτικώτερον ἐπενεγκόντος· *Ταῦτα γὰρ πάντα τὰ ἔθνη ἐπιζητεῖ.* Τοῦ δὲ ἐπιτεταγμένου ἐστὶ πληροῦν ἐπιμελῶς τὸ, *Διεδίδοτο δὲ ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν.*

ΕΡΩΤΗΣΙΣ ΡΛΒ'.

Ὁ λέγων, ὅτι βλάπτει με τοῦτο, καὶ λυπούμενος, ἐὰν ἄλλο μὴ δοθῇ αὐτῷ (49), τί ἐστιν.

ΑΠΟΚΡΙΣΙΣ.

Φαίνεται, ὅτι οὐκ ἐπληροφορήθη τὴν ἐλπίδα Λαζάρου, οὔτε ἐγνώρισε τὴν ἀγάπην τοῦ πεπιστευμένου τὴν πάντων καὶ αὐτοῦ ἐπιμέλειαν. Καθόλου δὲ οὔτε περὶ τοῦ βλάπτοντος ἢ ὠφελοῦντος ἑαυτῷ ἐπι-

A INTERROGATIO CXXIX.

Qui multum jejunat, ob idque in capiendo cibo communem escam sufferre non potest, utrum potius eligere debet, jejunarene cum fratribus, et una cum ipsis edere, an, immodici jejunii causa, in cibo sumendo aliis eduliis opus habere.

RESPONSIO.

Jejunii tempus non est arbitrium cujusque; sed est, cum ea, quæ ad Dei cultum pertinent, id requirunt: quemadmodum et Acta apostolorum narrant [82], et ab electo Davide discimus [83]. Si quis igitur jejunat hunc in modum, utique consequitur etiam jejunandi facultatem. *Fidelis est enim qui repromisit* [83*].

460 INTERROGATIO CXXX.

B *Quomodo jejunandum est, cum opus fuerit jejunio propter aliquid eorum quæ ad pietatem excolendam requiruntur: utrum tanquam coacte, an cum animi promptitudine.*

RESPONSIO.

Cum Dominus dicat: *Beati qui esuriunt, et sitiunt justitiam* [84], quidquid ad pietatem conducit, id nisi libenter ac studiose fiat, periculosum est. Quare qui jejunat quidem, sed id animo alacri non facit, vocatur in periculum; cæterum in tempore necessitatis ejusmodi necesse est jejunare, quandoquidem Apostolus inter sua alia recte facta illud etiam ad docendos nos enumerat: *In jejuniis sæpe* [85].

INTERROGATIO CXXXI.

C *Qui non capit cibos, quos fratres edunt, sed alios requirit, nunquid recte faciat.*

RESPONSIO.

In universum cibos requirere contrarium est mandato, cum Dominus dixerit: *Nolite quærere quid manducetis, et quid bibatis: et nolite in sublime tolli* [86]; cumque, quod ad perterrendum magis valet, statim addiderit: *Hæc enim omnia gentes inquirunt* [87]. Est autem ejus, penes quem distribuendi munus est, diligenter exsequi illud: *Dividebatur autem singulis, prout cuique opus erat* [88]

INTERROGATIO CXXXII.

Qui dicit: Id mihi nocet, et ægre fert, nisi aliud sibi datum fuerit, quid hoc est.

RESPONSIO.

D Apparet, huic persuasum non esse de spe Lazari, neque ipsum charitatem illius cui omnium et suiipsius cura concredita est, perspectam habere. In universum autem non debet quivis de re

[82] Act. XIII, 2, 3. [83] Psal. XXXIV, 13. [83*] Hebr. X, 23. [84] Matth. V, 6. [85] II Cor. XI, 27. [86] Luc. XII, 29. [87] ibid. 30. [88] Act. IV, 35.

(44) Codex Colb. τῶν βρωμάτων.

(45) Ait vir doctissimus Combefisius, accipiendum hunc locum de personis: cujus si sententiam amplectare, sic vertas velim: *Jejunii tempus non in cujusvis arbitrio, sed in eorum qui ad pietatem excolendam accedunt, necessitate situm est.*

(46) Illud, ἐκλεκτοῦ, in duobus mss. non legitur. Quare facile adducerer ut crederem hanc vocem oscitanter ab aliquo additam fuisse: eoque magis, quod ejusmodi epithetum David a Basilio tribui non soleat.

(47) Codex Colb. μὴ προθύμως δέ. Mox idem ms. χρείας ταύτης.

(48) Vetus liber Colb. μὴ ζητῆτε. Paulo post idem ms. cum Reg. primo καὶ ἐπιπληκτικώτερον.

(49) Illud, αὐτῷ, quod in vulgatis deest, in duobus mss. legitur. Ibidem codex Colb. τίς ἐστιν.

aut noxia aut expedienti judicium sibi permittere: sed id deferendum est ei, cujus munus est de cujusque utilitate judicare: qui præcipue inquirat animæ emolumentum, sicque secundo loco ea quæ ad corporis necessitatem pertinent, subministret juxta Dei voluntatem.

A τρέπειν τὴν δοκιμασίαν ἕκαστος ὀφείλει· ἀλλὰ τῷ ἐπιτεταγμένῳ δοκιμάζειν τὸ ἑκάστῳ χρειῶδες, προηγουμένως τὸ ὄφελος τῆς ψυχῆς ἐπιζητοῦντι, καὶ οὕτω δευτέρῳ λόγῳ τὰ πρὸς τὴν χρείαν τοῦ σώματος οἰκονομοῦντι πρὸς τὸ θέλημα τοῦ Θεοῦ.

INTERROGATIO CXXXIII.

Si vero ob cibum etiam murmuraverit.

RESPONSIO.

Eorum qui in deserto murmuravere [89], judicio obnoxius est. Ait enim Apostolus: *Neque murmuretis, sicut quidam eorum murmuraverunt, et perierunt ab exterminatore* [90].

ΕΡΩΤΗΣΙΣ ΡΛΓ'.

Ἐὰν δὲ καὶ γογγύσῃ διὰ βρῶμα.

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ κρῖμα τῶν ἐν τῇ ἐρήμῳ γογγυσάντων ἔχει. Λέγει γὰρ ὁ Ἀπόστολος· *Μηδὲ γογγύζετε, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.*

INTERROGATIO CXXXIV.

Si iratus quispiam aliquid eorum, quæ necessaria sunt, accipere recuset.

RESPONSIO.

Qui ejusmodi est, etiamsi poscat, dignus est qui non impetret, quoad vitium illud, imo potius vitia illa sanata esse præpositus judicaverit.

B ΕΡΩΤΗΣΙΣ ΡΛΔ'.

Ἐάν τις ὀργισθεὶς παραιτῆται λαβεῖν τι τῶν πρὸς (50) *τὴν χρείαν.*

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ τοιοῦτος ἄξιός ἐστι, κἂν ζητῇ, μὴ λαβεῖν, ἕως ἐὰν δοκιμάσῃ ὁ προεστὼς, ὅτι ἐθεραπεύθη τὸ πάθος, μᾶλλον δὲ τὰ πάθη.

461 INTERROGATIO CXXXV.

An conveniat quempiam, labore defatigatum, quidquam consuetis amplius exposcere.

RESPONSIO.

Si laborem suscipit ob retribuendam a Deo mercedem, hinc laboris sui quærere non debet levamentum, sed semetipsum ad Domini præmium apparare, haud ignorans se ut pro labore remunerationem, ita quoque pro angustia consolationem a Domino consecuturum. Ille autem cujus ea provincia est, ut impleat illud: *Dividebatur singulis, prout cuique opus erat* [91]; debet necessario laborantem quemque cognoscere, et ut par est, curare.

ΕΡΩΤΗΣΙΣ ΡΛΕ'.

Εἰ χρὴ τὸν κάμνοντα αὐτὸν ἐπιζητῆσαι πλέον τι τῆς συνηθείας (51).

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ ἕνεκεν τῆς παρὰ τοῦ Θεοῦ μισθαποδοσίας τὸν κάματον ἀναδέχεται, οὐκ ἐντεῦθεν ἐπιζητεῖν ὀφείλει τὴν παραμυθίαν τοῦ κόπου, ἀλλὰ πρὸς τὴν τοῦ C Κυρίου μισθαποδοσίαν ἑαυτὸν καταρτίζειν· εἰδὼς, ὅτι, ὡς τῆς ὑπὲρ τοῦ κόπου ἀμοιβῆς, οὕτω καὶ τῆς παρακλήσεως ὑπὲρ τῆς στενοχωρίας παρὰ τοῦ φιλανθρώπου Θεοῦ καταξιωθήσεται. Ὁ μέντοι ἐπιτεταγμένος ποιεῖν τὸ, *Διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν* (52), ἀναγκαίως ὀφείλει γνωρίζειν ἕκαστον τῶν κοπιώντων, καὶ θεραπεύειν κατὰ τὸ προσῆκον.

INTERROGATIO CXXXVI.

An necesse sit omnes ad horam prandii convenire: et qui abfuerit, veneritque post prandium, quomodo nobis cum eo agendum sit.

RESPONSIO.

Si abfuerit quidem ob loci aut operis necessitatem, tanquam qui servet præceptum illius, qui dixit: *Unusquisque, in quo vocatus est, fratres, in hoc maneat* [92]; examine præmisso ignoscet communis disciplinæ inspector: sin cum simul occurrere potuisset, non festinavit, culpa hujusce negligentiæ cognita, usque ad constitutam horam sequentis diei maneat jejunus.

ΕΡΩΤΗΣΙΣ ΡΛϚ'.

Εἰ ἀναγκαῖον πάντας συνάγεσθαι τῇ ὥρᾳ (53) *τοῦ ἀρίστου, καὶ τὸν ἀπολιμπανόμενον, καὶ μετὰ τὸ ἄριστον ἐρχόμενον πῶς παρέλθωμεν.*

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μὲν κατὰ ἀνάγκην τοῦ τόπου ἢ τοῦ ἔργου ἀπελείφθη, ὡς φυλάσσων τὸ παράγγελμα τοῦ εἰπόντος· D *Ἕκαστος, ἐν ᾧ ἐκλήθη, ἀδελφοὶ, ἐν τούτῳ μενέτω·* ὁ τῆς κοινῆς εὐταξίας ἔφορος δοκιμάσας συγγνώσεται· εἰ δὲ δυνάμενος συμφθάσαι, οὐκ ἐσπούδασε (54), γνωρίσας τὸ ἔγκλημα τῆς ἀμελείας, ἄσιτος μεινάτω μέχρι τῆς τετυπωμένης ὥρας ἐν τῇ ἐπιούσῃ.

[89] Num. xi, 1. [90] I Cor. x, 10. [91] Act. iv, 35. [92] I Cor. vii, 24.

(50) Sic mss. nonnulli. Editi λαβεῖν τὰ πρός.

(51) Reg. primus ἐπιζητεῖν πλείονα τῆς. Aliquanto post idem ms. τὸν κάματον ἀνέχεται, *laborem perfert*. Lectio optima.

(52) Sic antiqui tres libri. Illud, ἄν τις, in editis desiderabatur.

(53) Codex Colb. ἐν τῇ ὥρᾳ. Paulo post Reg. primus τόπου ἢ τοῦ καιροῦ, *loci aut temporis necessitas*. Ibidem Col. ἀπελείφθη, ὁ τῆς κοινῆς, etc., brevius.

(54) Editi et unus ms. καὶ οὐκ ἐσπούδασε. Vocula καί in aliis duobus mss. non legitur, nec mihi dubium est quin melius absit. Mox codex Colb. ὥρας τῆς ἐπιούσης.

ΕΡΩΤΗΣΙΣ ΡΛΖ'.

Εἰ καλόν ἐστι τὸ κρῖναι ἐπὶ τοσόνδε, εἰ τύχοι, χρόνον ἀποσχέσθαι τοῦδέ τινος τοῦ βρώματος ἢ τοῦ πόματος.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου εἰπόντος, *Οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημά τοῦ* (55) *πέμψαντός με*, πᾶσα κρίσις ἰδίου θελήματος ἐπισφαλής. Ὅπερ εἰδὼς ὁ Δαβὶδ ἔλεγεν· *Ὤμοσα, καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου*, οὐ τὰ ἐμὰ θελήματα.

ΕΡΩΤΗΣΙΣ ΡΛΗ'.

Εἰ χρὴ ἐπιτρέπεσθαι ἐν ἀδελφότητί τινα πλέον τῶν ἄλλων νηστεύειν ἢ ἀγρυπνεῖν, κατὰ τὸ ἴδιον θέλημα.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου εἰπόντος, ὅτι *Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρὸς*, πᾶν ὅπερ ἄν τις κατὰ τὸ ἴδιον θέλημα ποιῇ, τοῦτο τοῦ μὲν ποιοῦντός ἐστιν ἴδιον, τῆς δὲ θεοσεβείας ἀλλότριον· καὶ φόβος μήποτε ἀκούσῃ παρὰ (56) τοῦ Θεοῦ περὶ οὗ δοκεῖ ποιεῖν, *Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ*. Καὶ τὸ ἐν συγκρίσει δὲ τῶν ἄλλων τὸ πλέον θέλειν, καὶ ἐν αὐτοῖς τοῖς καλοῖς, φιλονεικίας πάθος ἐστὶν ἀπὸ κενοδοξίας συμβαῖνον· ὅπερ ὁ Ἀπόστολος ἀπηγορευμένον δεικνὺς φησιν (57)· *Οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων*. Διόπερ ἀφεμένους τῶν ἰδίων θελημάτων, καὶ τοῦ θέλειν δοκεῖν ὑπὲρ τοὺς λοιποὺς (58) ποιεῖν τι, πείθεσθαι τῷ Ἀποστόλῳ χρὴ παραινοῦντι καὶ λέγοντι· *Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε*. Φιλονεικία γὰρ, καὶ κενοδοξία, καὶ αὐταρέσκεια, παντελῶς ἀλλότρια τῶν τὸν καλὸν ἀγῶνα νομίμως ἀγωνιζομένων. Διό φησι ποτὲ μὲν, *Μὴ γενώμεθα* (59) *κενόδοξοι*· ποτὲ δὲ, *Εἴ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ*· καὶ ἄλλοτε, *Ὀφείλομεν ἡμεῖς μὴ ἑαυτοῖς ἀρέσκειν*· οἷς ἐπιφέρει ἐντρεπτικώτερον· *Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν*. Εἰ δέ τις οἴεται χρήζειν τοῦ πλείονος εἴτε ἐν νηστείᾳ, εἴτε ἐν ἀγρυπνίᾳ, εἴτε ἐν ᾡδήποτε ἄλλῳ (60), ἀποκαλυπτέτω τοῖς τὴν κοινὴν ἐπιμέλειαν πεπιστευμένοις τὴν ὑπόθεσιν αὐτὴν, δι' ἣν νομίζει τοῦ πλείονος χρήζειν· καὶ τὸ παρ' αὐτῶν δοκιμασθὲν παραφυλαττέτω. Πολλάκις γὰρ ἑτέρῳ μᾶλλον τρόπῳ τὸ ἱκανὸν τῇ χρείᾳ γενέσθαι (61) δεήσει.

INTERROGATIO CXXXVII.

Nunquid rectum sit hoc, ut aliquis, exempli causa, in animo statuat se ad aliquid certum tempus ab aliquo cibo aut potu abstinere.

RESPONSIO.

Cum Dominus dixerit : *Non ut faciam voluntatem meam, sed voluntatem ejus qui misit me* [93], omne judicium voluntatis propriæ periculo non vacat. Cujus rei ignarus David aiebat : *Juravi, et statui custodire judicia justitiæ tuæ* [94], non voluntates meas.

INTERROGATIO CXXXVIII.

An in fratrum conventu cuipiam permitti debeat ut plusquam cæteri jejunet, aut vigilet ex propria voluntate.

RESPONSIO.

Cum Dominus dixerit : *Descendi de cœlo non ut faciam voluntatem meam, sed voluntatem ejus qui misit me, Patris* [95], quidquid quis fecerit ex propria voluntate, id cum facientis **462** sit proprium, alienum est a pietate : et metuendum est, ne quando de eo, quod facere videtur, a Deo audiat : *Ad te conversio illius et tu dominaberis illius* [96]. Quin et in ipsis etiam bonis aliquid amplius præ cæteris velle, contentionis vitium est, a vana gloria proficiscens : quod vetitum esse ostendens Apostolus ait : *Non enim audemus inserere aut comparare nos quibusdam, qui seipsos commendant* [97]. Quare relictis propriis voluntatibus, eoque ut videri velimus aliquid excellentius facere quam reliqui, parere debemus Apostolo admonenti ac dicenti : *Sive manducatis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite* [98]. Contendere enim, et efferri inani gloria, ac sibi placere, res sunt ommino alienæ ab iis qui bonum certamen legitime decertant. Quapropter, ait, modo quidem : *Non efficiamur inanis gloriæ cupidi* [99] : modo vero : *Si quis videtur contentiosus esse, nos talem consuetudinem non habemus, neque Ecclesiæ Dei* [1] : item in alio loco : *Debemus nos non nobismetipsis placere* [2] : quibus hæc ad commovendum efficaciora adjungit : *Etenim Christus non sibi placuit* [3]. Quod si quispiam existimat opus sibi esse asperitate majore, sive in jejuniis, sive in vigiliis, sive in quacunque alia re, patefaciat rei communi præfectis hanc ipsam rationem, ob quam asperitate majori indigere se arbitratur : quod autem ipsis probatum fuerit, observet. Sæpe enim alio potius modo necessitati ipsius consulere oportebit.

[93] Joan. VI, 38. [94] Psal. CXVIII, 106. [95] Joan. VI, 38. [96] Gen. III, 16. [97] II Cor. X, 12. [98] I Cor. X, 31. [99] Galat. V, 26. [1] I Cor. XI, 16. [2] Rom. XV, 1. [3] ibid. 3.

(55) Antiqui tres libri ἀλλὰ τὸ θέλημα τοῦ. Editi et Reg. tertius ἀλλὰ τοῦ. Nec ita multo post tres mss. καὶ ἔστησα τοῦ. Editi καὶ ἔστηκα.

(56) Legitur ἀπό in duobus mss. pro παρά.

(57) Veteres duo libri cum Voss. δείκνυσι φάσκων. Ibidem Reg. primus τολμῶμεν κρῖναι ἤ.

(58) Reg. primus et Colb. et Voss. ὑπὲρ τοὺς πολλούς.

(59) Editi et unus ms. μὴ γινώμεθα. Alii tres mss. γενώμεθα. Aliquanto post editi et duo mss. οἷς ἐπιλέγει. Alii duo mss. cum Voss. οἷς ἐπιφέρει.

(60) Reg. primus εἴτε ἐν ἄλλῳ οἱῳδήποτε. Aliquanto post duo mss. ὑπόθεσιν ταύτην. Mox unus ms. cum Voss. δοκιμασθὲν παραφυλασσέσθω.

(61) Veteres duo libri præter Voss. Πολλάκις γὰρ ἐν ἑτέρῳ μᾶλλον τρόπῳ τὸ ἱκανὸν τῆς χρείας γενήσεται.

INTERROGATIO CXXXIX.

Aucto jejunio, evadimus ad laborem debiliores. Quid igitur magis facto opus est: rescinderene laborem propter jejunium, an negligere jejunium propter laborem.

RESPONSIO.

Operæ pretium est jejunare, et edere juxta accommodatam pietati rationem; ut cum conficiendum fuerit Dei mandatum per jejunium, jejunemus, ac vice versa, cum Dei mandatum cibum corpus corroborantem exigit, comedamus, non tanquam helluones, sed ut operarii Dei. Servandum est enim quod dictum est ab Apostolo: *Sive manducatis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite* [4].

INTERROGATIO CXL.

Si quis temperans non fuerit in noxiis cibis capiendis, imo vero iis abunde sumptis incidat in morbum, nunquid ejus cura suscipienda sit.

RESPONSIO.

Intemperantia manifestam præfert nequitiam; atque in primis de hoc vitio sollicitum esse necesse est, ut remedium **463** ei afferatur. Etenim benignus Deus, quantum malum incontinentia sit, ostendere cum vellet, animam sæpe in iis etiam quæ corpori nocent, in vitium intemperantiæ labi permisit, si forte posset per corporalem morbum, quem intemperantiæ causa perferebat, suum ipsius detrimentum nosse, et adduci ad servandam in omnibus temperantiam. Cæterum curam corporis erga eos qui ob intemperantiam male afficiuntur, gerere quidem cito rationi et benignitati convenit, non tamen sine ullo examine, sed sollicite, ne forte corpore curando animam relinquamus incuratam. Quamobrem si quis quempiam ita affectum conspexerit, ut per corporis curationem probe eruditus sit, animamque vitiis propriis irretitam curet, adhibenda est ipsi corporalis cura. Quod si in curando corpore contemnere animam deprehendatur, præstabilius est, qui ejusmodi est, eum in doloribus iis, quos ob suam intemperantiam suffert, derelinqui, si forte temporis progressu ad sui ipsius et æterni supplicii notitiam perveniens, possit animæ sanitati providere. *Dum enim judicamur, a Domino corripimur, ut non cum hoc mundo damnemur* [5].

[4] I Cor. x, 31. [5] I Cor. xi, 32.

ΕΡΩΤΗΣΙΣ ΡΛΘ'.

A *Τῆς νηστείας ἐπιτεινομένης, ἀτονώτεροι γινόμεθα εἰς τὸ ἔργον. Τί οὖν χρὴ μᾶλλον* (62) *ἐμποδίζειν τῷ ἔργῳ διὰ τὴν νηστείαν, ἢ παροςᾶν ἐκείνην διὰ τὸ ἔργον.*

ΑΠΟΚΡΙΣΙΣ.

Καὶ τὴν νηστείαν, καὶ τὸ φαγεῖν μετὰ λόγου τοῦ οἰκείου τῆς θεοσεβείας (63) παραλαμβάνεσθαι χρή· ἵνα, ὅταν μὲν ἐντολὴν Θεοῦ διὰ νηστείας κατορθωθῆναι δέοι, νηστεύσωμεν· ὅταν δὲ πάλιν ἡ ἐντολὴ τοῦ Θεοῦ βρῶσιν ἐπιζητοῖ ἐνδυναμοῦσαν τὸ σῶμα, φάγωμεν, οὐχ ὡς γαστρίμαργοι, ἀλλ' ὡς ἐργάται Θεοῦ. Φυλάσσειν γὰρ χρὴ τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον· *Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.*

B

ΕΡΩΤΗΣΙΣ ΡΜ'.

Ἐάν τις μὴ ἐγκρατεύηται περὶ τὰ βλαβερὰ τῶν βρωμάτων, μεταλαμβάνων δὲ ἀφειδῶς, κακώσει περιπέσῃ, εἰ χρὴ αὐτοῦ ἐπιμέλειαν ποιεῖσθαι (64).

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ μὲν ἀκρασία πρόδηλον ἔχει τὴν κακίαν· καὶ τούτου τοῦ πάθους προηγουμένως φροντίζειν ἀναγκαῖον, ὅπως θεραπευθῇ. Βουληθεὶς γὰρ δεῖξαι ὁ φιλάνθρωπος Θεὸς, ἡλίκον κακόν ἐστι τὸ μὴ ἐγκρατεύεσθαι, ἀφῆκε πολλάκις τὴν ψυχὴν καὶ ἐπὶ τῶν τὸ σῶμα βλαπτόντων κεχρῆσθαι τῷ πάθει τῆς ἀκρασίας, ἐὰν ἄρα δυνηθῇ διὰ τῆς κακώσεως τῆς σωματικῆς, ἣν ἐκ τῆς ἀκρασίας ὑπομένει, εἰς αἴσθησιν C ἐλθεῖν τῆς ἰδίας βλάβης, καὶ ὁδηγηθῆναι πρὸς τὴν ἐν πᾶσιν ἐγκράτειαν. Τὴν δὲ ἐπιμέλειαν τοῦ σώματος ἐπὶ τῶν ἐξ ἀκρασίας βλαπτομένων ποιεῖσθαι μὲν τάχα εὔλογον καὶ χρηστότητι πρέπον, οὐκ ἀδοκιμάστως δὲ, ἀλλὰ πεφροντικότας (65), μήπως ἐν τῇ τοῦ σώματος θεραπείᾳ τὴν ψυχὴν ἀθεράπευτον καταλίπωμεν (66). Ὥστε, ἐὰν μὲν ἐπίδῃ τις τὸν τοιοῦτον ἐκ τῆς τοῦ σώματος θεραπείας παιδευόμενον εὐγνωμόνως (67), καὶ τῆς ψυχῆς ἐν τοῖς ἰδίοις πάθεσιν ἐπιμελεῖσθαι, προσάγειν αὐτῷ τὴν σωματικὴν ἐπιμέλειαν· ἐὰν δὲ, τὴν τοῦ σώματος θεραπείαν δεχόμενος, ἐλέγχηται τῆς ψυχῆς καταφρονῶν, βέλτιόν ἐστι τὸν τοιοῦτον ἐναφεθῆναι (68) ταῖς ὀδύναις, ἃς ἐκ τῆς ἰδίας ἀκρασίας ὑφίσταται, ἐὰν ἄρα δυνηθῇ τῷ χρόνῳ εἰς συναίσθησιν ἐλθὼν ἑαυτοῦ καὶ τῆς D αἰωνίου κολάσεως, φροντίδα ἀναλαβεῖν τῆς κατὰ ψυχὴν ὑγείας. *Κρινόμενοι γὰρ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.*

(62) Codex Colb. Τί οὖν χρὴ ποιεῖν μᾶλλον.
(63) Unus ms. οἰκείου τῆς εὐσεβείας.
(64) Codex Colb. χρὴ αὐτοῦ ἐπιμελεῖσθαι. Aliquanto post editi et unus ms. ἐπὶ τῶν βλαπτόντων τὸ σῶμα. Alii duo mss. ἐπὶ τῶν τὸ σῶμα βλαπτόντων, rectius.
(65) Editio Paris. ἀλλὰ πεφροντικότως, operarum, ut opinor, oscitantia. Aliæ duæ editiones et tres mss. πεφροντικότας.
(66) Vetus liber Voss. καταλείπωσιν.
(67) In impressis libris posita virgula erat ante vocem εὐγνωμόνως: quæ mala interpunctio malam interpretationem pepererat. Virgulam autem loco movimus, non conjectura ducti, sed fidem veterum librorum secuti. Mox unus ms. ἐπιμέλειαν χρή.
(68) Codex Voss. τοιοῦτον ἐναφιέναι. Paulo post idem ms. συναίσθησιν ἐλθεῖν.

ΕΡΩΤΗΣΙΣ ΡΜΑ'.

Εἰ δεῖ ξένους ἐνευρίσκεσθαι τοῖς (69) ἐργαστηρίοις, ἢ καὶ τῶν ἐνταῦθά τινας καταλιπόντας τὸν ἴδιον τόπον.

ΑΠΟΚΡΙΣΙΣ.

Παρεκτὸς τοῦ πεπιστευμένου (70) τὴν ἐπίσκεψιν τῶν ἐργαζομένων, ἢ τὴν οἰκονομίαν τῶν ἔργων, ὃς ἂν εὑρεθῇ τοῦτο ποιῶν, ὡς διαλύων τὴν εὐταξίαν τῆς τῶν μελῶν ἁρμονίας, κωλυέσθω καὶ τῆς συγκεχωρημένης προόδου· καθεζόμενος δὲ ἐν τόπῳ ἑνὶ τῷ δοκιμασθέντι πρὸς παιδείαν ἐπιτηδείῳ, ἀμετεωρίστως καὶ ἐπιπονώτερον τῆς συνηθείας ἀποδιδότω τὸ ἔργον, ἕως ἂν μάθῃ φυλάσσειν τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον· *Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω.*

B

ΕΡΩΤΗΣΙΣ ΡΜΒ'.

Εἰ χρὴ τοὺς τεχνίτας δέχεσθαι παρά τινος ἔργον ἄνευ γνώμης τοῦ ἐπιτεταγμένου τὴν φροντίδα τούτων.

ΑΠΟΚΡΙΣΙΣ.

Τῷ κρίματι τοῦ κλέπτου, ἢ τοῦ συντρέχοντος τῷ κλέπτῃ ὑποκείσθω ἑκάτερος, ὅ τε διδοὺς καὶ ὁ δεχόμενος.

ΕΡΩΤΗΣΙΣ ΡΜΓ'.

Πῶς ὀφείλουσιν ἐπιμελεῖσθαι οἱ ἐργαζόμενοι τῶν πεπιστευμένων αὐτοῖς σκευῶν.

ΑΠΟΚΡΙΣΙΣ.

Πρῶτον μὲν ὡς Θεῷ ἐπονομασθέντων καὶ ἀνατεθέντων· ἔπειτα ὡς ἄνευ αὐτῶν μὴ δυνάμενοι τὴν ὀφειλομένην ἄοκνον σπουδὴν ἐπιδείξασθαι (71).

C

ΕΡΩΤΗΣΙΣ ΡΜΔ'.

Ἐὰν δέ τις ἐξ ἀμελείας ἀπολέσῃ τι, ἢ ἐκ καταφρονήσεως παραχρήσηται.

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ μὲν παραχρησάμενος ὡς ἱερόσυλος, ὁ δὲ ἀπολέσας ὡς αἴτιος ἱεροσυλίας κρινέσθω, πάντων τῷ Κυρίῳ ἐπονομασθέντων, καὶ τῷ Θεῷ ἀνακειμένων.

ΕΡΩΤΗΣΙΣ ΡΜΕ'.

Ἐὰν δὲ ἀφ' ἑαυτοῦ χρήσῃ τινὶ (72) ἢ λάβῃ.

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς θρασὺς καὶ αὐθάδης κρινέσθω. Ταῦτα γὰρ τοῦ ἐπιτεταγμένου τὴν φροντίδα, καὶ οἰκονομοῦντός ἐστιν ἴδια.

D

ΕΡΩΤΗΣΙΣ ΡΜϚ'.

Ἐὰν δὲ καὶ συνεχούσης χρείας ὁ προεστὼς ἐπιζητήσῃ παρ' αὐτοῦ σκεῦος, καὶ ἀντείπῃ (73).

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ μέλη ἀποδεδωκὼς τῇ

A

INTERROGATIO CXLI.

An conveniat peregrinos reperiri in officinis, aut etiam aliquos ex contubernalibus, loco suo relicto.

RESPONSIO.

Eo excepto, qui operariis invisendis, et dispensandis operibus præfectus fuit, quisquis hoc facere inventus fuerit, veluti qui rectum ordinem harmoniæ membrorum dissolverit, licito etiam egressu prohibeatur : in loco autem, qui castigationi idoneus judicatus fuerit, sedens, attente et solito laboriosius pensum reddat, quoad servare didicerit quod dictum est ab Apostolo : *Unusquisque in quo vocatus est, in hoc permaneat* [a].

INTERROGATIO CXLII.

An debeant artifices opus ab aliquo accipere citra sententiam illius, cui demandata est harumce rerum cura.

RESPONSIO.

Judicio furis, aut cujusvis cum fure currentis obnoxius esto uterque, tum qui dat, tum qui accipit.

464 INTERROGATIO CXLIII.

Quomodo operarii commissa sibi instrumenta debeant accurare.

RESPONSIO.

Primum tanquam dicata Deo et consecrata : deinde tanquam qui sine ipsis studium impigrum, quod debetur, ostendere non queant.

INTERROGATIO CXLIV.

Si quis ex negligentia aliquid perdiderit, aut eo præ contemptu abusus fuerit.

RESPONSIO.

Qui abusus fuerit, veluti sacrilegus : qui vero perdiderit, tanquam sacrilegii auctor judicetur, cum sint Domino dedicata omnia, et Deo consecrata.

INTERROGATIO CXLV.

Quod si suo jure commodaverit alicui, aut ab eo acceperit.

RESPONSIO.

Velut temerarius et contumax judicetur. Hæc enim ejus qui his curandis præpositus est, ipsaque distribuit, propria sunt.

INTERROGATIO CXLVI.

Quod si etiam urgente necessitate præpositus ipse ab eo petierit instrumentum, ille vero negaverit.

RESPONSIO.

Qui semetipsum suaque membra in Christi cha-

[a] I Cor. vii, 24.

(69) Reg. primus εὑρίσκεσθαι ἐν τοῖς. Haud longe codex Colb. καταλιπόντας τὸν ἴδιον οἶκον ἢ τόπον, συνέρχεσθαι αὐτοῖς.

(70) Antiqui duo libri cum Voss. Παρεκτὸς τοῦ πεπιστευμένου. Alii duo mss. et editi τοῦ τετυπωμένου.

(71) Reg. primus et Voss. σπουδὴν ἐπιδείκνυσθαι.

(72) Vox τινί addita est ex mss. nonnullis. Reg. tertius et Voss. χρήσηταί τινι, *aliquo instrumento utatur.*

(73) Editi et unus codex Combef. ἐπιζητήσῃ παρ' ἑαυτοῦ καί. Alii tres ut in contextu. Mox Reg. primus et Voss. τῇ ἄλλου χρείᾳ κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου.

ritate tradidit usui aliorum, qua ratione de supellectile poterit cum præposito litigare, ad quem etiam pertinet supellectilis cura?

A ἄλλων χρείᾳ ἐν ἀγάπῃ Χριστοῦ πῶς περὶ τῶν σκευῶν ἀντειπεῖν δυνήσεται τῷ προεστῶτι, ᾧ καὶ τῶν σκευῶν ἡ φροντὶς ἀνῆκεν;

INTERROGATIO CXLVII.

Cum quis obeundo cellarii aut culinæ munere detinetur, vel quovis alio hujusmodi, si non interfuerit constituto psalmodiæ et precationis tempore, nullumne patitur animæ detrimentum.

ΕΡΩΤΗΣΙΣ ΡΜΖ'.

Ὁ περὶ τὸ ἔργον τοῦ κελλαρίου, ἢ τοῦ μαγειρείου, ἢ περί τι ἄλλο τοιοῦτον ἀσχολούμενος, ἐὰν μὴ φθάσῃ παρεῖναι τῷ κανόνι τῆς ψαλμῳδίας καὶ τῆς προσευχῆς, εἰ μηδὲν ζημιοῦται τὴν ψυχήν.

RESPONSIO.

Unusquisque in officio suo, velut membrum in corpore, regulam propriam servat: et munus quidem commissum si negligat, infert sibi detrimentum; sed si communitati insidias struat, majorem in modum periclitatur. Quare juxta ipsum verborum sensum impleat quod scriptum est: *Cantantes et psallentes in cordibus vestris Domino* [7]. Quod si 465 corpore non possit cum cæteris accurrere, non sit sollicitus, perficiens quod dictum est: *Unusquisque in quo vocatus est, in hoc maneat* [8]. Cavendum autem est, ne quis forte cum rem injunctam valeat conficere opportuno et convenienti tempore, ita ut aliis etiam exemplum detur, nihilominus tamen ad reliquorum offendiculum muneris sui prætexat occupationem, atque adeo in negligentium judicium incidat.

ΑΠΟΚΡΙΣΙΣ.

Ἕκαστος ἐν τῷ ἑαυτοῦ ἔργῳ φυλάσσει τὸν ἴδιον κανόνα, ὡς μέλος ἐν σώματι· καὶ ζημιοῦται μὲν αὐτὸς ἀμελήσας τοῦ ἐπιτεταγμένου· καὶ τῷ κοινῷ δὲ ἐπιβουλεύων κινδυνεύει περισσοτέρως. Ὥστε κατὰ μὲν διάνοιαν πληρούτω τὸ γεγραμμένον (74), ὅτι B *Ἄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ*· εἰ δὲ καὶ σωματικῶς μὴ φθάνει (75) συνδραμεῖν τοῖς λοιποῖς, μηδὲν διακρινέσθω, ποιῶν τὸ εἰρημένον· *Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω.* Χρὴ δὲ ἀσφαλίζεσθαι, μήπως, δυνάμενός τις πληρῶσαι τὸ ἐπιτεταγμένον εὐκαίρως εἰς τύπον καὶ ἄλλων (76), προφασίσηται τὴν τοῦ ἔργου ἀσχολίαν εἰς πρόσκομμα τῶν λοιπῶν, καὶ ἐμπέσῃ εἰς τὸ τῶν ἀμελούντων κρῖμα.

INTERROGATIO CXLVIII.

Qualem potestatis modum inter dispensandum obtineat is cui cellarii cura concredita est.

ΕΡΩΤΗΣΙΣ ΡΜΗ'.

Ποῖον μέτρον ἐξουσίας ἔχει ἐν τῇ οἰκονομίᾳ (77) ὁ πιστευθεὶς τὴν φροντίδα τοῦ κελλαρίου

RESPONSIO.

Erga eum quidem a quo huic præfectus est post prævium examen, memor fuerit Domini ipsius, qui dixit: *Non possum ego a meipso facere quidquam* [9]; erga eos vero, quorum curam suscipit, respiciat uniuscujusque necessitatem. Nam scriptum est: *Dividebatur singulis, prout cuique opus erat* [10]. Eadem autem ratio ab omnibus teneatur, quibus dantur ejusmodi negotia.

ΑΠΟΚΡΙΣΙΣ.

C Πρὸς μὲν τὸν πιστεύσαντα τὴν τούτου μετὰ δοκιμασίας διατύπωσιν μεμνημένος αὐτοῦ τοῦ Κυρίου εἰπόντος· *Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν*· πρὸς δὲ τοὺς φροντιζομένους τὴν ἑκάστου χρείαν (78). Γέγραπται γάρ· *Διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν.* Ὁ δὲ αὐτὸς λόγος ἔστω πρὸς πάντας τοὺς ἐγχειριζομένους τὰς τοιαύτας φροντίδας.

INTERROGATIO CXLIX.

Cuinam judicio obnoxius erit œconomus, si quid fecerit habita personarum ratione, aut per contentionem.

ΕΡΩΤΗΣΙΣ ΡΜΘ'.

Τί τὸ κρῖμα τοῦ οἰκονομοῦντος, ἐάν τι κατὰ (79) προσωποληψίαν ἢ φιλονεικίαν ποιήσῃ.

RESPONSIO.

Cum Apostolus nunc quidem præcipiat nihil agendum esse ex animi inclinatione [11], nunc vero pronuntiet illud: *Si quis videtur contentiosus esse, nos talem consuetudinem non habemus, neque Ecclesiæ Dei* [12]; qui fuerit ejusmodi, is, quoad se emendaverit, declaretur a Dei Ecclesia alienus. Expen-

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Ἀποστόλου ποτὲ μὲν παραγγέλλοντος μηδὲν ποιεῖν κατὰ πρόσκλισιν, ποτὲ δὲ ἀποφηναμένου, ὅτι D *Εἴ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ*· ἀλλότριος τῆς Ἐκκλησίας τοῦ Θεοῦ ὁ τοιοῦτος γνωριζέσθω, ἕως ἂν διορθωθῇ. Δεῖ μέντοιγε μετὰ

[7] Ephes. v, 19. [8] I Cor. 7, 24. [9] Joan. v, 30. [10] Act. iv, 35. [11] I Tim. v, 21. [12] I Cor. xi, 16.

(74) Veteres duo libri et Voss. τὸ γεγραμμένον. Editi τὰ γεγραμμένα.

(75) Reg. primus et Colb. μὴ φθάσῃ.

(76) Unus ms. δυνάμενος πληρῶσαί τις τὸ ἐπάγγελμα.. Ibidem editi εὐκαίρως καὶ εἰς τύπον τῶν ἄλλων. Veteres quatuor libri ut in contextu.

(77) Reg. primus et Colb. Ποῖον μέτρον ἔχει ὁ πιστευθεὶς τὴν φροντίδα τοῦ κελλαρίου ἐν ἐξουσίᾳ οἰκονομεῖν.

(78) Reg. primus φροντιζομενους την εκαστου χρείαν ἔχειν. Ὁ δέ. Reg. tertius τὴν ἑκάστῳ χρείαν. Videtur omissum fuisse aliquid a librariis. Ibidem tres mss. λόγος ἔσται.

(79) Sic aliquot codices, non ut vulgati ἐὰν κατά. Paulo post editio Paris. κατὰ πρόσκλισιν. Aliæ duæ editiones et tres mss. πρόσκλησιν. Reg. tertius πρόκλησιν. Subinde Reg. secundus et editi ἀποφαιναμένου. Alii tres mss. ἀποφηναμένου.

πολλῆς περισκέψεως δοκιμάζεσθαι πρὸς τί ἕκαστος ἐπιτηδείως ἔχει, καὶ οὕτως ἐγχειρίζεσθαι ὁτιοῦν ἔργον (80)· ἵνα μήτε οἱ ἐγχειρίζοντες τὸ μὴ ἁρμόζον τινὶ καταχριθῶσιν ὡς κακοὶ οἰκονόμοι τῶν τε ψυχῶν καὶ τῶν ἐντολῶν τοῦ Κυρίου, μήτε οἱ ἐγχειριζόμενοι πρόφασιν ἁμαρτίας ἐντεῦθεν εὑρίσκειν δόξωσιν.

ΕΡΩΤΗΣΙΣ ΡΝʹ.

Ἐὰν δὲ ἀμελήσας μὴ δῷ τῷ ἀδελφῷ τὰ πρὸς τὴν χρείαν.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο τὸ κρῖμα φανερὸν ἐκ τῶν τοῦ Κυρίου ῥημάτων, εἰπόντος· *Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα*, καὶ τὰ ἑξῆς· καὶ ὅτι *Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς.*

ΕΡΩΤΗΣΙΣ ΡΝΑʹ.

Εἰ ἔξεστι τῷ ὑπηρετοῦντι μετὰ φωνῆς μείζονος λαλεῖν.

ΑΠΟΚΡΙΣΙΣ.

Τῆς φωνῆς τὸ μέτρον ὁρίζει ἡ χρεία τῶν ἀκουόντων. Οὐκοῦν ἐὰν μὲν ἐλάττων ᾖ, ὡς νωθροτέρα ἐγγύς ἐστι ψιθυρισμοῦ, καὶ καταγνώσεως ἀξία· ἐὰν δὲ ὑπὲρ τὴν χρείαν, δυναμένου τοῦ ἀκούοντος καὶ ἠρέμα λαλοῦντος ἀκοῦσαι, κραυγὴ γίνεται ἡ κατεγνωσμένη· ἐκτὸς εἰ μή που τὸ νωθρὸν τοῦ ἀκούοντος εἰς ἀνάγκην ἡμᾶς ἀγάγοι (81) τῇ κραυγῇ χρήσασθαι, καὶ ὥσπερ ἐξ ὕπνου τοῦτον διεγεῖραι. Τοῦτο γὰρ καὶ ὁ Κύριος ποιήσας ἱστορεῖται, ὥς φησιν ὁ εὐαγγελιστής· *Ἰησοῦς δὲ ἔκραξε, καὶ εἶπεν· Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με.*

ΕΡΩΤΗΣΙΣ ΡΝΒʹ.

Ἐάν τις, τὴν ἐξ ἐφημερίας ὑπηρεσίαν ἐν τῷ μαγειρείῳ πληρῶν, ὑπὲρ δύναμιν κάμῃ (82), ὡς ἐμποδίζεσθαι αὐτὸν ἐπὶ ἡμέρας εἰς τὸ κατὰ συνήθειαν ἔργον, εἰ δεῖ αὐτῷ ἐπιτάσσειν τὴν τοιαύτην ὑπηρεσίαν.

ΑΠΟΚΡΙΣΙΣ.

Εἴρηται, ὅτι δεῖ τὸν ἐγκεχειρισμένον τὴν οἰκονομίαν τῶν ἔργων ἐστοχασμένως τῆς τε ἐπιτηδειότητος καὶ τῆς δυνάμεως τοῦ ἐργαζομένου τυποῦν τὰ ἐπιτάγματα, μὴ ἀκούσῃ· *Ὁ πλάσσων κόπον ἐπὶ πρόσταγμα* (83). Οὐ τὸν μέντοιγε ἐπιτεταγμένον χρὴ ἀντιλέγειν· ἡ γὰρ ὑπακοὴ μέχρι θανάτου ἔχει τὸν ὅρον.

ΕΡΩΤΗΣΙΣ ΡΝΓʹ.

Ἡ τὰ ἔρια πιστευθεῖσα πῶς ὀφείλει αὐτὰ ἔχειν, πῶς προσέχειν ταῖς ἐργαζομέναις.

ΑΠΟΚΡΙΣΙΣ.

Τὰ μὲν ἔρια ὡς παρακαταθήκην Θεοῦ πιστευ-

A dendum est autem circumspectius, ad quid quisque idoneus sit, sicque committendum munus quodlibet, ut ii qui cuipiam committunt quod ei non convenit, nequaquam veluti mali et animarum et mandatorum Domini dispensatores condemnentur, nec ii quoque quibus munus committitur, excusandi peccati rationem hinc invenire videantur.

INTERROGATIO CL.

Si ex negligentia non dederit fratri necessaria.

RESPONSIO.

Hoc judicium manifestum est ex verbis Domini, qui dixit: *Discedite a me, maledicti, in ignem æternum, qui paratus est diabolo, et angelis ejus. Esurivi enim, et non dedistis mihi manducare: sitivi, et non*
B *dedistis mihi potum* [13], etc. Item ex his dictis: *Maledictus omnis qui facit opera Domini negligenter* [14].

466 INTERROGATIO CLI.

An ministranti liceat voce altiore loqui.

RESPONSIO.

Vocis modum præfinit audientium necessitas. Quare ea si sit submissior, tanquam languidior ad susurrum prope accedit, atque redarguenda est; sin autem altior sit citra necessitatem, cum scilicet is qui audit, etiam submissius loquentem posset audire, tunc is qui damnatus est, clamor [15] efficitur, nisi audientis languor eo necessitatis nos adducat, ut clamore utamur, sicque eum veluti ex
C somno excitemus. Hoc enim et Dominus fecisse memoratur, velut ait evangelista: *Jesus autem clamavit, et dixit: Qui credit in me, non credit in me, sed in eum qui misit me* [16].

INTERROGATIO CLII.

Si quis vice sua dum culinæ dat operam, supra vires laboret, adeo ut per dies aliquot a solito opere impediatur, nunquid conveniat imponi huic ejusmodi munus.

RESPONSIO.

Dictum est oportere, ut cui operum dispensatio delegata est, is prius habilitatis et virium laborantis habita ratione, mandata sua dirigat, ut ne audiat illud: *Qui fingis laborem in præceptum* [17]. Verum-
D tamen refragari non debet, cui datum est mandatum: quandoquidem obedientia ad mortem usque limites suos extendit.

INTERROGATIO CLIII.

Quomodo ea, cui lanæ fuerunt concreditæ, has debeat servare, et quomodo debeat iis quæ operantur attendere.

RESPONSIO.

Servet lanas, tanquam quæ fuerit custodiendo

[13] Matth. xxv, 41, 42. [14] Jerem. xlviii, 10. [15] Ephes. iv, 31. [16] Joan. xii, 44. [17] Psal. xciii, 20.

(80) Reg. primus καὶ οὕτως ἐγχειρίζεσθαι τὸ ἁρμόζον τινί· ἵνα μὴ καταχριθῶσι μήτε οἱ οἰκονόμοι τῶν τε ψυχῶν, etc., brevius quidem, sed non ita recte.

(81) Reg. primus et Colb. ἡμᾶς ἀγάγῃ.

(82) Veteres duo libri cum Voss. δύναμιν κάμνῃ. Nec ita multo post Reg. primus et Voss. ἐπιτάσσειν τὴν τοιαύτην οἰκονομίαν.

(83) Editi et duo mss. ἐπὶ πρόσταγμα. At in Colb. et apud LXX legitur ἐπὶ προστάγματι.

Dei deposito præfecta; unicuique autem sorori citra ullam contentionem, ullamque personarum rationem opus proprium assignabit, atque distribuet.

INTERROGATIO CLIV.

Si forte quando pauci sunt fratres, et inserviunt pluribus sororibus, eo necessitatis deveniant, ut a se invicem separentur, utpote ad agenda opera divisi, idne periculo vacat?

RESPONSIO.

Si cura hæc a Domini mandato accipit testimonium, et secundum Deum impenditur, quilibet operantium in suo opere placet Deo. Ipsorum autem conjunctio inter se **467** in eo posita est, si omnes unanimes sint, sentientes idem, implentes quod ab Apostolo dictum est : *Nam et si corpore absens sum, sed spiritu vobiscum sum* [18].

INTERROGATIO CLV.

Quandoquidem nos qui in hospitio infirmis inservimus, edocemur ita operam præbere, quasi Domini fratribus serviamus : si talis non fuerit cui ministratur, quomodo illum debemus curare.

RESPONSIO.

Cum Dominus dixerit : *Quicunque enim fecerit voluntatem Patris mei, qui in cœlis est, hic meus frater, et soror, et mater est* [19], si quis ejusmodi non fuerit, sed peccator esse deprehendatur, sitque dignus sententia illa : *Omnis qui facit peccatum, servus est peccati* [20], primum quidem cohortatione atque admonitione præfecti indiget. Sed si perseveraverit in iisdem vitiis, perspicuum est adversum ipsum judicium ejusdem Domini, qui ita subjungit : *Servus autem non manet in domo* [21], itemque Apostoli, ita præcipientis : *Auferte malum ex vobisipsis* [22]. Sic enim nullus ministrantibus inerit hæsitandi locus, omnesque quibuscum degebat, tuti erunt et securi.

INTERROGATIO CLVI.

Nunquid is cui cellarii, aut alterius rei ejusmodi cura tradita est, debeat semper illius curam habere, aut permutari.

RESPONSIO.

Si recti ordinis scientiam et regulæ integritatem servat, supervacaneum hunc permutari, vel potius grave est et difficile. Habeat autem necesse est asseclam aliquem, qui paulatim ad id instituatur muneris, ut ne necessitate successorem postulante, si hic deesset, perturbemur : imo etiam ne sæpe aliquem ineptum huic operi præficere co-

A θεῖσα· ἀφιλονείκως δὲ καὶ ἀπροσωπολήπτως ἑκάστῃ ἀδελφῇ τὸ οἰκεῖον ἔργον τυποῦσα καὶ οἰκονομοῦσα (84).

ΕΡΩΤΗΣΙΣ ΡΝΔ'.

Ἐὰν συμβῇ ὀλίγους ὄντας ἀδελφοὺς, καὶ πλείοσιν ἀδελφαῖς ἐξυπηρετουμένους, εἰς ἀνάγκην ἐμπίπτειν τοῦ διΐστασθαι ἀπ' ἀλλήλων (85), *διαμεριζομένους πρὸς τὰ ἔργα, εἰ ἀκίνδυνον τὸ τοιοῦτον.*

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ ἡ φροντὶς ὑπὸ τῆς ἐντολῆς τοῦ Κυρίου μαρτυρεῖται, καὶ κατὰ Θεὸν ἐκπονεῖται, ἑκάστῳ μὲν τῶν ἐργαζομένων ἐν τῷ ἰδίῳ ἔργῳ ἡ πρὸς Θεὸν εὐαρέστησις κατορθοῦται· ἡ δὲ ἑνότης αὐτῶν πρὸς ἀλλήλους, ἐν τῷ εἶναι αὐτοὺς τοὺς πάντας συμψύχους, τὸ ἓν φρονοῦντας, πληροῦντας τὸ ὑπὸ τοῦ Ἀποστόλου
B εἰρημένον· *Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι* (86).

ΕΡΩΤΗΣΙΣ ΡΝΕ'.

Ἐπειδὴ διδασκόμεθα οἱ ὑπηρετοῦντες τοῖς ἐν τῷ ξενοδοχείῳ ἀῤῥώστοις μετὰ τοιαύτης διαθέσεως ὑπηρετεῖν, ὡς ἀδελφοῖς τοῦ Κυρίου ὑπηρετοῦντες, ἐὰν μὴ ᾖ ὁ τοιοῦτος ὑπηρετούμενος, πῶς ὀφείλομεν αὐτῷ προσέχειν (87).

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου εἰπόντος· *Ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, οὗτός μου ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ ἐστί*· εἰ μὴ ἔστι τις τοιοῦτος, ἁμαρτάνων δὲ ἐλέγχεται ἄξιος ὢν τῆς ἀποφάσεως ἐκείνης, ὅτι *Ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας*· πρῶτον μὲν παρα-
C κλήσεως χρήζει καὶ νουθεσίας (88) παρὰ τοῦ προεστῶτος. Ἐὰν δὲ ἐπιμένῃ τοῖς αὐτοῖς, φανερόν ἐστιν ἐπ' αὐτῷ τὸ κρῖμα τοῦ αὐτοῦ Κυρίου ἐπάγοντος (89), *Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ*, καὶ τοῦ Ἀποστόλου παραγγείλαντος· *Ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν*. Οὕτω γὰρ τοῖς τε ὑπηρετοῦσι τὸ ἀδιάκριτον καὶ τοῖς συζῶσι πᾶσι τὸ ἀσφαλὲς ὑπάρξει.

ΕΡΩΤΗΣΙΣ ΡΝϚ'.

Τὸν πεπιστευμένον φροντίδα ἤτοι κελλαρίου, ἢ ἄλλου τινὸς τοιούτου, εἰ δεῖ πάντοτε ἔχειν τὴν φροντίδα, ἢ καὶ ἐναλλάσσεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ τὴν ἐπιστήμην τῆς εὐταξίας, καὶ τὴν ἀκρίβειαν
D τοῦ κανόνος φυλάσσει, τὸ ἐναλλάσσεσθαι μὲν περισσὸν, μᾶλλον δὲ δύσκολον καὶ δυσπόριστον· ἔχειν δὲ τινα παρακολουθοῦντα ἀναγκαῖον, ὀφείλοντα κατὰ μέρος πρὸς τὴν φροντίδα τυποῦσθαι· ἵνα μὴ, ὅταν ἡ χρεία ἐπιζητῇ τὸν διαδεξόμενον, ἐν ἀπορίᾳ τούτου εὑρεθέντες ταρασσώμεθα· πολλάκις δὲ καὶ τὸν οὐχ

[18] Coloss. II, 5. [19] Matth. XII, 50. [20] Joan. VIII, 34. [21] ibid. 35. [22] I Cor. V, 13.

(84) Reg. primus solus καὶ οἰκονομοῦσα διδότω δεόντως.

(85) Antiqui duo libri ἐμπίπτειν τοῦ διασπάσασθαι. Codex Voss. διασπᾶσθαι.

(86) Vetus liber Colb. πνεύματι σύνειμι.

(87) Reg. primus ἐὰν μὴ τοιοῦτοι ὦσιν οἱ ὑπηρετούμενοι, πῶς ὀφείλομεν αὐτοῖς προσέχειν, et ita quoque in Colbertino legitur, nisi quod pro αὐτοῖς habeat ἑαυτοῖς.

(88) Editi πρῶτον μὲν χρήζει νουθεσίας. Veteres quatuor libri præter Voss. ita, ut edidimus.

(89) Reg. tertius τοῦ αὐτοῦ Κυρίου λέγοντος. Nec ita multo infra duo mss. cum Voss. Ἀποστόλου παραγγέλλοντος.

ἐπιτηδείως ἔχοντα παράγειν εἰς τὸ ἔργον ἀναγκαζώμεθα· ὥστε συμβαίνειν ἐξ ἀνάγκης παρὰ τὴν τούτου ἀπειρίαν τήν τε ἀκρίβειαν διαφθείρεσθαι, καὶ τὴν κατὰ λόγον εὐταξίαν διαλύεσθαι.

ΕΡΩΤΗΣΙΣ ΡΝΖ'.

Ποταπῇ διαθέσει ὀφείλει τις δουλεύειν τῷ Θεῷ, καὶ ὅλως ἡ διάθεσις αὕτη τί ἐστιν (90).

ΑΠΟΚΡΙΣΙΣ.

Διάθεσιν ἀγαθὴν ἡγοῦμαι εἶναι ἐπιθυμίαν τῆς πρὸς Θεὸν εὐαρεστήσεως σφοδράν, καὶ ἀκόρεστον, καὶ πεπηγυῖαν, καὶ ἀμετάθετον. Κατορθοῦται δὲ αὕτη ἐν θεωρίᾳ συνετῇ καὶ διηνεχεῖ τῆς μεγαλειότητος (91) τῶν δοξῶν τοῦ Θεοῦ, λογισμοῖς τε εὐγνώμοσι καὶ ἀδιαλείπτῳ μνήμῃ τῶν ὑπαρξάντων ἡμῖν παρὰ Θεοῦ ἀγαθῶν. Ἀφ' ὧν ἐγγίνεται τῇ ψυχῇ τό· *Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου*, κατὰ τὸν εἰπόντα· *Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός.* Μετὰ τοιαύτης οὖν διαθέσεως δουλεύειν χρὴ τῷ Θεῷ, πληροῦντα τὸ (92) ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον· *Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλίψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;* καὶ τὰ ἑξῆς.

ΕΡΩΤΗΣΙΣ ΡΝΗ'.

Ποταπῇ διαθέσει ὀφείλει δέχεσθαι τὸ ἐπιτίμιόν τις.

ΑΠΟΚΡΙΣΙΣ.

Τῇ πρεπούσῃ υἱῷ (93) ἀῤῥώστῳ καὶ ἀγωνιῶντι περὶ τοῦ ζῆν, παρὰ πατρὸς καὶ ἰατροῦ θεραπευομένῳ, κἂν πικρὸς καὶ ἐπώδυνος ᾖ ὁ τρόπος τῆς θεραπείας, ἐν πληροφορίᾳ τῆς τε ἀγάπης καὶ τῆς ἐμπειρίας τοῦ ἐπιτιμῶντος, καὶ ἐν ἐπιθυμίᾳ τῆς ἰάσεως.

ΕΡΩΤΗΣΙΣ ΡΝΘ'

Ὁ λυπούμενος κατὰ τοῦ ἐπιτιμήσαντος αὐτῷ (94) *ποταπός ἐστιν.*

ΑΠΟΚΡΙΣΙΣ.

Οὔτε τὸν κίνδυνον τῆς ἁμαρτίας ἐγνώρισε, καὶ μάλιστα τὸν πρὸς Θεόν, οὔτε τὸ κέρδος τῆς μετανοίας, οὔτε ἐπίστευσε τῷ εἰπόντι· *Ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει·* καὶ ἑαυτὸν ἀλλότριον κατέστησε τῆς ὠφελείας τοῦ εἰπόντος· *Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με.* Καὶ ἐπιβλαβῶς σύνεστιν ὁ τοιοῦτος τῇ ἀδελφότητι, ἀπασχολῶν τοὺς ἀγωνιζομένους (95).

---

gamur : unde fit necessario, ut corrumpatur integritas ob ejus imperitiam, rectaque disciplina dissolvatur.

INTERROGATIO CLVII.

Quo affectu debeat quis servire Deo : et in universum, quid sit hic affectus.

RESPONSIO.

Bonum affectum puto esse vehemens desiderium placendi Deo : quod sit et insatiabile, et firmum, et immutabile. Comparatur autem hic solerti et assidua contemplatione majestatis gloriæ Dei, itemque cogitationibus ex grato animo proficiscentibus, 468 ac continua recordatione concessorum nobis a Deo bonorum. Ex quibus animæ innascitur illud : *Diliges Dominum Deum tuum ex toto corde tuo, et ex totis viribus tuis, et ex tota mente tua*[23], exemplo illius qui dixit : *Quemadmodum desiderat cervus ad fontes aquarum, ita desiderat anima mea ad te, Deus*[24]. Serviendum itaque Deo est hoc affectu, ita ut impleatur quod ab Apostolo dictum est: *Quis separabit nos a charitate Christi? Tribulatio, an angustia, an persecutio, an nuditas, an periculum, an gladius*[25] ? etc.

INTERROGATIO CLVIII

Quo animo debeat quis irrogatam sibi pœnam recipere.

RESPONSIO.

Eo scilicet, qui filio convenit ægrotanti, et in vitæ discrimen adducto, cum a patre et medico curatur, etiamsi amarus acerbusque fuerit medendi modus, cum ei persuasum esse oporteat, diligi se, ac peritum esse objurgatorem, debeatque sanitatem cupere.

INTERROGATIO CLIX.

Qui ægre fert increpantem se, qualis est.

RESPONSIO.

Neque novit periculum peccati, et maxime erga Deum, neque emolumentum pœnitentiæ, neque fidem habuit ei qui dixit : *Qui vero diligit, diligenter castigat*[26]; atque etiam semetipsum constituit alienum a quæstu illius qui dixit : *Corripiet me justus in misericordia, et increpabit me*[27]. Præterea que qui hujusmodi est, ejus consuetudo fratribus exitiosa est; siquidem eos a suscepto certamine abducit.

---

[23] Marc. XII, 30. [24] Psal. XLI, 1. [25] Rom. VIII, 35. [26] Prov XIII, 24. [27] Psal. CXL, 5.

(90) Codex Colb. τίς ἐστιν.

(91) Reg. primus et Voss. θεωρίᾳ συνέσει τε καὶ διηνεχεῖ μελέτῃ τῆς μεγαλειότητος, *per intelligentiam et continuam meditationem majestatis.*

(92) Antiqui duo libri πληροῦντας τό. Statim Reg. primus διωγμός, ἢ λιμός, ἢ γυμνότης.

(93) Vox υἱῷ addita est ex mss. multis. Ibidem Reg. primus et Voss. περὶ τὸ ζῆν.

(94) Pro αὐτῷ legitur αὐτόν in antiquis duobus libris.

(95) Codex Colb. ἐπασχολῶν τοὺς ἀγωνιζομένους. Statim idem ms. ἀδελφοῖς ἀῤῥωστοῦσιν, *infirmis fratribus.*

INTERROGATIO CLX.

Quo animo debeamus fratribus inservire.

A

RESPONSIO.

Veluti Domino ipsi servientes, qui dixit: *Quatenus fecistis uni ex his fratribus meis minimis, mihi fecistis* [28]. Cæterum si fuerint ejusmodi ii quibus obsequium præstatur, id quoque conducit ad comparandam hujusmodi affectionem. Quapropter curam illorum diligentiorem præpositi suscipere debent, ut ne, velut corporis studio dediti, ventri serviant, atque voluptatibus: sed tanquam Dei et Christi amatores, per patientiam perfectam, fiant gloriatio Domini, ad diaboli ignominiam, non aliter atque justus Job.

B

469 INTERROGATIO CLXI.

Qua humilitate debeat quis a fratre obsequium accipere.

RESPONSIO.

Velut servus ab hero, et qualem ostendit Petrus apostolus, Domino sibi ministrante: in quo etiam periculum eorum qui aliquam sibi operam dari recusant, ediscimus.

INTERROGATIO CLXII.

Qualem alter erga alterum debeat habere charitatem.

RESPONSIO.

Qualem Dominus ostendit et docuit, cum dixit; *Diligite invicem, sicut ego dilexi vos. Majorem hac* C *charitatem nemo habet, ut animam suam ponat quis pro amicis suis* [29]. Quod si ipsam quoque animam ponere oportet, quanto magis necesse fuerit in rebus minoribus studium, animique promptitudinem ostendere, non quod humanis officiis satisfacere quæramus, sed eo consilio, ut Deo placeamus, ad uniuscujusque utilitatem.

INTERROGATIO CLXIII.

Qui poterit quis dilectionem erga proximum consequi.

RESPONSIO.

Primum quidem si timeat judicium transgredientium mandatum Domini, qui dixit: *Qui incredulus est Filio, non videbit vitam, sed ira Dei manebit super eum* [30]: deinde si requirat vitam æternam; nam *Mandatum ejus vita æterna est* [31]. D *Primum autem et magnum mandatum est: Diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota mente tua, et ex totis viribus tuis; secundum vero*

ΕΡΩΤΗΣΙΣ ΡΞ'.

Μετὰ ποίας διαθέσεως ὀφείλομεν ὑπηρετεῖν τοῖς ἀδελφοῖς.

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς αὐτῷ τῷ Κυρίῳ προσφέροντες τὴν ὑπηρεσίαν, τῷ εἰπόντι· *Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.* Συμβάλλεται δὲ πρὸς κατόρθωσιν τῆς τοιαύτης διαθέσεως καὶ τὸ (96) τοιούτους εἶναι τοὺς θεραπευομένους. Διὸ ἐπιμελεῖσθαι αὐτῶν χρὴ τοὺς προεστῶτας σπουδαιότερον, ἵνα μὴ ὡς φιλοσώματοι γαστρὶ καὶ ἡδοναῖς δουλεύσωσιν (97)· ἀλλ' ὡς φιλόθεοι καὶ φιλόχριστοι, δι' ὑπομονῆς τελείας, γένωνται καύχημα τοῦ Κυρίου, εἰς ὄνειδος τοῦ διαβόλου, ὡς ὁ δίκαιος Ἰώβ.

ΕΡΩΤΗΣΙΣ ΡΞΑ'.

Μετὰ ποταπῆς (98) ταπεινώσεως ὀφείλει τις δέχεσθαι τὴν ὑπηρεσίαν παρὰ τοῦ ἀδελφοῦ.

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς δοῦλος παρὰ δεσπότου, καὶ οἵαν ἔδειξε Πέτρος ὁ ἀπόστολος, τοῦ Κυρίου ὑπηρετοῦντος· ἐφ' οὗ καὶ τὸν κίνδυνον τῶν μὴ καταδεχομένων τὴν ὑπηρεσίαν παιδευόμεθα.

ΕΡΩΤΗΣΙΣ ΡΞΒ'.

Ποταπὴν ἐν ἀλλήλοις ἔχειν δεῖ τὴν ἀγάπην.

ΑΠΟΚΡΙΣΙΣ.

Οἵαν ὁ Κύριος ἔδειξε, καὶ ἐδίδαξεν, εἰπών· *Ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα* (99) *τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.* Εἰ δὲ καὶ τὴν ψυχὴν θεῖναι δεῖ, πόσῳ μᾶλλον τὴν ἐν τοῖς κατὰ μέρος προθυμίαν ἐπιδείκνυσθαι ἀναγκαῖον οὐκ εἰς τὰ ἀνθρώπινα καθήκοντα, ἀλλὰ κατὰ σκοπὸν τῆς πρὸς Θεὸν εὐαρεστήσεως, πρὸς τὸ ἑκάστῳ συμφέρον;

ΕΡΩΤΗΣΙΣ ΡΞΓ'.

Ποίῳ τρόπῳ δυνηθῇ τις κατορθῶσαι τὴν πρὸς τὸν πλησίον ἀγάπην.

ΑΠΟΚΡΙΣΙΣ.

Πρῶτον μὲν φοβούμενος τὸ κρῖμα τῶν παραβαινόντων τὴν ἐντολὴν τοῦ Κυρίου αὐτοῦ, εἰπόντος, ὅτι *Ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωήν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ* (1) *ἐπ' αὐτόν*· ἔπειτα δὲ ἀντιποιούμενος ζωῆς αἰωνίου· *Ἡ γὰρ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι. Πρώτη δὲ καὶ μεγάλη ἐντολή· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας* (2) *σου, καὶ*

[28] Matth. xxv, 40. [29] Joan. xv, 12, 13. [30] Joan. iii 36. [31] Joan. xii, 50.

(96) Sic veteres duo libri Regii. Alius ms. Reg. quoque perinde ut editi κατόρθωσιν τῆς τοιαύτης διορθώσεως, καὶ τό, haud recte.

(97) Codices duo ἡδοναῖς δουλεύωσιν. Aliquanto post duo mss. cum Voss. εἰς ὀνειδισμὸν τῷ διαβόλῳ.

(98) Reg. primus μετὰ ποίας. Ibidem Vossii codex et alii duo διαθέσεως ὀφείλει. Hoc ipso in loco Reg. primus δέξασθαι τὴν ὑπηρεσίαν τῶν ἀδελφῶν.

(99) Editi ἢ ἵνα. Voculam ἢ delevimus antiquis libris auctoribus. Mox duo mss. cum Voss. Εἰ δὲ [illegible] τὴν ψυχὴν αὐτοῦ θεῖναι δεῖ. Alii duo mss. Εἰ δὲ καὶ τὴν ψυχὴν θεῖναι δεῖ, et ita edendum curavimus. Vocula καί aberat a vulgatis.

(1) Antiqui tres libri μενεῖ, *manebit*. Editi μένει, *manet*.

(2) Reg. primus καρδίας σου, καὶ ὅλης τῆς δυνάμεώς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου· καὶ δευτέρα. Ibidem ms. perinde ut Colb. et Voss. ὁμοία αὐτῆς. Reg. tertius ὁμοία ταύτης.

A *ἐξ ὅλης τῆς ἰσχύος σου· καὶ δευτέρα ὁμοία ταύτῃ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν·* καὶ ἐπιθυμῶν ἐξομοιωθῆναι τῷ Κυρίῳ εἰπόντι· *Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς·* ἔτι δὲ καὶ ἀπὸ λογισμῶν τοιούτων, ὅτι, εἰ μὲν εὐεργέτης ἐστὶν ὁ ἀδελφὸς, χρεωστοῦμεν (3) αὐτῷ καὶ κατὰ ἄνθρωπον τὴν ἀγάπην, ἣν καὶ Ἕλληνες φυλάσσουσι, καθὼς ἐν τῷ Εὐαγγελίῳ ὁ Κύριος δηλοῖ λέγων· *Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία* (4) *ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσιν·* εἰ δὲ κακοποιός· καὶ οὕτως οὐ μόνον διὰ τὴν ἐντολὴν, ἀλλὰ καὶ ὡς τῶν μειζόνων εὐεργέτην ἀγαπᾶν ὀφείλομεν· εἴ γε πιστεύομεν τῷ Κυρίῳ εἰπόντι· *Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν,* B *ψευδόμενοι, ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.*

simile est huic : Diliges proximum tuum, sicut teipsum [32] : tum etiam si studeat Domino similis fieri, qui dixit : *Mandatum novum do vobis, ut diligatis invicem, sicut ego dilexi vos* [33] ; denique si secum ita cogitet : Si de nobis bene meritus est frater, debemus ei vel ipso humano more charitatem, quam etiam servant gentiles, ut in Evangelio Dominus declarat his verbis : *Et si diligitis eos qui vos diligunt, quæ vobis est gratia? nam et peccatores diligentes se diligunt* [34] ; sin autem male meritus est, etiam sic eum non modo propter mandatum, sed etiam tanquam majorum beneficiorum largitorem debemus diligere ; si modo Domino credamus, qui dixit : *Beati estis, cum vos affecerint probris, et persecuti vos fuerint, et dixerint omne verbum malum adversum vos, mentientes, propter me. Gaudete et exsultate, quoniam merces vestra copiosa est in cœlis* [35].

ΕΡΩΤΗΣΙΣ ΡΞΔ'.

Τί (5) *ἐστι τό, « Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε. »*

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου ποτὲ μὲν λέγοντος, *Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε*, ποτὲ δὲ τὴν δικαίαν κρίσιν κρίνειν προστάσσοντος· οὐχὶ τὸ κρίνειν καθόλου κωλυόμεθα, ἀλλὰ διαφορὰν (6) κρίσεως παιδευόμεθα. Ἐπὶ τίσι δὲ κρίνειν χρὴ, καὶ ἐπὶ τίσι μὴ, σαφῶς παρέδωκεν ἡμῖν ὁ Ἀπόστολος· ἐπὶ μὲν τῶν ἐν ἐξουσίᾳ ἑκάστου κειμένων, καὶ ὑπὸ τῆς Γραφῆς μὴ διεσταλμένων, C εἰπών· *Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου;* καὶ πάλιν· *Μηκέτι οὖν ἀλλήλους κρίνωμεν* (7)· ἐπὶ δὲ τῶν ἀπαρεσκόντων Θεῷ, καταγινώσκων τῶν μὴ κρινόντων, καὶ αὐτὸς τὴν παρ' ἑαυτοῦ κρίσιν ἐκφέρων, δι' ὧν φησιν· *Ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρὼν τὸν οὕτω τοῦτο κατεργασάμενον, ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συναχθέντων ὑμῶν, καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.* Ὥστε εἰ μέν τι ἐν ἐξουσίᾳ ἡμετέρᾳ κεῖται, ἢ καὶ ἄδηλον πολλάκις ἐστὶν, οὐ χρὴ κρίνειν ἐπὶ D τούτῳ τὸν (8) ἀδελφὸν, κατὰ τὸ ὑπὸ τοῦ Ἀποστόλου περὶ τῶν ἀγνοουμένων εἰρημένον· *Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ*

470 INTERROGATIO CLXIV.

Quid sibi velit illud : « Nolite judicare, et non judicabimini [36]. »

RESPONSIO.

Cum Dominus aliquando dicat : *Nolite judicare, et non judicabimini*, aliquando vero justum judicium judicare præcipiat [37] ; non omne nobis interdicitur judicium, sed judicii discrimina edocemur. In quibus autem judicare oporteat, et in quibus non sit judicandum, clare ostendit nobis Apostolus, qui de his quidem quæ in uniuscujusque potestate sita sunt, nec a Scriptura præscripta, sic loquitur : *Tu autem quid judicas fratrem tuum* [38] ? ac rursus : *Non ergo amplius invicem judicemus* [39]. De his vero, quæ displicent Deo, ita scribit, condemnans eos qui non judicant, et suum ipsius judicium proferens in medium, his verbis : *Ego quidem ut absens corpore, præsens autem spiritu, jam judicavi ut præsens eum qui id ita operatus est : in nomine Domini nostri Jesu Christi, congregatis vobis, et meo spiritu, cum virtute Domini Jesu, tradere hujusmodi Satanæ in interitum carnis, ut spiritus salvus sit in die Domini Jesu* [40]. Quare si quid in nostra potestate positum sit, aut etiam plerumque incertum sit, ob hoc non debet frater judicari, juxta id quod ab Apostolo de iis quæ ignorantur, dictum est : *Itaque nolite ante tempus de aliquo judicare, quoadusque veniat Dominus, qui et illumi-*

[32] Matth. xxii, 37-39. [33] Joan. xiii, 34. [34] Luc. vi, 32. [35] Matth. v, 11, 12. [36] Luc. vi, 37. [37] Joan. vii, 24. [38] Rom. xiv, 10. [39] ibid. 13. [40] I Cor. v, 3-5.

(3) Veteres quatuor libri χρεωστοῦμεν αὐτῷ. Editi χρεωστοῦμαι.

(4) Antiqui duo libri cum Voss. ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; Καὶ γάρ. *Quam mercedem habetis?* Alii duo mss. et editi ut in contextu.

(5) Editi Τί οὖν ἐστι. Antiqui tres libri Τί ἐστι. Ibidem codex Colb. τὸ μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. Illud autem quod proxime sequitur in vulgatis et in antiquis duobus libris, μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε, delendum censuimus, tum quod hæc verba in aliis quibusdam mss. desint, tum quod de ipsis in hac Regula sileatur.

(6) Vossii vetus liber et alii duo qui cum eo consentire solent, hoc est, Reg. primus et Colbertinus, διαφορὰν τῆς κρίσεως εἰδέναι παιδευόμεθα.

(7) Editi ἀλλήλους κρίνομεν. Libri veteres κρίνωμεν. Haud longe editi τὴν παρ' αὐτοῦ. At mss. quatuor τὴν παρ' ἑαυτοῦ.

(8) Codex Colb. ἐπὶ τῶν τοιούτων τόν.

nabit abscondita tenebrarum, *et manifestabit consilia cordium* [41]. At Dei judicia omnino necesse est vindicari, ut ne simul iræ Dei particeps fiat qui conticescit : nisi si sit aliquis, qui quod eadem atque ille qui accusatur, perpetret, fratris judicandi libertatem non habeat, audiens Dominum dicentem : *Ejice primum trabem de oculo tuo*, *et tunc videbis ejicere festucam de oculo fratris tui* [42].

INTERROGATIO CLXV.

Quomodo cognoscet quis, *utrum Dei studio commoveatur in peccantem fratrem*, *an iracundia.*

RESPONSIO.

Si adversus quodvis peccatum senserit in se illud quod scriptum est : *Tabescere me fecit zelus tuus*, *quia obliti sunt verba tua inimici mei* [43], tum Dei zelus perspicue ostenditur. Sed tamen et hic quoque opus est solerti prudentia, ad fidei ædificationem. Hæc autem affectio nisi fuerit prius in animo, eumque moverit, motus fit inæqualis et in nulla re pietatis propositum servatur.

471 INTERROGATIO CLXVI.

Quo affectu ei, *qui ad mandatum conficiendum urget*, *auscultandum est.*

RESPONSIO.

Affectu tali, quali puer fame victus nutrici ad sumendum cibum advocanti obsequitur : quali etiam homo quilibet, qui victum quærens, res ad vitam necessarias largienti obedit ; imo vero longe etiam majore, quanto scilicet æterna vita præsenti præstantior est. *Nam mandatum Dei*, inquit Dominus, *vita æterna est* [44]. Quod autem in pane comestura est, id in mandato est operis exsecutio, dicente iterum Domino ipso : *Meus cibus est*, *ut faciam voluntatem ejus*, *qui misit me*, *Patris* [45].

INTERROGATIO CLXVII.

Qualis debeat esse anima, *cum digna habita est quæ in Dei opere occupetur.*

RESPONSIO.

Qualis erat, quæ dicebat : *Quis sum ego*, *Domine mi*, *Domine*, *et quæ domus mea*, *quia dilexisti me* [46]? Exsequens videlicet quod scriptum est : *Gratias agentes Patri*, *qui idoneos nos fecit ad partem sortis sanctorum in lumine*, *qui eripuit nos de potestate tenebrarum*, *et transtulit in regnum Filii dilectionis suæ* [47].

A *φωτίσει τὰ κρυπτὰ τοῦ σκότους*, *καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν*· τὰ δὲ τοῦ Θεοῦ κρίματα ἐκδικεῖν, ἀπαραίτητος ἀνάγκη, ἵνα μὴ συμπαραπολαύσῃ τῆς ὀργῆς τοῦ Θεοῦ ὁ ἐφησυχάζων· πλὴν εἰ μή τις, τὰ αὐτὰ ποιῶν τῷ ἐγκαλουμένῳ, ἀπαρρησίαστος εἴη πρὸς τὸ κρίνειν τὸν ἀδελφὸν, ἀκούων τοῦ Κυρίου λέγοντος· *Ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου*, *καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.*

ΕΡΩΤΗΣΙΣ ΡΞΕʹ.

Πῶς γνωρίσει τις, *εἰ ζήλῳ Θεοῦ κινεῖται κατὰ τοῦ ἁμαρτάνοντος ἀδελφοῦ*, *ἢ ὀργίζεται* (9).

ΑΠΟΚΡΙΣΙΣ.

Ἐὰν κατὰ παντὸς ἁμαρτήματος πάθῃ (10) τὸ γεγραμμένον· B *Ἐξέτηξέ με ὁ ζῆλός σου*, *ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου*, φανερὸς τοῦ Θεοῦ ὁ ζῆλος. Οἰκονομίας δὲ καὶ ἐνταῦθα ἐπιστημονικῆς χρεία πρὸς οἰκοδομὴν πίστεως. Ταύτης δὲ τῆς διαθέσεως μὴ προενυπαρξάσης τῇ ψυχῇ, καὶ κινησάσης αὐτὴν, τὸ μὲν κίνημα ἀνώμαλον γίνεται ἐν οὐδενὶ δὲ ὁ σκοπὸς τῆς θεοσεβείας σώζεται.

ΕΡΩΤΗΣΙΣ ΡΞϚʹ.

Μετὰ ποίας διαθέσεως (11) *ὑπακούειν δεῖ τῷ εἰς ἔργον τῆς ἐντολῆς κατεπείγοντι.*

ΑΠΟΚΡΙΣΙΣ.

Μεθ' οἵας διαθέσεως τὸ παιδίον ὑπὸ πείνης κρατούμενον ὑπακούει τῇ τροφῷ καλούσῃ ἐπὶ τὴν μετάληψιν· καὶ πᾶς ἄνθρωπος, ἀντιποιούμενος τοῦ ζῇν, C τῷ χαριζομένῳ τὰ πρὸς τὸ ζῇν· μᾶλλον δὲ καὶ πολλῷ πλέον, ὅσῳ καὶ προτιμοτέρα τῆς παρούσης ἡ αἰώνιος ζωή. *Ἡ γὰρ ἐντολὴ τοῦ Θεοῦ*, φησὶν (12) ὁ Κύριος, *ζωὴ αἰώνιός ἐστιν*. Ὅπερ δέ ἐστιν ἐπὶ τοῦ ἄρτου ἡ βρῶσις, τοῦτό ἐστιν ἐπὶ τῆς ἐντολῆς ἡ ἐργασία, αὐτοῦ πάλιν τοῦ Κυρίου εἰπόντος· *Ἐμὸν βρῶμά ἐστιν*, *ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.*

ΕΡΩΤΗΣΙΣ ΡΞΖʹ.

Ποταπὴ ὀφείλει εἶναι ἡ ψυχὴ, *ἡ καταξιωθεῖσα* (13) *ἐν τῷ ἔργῳ τοῦ Θεοῦ καταληφθῆναι.*

ΑΠΟΚΡΙΣΙΣ.

Οἵα ἦν ἡ λέγουσα· *Τίς εἰμι ἐγὼ*, *Κύριέ μου*, *Κύριε*, *καὶ τίς ὁ οἶκός μου* (14), *ὅτι ἠγάπησάς με*; D Πληροῦσα τὸ γεγραμμένον· *Εὐχαριστοῦντες τῷ Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί*· *ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους*, *καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ.*

[41] I Cor. IV, 5. [42] Matth. VII, 5. [43] Psal. CXVIII, 139. [44] Joan. XII, 50. [45] Joan. IV, 34. [46] II Reg. VII, 18, juxta LXX. [47] Colos. I, 12, 13.

(9) Unus ms. ἢ ὀργιζόμενος.
(10) Codex Colb. ἁμαρτήματος ἀδελφοῦ πάθῃ. Mox idem ms. ζῆλος τοῦ οἴκου σου. Subinde Reg. primus διαθέσεως μὴ ἐνυπαρξάσης.
(11) Reg. primus et Voss. Μετὰ ποταπῆς διαθέσεως. Statim editi Μεθ' ὅσης διαθέσεως τό. Antiqui tres libri præter Voss. Μεθ' οἵας διαθέσεως τό.
(12) Reg. primus et Colb. ἐντολὴ τοῦ Κυρίου, φησίν.
(13) Editi ψυχὴ, ὅτε ὅλως κατηξιώθη. Antiqui duo libri ψυχὴ, ὅτι, etc. Alii duo mss. et Voss. ψυχὴ ἡ καταξιωθεῖσα ἐν.
(14) Codex Colb. οἶκος τοῦ πατρός μου, *et quæ est domus patris mei?*

ΕΡΩΤΗΣΙΣ ΡΞΗ'.

Μετὰ ποταπῆς διαθέσεως δεῖ λαμβάνειν ἱμάτιον ἢ ὑπόδημα, οἷον ἂν ᾖ.

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μὲν μικρότερον ᾖ μεῖζον τῆς ἡλικίας ἐστὶ, φανερωσάτω τὴν χρείαν μετὰ τῆς προσηκούσης ἐπιεικείας· εἰ δὲ περὶ εὐτελείας διαφέρεται, ἢ ὅτι οὐκ ἔστι καινὸν, μνημονευσάτω τοῦ Κυρίου λέγοντος· *Ἄξιος*, οὐχ ἁπλῶς πᾶς, ἀλλ', *ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι* (15). Καὶ ἑαυτὸν ἀνακρινάτω εἰ πρὸς ἀξίαν τῶν τοῦ Κυρίου ἐπιταγμάτων, ἢ ἐπαγγελιῶν, εἰργάσατό τι, καὶ τότε οὐχὶ ἄλλο ἐπιζητήσει, ἀλλὰ περὶ τοῦ δεδομένου ἀγωνιάσει, ὡς ὑπὲρ τὴν ἀξίαν λαμβάνων. Τὸ γὰρ ἐπὶ τῆς τροφῆς εἰρημένον ἐπὶ παντὸς πράγματος τοῦ πρὸς τὴν χρείαν τοῦ σώματος ὥσπερ κανόνα ἔχειν δεῖ.

A

INTERROGATIO CLXVIII.

Quo animo vestimentum aut calceamentum, qualecunque tandem fuerit, accipere oportet.

RESPONSIO.

Si minus aut majus quam pro statura est, indicet necessitatem suam debita cum modestia: sin autem dissidium fuerit de vilitate, vel propterea quod non novum sit, recordetur Domini dicentis: *Dignus est*, non simpliciter quivis, sed, *operarius cibo suo* [48]. Percontetur autem se ipse, an pro dignitate mandatorum Domini, aut promissionum, effecerit quidquam, et tunc non requiret aliud, sed futurus est de eo quod datum fuit sollicitus, velut qui ultra meritum acceperit. Nam quod dictum est de alimento, id in omni re ad corporis usum attinente loco regulæ habendum est.

B

ΕΡΩΤΗΣΙΣ ΡΞΘ'.

Ἐὰν ἀδελφὸς νεώτερος ἐπιταχθῇ διδάξαι τι τὸν πρεσβύτερον καθ' ἡλικίαν, πῶς αὐτῷ προσενεχθήσεται (16).

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς ὑπηρεσίαν πληρῶν κατ' ἐπιταγὴν τοῦ Δεσπότου Θεοῦ· φοβούμενος μὲν μὴ ὑποπέσῃ τῷ κρίματι τοῦ εἰπόντος· *Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς*· ἀσφαλιζόμενος δὲ, μήποτε τυφλωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου (17).

INTERROGATIO CLXIX.

Si frater junior jubeatur aliquid docere alterum ætate grandiorem, quomodo sese erga illum geret.

RESPONSIO.

Velut qui fungitur ministerio, ex mandato Domini Dei, timens ne subeat judicium illius, qui dixit: *Maledictus quisquis facit opera Domini negligenter* [49]: ac etiam cavens, ne forte **472** inflatus in diaboli judicium incidat [50].

ΕΡΩΤΗΣΙΣ ΡΟ'.

Εἰ δεῖ ἴσως προσέχειν τῷ πλεῖον κατορθοῦντι, καὶ τῷ ἔλαττον.

ΑΠΟΚΡΙΣΙΣ.

Ὅπερ ἐπὶ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων ὁ Κύριος ὡρίσατο εἰπών· *Ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαὶ* (18), *ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ*· καὶ ὅπερ ἐπὶ τῶν πρεσβυτέρων ὁ Ἀπόστολος διετάξατο, εἰπών· *Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ*, τοῦτο ἐπὶ πάντων τῶν τοιούτων φυλάσσειν ἡγοῦμαι ἀκόλουθον.

INTERROGATIO CLXX.

Si æqualis habenda sit ratio tum ejus, qui magis, tum illius, qui minus recte facit.

C

RESPONSIO.

Quod in condonandis peccatis sanxit Dominus his verbis: *Remittuntur peccata ejus multa, quoniam dilexit multum: cui autem parum dimittitur, parum diligit* [51]; itemque quod de presbyteris Apostolus constituit, cum dixit: *Qui bene præsunt presbyteri, duplici honore digni habeantur, maxime qui laborant in verbo et doctrina* [52], id erga omnes qui ejusmodi sunt, servari debere arbitror.

ΕΡΩΤΗΣΙΣ ΡΟΑ'.

Ἐὰν δὲ λυπῆται ὁ (19) *ἐλάττων, προτιμωμένου τοῦ εὐλαβεστέρου, πῶς αὐτῷ προσχῶμεν.*

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ τοιοῦτος φανερός ἐστιν ἐπὶ πονηρίᾳ κατεγνωσμένος ἐκ τῆς ἐν τῷ Εὐαγγελίῳ παραβολῆς, ἐν ᾗ φησιν ὁ Κύριος πρὸς τοὺς λυπηθέντας, ὅτι τὰ ἴσα αὐτοῖς τινες ἐτιμήθησαν· *Εἰ ὁ ὀφθαλμός σου πο-*

INTERROGATIO CLXXI.

Si tristitia afficiatur inferior, cum is qui magis pius est sibi anteponitur, quomodo ipsi consulemus.

RESPONSIO.

D

Qui hujusmodi est, ob malignitatem perspicue condemnatur per Evangelii parabolam, in qua eos qui quosdam pari præmio secum donatos fuisse ægre tulerant, ita Dominus alloquitur: *An oculus*

[48] Matth. x, 10. [49] Jer. XLVIII, 10. [50] I Tim. III, 6. [51] Luc. VII, 47. [52] I Tim. v, 17.

(15) Illud ἐστι additum est ex veteribus duobus libris. Mox editi τοῦ Θεοῦ. At mss. duo τοῦ Κυρίου. Reg. tertius τῶν τοῦ Θεοῦ ἐντολῶν καὶ ἐπιταγμάτων εἰργάσατο. Reg. secundus τῶν τοῦ Θεοῦ κριμάτων ἢ ἐπαγγελιῶν, *pro dignitate judiciorum Dei*.

(16) Codex Colb. προσενεχθῆναι δεῖ. Hæc regula bis in Reg. primo reperitur. Primo loco eodem modo inscribitur quo in Vossii veteri libro, ὅπως τῷ πρεσβυτέρῳ καθ' ἡλικίαν προσενεχθῆναι δεῖ: ita vero in secundo, ἐὰν ἀδελφὸς ἐπιταχθῇ νεώτερος διδάξαι τόν, etc. Mox duo mss. cum Voss. καὶ ἐπιταγήν.

(17) Codex Colb. ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου.

(18) Illud, αἱ πολλαί, non legitur quidem in excusis: sed ita scriptum invenimus in Vossii veteri libro et in aliis duobus. Aliquanto infra codex Colb. καὶ ἐν διδασκαλίᾳ.

(19) Veteres duo libri λυπηθῇ ὁ.

tuus nequam est, quia ego bonus sum[53]? Quin etiam adversus hunc et alios ejusmodi manifestum est judicium Dei, per Prophetam, qui dicit : *Ad nihilum deductus est in conspectu ejus malignus : timentes autem Dominum glorificat*[54].

INTERROGATIO CLXXII.

Quali cum timore, aut qua animi persuasione, aut quo affectu corpus et sanguis Christi nobis accipienda sint.

RESPONSIO.

Timorem quidem docet nos Apostolus, cum ait : *Qui manducat et bibit indigne, judicium sibi manducat et bibit*[55]; persuasio vero integra habetur ex fide verborum Domini, qui dixit : *Hoc est corpus meum, quod pro vobis traditur; hoc facite in meam commemorationem*[56]; item ex fide testimonii Joannis, qui memorata prius Verbi gloria, posthac incarnationis modum induxit his verbis : *Verbum caro factum est, et habitavit in nobis, et vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre, plenum gratiæ et veritatis*[57]; itidem quoniam Apostolus scripsit : *Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo : sed semetipsum exinanivit formam servi accipiens, in* **473** *similitudinem hominum factus, et habitu inventus ut homo. Humiliavit semetipsum, factus obediens usque ad mortem, mortem autem crucis*[58]. Cum igitur animus, his et talibus verbis fidem adhibens, gloriæ majestatem didicerit, humilitatisque et obedientiæ magnitudinem admiratus fuerit, quod talis ac tantus ad mortem usque Patri obtemperavit, vitæ nostræ causa, eum arbitror ita affici, ut simul Deum et Patrem diligat, *Qui proprio Filio non pepercit, sed pro nobis omnibus tradidit illum*[59]; simul unigenitum ejus Filium, qui obedivit usque ad mortem pro nostra redemptione ac salute. Et ita demum obsequi potest Apostolo, qui bonam in his conscientiam iis qui sani sunt proponit ceu regulam quamdam, ubi ait : *Charitas enim Christi urget nos æstimantes hoc, quoniam, si unus pro omnibus mortuus est, ergo omnes mortui sunt. Et pro omnibus mortuus est, ut qui vivunt, jam non sibi vivant, sed ei qui pro ipsis mortuus est, et resurrexit*[60]. Quisquis panis et poculi fit particeps, sic affici et præparari debet.

A *ηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι;* Καὶ πρόδηλον τὸ ἐπὶ τούτῳ καὶ τοῖς τοιούτοις κρῖμα τοῦ Θεοῦ διὰ τοῦ Προφήτου λέγοντος· *Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος* (20)· *τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει.*

ΕΡΩΤΗΣΙΣ ΡΟΒ'

Ποταπῷ φόβῳ, ἢ ποίᾳ πληροφορίᾳ, ἢ ποίᾳ διαθέσει μεταλάβωμεν τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ.

ΑΠΟΚΡΙΣΙΣ.

Τὸν μὲν φόβον διδάσκει ἡμᾶς ὁ Ἀπόστολος λέγων· *Ὁ ἐσθίων καὶ πίνων ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει*· τὴν δὲ πληροφορίαν (21) ἐμποιεῖ ἡ πίστις τῶν ῥημάτων τοῦ Κυρίου εἰπόντος· *Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον·* B *τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*· καὶ τῆς μαρτυρίας τοῦ Ἰωάννου διηγησαμένου (22) πρότερον τὴν δόξαν τοῦ Λόγου, καὶ ἐπαγαγόντος τὸν τρόπον τῆς ἐνανθρωπήσεως ἐν τῷ εἰπεῖν ὅτι, *Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας*· καὶ τοῦ Ἀποστόλου γράψαντος ὅτι, *Ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος. Ἐταπείνωσεν* (23) *ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.* Ὅταν οὖν, πιστεύσασα ἡ ψυχὴ τοῖς ῥήμασι τούτοις καὶ τοῖς C τοιούτοις καὶ τοσούτοις, καταμάθῃ τὴν μεγαλειότητα τῆς δόξης, καὶ θαυμάσῃ τὴν ὑπερβολὴν τῆς ταπεινώσεως καὶ τῆς ὑπακοῆς, ὅτι ὁ τοσοῦτος ὑπήκουσε τῷ Πατρὶ μέχρι θανάτου ὑπὲρ τῆς ἡμετέρας ζωῆς, νομίζω ὅτι κατορθοῖ τὴν (24) διάθεσιν εἰς ἀγάπην τήν τε πρὸς τὸν Θεὸν καὶ Πατέρα, *Ὅς τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν*· καὶ τὴν πρὸς τὸν μονογενῆ αὐτοῦ Υἱὸν, τὸν ὑπακούσαντα μέχρι θανάτου ὑπὲρ τῆς ἡμετέρας ἀπολυτρώσεως καὶ σωτηρίας. Καὶ δύναται οὕτως ἀνασχέσθαι τοῦ Ἀποστόλου, ὥσπερ ὅρον τινὰ ἐκτιθεμένου τοῖς ὑγιαίνουσι τὴν ἐν τούτοις ἀγαθὴν συνείδησιν (25), ἐν τῷ εἰπεῖν· *Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει* (26) *ἡμᾶς κρίναντας τοῦτο, ὅτι, εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. Καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι, καὶ ἐγερθέντι.* Τοιαύτην διάθεσίν τε καὶ ἑτοιμασίαν ὀφείλει ἔχειν ὁ μεταλαμβάνων τοῦ ἄρτου καὶ τοῦ ποτηρίου.

[53] Matth. xx, 15. [54] Psal. xiv, 4. [55] I Cor. xi, 29. [56] Luc. xxii, 19. [57] Joan. i, 14. [58] Philipp. ii, 6-8. [59] Rom. viii, 32. [60] II Cor. v, 14, 15.

(20) Editi ἐνώπιον αὐτοῦ πᾶς πονηρευόμενος : sed vocem πᾶς delendam judicavimus, quod nec in reliquis mss. nec apud LXX legatur.

(21) Arbitror, quicunque simpliciter verum quærunt, eos mihi facile assensuros omnes, ipsum Christi corpus ex Basilii sententia in Eucharistia contineri, non ejus simplicem figuram. Ait enim vir summus, τὴν πληροφορίαν seu persuasionem verbis Domini effici : quibus sane non corporis figura, sed ipsum corpus exprimitur.

(22) Editi et unus ms. Ἰωάννου μαρτυρουμένου. D Alii tres mss. præter Voss. ut in contextu.

(23) Reg. primus ἐν ὁμοιώματι ἀνθρώπου εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν.

(24) Idem quem mox dixi liber ζωῆς, κατορθοῖ νομίζω τήν.

(25) Codex Colb. τὴν ἐν τούτοις ἀγάπην καὶ ἀγαθὴν συνείδησιν.

(26) Veteres duo libri cum Voss. ἀγάπη τοῦ Θεοῦ συνέχει. Nec ita multo infra voculam τε addidimus ex antiquis tribus libris.

ΕΡΩΤΗΣΙΣ ΡΟΓ'.

Εἰ δεῖ ἐν τῇ ὥρᾳ τῆς κατ' οἶκον ψαλμῳδίας λαλιάν τινα γίνεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Οὐ δεῖ, ἐκτὸς τῶν πεπιστευμένων τὴν φροντίδα καὶ τὴν ἐπιμέλειαν τῆς εὐταξίας, καὶ τῆς οἰκονομίας τῶν ἔργων (27), καὶ τοῦτο κατὰ ἀνάγκην τῆς ἐπειγούσης χρείας· καὶ οὐδὲ τότε ἀπερισκέπτως, ἀλλ' ἐστοχασμένως, τοῦ τε τόπου καὶ τῆς εὐταξίας, τῆς τε σεμνότητος καὶ τοῦ ἀπροσκόπου· τοῖς ἄλλοις πᾶσιν ἀναγκαία ἐστὶν ἡ σιωπή. Εἰ γὰρ ἐν καιρῷ διαλέξεως, καὶ ἐν αὐτοῖς τοῖς ἐπιτεταγμένοις τὸν λόγον τῆς διδασκαλίας ὁ πρῶτος σιγᾶν προτέτακται, ἐὰν ἄλλῳ ἀποκαλυφθῇ, πόσῳ μᾶλλον ἐν καιρῷ ψαλμῳδίας ἡ σιγὴ τοῖς πολλοῖς ἀναγκαία (28);

B

ΕΡΩΤΗΣΙΣ ΡΟΔ'.

Πῶς δυνηθῇ τις ἐνδιαθέτως καὶ μετὰ ἐπιθυμίας ποιεῖν τὰς ἐντολὰς τοῦ Κυρίου.

ΑΠΟΚΡΙΣΙΣ.

Κατὰ φύσιν ἡ πεῖρα τοῦ ἥδοντος καὶ ὠφελοῦντος, καὶ αὐτὴ ἡ προσδοκία τοῦ τοιούτου ἐμποιεῖ τῇ ψυχῇ τὴν περὶ τούτου διάθεσίν τε καὶ ἐπιθυμίαν. Ἐὰν οὖν τις μισήσῃ καὶ βδελύξηται τὴν ἀδικίαν, καὶ καθαρεύσῃ πάσης ἁμαρτίας, ἀφ' ἧς, ὥσπερ ἀπὸ νόσου τὸ σῶμα (29) πάσχει τὴν ἀνορεξίαν καὶ τὴν περὶ τὰ βρώματα ἀηδίαν, οὕτω καὶ ἡ ψυχὴ τὴν περὶ τὰ δικαιώματα τοῦ Θεοῦ νωθρότητα καὶ ὀκνηρίαν· καὶ ἐὰν πληροφορηθῇ, ὅτι ἡ ἐντολὴ τοῦ Θεοῦ ζωὴ αἰώνιός ἐστι, καὶ πάντα τὰ ἐπηγγελμένα τοῖς φυλάσσουσιν αὐτὴν ἀληθῆ, κατορθοῦται αὐτῷ ἡ διάθεσις τοῦ εἰπόντος· *Τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό· ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά· ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.*

C

ΕΡΩΤΗΣΙΣ ΡΟΕ'.

Πῶς φαίνεται ὁ ἀγαπῶν τὸν ἀδελφὸν κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου· καὶ πῶς ἐλέγχεται ὁ μὴ οὕτως ἀγαπῶν.

ΑΠΟΚΡΙΣΙΣ.

Τῆς ἀγάπης ἐξαίρετα δύο ταῦτα· τὸ λυπεῖσθαι μὲν καὶ ἀγωνιᾷν ἐφ' οἷς βλάπτεται ὁ ἀγαπώμενος· χαίρειν δὲ καὶ ἀγωνίζεσθαι ὑπὲρ τῆς ὠφελείας αὐτοῦ. Μακάριος οὖν ὁ πενθῶν ἐπὶ τῷ ἁμαρτάνοντι, οὗ ὁ κίνδυνος φοβερός· καὶ χαίρων ὑπὲρ τοῦ κατορθοῦντος, οὗ τὸ κέρδος ἀσύγκριτον, καθὼς γέγραπται. Μαρτυρεῖ δὲ καὶ Παῦλος ὁ ἀπόστολος λέγων· *Ἐὰν πάσχῃ ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη*, κατὰ λόγον πάντως τῆς ἐν Χριστῷ ἀγάπης· *Καὶ ἐὰν δοξάζηται ἓν μέλος*, κατὰ σκοπὸν δηλονότι τῆς πρὸς Θεὸν εὐαρεστήσεως, *συγχαίρει πάντα*

D

A

INTERROGATIO CLXXIII

An deceat tempore psalmodiæ, quæ in domo fit, colloquia aliqua fieri.

RESPONSIO.

Non oportet, exceptis iis quorum munus et cura est disciplinæ et operum distributioni providere, idque aliqua re necessaria urgente; et neque tunc inconsiderate, sed habita ratione et loci, et disciplinæ, et gravitatis, et scandali, quod vitari debet: reliquis omnibus necessarium est silentium. Si enim ipso loquendi tempore, et ex iis ipsis quibus concreditum est munus docendi, prior silere jussus est, *si alii revelatum fuerit* [61], quanto magis psalmodiæ tempore silentium privatis necessarium est?

INTERROGATIO CLXXIV.

Quomodo possit quis ex animo et cum alacritate Domini exsequi mandata.

RESPONSIO.

Experimentum jucundæ et utilis rei, et ipsa rerum hujusmodi exspectatio animum naturaliter movet ad id diligendum et concupiscendum. Si quis igitur odio habuerit et abominatus fuerit iniquitatem [62], purusque fuerit ab omni peccato, per quod, quemadmodum per morbum satietas cibi atque fastidium contingit, sic in animo etiam circa Dei justificationes segnities et pigritia ingeneratur: si præterea constantissime crediderit mandatum Dei vitam æternam esse, omniaque promissa, iis qui id servant, certa esse et vera, is afficitur perinde atque ille, qui dixit: *Judicia Domini vera, justificata in idipsum: desiderabilia super aurum et lapidem pretiosum multum, et dulciora super mel et favum. Etenim servus tuus custodit ea: in custodiendis illis retributio multa* [63].

474 INTERROGATIO CLXXV.

Quomodo constet fratrem ab aliquo amari ex mandato Domini: et quomodo convincatur non ita diligere.

RESPONSIO.

Dilectionis duæ sunt dotes præcipuæ, dolere et sollicitum esse de quibus læditur qui amatur: gaudere contra et allaborare pro ipsius commodis. Beatus igitur quisquis luget propter peccantem, cujus periculum formidandum est: itemque quisquis ob recte facientem gaudet, cujus lucro nihil potest conferri, sicut scriptum est. Quin et illud etiam Paulus apostolus testatur, cum ait [64]: *Si patitur unum membrum, compatiuntur omnia membra*, servata utique ratione ejus, quæ in Christo est, charitatis: *Et si gloria afficitur unum membrum*, et

[61] I Cor. XIV, 30. [62] Psal. CXVIII, 163. [63] Psal. XVIII, 10, 12. [64] I Cor. XII, 26.

(27) Reg. primus et Voss. καὶ τὴν οἰκονομίαν τῶν ἔργων. Alii duo mss. et editi καὶ τῆς οἰκονομίας καὶ τῶν. Codex Colb., quem sequimur, οἰκονομίας τῶν. Mox duo mss. et Voss. τῆς κατεπειγούσης.

(28) Antiqui duo libri ἀναγκαία ἐστίν.

(29) Codex Colb. τὰ σώματα

consilio videlicet placendi Deo, *congaudent omnia membra*. Qui autem non ita affectus est, aperte fratrem non diligit.

A τὰ μέλη. Ὁ δὲ μὴ οὕτως συνδιατιθέμενος φανερός ἐστι μὴ ἀγαπῶν (30) τὸν ἀδελφόν.

INTERROGATIO CLXXVI.

Quinam sint inimici quos diligere jussi sumus; et quomodo diligemus inimicos: utrum tantummodo beneficiis in ipsos conferendis, an etiam ipso animi affectu: et nunquid hoc fieri possit.

ΕΡΩΤΗΣΙΣ ΡΟϚ'.

Τίνες εἰσὶν οἱ ἐχθροὶ, οὓς ἀγαπᾷν προσετάχθημεν· καὶ πῶς ἀγαπήσομεν τοὺς ἐχθρούς· ταῖς εἰς αὐτοὺς εὐεργεσίαις μόνον (31), *ἢ καὶ αὐτῇ τῇ διαθέσει· καὶ εἰ δυνατὸν τοῦτο.*

RESPONSIO.

Inimici proprium est nocere, et insidiari. Quisquis igitur quoquo modo nocet cuipiam, inimicus appellari potest: præcipue autem, qui peccat. Nam, quantum in ipso est, modis variis nocet, eique quocum vivit aut consuetudinem habet, insidiatur. Quoniam autem ex corpore et anima constat homo, quod ad animam quidem pertinet, amemus hujusmodi viros, redarguendo ipsos, admonendoque, et omni modo ad conversionem inducendo: quod vero ad corpus, eos, si vitæ necessariis indigeant, beneficiis afficiendo. Quod autem dilectio in animi consistat affectione, perspicuum est omnibus. Id autem fieri posse ostendit ac docuit Dominus, qui Patris ac suam ipsius dilectionem pro inimicis, non autem pro amicis, usque ad mortem obediendo declaravit: quemadmodum testatur Apostolus his verbis: *Commendat autem charitatem suam Deus in nos, quoniam cum adhuc peccatores essemus, Christus pro nobis mortuus est* [65]. Quin etiam ad idipsum nos adhortatur, cum dicit: *Estote ergo imitatores Dei, sicut filii charissimi, et ambulate in dilectione, sicut et Christus dilexit nos, et tradidit semetipsum pro nobis, oblationem et hostiam Deo* [66]. Neque vero hoc præcepisset, utpote bonus et **475** justus, nisi id faciendi tribuisset facultatem: quod vel ipsi naturæ necessario insitum esse declaravit. Nam bestiæ quoque bene de se meritos naturaliter diligunt. Quodnam autem beneficium tantum ab amico, quantum ab inimicis confertur? Conciliant nobis beatitudinem a Domino his verbis promissam: *Beati estis, cum persecuti vos fuerint, et affecerint probris, et dixerint omne malum verbum adversum vos, mentientes, propter me. Gaudete et exsultate, quoniam merces vestra copiosa est in cælis* [67].

ΑΠΟΚΡΙΣΙΣ.

Ἐχθροῦ ἴδιον τὸ βλάπτειν καὶ ἐπιβουλεύειν. Πᾶς μὲν οὖν ὁ ὁπωσδήποτε (32) βλάπτων τινὰ ἐχθρὸς ἂν λέγοιτο· ἐξαιρέτως δὲ ὁ ἁμαρτάνων. Τὸ γὰρ ὅσον ἐπ' αὐτῷ (33) βλάπτει κατὰ διαφόρους τρόπους, καὶ ἐπιβουλεύει τῷ συνόντι ἢ συντυγχάνοντι. Ἐπειδὴ δὲ ἐκ σώματος καὶ ψυχῆς συνέστηκεν ὁ ἄνθρωπος, B κατὰ μὲν τὴν ψυχὴν ἀγαπήσωμεν τοὺς τοιούτους, ἐλέγχοντες αὐτοὺς, καὶ νουθετοῦντες, καὶ παντὶ τρόπῳ εἰς ἐπιστροφὴν ἐνάγοντες (34)· κατὰ δὲ τὸ σῶμα εὐεργετοῦντες αὐτοὺς, ἐπιδεομένους τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Ὅτι δὲ ἡ ἀγάπη ἐν διαθέσει ἐστὶ, παντὶ δῆλον. Τὸ δὲ δυνατὸν ἔδειξε καὶ ἐδίδαξεν ὁ Κύριος, τὴν ἀγάπην τοῦ Πατρὸς καὶ τὴν ἑαυτοῦ ἐν τῇ ὑπακοῇ μέχρι θανάτου ἐπιδειξάμενος ὑπὲρ ἐχθρῶν, οὐχ ὑπὲρ φίλων, ὡς μαρτυρεῖ ὁ Ἀπόστολος λέγων· *Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην ὁ Θεὸς εἰς ἡμᾶς, ὅτι, ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε.* Καὶ ἡμῖν δὲ αὐτὸ τοῦτο παραινεῖ ἐν τῷ εἰπεῖν (35)· *Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε* C *ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, προσφορὰν καὶ θυσίαν τῷ Θεῷ.* Οὐκ ἂν δὲ προσέταξεν ὁ ἀγαθὸς καὶ δίκαιος, εἰ μὴ τὸ δυνατὸν ἐχαρίσατο· ὅπερ καὶ ἐν τῇ φύσει κατηναγκασμένως ἀποκεῖσθαι ἐφανέρωσεν. Εὐεργέτας μὲν καὶ τὰ θηρία φυσικῶς ἀγαπᾷ. Τί δὲ τοσοῦτον εὐεργετεῖ ὁ φίλος, ὅσον οἱ ἐχθροί; Προξενοῦντες ἡμῖν τὸν μακαρισμὸν τοῦ Κυρίου εἰπόντος· *Μακάριοί ἐστε, ὅταν διώξωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.*

INTERROGATIO CLXXVII.

Quomodo debent fortes infirmorum infirmitates portare [68].

ΕΡΩΤΗΣΙΣ ΡΟΖ'.

D *Πῶς ὀφείλουσιν οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν*

RESPONSIO.

Si portare est tollere et curare, secundum id quod scriptum est: *Ipse infirmitates nostras suscepit, et morbos portavit* [69], non quod in se hæc ille

ΑΠΟΚΡΙΣΙΣ

Εἰ τὸ βαστάζειν ἐστὶ τὸ αἴρειν καὶ θεραπεύειν, κατὰ τὸ γεγραμμένον ὅτι, *Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν*, οὐκ ἐν

[65] Rom. v, 8, 9. [66] Ephes. v, 1. 2. [67] Matth. v, 11, 12. [68] Rom. xv, 1. [69] Isa. LIII, 4.

(30) Reg. secundus perinde ut editi μὴ ἀγαπᾷν. Alii duo mss. cum Voss. μὴ ἀγαπῶν.

(31) Veteres tres libri ἐχθροὺς, πληροῦντες τὰς εἰς αὐτοὺς εὐεργεσίας μόνον, etc.

(32) Codex Combef. et alii duo ὁ ὁπωσδήποτε. Deest articulus in vulgatis.

(33) Reg. primus perinde ut Voss. ὅσον ἐφ' ἑαυτῷ.

(34) Reg. primus επιστροφην ἄγοντες. Mox idem ms. τῶν πρὸς τὴν ζωὴν ἀναγκαίων. Nec ita multo post idem liber παντί που δῆλον. Τὸ δὲ δυνατὸν ἔδειξεν ὁ Κύριος. Rursus non longe idem codex cum Voss. καὶ τὴν ἑαυτοῦ ὑπακοὴν μέχρι.

(35) Unus ms. Reg. παραινεῖ λέγων· Γίνεσθε.

τῷ εἰς ἑαυτὸν ὑποδέχεσθαι ταῦτα (36), ἀλλ' ἐν τῷ A τοὺς πάσχοντας θεραπεύειν· καὶ ἐνταῦθα ὁ τῆς μετανοίας τρόπος καὶ λόγος ἐφαρμόσει, δι' οὗ θεραπευθήσονται ἐκ τῆς τῶν δυνατωτέρων ἐπιμελείας οἱ ἀδύνατοι.

ΕΡΩΤΗΣΙΣ ΡΟΗ'.

Τί ἐστι τό, « Ἀλλήλων τὰ βάρη βαστάζετε· » καὶ ποῖον νόμον (37) *ἀναπληρώσομεν, τοῦτο ποιοῦντες.*

ΑΠΟΚΡΙΣΙΣ.

Ταὐτόν ἐστι τῷ προειρημένῳ. Βαρεῖα γὰρ ἡ ἁμαρτία, καθέλκουσα τὴν ψυχὴν εἰς πυθμένα ᾅδου. Ἣν αἴρομεν ἀλλήλων, καὶ περιαιροῦμεν, εἰς ἐπιστροφὴν ἄγοντες τοὺς ἁμαρτάνοντας. Τὸ δὲ *βαστάσαι* ἀντὶ τοῦ ἆραι σύνηθες καὶ τοῖς ἐπιχωρίοις κεχρῆσθαι, ὡς πολλάκις παρὰ πολλῶν αὐτὸς ἤκουσα. Νόμον δὲ B τοῦ Χριστοῦ ἀναπληρώσομεν (38) τοῦ εἰπόντος· *Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν·* καὶ ἡμῖν νομοθετήσαντος ὅτι, *Ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτόν. Ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου*

ΕΡΩΤΗΣΙΣ ΡΟΘ'.

Πῶς δύναταί τις ἄνευ ἀγάπης πίστιν κτήσασθαι τοσαύτην, ὥστε ὄρη μεθιστάνειν, ἢ πάντα (39) *τὰ ὑπάρχοντα δοῦναι πτωχοῖς, ἢ παραδοῦναι τὸ ἑαυτοῦ σῶμα, ἵνα καυθῇ.*

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μνημονεύομεν τοῦ Κυρίου εἰπόντος· *Ποιοῦσι γὰρ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις,* καὶ τῆς ἀποκρίσεως αὐτοῦ τῆς πρὸς τοὺς εἰπόντας· *Κύριε,* C *Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν;* πρὸς οὓς φησιν· *Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ·* οὐχ ὅτι ἐψεύσαντο, ἀλλ' ὅτι τῇ τοῦ Θεοῦ χάριτι (40) πρὸς τὰ ἴδια θελήματα ἀπεχρήσαντο, ὅπερ τῆς πρὸς Θεὸν ἀγάπης ἀλλότριον, οὐ δυσκόλως συνορᾷν τὰ εἰρημένα δυνάμεθα (41). Τὸ δὲ χάρισμα Θεοῦ ἢ δωρεὰν λαμβάνειν καὶ τὸν ἀνάξιον οὐδὲν παράδοξον· Θεὸς γὰρ ἐν καιρῷ χρηστότητος καὶ μακροθυμίας τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς· πολλάκις δὲ καὶ εἰς ὠφέλειαν ἢ ἐκείνου αὐτοῦ τοῦ ὑποδεχομένου τὸ χάρισμα, ἐὰν (42) ἄρα, δυσωπηθεὶς τὴν τοῦ Θεοῦ χρηστότητα, προτραπῇ εἰς ἐπιμέλειαν τῆς πρὸς αὐτὸν εὐαρεστήσεως, ἢ καὶ ἑτέρων (43), κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ D Ἀποστόλου· *Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν,*

susceperit, sed quod eos in quibus hæc erant, curaverit, etiam hoc in loco pœnitentiæ modus et ratio conveniet, per quam infirmiores valentiorum cura atque diligentia curabuntur

INTERROGATIO CLXXVIII.

Quid hoc significet : « Alter alterius onera portate [70] *: » et hoc facientes, qualem legem adimplebimus.*

RESPONSIO.

Hoc idem est atque id quod dictum est superius. Peccatum enim grave est, atque ad ima inferni animam detrudit. Alii autem aliorum peccatum tollimus, et auferimus, cum eos qui peccant, ad conversionem inducimus. Cæterum verbum *portare*, pro eo quod est tollere, etiam ab hujus regionis incolis solet usurpari, veluti ipse sæpenumero a plerisque audivi. Adimplebimus autem legem Christi, qui dixit : *Non veni vocare justos, sed peccatores ad pœnitentiam* [71]; quique nobis hanc legem imposuit : *Si peccaverit frater tuus, vade, corripe eum. Si te audierit, lucratus es fratrem tuum* [72].

INTERROGATIO CLXXIX.

Quomodo potest quis absque charitate fidem habere tantam, ut montes transferat, aut omnia sua bona det pauperibus, aut corpus suum tradat, ut exuratur.

RESPONSIO.

Si recordemur Domini, qui dixit : *Faciunt enim ut spectentur ab hominibus* [73], itemque si meminerimus responsi illius ad quosdam, qui dixerant : *Domine, Domine, nonne in nomine tuo prophetavimus, et in nomine tuo dæmonia ejecimus, et in nomine tuo virtutes multas fecimus* [74]? quibus respondet : *Nescio vos unde* **476** *sitis* [75], non quod mentirentur, sed quod Dei munere ad proprias voluntates fuissent abusi, quæ res a Dei dilectione aliena est, possumus nullo negotio ea quæ dicta sunt, intelligere. Porro Dei munus seu donum vel ab indigno recipi nihil mirum est : siquidem Deus in tempore bonitatis et patientiæ [76] solem suum oriri facit super malos et bonos [77], idque sæpe ad utilitatem etiam aut ejus ipsius, qui donum suscipit, si forte bonitatem Dei reveritus, hincque exstimulatus, studeat ei complacere, aut etiam aliorum, juxta id quod ab Apostolo dictum est : *Quidam quidem et propter invidiam et contentionem, quidam vero et propter*

[70] Gal. VI, 2. [71] Luc. V, 32. [72] Matth. XVIII, 15. [73] Matth. VI, 5. [74] Matth. VII, 22. [75] Luc. XIII, 27. [76] Rom. II, 4. [77] Matth. V, 45.

(36) Vossii vetus liber et Reg. primus ὑποδέχεσθαι ταύτας.

(37) Ait vir doctissimus Ducæus, ex Vossii veteri libro legendum esse νόμον Χριστοῦ : sed ejusmodi lectionem inter reliquas, quas Scottus colligit, non reperio. Attamen si cui ita lubet, addi potest : eo magis, quod in Reg. primo ita legatur. Reg. tertius νόμον τοῦ Θεοῦ.

(38) Editi ἀναπληρώσωμεν. Veteres duo libri ἀναπληρώσομεν.

(39) Ita Vossii liber et alii duo. Vox πάντα in editis desiderabatur.

(40) Editi τὴν τοῦ Θεοῦ χάριν. Antiqui duo libri cum Voss. ut in contextu.

(41) Reg. primus et Voss. συνορᾷν τὰ τοσαῦτα δυνάμεθα. Τὸ δὲ χάρισμα τοῦ Θεοῦ ἢ καὶ δωρεάν.

(42) Codex Voss. τοῦ εὐεργετουμένου τὸ χάρισμα λαμβάνει. Ἐὰν γάρ.

(43) Reg. primus et Voss. καὶ ἑτέρου. Mox iidem mss. et Reg. tertius καὶ διά. Vocula καί abest a vulgatis. Subinde Reg. primus et Voss. Χριστὸν καταγγέλλουσιν. Nec ita multo post ii quos modo dixi libri πλὴν ὅτι παντί. Editi πλὴν παντί.

bonam voluntatem Christum prædicant[78]. Quibus paulo post hæc subjungit : *Verumtamen quod omni modo, sive occasione, sive veritate Christus annuntietur, et in hoc gaudeo*[79].

INTERROGATIO CLXXX.

Quo animo et qua attentione ea audienda sint, quæ nobis cibum sumentibus leguntur.

RESPONSIO.

Voluptate majore quam qua edimus ac bibimus, ut mens videatur non distrahi ad corporis voluptates : sed potius delectari magis verbis Domini, quemadmodum affectus erat qui dixit : *Et dulciora super mel et favum*[80].

INTERROGATIO CLXXXI.

Si quædam fratrum societates fuerint inter se vicinæ, et una egestate laboret, altera vero ad largiendum sit arctior difficiliorque, quomodo inopem affici oportet erga tenacem.

RESPONSIO.

Qui edocti sunt vel ipsam animam in dilectione Christi pro se invicem ponere, quomodo rerum ad corpus pertinentium parci esse possunt? Tanquam si obliti sint ejus, qui dixit : *Esurivi, et non dedistis mihi manducare*[81], etc. Quod si hoc contigerit, æquo animo ferre debent, qui in egestate versantur : et Lazarum imitantes persuadeant sibi, se in futuro sæculo consolationem inventuros.

INTERROGATIO CLXXXII.

Ex quibus fructibus probari debet, qui misericordiæ impulsu peccantem fratrem redarguit.

RESPONSIO.

Primum quidem ex præcipuis misericordiæ argumentis, juxta id quod ab Apostolo dictum est : *Si patitur unum membrum, compatiuntur omnia membra*[82]; et : *Quis scandalizatur, et* **477** *ego non uror*[83]? deinde vero, si parem de quolibet peccato accipiat dolorem, et ex quibuslibet, sive in se, sive in alium peccantibus, simili tristitia ac luctu afficiatur, denique si redarguendo traditum a Domino modum non corrumpat.

INTERROGATIO CLXXXIII.

Si contingat aliquando ut aliqui in fratrum conventu viventes dissideant inter sese, an tutum sit charitatis gratia talibus assentiri.

RESPONSIO.

Cum Dominus dixerit : *Da, Pater, ut sicut ego et tu unum sumus, sic et ipsi unum sint in nobis*[84], itemque Apostolus scripserit : *Unanimes, idem sentientes*[85], itidem cum narretur in Actis illud : *Erat*

A τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν. Οἷς ἐπιφέρει μετ' ὀλίγα· *Πλὴν ὅτι παντὶ τρόπῳ, εἴτε προφάσει εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται, καὶ ἐν τούτῳ χαίρω.*

ΕΡΩΤΗΣΙΣ ΡΠ'.

Μετὰ ποταπῆς διαθέσεως καὶ προσοχῆς ὀφείλομεν ἀκούειν τῶν ἐν τῷ καιρῷ τῆς μεταλήψεως παραναγινωσκομένων ἡμῖν.

ΑΠΟΚΡΙΣΙΣ.

Περισσοτέρως ἢ (44) μεθ' οἵας ἡδονῆς ἐσθίομεν καὶ πίνομεν, ἵνα δειχθῇ ὁ νοῦς μὴ μετεωριζόμενος εἰς τὰς τοῦ σώματος ἡδονάς· ἐνευφραινόμενος δὲ πλέον τοῖς τοῦ Κυρίου ῥήμασι, κατὰ τὴν διάθεσιν τοῦ εἰπόντος· *Καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.*

B

ΕΡΩΤΗΣΙΣ ΡΠΑ'.

Ἐὰν ὦσιν ἀδελφότητες πλησίον ἀλλήλων, καὶ ἡ μὲν πτωχεύῃ, ἡ δὲ ἑτέρα περὶ τὴν κοινωνίαν δυσχερεστέρα ᾖ, πῶς δεῖ τὴν πτωχεύουσαν πρὸς τὴν μὴ μεταδιδοῦσαν διατίθεσθαι (45).

ΑΠΟΚΡΙΣΙΣ.

Οἱ διδαχθέντες ἐν ἀγάπῃ Χριστοῦ καὶ τὴν ψυχὴν αὐτὴν τιθέναι ὑπὲρ ἀλλήλων πῶς τῶν περὶ τὸ σῶμα φείσασθαι δύνανται; Ὥσπερ ἐπιλαθόμενοι τοῦ εἰπόντος· *Ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν,* καὶ τὰ ἑξῆς. Ἐὰν δὲ γένηται τοῦτο, μακροθυμεῖν χρὴ τοὺς πτωχεύοντας, ἐν πληροφορίᾳ τῆς ἐν τῷ μέλλοντι αἰῶνι παρακλήσεως, μιμουμένους τὸν Λάζαρον.

C

ΕΡΩΤΗΣΙΣ ΡΠΒ'.

Ἐκ ποίων καρπῶν δοκιμάζεσθαι ὀφείλει ὁ συμπαθῶς ἐλέγχων τὸν ἀδελφὸν ἁμαρτάνοντα.

ΑΠΟΚΡΙΣΙΣ.

Πρῶτον μὲν ἐκ τῶν ἐξαιρέτων τῆς συμπαθείας, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Ἀποστόλου ὅτι, *Ἐὰν πάσχῃ ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη*· καὶ ὅτι, *Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;* ἔπειτα δὲ, ἐὰν ἐπὶ πάσῃ ἁμαρτίᾳ ὁμοίως συντρίβηται (46), καὶ ἐπὶ πᾶσι τοῖς ἁμαρτάνουσι, τοῖς τε εἰς αὐτὸν καὶ τοῖς εἰς ἄλλον ὁμοίως λυπῆται, καὶ πενθῇ, καὶ ἐλέγχων μὴ διαφθείρῃ τὸν ὑπὸ τοῦ Κυρίου παραδεδομένον τρόπον.

ΕΡΩΤΗΣΙΣ ΡΠΓ'.

Ἐὰν συμβῇ τινας ἐν ἀδελφότητι ζῶντας διαφωνῆσαι πρὸς ἀλλήλους, εἰ ἀκίνδυνόν ἐστιν ἀγάπης ἕνεκεν συμπεριφέρεσθαι τοῖς τοιούτοις. D

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου εἰπόντος, Δὸς, *Πάτερ, ἵνα, ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἓν ὦσιν ἐν ἡμῖν* (47)· καὶ τοῦ Ἀποστόλου γράψαντος, *Σύμψυχοι, τὸ ἓν φρονοῦντες*· καὶ τῶν Πράξεων ἱστορουσῶν,

[78] Philipp. I, 15. [79] ib. 18. [80] Psal. XVIII, 11. [81] Matth. XXV, 42. [82] I Cor. XII, 26. [83] II Cor. XI, 29. [84] Joan. XVII, 21. [85] Philipp. II, 2.

(44) Sic codices tres. Vocula ἢ deerat in vulgatis. Statim Colb. ἵνα διδαχθῇ ὁ, *ut discat mens.* Optima lectio.

(45) Vossii vetus liber πῶς δεῖ τὴν ἑτέραν πρὸς αὐτὴν διακεῖσθαι. Mox Reg. primus et Voss. αὐτὴν θεῖναι.

(46) Reg. primus ὁμοίως συντριβῇ. Mox idem ms. et Colb. cum Voss. παραδοθέντα τρόπον.

(47) Reg. primus ὦσι σὺν ἡμῖν, *unum sint nobiscum.* Statim editi καρδία μία καὶ ψυχὴ μία. Antiqui tres libri καρδία καὶ, etc.

ὅτι, *Ἦν τῶν πιστευσάντων καρδία καὶ ψυχὴ μία·* οἱ μὲν διαφωνοῦντες ἀλλότριοι τῶν εἰρημένων εἰσίν. Ἀγάπη δὲ ἡ μὲν κατὰ λόγον φυλάσσει τὸ εἰρημένον· *Ὁ δὲ ἀγαπῶν ἐπιμελῶς παιδεύει·* ἡ δὲ μὴ κατὰ λόγον, οἵα δ' ἂν ᾖ, ἀδόκιμος, τοῦ Κυρίου εἰπόντος ὅτι, *Ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος.*

ΕΡΩΤΗΣΙΣ ΡΠΔʹ.

Πῶς δύναταί (48) τις, καὶ ὅτε παρακαλεῖ, καὶ ὅτε ἐλέγχει, μὴ μόνον σπουδάζειν ἐπιστημόνως λαλῆσαι, ἀλλὰ καὶ τὴν διάθεσιν τὴν ὀφειλομένην σώζειν πρός τε τὸν Θεὸν καὶ πρὸς ἐκείνους, οἷς λαλεῖ.

ΑΠΟΚΡΙΣΙΣ.

B Ἐὰν μνημονεύσῃ τις τοῦ Ἀποστόλου εἰπόντος· *Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ*, οὐχ ὡς ἰδίαν τινὰ ἐπιστήμην ἐξ αὐθεντίας οἰκονομῇ, ἀλλ' ὡς Θεοῦ ὑπηρεσίαν ἐν ἐπιμελείᾳ ψυχῶν αἵματι Χριστοῦ ἐξηγορασμένων πληροῖ (49) μετὰ φόβου καὶ τρόμου τοῦ πρὸς Θεὸν, κατὰ τὸν εἰπόντα· *Οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν·* καὶ μετὰ διαθέσεως καὶ εὐσπλαγχνίας (50) τῆς περὶ τοὺς ἀκούοντας, ποιῶν τὸ εἰρημένον· *Ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς.*

ΕΡΩΤΗΣΙΣ ΡΠΕʹ.

C *Ἐάν τις ἐν διαλέξει συνδιατιθεμένους τοῖς λεγομένοις ὁρῶν τοὺς ἀκούοντας χαίρῃ, πῶς γνωρίσει ἑαυτὸν, εἰ διαθέσει ἀγαθῇ χαίρει, ἢ πάθει τινὶ ἰδίῳ.*

ΑΠΟΚΡΙΣΙΣ.

Ἐὰν ἐν τοῖς ἐπαίνοις μόνοις τὴν χαρὰν στήσῃ, δῆλός ἐστιν ἰδίῳ πάθει κινούμενος· ἐὰν δὲ, τῶν ἐπαινούντων παραυτὰ μὲν τὸ περὶ τὴν ἀκρόασιν συνετὸν καταμαθὼν, ἐλπίδα τῆς εὐπειθείας ὑποσπεῖρον εὐφρανθῇ (51), ὕστερον δὲ τὴν ὠφέλειαν πολυπραγμονήσας, καὶ ἢ τὰ ἀκόλουθα τοῖς ἐπαίνοις κατορθώματα ἐν αὐτοῖς εὑρὼν χαρῇ, ἢ μηδὲν ὠφεληθέντας τοὺς ἐπαινέσαντας ἐπιδὼν λυπηθῇ (52), εὐχαριστείτω τῷ Θεῷ, ὅτι ὡς φιλόθεος καὶ φιλάδελφος κατηξιώθη κινηθῆναι, μὴ ζητῶν τὴν δόξαν τὴν ἑαυτοῦ, ἀλλὰ τὴν δόξαν τοῦ Θεοῦ, καὶ τὴν οἰκοδομὴν τῶν ἀδελφῶν. D

ΕΡΩΤΗΣΙΣ ΡΠϚʹ.

Ἐπειδὴ διδασκόμεθα τοιαύτην ἀγάπην ἔχειν, ὥστε καὶ τὴν ψυχὴν θεῖναι (53) ὑπὲρ τῶν φίλων, μαθεῖν δεόμεθα ὑπὲρ ποταπῶν φίλων τοῦτο αἱρεῖσθαι δεῖ.

ΑΠΟΚΡΙΣΙΣ.

Τὴν μὲν διάθεσιν, ἢ τὸν τρόπον τούτου τοῦ κατορ-

A *credentium cor unum, et anima una*[86], inter quos dissensio est, ii sunt ab iis quæ modo diximus, alieni. Dilectio enim, quæ quidem rationi consentanea sit, servat quod dictum est : *Qui autem diligit, diligenter castigat*[87] : quæ vero aliena est a ratione, qualiscunque tandem fuerit, reproba est, Domino ipso dicente : *Qui amat patrem aut matrem plus quam me, non est me dignus*[88]

INTERROGATIO CLXXXIV.

Quomodo possit quis, et quando exhortatur, et quando corripit, non modo id curare, ut scite loquatur, sed ut animi etiam affectionem tum Deo, tum iis quos alloquitur, debitam conservet.

RESPONSIO.

Si quis meminerit Apostoli, qui dixit, *Sic nos existimet homo ut ministros Christi, et dispensatores mysteriorum Dei*[89], is non ut propriam quamdam scientiam dispensat ex sua auctoritate, sed veluti Dei ministerio in curandis animabus quæ Christi sanguine redemptæ sunt, fungitur, cum timore ac tremore erga Deum, ad exemplum illius, qui dixit : *Ita loquimur, non quasi hominibus placentes, sed Deo, qui probat corda nostra*[90], et cum affectu atque misericordia erga audientes, faciens quod dictum est : *Tanquam si nutrix foveat filios suos : ita desiderantes vos cupide, volebamus tradere vobis non solum Evangelium Dei, sed etiam animas nostras*[91].

INTERROGATIO CLXXXV.

Si quis in aliquo, quem habeat, sermone, auditores videat affici ex iis quæ dicit, proptereaque lætetur, quomodo cognoscet seipsum, utrum affectu bono, an vitiosa quadam affectione sibi propria gaudeat.

RESPONSIO.

Si in laudibus solis gaudium collocarit, planum est hunc vitiosa affectione sibi propria commoveri ; sed si lætetur, quod statim laudatores id, quod audiunt, intelligere animadverterit **478**, sataque sit spes obedientiæ : postea vero de utilitate sollicitior, si aut recte facta his laudibus consentanea in ipsis comperiens afficiatur lætitia, aut si laudatores nihil profecisse videns, doleat, agat gratias Deo, quod, velut Dei et fratrum amans, dignus habitus sit qui commoveretur, non inquirens gloriam suam, sed gloriam Dei, et fratrum ædificationem.

INTERROGATIO CLXXXVI.

Quandoquidem talem dilectionem habere edocemur, ut animam etiam pro amicis ponamus, discere postulamus, pro qualibus amicis id velle oporteat.

RESPONSIO.

Credere par est animi quidem affectionem, aut

[86] Act. IV, 32. [87] Prov. XIII, 24. [88] Matth. X, 37. [89] I Cor. IV, 1. [90] I Thess. II, 4. [91] Ibid. 7, 8.

(48) Editi et duo mss. πῶς δυνηθῇ. At mss. duo præter Voss. πῶς δύναται.
(49) Codex Colb. ἐξηγορασμένων πληρῶν.
(50) Reg. primus ἡμῶν· διαθέσεως δὲ καὶ εὐσπλαγ. Codex Colb. ἡμῶν· καὶ διαθέσεως δὲ καί, etc. Ibidem uterque liber ἀκούοντας πλήρες ποιῶν.
(51) Codex quidam Combef. ὑποσπείρων, male. Non enim obscurum est illud, ὑποσπεῖρον, ad vocem συνετόν referri.
(52) Veteres duo libri cum Voss. ἀπιδὼν λυπηθῇ. Aliquanto post duo mss. præter Voss. κατηξιώθη λυπηθῆναι, *dignus habitus est, qui tristitia afficeretur.*
(53) Pro θεῖναι duo mss. habet τιθέναι.

hujus recte facti modum varium quiddam esse et diversum : alia enim sæpe suscipienda sunt pro peccatoribus, alia pro justis facienda. Sed tamen edocti sumus et pro justis et pro injustis ad mortem usque dilectionem indiscriminatim ostendere. *Commendat enim*, inquit, *charitatem suam Deus in nos : quoniam cum adhuc peccatores essemus, Christus pro nobis mortuus est* [92]. Hæc vero ad sanctos dicit Apostolus : *Tanquam si nutrix foveat filios suos : ita desiderantes vos cupide, volebamus tradere vobis non solum Evangelium Dei, sed etiam animas nostras : quoniam charissimi nobis facti estis* [93].

A θώματος εἰκὸς εἶναι διάφορον· ἄλλα γάρ ἐστι πολλάκις τὰ ὑπὲρ ἁμαρτωλῶν καταδεχθῆναι, καὶ ἄλλα τὰ ὑπὲρ δικαίων σπουδασθῆναι ὀφείλοντα· τὸ μέντοιγε μέχρι θανάτου ἀγάπην δεικνύειν, καὶ ὑπὲρ δικαίων καὶ ὑπὲρ ἁμαρτωλῶν, δεδιδάγμεθα, μηδὲν διακρίνοντες (54). *Συνίστησι γὰρ τὴν ἑαυτοῦ ἀγάπην*, φησὶν, *ὁ Θεὸς εἰς ἡμᾶς· ὅτι, ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε*. Πρὸς δὲ τοὺς ἁγίους ὁ Ἀπόστολος λέγει· *Ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς· διότι ἀγαπητοὶ ἡμῖν ἐγενήθητε.*

INTERROGATIO CLXXXVII.

An unusquisque ab iis, qui sibi sanguine conjunguntur, quidquam accipere debeat.

RESPONSIO.

Certe necesse est, ut iis, qui ad Dominum accedunt, bona ad ipsos pertinentia reddant cognati, nihilque subtrahant, ne subeant judicium sacrilegii. Attamen, dum hæc consumuntur in oculis eorum, ad quos attinere visa sunt, id plerumque et his ipsis causam dat sese efferendi, et pauperibus ad idem vitæ genus accedentibus tristitiæ fit occasio. Quare contingit illud, ob quod redarguuntur Corinthii ab Apostolo, cum dixit : *Confunditis eos qui non habent* [94]. Quapropter cui Ecclesiarum in loco sitarum concredita est cura, is, si fidelis sit, prudenterque dispensare possit, sic se erga eum gerat, ut in illis fiebat, quorum habetur mentio in Actis [95] qui ferentes ponebant ante pedes apostolorum. Quod si talia administrare non est omnium, sed eorum duntaxat qui præmisso examine huic rei præfecti sunt : ita quoque id quod a talibus datum est, hic, prout judicarit, administrabit.

ΕΡΩΤΗΣΙΣ ΡΠΖ'

B *Εἰ χρὴ παρὰ τῶν κατὰ σάρκα οἰκείων δέχεσθαί τι ἕκαστον.*

ΑΠΟΚΡΙΣΙΣ.

Τοὺς μὲν οἰκείους ἀποδιδόναι (55) τὰ ἐπιβάλλοντα τοῖς προσερχομένοις τῷ Κυρίῳ ἀναγκαῖον, καὶ μηδὲν ὑφαιρεῖν, ἵνα μὴ τῷ κρίματι τῆς ἱεροσυλίας ὑποπέσωσιν· τὸ μέντοιγε ἀναλίσκεσθαι ταῦτα ἐν ὄψεσιν ἐκείνων, οἷς διαφέρειν ἔδοξε, καὶ αὐτοῖς ἐκείνοις γίνεται πολλάκις ἐπάρσεως ὑπόθεσις, καὶ τοῖς πένησι τῶν τῷ αὐτῷ βίῳ προσελθόντων λύπης ἀφορμή. Ὥστε συμβαίνειν ἐκεῖνο, ἐφ' ᾧ ἐγκαλοῦνται οἱ Κορίνθιοι ὑπὸ τοῦ Ἀποστόλου εἰπόντος ὅτι, *Καταισχύνετε τοὺς μὴ ἔχοντας*. Διόπερ ὁ τὴν φροντίδα τῶν κατὰ τόπον Ἐκκλησιῶν πεπιστευμένος, ἐὰν ᾖ πιστὸς, καὶ φρονίμως οἰκονομεῖν δυνάμενος, τούτῳ προσφερέσθω C κατὰ μίμησιν τῶν ἐν ταῖς Πράξεσιν, οἵτινες φέροντες ἐτίθουν (56) παρὰ τοὺς πόδας τῶν ἀποστόλων. Εἰ δὲ τὸ οἰκονομεῖν τὰ τοιαῦτα οὐκ ἔστι πάντων, ἀλλὰ μόνων τῶν (57) μετὰ δοκιμασίας εἰς τοῦτο τυπωθέντων, καὶ τὸ παρὰ τῶν τοιούτων δεδομένον, οὗτος, ὡς ἂν δοκιμάσῃ, τυπώσει.

479 INTERROGATIO CLXXXVIII.

Quomodo eos qui nostri olim fuere contubernales, et eos qui cognatione nobis conjunguntur, cum ad nos accedunt, videbimus.

RESPONSIO.

Ut Dominus ostendit, ac docuit, cum annuntiatum fuisset ipsi : *Mater tua et fratres tui foris stant, videre te volentes* [96] : ad quos objurgatoriis verbis respondet : *Quæ est mater mea, et qui sunt fratres mei? Quicunque enim fecerit voluntatem Patris mei, qui in cœlis est, hic meus frater, et soror, et mater est* [97].

ΕΡΩΤΗΣΙΣ ΡΠΗ'.

Πῶς ἴδωμεν τούς ποτε συνοίκους ἡμῶν, ἢ συγγενεῖς, ἐρχομένους πρὸς ἡμᾶς (58).

ΑΠΟΚΡΙΣΙΣ

Ὡς ὁ Κύριος ἔδειξε, καὶ ἐδίδαξεν, ὅτε ἀπηγγέλη αὐτῷ ὅτι, *Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν, ἰδεῖν σε θέλοντες*· πρὸς οὓς ἐπιπλη- D κτικώτερον ἀποκρίνεται, εἰπών· *Τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; Ὃς γὰρ ἂν ποιήσῃ τὸ* (59) *θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, οὗτός μου ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ ἐστίν.*

[92] Rom. v, 8, 9. [93] I Thess. II, 7, 8. [94] I Cor. XI, 22. [95] Act. IV, 35. [96] Luc. VIII, 20. [97] Matth. XII, 48, 50.

(54) Reg. primus μηδὲν ἀνακρίνοντες. Mox cod. Voss. ἱμειρόμενοι ὑμῶν.

(55) Antiqui duo libri τοὺς μὲν οἰκείους ἀποδιδόναι. Alii duo mss. editi τοῖς μὲν οἰκείοις.

(56) Reg. primus οἵτινες ἔφερον καὶ ἐτίθουν.

(57) Editi μόνον τῶν. At mss. tres μόνων τῶν. Aliquanto post duo mss. τυπώσῃ.

(58) Reg. primus τούς ποτε συγγενεῖς ἢ σὺν ἐκείνοις ἐρχομένους. Ὡς ὁ. Editi τούς ποτε συνοίκους ἡμῶν, ἢ συγγενεῖς εἰσερχομένους. Ὡς ὁ. Reg. tertius ut in contextu. Mox antiqui tres libri præter Voss. ὅτε ἀπηγγέλη. Editi et Colb. ἀπηγγέλθη. Subinde Reg. primus ἀπεκρίνατο· Τίς.

(59) Veteres duo libri cum Voss. ποιῇ τό. Ibidem duo mss. καὶ ἀδελφός.

ΕΡΩΤΗΣΙΣ ΡΠΘ'.

Ἐὰν δὲ καὶ παρακαλῶσι θέλοντες ἀπαγαγεῖν (60) *ἡμᾶς εἰς τὰ ἴδια, εἰ χρὴ αὐτῶν ἀνέχεσθαι.*

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μὲν διὰ οἰκοδομὴν τῆς πίστεως, ὁ δυνάμενος οὕτως ἀπελθεῖν μετὰ δοκιμασίας πεμπέσθω· εἰ δὲ διὰ καθῆκον ἀνθρώπινον, ἀκουέτω τοῦ Κυρίου λέγοντος πρὸς τὸν εἰπόντα· *Ἐπίτρεψόν μοι ἀπελθεῖν, καὶ ἀποτάξασθαι τοῖς* (61) *εἰς τὸν οἶκόν μου· Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ βλέπων εἰς τὰ* (62) *ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.* Εἰ δὲ περὶ τοῦ ἀποτάξασθαι ἅπαξ θελήσαντος τοιοῦτον τὸ κρίμα, τί χρὴ λέγειν περὶ τούτου;

ΕΡΩΤΗΣΙΣ ΡϘ'.

Εἰ δεῖ ἐλεεῖν τοὺς κατὰ σάρκα οἰκείους, ἐπιθυμοῦντας τὴν σωτηρίαν αὐτῶν (63).

ΑΠΟΚΡΙΣΙΣ.

(20) Editi et duo mss. ἀνεπιτηδεύτως. Alii duo mss. præter Voss. ἀνεπιτηδείως.

cunt sacras litteras [78] : multos etiam, qui, Cornelii exemplo, naturæ quidem motibus recte utuntur [79], sed tamen, præceptorum penuria, tarde pertingunt ad scientiæ perfectionem. *Quomodo enim*, inquit, *credent, si non audierint* [80]? Si igitur contigerit, ut sint nonnulli, qui, Cornelii exemplo, in nulla re mala occupati, contra perfectionis cupidi, ea bona, quæ facere et cognoscere possunt, vere sincereque exerceant, his Deus largitur quæ et Cornelio largitus est, nec eis vertit segnitiei vitio præteritum tempus, quandoquidem, ut jam dixi, id non accidit ipsorum culpa : sed hoc studio contentus est, quod per ea quæ pro tempore posthac studiose agunt, et ad finem usque diligentius perficiunt, declaratur.

A βρέφους τὰ ἱερὰ γράμματα μανθάνοντες (21)· πολλοὶ δὲ οἱ κατὰ τὸν Κορνήλιον, τοῖς μὲν φυσικοῖς κινήμασιν ὑγιῶς χρώμενοι, εἰς δὲ τὴν κατ' ἐπιστήμην τελειότητα βραδύνοντες, διὰ τὴν ἀπόλειψιν τῶν διδασκόντων. *Πῶς γὰρ πιστεύσουσι* (22), φησὶν, *ἐὰν μὴ ἀκούσωσιν;* Ἐὰν οὖν συμβῇ τινας εἶναι, κατὰ τὸν Κορνήλιον, περὶ μηδὲν μὲν κακὸν ἀσχολουμένους, ἐν δὲ ἐπιθυμίᾳ τῆς τελειότητος τὰ δυνατὰ καὶ εἰς γνῶσιν ἥκοντα καλὰ γνησίως ἐπιδεικνυμένους, τούτοις ὁ Θεὸς χαρίζεται ἃ καὶ τῷ Κορνηλίῳ, μὴ τούτοις λογισάμενος τὸν παρελθόντα χρόνον τῆς ἀργίας εἰς ἔγκλημα, ἐπεὶ μὴ παρὰ τὴν αὐτῶν αἰτίαν, ὡς εἶπον, ἐγένετο· τῇ δὲ ἐπιθυμίᾳ ἀρκούμενος, τῇ φανερωθείσῃ διὰ τῶν κατὰ καιρὸν σπουδαζομένων, καὶ ἐπὶ τέλει ἐπιμελέστερον κατορ-
B θουμένων

INTERROGATIO CCXXV.

Cum Dominus dixerit : « Ubi duo vel tres fuerint congregati in nomine meo, ibi sum in medio eorum [81] *: » quomodo hoc digni effici poterimus.*

RESPONSIO.

Qui in nomine alicujus congregati sunt, ejus, qui eos congregavit, consilium scire omnino debent, et ad illud sese componere, ut consequantur ipsius gratiam, eique complaceant, non autem fiant obnoxii malitiæ aut negligentiæ judicio. Ut enim qui sunt ab aliquo vocati, si metere in animo habuerit qui vocavit, ad metendum se parant, si vero ædificare sibi proposuerit, accingunt se ad ædificandum : ita nos, qui vocati sumus a Domino, memores esse debemus Apostoli, qui ait : *Obsecro vos ego vinctus in Domino, ut digne ambuletis vocatione, qua vocati estis, cum omni humilitate et mansuetudine, cum patientia supportantes invicem in charitate : solliciti servare unitatem spiritus in vinculo pacis. Unum corpus, et unus spiritus, sicut et vocati estis in una spe vocationis vestræ* [82]. Apertius autem rem totam nobis Dominus ostendit, per id promissum quod privatim unicuique fecit his verbis : *Si quis diligit* **491** *me, sermonem meum servabit, et Pater meus diliget eum, et ad eum veniemus, et mansionem apud eum faciemus* [83]. Sicut igitur observatis mandatis fit apud eum mansio : sic quoque in medio duorum vel trium est [84], si se ad illius voluntatem conformarint. Qui vero non ex vocationis dignitate, neque ad voluntatem Domini congregati sunt, tametsi videntur fuisse in nomine Domini coacti, audiunt tamen : *Quid vocatis me, Domine, Domine, et non facitis quæ dico* [85] ?

ΕΡΩΤΗΣΙΣ ΣΚΕ'.

Τοῦ Κυρίου εἰπόντος· « Ὅπου ἐὰν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν· » πῶς τούτου καταξιωθῆναι δυνηθῶμεν.

ΑΠΟΚΡΙΣΙΣ.

Οἱ εἰς τὸ ὄνομά τινος συναχθέντες (23), πάντως ὀφείλουσιν εἰδέναι τὸν σκοπὸν τοῦ συναγαγόντος, καὶ πρὸς αὐτὸν ἑαυτοὺς καταρτίζειν, ἵνα εὐαρεστήσεως χάριν εὕρωσι, καὶ μὴ κακίας ἢ ἀμελείας κρίματι ὑποπέσωσιν. Ὥσπερ γὰρ οἱ κληθέντες ὑπό τινος, εἰ μὲν σκοπὸς τοῦ θερίσαι πρόκειται τῷ καλέσαντι, πρὸς αὐτὸ (24) ἑαυτοὺς παρασκευάζουσιν· εἰ δὲ σκοπὸς τοῦ οἰκοδομῆσαι, πρὸς τὴν οἰκοδομὴν
C εὐτρεπίζονται· οὕτως οἱ κληθέντες ὑπὸ τοῦ Κυρίου μνημονεύειν ὀφείλομεν τοῦ Ἀποστόλου λέγοντος· *Παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. Ἓν σῶμα, καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.* Σαφέστερον δὲ ἡμῖν παρίστησιν ὁ Κύριος τὸ πᾶν διὰ τῆς πρὸς ἕνα ἐπαγγελίας εἰπών· *Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει* (25), *καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσο-*
D *μεν.* Ὡς οὖν γίνεται παρὰ τούτῳ ἡ μονὴ ἐκ τῆς τηρήσεως τῶν ἐντολῶν, οὕτω καὶ τῶν δύο ἢ τριῶν ἐν μέσῳ ἐστὶν, ἐὰν πρὸς τὸ θέλημα αὐτοῦ καταρτισθῶσιν. Οἱ δὲ μὴ ἀξίως τῆς κλήσεως, μηδὲ πρὸς τὸ θέλημα τοῦ Κυρίου (26) συνηγμένοι, κἂν ἐπὶ τὸ αὐτὸ συνῆχθαι ἐν ὀνόματι Κυρίου δοκῶσιν, ἀκούουσι· *Τί με καλεῖτε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω;*

[78] II Tim. III, 15. [79] Act. X, 2. [80] Rom. X, 14. [81] Matth. XVIII, 20. [82] Ephes. IV, 1-4. [83] Joan. XIV, 23. [84] Matth. XVIII, 20. [85] Luc. VI, 46.

(21) Vossii vetus liber et alii duo γράμματα μαθόντες.

(22) Unus ms. et editi πιστεύσωσι. Alii duo πιστεύσουσι.

(23) Reg. primus et Voss. τινος συνηγμένοι.

(24) Veteres duo libri πρὸς τοῦτο. Codex Voss. πρὸς τοῦτο κατασκευάζουσι.

(25) Reg. primus ἀγαπᾷ με, τὰς ἐντολάς μου τηρήσει, *Si quis diligit me, mandata mea servabit.*

(26) Codex Colb. θέλημα τοῦ Θεοῦ. Statim editi κἂν ἐπὶ ταυτό. Veteres tres libri κἂν ἐπιτοαυτό. Mox Reg. primus Τί με λέγετε, Κύριε.

ΕΡΩΤΗΣΙΣ ΣΚϚ'.

Τοῦ Ἀποστόλου λέγοντος· « Λοιδορούμενοι εὐλογοῦμεν, βλασφημούμενοι παρακαλοῦμεν· » πῶς ὀφείλει εὐλογεῖν ὁ λοιδορούμενος, ἢ τί παρακαλεῖν ὁ βλασφημούμενος.

ΑΠΟΚΡΙΣΙΣ.

Καθόλου νομίζω τὸν Ἀπόστολον ἐνταῦθα διδάσκειν ἡμᾶς ἀπὸ τῶν καθ' ἑαυτὸν, ἀνεξικακίᾳ χρῆσθαι πρὸς (27) πάντας, καὶ ἀγαθοῖς ἀμείβεσθαι τοὺς πονηρευομένους· ὡς μὴ μόνον ἐπὶ τοῦ λοιδοροῦντος γίνεσθαι τὸ τοιοῦτον, ἀλλὰ καὶ ἐπὶ παντὸς πονηρευομένου, πληροῦντας τὸ εἰρημένον· *Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.* Τὸ δὲ παρακαλεῖν οἶδεν ἡ Γραφὴ τιθέναι, οὐ κατὰ τὴν χρῆσιν τῆς συνηθείας, ἀλλὰ πρὸς τὸ συμβιβάζειν τὴν καρδίαν εἰς πληροφορίαν τῆς ἀληθείας, ὡς ἐν τῷ, *Παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός.* Καὶ ὁ Ἀπόστολος δέ φησιν· *Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς· τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ·* καὶ ἀλλαχοῦ· *Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐν τῇ παρουσίᾳ Τίτου.*

A

INTERROGATIO CCXXVI.

Cum Apostolus dicat : « Dum maledicimur, benedicimus : dum blasphemamur, consolamur [86] *: » quomodo male audiens debet benedicere, et quam consolationem adhibere debet qui conviciis afficitur.*

RESPONSIO.

In universum existimo Apostolum illud hic docere nos exemplo suo, ut patientia utamur erga omnes, iisque qui mala faciunt, bona rependamus; ut videlicet non modo erga maledicos, sed etiam erga quemcunque maleficum hanc servemus agendi rationem, perficiamusque quod dictum est : *Noli vinci a malo, sed vince in bono malum* [87]. Illud autem, consolari, usurpare solet Scriptura, non ex usu consueto, sed ut animum in certam veritatis notitiam adducat, veluti hoc loco : B *Consolamini populum meum, dicit Deus* [88]. Quin et Apostolus ait : *Desidero enim videre vos, ut aliquid impertiar vobis gratiæ spiritualis ad confirmandos vos, id est, simul consolari in vobis, per eam quæ invicem est, fidem vestram atque meam* [89]; et alibi : *Sed qui consolatur humiles consolatus est nos Deus in adventu Titi* [90].

ΕΡΩΤΗΣΙΣ ΣΚΖ'

Εἰ χρὴ ἕκαστον ἀνατίθεσθαι καὶ ἑτέροις ἃ φρονεῖ, ἢ ἐν πληροφορίᾳ τοῦ ἀρέσκειν τῷ Θεῷ τὸ γενόμενον, παρ' ἑαυτῷ κατέχειν (28).

ΑΠΟΚΡΙΣΙΣ.

Μεμνημένοι τῆς τοῦ Θεοῦ (29) ἀποφάσεως, εἰπόντος διὰ τοῦ προφήτου· *Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες·* καὶ τοῦ Ἀποστόλου λέγοντος· *Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς· τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ·* λογιζόμεθα ἀναγκαῖον εἶναι ἀνατίθεσθαι ἡμᾶς (30) τοῖς ὁμοψύχοις, καὶ ἀπόδειξιν δεδωκόσι πίστεώς τε καὶ συνέσεως, ἵνα ἢ τὸ πεπλανημένον διορθωθῇ, ἢ τὸ ἠκριβωμένον βεβαιωθῇ, καὶ ἡμεῖς φύγωμεν τὸ προειρημένον κρῖμα, τὸ κατὰ τῶν ἑαυτοῖς συνετῶν.

INTERROGATIO CCXXVII.

Utrum oporteat unumquemque ea quæ sentit, aliis patefacere ; an cum sibi persuasum fuerit, rem quæ geritur, Deo esse gratam, eam debeat apud seipsum continere.

RESPONSIO.

Memores sententiæ Dei, qui dixit per prophe- C tam : *Væ vobis qui prudentes estis in vobisipsis, et coram vobisipsis scientes* [91] ; itemque horumce verborum Apostoli. *Desidero enim videre vos, ut aliquid impertiar vobis gratiæ spiritualis ad confirmandos vos, id est, simul consolari in vobis, per eam quæ invicem est, fidem vestram atque meam* [92], communicare nos res nostras cum iis qui nobis conjunctissimi sunt, quique tum fidei tum prudentiæ specimen dederunt, necesse esse arbitramur : ut aut quod erroneum est, corrigatur, aut quod recte factum est, stabiliatur, sicque effugiamus nos memoratum jam judicium, quod adversum eos qui in seipsis prudentes sunt, prolatum est.

ΕΡΩΤΗΣΙΣ ΣΚΗ'.

Εἰ ἐπὶ παντὶ πράγματι πληροφορεῖν χρὴ τὸ θέλημα τῶν σκανδαλιζομένων, ἢ ἔστι τινὰ, ἐφ' ὧν (31) οὐ δεῖ προσποιεῖσθαι, κἂν τινες σκανδαλίζωνται.

ΑΠΟΚΡΙΣΙΣ.

Σαφῆ τὴν ἐν τούτοις διαφορὰν ἐν τῷ ἰδίῳ τόπῳ ἐπερωτηθέντες ἐδηλώσαμεν, καὶ τὴν περὶ τούτου ἀκρίβειαν, ὡς δυνατὸν ἡμῖν, παραδεδώκαμεν.

492 INTERROGATIO CCXXVIII.

Utrum voluntas eorum qui scandalizantur, in omni D *re prorsus facienda sit, an potius sint quædam, in quibus simulatione utendum non sit, etiamsi scandalum patiantur nonnulli.*

RESPONSIO.

Manifestum quoddam in his discrimen ostendimus, cum interrogati sumus suo loco, et maxima qua potuimus cura, ea de re disseruimus.

[86] I Cor. IV, 12. [87] Rom. XII, 21. [88] Isa. XL, 1, apud LXX. [89] Rom. I, 11, 12. [90] II Cor. VII, 6. [91] Isa. V, 21. [92] Rom. I, 11, 12.

(27) Vocula πρός inepte in editis omissa fuerat : sed eam ex veteribus multis libris restituimus.

(28) Editi et Reg. secundus ἐν πληροφορίᾳ τοῦ ἀρέσκοντος Θεῷ γενόμενον, παρ' ἑαυτῷ. Reg. primus ἐν πληροφορίᾳ τὸ ἀρέσκον Θεῷ γινόμενον ἐν ἑαυτῷ. Reg. tertius ut in contextu.

(29) Codex Colb. τῆς τοῦ Κυρίου.

(30) Reg. primus ἀνατίθεσθαι ὑμᾶς.

(31) Editi ἀφ' ὧν. At quatuor mss. ἐφ' ὧν. Nec ita multo post duo mss. cum Voss. καὶ τὴν ἐν τούτοις ἀκρ.

cunt sacras litteras [78] : multos etiam, qui, Cornelii exemplo, naturæ quidem motibus recte utuntur [79], sed tamen, præceptorum penuria, tarde pertingunt ad scientiæ perfectionem. *Quomodo enim*, inquit, *credent, si non audierint* [80]? Si igitur contigerit, ut sint nonnulli, qui, Cornelii exemplo, in nulla re mala occupati, contra perfectionis cupidi, ea bona, quæ facere et cognoscere possunt, vere sincereque exerceant, his Deus largitur quæ et Cornelio largitus est, nec eis vertit segnitiei vitio præteritum tempus, quandoquidem, ut jam dixi, id non accidit ipsorum culpa : sed hoc studio contentus est, quod per ea quæ pro tempore posthac studiose agunt, et ad finem usque diligentius perficiunt, declaratur.

INTERROGATIO CCXXV.

Cum Dominus dixerit : « Ubi duo vel tres fuerint congregati in nomine meo, ibi sum in medio eorum [81] ***: » quomodo hoc diani effici poterimus.***

RESPONSIO.

Qui in nomine alicujus congregati sunt, ejus, qui eos congregavit, consilium scire omnino debent, et ad illud sese componere, ut consequantur ipsius gratiam, eique complaceant, non autem fiant obnoxii malitiæ aut negligentiæ judicio. Ut enim qui sunt ab aliquo vocati, si metere in animo habuerit qui vocavit, ad metendum se parant, si vero ædificare sibi proposuerit, accingunt se ad ædificandum : ita nos, qui vocati sumus a Domino, memores esse debemus Apostoli, qui ait : ***Obsecro vos ego vinctus in Domino, ut digne ambuletis vocatione, qua vocati estis, cum omni humilitate et mansuetudine, cum patientia supportantes invicem in charitate : solliciti servare unitatem spiritus in vinculo pacis. Unum corpus, et unus spiritus, sicut et vocati estis in una spe vocationis vestræ*** [82]. Apertius autem rem totam nobis Dominus ostendit, per id promissum quod privatim unicuique fecit his verbis : ***Si quis diligit* 491 *me, sermonem meum servabit, et Pater meus diliget eum, et ad eum veniemus, et mansionem apud eum faciemus*** [83]. Sicut igitur observatis mandatis fit apud eum mansio : sic quoque in medio duorum vel trium est [84], si se ad illius voluntatem conformarint. Qui vero non ex vocationis dignitate, neque ad voluntatem Domini congregati sunt, tametsi videntur fuisse in nomine Domini coacti, audiunt tamen : ***Quid vocatis me, Domine, Domine, et non facitis quæ dico*** [85] ?

A βρέφους τὰ ἱερὰ γράμματα μανθάνοντες (21)· πολλοὶ δὲ οἱ κατὰ τὸν Κορνήλιον, τοῖς μὲν φυσικοῖς κινήμασιν ὑγιῶς χρώμενοι, εἰς δὲ τὴν κατ' ἐπιστήμην τελειότητα βραδύνοντες, διὰ τὴν ἀπόλειψιν τῶν διδασκόντων. *Πῶς γὰρ πιστεύσουσι* (22), φησὶν, *ἐὰν μὴ ἀκούσωσιν;* Ἐὰν οὖν συμβῇ τινας εἶναι, κατὰ τὸν Κορνήλιον, περὶ μηδὲν μὲν κακὸν ἀσχολουμένους, ἐν δὲ ἐπιθυμίᾳ τῆς τελειότητος τὰ δυνατὰ καὶ εἰς γνῶσιν ἥκοντα καλὰ γνησίως ἐπιδεικνυμένους, τούτοις ὁ Θεὸς χαρίζεται ἃ καὶ τῷ Κορνηλίῳ, μὴ τούτοις λογισάμενος τὸν παρελθόντα χρόνον τῆς ἀργίας εἰς ἔγκλημα, ἐπεὶ μὴ παρὰ τὴν αὐτῶν αἰτίαν, ὡς εἶπον, ἐγένετο· τῇ δὲ ἐπιθυμίᾳ ἀρκούμενος, τῇ φανερωθείσῃ διὰ τῶν κατὰ καιρὸν σπουδαζομένων, καὶ ἐπὶ τέλει ἐπιμελέστερον κατορ-B θουμένων.

ΕΡΩΤΗΣΙΣ ΣΚΕ'.

Τοῦ Κυρίου εἰπόντος· « Ὅπου ἐὰν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν· » πῶς τούτου καταξιωθῆναι δυνηθῶμεν.

ΑΠΟΚΡΙΣΙΣ.

Οἱ εἰς τὸ ὄνομά τινος συναχθέντες (23), πάντως ὀφείλουσιν εἰδέναι τὸν σκοπὸν τοῦ συναγαγόντος, καὶ πρὸς αὐτὸν ἑαυτοὺς καταρτίζειν, ἵνα εὐαρεστήσεως χάριν εὕρωσι, καὶ μὴ κακίας ἢ ἀμελείας κρίματι ὑποπέσωσιν. Ὥσπερ γὰρ οἱ κληθέντες ὑπό τινος, εἰ μὲν σκοπὸς τοῦ θερίσαι πρόκειται τῷ καλέσαντι, πρὸς αὐτὸ (24) ἑαυτοὺς παρασκευάζουσιν· εἰ δὲ σκοπὸς τοῦ οἰκοδομῆσαι, πρὸς τὴν οἰκοδομὴν C εὐτρεπίζονται· οὕτως οἱ κληθέντες ὑπὸ τοῦ Κυρίου μνημονεύειν ὀφείλομεν τοῦ Ἀποστόλου λέγοντος· *Παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. Ἓν σῶμα, καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.* Σαφέστερον δὲ ἡμῖν παρίστησιν ὁ Κύριος τὸ πᾶν διὰ τῆς πρὸς ἕνα ἐπαγγελίας εἰπών· *Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει* (25), *καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσο-D μεν.* Ὡς οὖν γίνεται παρὰ τούτῳ ἡ μονὴ ἐκ τῆς τηρήσεως τῶν ἐντολῶν, οὕτω καὶ τῶν δύο ἢ τριῶν ἐν μέσῳ ἐστὶν, ἐὰν πρὸς τὸ θέλημα αὐτοῦ καταρτισθῶσιν. Οἱ δὲ μὴ ἀξίως τῆς κλήσεως, μηδὲ πρὸς τὸ θέλημα τοῦ Κυρίου (26) συνηγμένοι, κἂν ἐπὶ τὸ αὐτὸ συνῆχθαι ἐν ὀνόματι Κυρίου δοκῶσιν, ἀκούουσι· *Τί με καλεῖτε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω;*

[78] II Tim. III, 15. [79] Act. X, 2. [80] Rom. X, 14. [81] Matth. XVIII, 20. [82] Ephes. IV, 1-4. [83] Joan. XIV, 23. [84] Matth. XVIII, 20. [85] Luc. VI, 46.

(21) Vossii vetus liber et alii duo γράμματα μαθόντες.

(22) Unus ms. et editi πιστεύσωσι. Alii duo πιστεύσουσι.

(23) Reg. primus et Voss. τινος συνηγμένοι.

(24) Veteres duo libri πρὸς τοῦτο. Codex Voss. πρὸς τοῦτο κατασκευάζουσι.

(25) Reg. primus ἀγαπᾷ με, τὰς ἐντολάς μου τηρήσει, *Si quis diligit me, mandata mea servabit.*

(26) Codex Colb. θέλημα τοῦ Θεοῦ. Statim editi κἂν ἐπὶ ταυτό. Veteres tres libri κἂν ἐπιταυτό. Mox Reg. primus Τί με λέγετε, Κύριε.

ΕΡΩΤΗΣΙΣ ΣΚϚʹ.

Τοῦ Ἀποστόλου λέγοντος· « Λοιδορούμενοι εὐλογοῦμεν, βλασφημούμενοι παρακαλοῦμεν· » πῶς ὀφείλει εὐλογεῖν ὁ λοιδορούμενος, ἢ τί παρακαλεῖν ὁ βλασφημούμενος.

ΑΠΟΚΡΙΣΙΣ.

Καθόλου νομίζω τὸν Ἀπόστολον ἐνταῦθα διδάσκειν ἡμᾶς ἀπὸ τῶν καθ' ἑαυτὸν, ἀνεξικακίᾳ χρῆσθαι πρὸς (27) πάντας, καὶ ἀγαθοῖς ἀμείβεσθαι τοὺς πονηρευομένους· ὡς μὴ μόνον ἐπὶ τοῦ λοιδοροῦντος γίνεσθαι τὸ τοιοῦτον, ἀλλὰ καὶ ἐπὶ παντὸς πονηρευομένου, πληροῦντας τὸ εἰρημένον· *Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν*. Τὸ δὲ παρακαλεῖν οἶδεν ἡ Γραφὴ τιθέναι, οὐ κατὰ τὴν χρῆσιν τῆς συνηθείας, ἀλλὰ πρὸς τὸ συμβιβάζειν τὴν καρδίαν εἰς πληροφορίαν τῆς ἀληθείας, ὡς ἐν τῷ, *Παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός*. Καὶ ὁ Ἀπόστολος δέ φησιν· *Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς· τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ·* καὶ ἀλλαχοῦ· *Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐν τῇ παρουσίᾳ Τίτου.*

INTERROGATIO CCXXVI.

Cum Apostolus dicat : « Dum maledicimur, benedicimus : dum blasphemamur, consolamur [86] *: » quomodo male audiens debet benedicere, et quam consolationem adhibere debet qui conviciis afficitur.*

RESPONSIO.

In universum existimo Apostolum illud hic docere nos exemplo suo, ut patientia utamur erga omnes, iisque qui mala faciunt, bona rependamus; ut videlicet non modo erga maledicos, sed etiam erga quemcunque maleficum hanc servemus agendi rationem, perficiamusque quod dictum est : *Noli vinci a malo, sed vince in bono malum*[87]. Illud autem, consolari, usurpare solet Scriptura, non ex usu consueto, sed ut animum in certam veritatis notitiam adducat, veluti hoc loco : *Consolamini populum meum, dicit Deus*[88]. Quin et Apostolus ait : *Desidero enim videre vos, ut aliquid impertiar vobis gratiæ spiritualis ad confirmandos vos, id est, simul consolari in vobis, per eam quæ invicem est, fidem vestram atque meam* [89]; et alibi : *Sed qui consolatur humiles consolatus est nos Deus in adventu Titi* [90].

ΕΡΩΤΗΣΙΣ ΣΚΖʹ

Εἰ χρὴ ἕκαστον ἀνατίθεσθαι καὶ ἑτέροις ἃ φρονεῖ, ἢ ἐν πληροφορίᾳ τοῦ ἀρέσκειν τῷ Θεῷ τὸ γενόμενον, παρ' ἑαυτῷ κατέχειν (28).

ΑΠΟΚΡΙΣΙΣ.

Μεμνημένοι τῆς τοῦ Θεοῦ (29) ἀποφάσεως, εἰπόντος διὰ τοῦ προφήτου· *Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες*· καὶ τοῦ Ἀποστόλου λέγοντος· *Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς· τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ·* λογιζόμεθα ἀναγκαῖον εἶναι ἀνατίθεσθαι ἡμᾶς (30) τοῖς ὁμοψύχοις, καὶ ἀπόδειξιν δεδωκόσι πίστεώς τε καὶ συνέσεως, ἵνα ἢ τὸ πεπλανημένον διορθωθῇ, ἢ τὸ ἠκριβωμένον βεβαιωθῇ, καὶ ἡμεῖς φύγωμεν τὸ προειρημένον κρῖμα, τὸ κατὰ τῶν ἑαυτοῖς συνετῶν.

INTERROGATIO CCXXVII.

Utrum oporteat unumquemque ea quæ sentit, aliis patefacere ; an cum sibi persuasum fuerit, rem quæ geritur, Deo esse gratam, eam debeat apud seipsum continere.

RESPONSIO.

Memores sententiæ Dei, qui dixit per prophetam : *Væ vobis qui prudentes estis in vobisipsis, et coram vobisipsis scientes*[91]; itemque horumce verborum Apostoli. *Desidero enim videre vos, ut aliquid impertiar vobis gratiæ spiritualis ad confirmandos vos, id est, simul consolari in vobis, per eam quæ invicem est, fidem vestram atque meam*[92], communicare nos res nostras cum iis qui nobis conjunctissimi sunt, quique tum fidei tum prudentiæ specimen dederunt, necesse esse arbitramur : ut aut quod erroneum est, corrigatur, aut quod recte factum est, stabiliatur, sicque effugiamus nos memoratum jam judicium, quod adversum eos qui in seipsis prudentes sunt, prolatum est.

ΕΡΩΤΗΣΙΣ ΣΚΗʹ.

Εἰ ἐπὶ παντὶ πράγματι πληροφορεῖν χρὴ τὸ θέλημα τῶν σκανδαλιζομένων, ἢ ἔστι τινὰ, ἐφ' ὧν (31) οὐ δεῖ προσποιεῖσθαι, κἂν τινες σκανδαλίζωνται.

ΑΠΟΚΡΙΣΙΣ.

Σαφῆ τὴν ἐν τούτοις διαφορὰν ἐν τῷ ἰδίῳ τόπῳ ἐπερωτηθέντες ἐδηλώσαμεν, καὶ τὴν περὶ τούτου ἀκρίβειαν, ὡς δυνατὸν ἡμῖν, παραδεδώκαμεν.

492 INTERROGATIO CCXXVIII.

Utrum voluntas eorum qui scandalizantur, in omni re prorsus facienda sit, an potius sint quædam, in quibus simulatione utendum non sit, etiamsi scandalum patiantur nonnulli.

RESPONSIO.

Manifestum quoddam in his discrimen ostendimus, cum interrogati sumus suo loco, et maxima qua potuimus cura, ea de re disseruimus.

[86] I Cor. IV, 12. [87] Rom. XII, 21. [88] Isa. XL, 1, apud LXX. [89] Rom. I, 11, 12. [90] II Cor. VII, 6. [91] Isa. V, 21. [92] Rom. I, 11, 12.

(27) Vocula πρός inepte in editis omissa fuerat : sed eam ex veteribus multis libris restituimus.

(28) Editi et Reg. secundus ἐν πληροφορίᾳ τοῦ ἀρέσκοντος Θεῷ γενόμενον, παρ' ἑαυτῷ. Reg. primus ἐν πληροφορίᾳ τὸ ἀρέσκον Θεῷ γινόμενον ἐν ἑαυτῷ. Reg. tertius ut in contextu.

(29) Codex Colb. τῆς τοῦ Κυρίου.

(30) Reg. primus ἀνατίθεσθαι ὑμᾶς.

(31) Editi ἀφ' ὧν. At quatuor mss. ἐφ' ὧν. Nec ita multo post duo mss. cum Voss. καὶ τὴν ἐν τούτοις ἀκρ.

INTERROGATIO CCXXIX.

An oporteat vetitas actiones citra verecundiam omnibus detegere, aut aliquibus duntaxat, et quinam hi sint.

RESPONSIO.

Servanda est ratio eadem in peccatorum confessione, quæ in detegendis corporis morbis adhibetur. Quemadmodum igitur corporis morbos non omnibus patefaciunt homines, neque quibusvis, sed iis qui horum curandorum periti sunt : ita fieri quoque debet peccatorum confessio, coram iis qui curare hæc possint, prout scriptum est : Vos qui fortes estis, infirmitates debilium portate [93]; hoc est, cura ac diligentia vestra tollite.

INTERROGATIO CCXXX.

Quid sit cultus, et quis sit rationalis cultus [94].

RESPONSIO.

Cultus est, ut opinor, intenta, perpetuaque, nec interrupta ejus qui colitur, cultura : sed discrimen quod interest rationalem inter et irrationalem cultum, declarat nobis Apostolus, cum ait, modo quidem : *Scitis quod cum gentes essetis, ad simulacra muta, prout ducebamini, ibatis* [95] ; modo vero : *Exhibete corpora vestra hostiam viventem, sanctam, Deo placentem, rationabile obsequium vestrum* [96]. Qui enim it, prout ducitur, reddit cultum irrationalem : siquidem non præeunte ratione, sed suo impetu atque voluntate impulsus, ducentis arbitrio quoquoversum ducitur, ac etiam præter sententiam fertur : qui vero ratione sana et consilio bono, multaque cura semper et ubique id quod Deo placet, spectat et peragit, ab eo conficitur mandatum rationalis cultus, juxta eum qui dixit : *Lucerna pedibus meis lex tua, et lumen semitis meis* [97] ; ac rursus : *Consilium meum, justificationes tuæ* [98].

493 INTERROGATIO CCXXXI.

Si frater inique se gerat in me et inimicus sit mihi, aut aliquando sacerdos etiam, an liceat mihi data de inimicis præcepta etiam erga illum servare.

RESPONSIO.

Nullum Dominus in traditis de inimicis mandatis, neque inimici, neque inimicitiæ discrimen expressit : quin potius in iis, quæ cæteris gradu præstant, idem peccatum gravius esse indicavit, cum ad ipsos dixit : *Quid autem vides festucam in oculo fratris tui, trabem vero in oculo tuo non vides* [99]?

A

ΕΡΩΤΗΣΙΣ ΣΚΘ'.

Εἰ χρὴ τὰς ἀπηγορευμένας πράξεις ἀνεπαισχυντότερον ἐξαγορεύειν πᾶσιν, ἢ τισί· καὶ ποίοις τούτοις.

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ ἐξαγόρευσις τῶν ἁμαρτημάτων τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει ἡ ἐπίδειξις τῶν σωματικῶν παθῶν. Ὡς οὖν τὰ πάθη τοῦ σώματος οὐ πᾶσιν ἀποκαλύπτουσιν οἱ ἄνθρωποι, οὔτε τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς ἐμπείροις τῆς τούτων θεραπείας (32)· οὕτω καὶ ἡ ἐξαγόρευσις τῶν ἁμαρτημάτων γίνεσθαι ὀφείλει, ἐπὶ τῶν δυναμένων θεραπεύειν, κατὰ τὸ γεγραμμένον· Ὑμεῖς οἱ δυνατοὶ, τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζετε· τουτέστι, αἴρετε διὰ τῆς ἐπιμελείας (33)

ΕΡΩΤΗΣΙΣ ΣΛ'.

B *Τί ἐστι λατρεία, καὶ τίς ἐστιν ἡ λογικὴ λατρεία.*

ΑΠΟΚΡΙΣΙΣ

Λατρεία μὲν ἐστιν, ὡς λογίζομαι, ἡ συντεταμένη (34), καὶ διηνεκὴς, καὶ ἀμετεώριστος περὶ τὸ λατρευόμενον θεραπεία· τὴν δὲ διαφορὰν τῆς λογικῆς λατρείας καὶ τῆς ἀλόγου παρίστησιν ἡμῖν ὁ Ἀπόστολος εἰπὼν, ποτὲ μέν· *Οἴδατε, ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι*· ποτὲ δέ· *Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.* Ὁ μὲν γὰρ, ὡς ἂν ἄγηται, ἀπαγόμενος (35), ἄλογον λατρεύει λατρείαν, ἅτε μὴ ὑπὸ λόγου καθηγουμένου, ἰδίᾳ ὁρμῇ καὶ (36) προθέσει κινούμενος, τῇ δὲ τοῦ ἄγοντος ἐξουσίᾳ, πρὸς ὅπερ ἂν ἄγηται, καὶ ὡς οὐ θέλει, φερόμενος· ὁ δὲ μετὰ λόγου C ὑγιοῦς καὶ βουλῆς ἀγαθῆς σὺν πολλῇ φροντίδι τὸ ἀρεστὸν τῷ Θεῷ πάντοτε καὶ πανταχοῦ σκοπούμενος (37) καὶ κατορθῶν, οὗτος πληροῖ τὴν ἐντολὴν τῆς λογικῆς λατρείας, κατὰ τὸν εἰπόντα· *Λύχνος τοῖς ποσί μου ὁ νόμος σου* (38), *καὶ φῶς ταῖς τρίβοις μου*· καὶ πάλιν· *Καὶ ἡ συμβουλία μου τὰ δικαιώματά σου.*

ΕΡΩΤΗΣΙΣ ΣΛΑ'.

Ἐὰν ἀδελφὸς πονηρεύηται εἰς ἐμὲ καὶ ἐχθραίνῃ μοι, ἢ ἐνίοτε καὶ ἱερεὺς, εἰ ἔξεστί μοι τὰς δεδομένας μοι περὶ ἐχθροῦ ἐντολὰς καὶ ἐπ' αὐτῷ (39) *φυλάσσειν.*

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Κύριος ἐν ταῖς περὶ ἐχθρῶν ἐντολαῖς, οὔτε ἐχθροῦ οὔτε ἔχθρας διαφορὰν ᾐνίξατο· μᾶλλον δὲ ἐπὶ τῶν ὑπερεχόντων βαθμῷ (40) τὸ αὐτὸ ἁμάρτημα D βαρύτερον εἶναι ὡρίσατο, εἰπὼν πρὸς αὐτούς· *Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατα-*

[93] Rom. xv, 1. [94] Rom. xii, 1. [95] I Cor. xii, 2. [96] Rom. xii, 1. [97] Psal. cxviii, 105. [98] ibid. 24. [99] Matth. vii, 3.

(32) Vossii vetus liber et Reg. primus τῆς τούτων ἐπιμελείας καὶ θεραπείας. Codex Colb. διὰ τῆς τούτων ἐπιμελείας.

(33) Reg. primus αἴρετε διὰ τῆς θεραπείας.

(34) Editi συντεταγμένη. Codex Combef. et alii tres συντεταμένη. Mox Vossii vetus liber περὶ τὸν λατρευόμενον λατρεία.

(35) Codex Voss. ἄγηται, ἀπολογούμενος.

(36) Editio Paris. ὁρμῇ δὲ καί. Vocula δέ neque in aliis editionibus, neque in veteribus libris legitur.

(37) Editi et Reg. secundus φροντίδι τὰ τῷ... δοκοῦντα σκοπούμενος. Reg. tertius et Colb. ut in contextu. Reg. primus pro ἀρεστόν habet ἀρέσκον : sed in reliquis consentit cum duobus his quos mox dixi libris.

(38) Codex Colb. et Voss. ὁ λόγος σου. Unde Vulgata, *Lucerna pedibus meis verbum tuum*. Mox Reg. primus αἱ συμβουλίαι.

(39) Veteres duo libri ἐπ' αὐτοῦ. Editi ἐπ' αὐτῷ.

(40) Editi et Reg. secundus ὑπερεχόντων βαθμῶν, malo. Alii tres mss. βαθμῷ, bene.

νοεῖς; Μάλιστα οὖν ἐπὶ τῶν τοιούτων καὶ τῶν δοκούντων εἶναι ἐνδοξοτέρων, σπουδῆς χρεία καὶ ἐπισκέψεως· ἵνα καὶ τὴν ὀφειλομένην ἐπιμέλειαν αὐτῶν (41), εἴτε ἐν παρακλήσει, εἴτε ἐν ἐλέγχῳ μετὰ τῆς προσηκούσης μακροθυμίας ποιησώμεθα, καὶ τὰ λοιπὰ πάντα, κατὰ τὴν τοῦ Κυρίου ἐντολὴν, ἐπ' αὐτῶν παραφυλάξαντες, ἀνυπαιτίους ἑαυτοὺς καὶ ἐν τούτῳ τῷ μέρει φυλάξωμεν.

A Maxime igitur in talibus et in iis qui videntur esse præstantiores, opus est studio ac consideratione, ut et debitam curam pro eis sive in consolando sive in redarguendo cum convenienti lenitate suscipiamus, et reliquis omnibus, ex Domini mandato, erga ipsos observatis, nosmetipsos inculpatos in hac quoque parte servemus.

ΕΡΩΤΗΣΙΣ ΣΛΒ'.

Ἐάν τις, ἀδικηθεὶς ὑπό τινος (42), *μηδενὶ ἀνάθηται, λόγῳ μακροθυμίας καὶ ἀνεξικακίας, δόξῃ δὲ τῷ Θεῷ ἀποδιδόναι τὸ κρῖμα, εἰ κατὰ Κύριον ποιεῖ.*

INTERROGATIO CCXXXII.

Si quis ab aliquo injuria affectus, nemini id referat, lenitatis et patientiæ gratia, et Deo relinquere judicium videatur, an secundum Dominum faciat.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου εἰπόντος, ποτὲ μὲν, *Ἀφίετε εἴ τι ἔχετε κατά τινος*· ποτὲ δὲ, *Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. Ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθῇ πᾶν* (43) *ῥῆμα. Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ Ἐκκλησίᾳ. Ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης*· τῆς μὲν μακροθυμίας καρπὸν ἐπιδείκνυσθαι χρὴ, τῷ Θεῷ τὴν προσευχὴν ὑπὲρ τοῦ ἠδικηκότος ἐξ ἀληθινῆς διαθέσεως προσάγοντα καὶ λέγοντα· *Κύριε, μὴ στήσῃς αὐτῷ τὴν ἁμαρτίαν*, ἵνα μὴ, ὡς ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος γένηται (44) τῇ κρίσει· τὴν δὲ παράκλησιν τῷ ἠδικηκότι, καὶ τὸν ἔλεγχον ἀποδιδόναι ἀκόλουθον, ὅπως κἀκεῖνον τῆς ὀργῆς τῆς ἐρχομένης ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας ἐλευθερώσῃ. Ἐὰν δὲ ἀμελήσῃ καὶ λόγῳ δῆθεν τῆς ἰδίας μακροθυμίας ἐφησυχάσῃ, διπλῆν ἁμαρτίαν ἁμαρτάνει· ὅτι τε αὐτὸς (45) παραβαίνει τὴν ἐντολὴν τὴν λέγουσαν, *Ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου, καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν*, καὶ κοινωνὸς τοῦ ἁμαρτάνοντος διὰ τῆς σιωπῆς γίνεται· καὶ ὅτι τὸν δυνάμενον ἴσως κερδηθῆναι διὰ τῶν ἐλέγχων, καθὼς καὶ ὁ Κύριος διετάξατο, τοῦτον ἀφίησιν (46) ἐναπολέσθαι τῷ κακῷ.

RESPONSIO.

B Cum Dominus dixerit, modo quidem: *Dimittite si quid habetis adversus aliquem* [1]; modo vero: *Si peccaverit in te frater tuus, vade, corripe eum inter te et ipsum solum. Si te audierit, lucratus es fratrem tuum; si autem non audierit, adhibe tecum adhuc unum vel duos, ut in ore duorum vel trium testium stet omne verbum. Quod si non audierit eos, dic Ecclesiæ. Si autem Ecclesiam quoque non audierit, sit tibi sicut ethnicus et publicanus* [2]; is lenitatis atque patientiæ fructum ostendere debet, ita ut pro eo qui injuriam intulit, preces ex vero affectu offerat Deo, dicatque: *Domine, ne statuas illi peccatum* [3], ut ne, veluti suo fratri iratus, judicio fiat obnoxius. Admoneri autem et redargui par est injuriæ auctorem, ut et iste ab ira quæ super contumaciæ C filios venit, liberetur. Quod si neglexerit, conticueritque, exercendæ scilicet suæ patientiæ causa, admittit duplex peccatum: et quod ipse violat mandatum illud: *Arguendo argues proximum tuum, et non accipies propter eum peccatum* [4], et hoc silentio peccati fit particeps: et quod quem poterat fortasse redarguendo lucrari, velut Dominus præcepit [5], hunc sinit in malo perire.

ΕΡΩΤΗΣΙΣ ΣΛΓ'.

Ἐκ πάντων τῶν κατορθωμάτων ἐὰν ἓν λείπῃ τινὶ, εἰ διὰ τοῦτο οὐ σώζεται.

494 INTERROGATIO CCXXXIII.

Ex omnibus recte factis si vel unum desit alicui: num propterea salutem non adipiscitur.

ΑΠΟΚΡΙΣΙΣ.

Πολλῶν ὄντων ἔν τῇ τε (47) Παλαιᾷ καὶ ἐν τῇ Καινῇ Διαθήκῃ τῶν δυναμένων περὶ τούτου πληροφορῆσαι ἡμᾶς, ἀρκεῖν ἡγοῦμαι τῷ πιστῷ καὶ μόνον τὸ ἐπὶ τῷ Πέτρῳ κρῖμα· ὃς ἐπὶ τοσούτοις καὶ τηλικούτοις κατορθώμασι, καὶ τοιούτοις τοῖς παρὰ

RESPONSIO.

D Cum multa sint tum in Veteri, tum in Novo Testamento, quæ nos possint de hoc certiores facere, tamen satis esse duco cuivis fideli vel illud unum de Petro judicium, qui post tot et tanta præclare gesta, postque tales beatitudines a Domino

[1] Marc. XI, 25. [2] Matth. XVIII, 15-17. [3] Act. VII, 59. [4] Lev. XIX, 17, apud LXX. [5] Matth. XVIII, 15.

(41) Reg. primus et Voss. ἐπιμέλειαν αὐτῷ. Mox mss. tres ἐν ἐλέγχῳ. Vocula ἐν in editis desideratur.

(42) Vossii vetus liber cum aliis duobus παρά τινος. Paulo post Reg. primus εἰ κατὰ Θεὸν ποιεῖ.

(43) Reg. primus σταθῇ πᾶν. Alii mss. et editi σταθήσεται.

(44) Codex Colb. ἔνοχος ἔσται.

(45) Antiqui duo libri ὅτι καὶ αὐτός. Ibidem editi παραβαίνει τὴν λέγουσαν ἐντολήν. Reg. primus παραβαίνει τὴν ἐντολὴν τὴν λέγουσαν. Haud longe vox ἐλεγμῷ addita est ex tribus codicibus.

(46) Veteres duo libri ἐναφίησιν. Ibidem Reg. secundus et editi ἐναπολέσθαι τῷ κόσμῳ, *in mundo perire*. Alii tres mss. τῷ κακῷ, rectius.

(47) Voculam τε addidimus ex priscis duobus libris.

promissas, laudesque ab eodem tributas, ubi in uno duntaxat visus est non obedire, atque hoc neque ob segnitiem, neque ob contemptum, sed propter reverentiam et honorem Domini, ob id solum audit : *Si non lavero te, non habes partem mecum* [6].

A τοῦ (48) Κυρίου μακαρισμοῖς καὶ ἐπαίνοις, ἵνα ἐν ἑνὶ μόνῳ δόξῃ παρακούειν, καὶ τοῦτο οὔτε διὰ ὄκνον, οὔτε διὰ καταφρόνησιν, ἀλλὰ δι' εὐλάβειαν καὶ τιμὴν τὴν περὶ τὸν Κύριον, ἐπὶ τούτῳ μόνῳ ἀκούει· *Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ.*

INTERROGATIO CCXXXIV.

Quomodo quis mortem Domini annuntiat.

RESPONSIO.

Sicut Dominus his verbis docuit : *Si quis venit ad me, abneget semetipsum, et tollat crucem suam* [7]. Quin et Apostolus idipsum declaravit, cum hoc confessus est : *Mihi mundus crucifixus est, et ego mundo* [8]. Quod quidem jam ante spopondimus in ipso baptismo : *Quicunque enim*, inquit, *baptizati sumus in Christo Jesu, in morte ipsius baptizati sumus* [9]; quibus hæc subjungit, interpretans quid sit in morte Domini baptizari : *Vetus homo noster simul crucifixus est, ut destruatur corpus peccati, ut nos ultra non serviamus peccato* [10] : quin potius ut omni vitæ studio puri, efficiamur digni testimonio Apostoli, qui dixit : *Mortui enim estis, et vita vestra est abscondita cum Christo in Deo* [11] : adeo ut confisi libere dicere possimus : *Venit princeps mundi hujus, et in me non habet quidquam* [12].

ΕΡΩΤΗΣΙΣ ΣΛΔ'.

Πῶς τὸν θάνατόν τις τοῦ Κυρίου καταγγέλλει (49).

ΑΠΟΚΡΙΣΙΣ.

Ὡς ὁ Κύριος ἐδίδαξεν εἰπών· *Εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ.* Καὶ ὁ Ἀπόστολος παρέστησεν ὁμολογήσας τὸ, *Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.* Ὅπερ ἐν αὐτῷ τῷ βαπτίσματι B προλαβόντες συνεθέμεθα· *Ὅσοι γὰρ*, φησὶν, *ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν*· οἷς ἐπιφέρει, ἑρμηνεύων τί ἐστι τὸ εἰς τὸν θάνατον τοῦ Κυρίου βαπτισθῆναι, ὅτι *Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ*· πάσης δὲ τῆς πρὸς τὸ ζῆν προσπαθείας καθαρεύοντας, ἀξίους γενέσθαι τῆς μαρτυρίας τοῦ Ἀποστόλου, εἰπόντος· *Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν* (50) *κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ*· ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν μετὰ παῤῥησίας· *Ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν.*

INTERROGATIO CCXXXV.

An expediat multa ex Scripturis ediscere.

RESPONSIO.

Duo cum sint magis generales ordines, et eorum qui aliis præficiuntur, et eorum quorum partes sunt morem gerere et obedire, secundum diversa dona, arbitror, cui præfectura et cura plurium concredita est, eum quæ omnibus congruunt, scire ac ediscere debere, ut cunctos doceat voluntates Dei, singulisque ea quæ ad ipsorum officium spectant, ostendat. At vero omnes alii memores Apostoli, qui dixit : *Non plus sapere, quam oportet sapere, sed sapere ad sobrietatem, unicuique, sicut Deus divisit* [13], officium suum diligenter discant, perficiantque, nihil amplius curantes, ut digni evadant voce Domini, qui ait : *Agedum, serve bone, super pauca fuisti fidelis, super multa te constituam* [14].

ΕΡΩΤΗΣΙΣ ΣΛΕ'.

C *Εἰ συμφέρει πολλὰ ἐκμανθάνειν ἐκ τῶν Γραφῶν* (51).

ΑΠΟΚΡΙΣΙΣ.

Δύο ταγμάτων καθολικωτέρων ὄντων, καὶ τῶν μὲν τὴν προστασίαν πεπιστευμένων, τῶν δὲ εἰς εὐπείθειαν καὶ ὑπακοὴν τεταγμένων, ἐν διαφόροις χαρίσμασι, λογίζομαι, ὅτι ὁ μὲν τὴν προστασίαν καὶ ἐπιμέλειαν τῶν πλειόνων ἐγκεχειρισμένος τὰ πάντων (52) εἰδέναι καὶ ἐκμανθάνειν ὀφείλει, ἵνα τοὺς πάντας διδάσκῃ τὰ θελήματα τοῦ Θεοῦ, ἑκάστῳ ὑποδεικνὺς τὰ αὐτοῦ ἐπιβάλλοντα· τῶν δὲ ἄλλων ἕκαστος, μεμνημένος τοῦ Ἀποστόλου εἰπόντος, *Μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ, ὡς ὁ Θεὸς ἐμέρισε*, τὰ ἑαυτῷ ἐπιβάλλοντα σπουδαίως μανθανέτω καὶ D ποιείτω, μηδὲν πλέον περιεργαζόμενος, ἵνα γένηται ἄξιος τῆς φωνῆς τοῦ Κυρίου εἰπόντος· *Δεῦρο, ἀγαθὲ δοῦλε· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω.*

[6] Joan. XIII, 8. [7] Matth. XVI, 24. [8] Galat. VI, 14. [9] Rom. VI, 3. [10] ibid. 6. [11] Coloss. III, 3. [12] Joan. XIV, 30. [13] Rom. XII, 3. [14] Matth. XXV, 21.

(48) Editi τοιούτοις παρὰ τοῦ. At mss. duo τοιούτοις τοῖς παρὰ τοῦ. Illa recte facta, de quibus hic agitur, non generatim sumenda sunt pro quibuslibet recte factis, sed speciatim pro iis quæ præcipiuntur ac jubentur. Uno verbo, intelligenda sunt ipsa præcepta, non mera consilia.

(49) Editi καταγγελεῖ, *annuntiabit*. At quatuor mss. καταγγέλλει.

(50) Reg. primus et Colb. ἡ ζωὴ ἡμῶν, *vita nostra*. Mox Reg. primus ἐν ἐμοὶ εὑρήσει οὐδέν. Codex Voss. εὑρίσκει.

(51) Editi παρὰ τῶν Γραφῶν. Reg. primus ἐκ τῶν ἁγίων Γραφῶν. Alii tres mss. ut in contextu.

(52) Reg. tertius et Colb. τὰ πάντα, *omnia scire*. Alii duo mss. et editi τὰ πάντων.

ΕΡΩΤΗΣΙΣ ΣΛϚ'.

A

Ὅσοι κατηξιώθησαν τὰ τέσσαρα Εὐαγγέλια ἐκμαθεῖν, πῶς ὀφείλουσι τὴν χάριν δέξασθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου ἀποφηναμένου, ὅτι *Ὧ παρέθεντο* (53) *πολὺ, περισσότερον ἀπαιτήσουσιν αὐτόν*· περισσοτέρως φοβεῖσθαι καὶ σπουδάζειν ὀφείλουσιν, καθὼς ὁ Ἀπόστολος ἐδίδαξεν εἰπών· *Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι.* Τοῦτο δὲ γίνεται, ἐὰν πεισθῶμεν (54) τῷ Κυρίῳ λέγοντι· *Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά*

ΕΡΩΤΗΣΙΣ ΣΛΖ'.

Ποταπὴ ψυχὴ κατευθύνεται πρὸς τὸ θέλημα τοῦ Θεοῦ. B

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ καταδεξαμένη τὴν πρότασιν τοῦ (55) Κυρίου εἰπόντος· *Εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.* Ἐὰν γάρ τις μὴ προκατορθώσῃ τὸ ἀπαρνήσασθαι ἑαυτὸν, καὶ τὸ ἆραι τὸν σταυρὸν, πολλὰ ἐξ ἑαυτοῦ εὑρίσκει προϊὼν τὰ τοῦ (56) ἀκολουθεῖν ἐμπόδια.

ΕΡΩΤΗΣΙΣ ΣΛΗ'.

Εἰ δυνατόν ἐστι τὸ ἀδιαλείπτως ψάλλειν, ἢ ἀναγινώσκειν, ἢ σπουδαιολογεῖσθαι περὶ τῶν ῥημάτων τοῦ Θεοῦ, καὶ διάστημα μὴ γίνεσθαι καθόλου διὰ τὴν ἐπισυμβαίνουσάν τισιν ἀνάγκην τῶν ῥυπαρωτέρων τοῦ σώματος χρειῶν (57). C

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο ἡμῖν ὁ Ἀπόστολος κανονίζει εἰπών· *Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.* Ὥστε δεῖ μᾶλλον τῆς εὐσχημοσύνης καὶ τῆς εὐταξίας φροντίζειν κατά τε καιρὸν καὶ τόπον.

ΕΡΩΤΗΣΙΣ ΣΛΘ'.

Τίς ὁ θησαυρὸς ὁ ἀγαθὸς, καὶ τίς ὁ πονηρός.

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ μὲν φρόνησις πάσης τῆς ἐν Χριστῷ εἰς δόξαν Θεοῦ ἀρετῆς θησαυρὸς ἀγαθός ἐστιν· ἡ δὲ φρόνησις τῆς κακίας τῶν ἀπηγορευμένων ὑπὸ τοῦ Κυρίου θησαυρὸς πονηρός ἐστιν· ἐξ ὧν προφέρεται, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, ἐν τοῖς οἰκείοις ἑκατέρων ἔργοις τε καὶ λόγοις, ἤτοι πονηρὰ, ἤτοι ἀγαθά. D

495 INTERROGATIO CCXXXVI.

Quicunque digni habiti sunt, qui discerent quatuor Evangelia, quomodo hanc debent suscipere gratiam.

RESPONSIO.

Cum Dominus hanc sententiam protulerit, *Cui commendaverunt multum, plus repetent ab eo* [15], amplius timere ac solliciti esse debent, quemadmodum Apostolus docuit, his verbis: *Adjuvantes autem etiam exhortamur, ne in vacuum gratiam Dei recipiatis* [16]. Hoc autem fit, si Domino credamus dicenti: *Si hæc scitis, beati estis si feceritis ea* [17].

INTERROGATIO CCXXXVII.

Quinam animus ad Dei dirigatur voluntatem.

RESPONSIO.

Is qui amplexus est sententiam Domini, qui dixit: *Si quis venit ad me, abneget semetipsum, et tollat crucem suam, et sequatur me* [18]. Nisi enim quis illud prius assecutus sit, ut abneget semetipsum et tollat crucem suam; multa, quæ quominus sequatur, impediant, in processu ex seipso nanciscitur

INTERROGATIO CCXXXVIII

Nunquid fieri possit, ut quis sine ulla intermissione psallat, legatve, aut seria tractet de Dei verbis, nullumque omnino sit medium temporis spatium, cum nonnullis contingat, ut sordidioribus corporis necessitatibus parere cogantur.

RESPONSIO.

De hac re Apostolus nobis regulam præscribit, cum dixit: *Omnia honeste et secundum ordinem fiant* [19]. Quamobrem oportet magis tum pro tempore tum pro loco, honestatis ac recti ordinis curam habere.

INTERROGATIO CCXXXIX.

Quis sit bonus thesaurus, et quis malus.

RESPONSIO.

Prudentia quidem, quæ circa omnem in Christo virtutem versatur ad gloriam Dei, bonus thesaurus est: prudentia vero, quæ circa rerum a Domino prohibitarum malignitatem versatur, malus est thesaurus: ex quibus, juxta Domini vocem [20], in propriis utriusque factis ac verbis, sive bona, sive mala proferuntur

[15] Luc. XII, 48. [16] II Cor. VI, 1. [17] Joan. XIII, 17. [18] Matth. XVI, 24. [19] I Cor. XIV, 40. [20] Matth. XII, 35.

(53) Editi et Reg secundus ᾧ παρέθετο. Alii tres mss. παρέθεντο. Mox Reg. primus et Voss. περισσότερον φοβεῖσθαι.

(54) Rursus Reg. primus et Voss. ἐὰν πιστεύσωμεν.

(55) Editi et Reg. secundus καταδεξαμένη τὴν προστασίαν τοῦ, male. Codex Colb. καταδεξαμένη τὴν πρόσταξιν, melius. Regii primus et tertius καταδεξαμένη τὴν πρότασιν, optime. Aliquanto post duo mss. σταυρὸν αὐτοῦ, καὶ τότε ἐπάγοντος τὸ Ἀκολουθείτω μοι. Subinde Reg. primus κατορθώσῃ.

(56) Unus ms. εὑρίσκει προσιόντα τοῦ. Reg. tertius et Colb. προϊόντα τοῦ. Codex Voss. προσιών. Alius ms. et editi προϊών.

(57) Codex Colb. ῥυπαρωτέρων κατὰ τὸ σῶμα χρειῶν.

496 INTERROGATIO CCXL.

Cur dicta sit lata porta, et cur via, quæ ducit ad interitum, appellata sit spatiosa [21].

RESPONSIO.

Dominus ob multam benignitatem, earum rerum, quæ notæ sunt, nominibus vocabulisque usus est ad declaranda veritatis dogmata. Quemadmodum igitur in terra declinatio a recto itinere, magnam habet latitudinem : sic, inquit, qui aberrat a via ducente ad regnum cœlorum, in multa erroris latitudine deprehenditur. Has autem voces, *lata* et *spatiosa*, idem valere arbitror. Nam *spatiosum* etiam apud externæ doctrinæ peritos *latum* dicitur. Spatium igitur, id est, locus erroris, late extenditur : cujus finis est interitus.

A ΕΡΩΤΗΣΙΣ ΣΜ'.

Κατὰ τί πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς εἴρηται, ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν.

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ Κύριος διὰ πολλὴν φιλανθρωπίαν τοῖς ὀνόμασι καὶ ῥήμασι τῶν γινωσκομένων (58) πραγμάτων κέχρηται πρὸς παράστασιν τῶν ἀληθείας δογμάτων. Ὥσπερ οὖν τῆς κατὰ γῆν εὐθείας ὁδοῦ ἡ παρέκβασις πολλὴν πλατύτητα ἔχει· οὕτω, φησίν, ὁ ἐκβαίνων τῆς ὁδοῦ τῆς ἀγούσης εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐν πολλῷ πλάτει τῆς πλάνης εὑρίσκεται. Τὸ δὲ *πλατεῖα* καὶ *εὐρύχωρος* λογίζομαι, ὅτι ταυτόν ἐστιν. Τὸ γὰρ *εὐρὺ* καὶ παρὰ τοῖς ἔξω πεπαιδευμένοις *πλατὺ* λέγεται. Ὁ οὖν χῶρος, τουτέστιν ὁ B τόπος τῆς πλάνης, πλατύς ἐστιν (59), ἧς τὸ τέλος ἀπώλεια.

INTERROGATIO CCXLI.

Quomodo angusta est porta, et arcta via, quæ ducit ad vitam : et quomodo quis per ipsam ingreditur [22].

RESPONSIO.

Rursum hoc etiam loco *angustum* et *arctum* nequaquam res inter se diversas significant : sed *arctum* indicat aliquid valde angustum, cum via videlicet ita coarctata est, ut prematur, hoc est, in angustum utrinque concludatur viator, nulla declinatione sive ad dexteram, sive ad sinistram, periculo vacante. Velut in ponte, quisquis deflectit in alterutram partem, ab amne undelibet subterfluente excipitur. Quapropter David dicit : *Juxta iter scandalum posuerunt mihi* [23]. Itaque qui per angustam et arctam viam ingredi sibi proposuit, eum cavere oportet, ne ullo modo deflectat ac declinet a mandatis Domini, perficiens quod scriptum est : *Ne declines ad dextram, neque ad sinistram* [24].

ΕΡΩΤΗΣΙΣ ΣΜΑ

Πῶς στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν· καὶ πῶς δι' αὐτῆς τις εἰσέρχεται.

ΑΠΟΚΡΙΣΙΣ.

Πάλιν καὶ ἐνταῦθα τὸ *στενὸν* καὶ *τεθλιμμένον* οὐκ ἄλλο καὶ ἄλλο τι δηλοῖ, ἀλλὰ τῆς στενότητος τὴν ἐπίτασιν τὸ *τεθλιμμένον* παρίστησιν· ἐπὶ τοσοῦτον τῆς ὁδοῦ ἀπεστενωμένης, ὡς θλίβεσθαι, τουτέστι στενοχωρεῖσθαι ἑκατέρωθεν τὸν ὁδεύοντα, παρεκβάσεως πάσης ἐπικινδύνου οὔσης, εἴτε δεξιᾷ, εἴτε ἀριστερᾷ (60)· ὡς ἐπὶ γεφύρας, πάντοθεν τοῦ ὑποῤῥέοντος ποταμοῦ ὑποδεχομένου τὸν ἐκκλίνοντα. C Διό φησιν ὁ Δαβίδ· *Ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι* (61). Δεῖ οὖν τὸν διὰ τῆς στενῆς καὶ τεθλιμμένης εἰσελθεῖν εἰς τὴν ζωὴν προθέμενον φυλάσσειν ἑαυτὸν ἀπὸ πάσης παρεκβάσεως καὶ παρεκτροπῆς τῶν ἐντολῶν τοῦ Κυρίου, πληροῦντα τὸ γεγραμμένον· *Μὴ ἐκκλίνῃς εἰς δεξιὰ, μηδὲ ἀριστερά.*

INTERROGATIO CCXLII.

Quid sibi vult illud : « Per fraternam charitatem ad mutuo vos diligendos propensi [25]. »

RESPONSIO.

Studium illud quod e propensione ortum habet, de intento amore dicitur, cum scilicet is, qui diligitur, cupido ardentique affectu ab amante amatur. Ne igitur fraternus amor in superficie solum appareat, sed in animo insitus sit et fervidus, dictum est illud : *Per fraternam charitatem ad mutuo vos diligendos propensi.*

ΕΡΩΤΗΣΙΣ ΣΜΒ'.

Τί ἐστι τὸ, « Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι. »

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ στοργὴ κατ' ἐπίτασιν τῆς φιλίας λέγοιτο ἂν ἐν (62) ἐπιθυμίᾳ καὶ διαθέσει διαπύρῳ τοῦ ἀγαπῶντος περὶ τὸν ἀγαπώμενον. Ἵν' οὖν μὴ ἐπιπόλαιος ἡ D φιλαδελφία, ἐνδιάθετος δὲ καὶ διάπυρος ᾖ, εἴρηται τὸ, *Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι* (63).

[21] Matth. VII, 13. [22] ibid. 14. [23] Psal. CXXXIX, 6. [24] Deut. XVII, 11. [25] Rom. XII, 10.

(58) Editi ῥήμασι τῶν γινομένων. At mss. tres præter Voss. τῶν γινωσκομένων, rectius.

(59) Reg. primus ὁ τόπος τῆς πλατείας πλατύς ἐστιν.

(60) Unus ms. εἴτε εἰς δεξιὰ, εἴτε εἰς ἀριστερά. Mox duo mss. cum Voss. πάντοθεν τοῦ παραῤῥέοντος.

(61) Reg. primus et Colb. τὸν ἐκκλίνοντα. Διὰ τοῦτο γέγραπται· *Μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ, μηδὲ εἰς τὰ ἀριστερά.* Καὶ ὁ Δαβίδ φησιν· *Ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι*: quibus verbis in utroque codice terminatur responsio, et ita quoque in Vossii veteri libro legitur, nisi quod in eo omissum sit illud, Διὰ τοῦτο γέγραπται.

(62) Reg. primus τῆς φιλίας γένοιτ' ἂν ἐν. Aliquanto post idem ms. πρὸς τὸν ἀγαπώμενον.

(63) Vossii vetus liber et Reg. primus φιλόστοργοι, ἄοκνοι, σπουδαῖοι.

ΕΡΩΤΗΣΙΣ ΣΜΓ'.

Τί βούλεται λέγων (64) *ὁ Ἀπόστολος· « Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· » καίτοιγε ἀλλαχοῦ εἰπών· « Πᾶσα πικρία, καὶ θυμὸς, καὶ ὀργὴ ἀρθήτω ἀφ' ὑμῶν. »*

ΑΠΟΚΡΙΣΙΣ.

Κατὰ μίμησιν τοῦ Κυρίου νομίζω τὸν Ἀπόστολον ἐνταῦθα μεταχειρίσθαι τὸν λόγον. Ὥσπερ γὰρ ἐν τῷ Εὐαγγελίῳ ὁ Κύριος πρότερον εἰπών· *Ἐῤῥέθη τοῖς ἀρχαίοις* τόδε, εἶτα ἐπάγει· *Ἐγὼ δὲ λέγω ὑμῖν* τάδε· οὕτω καὶ ἐνταῦθα ὁ Ἀπόστολος, πρότερον μνημονεύσας τοῦ παλαιοῦ καὶ τοῖς τότε ῥηθέντος (65), *Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε*, ἐπιφέρει μετ' ὀλίγα τὸ παρ' ἑαυτοῦ ἡμῖν ἁρμόζον, εἰπών· *Πᾶσα πικρία, καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν.*

ΕΡΩΤΗΣΙΣ ΣΜΔ'.

Τί ἐστι τὸ, « Δότε τόπον τῇ ὀργῇ. »

ΑΠΟΚΡΙΣΙΣ.

Ἤτοι τὸ μὴ ἀντιστῆναι τῷ πονηρῷ, καθὼς γέγραπται, ἀλλὰ καὶ τῷ τύπτοντι ἐπὶ τὴν δεξιὰν σιαγόνα στρέψαι καὶ τὴν (66) ἄλλην, καὶ τὰ ἑξῆς· ἢ τὸ, *Ὅταν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην.*

ΕΡΩΤΗΣΙΣ ΣΜΕ'.

Τίς ἐστιν ὁ φρόνιμος ὡς ὁ ὄφις (67), *καὶ ἀκέραιος ὡς ἡ περιστερά.*

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ φρόνιμος μὲν ὡς ὁ ὄφις, ὁ μετὰ περισκέψεως καὶ κατανοήσεως τοῦ δυνατοῦ καὶ τῆς εὐοδίας πρὸς εὐπείθειαν τῶν ἀκουόντων τὴν διδασκαλίαν οἰκονομῶν· ἀκέραιος δὲ ὡς ἡ περιστερὰ, ὁ μήτε εἰς ἔννοιαν λαμβάνων τοῦ ἀμύνασθαι τὸν ἐπιβουλεύοντα, ἐπιμένων δὲ τῇ εὐεργεσίᾳ, κατὰ τὸ ὑπὸ τοῦ Ἀποστόλου προστεταγμένον, ὅτι *Ὑμεῖς δὲ μὴ ἐκκακεῖτε καλοποιοῦντες*. Ἐπὶ γὰρ τὸ κήρυγμα τοὺς μαθητὰς ἀποστέλλων ὁ Κύριος, ταῦτα αὐτοῖς ἐντέλλεται· ὅπου καὶ σοφίας ἦν χρεία πρὸς τὸ πεῖσαι, καὶ ἀνεξικακίας πρὸς τοὺς ἐπιβουλεύοντας· ἵνα, ὡς ἐκεῖ ὁ ὄφις ἔγνω καὶ προσώπῳ προσελθεῖν εὐαγωγοτέρῳ (68), καὶ πιθανῶς εἰπεῖν εἰς τὸ ἀποστῆσαι Θεοῦ, καὶ ὑπαγαγέσθαι τῇ ἁμαρτίᾳ· οὕτω καὶ ἡμεῖς καὶ πρόσωπον καὶ τρόπον καὶ καιρὸν (69) ἐπιλεγώμεθα, καὶ παντὶ τρόπῳ τοὺς λόγους οἰκονομῶμεν ἐν κρίσει, πρὸς τὸ ἀποστῆσαι τῆς ἁμαρτίας, καὶ ἐπαναγαγεῖν πρὸς Θεόν· τὴν δέ γε ὑπομονὴν ἐν τοῖς πειρασμοῖς κατορθώσωμεν εἰς τέλος, καθὼς γέγραπται.

497 INTERROGATIO CCXLIII.

Quid sibi vult Apostolus, cum ait: « Irascimini et nolite peccare: sol non occidat super iracundiam vestram [26]*: » cum tamen idem ipse alio in loco dicat: « Omnis amaritudo, et ira, et indignatio tollatur a vobis* [27]

RESPONSIO.

Arbitror Apostolum Domini exemplo ita hic locutum esse. Quemadmodum enim Dominus cum in Evangelio antea dixisset: *Dictum est antiquis* hoc, deinde subjungit: *Ego autem dico vobis* hoc [28]: sic Apostolus etiam hoc loco, antiqui illius præcepti veteribus illis olim dati, *Irascimini, et nolite peccare* [29], facta prius mentione, paulo post id, quod nobis convenit, a seipso infert his verbis: *Omnis amaritudo, et ira, et indignatio, et clamor tollatur a vobis* [30].

INTERROGATIO CCXLIV.

Quid est hoc: « Date locum iræ [31]. »

RESPONSIO.

Hoc est aut non resistere malo, uti scriptum est, sed et percutienti in dexteram maxillam obvertere etiam alteram [32], etc.: aut illud: *Cum autem persecuti vos fuerint in civitate ista, fugite in aliam* [33].

INTERROGATIO CCXLV.

Quis sit prudens ut serpens, et simplex sicut columba [34].

RESPONSIO.

Prudens quidem ut serpens is est, qui in doctrina tradenda ita se gerit, ut adhibita circumspectione, considerationeque, qua ratione quod docet et fieri, et facile fieri possit, omnia faciat, ut audientium animos ad auscultandum habeat paratos. Simplex vero ut columba, qui ne cogitat quidem de insidiatore ulciscendo, potiusque beneficia in illum conferre pergit, juxta præceptum Apostoli: *Vos autem nolite deficere benefacientes* [35]. Dominus enim, mittens discipulos ad prædicandum, hæc ipsis præscribit; ubi et sapientia opus erat ad persuadendum, et patientia erga insidiatores: ut quemadmodum illic novit serpens et vultu blandiore accedere, et modo suasorio loqui, quo a Deo abduceret, et manciparet peccato [36]; ita nos quoque et faciem et mores et tempus assumamus, et omnibus modis sermones nostros in judicio dispensemus [37], ut abducamus nos a peccato, et ad Deum reducamus. Cæterum ad finem usque servemus patientiam in tentationibus, velut scriptum est [38].

[26] Ephes. IV, 26. [27] ibid. 31. [28] Matth. V, 21, 22 et seqq. [29] Psal. IV, 5. [30] Ephes. IV, 31. [31] Rom. XII, 19. [32] Matth. V, 39. [33] Matth. X, 23. [34] ibid. 16. [35] II Thess. III, 13. [36] Genes. III, 1 seqq. [37] Psal. CXI, 5. [38] Matth. XXIV, 13.

(64) Reg. primus βούλεται λέγειν ὁ.
(65) Unus ms. cum Voss. καὶ τῶν τότε ῥηθέντων. Codex Combef. καὶ τοῖς τότε ῥηθεῖσιν.
(66) Reg. primus τῷ τύπτοντί σε... σιαγόνα, στρέψον αὐτῷ καὶ τήν.
(67) Vossii vetus liber et Reg. primus οἱ ὄφεις, et paulo post in duobus his codicibus ita rursus legitur.
(68) Reg. primus secunda manu προσελθεῖν εὐαγωγεστέρῳ.
(69) Antiqui nostri libri πρόσωπον καὶ τρόπον καὶ καιρόν. Vulgatæ tres editiones pro τρόπον habent τόπον. Nec ita multo infra, ubi in vulgatis tribus editionibus legitur ἀποστῆναι, in veteribus nostris libris scriptum invenimus ἀποστῆσαι.

498 INTERROGATIO CCXLVI.

Quid significat illud, « Charitas non indecore se gerit [39]. »

RESPONSIO.

Idem est ac si dicas, a proprio habitu non excidit. Charitatis autem habitus eæ sunt charitatis proprietates, quæ eodem in loco enumeratæ sunt ab Apostolo.

INTERROGATIO CCXLVII.

Cum Scriptura dicat : « Nolite gloriari, et nolite loqui excelsa [40] *: » item cum Apostolus aliquando ita confiteatur : « Quod loquor, non secundum Dominum loquor, sed quasi in insipientia, in hac substantia gloriationis* [41] *: » ac rursus : « Factus sum insipiens gloriando* [42] *: » alias vero gloriari sinat, cum dicit : « Qui gloriatur in Domino glorietur* [43]; *» quæ est gloriatio in Domino, et quæ est ea quæ vetita est.*

RESPONSIO.

Vehemens et necessarium Apostoli adversus vitia certamen aperte declaratur. Non enim hæc sui commendandi causa dicit, sed ut temeritatem arrogantiæ quorumdam ac fastum deprimat. Gloriatio autem in Domino est, cum quis recte facta non sibi ipsi, sed Domino ascribit, dicens : *Omnia possum in Christo qui me confortat* [44]. Vetita autem gloriatio potest duplici ratione considerari; vel juxta illud : *Laudatur peccator in desideriis animæ suæ* [45]; item : *Quid gloriaris in malitia, qui potens es* [46]? vel juxta illud : *Faciunt ut videantur ab hominibus* [47] : quandoquidem dum ob ea quæ faciunt, laudari volunt, in suis factis quodammodo gloriantur. Quin etiam qui ejusmodi sunt, sacrilegi etiam dici possunt, ut qui sibi Dei vindicent dona, et debitam Deo gloriam ad se rapiant.

INTERROGATIO CCXLVIII.

Si Dominus det sapientiam, et a facie ipsius oriatur cognitio et prudentia [48]; *item si per Spiritum alii datur sermo sapientiæ, alii vero sermo scientiæ* [49] *: quomodo id exprobrat Dominus discipulis : « Adhuc et vos sine intelligentia estis* [50]? *» et qua ratione Apostolus quosdam accusat velut intelligentia carentes* [51]?

RESPONSIO.

Si quis novit bonitatem Dei, qui vult omnes homines salvos fieri, et ad agnitionem veritatis venire [52], diligentiamque didicit Spiritus sancti in divisione atque efficacia donorum Dei, ei compertum est et notum, intelligentiæ tarditatem 499 non ex benefacientis segnitie, sed ex eorum in quos beneficia conferuntur incredulitate proficisci. Nec injuria reprehenditur qui intelligentiæ expers est, tanquam qui claudat oculos orto sole, ut in

A ΕΡΩΤΗΣΙΣ ΣΜϚ'.

Τί ἐστι τὸ (70), *« Ἡ ἀγάπη οὐκ ἀσχημονεῖ. »*

ΑΠΟΚΡΙΣΙΣ.

Ἴσον τῷ εἰπεῖν, τοῦ ἰδίου σχήματος οὐκ ἐκπίπτει. Σχῆμα δὲ ἀγάπης τὰ ὑπὸ τοῦ Ἀποστόλου ἐν τῷ αὐτῷ τόπῳ ἀπηριθμημένα τῆς ἀγάπης ἰδιώματα.

ΕΡΩΤΗΣΙΣ ΣΜΖ'.

Τῆς Γραφῆς λεγούσης· « Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλά· » καὶ τοῦ Ἀποστόλου ποτὲ μὲν ὁμολογοῦντος, ὅτι « Ὃ λαλῶ, οὐ κατὰ Κύριον λαλῶ, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως· » καὶ πάλιν· « Γέγονα ἄφρων καυχώμενος· » ποτὲ δὲ ἐπιτρέποντος, ὅτι « Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω· » τίς ἐστιν ἡ ἐν Κυρίῳ καύχησις, καὶ τίς ἡ ἀπηγορευμένη (71).

B ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ μὲν Ἀποστόλου ἡ κατ' ἀνάγκην πρὸς τὰ πάθη ἔνστασις εὔδηλος. Οὐ γὰρ ἵνα ἑαυτὸν συστήσῃ, ταῦτά φησιν, ἀλλ' ἵνα τὸ θράσος τῆς τινῶν ἀλαζονείας καὶ τὴν ἔπαρσιν καταβάλῃ. Καύχησις δὲ ἡ μὲν ἐν Κυρίῳ ἐστὶν, ὅταν τις τὰ κατορθώματα μὴ ἑαυτῷ, ἀλλὰ τῷ Κυρίῳ ἀνατίθηται, λέγων· *Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ·* ἡ δὲ ἀπηγορευμένη (72) διπλοῦν ἂν ἔχοι λόγον, ἢ κατὰ τὸ, *Ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ·* καὶ, *Τί* (73) *ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός;* ἢ κατὰ τὸ, *Ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις*, δι' αὐτοῦ τοῦ θέλειν ἐπαινεθῆναι ἐφ' οἷς ποιοῦσιν, οἱονεὶ ἐγκαυχώμενοι τοῖς γινομένοις. Οἱ δὲ C τοιοῦτοι καὶ ἱερόσυλοι εἶεν ἂν, τὰς τοῦ Θεοῦ δωρεὰς ἰδιοποιούμενοι, καὶ τὴν ὀφειλομένην τῷ Θεῷ δόξαν εἰς ἑαυτοὺς ἁρπάζοντες.

ΕΡΩΤΗΣΙΣ ΣΜΗ'.

Εἰ Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ (74) *γνῶσις καὶ σύνεσις· καὶ εἰ διὰ τοῦ Πνεύματος, ᾧ μὲν δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως· πῶς ἐγκαλεῖ τοῖς μαθηταῖς ὁ Κύριος, ὅτι « Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; » καὶ ὁ Ἀπόστολος αἰτιᾶται τινας, ὡς ἀσυνέτους;*

ΑΠΟΚΡΙΣΙΣ.

Εἴ τις τὸ ἀγαθὸν τοῦ Θεοῦ οἶδε, τοῦ θέλοντος πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ τοῦ ἁγίου Πνεύματος τὴν D ἐπιμέλειαν ἔμαθεν, ἐν τῇ διαιρέσει καὶ ἐνεργείᾳ τῶν τοῦ Θεοῦ χαρισμάτων, οὗτος γνωρίζει τὴν βραδυτῆτα τῆς συνέσεως οὐ παρὰ τὸν ὄκνον τοῦ εὐεργέτου, ἀλλὰ παρὰ τὴν ἀπιστίαν τῶν εὐεργετουμένων. Καὶ καλῶς ἐγκαλεῖται ὁ ἀσύνετος, ὡς ὁ ἡλίου ἀνατείλαντος καμμύων τοὺς ὀφθαλμοὺς,

[39] I Cor. XIII, 5. [40] I Reg. II, 3. [41] II Cor. XI, 17. [42] II Cor. XII, 11. [43] II Cor. X, 17. [44] Philipp. IV, 13. [45] Psal. X, 3. [46] Psal. LI, 3. [47] Matth. VI, 5. [48] Prov. II, 6. [49] I Cor. XII, 8. [50] Matth. XV, 16. [51] Rom. I, 31. [52] I Tim. II, 4.

(70) Editi τί ἐστιν ἡ. At mss. duo ut in contextu.
(71) Codex Voss. ἡ ἀπηγορευμένη καύχησις.
(72) Reg. primus ἡ δὲ ἀπηγορευμένη καύχησις.
(73) Veteres duo libri et editi καὶ τὸ, Τί. Reg. primus καὶ τί. Aliquanto post idem ms. διὰ τοῦ ἐθέλειν.
(74) Codex Voss. καὶ τὸ πρόσωπον αὐτοῦ.

ἵνα ἐν σκότει διάγῃ, καὶ μὴ ἀναβλέπων ἵνα φωτισθῇ.

ΕΡΩΤΗΣΙΣ ΣΜΘ'.

Τί ἐστι τὸ ὅσιον, καὶ τί ἐστι τὸ δίκαιον (75).

ΑΠΟΚΡΙΣΙΣ.

Ὅσιον μὲν εἶναι λογίζομαι τὸ πρέπον, καὶ ὀφειλόμενον παρὰ τῶν ὑποβεβηκότων τῷ ὑπερέχοντι, κατὰ τὸν τῆς ὑπεροχῆς λόγον· δίκαιον δὲ τὸ πρὸς ἀξίαν τῶν ἔργων ἑκάστῳ ἀποδιδόμενον. Καὶ ἐπὶ (76) τοῦ μὲν ὁσίου τῶν καλλίστων μόνον ἐστὶν ἡ εὐγνωμοσύνη καὶ ἀπόδοσις· ἐπὶ δὲ τοῦ δικαίου καὶ ἡ τῶν κακῶν δοκιμασία καὶ ἀνταπόδοσις.

ΕΡΩΤΗΣΙΣ ΣΝ'.

Πῶς δίδωσί τις τὸ ἅγιον (77) *τοῖς κυσὶν, ἢ βάλλει τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων· ἢ πῶς συμβαίνει τὸ ἐπιφερόμενον· « Μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. »*

ΑΠΟΚΡΙΣΙΣ.

Σαφῶς ἡμῖν παραδίδωσιν ὁ Ἀπόστολος τοῖς ὑπ' αὐτοῦ εἰρημένοις πρὸς τοὺς Ἰουδαίους ἐπενεγκὼν, ὅτι *Ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις*. Τὴν οὖν ἀτιμίαν, ἣν διὰ τῆς παραβάσεως ἀτιμάζομεν τοὺς ἁγίους τοῦ Κυρίου λόγους, ἐνταῦθα ὁ Κύριος ἀπηγόρευσεν. Ἀφ' ἧς παραβάσεως συμβαίνει καὶ τοὺς ἔξω τῆς πίστεως ἅμα τε εὐκαταφρόνητα ἡγεῖσθαι τὰ τοῦ Κυρίου διδάγματα, καὶ ἀπ' αὐτῶν ἐκείνων θρασύτερον ἡμῖν ἐπεγείρεσθαι, καὶ οἱονεὶ ῥήσσειν τοῖς ὀνειδισμοῖς καὶ τοῖς ἐλέγχοις τὸν παραβαίνοντα.

ΕΡΩΤΗΣΙΣ ΣΝΑ'.

Πῶς ποτὲ μὲν ἀπαγορεύει ὁ Κύριος βαστάζειν βαλάντιον καὶ πήραν (78) *εἰς ὁδὸν, ποτὲ δὲ λέγει· « Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν. »*

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο σαφηνίζει αὐτὸς ὁ Κύριος εἰπὼν ὅτι, *Δεῖ γὰρ ἔτι τοῦτο τελεσθῆναι ἐν ἐμοὶ τὸ, Καὶ μετὰ ἀνόμων ἐλογίσθη* (79). Αὐτίκα γὰρ μετὰ τὸ πληρωθῆναι τὴν περὶ τῆς μαχαίρας προφητείαν λέγει τῷ Πέτρῳ· *Ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται* (80)· ὡς μὴ εἶναι πρόσταγμα, *Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω*, ἤτοι *ἀρεῖ* (οὕτω γὰρ καὶ τὰ πολλὰ τῶν ἀντιγράφων ἔχει), ἀλλὰ προφητείαν προλέγοντος τοῦ Κυρίου, ὅτι

tenebris degat, neque sursum aspiciat ut illuminetur.

INTERROGATIO CCXLIX.

Quid est honestum, et quid est justum.

RESPONSIO.

Honestum quidem id esse puto, quod decet, et quod debetur ab inferioribus superiori, ex præstantiæ ratione; justum vero, quod pro operum merito atque dignitate singulis redditur. Et in honesto quidem, optima quæque tantummodo animo grato in memoriam revocantur, et compensantur : sed in eo quod justum est, mala quoque examinantur ac puniuntur.

INTERROGATIO CCL.

Quomodo dat quis sanctum canibus, aut projicit margaritas ante porcos : aut quomodo contingit id quod sequitur : « Ne forte conculcent eas pedibus suis, et conversi dirumpant vos [83]. *»*

RESPONSIO.

Aperte hoc nobis explicat Apostolus, qui iis, quæ ipse adversus Judæos dixerat, addit : *Qui in lege gloriaris, per prævaricationem legis Deum inhonoras* [84]. Itaque contumeliam, qua afficimus sanctos Domini sermones per legis violationem, hoc loco prohibuit Dominus. Ex qua violatione sequitur etiam, ut ii, qui alieni sunt a fide, simul et contemnenda ducant Domini dogmata, et ob illa ipsa audacia majore insurgant adversum nos, et conviciis atque accusationibus violatorem veluti disrumpant.

INTERROGATIO CCLI.

Quomodo Dominus interdum vetat portare sacculum et peram in via [85]; *interdum vero dicit : « Sed nunc, qui habet sacculum tollat, similiter et peram : et qui non habet, vendat tunicam suam, et emat gladium* [86]. *»*

RESPONSIO.

Hoc explanat Dominus ipse his verbis [87] · *Oportet enim adhuc in me impleri illud : Et cum iniquis deputatus est* [88]. Confestim enim post eventum vaticinii de gladio dicit Petro : *Converte gladium tuum in locum suum : omnes* **500** *enim qui acceperint gladium, gladio peribunt* [89] : ita ut illud, *Sed nunc qui habet sacculum, tollat* [90], seu *tollet* (sic enim etiam multa exemplaria habent), non sit quoddam præceptum, sed vaticinium Domini, qui prænuntiabat futurum, ut apostoli donorum et legis Do-

[83] Matth. VII, 6. [84] Rom. II, 23. [85] Luc. X, 4. [86] Luc. XXII, 36. [87] ibid. 37. [88] Isa. LIII, 12. [89] Matth. XXVI, 52. [90] Luc. XXII, 36.

(75) Editi Τί ἐστι δίκαιον. At mss. duo τὸ δίκαιον.

(76) Sic Vossii liber et Reg. primus. Vox ἐπὶ deerat in excusis. Mox Reg. primus καὶ ἀνταπόδοσις. Ibidem editi ἀπόδοσις· τοῦ δὲ δικαίου. Reg. primus ita ut edidimus.

(77) Unus ms. τὰ ἅγια. Aliquanto post mss. tres ἐν τοῖς ποσίν. Vocula ἐν in editis desiderabatur.

(78) Reg. primus βαλάντιον ἢ πήραν. Aliquanto infra unus ms. σαφηνίζει αὐτὸς ὁ Κύριος. Editi ὁ αὐτὸς Κύριος.

(79) Editi et Reg. secundus ἐλογίσθην *deputatus sum*. Alii duo Regii ἐλογίσθη. Nec ita multo post editi et duo mss. εἰς τὴν θήκην, *in vaginam*. Reg. primus et Voss. εἰς τὸν τόπον.

(80) Vossii vetus liber et Reg. primus ἐν μαχαίρᾳ ἀποθανοῦνται. Mox Reg. primus ἀράτω, ἤτοι ἄρῃ. Alii duo mss. et editi ἀρεῖ, *tollet* : quæ varia lectio inter alias invenitur quoque in Testamento Oxoniensi,

mini obliti auderent et gladios assumere. Quod autem plerumque imperativo loquendi genere vice vaticinii usa sit Scriptura, planum est ex multis locis; veluti ex illo, *Fiant filii ejus orphani* [61]; et: *Diabolus stet a dextris ejus* [62]; et quæcunque sunt similia.

INTERROGATIO CCLII.

Quis sit panis ille quotidianus, cujus quotidianam largitionem rogare edocti sumus.

RESPONSIO.

Cum quis opus aliquod facit, memor Domini, qui dixit: *Ne solliciti sitis animæ vestræ, quid manducetis, aut quid bibatis* [63], itemque Apostoli, qui laborare præcipit, ut habeamus unde tribuamus necessitatem patienti [64], nec ob propriam utilitatem, sed ob mandatum Domini laborat (*Dignus est enim operarius mercede sua* [65]), is quotidianum panem, hoc est, panem naturæ nostræ ad quotidianam vitam utilem, non sui juris facit, sed eum a Deo petit; atque adeo posita ipsi ob oculos indigentiæ suæ necessitate, sic edit quod datur ab eo, cui cum probatione hæc cura concredita est, ut quotidie faciat illud: *Dividebatur singulis, prout cuique opus erat* [66].

INTERROGATIO CCLIII.

Quid sit talentum, aut quomodo illud multiplicabimus [67].

RESPONSIO.

Parabolam hanc ad omne munus Dei significandum dictam fuisse existimo, ut unusquisque, quocunque tandem dono eum Deus dignatus sit, id multiplicet, hoc ipso ad beneficentiam et utilitatem plurium adhibito. Siquidem nemo est, qui sit benignitatis Dei expers.

INTERROGATIO CCLIV.

Quæ est mensa illa, in quam oportebat te, inquit Dominus, injicere pecuniam.

RESPONSIO.

Parabolæ non reipsa repræsentant res contemplandas, sed duntaxat mentem deducunt ad propositum. Quemadmodum igitur pecunia solet nummulariis ad quæstum dari (sunt enim, ut ego Alexandriæ novi, qui recipiant, et idipsum peragant): sic necesse est, ut qui qualecunque tandem donum acceperit, illud **501** communicet cum indigente, aut efficiat quod ab Apostolo de doctrina dictum est: *Hæc commenda fidelibus hominibus, qui idonei erunt et alios docere* [68]. Non enim solum in doctrina id consuevit fieri, sed etiam in omni nego-

A ἔμελλον οἱ ἀπόστολοι ἐπιλανθανόμενοι (81) τῶν δωρεῶν καὶ τοῦ νόμου τοῦ Κυρίου καὶ ξίφους κατατολμᾷν. Καὶ ὅτι τῷ προστακτικῷ εἴδει τοῦ λόγου ἀντὶ προφητικοῦ πολλάκις κέχρηται ἡ Γραφὴ, πολλαχόθεν δῆλον, οἷόν ἐστι τὸ, *Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί*· καὶ, *Διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ*· καὶ ὅσα τοιαῦτα.

ΕΡΩΤΗΣΙΣ ΣΝΒʹ.

Τίς ἐστιν ὁ ἄρτος ὁ ἐπιούσιος, ὃν δίδοσθαι ἡμῖν καθ' ἡμέραν προσεύχεσθαι ἐδιδάχθημεν.

ΑΠΟΚΡΙΣΙΣ.

Ὅταν ὁ ἐργαζόμενος μνημονεύων τοῦ (82) Κυρίου λέγοντος, *Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε, ἢ τί πίητε*· καὶ τοῦ Ἀποστόλου παραγγείλαντος ἐργάζεσθαι, ἵνα ἔχωμεν μεταδιδόναι τῷ χρείαν
B ἔχοντι, μὴ τῆς ἰδίας χρείας, ἀλλὰ τῆς ἐντολῆς τοῦ Κυρίου ἕνεκεν ἐργάζεται (ἐπειδὴ *Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ*), τότε τὸν ἐπιούσιον ἄρτον, τουτέστι, τὸν πρὸς τὴν ἐφήμερον ζωὴν τῇ οὐσίᾳ ἡμῶν χρησιμεύοντα, οὐχ ἑαυτῷ ἐπιτρέπει, ἀλλὰ τῷ Θεῷ ἐντυγχάνει περὶ τούτου· καὶ τὴν ἀνάγκην τῆς ἐνδείας αὐτῷ ἐπιδείξας, οὕτως ἐσθίει τὸ διδόμενον παρὰ τοῦ μετὰ δοκιμασίας ἐπιτεταγμένου ποιεῖν ἐφ' ἑκάστης ἡμέρας τὸ, *Διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν*.

ΕΡΩΤΗΣΙΣ ΣΝΓʹ.

Τί ἐστι τὸ τάλαντον, ἢ πῶς (83) αὐτὸ πολυπλασιάσομεν.

ΑΠΟΚΡΙΣΙΣ.

C Λογίζομαι τὴν παραβολὴν πρὸς πᾶσαν Θεοῦ δωρεὰν εἰρῆσθαι· ἵνα ἕκαστος, ἣν ἂν δοκιμασθῇ χάριν ἔχειν παρὰ τοῦ Θεοῦ, ταύτην πολυπλασιάσῃ εἰς εὐεργεσίαν καὶ ὄφελος πλειόνων ἐνεγκών. Οὐδεὶς γάρ ἐστιν ἀμέτοχος τῆς τοῦ Θεοῦ χρηστότητος (84).

ΕΡΩΤΗΣΙΣ ΣΝΔʹ.

Τίς ἐστιν ἡ (85) τράπεζα, ἐφ' ἣν ἔδει σε, φησὶν ὁ Κύριος, βαλεῖν τὸ ἀργύριον.

ΑΠΟΚΡΙΣΙΣ.

Αἱ παραβολαὶ οὐχ ἐπὶ εἴδους τὰ θεωρήματα πληροῦσι, πρὸς δὲ τὴν ὑπόθεσιν τὸν νοῦν ὁδηγοῦσιν. Ὥσπερ οὖν τὸ ἀργύριον ἀκολουθίαν ἔχει τοῖς τραπεζίταις δίδοσθαι εἰς πορισμὸν (εἰσὶ γὰρ, ὡς ἐν
D Ἀλεξανδρείᾳ ἔγνων, οἱ ὑποδεχόμενοι καὶ τοῦτο ποιοῦντες)· οὕτως ἐπάναγκες τὸν ὑποδεξάμενον οἱανδήποτε χάριν μεταδιδόναι τῷ χρείαν ἔχοντι, ἢ ἐκεῖνο ποιεῖν, τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον ἐπὶ τοῦ λόγου· *Ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.* Οὐ γὰρ μόνον ἐπὶ τοῦ λόγου τοῦτο γίνεσθαι πέφυκεν,

[61] Psal. CVIII, 9. [62] ibid. 6. [63] Matth. VI, 25. [64] Ephes. IV, 28. [65] Matth. X, 10. [66] Act. IV, 35. [67] Matth. XXV, 15. [68] II Tim. II, 2.

(81) Reg. primus et Voss. ἀπόστολοι προεπιλανθανόμενοι.

(82) Reg. primus μνημονεύῃ τοῦ. Statim idem ms. cum Voss. Ἀποστόλου παραγγέλλοντος.

(83) Editi καὶ πῶς. At mss. tres ἢ πῶς. Mox Reg. primus et Voss. ἣν καταμάθῃ χάριν. Codex Colb. ἣν ἂν καταμάθῃ.

(84) Codex Colb. τῆς τοῦ Θεοῦ χάριτος.

(85) Reg. primus et Voss. Ποία ἐστὶν ἡ. Reg. tertius τί ἐστιν ἡ. Ibidem editi et duo mss. ἐφ' ἣ. Alii duo mss. cum Voss. ἐφ' ἥν.

ἀλλὰ καὶ ἐπὶ παντὸς πράγματος· ὅτι οἱ μὲν τὸ δύνασθαι ἔχουσιν, οἱ δὲ τὴν ἐμπειρίαν τῆς οἰκονομίας ὑπεδέξαντο.

ΕΡΩΤΗΣΙΣ ΣΝΕ'.

Ποῦ ἀπελθεῖν προσετάχθη ὁ ἀκούσας· « Ἆρον τὸ σὸν, καὶ ὕπαγε. »

ΑΠΟΚΡΙΣΙΣ.

Τάχα ὅπου καὶ οἱ ἐξ ἀριστερῶν σταθέντες ἀπελθεῖν προσετάχθησαν, οἵτινες ἐπὶ ἀργίᾳ τῶν καλῶν ἐνεκλήθησαν. Πᾶς δὲ ὁ φθονῶν τῷ ἀδελφῷ χείρων ἐστὶ τοῦ ἀργοῦ, τῆς Γραφῆς ἔθος ἐχούσης πολλαχοῦ μετὰ τοῦ φόνου τάσσειν τὸν φθόνον.

ΕΡΩΤΗΣΙΣ ΣΝϚ'.

Τίς ἐστιν ὁ μισθὸς, ὃν λαμβάνουσι καὶ οὗτοι ὁμοίως τοῖς ἐσχάτοις.

ΑΠΟΚΡΙΣΙΣ.

Τάχα τὸ μὴ ἐγκληθῆναι ὑπὲρ ὧν ἐποίησέ τις καλῶν (86) κοινὸν πάντων τῶν ὑπακουόντων. Τὸ γὰρ στεφανωθῆναι ἴδιον τῶν τὸν καλὸν ἀγῶνα νομίμως ἀγωνισαμένων, τὸν δρόμον τελεσάντων, τὴν πίστιν τηρησάντων, ἐν ἀγάπῃ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. Δύναται δὲ ὁ συμπεφωνημένος μισθὸς εἶναι καὶ τὰ ἑκατονταπλασίονα, ἅπερ ἐν τῷ νῦν καιρῷ ἀπολήψεσθαι ὁ Κύριος ἐπηγγείλατο τοὺς διὰ τὴν ἐντολὴν αὐτοῦ ἀφιέντας ὅ τι δήποτε τῶν παρόντων· ὥστε τὸ μὲν, *Ἆρον τὸ σὸν*, περὶ (87) τούτου εἰρῆσθαι· ἐπειδὴ δὲ φθόνου πάθος ἐνόσησαν οἱ προκεκμηκέναι δόξαντες πρὸς τοὺς τῶν ἴσων ἀπολαύσαντας, μηκέτι κληρονομεῖν αὐτοὺς καὶ τὴν αἰώνιον ζωὴν, ἀλλὰ μόνα τὰ ἑκατονταπλασίονα νῦν ἀπολαμβάνοντας, ἐν τῷ μέλλοντι κατακρίνεσθαι διὰ τὸν φθόνον, καὶ ἀκούειν τό· Ὕπαγε.

ΕΡΩΤΗΣΙΣ ΣΝΖ'.

Τίνες εἰσὶν ἄχυρον κατακαιόμενον πυρὶ ἀσβέστῳ.

ΑΠΟΚΡΙΣΙΣ.

Οἱ χρησιμεύοντες μὲν τοῖς ἀξίοις τῆς βασιλείας τῶν οὐρανῶν, ὡς τὸ ἄχυρον τῷ σίτῳ, μὴ ἐν διαθέσει δὲ τῆς πρὸς Θεὸν ἀγάπης καὶ τῆς πρὸς τὸν πλησίον τοῦτο ποιοῦντες, εἴτε ἐν τοῖς πνευματικοῖς χαρίσμασιν, εἴτε ἐν ταῖς σωματικαῖς εὐεργεσίαις· καὶ οὕτως ἀτελεῖς ἑαυτοὺς ἀφιέντες.

ΕΡΩΤΗΣΙΣ ΣΝΗ'.

Τίς ἐστιν ὁ ὑπὸ τοῦ Ἀποστόλου καταγινωσκόμενος, « Ὁ θέλων (88) ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ, » καὶ τὰ ἑξῆς.

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ ἐπιφερόμενον σαφηνίζειν οἶμαι τὴν ἐν τῷ τόπῳ

A tio: quandoquidem aliis inest facultas, alii vero dispensandi peritiam acceperunt.

INTERROGATIO CCLV.

Quo abire jussus est qui audivit: « Tolle quod tuum est, et vade [69]. »

RESPONSIO.

Eum in locum fortasse, quo etiam qui a sinistris steterunt, abire jussi sunt [70], quibus crimini datum est, quod cessassent a bonis operibus. Quisquis autem invidet fratri, homine nihil agente deterior est, cum mos sit Scripturæ multis in locis, invidiam cum cæde conjungere [71]

INTERROGATIO CCLVI.

B *Quæ sit merces, quam hi pariter atque ultimi accipiunt.*

RESPONSIO.

Fortasse non incusari, ob ea recte facta quæ quis gessit, commune est omnium obedientium. Nam coronari proprium est eorum qui bonum certamen legitime decertarunt, qui perfecerunt cursum, qui fidem servaverunt, in dilectione Jesu Christi Domini nostri. Potest autem pacta illa merces esse illud centuplum, quod Dominus spopondit recepturos in hoc tempore esse eos qui cunctas res præsentes reliquerint ob ipsius mandatum: ita ut illud, *Tolle quod tuum est* [72], de hac mercede dictum sit. Quoniam autem qui priores laborasse visi fuerant, adversus eos qui æquale præmium receperant, invidiæ morbo laborarunt, non par est ipsos C vitam æternam sortiri, sed solo illo centuplo nunc accepto, in futuro sæculo condemnari ob invidiam, et audire illud: *Vade* [73]

INTERROGATIO CCLVII.

Qui sint palea, quæ inexstincto igne comburitur [74].

RESPONSIO.

Ii nimirum, qui utiles quidem sunt iis qui digni sunt regno cœlorum, perinde ut paleæ frumento, nec tamen affectu dilectionis erga Deum et proximum hoc faciunt, sive in spiritualibus donis, sive in corporalibus beneficentiis, atque ita imperfectos se esse sinunt

502 INTERROGATIO CCLVIII.

D *Quis sit, qui condemnatur ab Apostolo his verbis: « Volens in humilitate et religione [75], » etc.*

RESPONSIO.

Argumentum, de quo hic agitur, iis quæ sequun-

[69] Matth. xx, 14. [70] Matth. xxv, 41. [71] Rom. i, 29; Galat. v, 21. [72] Matth. xx, 14. [73] ibid. [74] Matth. iii, 12. [75] Coloss. ii, 18.

(86) Vulgatæ tres editiones et duo mss. καλῶν. Quem locum cum ita vertisset interpres vetus, *Fortasse hoc, quod alicui crimini data non sint mala quæ patravit*, usque adeo stomachum Combefisio movit, ut sic scripserit: *Sic constanter codd. textusque editus, ac petit series; Pelagioque simile est, quod ambo interpretes κακῶν sibi divinarunt.* Sed pace viri doctissimi dixerim non constanter ita legi in codicibus, cum Reg. primus quem ipse cum editis contuli, pro καλῶν habeat κακῶν, nec aliter legatur in Colbertino. Vir eruditissimus Godefridus Hermantius, qui vernacula lingua Vitas Basilii magni et Gregorii Nazianzeni scripsit, ille alius est interpres quem quoque Combefisius reprehendit.

(87) Veteres duo libri cum Voss. τὸ σὸν καὶ ὕπαγε, περί.

(88) Editi et duo mss. καταγινωσκόμενος, ὅτι θέλων. Alii duo καταγινωσκόμενος, ὁ θέλων.

tur verbis arbitror explanari. Mox enim nominat immoderationem corpori haudquaquam parcentem : cujusmodi sunt Manichæi, et si qui sint horum similes.

INTERROGATIO CCLIX.

Quis sit fervens spiritu [76].

RESPONSIO.

Qui ferventi animi alacritate, et inexplebili desiderio, et studio impigro facit voluntatem Dei, in charitate Jesu Christi Domini nostri, juxta id quod scriptum est : *In mandatis ejus volet nimis* [77].

INTERROGATIO CCLX.

Cum Apostolus nunc quidem dicat : « Nolite fieri imprudentes [78] *: » nunc vero, « nolite esse prudentes apud vosmetipsos* [79], *» fierine potest ut prudens non sit apud semetipsum is qui imprudens non est?*

RESPONSIO.

Unumquodque præceptum habet proprium limitem. Etenim huic mandato, *Nolite fieri imprudentes* [80], hoc subjungit, *Sed intelligentes quæ sit voluntas Dei* : alteri vero, *Ne sis prudens apud temetipsum* [81], additur illud : *Verum time Dominum, et declina ab omni malo*. Quare imprudens quidem est, qui non intelligit voluntatem Domini : prudens vero apud semetipsum, quisquis suis ipsius ratiocinationibus utitur, neque in verbis Dei ambulat secundum fidem. Si quis igitur vult neque imprudens esse, neque prudens apud seipsum, debet Domini intelligere voluntatem per fidem in ipsum, et in timore Domini imitari Apostolum, qui ait : *Consilia destruentes, et omnem altitudinem extollentem se adversus scientiam Dei, et in captivitatem redigentes omnem intellectum in obsequium Christi* [82].

503 INTERROGATIO CCLXI.

Cum Dominus hoc promissum fecerit : « Omnia quæcunque petieritis in oratione credentes, accipietis [83] *: » ac rursus : « Si duo ex vobis consenserint super terram, de omni re quamcunque petierint, fiet illis* [84]. *» quomodo vel ipsi sancti quæ petierunt, non acceperunt? velut etiam Apostolus, qui ait : « Propter quod ter Dominum rogavi, ut discederet a me* [85], *» nec tamen voti compos factus est : similiterque Jeremias propheta, et Moyses ipse.*

RESPONSIO.

Cum Dominus noster Jesus Christus in precatione sua dixerit, *Pater, si possibile est, transeat a me calix iste* : deinde addiderit : *Verumtamen non voluntas mea, sed tua fiat* [86] : primum quidem nosse operæ pretium est, non licere nobis quæcunque

A ζητουμένην (89) ὑπόθεσιν. Ἀφειδίαν γὰρ σώματος προϊὼν ὀνομάζει· οἷοί εἰσιν οἱ Μανιχαῖοι, καὶ εἴ τινες ὅμοιοι τούτοις.

ΕΡΩΤΗΣΙΣ ΣΝΘ'.

Τίς ἐστιν ὁ ζέων τῷ πνεύματι.

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ διαπύρῳ προθυμίᾳ, καὶ ἀκορέστῳ ἐπιθυμίᾳ, καὶ ἀόκνῳ σπουδῇ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ ἐν ἀγάπῃ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν, κατὰ τὸ γεγραμμένον· *Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.*

ΕΡΩΤΗΣΙΣ ΣΞ'.

Τοῦ Ἀποστόλου λέγοντος, ποτὲ μὲν, « Μὴ γίνεσθε ἄφρονες· » ποτὲ δὲ, « Μὴ γίνεσθε B *φρόνιμοι παρ' ἑαυτοῖς· » εἰ δυνατὸν μὴ εἶναι φρόνιμον παρ' ἑαυτῷ τὸν μὴ ἄφρονα;*

ΑΠΟΚΡΙΣΙΣ.

Ἕκαστον πρόσταγμα ἴδιον ἔχει ὅρον. Τῷ γὰρ, *Μὴ γίνεσθε ἄφρονες*, ἐπιφέρει· *Ἀλλὰ συνιέντες* (90) *τί τὸ θέλημα τοῦ Θεοῦ*· καὶ τῷ, *Μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ*, τὸ, *Φοβοῦ δὲ τὸν Κύριον, καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ*. Ὥστε ἄφρων μέν ἐστιν ὁ μὴ συνιεὶς τὸ θέλημα τοῦ Κυρίου (91)· φρόνιμος δὲ παρ' ἑαυτῷ πᾶς ὁ λογισμοῖς ἰδίοις χρώμενος, καὶ μὴ κατὰ πίστιν στοιχῶν τοῖς ῥήμασι τοῦ Θεοῦ. Εἰ οὖν τις βούλεται μήτε ἄφρων εἶναι, μήτε φρόνιμος παρ' ἑαυτῷ, συνιέναι ὀφείλει τὸ θέλημα τοῦ Κυρίου πίστει τῇ εἰς αὐτὸν, καὶ ἐν φόβῳ Θεοῦ μιμεῖσθαι τὸν Ἀπόστολον λέγοντα· *Λογισμοὺς καθαιροῦντες,* C *καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.*

ΕΡΩΤΗΣΙΣ ΣΞΑ'.

Τοῦ Κυρίου ἐπαγγειλαμένου, ὅτι « Πάντα, ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες (92), *λήψεσθε· » καὶ πάλιν· « Ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς, περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς· » πῶς αἰτήσαντές τινα καὶ αὐτοὶ οἱ ἅγιοι οὐκ ἔλαβον; ὡς καὶ ὁ Ἀπόστολος εἰπών· « Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ· » καὶ μὴ λαβὼν τὸ αἴτημα, καὶ Ἱερεμίας δὲ ὁ προφήτης, καὶ αὐτὸς ὁ Μωϋσῆς.*

ΑΠΟΚΡΙΣΙΣ.

D Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος ἐν προσευχῇ· *Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο*, εἶτα ἐπαγαγόντος, *Πλὴν μὴ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ σὸν γενέσθω* (93)· πρῶτον μὲν εἰδέναι δεῖ, ὅτι οὐ πᾶν ὃ θέλομεν αἰτεῖν

[76] Rom. XII, 11. [77] Psal. CXI, 1. [78] Ephes. V, 17. [79] Rom. XII, 16. [80] Ephes. V, 17. [81] Prov. III, 7. [82] II Cor. X, 4 5. [83] Matth. XXI, 22. [84] Matth. XVIII, 19. [85] II Cor. XII, 8. [86] Matth. XXVI, 39.

(89) Antiqui duo libri præter Voss. τόπῳ ζητουμένην. Alii duo mss. et editi τόπῳ δηλουμένην.

(90) Codex Colb. Ἀλλὰ συνίετε. Ibidem idem ms. cum Reg. tertio θέλημα τοῦ Κυρίου. Mox Vossii codex et alii tres παρὰ σεαυτῷ. Alius ms. et editi παρ' ἑαυτῷ. Totum illud, μὴ ἴσθι φρόνιμος, Salomonis est, non apostoli Pauli : sed ideo Paulo tribuitur, quod unam quidem sententiæ partem sibi sumpsit Rom. XII, 16, in altera vero, quod ad sensum attinet, a Salomone non recedat. Reg. primus pro ἔκκλινε habet ἔκλινον.

(91) Unus ms. θέλημα τοῦ Θεοῦ. Aliquanto post duo mss. ῥήμασι τοῦ Κυρίου.

(92) Reg. primus προσευχῇ ὑμῶν πιστεύοντες.

(93) Codices duo σὸν γινέσθω. Ibidem duo mss. οὐ μὴν δὲ τό.

ἐπιτράπημεν, οὐ μὴν οὐδὲ τὸ συμφέρον αἰτεῖν πάντως γινώσκομεν. Τὸ γὰρ, τί προσευξόμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν. Ὥστε μετὰ πολλῆς μὲν περισκέψεως, κατὰ τὸ θέλημα τοῦ Θεοῦ, ποιεῖσθαι δεῖ τὰ αἰτήματα· μὴ ἀκουομένους δὲ εἰδέναι χρὴ, ὅτι ἢ ἐπιμονῆς χρεία, ἢ καὶ εὐτονίας, κατὰ τὴν παραβολὴν τοῦ Κυρίου, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν, καὶ κατὰ τὸ ἐν ἄλλῳ τόπῳ ὑπ' αὐτοῦ εἰρημένον, ὅτι *Διὰ τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς, δώσει αὐτῷ, ὅσων χρήζει*· ἢ διορθώσεως καὶ ἐπιμελείας, κατὰ τὸ διὰ τοῦ προφήτου ὑπὸ τοῦ Θεοῦ πρός τινας εἰρημένον, εἰπόντος· *Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρὸς μὲ, ἀποστρέψω τὸ πρόσωπόν μου* (94) *ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. Λούσασθε, καθαροὶ γένεσθε*, καὶ τὰ ἑξῆς. Ὅτι δὲ καὶ νῦν γίνονται, καὶ εἰσὶ τῶν πολλῶν αἱ χεῖρες αἵματος πλήρεις, οὐδὲν ἀμφιβάλλειν δεῖ τοὺς πιστεύοντας ἐκείνῳ τῷ κρίματι τοῦ Θεοῦ, ὃ κατὰ τοῦ προσταχθέντος ἀναγγεῖλαι τῷ λαῷ, καὶ σιωπήσαντος ἀπεφήνατο, εἰπὼν, ὅτι *Τὸ αἷμα τοῦ ἡμαρτηκότος ἐκ τῶν χειρῶν τοῦ σκοποῦ ἐκζητηθήσεται* (95). Ὅπερ ἀληθὲς καὶ ἀπαράβατον εἶναι πληροφορηθεὶς ὁ Ἀπόστολος ἔλεγε· *Καθαρὸς ἐγὼ ἀπὸ τοῦ νῦν ἀπὸ τοῦ αἵματος πάντων* (96). *Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.* Εἰ δὲ ὁ σιωπήσας μόνον ἔνοχος τοῦ αἵματος τῶν ἁμαρτανόντων εὑρίσκεται, τί ἂν τις εἴποι περὶ τῶν, δι' ὧν ποιοῦσιν, ἢ δι' ὧν λαλοῦσι, σκανδαλιζόντων ἑτέρους; Ἔστι δὲ ὅτε καὶ (97) δι' ἀναξιότητα τοῦ αἰτοῦντος οὐκ ἐπιτυγχάνεται τὸ αἴτημα, ὡς ἐπὶ τοῦ Δαβὶδ εὐξαμένου οἰκοδομῆσαι οἶκον τῷ Θεῷ, καὶ κωλυθέντος· ὃς τῆς μὲν πρὸς Θεὸν εὐαρεστήσεως οὐκ ἀπηλλοτριώθη, οὐ μὴν καὶ ἐκείνου ἄξιος ἐκρίθη. Ὁ μέντοιγε Ἱερεμίας μὴ ἀκουσθεὶς φαίνεται διὰ τὴν κακίαν ἐκείνων, ὑπὲρ ὧν προσηύχετο (98). Πολλάκις δὲ καὶ τοῦ καιροῦ διὰ ῥᾳθυμίαν παρελθόντος ἡμῖν, καθ' ὃν ἔδει ποιήσασθαι τὸ αἴτημα, ἀκαίρως ὕστερον καὶ μάτην αἰτοῦντες εὑρισκόμεθα. Περὶ δὲ τοῦ, *Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ*, εἰδέναι χρὴ, ὅτι τῶν περιστάσεων, τῶν τε ἔξωθεν καὶ τῶν περὶ τὸ σῶμα, πολὺς καὶ διάφορός ἐστιν ὁ λόγος, τοῦ Θεοῦ ἢ ἐπάγοντος, ἢ συγχωροῦντος διά τινα οἰκονομίαν (99) κρείττονα τῆς παρ' αὐτὰ ἀνέσεως. Ἐὰν μὲν οὖν τις δυνηθῇ γνωρίσαι, ὅτι χρὴ διὰ προσευχῆς καὶ αἰτήσεως ἀπαλλαγῆναι τῆς περιστάσεως, ἀκούεται αἰτήσας, ὡς οἱ δύο τυφλοὶ ἐν Εὐαγγελίῳ καὶ οἱ δέκα λε-

A volumus, petere : imo vero ne id quidem quod nobis expedit, poscere ullo modo novimus. Nam quid exposcamus, ut oportet, nescimus. Quare multa cum consideratione secundum voluntatem Dei petitiones adhibendæ sunt. Quod si non audimur, scire oportet aut perseverantia aut ingenti contentione opus esse, juxta Domini parabolam, qua docemur semper orare oportere, non autem defatigari, et juxta id quod ab ipso in alio loco dictum est : *Propter improbitatem ejus surget, et dabit illi quotquot habet necessarios* [87] : aut emendatione et diligentia, juxta id quod Deus per prophetam ad quosdam dixit, ita loquens : *Cum extenderitis manus vestras ad me, avertam faciem meam a vobis : et si preces multiplicaveritis, non exaudiam vos. Manus enim vestræ sanguine plenæ sunt. Lavamini,*
B *mundi estote* [88], etc. Quin autem et nunc fiant, et sint plenæ sanguine manus multorum, dubitare non debent, qui fidem habent judicio illi Dei, quod adversus eum pronuntiavit, qui populo renuntiare jussus, obticuerit, ita locutus : *Sanguis peccatoris ex manibus speculatoris requiretur* [89]. Quod cum verissimum ac constantissimum esse sibi persuasisset Apostolus, dicebat : *Mundus ego ex hoc tempore sum a sanguine omnium. Non enim subterfugi, quominus annuntiarem vobis omne consilium Dei* [90]. Quod si qui conticuerit solum, is reus futurus est sanguinis eorum, qui peccaverint, quid quis dixerit de iis qui per sua facta aut dicta aliis fuerint offensioni? Fit autem interdum,
C ut etiam propter indignitatem petentis petitum non impetretur : velut in Davide, qui cum rogasset ut liceret sibi ædificare domum Deo, prohibitus est, qui etiamsi gratus acceptusque esset Deo, tamen hoc honore non habitus est dignus. Jeremias vero ob nequitiam eorum pro quibus precatus est, videtur non exauditus fuisse. Quin etiam non
504 raro contingit, ut prætermisso ex nostra negligentia opportuno tempore, quo orare oportuisset, comperimur posthac intempestive et incassum rogare. Quod autem attinet ad illud, *Propter hoc ter Dominum rogavi, ut discederet a me* [91], sciendum est earum calamitatum quæ tum in rebus externis, tum in ipso corpore nobis eveniunt,
D multiplicem esse et variam rationem, Deo has vel inferente vel permittente per quamdam dispensationem subita horum malorum liberatione nobis utiliorem. Si quis igitur nosse potuerit, se ab adversitate per precationem ac rogationem liberari

[87] Luc. XI, 8. [88] Isa. I, 15, 16. [89] Ezech. III, 18. [90] Act. XX, 26, 27. [91] II Cor. XII, 8.

(94) Vossii vetus liber et alii duo ἀποστρέψω τοὺς ὀφθαλμούς μου, *avertam oculos meos*; nec aliter legitur apud LXX. Editi et Reg. secundus ut in contextu.

(95) Antiqui duo libri cum Voss. ἐκζητήσω.

(96) Vossii vetus liber et alii duo πάντων ὑμῶν, *omnium vestrum.*

(97) Reg. primus Ἔστι δὲ ὅταν καί. Mox codex Colb. οὐ δίδοται τὸ αἴτημα.

(98) Editi et Reg. secundus ηὔχετο. Alii tres mss. præter Voss. προσηύχετο. Nec ita multo post Reg. primus διὰ ῥαθυμίαν παρελθόντος, καθ' ὄν. Codex Colb. παρελθόντος ἡμᾶς, καθ' ὄν.

(99) Editi et unus ms. διὰ τὴν οἰκονομίαν. Alii tres mss. διά τινα οἰκονομίαν. Ibidem editi et duo mss. τῆς παρὰ ταῦτα. Reg. primus et Voss. τῆς παρ' αὐτά. Codex Colb. τῆς παραυτίκα. Nec ita multo infra duo mss. cum Voss. προσευχῆς καὶ δεήσεως.

oportere, si rogat, tum exauditur : velut duo cæci in Evangelio, et decem leprosi, aliique complures : si vero perspectam non habuerit rationem, ob quam in tentationem inciderit (nam plerumque finem ob quem mala sibi irrogantur, assequi etiam per patientiam debet), deprecatusque fuerit calamitatem, cum tamen ad finem usque eam sustinere debuisset, non auditur : quandoquidem consilio benignitatis Dei non assentitur. Illud autem, *Si duo ex vobis consenserint* [92], quid sibi velit, ipsa loci series aperte declarat. Ibi enim de eo qui peccantem arguit, et de eo qui arguitur, verba facit. Quamobrem, cum Deus non velit mortem peccatoris, sicut vult ipsum converti et vivere [93] : qui reprehensus est, si animo compunctus sit, atque redarguentis assensus fuerit consilio, pro re omni, hoc est, pro omni peccato, cujus petierint veniam, dabitur ipsis a clementissimo Deo. Si enim qui increpatur, haud consenserit cum increpante, jam non conceditur venia, sed fit alligatio, juxta ea quæ sequuntur verba : *Quæcunque alligaveritis super terram, erunt ligata in cælo* [94], sic ut impleatur judicium illud : *Si Ecclesiam quoque non audierit qui redargutus est, sit tibi sicut ethnicus et publicanus* [95].

προὶ, καὶ πολλοὶ ἕτεροι· ἐὰν δέ τις μὴ γνωρίσῃ τὸν λόγον, καθ' ὃν περιπέπτωκε τῷ πειρασμῷ (πολλάκις γὰρ καὶ δι' ὑπομονῆς κατορθωθῆναι (1) αὐτῷ ὁ σκοπὸς τῶν ἐπαγομένων ὀφείλει), καὶ, δέον εἰς τέλος ὑπομένειν, παραιτῆται τὴν περίστασιν, οὐκ ἀκούεται· ἐπεὶ μὴ συντρέχει τῷ σκοπῷ τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Τὸ δὲ, *Δύο ὑμῶν ἐὰν συμφωνήσωσιν*, αὕτη ἡ περικοπὴ σαφηνίζει. Περὶ γὰρ τοῦ ἐλέγχοντος τὸν ἡμαρτηκότα, καὶ περὶ τοῦ ἐλεγχομένου ποιεῖται τὸν λόγον. Ὅτι, τοῦ Θεοῦ μὴ θέλοντος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, ἐὰν ὁ ἐλεγχθεὶς κατανυγῇ τὴν ψυχὴν (2), καὶ συνέλθῃ τῷ σκοπῷ τοῦ ἐλέγχοντος, περὶ παντὸς πράγματος, τουτέστι, περὶ παντὸς ἁμαρτήματος οὗ ἐὰν αἰτήσωνται τὴν ἄφεσιν, δοθήσεται αὐτοῖς παρὰ τοῦ φιλανθρώπου Θεοῦ. Ἐὰν γὰρ μὴ συμφωνήσῃ ὁ ἐλεγχόμενος τῷ ἐλέγχοντι, οὐκέτι ἄφεσις γίνεται, ἀλλὰ δεσμὸς κατὰ τὸ ἐπιφερόμενον, ὅτι *Ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ*, πληρουμένου τοῦ κρίματος ἐκείνου, ὅτι *Ἐὰν καὶ τῆς Ἐκκλησίας παρακούσῃ ὁ ἐλεγχθεὶς, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης.*

INTERROGATIO CCLXII.

Cum Scriptura in rerum laudabilium numero egestatem et paupertatem ponat, velut in hoc loco : « Beati egeni [96]; *» ac etiam in illo, « Desiderium pauperum exaudivit Dominus* [97]; *» et rursum : « Egenus et pauper laudabunt nomen tuum* [98]; *» quodnam est discrimen egestatem inter et paupertatem : et quomodo verum dicit David, cum ait : « Ego autem egenus sum et pauper* [99]*? »*

RESPONSIO.

Cum recordor Apostoli qui dixit de Domino, *Quod propter nos egenus factus est, cum dives esset* [1], existimo egenum quidem eum esse, qui a divitiis exciderit in egestatem ; pauperem vero, qui ab initio in egestate fuerit, ac certo quodam qui Deo placeret modo ejusmodi adversitatem rexerit. Cæterum David egenum **505** et pauperem esse se confitetur : sed fortasse hoc etiam dicit in persona Domini, qui egenus quidem nominatur secundum illud : *Qui propter nos egenus factus est, cum esset dives :* pauper vero, quod non divitis alicujus, sed fabri lignarii filius secundum carnem dictus est [2]. Forte etiam quoniam, sicut Job [3], non noverat res suas in thesaurum recondere, neque divitiis studere tanquam propriis, sed dispensare omnia ex voluntate Domini.

ΕΡΩΤΗΣΙΣ ΣΞΒ'.

Τῆς Γραφῆς ἐν τοῖς ἐπαινουμένοις τιθείσης τὴν πτωχείαν καὶ τὴν πενίαν, ὡς ἐν τῷ, « Μακάριοι οἱ πτωχοὶ (3)· » καὶ ἐν τῷ, « Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσε Κύριος· » καὶ πάλιν· « Πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου· » τίς ἐστιν ἡ διαφορὰ πτωχείας καὶ πενίας; καὶ πῶς ἀληθεύει ὁ Δαβὶδ λέγων· « Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης; »

ΑΠΟΚΡΙΣΙΣ.

Μεμνημένος τοῦ Ἀποστόλου εἰπόντος περὶ τοῦ Κυρίου, *Ὅτι δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὤν*, λογίζομαι, ὅτι πτωχὸς μέν ἐστιν ὁ ἀπὸ πλούτου κατελθὼν εἰς ἔνδειαν· πένης δὲ ὁ ἐξ ἀρχῆς ἐν ἐνδείᾳ ὢν καὶ εὐαρέστως τῷ Κυρίῳ (4) κυβερνήσας τὴν τοιαύτην περίστασιν. Ὁ δὲ Δαβὶδ πτωχὸς καὶ πένης εἶναι ὁμολογεῖ, τάχα μὲν εἰς πρόσωπον τοῦ Κυρίου καὶ τοῦτο λέγων, πτωχοῦ μὲν ὀνομαζομένου κατὰ τὸ, *Ὃς δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὤν*· πένης δὲ, καθὸ οὐ πλουσίου τινὸς, ἀλλὰ τέκτονος υἱὸς τὸ κατὰ σάρκα ἐχρημάτισε. Τάχα δὲ καὶ ἐπείπερ ᾔδει, κατὰ τὸν Ἰὼβ, μὴ θησαυροφυλακεῖν τὰ ἑαυτοῦ, μηδὲ ὡς ἰδίῳ προσέχειν τῷ πλούτῳ, οἰκονομεῖν (5) δὲ πάντα κατὰ τὸ θέλημα τοῦ Κυρίου.

[92] Matth. XVIII, 19. [93] Ezech. XXXIII, 11. [94] Matth. XVIII, 18. [95] ibid. 17. [96] Matth. V, 3. [97] Psal. X, 17, juxta Hebr. [98] Psal. LXXIII, 21. [99] Psal. XXXIX, 18. [1] II Cor. VIII, 9. [2] Matth. XIII 55. [3] Job I, 21.

(1) Editi et duo mss. διορθωθῆναι. Alii duo cum Voss. κατορθωθῆναι.
(2) Vossii vetus liber et Reg. primus κατανυγῇ τῇ ψυχῇ.
(3) Codex Voss. πτωχοὶ τῷ πνεύματι. Aliquanto post editi et mss. duo εἰσήκουσας, Κύριε, *exaudisti, Domine*. Alii duo εἰσήκουσε Κύριος, *exaudivit Dominus*. Mox codex Colb. ὄνομά σου, Κύριε.
(4) Editi et Reg. secundus εὐαρέστως τοῦ Κυρίου, male. Alii tres mss. τῷ Κυρίῳ, bene. Mox editi πτωχὸν καὶ πένην. Veteres tres libri præter Voss. πτωχὸς καὶ πένης.
(5) Unus ms. et editi τῷ οἰκονομεῖν. Illud τῷ in aliis tribus mss. deest ; nec dubium est, quin inepte ab aliquo otioso additum sit. Statim duo mss. θέλημα τοῦ Θεοῦ.

ΕΡΩΤΗΣΙΣ ΣΞΓ'.

Τί βούλεται διδάξαι ὁ Κύριος διὰ τῶν ὑποδειγμάτων, οἷς ἐπιφέρει τὸ, « Οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν (6), οὐ δύναταί μου εἶναι μαθητής; » Εἰ γὰρ ὁ μὲν θέλων πύργον οἰκοδομῆσαι, ἢ συμβαλεῖν ἑτέρῳ βασιλεῖ, παρασκευάσασθαι ὀφείλει ἢ πρὸς τὴν οἰκοδομὴν, ἢ πρὸς τὸν πόλεμον· ἐὰν δὲ μὴ ᾖ δυνατὸς, ἔξεστιν αὐτῷ ἢ μὴ θεῖναι θεμέλιον τὴν ἀρχὴν ἢ ἐρωτῆσαι τὰ πρὸς εἰρήνην· ἆρα καὶ ὁ θελήσας μαθητὴς γενέσθαι τοῦ Κυρίου, ἀποτάξασθαι ὀφείλει; ἐὰν δὲ καταμάθῃ πρὸς τοῦτο δυσκόλως ἔχοντα ἑαυτὸν, ἔξεστιν αὐτῷ μηδὲ τὴν ἀρχὴν μαθητεῦσαι τῷ Κυρίῳ;

ΑΠΟΚΡΙΣΙΣ.

Σκοπὸς τῷ Κυρίῳ ἐν τοῖς ὑποδείγμασι τούτοις ἐστὶν, οὐκ ἐξουσίαν δοῦναι γενέσθαι μαθητὴν τοῦ Κυρίου, ἢ μή· ἀλλὰ δεῖξαι τὸ ἀδύνατον τῆς πρὸς Θεὸν εὐαρεστήσεως ἐν τοῖς περισπῶσι τὴν ψυχήν· ἐν οἷς καὶ κινδυνεύει εὐάλωτος γινομένη ταῖς μεθοδείαις τοῦ διαβόλου, καὶ χλεύης καὶ γέλωτος ἀξία, διὰ τὸ ἀτελὲς τῶν ἐσπουδάσθαι (7) δοκούντων, ἐλέγχεται. Ὅπερ ἀπευχόμενος ὁ Προφήτης παθεῖν, ἔλεγεν· *Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.*

ΕΡΩΤΗΣΙΣ ΣΞΔ'.

Τοῦ Ἀποστόλου λέγοντος· « Ἵνα ἦτε εἰλικρινεῖς· » καὶ πάλιν, « Ἀλλ' ὡς ἐξ εἰλικρινείας· » τὸ εἰλικρινὲς τί ἐστιν;

ΑΠΟΚΡΙΣΙΣ.

Εἰλικρινὲς λογίζομαι εἶναι τὸ ἀμιγὲς, καὶ ἄκρως κεκαθαρμένον ἀπὸ παντὸς ἐναντίου, συνηγμένον δὲ καὶ τεταγμένον (8) πρὸς μόνην θεοσέβειαν· οὐ μόνον δὲ, ἀλλὰ καὶ πρὸς τὰ ἐν ἑκάστῳ καιρῷ καὶ πράγματι πρὸς τὸν ταύτης σκοπὸν ἀκριβῶς ἐπιζητούμενα· ὥστε μηδὲ πρὸς τὰ συγγενῆ τῶν κατορθωμάτων ἀπομετεωρίζεσθαι τὸν εἴς τι ταχθέντα. Δηλοῦται δὲ τὸ μὲν πρότερον ἐξ αὐτῆς τῆς ἀκολουθίας· ἐπιφέρει γὰρ τῷ, *Ἀλλ' ὡς ἐξ εἰλικρινείας*, τὸ, *Ὡς ἐκ Θεοῦ κατενώπιον Θεοῦ ἐν Χριστῷ λαλοῦμεν*· τὸ δὲ δεύτερον ἐκ τοῦ, *Μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως*· καὶ ἐκ τῶν τούτοις ἐπιφερομένων.

ΕΡΩΤΗΣΙΣ ΣΞΕ'.

Εἰ πρὸς μόνους τοὺς ἱερεῖς εἴρηται τὸ, « Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐκεῖ μνησθῇς, ὅτι ἔχει τι ὁ ἀδελφός σου κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου, » ἢ καὶ πρὸς πάντας· καὶ πῶς ἕκαστος ἡμῶν προσφέρει δῶρον (9) ἐπὶ τὸ θυσιαστήριον.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο ἐξαιρέτως μὲν καὶ πρωτοτύπως πρὸς ἱερεῖς

INTERROGATIO CCLXIII.

Quid vult docere Dominus per exempla, quibus subjungit illud : « Sic ergo omnis ex vobis qui non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus [4]. » Si enim qui turrim ædificare vult, aut prælium committere cum alio rege, apparare se debet aut ad ædificationem, aut ad bellum : sin autem impar fuerit, potest aut ab initio fundamentum non jacere, aut petere pacem : ergone is etiam, qui voluerit discipulus Domini fieri, debet renuntiare? et si animadverterit id difficile a se toleratum iri, an liceat ei ne ab initio quidem discipulum Domini fieri ?

RESPONSIO.

Propositum est Domino in his exemplis, non permittere ut quivis Domini fiat discipulus, vel non : sed docere nullo modo fieri posse, ut aliquis inter ea quæ animum distrahunt, Deo placeat : in quibus periclitatur etiam, utpote qui facile possit insidiis diaboli capi, et ita demum rebus iis, quarum studio teneri videbatur, imperfectis relictis, ludibrio et risu dignus esse perhibetur. Quod sibi ne accideret deprecans Propheta, dicebat [5] : *Nequando supergaudeant mihi inimici mei : et dum commoventur pedes mei, super me magna locuti sunt.*

INTERROGATIO CCLXIV.

Cum Apostolus dicat : « Ut sitis sinceri [6] : » ac rursus, « Sed velut ex sinceritate [7], » quid est sincerum ?

RESPONSIO

Sincerum esse arbitror quod cum nulli rei admistum sit, et a re qualibet contraria summe purgatum, coactum est et directum ad solam pietatem ; imo vero non ad pietatem modo, sed ad ea etiam, quæ in singulis et temporibus et rebus plane ad ipsius scopum requiruntur, ita ut si quis muneri alicui præpositus sit, is ne ad affinia quidem ei muneri distrahatur. Quod quidem prius est, declaratur ex ipsa serie verborum : nam his verbis, *Sed velut ex sinceritate*, subdit illud : *Sicut ex Deo, coram Deo in Christo loquimur* [8]; alterum vero ex illo : *Non plus sapere quam oportet sapere, sed sapere ad sobrietatem : unicuique sicut Deus divisit mensuram fidei* [9] : itidem ex aliis verbis, quæ his subjunguntur.

506 INTERROGATIO CCLXV.

Utrum ad solos sacerdotes dictum sit : « Si offers munus tuum ad altare, et ibi recordatus fueris quia frater tuus habet aliquid adversum te, relinque ibi munus tuum ante altare, et vade, prius reconciliare fratri tuo : et tunc veniens offer munus tuum [10], » an etiam ad omnes. Et quomodo unusquisque nostrum offert munus ad altare.

RESPONSIO.

Hoc quidem præcipue ac primario loco par fue-

[4] Luc. XIV, 33. [5] Psal. XXXVII, 17. [6] Philipp. I, 10. [7] II Cor. II, 17. [8] ibid. [9] Rom. XII, 3. [10] Matth. V, 23, 24.

(6) Reg. primus τοῖς ὑπάρχουσιν αὐτοῦ. Codex Colb. τοῖς ὑπάρχουσιν αὐτῷ.
(7) Veteres duo libri cum Voss. τῶν σπουδάζεσθαι.
(8) Reg. primus et Colb. καὶ τεταγμένον. Vocula πρός, quæ mox sequitur, deest quidem in vulgatis, sed in duobus mss. invenitur.
(9) Vox δῶρον addita est ex libris veteribus. Ibidem Reg. primus ἐπὶ τοῦ θυσιαστηρίου.

rit ad sacerdotes referri, cum scriptum sit : *Vos autem sacerdotes Domini vocabimini, ministri Dei omnes* [11]. Et : *Sacrificium laudis honorificabit me* [12]. Ac rursus : *Sacrificium Deo spiritus contribulatus* [13]. Quin et Apostolus ait : *Ut exhibeatis corpora vestra hostiam viventem, sanctam, Deo placentem, rationabile obsequium vestrum* [14]. Quorum unumquodque omnium commune est ; atque quod est ejusmodi, id ab unoquoque nostrum perfici necesse est.

A ἐκλαμβάνειν ἀκόλουθον ἂν εἴη, ἐπειδὴ γέγραπται, ὅτι *Ὑμεῖς δὲ ἱερεῖς Κυρίου κληθήσεσθε, λειτουργοὶ Θεοῦ πάντες*· καὶ, *Θυσία αἰνέσεως δοξάσει με*· καὶ πάλιν· *Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον*. Καὶ ὁ Ἀπόστολός δέ φησι· *Παραστῆσαι τὰ σώματα* (10) *ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν*. Ὧν ἕκαστον κοινὸν πάντων ἐστίν· καὶ ἀναγκαῖον ἕκαστον ἡμῶν κατορθοῦν τὸ τοιοῦτον.

INTERROGATIO CCLXVI.

Quid est sal quod habere Dominus jussit, cum dixit : « Habete in vobis sal, et pacem habete inter vos [15]. » *Quin et Apostolus ait : « Sermo vester semper in gratia, sale sit conditus* [16]. »

ΕΡΩΤΗΣΙΣ ΣΞϚʹ.

Τί ἐστι τὸ ἅλας ὃ προσέταξεν ἔχειν ὁ Κύριος, εἰπὼν, « Ἔχετε ἐν ἑαυτοῖς ἅλας, καὶ εἰρηνεύετε ἐν ἀλλήλοις. » Καὶ ὁ Ἀπόστολος δέ φησιν. « Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρτυμένος. »

B

RESPONSIO.

Et hic ex contextu et serie utriusque capitis, sensus perspicuus est. Nam ex Domini verbis docemur, nullam causam ob quam alter ab altero disjungamur et dissideamus, præbere, sed nosmetipsos semper in vinculo pacis ad unitatem spiritus conservare [17]. Ex verbis autem Apostoli discet quicunque meminerit illius, qui dixit : *Nunquid comedetur panis sine sale? nunquid vero et est sapor in verbis vanis* [18]? sermones suos dispensare ad fidei ædificationem, *Ut det gratiam audientibus* [19], tempore opportuno et decoro ordine utens, quo auditores magis morigeri fiant.

ΑΠΟΚΡΙΣΙΣ.

Καὶ ἐνταῦθα διὰ τῶν συνεζευγμένων ἑκάστῳ κεφαλαίῳ ὁ νοῦς φανερός ἐστιν. Ἐν μὲν γὰρ τοῖς τοῦ Κυρίου ῥήμασι τὸ μηδεμίαν ὑπόθεσιν τῆς ἀπ' ἀλλήλων διαλύσεως καὶ διαστάσεως παρέχειν, ἀεὶ δὲ ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης πρὸς τὴν ἑνότητα τοῦ πνεύματος συντηρεῖσθαι διδασκόμεθα· ἐν δὲ τοῖς τοῦ Ἀποστόλου, μνημονεύσας τις τοῦ εἰπόντος· *Εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός* (11) ; *εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς;* διδαχθήσεται οἰκονομεῖν τοὺς λόγους εἰς οἰκοδομὴν τῆς πίστεως, *Ἵνα δῷ χάριν τοῖς ἀκούουσι*, καιρῷ εὐθέτῳ καὶ τάξει εὐσχήμονι χρώμενος, πρὸς τὸ εὐπειθεστέρους γενέσθαι τοὺς ἀκούοντας.

INTERROGATIO CCLXVII.

Si alius multis vapulabit, alius vero paucis [20] : *quomodo dicunt quidam nullum esse pœnarum finem?*

C

ΕΡΩΤΗΣΙΣ ΣΞΖʹ.

Εἰ ὁ μέν τις δαρήσεται πολλὰς, ὁ δὲ ὀλίγας· πῶς λέγουσί τινες μὴ (12) *εἶναι τέλος τῆς κολάσεως;*

RESPONSIO.

Quæ ambigue et obscure videntur dicta fuisse in quibusdam divinæ Scripturæ locis, ea ex confessis ac manifestis aliorum locorum sententiis explanantur. Cum igitur Dominus pronuntiet aliquando hos in supplicium **507** æternum ituros [21], aliquando vero mittat quosdam in ignem æternum paratum diabolo et angelis ejus [22] ; et alibi gehennæ ignis mentione facta, subjiciat illud : *Ubi vermis eorum non moritur, et ignis non exstinguitur* [23] ; olimque etiam de quibusdam prædixerit per prophetam, vermem eorum non moriturum, neque D ignem eorum exstinctum iri [24] : hæc igitur et horum similia cum in multis divinæ Scripturæ locis

ΑΠΟΚΡΙΣΙΣ.

Τὰ ἀμφίβολα καὶ ἐπικεκαλυμμένως εἰρῆσθαι δοκοῦντα ἔν τισι τόποις τῆς θεοπνεύστου Γραφῆς ὑπὸ τῶν ἐν ἄλλοις τόποις ὁμολογουμένων σαφηνίζεται. Τοῦ οὖν Κυρίου ποτὲ μὲν ἀποφαινομένου, ὅτι ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, ποτὲ δὲ ἐκπέμποντός τινας εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· καὶ ἄλλοτε ὀνομάζοντος γέενναν πυρὸς, καὶ ἐπιφέροντος, *Ὅπου ὁ σκώληξ αὐτῶν* (13) *οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται*· καὶ ἔτι πάλαι διὰ τοῦ προφήτου περί τινων προειρηκότος, ὅτι Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν (14) οὐ σβεσθήσεται· τούτων καὶ τῶν τοιούτων πολλαχοῦ τῆς θεοπνεύστου Γραφῆς

[11] Isa. LXI, 6. [12] Psal. XLIX, 23. [13] Psal. L, 19. [14] Rom. XII, 1. [15] Marc. IX, 49. [16] Coloss. IV, 6. [17] Ephes. IV, 3. [18] Job VI, 6. [19] Ephes. IV, 29. [20] Luc. XII, 47. [21] Matth. XXV, 46. [22] Ibid. 41. [23] Marc. IX, 45. [24] Isa. LXVI, 24.

(10) Reg. primus et Colb. Παραστήσατε τὰ σώματα. Mox unus ms. εὐάρεστον τῷ Κυρίῳ. Subinde editi ἀναγκαῖον τοίνυν· sed illud τοίνυν in veteri nullo codice invenitur. Particulam καί ex uno ms. addidimus ante vocem ἀναγκαῖον.

(11) Codex Colb. ἄνευ ἅλατος. Nec ita multo infra duo mss. præter Voss. γενέσθαι τοὺς μανθάνοντας, *discipulos*.

(12) Vocula μή abest a priscis tribus libris. Certe vir eruditissimus Ludovicus Ellies Dupin non legerat quæ hic a Basilio dicuntur, aut legisse non meminit cum tom. II, pag. 590, non obscure dicit tantum virum pœnarum æternitatem non agnovisse. Mox Vossii codex et alii duo τῆς κολάσεως τοῖς κολαζομένοις.

(13) Antiqui tres libri præter Voss. σκώληξ αὐτῶν. Vox ultima in editis desiderabatur.

(14) Et hic quoque vox αὐτῶν in vulgatis deerat : sed addita est ex Vossii codice et ex aliis duobus. Nec ita multo infra Reg. 1 ὥσπερ ἐπιλανθανομένους.

κειμένων, ἓν καὶ τοῦτο τῆς μεθοδείας τοῦ διαβόλου, τὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων, ὥσπερ ἐπιλαθομένους τῶν τοσούτων καὶ τοιούτων τοῦ Κυρίου ῥημάτων καὶ ἀποφάσεων, τέλος κολάσεως εἰς τὸ μᾶλλον κατατολμᾷν τῆς ἁμαρτίας ἑαυτοῖς ὑπογράφειν. Εἰ γὰρ τῆς αἰωνίου κολάσεως ἔσται ποτὲ τέλος, τέλος ἕξει πάντως καὶ ἡ αἰώνιος ζωή. Εἰ δὲ ἐπὶ τῆς ζωῆς τοῦτο νοῆσαι οὐ καταδεχόμεθα, ποῖον ἔχει λόγον τῇ κολάσει τῇ αἰωνίῳ τέλος διδόναι; Ἡ γὰρ τοῦ αἰωνίου προσθήκη ἐφ' ἑκατέρων ἴσως κεῖται (15). *Ἀπελεύσονται γὰρ*, φησὶν, *οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον*. Τούτων οὖν οὕτως ὁμολογουμένων, εἰδέναι χρὴ, ὅτι καὶ τὸ, *Δαρήσεται πολλὰς*, καὶ τὸ, *Δαρήσεται ὀλίγας*, οὐχὶ τέλος, ἀλλὰ διαφορὰν κολάσεως δηλοῖ (16). Εἰ γὰρ ὁ Θεὸς δίκαιος κριτής ἐστιν, οὐ μόνον τοῖς ἀγαθοῖς, ἀλλὰ καὶ τοῖς πονηροῖς, ἀποδιδοὺς ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ, δύναται εἶναι ὁ μέν τις πυρὸς ἀσβέστου ἄξιος, καὶ τούτου ἤτοι μαλακωτέρου, ἢ μᾶλλον φλέγοντος· ὁ δέ τις σκώληκος ἀτελευτήτου, καὶ τούτου πάλιν ἢ πραότερον ὀδυνῶντος, ἢ σφοδρότερον κατὰ τὴν ἀξίαν ἑκάστου· καὶ ἄλλος γεέννης διάφορα πάντως ἐχούσης τὰ κολαστήρια· καὶ ἕτερος τοῦ ἐξωτέρου σκότους, ἔνθα ὁ μέν τις ἐν κλαυθμῷ μόνον (17), ὁ δέ τις καὶ ἐν βρυγμῷ τῶν ὀδόντων διὰ τὸ ἐπιτεταμένον τῶν πόνων γίνεται. Καὶ τὸ ἐξώτερον δὲ σκότος ὑποφαίνει πάντως εἶναί τι καὶ ἐσώτερον. Καὶ τὸ, *Εἰς πυθμένα ᾅδου*, ἐν Παροιμίαις εἰρημένον δηλοῖ, ὅτι εἰσί τινες ἐν τῷ ᾅδῃ μὲν, οὐκ ἐν πυθμένι δὲ ᾅδου, κουφοτέραν ὑπομένοντες τὴν κόλασιν. Τοῦτο δὲ χαρακτηρίζειν ἔστι καὶ νῦν ἐν τοῖς τοῦ σώματος πάθεσιν. Ὁ μὲν γάρ τις πυρέσσει μετὰ συμπτωμάτων καὶ (18) ἄλλων παθῶν· ὁ δέ τις πυρέσσει μόνον, καὶ οὗτος οὐχ ὁμοίως τῷ ἑτέρῳ· καὶ ἄλλος οὐ πυρέσσει μὲν, ὀδύνῃ δέ τινι μέλους καταπονεῖται· καὶ οὗτος πάλιν ἑτέρου πλεῖον ἢ ἔλαττον. Εἴρηται δὲ καὶ τοῦτο τῷ Κυρίῳ τὸ (19), *πολλὰς* καὶ *ὀλίγας*, κατὰ τὴν χρῆσιν τῆς συνηθείας, ὥσπερ οὖν καὶ ἄλλα τινὰ τοιαῦτα. Οἴδαμεν γὰρ πολλάκις τὸ τοιοῦτον εἶδος τοῦ λόγου καὶ ἐπὶ τῶν ὑφ' ἑνός τινος πάθους κεκακωμένων παραλαμβανόμενον· οἷον ὅταν λέγωμεν ἐπί τινος πυρέσσοντος μόνον, ἢ ὀφθαλμὸν ὀδυνωμένου, θαυμάζοντες, ὅτι πόσα ἔπαθεν, ἢ πόσας ὑπέμεινεν ἀνάγκας. Ὥστε τὸ, *πολλὰς* (20) καὶ *ὀλίγας δέρεσθαι*, πάλιν λέγω, οὐκ ἐν τῇ τοῦ χρόνου παρατάσει ἢ συμπληρώσει, ἀλλ' ἐν τῇ διαφορᾷ τῆς κολάσεως γίνεται.

ΕΡΩΤΗΣΙΣ ΣΞΗ'.

Κατὰ ποῖον νοῦν λέγονταί τινες υἱοὶ ἀπειθείας, καὶ τέκνα ὀργῆς;

ΑΠΟΚΡΙΣΙΣ.

Τέκνα καὶ υἱούς τινος (21) ὀνομάζειν οἶδεν ὁ Κύ-

A habeantur, hoc quoque unum est ex artificiis diaboli, ut plerique homines velut obliti tot et talium Domini verborum ac sententiarum, quo majore cum audacia peccent, supplicii sibi finem præscribant. Etenim, si æterni supplicii futurus est aliquando finis, finem utique habitura est etiam vita æterna. Quod si non possumus illud de vita æterna intelligere, qua ratione supplicio æterno ascribitur finis? Nam æqualiter pro utroque habetur *æterni* adjectio. *Ibunt enim*, inquit, *hi in supplicium æternum : justi autem in vitam æternam* [25]. Itaque, cum hæc ita sint in confesso, sciendum est, neque illud, *Vapulabit multis*, neque illud, *Vapulabit paucis*, significare finem, sed diversitatem supplicii. Si enim Deus justus judex est non bonis solum, sed
B malis etiam, reddens unicuique juxta opera sua, potest alius esse dignus igne inexstinguibili, qui aut mollius aut acrius adurat : alius verme nunquam morituro, qui etiam aut mitius aut acerbius excruciet pro cujusque merito : alius gehenna, quæ varia ac penitus diversa supplicia habeat : alius exterioribus tenebris, ubi hic quidem in fletu solum, ille vero in dentium etiam stridore ob dolorum vehementiam exsistat. Quin et exteriores illæ tenebræ alias etiam prorsus esse interiores indicant. Et illud quod dictum est in Proverbiis, *In profundum inferni* [26], declarat quosdam esse in inferno quidem, sed non in profundo inferni, qui leviorem pœnam perferant. Nunc autem hoc etiam in corporis morbis ostendere licet. Nam febricitanti
C alteri accedunt symptomata, et aliæ quædam molestæ affectiones; alter vero febricitat tantummodo, et hic non simili modo, quo alter. Et alius non febri quidem, sed quodam membri alicujus dolore discruciatur : et hic rursus alio plus aut minus. Hæ autem voces *multis* et *paucis*, prolatæ sunt quoque a Domino ex consueto usu, velut etiam alia quædam ejusmodi. Neque enim ignoramus hujusmodi loquendi genus sæpe de iis etiam qui uno aliquo morbo affliciantur, usurpari : veluti cum de aliquo homine duntaxat febricitante, aut ab oculis dolente mirabundi dicimus, Hic quot et quanta sustinuit mala, aut quot et quantos pertulit cruciatus. Quamobrem illud, *multis* et *paucis vapulare*, iterum
D dico, nequaquam porrigi, aut compleri ac finiri tempus, sed supplicium diversum esse significat.

508 INTERROGATIO CCLXVIII.

Quo sensu dicantur quidam filii contumaciæ [27], *et filii iræ* [28].

RESPONSIO.

Filios alicujus, sive bonus sive malus fuerit,

[25] Matth. xxv, 46. [26] Prov. ix, 18. [27] Ephes. v, 6. [28] Ephes. ii, 3.

(15) Veteres duo libri ἑκατέρων ἐπίσης κεῖται Alii duo mss. et editi ἴσως κεῖται. Utraque vox, ἴσως et ἐπίσης, in Vossii codice legitur. Haud longe particulam γάρ addidi ex libris antiquis.
(16) Codex Colb. κολάσεων δηλοῖ.
(17) Unus ms. κλαυθμῷ μόνῳ.
(18) Codex Colb. ἄλλων τινῶν παθῶν.
(19) Veteres duo libri cum Voss. ὑπὸ τοῦ Κυρίου. Aliquanto post duo mss. τῶν ἐφ' ἑνός.
(20) Editi Ὥστε πολλάς. At mss. tres Ὥστε τὸ πολλάς.
(21) Reg. secundus et editi τέκνα καὶ υἱούς τινας.

solet Dominus appellare eos, qui ejus voluntatem faciunt. *Si enim*, inquit, *filii Abraham essetis, opera Abraham faceretis* [29]. Ac rursus: *Vos ex patre diabolo estis, et desideria patris vestri vultis facere* [30]. Quamobrem quisquis contumaciæ opera peragit, efficitur etiam contumaciæ filius. Fortasse etiam, quemadmodum non peccator modo, sed ipsum etiam peccatum diabolus nominatur, quod peccati, ut opinor, fuerit auctor: sic quoque ob eamdem causam contumacia ipsa poterit diabolus appellari. Filius autem iræ est aliquis, quatenus semetipsum ira dignum præstitit. Ut enim qui Domino sunt digni, faciuntque opera lucis ac diei, eos Apostolus filios lucis ac filios diei vocavit [31], ita par fuerit intelligere et illud: *Eramus filii iræ* [32]. Scire autem oportet filium contumaciæ et filium iræ unum et eumdem esse, cum Dominus pronuntiaverit: *Qui contumax est in Filium, non videbit vitam, sed ira Dei manebit super eum* [33].

A ριος τοὺς ποιοῦντας τὰ θελήματα αὐτοῦ, εἴτε ἀγαθοῦ εἴτε κακοῦ. *Εἰ τέκνα γὰρ*, φησὶ, *τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν* (22)· καὶ πάλιν· *Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν*. Ὥστε καὶ ἀπειθείας υἱὸς ὁ τὰ τῆς ἀπειθείας ἐργαζόμενος γίνεται. Τάχα δὲ, ὥσπερ οὐχ ἁμαρτωλὸς μόνον, ἀλλὰ καὶ αὐτοαμαρτία ὁ διάβολος ὀνομάζεται, διὰ τὸ ἀρχηγὸς (23), ὡς οἶμαι, γεγονέναι τῆς ἁμαρτίας· οὕτω καὶ αὐτοαπείθεια λέγοιτο ἂν ὁ διάβολος διὰ τὴν αὐτὴν αἰτίαν. Τέκνον δὲ ὀργῆς ἐστί τις, καθ' ὃ ἄξιον ἑαυτὸν πεποίηκε τῆς ὀργῆς. Ὡς γὰρ τοὺς ἀξίους τοῦ Κυρίου, καὶ τοὺς ποιοῦντας τὰ τοῦ φωτὸς καὶ ἡμέρας ἔργα, υἱοὺς φωτὸς καὶ υἱοὺς ἡμέρας ὁ Ἀπόστολος προσηγόρευσεν· οὕτως ἀκόλουθον νοεῖν καὶ τὸ, B *Ἦμεν τέκνα ὀργῆς*. Εἰδέναι μέντοιγε χρὴ, ὅτι ὁ υἱὸς τῆς ἀπειθείας, ὁ αὐτός ἐστι καὶ τέκνον ὀργῆς, τοῦ Κυρίου ἀποφηναμένου, ὅτι *Ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν* (24).

INTERROGATIO CCLXIX.

Cum scriptum sit: « Facientes voluntates carnis et cogitationum [34]*: » nunquid voluntates carnis aliæ sunt, et aliæ cogitationum: et quales sint hæ.*

RESPONSIO.

Carnis quidem voluntates alio in loco singulatim nominatimque recenset Apostolus, his verbis: *Manifesta sunt autem opera carnis, quæ sunt adulterium, fornicatio, immunditia, luxuria, idolorum servitus, veneficia, inimicitiæ, contentiones, æmulationes, iræ, rixæ, dissensiones, sectæ, invidiæ, homicidia, ebrietates, comessationes, et quæ his similia* [35]. Et alibi generalius: *Sapientia carnis inimicitia est in Deum, legi enim Dei non est subjecta, nec enim potest* [36]. At vero cogitationum voluntates dici possunt ea consilia, quæ Scripturæ testimonio non probantur, qualia sunt illa, de quibus dictum est: *Consilia destruentes, et omnem altitudinem extollentem se adversus scientiam Dei* [37], et cogitata, quæ ad obediendum Christo captiva non ducuntur. Quapropter necessarium et tutum est, semper et ubique servare illud quod a Davide dictum est: *Et consilium meum, justificationes tuæ* [38].

ΕΡΩΤΗΣΙΣ ΣΞΘ'

Ἐπειδὴ γέγραπται, « Ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν· » εἰ ἄλλα μέν ἐστι (25) *τὰ τῆς σαρκὸς θελήματα, ἄλλα δὲ τῶν διανοιῶν· καὶ ποῖα ταῦτα.*

ΑΠΟΚΡΙΣΙΣ.

Τὰ μὲν τῆς σαρκὸς θελήματα ἐν ἄλλῳ τόπῳ κατὰ μέρος ὀνομαστὶ καταλέγει ὁ Ἀπόστολος, λέγων· *Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι* C *μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις*· καὶ ἀλλαχοῦ περιληπτικώτερον, ὅτι *Τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὔτε γὰρ δύναται*· τὰ δὲ τῶν διανοιῶν θελήματα λογισμοὶ εἶεν ἂν μὴ (26) μαρτυρούμενοι ὑπὸ τῆς Γραφῆς, οἷοί εἰσιν ἐκεῖνοι, περὶ ὧν εἴρηται· *Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ*, καὶ νοήματα μὴ αἰχμαλωτιζόμενα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Διόπερ ἀναγκαῖον καὶ ἀσφαλὲς ἀεὶ καὶ πανταχοῦ D φυλάσσειν ἐκεῖνο τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· *Καὶ ἡ συμβουλία μου τὰ δικαιώματά σου.*

[29] Joan. viii, 39. [30] ibid. 44. [31] I Thess. v, 5. [32] Ephes. ii, 3. [33] Joan. iii, 36. [34] Ephes. ii, 3. [35] Galat. v, 19-21. [36] Rom. viii, 7. [37] II Cor. x, 4, 5. [38] Psal. cxviii, 24.

Codex Colb. τέκνα τινὸς καὶ υἱοὺς ὀνομάζειν. Vossii vetus liber et alii duo τέκνα καὶ υἱούς τινος. Quod mox in interpretatione sequitur, *qui ipsius faciunt voluntatem*, ita intelligi debet, *qui faciunt voluntatem ejus cujus filii sunt*.

(22) Vocula ἄν, quæ in vulgatis deest, in duobus mss. invenitur. Statim codex Colb. πατρὸς ὑμῶν τοῦ.

(23) Reg. primus ἀρχηγόν. Alii tres mss. et editi ἀρχηγός. Paulo post unus ms. καθότι ἄξιον.

(24) Unus ms. et editi μένει, *manet*. Alii tres mss. μενεῖ, *manebit*. Hæc Scripturæ verba aliter intellecta sunt ab auctore Vulgatæ. Ea legi possunt in iis, quæ indicavimus, locis. Vox ἀπείθεια, quæ duplicem intellectum habet, facit ut alii interpretes aliter vertant. Familiare est Græcis scriptoribus hanc vocem pro rebellione atque contumacia sumere.

(25) Illud ἐστι additum est ex libris veteribus. Mox Reg. primus ὀνομαστὶ λέγει ὁ Ἀπόστολος εἰπών. Codex Colb. διαγορεύει ὁ Ἀπόστολος εἰπών. Subinde Reg. primus ἅτινά ἐστι ταῦτα, μοιχεία.

(26) Veteres duo libri λογισμοί εἰσι μή.

ΕΡΩΤΗΣΙΣ ΣΟ'. A

Τί ἐστιν, « Ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαποορούμενοι;»

ΑΠΟΚΡΙΣΙΣ.

Τὴν πληροφορίαν τῆς ἑαυτοῦ εἰς Θεὸν πεποιθήσεως ἐξ ἀντιπαραθέσεως τοῦ ἀνθρωπίνου φρονήματος δεικνὺς ὁ Ἀπόστολος, ἕκαστον τῶν ἐν τῷ τόπῳ τούτῳ κειμένων οὕτω τίθησιν. Ὡς μὲν γὰρ πρὸς τὸ ἀνθρώπινον φρόνημα, *Ἐν παντὶ θλιβόμενοι*, φησίν· ὡς δὲ πρὸς τὴν ἐπὶ Θεὸν πεποίθησιν ἐπιφέρει τὸ (27), *Ἀλλ' οὐ στενοχωρούμενοι*· πάλιν, ὡς μὲν πρὸς τὸ ἀνθρώπινον φρόνημα, *Ἀπορούμενοι*· ὡς δὲ πρὸς τὴν ἐπὶ Θεὸν πεποίθησιν, τὸ, *Οὐκ ἐξαπορούμενοι*· καὶ τὰ λοιπὰ ὁμοίως. Οἷά ἐστι κἀκεῖνα τὰ ἀλλαχοῦ αὐτῷ εἰρημένα· *Ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν· ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.* B

ΕΡΩΤΗΣΙΣ ΣΟΑ'.

Τοῦ Κυρίου λέγοντος, « Πλὴν τὰ ἐνόντα (28) δότε ἐλεημοσύνην· καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν·» εἰ πάντων, ὅσα ἥμαρτέ τις, διὰ τῆς ἐλεημοσύνης τὸν καθαρισμὸν εὑρίσκει.

ΑΠΟΚΡΙΣΙΣ.

Αὐτὴ ἡ ἀκολουθία τῶν προκειμένων σαφηνίζει τὸ εἰρημένον. Προειπὼν γὰρ, ὅτι *Καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς* (29) *καὶ πονηρίας*, οὕτως ἐπήγαγε· *Πλὴν τὰ ἐνόντα, δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστι* (30)· πάντα ταῦτα δηλονότι ὅσα ἐν τῷ ἁρπάζειν καὶ πλεονεκτεῖν ἁμαρτάνομεν, καὶ πονηρευόμεθα. Παρίστησι δὲ τοῦτο καὶ ὁ Ζακχαῖος εἰπών· *Ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων* (31) *μου δίδωμι τοῖς πτωχοῖς· καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν.* Ὥστε ὅσα τοιαῦτά ἐστιν ἁμαρτήματα, ἅπερ δυνατὸν ἀναλῦσαι, καὶ ὑπὲρ ὧν ἔστιν ἀντιδοῦναι πολυπλάσιον, τούτῳ τῷ τρόπῳ καθαρίζεσθαι· καὶ τούτῳ, φημὶ, τῷ τρόπῳ, οὐκ αὐτῷ καθ' ἑαυτὸν ἀρκοῦντι πρὸς τὴν κάθαρσιν, χρῄζοντι δὲ προηγουμένως τοῦ ἐλέους τοῦ Θεοῦ, καὶ τοῦ αἵματος τοῦ Χριστοῦ· ἐν ᾧ καὶ τῶν ἄλλων ἁπάντων ἔχομεν τὴν ἀπολύτρωσιν, ποιοῦντες ἐφ' ἑκάστῳ τοὺς ἀξίους καρποὺς τῆς μετανοίας. C

ΕΡΩΤΗΣΙΣ ΣΟΒ'

Ἐπειδὴ πρόσταγμά ἐστι τοῦ Κυρίου μὴ μεριμνᾷν περὶ τῆς αὔριον, πῶς ὑγιῶς τὸ πρόσταγμα νοήσομεν (32); Ὁρῶμεν γὰρ, ὅτι πολλὴν ἔχομεν σπουδὴν τῶν πρὸς τὴν χρείαν ἕνεκεν, ὥστε παραθέσθαι καὶ τὰ πρὸς πλείονα χρόνον ἀρκέσαι δυνάμενα. D

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ καταδεξάμενος τὴν τοῦ Κυρίου διδασκαλίαν,

509 INTERROGATIO CCLXX.

Quid sibi vult illud : « In maximis difficultatibus versamur, sed non succumbimus ? »

RESPONSIO.

Cum Apostolus certissimam suam plenissimamque in Deum fiduciam ex humana sapientia huic adversa ostendit, singula quæ hoc loco habentur, sic ordinat. Quantum quidem attinet ad humanam sapientiam : *In omnibus*, inquit, *tribulationem patimur :* quantum vero ad fiduciam in Deum, subjungit illud, *Sed non angustiamur* [39]. Rursus, quantum attinet ad sapientiam humanam, *In maximis difficultatibus versamur :* quantum vero ad fiduciam in Deum, *Non succumbimus*. Et reliqua similiter. Cujusmodi sunt ea quæ fuerunt alibi ab ipso dicta : *Quasi morientes, et ecce vivimus : sicut egentes, multos autem locupletantes : tanquam nihil habentes, et omnia possidentes* [40].

INTERROGATIO CCLXXI.

Cum Dominus dicat : « Verumtamen quod superest, date eleemosynam : et ecce omnia munda sunt vobis [41] *: » nunquid peccata omnia, quæ quis commisit, mundantur per eleemosynam*

RESPONSIO.

Series ipsa eorum quæ præcedunt, propositam quæstionem explanat. Nam, cum antea dixisset : *Mundatis quod de foris est calicis et catini : quod autem intus est vestrum, plenum est rapina et iniquitate* [42] : tum demum addidit illud : *Verumtamen quod superest, date eleemosynam : et ecce omnia munda sunt vobis* : omnia hæc videlicet, quæcunque per rapinam et avaritiam peccamus, et nequiter agimus. Sed et Zacchæus hoc declarat, his verbis : *Ecce dimidium bonorum meorum do pauperibus : et si quid aliquem defraudavi, reddo quadruplum* [43]. Itaque quæcunque sunt ejusmodi peccata, ut resolvi possint, et pro quibus liceat longe plura rependere, hoc modo expurgantur : hoc, inquam, modo : quandoquidem ipse per seipsum haud sufficit ad purgationem, sed primum indiget misericordia Dei et sanguine Christi : in quo etiam reliquorum omnium habemus redemptionem [44], si fecerimus ob singula fructus dignos pœnitentiæ [45].

510 INTERROGATIO CCLXXII.

Cum præceptum Domini sit, ut ne solliciti simus de crastino [46] *: quomodo sumus hoc mandatum recte intellecturi? Videmus enim nos ad parandas res necessarias multum studii convertere, ita ut ea etiam quæ possunt ad longius tempus sufficere, recondantur.*

RESPONSIO

Quisquis suscepit doctrinam Domini, qui dixit :

[39] II Cor. IV, 8. [40] II Cor. VI, 9, 10. [41] Luc. XI, 41. [42] ibid. 39. [43] Luc. XIX, 8. [44] Ephes. I, 7. [45] Luc. III, 8. [46] Matth. VI, 34.

(27) Vossii vetus liber et alii duo πεποίθησιν ἐπιφέρει. Vox ultima abest a vulgatis.

(28) Reg. primus τὰ ἐνόντα πάντα. Mox idem ms. cum Colb. ὑμῖν ἔσται.

(29) Antiqui duo libri præter Voss. ἐξ ἁρπαγῆς. Post vocem ἁρπαγῆς ita in editis legitur, καὶ δόλου· sed illud, καὶ δόλου, in nostris quatuor mss. non reperitur.

(30) Rursus duo illi quos dixi codices ὑμῖν ἔσται, *vobis erunt*. Aliquanto post codex Colb. τὰ ἡμίσεια.

(31) Antiqui duo libri ὑπαρχόντων μοι. Haud longe vocula τι. addita est ex tribus codicibus. Subinde duo mss. δυνατόν ἐστιν.

(32) Codices tres νοήσωμεν.

Quærite primum regnum Dei, et justitiam ejus, adhibuitque certissimam et integerrimam fidem veritati promissionis, quam ipse subjungit : *Et hæc omnia adjicientur vobis*[47] : nequaquam in hujus vitæ curis verbum suffocantibus, ipsumque infecundum reddentibus, animum inutiliter occupat. Imo vero in bono certamine decertans ad complacendum Deo, credit Domino, dicenti : *Dignus est operarius cibo suo*[48], nec quidquam curat alimenti causa : sed laborat et sollicitus est, non propter se ipsum, sed propter mandatum Christi, quemadmodum ostendit ac docuit Apostolus, cum dixit : *Omnia ostendi vobis, quoniam sic laborantes oportet suscipere infirmos*[49]. Nam sui ipsius gratia sollicitum esse, crimen est amoris sui ipsius : contra, mandati ergo sollicitum esse et laborare, laus et praeconium est animi, qui Christi et fratrum amore succenditur.

INTERROGATIO CCLXXIII.

Quid est quod faciens aliquis, blasphemat in Spiritum sanctum[50]*?*

RESPONSIO.

Ex blasphemia, quæ tunc prolata est a Pharisæis, in quos etiam pronuntiatum est judicium ejusmodi, perspicuum est, eum etiamnum in Spiritum sanctum blasphemum esse, qui efficaciam et fructus sancti Spiritus ascribit adversario : quod plerisque nostrum contingit, qui sæpe probum virum vanæ gloriæ cupidum temere appellamus, falsoque iracundiæ accusamus hominem, æmulationem bonam ostendentem, et ejusdem generis alia per pravas suspiciones ementitis nominibus vocamus.

INTERROGATIO CCLXXIV.

Quomodo quis efficiatur stultus in hoc sæculo.

RESPONSIO.

Si timuerit judicium Dei, qui dicit : *Væ vobis qui prudentes estis in vobis ipsis, et coram vobis scientes*[51]; eumque imitatus fuerit, qui dixit : *Brutus factus sum apud te*[52] : et si rejecta omni opinione prudentiæ, nullam propriam cogitationem **511** prius comprobarit tanquam bonam, imo si ne initio quidem quidquam prius cogitaverit, quam ab ipso Domini præcepto sit assuefactus ad id quod placet Deo, sive in opere, sive in sermone, sive in

A εἰπόντος· *Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ*, καὶ πληροφορηθεὶς τὴν ἀλήθειαν τῆς αὐτοῦ ἐπαγγελίας, ἐπαγαγόντος· *Καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν*· οὐκ ἐν ταῖς βιωτικαῖς μερίμναις ταῖς συμπνιγούσαις τὸν λόγον, καὶ ἄκαρπον ποιούσαις, καταργεῖ τὴν ψυχήν. Ἐν δὲ τῷ καλῷ ἀγῶνι τῆς πρὸς Θεὸν εὐαρεστήσεως ἀγωνιζόμενος, πιστεύει τῷ Κυρίῳ εἰπόντι· *Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ* (33)· καὶ οὐδὲν ταύτης ἕνεκεν περιεργάζεται. Ἐργάζεται δὲ καὶ μεριμνᾷ οὐχὶ δι' ἑαυτὸν, ἀλλὰ διὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ, καθὼς ὑπέδειξε καὶ ἐδίδαξεν ὁ Ἀπόστολος, εἰπών· *Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων*. Τὸ μὲν γὰρ δι' ἑαυτὸν μεριμνᾷν φιλαυτίας ἐστὶν ἔγκλη-
B μα (34)· τὸ δὲ διὰ τὴν ἐντολὴν μεριμνᾷν καὶ ἐργάζεσθαι φιλοχρίστου καὶ φιλαδέλφου διαθέσεώς ἐστιν ἐγκώμιον.

ΕΡΩΤΗΣΙΣ ΣΟΓ'.

Τί ἄν τις (35) *ποιήσας, βλασφημεῖ εἰς τὸ Πνεῦμα τὸ ἅγιον;*

ΑΠΟΚΡΙΣΙΣ.

Ἐκ τῆς τότε βλασφημίας, ἣν ἐβλασφήμησαν οἱ Φαρισαῖοι, ἐφ' οἷς καὶ τὸ κρῖμα τοῦτο ἐτέθη, δῆλόν ἐστιν, ὅτι καὶ νῦν ἐκεῖνος βλασφημεῖ (36) εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ὃς ἂν τὰς ἐνεργείας καὶ τοὺς καρποὺς τοῦ ἁγίου Πνεύματος τῷ ἐναντίῳ ἐπιφημίσῃ· ὅπερ πάσχομεν οἱ πολλοὶ, τὸν μὲν σπουδαῖον κενόδοξον πολλάκις ῥιψοκινδύνως ἀποκαλοῦντες, τοῦ δὲ ζῆλον
C ἀγαθὸν ἐπιδεικνυμένου ὀργὴν καταψευδόμενοι, καὶ ἄλλα τοιαῦτα ἐν ὑπονοίαις πονηραῖς ψευδῶς ἐπιφημίζοντες

ΕΡΩΤΗΣΙΣ ΣΟΔ'.

Πῶς γίνεταί τις ἐν τῷ αἰῶνι τούτῳ μωρός;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐὰν φοβηθῇ τὸ κρῖμα τοῦ Θεοῦ (37), λέγοντος· *Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες*· καὶ μιμήσηται τὸν εἰπόντα· *Κτηνώδης ἐγενήθην παρὰ σοί*· καὶ πᾶσαν οἴησιν συνέσεως ἀποβαλὼν, μὴ πρότερόν τι τῶν ἰδίων λογισμῶν ὡς ἀγαθὸν ἐγκρίνῃ (38), μήτε μὴν λογίσηταί τι τὴν ἀρχὴν, πρὶν ἂν ὑπ' αὐτῆς τοῦ Κυρίου τῆς ἐντολῆς συνεθι-
D σθῇ (39) πρὸς τὸ ἀρέσκον τῷ Θεῷ εἴτε ἐν ἔργῳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἐνθυμήσει, τοῦ Ἀποστόλου εἰπόντος·

[47] Matth. VI, 33. [48] Matth. X, 10. [49] Act. XX, 35. [50] Marc. III, 29. [51] Isa. V, 21. [52] Psal. LXXII, 23.

(33) Reg. primus solus αὐτοῦ ἐστι. Mox editi δι' αὐτόν. Veteres quatuor libri præter Voss. δι' ἑαυτόν. Hoc ipso in loco duo mss. ἐντολὴν τοῦ Κυρίου.

(34) Codex Colb. ἔχει ἔγκλημα. Mox Reg. secundus et editi φιλοχρίστου καὶ διαθέσεως φιλαδέλφου· quod alio ordine edidimus, veteres duos libros secuti.

(35) Reg. primus τί ἄν τις. Editi τί ἐάν τις. Mox idem ms. et Voss. ἧς ἐβλασφήμησαν. Subinde Reg. primus τὸ κρῖμα τοῦ Θεοῦ ἐτέθη, *lata est hæc Dei sententia*.

(36) Sic veteres duo libri, non ut editi βλασφημεῖ τό. Aliquanto infra codex Colb. καὶ πολλὰ τοιαῦτα, *et ejusdem generis multa*.

(37) Editi et antiqui duo libri τοῦ Κυρίου λέγοντος. Alii duo mss. ut in contextu. Mox Reg. primus ἐνώπιον ἑαυτῶν. Alius ms. et editi αὐτῶν.

(38) Regii duo mss. ἐγκρίνῃ. Editi ἐγκρίνηται. Nec ita multo post Reg. primus λογίσηταί τι. Vocula τι deest in vulgatis.

(39) Sic Vossii liber et alii duo. Editi ἐθισθῇ τὸ ἀρέσκον Θεῷ. Ibidem editi εἴτε ἐν ἔργῳ, εἴτε ἐν ἐνθυμήσει. At mss. ut in contextu. Subinde duo mss. διὰ τοῦ Χριστοῦ. Alii duo et editi διὰ τὸν Κύριον

Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν· οὐχ ὅτι ἀφ' ἑαυτῶν ἱκανοί ἐσμεν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν· ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ τοῦ διδάσκοντος ἄνθρωπον γνῶσιν, καθὼς γέγραπται.

ΕΡΩΤΗΣΙΣ ΣΟΕ'.

Εἰ δύναται ἐγκόψαι πρόθεσιν ἁγίου ὁ Σατανᾶς, ὅτι γέγραπται· « Ἐγὼ μὲν Παῦλος προεθέμην ἐλθεῖν καὶ ἅπαξ καὶ δίς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. »

ΑΠΟΚΡΙΣΙΣ.

Τῶν ἐν Κυρίῳ κατορθωμάτων τὰ μὲν προθέσει καὶ κρίσει ψυχῆς ἐκτελεῖται, τὰ δὲ διὰ σώματος ἐνεργεῖται ἢ ἐν σπουδῇ ἢ ἐν ὑπομονῇ. Ὅσα μὲν οὖν ἐν προθέσει τῆς ψυχῆς καὶ κρίσει κεῖται (40), ταῦτα ἐγκόψαι οὐδενὶ τρόπῳ δυνατόν ἐστι τῷ Σατανᾷ· ἐν δὲ τοῖς διὰ σωματικῆς ἐνεργείας κατορθουμένοις πολλάκις τι καὶ συγχωρεῖ ὁ Θεὸς γενέσθαι ἐμπόδιον, εἰς δοκιμὴν καὶ ἔλεγχον τοῦ ἐμποδιζομένου, ἵνα ἢ μετατιθέμενος τῆς ἀγαθῆς προθέσεως ἐλεγχθῇ, ὡς οἱ ἐπὶ τῆς πέτρας σπαρέντες, οἳ πρὸς ὀλίγον μὲν τὸν λόγον μετὰ (41) χαρᾶς ἐδέξαντο, γενομένης δὲ θλίψεως, εὐθέως ἀπέστησαν· ἢ ἐπιμένων τοῖς καλοῖς ἀποδειχθῇ ἐν σπουδῇ τῶν κατορθωμάτων, ὡς αὐτὸς ὁ Ἀπόστολος, ὃς πολλάκις προθέμενος ἀπελθεῖν πρὸς τοὺς Ῥωμαίους, καὶ κωλυθείς, ὡς αὐτὸς ὡμολόγησεν, ὅμως οὐκ ἐπαύσατο θέλων, μέχρις ὅτε καὶ ἐπλήρωσεν ὃ προέθετο· ἐν δὲ ὑπομονῇ, ὡς ὁ Ἰώβ, ὅς, τοσαῦτα (42) ὑπὸ τοῦ διαβόλου παθών, ἀναγκάζοντος φθέγξασθαί τι βλάσφημον, ἢ ἀχαριστῆσαι Θεῷ, καὶ μέχρι τῶν ἐσχάτων συμφορῶν οὐκ ἐξέστη τῆς εὐσεβοῦς κρίσεως, καὶ τοῦ φρονεῖν περὶ Θεοῦ ὑγιῶς. Γέγραπται γὰρ περὶ αὐτοῦ· *Ἐν πᾶσι τούτοις οὐδὲν ἥμαρτεν* (43) *Ἰὼβ τοῖς χείλεσιν αὐτοῦ ἐναντίον τοῦ Θεοῦ, καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ.*

ΕΡΩΤΗΣΙΣ ΣΟϚ'.

Τί ἐστι τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον, « Εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθόν, καὶ εὐάρεστον, καὶ τέλειον; »

ΑΠΟΚΡΙΣΙΣ.

Πολλά ἐστιν, ἃ ὁ Θεὸς θέλει· τὰ μὲν ἐν (44) μακροθυμίᾳ καὶ χρηστότητι, ἅπερ ἀγαθά ἐστί τε καὶ λέγεται· τὰ δὲ κατ' ὀργὴν διὰ τὰς ἁμαρτίας ἡμῶν, ἅπερ κακὰ ὀνομάζεται. *Ἐγὼ γάρ εἰμι*, φησίν, *ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά*. Κακὰ δέ, οὐχ ὑπὲρ ὧν κολαζόμεθα, ἀλλὰ δι' ὧν παιδευόμεθα. Τὰ δὲ παιδεύοντα, καὶ διὰ τῆς κακώσεως εἰς ἐπιστροφὴν ἄγοντα, γίνεται εἰς ἀγαθόν. Ὅσα μὲν οὖν μα-

A cogitatione, cum Apostolus dicat : ***Fiduciam autem talem habemus per Christum ad Deum : non quod sufficientes sumus cogitare aliquid a nobis, quasi ex nobis : sed sufficientia nostra ex Deo est***[53], *qui docet hominem scientiam*[54], sicut scriptum est.

INTERROGATIO CCLXXV.

Nunquid sancti alicujus consilium propositumque Satanas possit impedire : quoniam scriptum est : « Ego uidem Paulus proposui venire et semel et iterum, sed impedivit nos Satanas[55]*. »*

RESPONSIO.

Inter recte facta quæ in Domino fiunt, alia perficiuntur a voluntate et a judicio animæ : alia vero ope corporis aut per studium aut per patientiam eduntur. Quæcunque igitur in animæ voluntate ac B judicio sita sunt, ea Satanas impedire nullo modo potest : in iis vero quæ per corporalem actionem geruntur, Deus plerumque, eum, qui impeditur, probaturus ac exploraturus, aliquid nasci permittit impedimenti : ut aut mutasse bonum propositum convincatur, velut ii qui fuerant supra petram seminati, qui ad breve quidem tempus cum gaudio susceperunt verbum, exorta vero adversitate, confestim recesserunt[56] : aut appareat eum per recte factorum studium in bonis perseverare : quemadmodum ipse Apostolus, qui non raro proposuit ad Romanos accedere, et licet impeditus, velut ipse confessus est[57], tamen non destitit velle, donec quod proposuerat, perfecerit ; in patientia vero, C uti Job, qui tanta mala perpessus a diabolo, qui eum impellebat, ut blasphemi aliquid diceret, aut esset in Deum ingratus, nihilominus tamen etiam ad extremas usque calamitates neque a pio judicio, neque a sana de Deo sententia recessit : siquidem de eo scriptum est : ***In omnibus his nihil peccavit Job labiis suis coram Deo, et non dedit insipientiam Deo***[58]?

INTERROGATIO CCLXXVI.

Quid est, quod dictum est ab Apostolo : « Ut probetis quæ sit voluntas Dei bona, et beneplacens, et perfecta[59]*. »*

RESPONSIO.

Multa sunt, quæ vult Deus : alia quidem per tolerantiam et benignitatem, quæ et bona sunt et D vocantur : alia vero per iram ob peccata nostra, quæ nominantur mala. *Ego enim sum*, inquit, *qui facio pacem, et creo mala*[60]. Mala autem, non propter quæ punimur, sed **512** per quæ erudimur. Porro quæ erudiunt, et per afflictationem ad conversionem ducunt, cedunt in bonum. Quæcunque

[53] II Cor. III, 4, 5. [54] Psal. XCIII, 10. [55] I Thess. II, 18. [56] Luc. VIII, 13. [57] Rom. I, 13. [58] Job I, 22. [59] Rom. XII, 2. [60] Isa. XLV, 7.

(40) Editi et Reg. tertius ἐν προθέσει ψυχῆς κεῖται. Codex Voss. et alii duo ut in contextu. Aliquanto infra editi πολλάκις τε καί. At mss. tres πολλάκις τι καί.

(41) Vossii vetus liber et alii duo μὲν τὸν σπόρον μετά, *semen cum gaudio receperunt*. Mox codex Colb. θλίψεως ἢ διωγμῶν.

(42) Antiqui duo libri ὅς, τοιαῦτα.

(43) Unus ms. τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ οὐδέν.

(44) Voculam ἐν addidimus ex libris veteribus.

igitur Deus vult ceu tolerans et benignus, hæc et nos velimus imitemurque necesse est. *Estote enim*, inquit, *misericordes, sicut et Pater vester misericors est* [61]. Itidem Apostolus: *Estote*, inquit, *imitatores Dei, sicut filii charissimi; et ambulate in dilectione, sicut et Christus dilexit nos* [62]. Quæcunque vero peccatorum nostrorum causa per iram inducit, quæ, uti jam dixi, ideo appellantur mala, quod molestiam afferant, ea facere nobis nullo modo licet. Neque enim quoniam voluntas Dei est, ut homines sæpe aut fame, aut peste, aut bello, aut alia quadam hujusmodi calamitate interimantur, convenit huic nos voluntati inservire. Nam ad res hujusmodi etiam malis ministris utitur Deus, juxta id quod scriptum est: *Misit in eos iram indignationis suæ, indignationem, et iram, et tribulationem, immissionem per angelos malos* [63]. Primum igitur quærendum est, quæ sit Dei voluntas bona: deinde, ubi cognoverimus bonam; tum expendendum, an bona hæc voluntas sit etiam Deo grata et accepta. Est enim aliquid quod peculiari quidem ratione et Dei est voluntas, et bona voluntas est: sed tamen, si id factum sit modo aut personæ aut tempori non apto, non jam amplius Deo placet. Exempli causa, voluntas erat Dei, eaque bona erat, adolere Deo: sed Deo gratum non erat id a Dathan et ab Abiron præstari [64]. Ac rursus, Dei est voluntas, eaque bona est, ut detur eleemosyna: sed id ad humanam gloriam consequendam facere, non amplius Deo gratum est [65]. Et iterum, voluntas Dei erat, eaque bona erat, ut discipuli id quod in aurem audierant, prædicarent super tecta [66]: sed ante tempus quidquam dicere, non jam amplius Deo erat jucundum: *Nemini enim*, inquit, *dixeritis visionem hanc, donec Filius hominis a mortuis resurgat* [67]. Et in summa omnis voluntas Dei bona tunc etiam placita est, cum in ipsa impletum fuerit quod dictum est ab Apostolo: *Omnia in Dei gloriam facite* [68]. Et, *Omnia honeste et secundum ordinem fiant* [69]. Rursus vero, cum aliqua fuerit voluntas Dei, eaque bona ac grata exstiterit, ne sic quidem oportet securo esse animo: sed contendere et curare, ut id perfectum sit et integrum, modo habita ratione ejus quæ fit rei, an fiat ex præcepto, modo facientis consideratis viribus. *Diliges enim*, inquit, *Dominum Deum tuum ex tota anima tua, et ex tota virtute tua, et ex omnibus viribus tuis, et ex tota mente tua, et proximum tuum sicut teipsum* [70]: quemadmodum etiam in Evangelio secundum Joannem Dominus docuit. Sed et sic conficiendum est mandatum

A χροθυμῶν καὶ χρηστευόμενος θέλει ὁ Θεὸς, ταῦτα καὶ ἡμᾶς καὶ θέλειν καὶ μιμεῖσθαι ἀναγκαῖον. *Γίνεσθε γὰρ*, φησὶν, *οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν* (45) *οἰκτίρμων ἐστίν*. Καὶ ὁ Ἀπόστολος δὲ, *Γίνεσθε*, φησὶ, *μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά· καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς*. Ὅσα δὲ κατ' ὀργὴν διὰ τὰς ἁμαρτίας ἡμῶν ἐπάγει, ταῦτα κακὰ λεγόμενα, ὡς εἶπον, τῷ λόγῳ τῆς κακώσεως, οὐ πάντως καὶ ἡμῖν ἔξεστι ποιεῖν (46). Οὐ γὰρ ἐπειδὴ θέλημα Θεοῦ ἐστι, λιμῷ πολλάκις, ἢ λοιμῷ, ἢ πολέμῳ, ἢ ἄλλῳ τινὶ τοιούτῳ διαφθαρῆναι ἀνθρώπους, τῷ θελήματι τούτῳ ἐξυπηρετεῖσθαι ἡμᾶς χρή. Πρὸς γὰρ τὰ τοιαῦτα καὶ ὑπηρέταις κακοῖς ὁ Θεὸς κέχρηται, κατὰ τὸ εἰρημένον, ὅτι *Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ* B *αὐτοῦ, θυμὸν καὶ ὀργὴν, καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν*. Οὐκοῦν πρῶτον μὲν ζητεῖν δεῖ, τί τὸ ἀγαθὸν θέλημα τοῦ Θεοῦ· εἶτα, ὅταν γνωρίσωμεν τὸ ἀγαθὸν (47), ἐξετάζειν, εἰ τὸ ἀγαθὸν τοῦτο καὶ εὐάρεστον τῷ Θεῷ ἐστιν. Ἔστι γάρ τι, ὃ τῷ μὲν ἰδίῳ λόγῳ καὶ θέλημα Θεοῦ ἐστι, καὶ ἀγαθόν ἐστιν· ὅταν δὲ ἢ παρὰ πρόσωπον, ἢ παρὰ καιρὸν γένηται, οὐκέτι καὶ εὐάρεστον Θεῷ ἐστιν. Οἷον, θέλημα Θεοῦ ἦν, καὶ ἀγαθὸν ἦν τὸ θυμιᾷν Θεῷ, ἀλλ' οὐκ ἦν εὐάρεστον Θεῷ, τοὺς περὶ Δαθὰν καὶ Ἀβειρὼν τοῦτο ποιεῖν. Καὶ πάλιν, θέλημα Θεοῦ ἐστι, καὶ ἀγαθόν ἐστι τὸ ἐλεημοσύνην ποιεῖν· ἀλλὰ τὸ ἕνεκεν τοῦ δοξασθῆναι ὑπὸ τῶν ἀνθρώπων ποιεῖν, οὐκέτι καὶ εὐάρεστον Θεῷ ἐστι. Καὶ πάλιν, θέλημα Θεοῦ ἦν, C καὶ ἀγαθὸν ἦν τὸ τοὺς μαθητὰς, ὃ πρὸς τὸ οὖς ἤκουσαν, κηρύξαι ἐπὶ τῶν δωμάτων· ἀλλὰ τὸ πρὸ καιροῦ τι εἰπεῖν οὐκέτι καὶ εὐάρεστον ἦν τῷ Θεῷ· *Μηδενὶ γὰρ εἴπητε*, φησὶ, *τὸ ὅραμα τοῦτο, ἕως οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ*. Καὶ καθόλου πᾶν θέλημα Θεοῦ ἀγαθὸν τότε καὶ εὐάρεστόν ἐστιν, ὅταν πληρωθῇ ἐπ' αὐτῷ τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον· *Πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε*· καὶ, *Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω*. Πάλιν δὲ, ὅταν καὶ θέλημα Θεοῦ ᾖ τι, καὶ ἀγαθὸν ᾖ, καὶ εὐάρεστον ᾖ, οὐδ' οὕτως ἀμεριμνεῖν χρὴ, ἀλλ' ἀγωνιᾷν καὶ φροντίζειν, ὅπως τέλειον καὶ ἀνελλιπὲς τοῦτο ᾖ· ἐν μέτρῳ ποτὲ μὲν τοῦ γινομένου, εἰ κατὰ τὸ προστεταγμένον γίνεται, ποτὲ δὲ τῆς τοῦ ποιοῦντος δυνάμεως. *Ἀγαπήσεις γὰρ*, φησὶ, *Κύριον τὸν* D *Θεόν σου ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν*· καθὼς καὶ ὁ (48) Κύριος ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ ἐδίδαξε. Καὶ πᾶσαν δὲ ἐντολὴν (49), καθὼς γέγραπται· *Μακάριος γὰρ*, φησὶν,

[61] Luc. VI, 36. [62] Ephes. V, 1, 2. [63] Psal. LXXVII, 49. [64] Num. XVI, 1 sqq. [65] Matth. VI, 2. [66] Matth. X, 27. [67] Matth. XVII, 9. [68] I Cor. X, 31. [69] I Cor. XIV, 40. [70] Luc. X, 27.

(45) Vossii vetus liber Πατὴρ ὑμῶν ὁ οὐράνιος. Aliquanto post unus ms. ἠγάπησεν ὑμᾶς.

(46) Sic libri veteres, non ut editi, in quibus verbum ποιεῖν desideratur. Aliquanto infra codex Colb. ὑπηρέταις πονηροῖς.

(47) Codex Colb. γνωρίσωμεν τὸ ἀγαθὸν θέλημα.

(48) Editi τὸν πλησίον, καθὼς ὁ. Veteres duo libri ita, ut in contextu legi potest.

(49) Illud, καὶ πᾶσαν δὲ ἐντολὴν, aut ἐλλειπτικῶς dictum est, aut hoc loco aliquid a librariis omissum fuit. Mox editi et Reg. tertius φησὶν ὁ Κύριος, ὃν ἐλθὼν ὁ Κύριος εὑρήσει. Codex Colb. ut in contextu.

ὁ δοῦλος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ, εὑρήσει ποιοῦντα οὕτως.

ΕΡΩΤΗΣΙΣ ΣΟΖ'.

Ποῖόν ἐστι τὸ ταμιεῖον, εἰς ὃ εἰσελθεῖν τὸν προσευχόμενον προστάσσει ὁ Κύριος;

ΑΠΟΚΡΙΣΙΣ.

Ταμιεῖον μεν ἡ συνήθεια ὀνομάζειν οἶδεν οἶκον σχολάζοντα καὶ ἀνακεχωρημένον, ἐν ᾧ ἀποτιθέμεθα ἅπερ ἂν ταμιεύσασθαι βουληθῶμεν· ἢ ἐν ᾧ κρυβῆναι δυνατὸν, κατὰ τὸ καὶ ἐν τῷ προφήτῃ εἰρημένον· *Βάδιζε, λαός μου, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, ἀποκρύβηθι.* Τὴν δὲ δύναμιν τῆς ἐντολῆς ἡ ὑπόθεσις σαφηνίζει· πρὸς γὰρ τοὺς νοσοῦντας τὸ πάθος τῆς ἀνθρωπαρεσκείας ὁ λόγος ἐστίν. Ὥστε ἐὰν μέν τις ὑπὸ τοῦ πάθους ἐκείνου παρενοχλῆται, καλῶς B ποιεῖ, ὑπαναχωρῶν ἐν τῇ προσευχῇ καὶ μονούμενος, μέχρις ἂν δυνηθῇ ἀναλαβεῖν τὴν ἕξιν τοῦ μὴ περιβλέπεσθαι (50) εἰς τοὺς παρὰ τῶν ἀνθρώπων ἐπαίνους, εἰς μόνον δὲ τὸν Θεὸν ἀποβλέπειν, κατὰ τὸν εἰπόντα· *Ἰδοὺ, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν· ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν.* Ἐὰν δέ τις Θεοῦ χάριτι καθαρεύῃ τοῦ πάθους ἐκείνου, οὐκ ἔχει ἀνάγκην κρύπτειν τὸ καλόν. Ὅπερ διδάσκων αὐτὸς ὁ Κύριος, λέγει· *Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. Οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν* (51) *ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.* Ὁ δὲ αὐτὸς C νοῦς καὶ ἐπὶ τῆς ἐλεημοσύνης καὶ ἐπὶ τῆς νηστείας, ἅπερ ἐν τῷ αὐτῷ τόπῳ κεῖται· καὶ καθόλου ἐπὶ παντὸς πράγματος τῆς θεοσεβείας.

ΕΡΩΤΗΣΙΣ ΣΟΗ'.

Πῶς τὸ πνεῦμά τινος προσεύχεται, ὁ δὲ νοῦς αὐτοῦ (52) *ἄκαρπός ἐστιν;*

ΑΠΟΚΡΙΣΙΣ

Τοῦτο περὶ τῶν ἐν γλώσσῃ ἀγνοουμένῃ τοῖς ἀκούουσι τὰς προσευχὰς ἀναπεμπόντων ἐῤῥέθη. Φησὶ γάρ· *Ἐὰν προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν.* Ὅταν μὲν γὰρ ἄγνωστα ᾖ τοῖς παροῦσι τὰ ῥήματα τῆς D προσευχῆς, ἄκαρπός ἐστιν ὁ νοῦς τοῦ προσευχομένου, μηδενὸς ὠφελουμένου· ὅταν δὲ οἱ παρόντες νοῶσι τὴν προσευχὴν ὠφελεῖν δυναμένην τοὺς ἀκούοντας, τότε ὁ προσευχόμενος καρπὸν ἔχει τὴν τῶν ὠφελουμένων βελτίωσιν. Ὁμοίως δὲ καὶ ἐπὶ πάσης ἐκφωνήσεως τῶν τοῦ Θεοῦ ῥημάτων. Γέγραπται γάρ· *Ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς πίστεως.*

A omne, prout scriptum est: *Nam*, inquit, *beatus ille servus quem cum venerit dominus ejus, inveniet sic facientem* [71].

513 INTERROGATIO CCLXXVII

Quale est conclave, in quod orantem intrare Dominus jubet?

RESPONSIO.

Conclave consuetudo nominare solet partem domus vacantem et separatam, in qua reponimus quidquid asservare voluerimus: aut in qua quis potest occultari, juxta id quod in propheta quoque dictum est: *Vade, populus meus, ingredere in conclave tuum, abscondere* [72]. Cæterum vim mandati argumentum ipsum declarat: siquidem sermo est ad ægrotos quosdam, quorum morbus studium erat placendi hominibus. Quare, si quis ab illo vitio infestetur, recte facit, si secedat, sitque in precando solitarius, donec habitum assequi potuerit non respiciendi ad humanas laudes, sed in solum Deum intuendi, exemplo ejus, qui dixit: *Ecce sicut oculi servorum in manibus dominorum suorum: sicut oculi ancillæ in manibus dominæ suæ: ita oculi nostri ad Dominum Deum nostrum* [73]. Quod si quispiam ex Dei munere liber sit ab hoc vitio, non necesse habet bonum abscondere. Id quod docet Dominus ipse, his verbis: *Non potest civitas abscondi supra montem posita. Neque accendunt lucernam, et ponunt eam sub modio, sed super candelabrum, et lucet omnibus qui in domo sunt. Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum, qui in cœlis est* [74]. Atque hoc idem sentiendum est et de eleemosyna et de jejunio, quorum mentio fit in eodem loco; et in universum de omni negotio pietatis.

INTERROGATIO CCLXXVIII.

Quomodo spiritus alicujus orat, mens autem illius sine fructu est?

RESPONSIO.

Hoc dictum est de iis qui lingua aliqua, quæ audientibus ignota sit, precantur. Ait enim: *Si orem lingua, spiritus meus orat, mens autem mea sine fructu est* [75]. Quando enim ignota sunt astantibus precum verba, sine fructu est mens precantis, cum nemo utilitatem ullam percipiat: quando autem qui adsunt, precationem quæ prodesse audientibus possit, intelligunt, tunc qui orat fructum hunc habet, ut meliores fiant qui juvantur. Atque etiam similis ratio est in omni pronuntiatione verborum Dei. Scriptum est enim: *Sed si quis bonus ad ædificationem fidei* [76].

[71] Matth. XXIV, 46. [72] Isa. XXVI, 20. [73] Psal. CXXII, 2. [74] Matth. V, 14-16. [75] I Cor. XIV, 14. [76] Ephes. IV, 29.

(50) Editi παραβλέπεσθαι. Vossii vetus liber et alii tres περιβλέπεσθαι.

(51) Vocem αὐτόν addidi ex duobus codicibus.

(52) Illud αὐτοῦ in editis quidem non legitur, sed ex Colbertino sumptum est.

INTERROGATIO CCLXXIX.

Quid significet illud, « Psallite intelligenter [77]. »

RESPONSIO.

Quod est in cibis sensus qualitatis cibi cujusque, hoc in verbis sacræ Scripturæ est intelligentia. *Nam*, inquit, *fauces cibos degustant :* **514** *mens vero verba dijudicat* [78]. Si quis igitur animo ita afficitur per vim et efficaciam uniuscujusque verbi, velut afficitur gustu per qualitatem cibi cujusque, is confecit mandatum illud : *Psallite intelligenter.*

A

ΕΡΩΤΗΣΙΣ ΣΟΘ'

Τί ἐστι τὸ, « Ψάλατε συνετῶς; »

ΑΠΟΚΡΙΣΙΣ.

Ὅπερ ἐστὶν ἐπὶ τῶν βρωμάτων ἡ αἴσθησις τῆς ποιότητος (53) ἑκάστου βρώματος, τοῦτό ἐστιν ἐπὶ τῶν ῥημάτων τῆς ἁγίας Γραφῆς ἡ σύνεσις. *Λάρυγξ μὲν γὰρ*, φησὶ, *σῖτα γεύεται, νοῦς δὲ ῥήματα διακρίνει* (54). Ἐὰν οὖν τις οὕτω συνδιατεθῇ τὴν ψυχὴν τῇ δυνάμει ἑκάστου ῥήματος, ὡς συνδιατίθεται τὴν γεῦσιν τῇ ποιότητι ἑκάστου βρώματος, ὁ τοιοῦτος ἐπλήρωσε τὴν ἐντολὴν τὴν λέγουσαν· *Ψάλατε συνετῶς.*

INTERROGATIO CCLXXX.

Quis est qui mundus est corde [79]?

RESPONSIO.

Qui non convincitur a semetipso, tanquam qui mandatum spreverit Dei, aut prætermiserit, aut neglexerit.

ΕΡΩΤΗΣΙΣ ΣΠ'

Τίς ἐστιν ὁ καθαρὸς τῇ καρδίᾳ;

B

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ μὴ λαμβανόμενος ἑαυτοῦ ἐπὶ ἀθετήσει ἐντολῆς Θεοῦ, ἢ ἐλλείψει (55), ἢ ἀμελείᾳ.

INTERROGATIO CCLXXXI.

Quæ psallere non vult, an cogenda sit.

RESPONSIO.

Nisi alacriter accedat ad psallendum, et nisi ferat præ se affectum illius, qui dixit : *Quam dulcia faucibus meis eloquia tua, super mel ori meo* [80] : et nisi putet magnum detrimentum desidiam esse, aut corrigatur, aut expellatur, ne modicum fermentum totam massam corrumpat [81].

ΕΡΩΤΗΣΙΣ ΣΠΑ'.

Τὴν μὴ θέλουσαν ψάλαι, εἰ χρὴ ἀναγκάζεσθαι (56).

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μὴ ἐπιθυμητικῶς ἔρχεται ἐπὶ τὸ ψάλλειν, καὶ εἰ μὴ ἐπιφαίνεται αὐτῇ ἡ διάθεσις τοῦ εἰπόντος· *Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου*· καὶ εἰ μὴ ζημίαν μεγάλην ἡγεῖται τὴν ἀργίαν, ἢ διορθωσάσθω, ἢ ἐξαρθήτω, ἵνα μὴ μικρὰ ζύμη ὅλον τὸ φύραμα δολώσῃ

INTERROGATIO CCLXXXII.

Quinam sunt ii, qui dicunt : « Manducavimus coram te, et bibimus : » et tamen audient : « Nescio vos [82]? »

RESPONSIO.

Fortasse illi, quos in sua persona descripsit Apostolus, his verbis : *Si linguis hominum loquar, et angelorum*, et quæ sequuntur. *Et si habeam omnem fidem : et si distribuero omnes facultates meas in cibos pauperum : et si tradidero corpus meum ut comburar, charitatem autem non habeam, nihil mihi prodest* [83]. Quod didicerat Apostolus a Domino, qui de quibusdam dixit : *Faciunt enim ut videantur ab hominibus. Amen dico vobis, recipiunt mercedem suam* [84]. Quidquid enim non charitatis erga Deum, sed humanæ laudis gratia efficitur, qualecunque tandem id fuerit, laudem pietatis non consequitur, sed vituperatur tanquam studium aut placendi hominibus vel sibi ipsi, aut contentionis, aut invidiæ, aut similis cujusdam causæ. Quamobrem quod est hujusmodi, id Dominus iniquitatis

C

ΕΡΩΤΗΣΙΣ ΣΠΒ'.

Τίνες εἰσὶν οἱ λέγοντες, « Ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν, » καὶ ἀκούοντες, « Οὐκ οἶδα ὑμᾶς; »

ΑΠΟΚΡΙΣΙΣ.

Τάχα ἐκεῖνοι, οὓς ὑπέγραψεν ὁ Ἀπόστολος ἐπὶ τοῦ ἰδίου προσώπου, εἰπών· *Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ, καὶ τῶν ἀγγέλων*, καὶ τὰ ἑξῆς. *Καὶ ἐὰν ἔχω πᾶσαν τὴν γνῶσιν, καὶ πᾶσαν τὴν πίστιν· καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου· καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι* (57). Ὅπερ ἐπαιδεύθη ὁ Ἀπόστολος παρὰ τοῦ Κυρίου εἰπόντος περί τινων· *Ποιοῦσι γὰρ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν.* Τὸ γὰρ μὴ διὰ τὴν πρὸς Θεὸν

D

ἀγάπην, ἀλλὰ διὰ τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον γινόμενον, οἷον ἂν ᾖ, οὐ θεοσεβείας ἔπαινον εὑρίσκει, ἀλλ' ἀνθρωπαρεσκείας, ἢ αὐταρεσκείας, ἢ φιλονεικίας, ἢ φθόνου, ἤ τινος (58) τοιαύτης αἰτίας ἔχει τὸ χρῖμα. Διὸ καὶ ἀδικίας ἔργον τὸ τοιοῦτον ὁ Κύριος

[77] Psal. XLVI, 8. [78] Job XII, 11, apud LXX. [79] Matth. v, 8. [80] Psal. CXVIII, 103. [81] Galat. v, 9. [82] Luc. XIII, 26, 27. [83] I Cor. XIII, 1 seqq. [84] Matth. VI, 2.

(53) Unus ms. αἴσθησις τῆς πιότητος.

(54) Aliter apud LXX legitur, nempe hoc modo, οὖς μὲν γὰρ ῥήματα διακρίνει, *Nam auris quidem verba dijudicat:* sed Chrysostomus, ut in notis Nobilii legitur, monet aliqua exemplaria pro οὖς habuisse νοῦς. Statim idem ille quem mox dixi codex τὴν γεῦσιν τῇ πιότητι.

(55) Reg. primus et Voss. ἢ ἐν ἐλλείψει.

(56) Vossii vetus liber et alius ms. θέλουσαν ψάλλειν. Codex Colb. τὸν μὴ θέλοντα.... ἐπιφαίνεται αὐτῷ.

(57) Unus ms. οὐθὲν ὠφελοῦμαι.

(58) Codex Colb. ἢ ἄλλης τινός.

ὀνομάζει, λέγων πρὸς τοὺς εἰπόντας τὸ, *Ἐφάγομεν ἐνώπιόν σου*, καὶ τὰ ἑξῆς· *Ἀπόστητε ἀπ' ἐμοῦ, πάντες ἐργάται ἀδικίας.* Πῶς γὰρ οὐκ ἀδικίας ἐργάται οἱ ταῖς τοῦ Θεοῦ δωρεαῖς εἰς πραγματείαν τῶν ἰδίων ἡδονῶν καταχρώμενοι; Οἷον ἦσαν ἐκεῖνοι περὶ ὧν φησιν ὁ Ἀπόστολος· *Οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ*· καὶ πάλιν· *Νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν*, καὶ πολλὰ τοιαῦτα. Ὧν ἁπάντων καθαρεύων ἀποδέδεικται ἡμῖν ὁ αὐτὸς Ἀπόστολος δι' ὧν φησιν· *Οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν ὑμῖν* (59), *καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας· Θεὸς μάρτυς· οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων.*

A opus appellat, ubi eos qui dixerunt, *Manducavimus coram te*, etc., sic alloquitur : *Discedite a me, omnes operarii iniquitatis* [85]. Quomodo enim non essent operarii iniquitatis, qui Dei donis ad inquirendas suas voluptates abutuntur? Quales erant illi, de quibus dicit Apostolus : *Non enim sumus sicut plurimi adulterantes verbum Dei* [86]. Et rursus : *Existimantium quæstum esse pietatem* [87], et ejusdem generis multa. A quibus omnibus esse se purum nobis declaravit Apostolus, his verbis : *Non quasi hominibus placentes, sed Deo qui* **515** *probat corda nostra. Neque enim aliquando fuimus vobis in sermone adulationis, sicut scitis; neque in occasione avaritiæ : Deus testis est; nec quærentes ab hominibus gloriam, neque a vobis, neque ab aliis* [88].

B

ΕΡΩΤΗΣΙΣ ΣΠΓ'.

Εἰ ὁ ποιῶν τὸ θέλημά τινος κοινωνός ἐστιν ἐκείνου.

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ πιστεύομεν τῷ Κυρίῳ λέγοντι· *Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας*· καὶ πάλιν· *Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ* (60) *διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν*· οἴδαμεν, ὅτι οὐχὶ κοινωνὸς ἁπλῶς, ἀλλὰ κύριον ἑαυτοῦ καὶ πατέρα ἐπιγράφεται ἐκεῖνον, οὗ τὸ ἔργον ποιεῖ, κατὰ τὴν τοῦ Κυρίου φωνήν. Μαρτυρεῖ δὲ τοῦτο σαφῶς καὶ ὁ Ἀπόστολος, λέγων· *Οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην;*

INTERROGATIO CCLXXXIII.

An qui cujuspiam facit voluntatem, socius illius sit.

RESPONSIO.

Si credimus Domino, qui dicit : *Omnis qui facit peccatum, servus est peccati* [89]; et iterum : *Vos ex patre diabolo estis, et desideria patris vestri vultis facere* [90]; intelligimus quod non simpliciter exstitit socius, sed dominum et patrem suum constituit eum, cujus opus facit juxta ipsam Domini vocem. Quin et Apostolus perspicue idipsum testatur, his verbis : *Nescitis quoniam cui exhibetis vos servos ad obediendum, servi estis ejus, cui obe-* C *ditis, sive peccati ad mortem, sive obeditionis ad justitiam* [91]?

ΕΡΩΤΗΣΙΣ ΣΠΔ'.

Ἐὰν πτωχεύσῃ ἀδελφότης διὰ περίστασιν ἢ νόσον (61), *εἰ ἀδιάκριτόν ἐστι παρ' ἑτέρων λαμβάνειν τὰ πρὸς τὴν χρείαν· καὶ εἰ χρὴ, παρὰ τίνων λήψεται.*

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ μνημονεύων τοῦ Κυρίου εἰπόντος, *Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε*, φροντίδα πολλὴν μετὰ σπουδῆς πλείονος καὶ ἐπιμελείας ποιεῖται ἄξιος εἶναι ἀδελφὸς τοῦ Κυρίου (62) τετάχθαι. Ἐὰν οὖν τις τοιοῦτος ᾖ, μὴ διακρινέσθω λαμβάνων, ἀλλ' εὐχαριστείτω. Παρὰ τίνων δὲ χρὴ λαμβάνειν, καὶ πότε, καὶ πῶς, ὁ τὴν κοινὴν φροντίδα ἐπιτεταγμένος δοκιμάζειν ὀφείλει· μνημονεύων τοῦ Δαβὶδ εἰπόντος· *Ἔλαιον ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου*· καὶ πάλιν· *Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.*

INTERROGATIO CCLXXXIV.

Si in egestate sit aliqua fratrum societas ob quamdam adversitatem aut morbum, nunquid sine ulla dubitatione ab aliis possit necessaria recipere. Et si convenit, a quibus hæc accipiet.

RESPONSIO.

Quisquis memor est Domini, qui dixit, *Quatenus fecistis uni ex his fratribus meis minimis, mihi fecistis* [92], studiosius diligentiusque multum adhibet curæ, ut dignus sit qui Domini habeatur frater. Si quis igitur fuerit hujusmodi, accipiat citra ullam hæsitationem, sed gratias agat. A qui- D bus autem accipere conveniat, et quando, et quomodo, expendere debet is cui concredita est communis cura, adeo ut recordetur Davidis, qui dixit : *Oleum peccatoris ne impinguet caput meum* [93]. Ac rursus : *Ambulans in via immaculata, hic mihi ministrabat* [94].

[85] Luc. XIII, 26, 27. [86] II Cor. II, 17. [87] I Tim. VI, 5. [88] I Thess. II, 4-6. [89] Joan. VIII, 34. [90] ibid. 44. [91] Rom. VI 16. [92] Matth. XXV, 40. [93] Psal. CXL, 5. [94] Psal. C, 6.

(59) Vox ὑμῖν deest in Reg. secundo
(60) Codex Colb. πατρὸς ὑμῶν τοῦ. Mox editi κοινωνὸν ἁπλῶς. Veteres quatuor libri præter Voss. κοινωνός.
(61) Editi et Reg. tertius περίστασιν νόσων. Reg. secundus περίστασιν ἢ νόσον, recte. Statim editi εἰ διάκριτον. At mss. εἰ ἀδιάκριτον.
(62) Reg. primus et Voss. ἐν ἀδελφότητι τοῦ Κυρίου. Codex Colb. ἐν ἀδελφοῖς τοῦ.

INTERROGATIO CCLXXXV.

An fratrum aliqua societas cum altera negotians, justum rei traditæ pretium sollicite inquirere debeat.

RESPONSIO.

An Scriptura permittat emptionem ac venditionem a fratribus mutuo exerceri, de eo quid dicam non habeo. Docemur enim alii cum aliis res nostras communicare ad usum ac necessitatem, sicut scriptum est : *Vestra abundantia illorum inopiam suppleat, et illorum* **516** *abundantia vestræ inopiæ supplementum sit, ut fiat æqualitas* [95]. Quod si ejusmodi necessitas aliquando contingat, debet emptor magis sollicitus esse, ne res minoris ematur, quam venditor ipse. Meminerint autem utrique ejus, qui dixit : *Damnum inferre viro justo, non est bonum* [96].

INTERROGATIO CCLXXXVI.

Qui in fratrum conventu vivit, sed incidit in morbum corporalem, num in hospitalem domum abducendus sit.

RESPONSIO.

Habenda est ratio loci cujusque, et finis, qui accommodetur ad communem utilitatem, ad gloriam Dei.

INTERROGATIO CCLXXXVII.

Qui sint digni fructus pœnitentiæ.

RESPONSIO.

Opera justitiæ peccato contraria : quos fructus edere debet pœnitens, exsequens quod dictum est : *In omni opere bono fructificantes* [97].

INTERROGATIO CCLXXXVIII.

Qui confiteri vult peccata sua, debetne confiteri omnibus, et quibuslibet, aut quibus?

RESPONSIO.

Consilium benignitatis Dei in peccantibus manifestum est, juxta id quod scriptum est : *Non volo mortem peccatoris, sicut ut convertatur ipse, et vivat* [98]. Quoniam igitur conversionis modus debet peccato congruere, ac etiam opus est fructibus dignis pœnitentiæ, juxta hanc sententiam, *Facite fructus dignos pœnitentiæ* [99], ut ne fructuum penuria locum habeant eæ quæ subsequuntur minæ : *Nam*, inquit, *omnis arbor non faciens fructum bonum, exscinditur, et in ignem mittitur* [1]; peccata iis confiteri necesse est, quibus mysteriorum Dei concredita dispensatio est [2]. Sic enim et qui olim pœnitentiam egerunt, coram sanctis fecisse comperiuntur. Scriptum est enim, in Evangelio quidem [3], quod peccata sua Joanni Baptistæ confitebantur;

A

ΕΡΩΤΗΣΙΣ ΣΠΕ'.

Εἰ χρὴ ἀδελφότητα μετὰ ἀδελφότητος πραγματευομένην τὴν ἀξίαν τιμὴν τοῦ εἴδους περιεργάζεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ μὲν συγχωρεῖ ὁ λόγος ἐν ἀδελφοῖς τὸ ἀγοράζειν παρ' ἀλλήλων καὶ πωλεῖν ἀλλήλοις, οὐκ ἔχω τι λέγειν· κοινωνεῖν γὰρ ἀλλήλοις παιδευόμεθα πρὸς τὴν χρείαν, κατὰ τὸ γεγραμμένον· *Τὸ ὑμῶν* (63) *περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, καὶ τὸ ἐκείνων περίσσευμα εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης*· εἰ δὲ ἄρα συνεμπίπτει ποτὲ τοιαύτη ἀνάγκη, χρὴ τὸν ἀγοράζοντα μᾶλλον ἀκριβεύεσθαι μὴ τῆς ἀξίας ἐλάττονα δῷ τιμὴν (64) ἤπερ τὸν πωλοῦντα. Ἀμφότεροι δὲ μνημονευέτωσαν τοῦ εἰπόντος· *Ζημιοῦν ἄνδρα δίκαιον οὐ καλόν.*

B

ΕΡΩΤΗΣΙΣ ΣΠϚ'.

Εἰ δεῖ τὸν (65) *ἐν ἀδελφότητι ζῶντα, καὶ ἀσθενείᾳ σωματικῇ περιπεσόντα, εἰς ξενοδοχεῖον ἀπάγειν.*

ΑΠΟΚΡΙΣΙΣ.

Στοχάζεσθαι χρὴ ἑκάστου τόπου καὶ σκοποῦ τοῦ οἰκείου πρὸς τὸ κοινῇ συμφέρον εἰς δόξαν Θεοῦ.

ΕΡΩΤΗΣΙΣ ΣΠΖ'.

Τίνες εἰσὶν οἱ ἄξιοι καρποὶ τῆς μετανοίας;

ΑΠΟΚΡΙΣΙΣ.

Τὰ ἀντικείμενα τῇ ἁμαρτίᾳ ἔργα δικαιοσύνης, ἅπερ ὁ μετανοῶν καρποφορεῖν ὀφείλει, ποιῶν τὸ εἰρημένον· *Ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες.* C

ΕΡΩΤΗΣΙΣ ΣΠΗ'.

Ὁ θέλων ἐξομολογήσασθαι τὰς ἁμαρτίας ἑαυτοῦ εἰ πᾶσιν ἐξομολογεῖσθαι ὀφείλει, καὶ τοῖς τυχοῦσιν, ἢ τίσιν;

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ σκοπὸς τῆς φιλανθρωπίας τοῦ Θεοῦ ἐπὶ τῶν ἁμαρτανόντων φανερὸς, κατὰ τὸ γεγραμμένον, ὅτι *Οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.* Ἐπεὶ οὖν καὶ τῆς ἐπιστροφῆς ὁ τρόπος οἰκεῖος ὀφείλει εἶναι τοῦ ἁμαρτήματος (66), καὶ καρπῶν δὲ χρεία ἀξίων τῆς μετανοίας, κατὰ τὸ γεγραμμένον· *Ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας*, ἵνα μὴ τὰ τῆς ἐπιφερομένης ἀπειλῆς συμβῇ ἐν τῇ ἐλλείψει τῶν καρπῶν· D *Πᾶν γὰρ δένδρον*, φησὶ, *μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται*· ἀναγκαῖον τοῖς πεπιστευμένοις (67) τὴν οἰκονομίαν τῶν μυστηρίων τοῦ Θεοῦ ἐξομολογεῖσθαι τὰ ἁμαρτήματα. Οὕτω γὰρ καὶ οἱ πάλαι μετανοοῦντες ἐπὶ τῶν ἁγίων εὑρίσκονται πεποιηκότες. Γέγραπται γὰρ ἐν μὲν τῷ Εὐαγγελίῳ,

[95] II Cor. VIII, 14. [96] Prov. XVII, 26. [97] Coloss. I, 10. [98] Ezech. XXXIII, 11. [99] Luc. III, 8. [1] ibid. 9. [2] I Cor. IV, 1. [3] Matth. III, 6.

(63) Codex Colb. τὸ ἡμῶν... τὸ ἡμῶν ὑστέρημα. Aliquanto post duo mss. συνεμπίπτοι.

(64) Reg. primus μὴ τῆς ἀξίας τιμῆς ἐλάττονα δῷ ἤπερ. In Vossii vetere libro legitur quoque τιμῆς.

(65) Codex Colb. εἰ χρὴ τὸν... ἀπάγεσθαι. Mox Reg. primus τὸ οἰκεῖον.

(66) Editi τοῦ ἁμαρτάνοντος. Antiqui tres libri τοῦ ἁμαρτήματος.

(67) Codex Colb. τοῖς ἐμπιστευομένοις. Statim Reg. primus τὰ ἁμαρτήματα αὐτῶν· οὕτω.

ὅτι τῷ Βαπτιστῇ Ἰωάννῃ ἐξωμολογοῦντο τὰς ἁμαρτίας αὐτῶν· ἐν δὲ ταῖς Πράξεσι, τοῖς ἀποστόλοις, ὑφ' ὧν καὶ ἐβαπτίζοντο ἅπαντες.

A in Actis vero [a], apostolis ipsis, a quibus etiam baptizabantur cuncti.

ΕΡΩΤΗΣΙΣ ΣΠΘ'.

Ὁ μετανοήσας ἐπὶ ἁμαρτήματι, καὶ πάλιν εἰς τὸ αὐτὸ ἐμπεσὼν ἁμάρτημα, τί ποιήσει;

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ ἅπαξ τινα μετανοήσαντα τὴν αὐτὴν πάλιν ποιῆσαι ἁμαρτίαν ἔλεγχός ἐστι τοῦ τὸ πρῶτον αἴτιον τῆς ἁμαρτίας ἐκείνης μὴ ἐκκαθᾶραι, ἀφ' οὗ, καθάπερ ἀπὸ ῥίζης τινὸς, πάλιν ἀνάγκη τὰ ἴσα φύεσθαι. Ὡς γὰρ εἴ τις φυτοῦ τοὺς κλάδους ἐκκόψαι θελήσειε, τὴν ῥίζαν ἐάσας, οὐδὲν ἧττον ἡ ῥίζα μένουσα τὰ αὐτὰ πάλιν (68) βλαστάνει· οὕτως, ἐπειδή τινα τῶν ἁμαρτημάτων οὐκ ἐν ἑαυτοῖς ἔχει τὴν ἀρχὴν, ἀλλ' ἐξ ἑτέρων φύεται, ἀνάγκη πᾶσα τὸν καθαρεῦσαι ἀπ' αὐτῶν βουλόμενον τὰ πρῶτα αἴτια τῶν ἁμαρτημάτων ἐκείνων ἐξᾶραι· οἷον, ἔρις ἢ φθόνος οὐκ ἀφ' ἑαυτῶν ἄρχεται (69), ἀλλ' ἀπὸ ῥίζης τῆς φιλοδοξίας βλαστάνει. Ἀντιποιούμενος γὰρ τῆς δόξης τῆς παρὰ τοῖς ἀνθρώποις, ἐρίζει τῷ εὐδοκιμοῦντι, ἢ φθονεῖ τῷ παρευδοκιμοῦντι. Ἐὰν οὖν, ἅπαξ τις λαβόμενος ἑαυτοῦ ἐπὶ φθόνῳ, ἢ ἔριδι, πάλιν τοῖς αὐτοῖς περιπέσῃ, γνωριζέτω (70) ἑαυτὸν τὸ πρῶτον αἴτιον τοῦ φθόνου ἢ τῆς ἔριδος, τὴν φιλοδοξίαν ἐν βάθει νοσοῦντα. Καὶ χρή γε αὐτὸν ἐκ τοῦ ἐναντίου διὰ τῶν τῆς ταπεινοφροσύνης γυμνασμάτων (γυμνάσιον γὰρ ταπεινοφροσύνης ἡ ἐν τοῖς εὐτελεστέροις πράγμασι διατριβὴ) τὸ πάθος τῆς φιλοδοξίας θεραπεῦσαι, ἵνα οὕτως, ἐν διαθέσει τῆς ταπεινοφροσύνης γενόμενος, μηκέτι ἐκπέσῃ εἰς τὰ προειρημένα τῆς φιλοδοξίας βλαστήματα· καὶ ἐφ' ἑκάστῳ τῶν τοιούτων ἁμαρτημάτων ὁμοίως.

INTERROGATIO CCLXXXIX.

Quem pœnituit peccati, et rursus in idem peccatum labitur, quid faciet?

RESPONSIO.

Si quis acta semel pœnitentia rursus idem peccatum admittat, liquet primam peccati illius causam non fuisse expurgatam, a qua veluti a quadam radice similia necesse est nasci. Quemadmodum enim si quis relicta radice voluerit **517** arboris ramos resecare, nihilominus radix manens aliquid haud dissimile rursus producit; sic quoniam pec-
B cata aliqua non in seipsis habent principium, sed ex aliis originem ducunt, necessarium omnino est eum qui ab ipsis purus esse vult, primas peccatorum illorum causas tollere. Exempli causa, jurgium aut invidia haudquaquam a seipsis sumunt exordium, sed ex radice amoris gloriæ pullulant. Qui enim humanam gloriam aucupatur, huic jurgium est cum eo, qui bene audit: aut ei invidet, cui fuerit nominis splendore inferior. Si quis igitur, ubi se ipse semel condemnaverit invidiæ aut dissidii, in eadem rursus vitia incidat, noverit in intimis laborare se ex primaria illa invidiæ aut altercationis causa, ipso videlicet gloriæ studio. Et quidem oportet eum ex diverso per humilitatis exercitia (exercitium autem humilitatis est, in
C vilioribus negotiis occupari) id vitium amoris gloriæ curare, ut sic animo humili affectus, deinceps in ea, quæ ante diximus amoris gloriæ germina nequaquam incidat: et in singulis ejusmodi peccatis similiter.

ΕΡΩΤΗΣΙΣ ϹϞ'.

Πῶς περισσεύει τις ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε;

ΑΠΟΚΡΙΣΙΣ.

Ἤτοι τὸ διδόμενον χάρισμα πολυπλασιάζων ἐν τῇ τῶν εὐεργετουμένων ὑπ' αὐτοῦ ὠφελείᾳ καὶ προκοπῇ, ἢ ἐκ συγκρίσεως τῶν ἀνθρωπίνων σπουδασμάτων τὸ πλέον τῆς σπουδῆς ἐπιδεικνύμενος ἐν τῷ ἔργῳ τοῦ Κυρίου.

INTERROGATIO CCXC.

Quomodo abundat quis in opere Domini semper [b]?

RESPONSIO.

Videlicet cum aut traditum sibi donum multiplicat, eorum, quibus benefacit, utilitati atque profectui consulendo: aut studium majus in opere Domini ostendit, quam in iis rebus, quæ ab hominibus magnopere requiruntur.

ΕΡΩΤΗΣΙΣ ϹϞΑ'.

Τίς ἐστιν (71) ὁ συντετριμμένος κάλαμος, ἢ τὸ τυφόμενον λίνον; καὶ πῶς τις τὸ μὲν οὐ κατεάξει, τὸ δὲ οὐ σβέννυσιν·

ΑΠΟΚΡΙΣΙΣ.

Συντετριμμένον μὲν κάλαμον λογίζομαι εἶναι τὸν ἐν πάθει τινὶ ποιοῦντα ἐντολὴν Θεοῦ· ὃν κατεάσσειν καὶ ἀποκόπτειν οὐ χρὴ, ἀλλὰ μᾶλλον θεραπεύειν,

D
INTERROGATIO CCXCI.

Quæ est arundo quassata, aut fumigans linum? et quomodo quis illam non confringet hoc vero non exstinguit [c]?

RESPONSIO

Quassatam arundinem arbitror esse eum, qui vitio alicui obnoxius, mandatum Dei conficit: quem confringere et abscindere non oportet, sed

[a] Act. XIX, 18. [b] I Cor. XV, 58. [c] Matth. XII, 28.

(68) Veteres duo libri τὰ αὐτὰ πάλιν. Alii duo mss. et editi ταῦτα.

(69) Reg. primus οὐ καθ' ἑαυτὰ ἄρχεται. Vossii vetus liber οὐ καθ' ἑαυτῶν. Mox duo mss. γάρ τις δόξης.

(70) Editi γνωρίζεται. Antiqui tres libri præter Voss. γνωριζέτω.

(71) Reg. tertius Τί ἐστιν. Nec ita multo infra, ubi in editis legitur κατεάξει, in nostris quatuor codicibus scriptum invenitur κατεάσσει. Subinde Colb. οὐ σβεννύει.

curare potius, velut Dominus docuit cum dixit : *Attendite ne eleemosynam vestram faciatis coram hominibus, ut videamini ab eis* [7]. Quin et Apostolus præceptum dat, his verbis : *Omnia facite sine murmurationibus et disceptationibus* [8]. Et alio in loco : *Nihil per contentionem, aut inanem gloriam* [9]. Linum vero fumigans esse dicitur, cum quis exsequitur mandatum non ardenti desiderio, nec perfecto studio, sed segnius quodammodo ac remissius : quem non convenit coercere, sed potius excitare, recordatione judiciorum Dei, ac promissorum ipsius.

518 INTERROGATIO CCXCII.

Nunquid conveniat, ut in fratrum societate magister sit puerorum sæcularium

RESPONSIO.

Cum Apostolus dixerit : *Patres, nolite ad iracundiam provocare filios vestros : sed educate illos in disciplina et correptione Domini* [10], si qui eos adducunt, adducant hac mente, et qui suscipiunt, tales sint ut planissime confidant posse se oblatos pueros in disciplina ac correctione Domini educare, servetur quod a Domino præceptum est his verbis : *Sinite parvulos venire ad me, et nolite eos prohibere : talium est enim regnum cœlorum* [11]. Sed citra propositum et spem ejusmodi, neque hoc gratum Deo, neque conveniens nobis, neque utile esse existimo.

INTERROGATIO CCXCIII.

Quomodo cum iis agendum est, qui devitant graviora peccata : patrant vero leviora indiscriminatim.

RESPONSIO.

Primum quidem nosse oportet, hanc differentiam in Novo Testamento non reperiri. Una namque habetur sententia adversus quælibet peccata, cum Dominus dicat : *Qui facit peccatum, servus est peccati* [12]. Et rursus : *Sermo quem locutus sum, ille judicabit eum in novissimo die* [13] ; et Joannes clamat : *Qui non obedit Filio, non videbit vitam, sed ira Dei manebit super ipsum* [14] ; contumacia non ob peccatorum discrimen, sed ob transgressionem locum comminationi præbente. Uno verbo, si parvum et magnum peccatum liceat nobis dicere, sine controversia negari non potest, hoc cuique magnum esse, cujus quisque subjicitur dominio : illud vero parvum, cui quisque dominatur ; ut in athletis fortior est qui vincit : victus vero debilior victore est, quisquis ille sit. Quapropter erga quemcunque cujusque generis pecca-

A ὡς ὁ Κύριος ἐδίδαξεν, εἰπών· *Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς.* Καὶ ὁ Ἀπόστολος παραγγέλλει, λέγων· *Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν*· καὶ ἀλλαχοῦ· *Μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξίαν.* Λίνον δὲ τυφόμενον, ὅταν τις ποιῇ τὴν ἐντολὴν μὴ διαπύρῳ ἐπιθυμίᾳ καὶ τελείᾳ σπουδῇ, νωθρότερον δέ πως καὶ χαυνότερον, ὃν οὐ χρὴ παύειν, διεγείρειν δὲ μᾶλλον ὑπομνήσει τῶν κριμάτων τοῦ Θεοῦ, καὶ τῶν ἐπαγγελιῶν αὐτοῦ

ΕΡΩΤΗΣΙΣ ΣϞΒʹ.

Εἰ χρὴ ἐν ἀδελφότητι παιδίων βιωτικῶν εἶναι διδάσκαλον (72).

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Ἀποστόλου εἰπόντος· *Οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου*· ἐὰν οἱ προσάγοντες ἐπὶ τοιούτῳ σκοπῷ προσάγωσι, καὶ οἱ δεχόμενοι πληροφορίαν ἔχωσιν, ὅτι δύνανται ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἐκθρέψαι τὰ προσαγόμενα, φυλασσέσθω τὸ ὑπὸ τοῦ Κυρίου προστεταγμένον, εἰπόντος· *Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.* Ἄνευ δὲ τοῦ τοιούτου σκοποῦ καὶ τῆς τοιαύτης ἐλπίδος οὔτε Θεῷ ἀρέσκον τοῦτο, καὶ ἡμῖν οὔτε πρέπον οὔτε συμφέρον λογίζομαι.

C ΕΡΩΤΗΣΙΣ ΣϞΓʹ.

Πῶς δεῖ προσφέρεσθαι τοῖς τὰ μείζονα τῶν ἁμαρτημάτων παραιτουμένοις, τὰ δὲ μικρὰ ἀδιαφόρως ποιοῦσιν;

ΑΠΟΚΡΙΣΙΣ.

Πρῶτον μὲν εἰδέναι χρὴ, ὅτι ἐν τῇ Καινῇ Διαθήκῃ ταύτην τὴν διαφορὰν οὐκ ἔστι μαθεῖν. Μία γὰρ ἀπόφασις κατὰ πάντων ἁμαρτημάτων κεῖται, τοῦ Κυρίου εἰπόντος, ὅτι *Ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας*· καὶ πάλιν (73), ὅτι *Ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ*· καὶ τοῦ Ἰωάννου βοῶντος· *Ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν*· τῆς ἀπειθείας οὐκ ἐν τῇ διαφορᾷ τῶν ἁμαρτημάτων, ἀλλ' ἐν τῇ
D παρακοῇ τὴν ἀπειλὴν ἐχούσης. Ὅλως δὲ, εἰ ἐπιτρεπόμεθα λέγειν μικρὸν καὶ μέγα ἁμάρτημα, ἀναντίῤῥητον ἔδει τὴν ἀπόδειξιν ἑκάστῳ μέγα εἶναι τὸ ἑκάστου κρατοῦν, καὶ μικρὸν τοῦτο, οὗ ἕκαστος κρατεῖ· ὥσπερ ἐπὶ τῶν ἀθλητῶν ὁ μὲν νικήσας ἐστὶν ἰσχυρότερος (74), ὁ δὲ ἡττηθεὶς ἀσθενέστερος τοῦ ἐπικρατεστέρου, ὅστις ἂν ᾖ. Δεῖ οὖν ἐπὶ παντὸς ἁμαρ-

[7] Matth. VI, 1. [8] Philipp. II, 14. [9] ibid. 3. [10] Ephes. VI, 4. [11] Matth. XIX, 14. [12] Joan. VIII, 34. [13] Joan. XII, 48. [14] Joan. III, 36.

(72) Reg. primus εἶναι διδασκαλεῖον, *scholam esse.* Aliquanto post duo mss. σκοπῷ προσάγωσι. Reg. primus προάγωσι. Subinde tres mss. πληροφορίαν ἔχωσιν. Editi et unus ms. προσάγουσι... ἔχουσιν.

(73) Vossii vetus liber et alii duo καὶ πάλιν· Ὁ. Statim in aliquibus libris legitur μένει, in aliquibus vero μενεῖ· sed sic tamen, ut multo frequentius legatur, μενεῖ, *manebit.*

(74) Codices aliquot perinde ut editi ἰσχυρός. Codex Colb. ἰσχυρότερος. Mox Reg. secundus et editi τοῦ ἐπικρατουμένου. Veteres tres libri præter Voss. ἐπικρατεστέρου.

τάνοντος οἱονδήποτε ἁμάρτημα φυλάσσειν τὸ κρῖμα τοῦ Κυρίου εἰπόντος, ὅτι *Ἂν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον* (75) *αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. Ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σεαυτοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ Ἐκκλησίᾳ· ἐὰν δὲ* (76) *καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης.* Φυλασσέσθω δὲ ἐπὶ πᾶσι τοῖς τοιούτοις τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον· *Διὰ τί οὐ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας;* Χρὴ γὰρ τὴν μακροθυμίαν καὶ τὴν εὐσπλαγχνίαν ἐπιφέρεσθαι (77) τῇ ἀποτομίᾳ.

ΕΡΩΤΗΣΙΣ ΣϞΔ

Ἐκ ποίας αἰτίας ἐκπίπτει (78) *τις τῆς διηνεκοῦς μνήμης τοῦ Θεοῦ.*

ΑΠΟΚΡΙΣΙΣ

Ἐάν τις ἀμνήμων γένηται τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, καὶ ἀσυνείδητος εὑρεθῇ πρὸς τὸν εὐεργέτην.

ΕΡΩΤΗΣΙΣ ΣϞΕ

Ἐκ ποίων σημείων γνωρίζεται ὁ μετέωρος.

ΑΠΟΚΡΙΣΙΣ.

Ὅταν ἀμελῇ τις τῶν πρὸς εὐαρέστησιν Θεοῦ, τοῦ Προφήτου εἰπόντος· *Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.*

ΕΡΩΤΗΣΙΣ ΣϞϚ'.

Πῶς πληροφορηθῇ ἡ ψυχὴ, ὅτι τῶν ἁμαρτημάτων καθαρεύει

ΑΠΟΚΡΙΣΙΣ.

Ἐὰν καταμάθῃ τις ἐν ἑαυτῷ τὴν διάθεσιν τοῦ Δαβὶδ, εἰπόντος· *Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην*· ἢ καταμάθῃ εἰ κατώρθωσεν ἐν ἑαυτῷ τὸ παρὰ τοῦ Ἀποστόλου προστεταγμένον, εἰπόντος· *Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία· δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ*· ἔνθα καὶ πλατύνων κατὰ παντὸς ἁμαρτήματος τὸ τοιοῦτον κρῖμα, ἐπήγαγεν· *Ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας*, ἵνα δυνηθῇ εἰπεῖν, ὅτι *Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή· ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον.* Γνωρίζει δέ τις ἑαυτὸν ἐν τοιαύτῃ διαθέσει καθεστῶτα, ἐὰν καὶ πρὸς τοὺς ἁμαρτάνοντας τὴν αὐτὴν τοῖς ἁγίοις φρικώδη συμπάθειαν ἀναλάβῃ· τοῦ μὲν Δαβὶδ εἰπόντος· *Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο*· τοῦ δὲ Ἀποστόλου λέ-

A tum admittentem servandum est præceptum Domini, qui dixit : *Si peccaverit in te frater tuus, vade, corripe eum inter te et ipsum solum. Si te audierit, lucratus es fratrem tuum : si autem non audierit, adhibe tecum adhuc unum, vel duos, ut in ore duorum aut trium testium stet omne verbum. Quod si non audierit eos, dic Ecclesiæ ; si autem Ecclesiam quoque non audierit, sit tibi sicut ethnicus et publicanus* [15]. Servetur autem in omnibus, quæ sunt ejusmodi, id quod dictum est ab Apostolo : *Quare non magis luctum habuistis, ut tollatur de medio vestrum qui hoc opus fecit* [16]? Oportet enim lenitatem atque misericordiam cum severitate conjungi

B

519 INTERROGATIO CCXCIV.

Quæ causa est, quamobrem excidat quis a jugi recordatione Dei.

RESPONSIO.

Si quis beneficiorum Dei sit immemor, et in benefacientem exstiterit ingratus.

INTERROGATIO CCXCV

Quibus signis cognoscitur is, cujus animus peregre est.

RESPONSIO.

Cum quis negligit ea, quæ conducunt ad placendum Deo, cum Propheta dicat : *Providebam Dominum in conspectu meo semper, quoniam a dextris est mihi, ne commovear* [17].

INTERROGATIO CCXCVI.

C *Qua ratione persuadebit sibi animus, esse se purum a peccatis.*

RESPONSIO.

Si quis in seipso deprehendat affectum Davidis, qui aiebat : *Iniquitatem odio habui et abominatus sum* [18] : aut si conscius fuerit impletum fuisse in semetipso illud præceptum Apostoli, qui dixit : *Mortificate ergo membra vestra quæ sunt super terram, fornicationem, immunditiam, libidinem, concupiscentiam malam, et avaritiam, quæ est simulacrorum servitus : propter quæ venit ira Dei* [19] ; ubi et extendens ejusmodi sententiam adversus omne peccatum, adjecit : *In filios non obedientes*, ut dicere valeat : *Non adhæsit mihi cor pravum : declinantem* D *a me malignum non cognoscebam* [20]. Jam vero intelligit aliquis esse se hoc modo affectum, si etiam adversus peccantes terribilem hanc sanctorum commiserationem induerit. Et quidem David dicit : *Vidi insensatos, et tabescebam, quia eloquia tua non custodierunt* [21]. Apostolus vero ait : *Quis infirmatur, et non infirmor? quis scandalizatur, et ego non uror* [22]"

[15] Matth. XVIII, 15-17. [16] I Cor. V, 2. [17] Psal. XV, 8. [18] Psal. CXVIII, 163. [19] Coloss. III, 5, 6. [20] Psal. C, 3, 4. [21] Psal. CXVIII, 158. [22] II Cor. XI, 29.

(75) Editi Ἂν ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον μεταξύ. Antiqui tres libri ut in contextu. Statim duo mss. et editi παράλαβε μετὰ σεαυτοῦ ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο ἢ τριῶν σταθήσεται. Alii duo mss. ita ut edidimus. Ibidem Reg. primus et Colb. ἐὰν δὲ μηδὲ ὑμῶν ἀκούσῃ, *quod si vos non audierit.*

(76) Vocula καὶ addita est ex priscis duobus libris. Mox duo mss. ἐν πᾶσι.

(77) Reg. primus et Colb. εὐσπλαγχνίαν ἐπιφαίνεσθαι, *oportet commiserationem in severitate ostendi.*

(78) Codex Colb. εἰς πόσας αἰτίας ἐκπίπτει.

Si enim revera anima præstantior est corpore, videmus autem ægerrime ferre nos quasvis sordes in corpore, easque aversari; atque ut omnis lacerationis, ita omnis damni aspectu cordi creari dolorem ac tristitiam; quanto magis æquum est, ut ea quæ diximus, in se ob peccantes sentiat is, qui Christum ac fratres diligit, quotiescunque viderit peccantium animam velut a bestiis sauciari ac corrodi, atque ceu saniem putredinemque in ea apparere? David dicit: *Iniquitates meæ supergressæ* 520 *sunt caput meum: sicut onus grave gravatæ sunt super me. Putruerunt et corruptæ sunt cicatrices meæ a facie insipientiæ meæ. Miser factus sum et curvatus sum usque in finem: tota die contristatus ingrediebar* [23]. Ait vero Apostolus: *Stimulus mortis, peccatum est* [24]. Cum igitur quis aut ob propria peccata, aut ob aliena, uti jam dictum est initio, animam suam ita affectam perspexerit, tunc certissime credat esse se a peccato liberum.

γοντος· *Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;* Εἰ γὰρ, κατὰ τὴν ἀλήθειαν τοῦ λόγου, ἡ ψυχὴ κρείττων ἐστὶ τοῦ σώματος, ὁρῶμεν δὲ, ὅτι (79) ἐπὶ τοῦ σώματος πᾶσαν μὲν ῥυπαρίαν σιχχαινόμεθα καὶ βδελυσσόμεθα· παντὸς δὲ σπαραγμοῦ καὶ πάσης ἐπιβουλῆς θεωρία συντριμμὸν καὶ λύπην ἐργάζεται τῇ καρδίᾳ· πόσῳ μᾶλλον ἀκόλουθον (80) τὰ προειρημένα πάσχειν ἐπὶ τοῖς ἁμαρτάνουσι τὸν φιλόχριστον καὶ φιλάδελφον, ὅταν βλέπῃ τῶν ἁμαρτανόντων, ὥσπερ ὑπὸ θηρίων, τιτρωσκομένην τὴν ψυχὴν, καὶ βιβρωσκομένην, καὶ ὥσπερ ἰχῶρας καὶ σηπεδόνας ἐπιφαίνουσαν; τοῦ μὲν Δαβὶδ εἰπόντος, ὅτι *Αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου· ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους· ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην·* τοῦ δὲ Ἀποστόλου λέγοντος· *Κέντρον τοῦ θανάτου ἡ ἁμαρτία ἐστίν.* Ὅταν οὖν ἢ ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασιν ἢ ἐπ' ἀλλοτρίοις, κατὰ τὰ προειρημένα ἐξ ἀρχῆς, οὕτω διακειμένην καταμάθῃ τις ἑαυτοῦ τὴν ψυχήν, τότε πληροφορηθήτω, ὅτι καθαρεύει ἀπὸ ἁμαρτίας.

INTERROGATIO CCXCVII.

Quomodo a peccatis se convertere oportet.

RESPONSIO.

Si imitetur affectum Davidis, qui primum quidem ait: *Iniquitatem meam cognitam feci, et peccatum meum non abscondi. Dixi: Confitebor adversum me injustitiam meam Domino* [25]. Deinde si animi statum detegat, uti per sextum psalmum aliosque variis ac diversis modis edoctus est, atque ab Apostolo ea didicerit, quæ pro alieno peccato facta fuisse a Corinthiis testatus est, his verbis: *Quæ secundum Deum tristitia est, pœnitentiam ad salutem haud pœnitendam operatur* [26]. Quin et tristitiæ proprietates adjungit: *Ecce enim hoc ipsum, secundum Deum contristari, quantam in vobis peperit sollicitudinem: sed defensionem, sed indignationem, sed timorem, sed desiderium, sed æmulationem, sed vindictam: in omnibus exhibuistis vos incontaminatos esse in hoc negotio* [27]. Quare ex iis planum est et perspicuum, non oportere solum a peccato secedere, hosque pro peccatoribus affectus pati, sed ab ipsis etiam peccatoribus removeri. Nam et David id quoque declaravit, cum dixit: *Discedite a me, omnes qui operamini iniquitatem* [28]: et Aposto-

ΕΡΩΤΗΣΙΣ ΣϞΖ'.

Πῶς ἀπὸ τῶν ἁμαρτημάτων ἐπιστρέφειν χρή.

ΑΠΟΚΡΙΣΙΣ.

Ζηλώσαντα τὴν διάθεσιν τοῦ Δαβὶδ, πρῶτον μὲν λέγοντος· *Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. Εἶπα· Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ·* ἔπειτα δὲ ἐν τῷ διηγεῖσθαι τὸν τρόπον διὰ (81) τοῦ ἕκτου ψαλμοῦ, καὶ δι' ἄλλων δὲ πολυτρόπως· διὰ δὲ τοῦ Ἀποστόλου μανθάνοντα ταῦτα ἃ ἐμαρτύρησε τοῖς Κορινθίοις ὑπὲρ ἀλλοτρίου ἁμαρτήματος, εἰπὼν, ὅτι *Ἡ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται·* καὶ τὰ ἰδιώματα τῆς λύπης ἐπενεγκών (82)· *Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν· ἀλλ' ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν. Ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι.* Ὥστε ἐκ τούτων δῆλον, ὅτι οὐ μόνον ἀναχωρεῖν χρὴ τῆς ἁμαρτίας, καὶ ὑπὲρ τῶν ἁμαρτανόντων ταῦτα πάσχειν, ἀλλὰ καὶ ἀφίστασθαι αὐτῶν τῶν ἁμαρτανόντων· τοῦ μὲν Δαβὶδ καὶ τοῦτο δηλώσαντος ἐν τῷ εἰπεῖν· *Ἀπόστητε ἀπ' ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν·* τοῦ δὲ Ἀπο-

[23] Psal. XXXVII, 5-7. [24] I Cor. XV, 56. [25] Psal. XXXI, 5. [26] II Cor. VII, 10. [27] ibid. 11. [28] Psal. VI, 9.

(79) Vocem ὅτι loco movimus veteribus libris auctoribus. In vulgatis posita est ante vocem πᾶσαν. Ibidem Reg. tertius ῥυπαρίαν σιχχαινόμεθα. Reg. primus secunda manu σιχχαίνομεν. Codex Colb. συχαίνομεν. Editiones Basil. et Ven. perinde ut Reg. secundus σιχχαίνομεν, et ita videtur habuisse quoque Reg. primus prima manu. Fecit vocis insolentia, ut varie scripta sit a librariis. Editio Paris. ῥυπαρίαν ἐχθραίνομεν. Quam lectionem optimam esse non nego quidem: sed cum cogito antiquiores editiones et veteres libros ita in scribendi ratione dissentire, ut tamen non obscure in ipsa re consentiant, affirmare posse arbitror, typographos Parisienses pro σιχχαίνομεν de suo posuisse ἐχθραίνομεν. Existimabant enim, ut mihi videtur, hunc locum corruptum esse: qui tamen integer erat et sanus. Illud autem maxime hanc nostram sententiam confirmat, quod hoc idem verbum σιχχαίνεσθαι legatur etiam Regula 10.

(80) Codex Colb. πόσῳ ἀκολουθότερον.

(81) Sic libri antiqui. Vocula διά in vulgatis abest.

(82) Codex Voss. λύπης ἐνεγκών.

στόλου παραγγείλαντος (83) τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

ΕΡΩΤΗΣΙΣ ΣϞΗ'.

Εἰ τὰ καλὰ κατ' ἰδίαν ἀρέσκειαν ποιεῖν ὁ Λόγος συγχωρεῖ.

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ ἑαυτῷ ἀρέσκων ἀνθρώπῳ ἀρέσκει. Ἄνθρωπος γὰρ καὶ αὐτὸς ἕκαστος. Ὥσπερ οὖν *Ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίξει σάρκα βραχίονος αὐτοῦ* (84), ὃ τὴν ἑαυτοῦ πεποίθησιν δηλοῖ· οἷς ἐπιφέρει, *Καὶ ἀπὸ Κυρίου ἀποσταίη ἡ ψυχὴ αὐτοῦ*· οὕτω καὶ ὁ ἄλλῳ ἀρέσκων, ἢ κατ' ἰδίαν ἀρέσκειάν τι ποιῶν, τῆς θεοσεβείας ἐκπίπτει, εἰς δὲ ἀνθρωπαρέσκειαν ἐμπίπτει (85). *Ποιοῦσι γὰρ*, φησὶν ὁ Κύριος, *πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν.* Καὶ ὁ Ἀπόστολος δὲ ὁμολογεῖ (86), ὅτι *Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.* Σφοδροτέρα δὲ ἀπειλὴ φέρεται ἐν τῇ θεοπνεύστῳ Γραφῇ λεγούσῃ, ὅτι *Ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων.*

ΕΡΩΤΗΣΙΣ ΣϞΘ'.

Πῶς πληροφορηθῇ ἡ ψυχὴ ἀποστῆναι τῆς φιλοδοξίας.

ΑΠΟΚΡΙΣΙΣ.

Ὅταν ἀνάσχηται τοῦ Κυρίου εἰπόντος· *Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς*· καὶ τοῦ Ἀποστόλου παραγγέλλοντος, ὅτι *Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε*· ἵνα ὁ θεοσεβὴς, μήτε τῆς παρούσης, μήτε (87) τῆς μελλούσης δόξης ἀντιποιούμενος, τὴν δὲ πρὸς Θεὸν ἀγάπην πάντων προτιμήσας, παῤῥησίαν ἔχῃ εἰπεῖν μετὰ τῶν προκειμένων τὸ, *Οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν*· αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· *Ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου* (88)· καὶ, ὅτι *Ὁ ἀφ' ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, οὗτος ἀληθής ἐστιν.*

ΕΡΩΤΗΣΙΣ Τ'.

Τίς ὁ τρόπος τῆς ἐπιστροφῆς, ὅτε περὶ ἀοράτου ἐστὶν ὁ λόγος.

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ μὲν τρόπος τῆς ἐπιστροφῆς ἐν ἐκείνῳ τῷ ἐρωτήματι δηλοῦται, ἐν τῷ, πῶς ἀπὸ τῶν ἁμαρτημάτων

A lus præcepit, ut ne sumatur cibus cum ejusmodi viro [29].

INTERROGATIO CCXCVIII.

Nunquid permittat Scriptura, prout placet, bona facere.

RESPONSIO.

Qui placet sibi ipsi, homini placet. Homo enim et ipse unusquisque est. Quemadmodum igitur *Maledictus est homo, qui spem habet in homine, et firmabit carnem brachii sui* [30]: quod sui ipsius indicat fiduciam: quibus subjungit: *Et a Domino recesserit anima ejus* [31]: sic etiam qui placet alteri, aut qui sibi ipsi placiturus aliquid agit, a pietate excidit, inciditque in studium hominibus placendi.

B *Faciunt enim*, inquit Dominus, *ut videantur ab hominibus. Amen dico vobis, recipiunt mercedem suam* [31*]. Sed et Apostolus hoc confitetur: *Si adhuc hominibus placerem, Christi servus non essem* [32]. Imo divina Scriptura minas graviores intendit, his verbis: *Deus dissipavit ossa eorum, qui hominibus placent* [33].

521 INTERROGATIO CCXCIX.

Quomodo animus sibi certissime persuadebit esse se alienum a studio gloriæ.

RESPONSIO.

Cum obtemperat Domino, qui dixit: *Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum, qui in cœlis est* [34]; itemque Apostolo sic præcipienti: *Sive man-*

C *ducatis, sive bibitis, sive quid facitis: omnia in gloriam Dei facite* [35]: ut Dei cultor, neque præsenti neque futura gloria quæsita, sed Dei amore omnibus anteposito, possit præter ea, quæ præmissa sunt, hoc confidenter dicere: *Neque instantia, neque futura poterunt nos separare a charitate Dei, quæ est in Christo Jesu Domino nostro* [36]. Dicit enim ipse Dominus noster Jesus Christus: *Ego autem non quæro gloriam meam* [37]. Item: *Qui a semetipso loquitur, gloriam propriam quærit: qui autem quærit gloriam ejus, qui misit eum, hic verax est* [38].

INTERROGATIO CCC.

D *Quis modus conversionis, cum de re sub aspectum non cadente sermo est.*

RESPONSIO.

Sane modus conversionis declaratur in ea quæstione, in qua quæsitum est, quomodo convertere se a

[29] I Cor. v, 11. [30] Jerem. XVII, 5. [31] ibid. [31*] Matth. VI, 5. [32] Galat. I, 10. [33] Psal. LII, 6. [34] Matth. v, 16. [35] I Cor. x, 31. [36] Rom. VIII, 38, 39. [37] Joan. VIII, 50. [38] Joan. VII, 18.

(83) Codex Colb. παραγγέλλοντος.

(84) In Colbertino perinde ut apud LXX ita legitur: βραχίονος αὐτοῦ ἐπ' αὐτόν, *firmabit carnem brachii sui super se*. Ibidem Reg. tertius τὴν εἰς ἑαυτὸν πεποίθησιν.

(85) Sic veteres duo libri. Alii duo mss. et editi ἐκπίπτει. Ποιοῦσι.

(86) Reg. primus καὶ τοῦ Ἀποστόλου ὁμολογοῦντος, ὅτι. Aliquanto post unus ms. ὅτι Ὁ Κύριος συνέτριψεν.

(87) Pro μή edendum curavimus μήτε ex duobus codicibus. Statim Reg. primus σχῇ εἰπεῖν

(88) Antiqui duo libri τὴν δόξαν τὴν ἐμήν· quo loco in Reg. primo et in Voss. additum est illud, ἀλλὰ τὴν δόξαν τοῦ πέμψαντός με Πατρός.

peccatis oporteat. Ubi autem sermo est de re oculorum aciem fugiente, meminerimus Domini, qui ait : *Nihil est absconditum, quod non cognoscetur* [39]. Item : *Ex abundantia cordis os loquitur* [40].

INTERROGATIO CCCI.

Quod si dixerit quis : Mea me conscientia non condemnat.

RESPONSIO.

Hoc accidit etiam in morbis corporis. Multi enim sunt morbi, quos non sentiunt ægri : et tamen medicorum potius credunt observationi, quam suo ipsorum stupori attendant. Hunc ad modum et in morbis animi, hoc est, in peccatis, etiamsi quis, peccati haud conscius, se ipse non arguat : fidem tamen debet iis adhibere, qui res illius melius videre possunt. Hoc præstiterunt sancti apostoli, qui cum de sua sincera erga Dominum affectione nihil dubitarent, audientes tamen : *Unus ex vobis tradet me* [41], potius Domini verbis credidere, dissidebantque, ac dicebant : *Nunquid ego sum, Domine* [42]? Apertius autem idipsum docet nos sanctus Petrus, qui ex vehementi humilitate non vult quidem sibi operam a Domino et Deo et magistro præberi : sed tamen cum esset sibi persuasissimum vera esse Domini verba, ubi audivit, *Si non lavero te, non habes partem mecum*, dicit : *Non tantum pedes meos, sed et manus, et caput* [43].

522 ### INTERROGATIO CCCII.

An ex cella penaria erogandum sit externis inopibus.

RESPONSIO.

Cum Dominus dixerit, *Non sum missus nisi ad oves, quæ perierunt domus Israel* [44]; et : *Non est bonum sumere panem filiorum, et projicere canibus* [45]; ea quæ viris Deo dicatis destinata sunt, non necesse est in quoslibet promiscue insumere. Utrum autem fieri possit quod a muliere, quæ ob fidem laudatur, dictum est : *Etiam, Domine : nam et catelli edunt de micis quæ cadunt de mensa dominorum suorum* [46]; id in œconomi situm sit arbitrio, communi eorum, qui secundum ipsum præsunt, accedente consensu : ut ex abundanti sol, velut scriptum est [47], super bonos et malos oriatur.

INTERROGATIO CCCIII.

An in fratrum communitate iis quæ a quibuslibet dicuntur, obediendum sit.

RESPONSIO

Quæstioni huic sine multo negotio responderi

A ἐπιστρέφειν χρή· τὸ δὲ περὶ ἀοράτου εἶναι τὸν λόγον, μνημονεύσωμεν τοῦ Κυρίου, ὅτι *Οὐδέν ἐστι κρυπτὸν, ὃ οὐ γνωσθήσεται*· καὶ, ὅτι *Ἐκ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ* (89) *τὸ στόμα.*

ΕΡΩΤΗΣΙΣ ΤΑ'.

Ἐὰν δὲ εἴπῃ, ὅτι Οὐ καταγινώσκει μου τὸ συνειδός.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο καὶ ἐπὶ τῶν σωματικῶν παθῶν συμβαίνει. Πολλὰ γάρ ἐστι πάθη, ὧν οὐκ ἐπαισθάνονται οἱ ἀσθενοῦντες· τῇ μέντοιγε τῶν ἰατρῶν σημειώσει πιστεύουσι μᾶλλον, ἢ τῇ ἑαυτῶν ἀναισθησίᾳ προσέχουσιν. Οὕτω καὶ ἐπὶ τῶν τῆς ψυχῆς παθῶν, τουτέστιν, ἐπὶ τῶν ἁμαρτημάτων, κἂν ἑαυτοῦ τις μὴ καταγινώσκῃ, μὴ ἐπαισθανόμενος τοῦ ἁμαρτήματος, B πιστεύειν μέντοιγε ὀφείλει τοῖς δυναμένοις πλέον ἰδεῖν τὰ ἐκείνου· τοῦτο δειξάντων μὲν τῶν ἁγίων ἀποστόλων, ὅτε, ἐν πληροφορίᾳ ὄντες τῆς ἑαυτῶν εἰλικρινοῦς πρὸς τὸν Κύριον (90) διαθέσεως, καὶ ἀκούσαντες, ὅτι *Εἷς ἐξ ὑμῶν παραδώσει με*, τῷ λόγῳ τοῦ Κυρίου ἐπίστευσαν μᾶλλον, καὶ διεφέροντο λέγοντες· *Μήτι ἐγώ εἰμι, Κύριε;* σαφέστερον δὲ ἡμᾶς τοῦ ἁγίου Πέτρου διδάσκοντος, ὃς διαπύρῳ (91) μὲν ταπεινοφροσύνῃ παραιτεῖται τὴν ὑπηρεσίαν τοῦ Δεσπότου καὶ Θεοῦ καὶ διδασκάλου· πληροφορίᾳ (92) δὲ τῆς ἀληθείας τῶν τοῦ Κυρίου ῥημάτων ἀκούσας, ὅτι *Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ*, λέγει· *Μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν.*

C ### ΕΡΩΤΗΣΙΣ ΤΒ'.

Εἰ χρὴ ἀπὸ τῆς οἰκονομίας διδόναι τοῖς ἐνδεέσι τῶν ἔξωθεν.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου εἰπόντος, *Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ*· καὶ, ὅτι *Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις*· τὰ διατεταγμένα τοῖς ἀνακειμένοις Θεῷ οὐκ ἀναγκαῖον εἰς ἀδιαφόρους παραναλίσκειν. Εἰ δὲ δυνατὸν γενέσθαι τὸ εἰρημένον ὑπὸ τῆς ἐπαινουμένης ἐν πίστει γυναικὸς, ὅτι *Ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν*· ἐν τῇ τοῦ οἰκονόμου ἀνακείσθω δοκιμασίᾳ μετὰ κοινῆς τῶν μετ' αὐτὸν προεχόντων γνώμης· ἵνα ἐκ τοῦ περισσεύματος ὁ ἥλιος, καθὼς γέγραπται, ἀνατείλῃ (93) ἐπὶ πονηροὺς καὶ ἀγαθούς. D

ΕΡΩΤΗΣΙΣ ΤΓ'.

Εἰ χρὴ τοῖς παρὰ πάντων λεγομένοις ὑπακούειν ἐν ἀδελφότητι

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ ἐρώτημα τοῦτο πολλὴν δυσχέρειαν ἔχει τῆς

[39] Matth. x, 26. [40] Luc. vi, 45. [41] Matth. xxvi, 21. [42] ibid. 22. [43] Joan. xiii, 8, 9. [44] Matth. xv, 24. [45] ibid. 26. [46] ibid. 27. [47] Matth. v, 45.

(89) Editi et Reg. secundus ἐκ περισσεύματος τῆς καρδίας λέγει. Antiqui tres libri præter Voss. ut in contextu.

(90) Codex Colb. πρὸς τὸν Θεόν.

(91) Reg. primus σαφέστερον δὲ ἐκ τοῦ ἁγίου Πέτρου ἔστι μαθεῖν, ὅτι διαπύρῳ.

(92) Veteres quatuor libri πληροφορίᾳ. Editi πληροφορίαν.

(93) Editi ἀνατέλλῃ. Codex Voss. et alii duo ἀνατείλῃ.

ἀποκρίσεως. Πρῶτον μὲν, ὅτι ἀταξίας ἔμφασιν φανερῶς δίδωσιν ἐν τῷ παρὰ πάντων λέγεσθαί τι, τοῦ Ἀποστόλου λέγοντος· *Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν*· καὶ τοῦ αὐτοῦ ἐν τοῖς μερισμοῖς τῶν χαρισμάτων, ἴδιον ἑκάστου τῶν λαλούντων τὸ τάγμα τάξαντος, ἐν τῷ εἰπεῖν (94)· *Ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως*· καὶ ἐν τῷ ὑποδείγματι τῶν μελῶν τοῦ σώματος σαφῶς μὲν παριστῶντος ἐν μέρει εἶναι τὸ μέρος τοῦ λαλοῦντος, ἀκριβέστερον δὲ διευκρινοῦντος ἐν τῷ εἰπεῖν· *Εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει*, καὶ τὰ λοιπά· ὡς δῆλον ἐκ τούτων εἶναι μὴ πάντα πᾶσιν (95) ἐπιτετράφθαι, ἕκαστον δὲ ἰδίᾳ κλήσει μένειν, καὶ κατορθοῦν ἐπιμελέστερον τὸ ὑπὸ τοῦ Κυρίου πιστευθέν. Δεῖ (96) τοίνυν τὸν μὲν προεστῶτα τοῦ κοινοῦ, καὶ διατασσόμενον τοῖς πᾶσι, μετὰ πολλῆς δοκιμασίας ἐγχειρισθῆναι τὴν φροντίδα ταύτην, καὶ ἑκάστῳ κατὰ τὸ πρέπον ἐπαγρυπνεῖν τῇ μερίμνῃ, ὅπως εὐαρέστως τῷ Θεῷ, καὶ ἐστοχασμένως τῆς ἑκάστου ἐπιτηδειότητός τε καὶ δυνάμεως πρὸς τὸ κοινῇ συμφέρον διατάσσηται, καὶ ἐπιτάσσῃ· τοὺς δὲ ὑπηκόους, τῆς εὐταξίας φυλαττομένης, καὶ τῆς ὑπακοῆς τὸ ἴδιον μέτρον γνωριζούσης, μεμνῆσθαι τοῦ Κυρίου λέγοντος· *Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει* (97)· *κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι· κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς*· καὶ προειπόντος, *Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν* (98)· καὶ τοῦ Ἀποστόλου λέγοντος, ὅτι *Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπιστάμενος*· μετὰ δὲ τὰ ἐπισυμβαίνοντα ἐπαγαγόντος· *Ἀφίστασο ἀπὸ τῶν τοιούτων* (99)· καὶ πάλιν ἀλλαχοῦ· *Προφητείας μὴ ἐξουθενεῖτε· πάντα δοκιμάζετε· τὸ καλὸν κατέχετε· ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε*. Ὥστε εἰ μέν τί ἐστι κατ' ἐντολὴν τοῦ Κυρίου λεγόμενον, ἢ πρὸς τὴν ἐντολὴν τοῦ Κυρίου κατευθυνόμενον, κἂν θανάτου (1) ἀπειλὴν ἔχῃ, ὑπακούειν χρή· εἰ δέ τι παρ' ἐντολήν ἐστιν, ἢ τὴν ἐντολὴν παραβλάπτει, κἂν ἄγγελος ἐξ οὐρανοῦ, ἢ τις τῶν ἀποστόλων ἐπιτάσσῃ, κἂν ζωῆς ἐπαγγελίαν ἔχῃ, κἂν θανάτου ἀπειλὴν, οὐδαμῶς ἀνέχεσθαι χρὴ, τοῦ Ἀποστόλου εἰπόντος· *Κἂν ἡμεῖς αὐτοὶ, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω*.

A non potest. Primum quidem, quod manifestæ perturbationis indicium præbet, ex eo, quod ab omnibus aliquid dicatur, cum Apostolus dicat: *Prophetæ autem duo aut tres dicant: et cæteri dijudicent* [48]. Itidem ipse in donorum partitionibus, proprium uniuscujusque loquentis ordinem constituit, his verbis [49]: *Unicuique sicut Deus divisit mensuram fidei.* [50] Et in exemplo membrorum corporis, peculiarem esse loquentis locum perspicue ostendit, ac etiam idipsum accuratius distinguit explicatque his verbis: *Sive qui docet in doctrina, sive qui exhortatur in exhortando* [51], etc. Quare ex his planum est, non omnia omnibus permissa esse: sed debere unumquemque in sua vocatione manere, atque id quod a Domino concreditum est, diligentius perficere.
B Par itaque fuerit eum, qui præficitur communitati, præponiturque omnibus, multo cum examine hanc curam suscipere: ita ut congruenti sollicitudine vigilet pro singulis, ut Deo placendo, et habilitatis ac virium cujusque habita ratione, ad commune commodum sanciat imperetque: subditi vero, servata disciplina, et obedientia limites suos agnoscente, debent meminisse Domini, qui dixit: *Oves meæ vocem meam audiunt: et ego cognosco eas, et sequuntur me: et ego vitam æternam do eis* [52]; recordarique eum prius dixisse: *Alienum autem non sequentur, sed fugient ab eo, quia non noverunt vocem alienorum* [53]; et Apostolum ita loqui: *Si quis aliter docet, et non accedit sanis*
C 523 *sermonibus Domini nostri Jesu Christi, et ei quæ secundum pietatem est, doctrinæ, superbus est, nihil sciens* [54]; et iis quæ accidere solent, enumeratis, adjicit: *Secede ab his qui ejusmodi sunt* [55]; et rursus alio in loco: *Prophetias nolite spernere; omnia probate; quod bonum est, tenete; ab omni specie mala abstinete vos* [56]. Quamobrem, si quidpiam dicitur secundum mandatum Domini, aut dirigitur ad mandatum Domini, etiamsi mortis minas ingerat, obediendum est: sin autem aliquid præter mandatum est, aut mandatum lædit, etiamsi angelus ex cœlo, aut aliquis ex apostolis præcipiat, etiamsi promittat vitam, etiamsi mortem minitetur, nullo modo obtemperandum est, cum Apostolus dixerit:
D *Licet nos ipsi, aut angelus de cœlo evangelizet vobis præterquam quod evangelizavimus vobis, anathema sit* [57]

[48] I Cor. xiv, 29. [49] Rom. xii, 3. [50] ibid. 4, 5. [51] ibid. 7, 8. [52] Joan. x, 27, 28. [53] ibid. 5. [54] I Tim. vi, 3, 4. [55] ibid. 5. [56] I Thess. v, 20-22. [57] Galat. i, 8.

(94) Post illud, ἐν τῷ εἰπεῖν, ita in Vossii veteri libro et in aliis duobus legitur, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν· ἑκάστῳ, etc. *Non plus sapere quam oportet sapere, sed sapere ad sobrietatem.*

(95) Antiqui duo libri πάντα ἑκάστῳ.

(96) Codex Voss. σπουδαίως. Δεῖ δὲ πάλιν. Mox Colb. ἐγχειρίζειν τὴν φροντίδα. Subinde codex Voss. κατὰ τὴν πρέπουσαν.

(97) Vossii vetus liber et alii duo ἀκούουσι.

(98) Reg. primus et Colb. φωνήν· τοῦ δὲ Ἀποστόλου παραγγέλλοντος ποτὲ μὲν, ὅτι Εἰ.

(99) Illa Ἀφίστασο ἀπὸ τῶν τοιούτων, non reddita sunt ab auctore Vulgatæ, aut certe in ea hodie non leguntur. Nec ita multo post Reg. primus πάντα δὲ δοκιμάζοντες.

(1) Editi λεγόμενον, πρὸς τὴν ἐντολὴν κατευθυνόμενον, κἂν θάνατον. Reg. tertius ut in contextu; nec aliter legitur in duobus aliis codicibus, nisi quod illud, τοῦ Κυρίου, in eis desit.

INTERROGATIO CCCIV.

Utrum pro iis qui fratribus traditi sunt, sit aliquid accipiendum ab eorum propinquis, si quidpiam velint dare.

RESPONSIO.

Hujus rei cura judiciumque attinet ad præfectum. Sed tamen si mea sententia exquiritur, existimo offendicula a multis magis remotum iri, et ad fidei ædificationem fore utilius, si ejusmodi repudientur munera. Nam si accipiantur, primum quidem contingit probris plerumque affici communitatem. Deinde ex ea re illud incommodum nascitur, quod propinquo etiam eorum qui quidpiam attulerunt, elationis detur occasio. Ad hæc, quod secundum id quod dictum est ab Apostolo de iis qui in communi loco sua edebant bibebantque, usu veniat illud : *Confunditis eos qui non habent* [58], et ejusmodi pleraque. Quare cum inde tot occasiones ad peccandum nascantur, operæ pretium est ejusmodi dona non accipere, sed præpositi arbitrio permittere, ut judicet et expendat a quibus ea accipi, et quomodo dispensari oporteat.

INTERROGATIO CCCV.

Utrum conveniat quidquam ab externis accipere, sive amicitiæ, sive prioris propinquitatis gratia.

RESPONSIO.

Quæstio hæc eamdem vim habet quam quæstio altera, an quidpiam a propinquis accipiendum sit

INTERROGATIO CCCVI.

Quomodo vitetur mentis aberratio.

RESPONSIO.

Nimirum si quis eam mentem induerit, in qua erat electus ille David, qui modo quidem dicebat : *Providebam Dominum in conspectu* **524** *meo semper, quoniam a dextris est mihi, ne commovear* [59] ; modo vero : *Oculi mei semper ad Dominum : quoniam ipse evellet de laqueo pedes meos* [60] ; modo autem : *Ecce sicut oculi servorum in manibus dominorum suorum, sicut oculi ancillæ in manibus dominæ suæ : ita oculi nostri ad Dominum Deum nostrum* [61]. Atque ut res majores diligentius peragendas curemus, minore exemplo usi : reputet secum quisque, qualis est coram astantibus, etiamsi sint æquales : quomodo studeat præstare se inculpatum, tum in stando, tum in ambulando, tum in cujusque membri motu, tum in dicendo. Quemadmodum autem in eis quæ in hominum conspectum veniunt, decus coram hominibus tenere satagimus : ita quoque, multo magis, si sit alicui persuasum habere se et Deum inspectorem, qui scrutatur corda ac renes, ut scri-

A

ΕΡΩΤΗΣΙΣ ΤΔ'.

Εἰ ὑπὲρ τῶν παραδεδομένων τῇ ἀδελφότητι παρὰ τῶν οἰκείων, θελόντων διδόναι τι, χρὴ δέχεσθαι.

ΑΠΟΚΡΙΣΙΣ.

Ἡ τούτου φροντὶς καὶ δοκιμασία ἀνῆκε τῷ προεστῶτι. Πλὴν, ὡς κατ' ἐμὴν γνώμην, λογίζομαι ὅτι μᾶλλον ἀπρόσκοπόν ἐστι τοῖς πολλοῖς, καὶ εἰς οἰκοδομὴν τῆς πίστεως ὠφελιμώτερον τὸ ἀπωθεῖσθαι τὰς τοιαύτας χάριτας. Ἐκ γὰρ τῆς ὑποδοχῆς πρῶτον μὲν (2) συμβαίνει καὶ ὀνειδισμὸν κατὰ τοῦ κοινοῦ προενεχθῆναι πολλάκις. Ἔπειτα, ὅτι καὶ ἐπάρσεως παρέχει πρόφασιν τῷ οἰκείῳ τῶν προσενεγκόντων. Πρὸς τούτοις, ὅτι κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Ἀποστόλου περὶ τῶν εἰς τὸ κοινὸν τὰ ἴδια ἐσθιόντων
B καὶ πινόντων γίνεται τὸ, *Καταισχύνετε τοὺς μὴ ἔχοντας*, καὶ πολλὰ τοιαῦτα. Τοσούτων δὲ προφάσεων εἰς ἁμαρτίαν ἐπισυμβαινουσῶν, καλόν ἐστι τὸ μὴ δέχεσθαι (3) τὰ τοιαῦτα, ἐπιτρέπειν δὲ τῷ προεστῶτι δοκιμάζειν, καὶ παρὰ τίνων χρὴ ληφθῆναι, καὶ πῶς δεῖ οἰκονομηθῆναι.

ΕΡΩΤΗΣΙΣ ΤΕ'

Εἰ δεῖ (4) λαμβάνειν παρὰ τῶν ἔξωθεν ἢ κατὰ χάριν φιλίας, ἢ προκατειλημμένης συγγενείας.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο τὸ ἐρώτημα τὴν ὁμοίαν δύναμιν ἔχει τῷ ἐρωτήματι, Εἰ παρὰ τῶν οἰκείων χρή τι λαμβάνειν.

C

ΕΡΩΤΗΣΙΣ ΤϚ'.

Μετὰ ποίου τρόπου τὸ ἀμετεώριστον κατορθοῦται.

ΑΠΟΚΡΙΣΙΣ.

Ἐὰν τὸ τοῦ ἐκλεκτοῦ Δαβὶδ φρόνημά τις ἀναλάβῃ, εἰπόντος, ποτὲ μὲν, *Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ*· ποτὲ δὲ, ὅτι *Οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου*· ποτὲ δὲ, *Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν*. Καὶ ἵνα τῷ ἐλάττονι παραδείγματι σπουδαιότερον τὰ μείζονα κατορθοῦν φροντίσωμεν,
D ἕκαστος ἑαυτῷ λογιζέσθω (5), οἷός ἐστιν ἐνώπιον τῶν παρόντων, κἂν ἰσότιμοι τυγχάνωσι· πῶς τὸ ἀκατάγνωστον ἑαυτῷ σπουδάζει κατορθῶσαι, καὶ ἐν στάσει, καὶ ἐν περιπάτῳ, καὶ ἐν κινήματι παντὸς μέλους, καὶ ἐν φθέγματι. Ὥσπερ δὲ τὰ ἀνθρώποις φανερὰ πρὸς ἀνθρώπους φυλάσσειν (6) σπουδάζομεν, οὕτω καὶ πολὺ πλέον, ἐάν τις τὸν Θεὸν πληροφορηθῇ ἔχειν ἐπόπτην, ἐτάζοντα καρδίας καὶ νεφροὺς,

[58] I Cor. XI, 22. [59] Psal. XV, 8. [60] Psal. XXIV, 15. [61] Psal. CXXII, 2.

(2) Editi et tres mss. πρῶτον μὲν, ὅτι. Vocem ὅτι delevimus, fidem unius codicis secuti. Mox Colb. κοινοῦ προσενεχθῆναι. Subinde alius ms. τῶν προσενεγκάντων.
(3) Codex Colb. τὸ μηδέποτε δέχεσθαι.
(4) Unus ms. εἰ χρή. Mox Reg. secundus ἢ κατά. Editi ἤτοι κατά.
(5) Codex Colb. ἑαυτῷ λογισάσθω.
(6) Editi et Reg. secundus Ὥσπερ δὲ τὰ ἀνθρώποις φυλάσσειν σπουδάζομεν. Alii duo mss. præter Voss. ut in contextu. Aliquanto post Reg. primus ἐξετάζοντα.

κατὰ τὸ γεγραμμένον, καὶ τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ πληροῦντα τὴν ἐπαγγελίαν· *Οὗ ἐὰν* (7) *ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν·* καὶ τὸ ἅγιον Πνεῦμα ἐπιστατοῦν, καὶ μερίζον τὰ χαρίσματα, καὶ ἐνεργοῦν· καὶ τοὺς ἀγγέλους παρατηρητὰς ἑκάστου κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου· *Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν τῷ οὐρανῷ* (8) *διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς·* πολυπλασίονα καὶ σφοδρότερον ἀγῶνα ἔχει, ὅπως εὐάρεστον τὴν θεοσέβειαν κατορθώσῃ, καὶ οὕτω τὸ ἀμετεώριστον σφοδρότερον καὶ ἀκριβέστερον βεβαιοῦται. Ἔτι δὲ καὶ ἐὰν σπουδάσῃ πληρῶσαι τὸ, *Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ· διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου·* B καὶ τὸ, *Μελετήσει ἐν τῷ νόμῳ* (9) *αὐτοῦ ἡμέρας καὶ νυκτὸς,* ἵνα τῇ ὁμαλῇ καὶ διηνεκεῖ μελέτῃ καὶ θεωρίᾳ τῶν θελημάτων καὶ τῶν δοξῶν τοῦ Θεοῦ μὴ εὕρῃ ὁ νοῦς καιρὸν μετεωρισμοῦ.

A ptum est [62] : et unigenitum Filium Dei, qui implet promissum illud : *Ubi fuerint duo vel tres congregati in nomine meo, ibi sum in medio eorum* [63] : et Spiritum sanctum, qui præsidet, partiturque dona, ac efficit [64] : et angelos uniuscujusque custodes juxta id quod dictum est a Domino : *Videte ne contemnatis unum ex his pusillis : dico enim vobis, quia angeli eorum in cœlo semper vident faciem Patris mei, qui in cœlis est* [64*] ; is modis pluribus et vehementius curat, quomodo complacentem Deo pietatem acquirat, et ita demum attentio vehementius perfectiusque stabilitur. Atque etiam si illud perficere studuerit : *Benedicam Dominum in omni tempore : semper laus ejus in ore meo* [65] ; itidem illud : *Meditabitur in lege ejus die ac nocte* [66] : ut animus, ob æquabilem perpetuamque meditationem ac contemplationem voluntatum ac decretorum Dei, nullum inveniat aberrandi tempus.

ΕΡΩΤΗΣΙΣ ΤΖ'.

Εἰ χρὴ ἐξ ἐφημερίας ἀπάρχεσθαι τῆς ψαλμῳδίας, ἢ τῆς προσευχῆς.

ΑΠΟΚΡΙΣΙΣ

Τοῦτο ἐν τῷ πλήθει τῶν ἀξίων φυλαξάτω τὴν εὐταξίαν, ἵνα μήτε εὐτελὲς καὶ ἀδιάφορον τὸ πρᾶγμα νομισθῇ, μήτε μὴν ἡ ὁμαλότης ἐφ' ἑνὸς καὶ δευτέρου προσώπου ὑπερηφανίας τοῦ ἡγουμένου καὶ καταφρονήσεως τῶν λοιπῶν δῷ ὑποψίαν (10).

INTERROGATIO CCCVII.

Nunquid alternis vicibus incipiendum sit psallere aut precari.

RESPONSIO

In hoc inter multos qui idonei fuerint rectus ordo servetur, ut neque parvi momenti res putetur, aut indifferens : neque æquabilis unius aut alterius personæ delectus superbiæ suspectum reddat eum, qui præficitur, et quasi cæteri contemnerentur.

C

ΕΡΩΤΗΣΙΣ ΤΗ'.

Εἰ χρὴ ἐν ἀδελφότητι τὸν διδόντα τι ἀμείβεσθαι· καὶ εἰ κατὰ ἀναλογίαν τοῦ δόματος ποιεῖσθαι τὴν ἀντίδοσιν (11).

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦτο ὅλον τὸ ἐρώτημα ἀνθρώπινον. Εἰ δὲ χρὴ εὐγνωμοσύνης διδόναι ἀπόδειξιν, ἐν τῷ οἰκονομοῦντι ἀποκείσθω ἡ δοκιμασία, καὶ τοῦ λαμβάνειν τὰ διδόμενα, καὶ τοῦ ἀμείβεσθαι τὸν διδόντα.

INTERROGATIO CCCVIII.

Utrum danti aliquid retribuere oporteat in fratrum conventu : et utrum necesse sit pro ratione rei datæ, vices rependere.

RESPONSIO.

Tota hæc quæstio humana est. Sed si grati animi danda significatio est, in eo, penes quem distributio est, positum arbitrium sit, et accipiendi ea quæ dantur, et vices rependendi ei qui dat.

ΕΡΩΤΗΣΙΣ ΤΘ'.

Εἰ τῶν συνήθων καὶ κατὰ φύσιν γινομένων τινὶ, χρὴ τολμᾷν εἰς κοινωνίαν τῶν ἁγίων παρέρχεσθαι (12).

ΑΠΟΚΡΙΣΙΣ.

Κρείττονα τῆς φύσεως καὶ τῆς συνηθείας ἔδειξεν ὁ Ἀπόστολος εἶναι τὸν ἐν τῷ βαπτισμῷ (13) συνταφέντα Χριστῷ· ποτὲ μὲν εἰπὼν, ἐν τῷ περὶ τοῦ ἐν τῷ ὕδατι βαπτίσματος τόπῳ, μετὰ τὰ προκείμενα· *Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ·*

525 INTERROGATIO CCCIX.

Si consueta et quæ secundum naturam sunt contingant cuipiam, debetne is ad sanctorum communionem accedere.

RESPONSIO.

D Superiorem natura et consuetudine docuit Apostolus esse eum, qui in baptismo una cum Christo sepultus fuit [67]. Nam aliquando, nimirum eo in loco ubi de aquæ baptismate agitur, aliis quibusdam præmissis, ait : *Hoc scientes, quia vetus homo noster simul crucifixus est, ut destruatur corpus peccati, ut ultra non serviamus peccato* [68] ; aliquando vero

[62] Psal. VII, 10. [63] Matth. XVIII, 20. [64] I Cor. XII, 11. [64*] Matth. XVIII, 10. [65] Psal. XXXIII, 2. [66] Psal. I, 2. [67] Rom. VI, 4. [68] ibid. 6.

(7) Veteres duo libri ὅτι Οὗ ἐάν.
(8) Unus ms. ἐν οὐρανοῖς.
(9) Vossii vetus liber et alii duo μελετήσει τὸν νόμον.
(10) Codex Colb. δώῃ ὑποψίαν.
(11) Unus ms. ποιεῖσθαι τὴν ἀνταπόδοσιν.
(12) Codex Colb. προσέρχεσθαι.
(13) Veteres duo libri cum Voss. ἐν τῷ βαπτίσματι.

præcipit: *Mortificate ergo membra vestra, quæ sunt super terram, fornicationem, immunditiam, libidinem, concupiscentiam malam, et avaritiam, quæ est simulacrorum servitus: propter quæ venit ira Dei super filios incredulitatis* [69]. Nonnunquam etiam regulam proposuit, his verbis: *Qui autem sunt Christi, carnem suam crucifixerunt cum vitiis et concupiscentiis* [70]. Ego autem novi hæc Christi gratia completa fuisse tum in viris tum in feminis per genuinam in Dominum fidem. Quam autem metuendum sit judicium proferendum in eum, qui in immunditia degens ad sancta accederet, discimus etiam ex Veteri Testamento. Quod si amplius templo hic est [71], nos utique modo magis formidando docebit Apostolus, qui dixerit: *Qui manducat et bibit indigne, judicium sibi manducat et bibit* [72].

A ποτὲ δὲ παραγγείλας, *Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας*· ποτὲ δὲ ὅρον ἐκθέμενος ἐν τῷ εἰπεῖν· *Οἱ δὲ τοῦ Χριστοῦ* (14) *τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις*. Ἐγὼ δὲ ἔγνων, ὅτι ταῦτα κατωρθώθη Χριστοῦ χάριτι (15) καὶ ἐν ἀνδράσι καὶ ἐν γυναιξὶ πίστει τῇ εἰς τὸν Κύριον γνησίᾳ. Τὸ δὲ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις καὶ ἐκ τῆς Παλαιᾶς Διαθήκης φοβερώτερον διδασκόμεθα τὸ κρῖμα. Εἰ δὲ πλεῖον τοῦ ἱεροῦ ὧδε, φοβερώτερον δηλονότι παιδεύσει ἡμᾶς ὁ Ἀπόστολος εἰπών· *Ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει*. B

INTERROGATIO CCCX.

Nunquid in communi domo Dominicam cœnam conveniat celebrari.

RESPONSIO.

Quemadmodum Scriptura nullum vas commune permittit deferri in sancta, ita neque sancta in communi domo perfici, cum ex Dei jussu Testamentum Vetus quidquam ejusmodi fieri aperte non sinat. Cum autem Dominus dicat: *Plus quam templum est hic* [73]; Apostolus item: *Nunquid enim domos non habetis ad manducandum et bibendum? Quid dicam vobis? laudabo vos? In hoc non laudo: ego enim tradidi vobis quod et accepi* [74], etc.: hinc erudimur non debere, neque communem cœnam in ecclesia edere aut bibere, neque Dominicam cœnam in domo contumelia afficere, præterquam si quis, necessitate cogente, locum aut domum puriorem delegerit in tempore opportuno.

ΕΡΩΤΗΣΙΣ ΤΙ'.

Εἰ χρὴ εἰς κοινὸν οἶκον προσκομιδὴν γίνεσθαι (16).

ΑΠΟΚΡΙΣΙΣ.

Ὥσπερ οὐδὲν κοινὸν σκεῦος ἐπιτρέπει ὁ Λόγος εἰσφέρεσθαι εἰς τὰ ἅγια, οὕτως οὐδὲ τὰ ἅγια εἰς κοινὸν οἶκον ἐπιτελεῖσθαι, τῆς Παλαιᾶς Διαθήκης φανερῶς προστάγματι Θεοῦ μηδὲν τοιοῦτον ἐπιτρεπούσης γίνεσθαι· τοῦ δὲ (17) Κυρίου λέγοντος· *Πλεῖον τοῦ ἱεροῦ ὧδε*· καὶ τοῦ Ἀποστόλου λέγοντος· *Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; Τί εἴπω ὑμῖν; ἐπαινέσω ὑμᾶς* (18); *Ἐν τούτῳ οὐκ* C *ἐπαινῶ· ἐγὼ γὰρ παρέδωκα ὑμῖν ὃ καὶ παρέλαβον*, καὶ τὰ ἑξῆς. Ἐξ ὧν παιδευόμεθα μήτε τὸ κοινὸν δεῖπνον ἐν ἐκκλησίᾳ ἐσθίειν καὶ πίνειν, μήτε τὸ Κυριακὸν δεῖπνον ἐν οἰκίᾳ καθυβρίζειν, ἐκτὸς εἰ μὴ ἐν ἀνάγκῃ ἐπιλέξηταί τις καθαρώτερον τόπον, ἢ οἶκον ἐν καιρῷ εὐθέτῳ.

526 INTERROGATIO CCCXI.

Utrum rogati ab aliquibus, eos invisere debeamus.

RESPONSIO.

Visitare quidem res est Deo grata: sed eum, qui visitat, oportet esse auditorem prudentem, et sapientem in responsionibus, ita ut faciat quod dictum est: *Sermo vester in gratia sale sit conditus, ut sciatis quomodo oporteat unicuique respondere* [75]. Illud autem, quempiam visere vel consanguinitatis vel amicitiæ causa alienum est a nostra professione.

ΕΡΩΤΗΣΙΣ ΤΙΑ'.

Εἰ χρὴ εἰς ἐπίσκεψιν (19) *ἀπέρχεσθαι ἐπιζητούντων τινῶν.*

ΑΠΟΚΡΙΣΙΣ.

Τὸ μὲν ἐπισκέπτεσθαι ἀρεστὸν Θεῷ· δεῖ δὲ τὸν ἐπισκεπτόμενον συνετὸν εἶναι ἀκροατὴν, καὶ φρόνιμον ἐν ταῖς ἀποκρίσεσι, πληροῦντα τὸ εἰρημένον· *Ἔστω ὁ λόγος ὑμῶν ἐν χάριτι ἅλατι ἠρτυμένος,* D *εἰδέναι πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.* Τὸ δὲ ἢ διὰ συγγένειαν ἢ διὰ φιλίαν ἐπίσκεψιν ποιεῖσθαι ἀλλότριον τοῦ ἡμετέρου ἐπαγγέλματος.

[69] Col. III, 5, 6. [70] Galat. V, 24. [71] Matth. XII, 6. [72] I Cor. XI, 29. [73] Matth. XII, 6. [74] I Cor. XI, 22, 23. [75] Coloss. IV, 6.

(14) Reg. primus Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ. Codex Colb. Οἱ δὲ Ἰησοῦ Χριστοῦ.

(15) Antiqui tres libri κατωρθώθη Θεοῦ χάριτι. Aliquanto post duo mss. cum Voss. ὄντα τινά. Vox τινά in editis non legitur.

(16) Ducæus in hunc locum docte et copiose scripsit. Certe si attente legantur quæ Regula superiore dicta sunt, comparenturque cum iis quæ hic leguntur, nemo dubitabit quin hoc loco προσκομιδῆς nomine sacrificium corporis Christi intelligatur.

(17) Vocula δέ addita est ex antiquis duobus libris. Ibidem Codex Colb. πλεῖων τοῦ. Mox idem ms. Ἀποστόλου ἐνκαλοῦντος, *cumque Apostolus redarguat.*

(18) Veteres quatuor libri ἐπαινέσω ὑμᾶς ἐν τούτῳ; *laudabo vos in hoc? Non laudo.*

(19) Reg. primus εἰς ἐπισκέψεις.

ΕΡΩΤΗΣΙΣ ΤΙΒ'.

Εἰ χρὴ τοὺς ἐπισκεπτομένους λαϊκοὺς προτρέπεσθαι εἰς εὐχήν.

ΑΠΟΚΡΙΣΙΣ.

Εἰ φίλοι εἰσὶ Θεοῦ, ἀκόλουθον, τοῦ Ἀποστόλου γράψαντος αὐτοῖς· *Προσεύχεσθε καὶ περὶ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, μετὰ παῤῥησίας λαλῆσαι τὸ μυστήριον τοῦ Θεοῦ.*

ΕΡΩΤΗΣΙΣ ΤΙΓ'.

Εἰ χρὴ ἐργάζεσθαι, ἐπισκεπτομένων τινῶν.

ΑΠΟΚΡΙΣΙΣ

Οὐδὲν τῶν κατ' ἐντολὴν γινομένων ἐκκόπτεσθαι (20) χρὴ διὰ τοὺς ἐπεισερχομένους ἕνεκεν φιλικοῦ καθήκοντος· εἰ μή τις ἂν ἰδιάζουσα ψυχῆς ἐπιμέλεια τὴν σωματικὴν σπουδὴν κατ' ἐντολὴν τοῦ Κυρίου παρευδοκιμῇ, τῶν ἁγίων ἀποστόλων ἐν ταῖς Πράξεσιν εἰπόντων· *Οὐκ ἀρεστὸν, καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις.*

INTERROGATIO CCCXII.

Nunquid laicos qui nos invisunt, oporteat ad precandum exhortari.

RESPONSIO.

Si Dei sunt amici, haud abs re est, cum ad eos Apostolus scripserit: *Orate et pro me, ut detur mihi sermo in apertione oris mei, ut loquar cum fiducia mysterium Dei* [76].

INTERROGATIO CCCXIII.

Nunquid, nos invisentibus aliquibus, laborare conveniat.

RESPONSIO.

Eorum quæ ex præcepto fiunt, nihil interrumpi debet, propter eos qui humani officii gratia ad nos accedunt: nisi peculiaris quædam animæ cura suscipi debeat, quæ ex Domini mandato operæ corporali anteponenda sit, cum sancti apostoli in Actis dicant: *Non est placitum, ut nos derelicto sermone Dei, ministremus mensis* [77].

[76] Ephes. VI, 19. [77] Act. VI, 2.

(20) Reg. primus γινομένων ἐγκόπτεσθαι. Statim quatuor mss. præter Voss. τι ἄν. Editiones Basil. et Paris. τις ἄν.

ΕΠΙΤΙΜΙΑ.

α' Εἴ τις ὑγιαίνων τῷ σώματι ἀμελοίη τῶν προσευχῶν, ἢ τῆς ἐκμαθήσεως τῶν ψαλμῶν, προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, οὗτος ἀφοριζέσθω, ἢ νηστευέτω (21) ἑβδομάδα μίαν.

β' Εἴ τις ἐλέγχοιτο ἐπὶ πταίσματι μετὰ ἀγάπης, καὶ μὴ καταδέχοιτο τὸν ἔλεγχον, μετὰ πάσης εὐλαβείας παρακαλῶν, καὶ αἰτῶν συγγνώμην ἐφ' οἷς ἐπλημμέλησε, καὶ αὐτὸς ἀφοριζέσθω ἑβδομάδα μίαν.

γ' Εἴ τις συγγνῷ τινι ἁμάρτημα, καὶ μὴ διορθώσεται αὐτὸν, ἢ ἐλέγξει (22) ἐν εἰρήνῃ μετὰ ἀγάπης τῆς ἐν Χριστῷ, ἀλλ' ἐν λύπῃ, ὡς θριαμβεύων μᾶλλον τὸν ἀδελφὸν, ἢ θεραπεύων τὸν αἴτιον τῆς ἁμαρτίας, καὶ αὐτὸς συναφοριζέσθω τῷ ἐλεγχομένῳ ἐπὶ τῷ ἁμαρτήματι ἑβδομάδας δύο, ἐπειδὴ ὡς ἐχθρὸς, καὶ οὐχ ὡς ἀδελφὸς ἤλεγξεν.

δ' Εἴ τις ὑβρίζει ἢ ἀντιλέγει, ἐπιτασσόμενος παρὰ ἀδελφοῦ τὰ κατὰ δύναμιν (23), καὶ μὴ ὑπακούει μετὰ πάσης τῆς ἐν Χριστῷ χαρᾶς, ὡς πληροφορῶν αὐτὸν, ὁμοίως ἀφοριζέσθω ἑβδομάδα μίαν.

ε' Εἴ τις ἀργολογοίη ἢ εὐτραπελεύοιτο, μὴ φυλάσσων μετὰ φόβου καὶ τρόμου τὴν διδασκαλίαν τοῦ μακαρίου Ἀποστόλου καὶ τῶν Εὐαγγελίων, καὶ αὐτὸς ἀφοριζέσθω (24) ἑβδομάδα μίαν.

PŒNÆ

1 Si quis integra corporis valetudine precari, aut psalmos ediscere neglexerit, excusans excusationes in peccatis [78], is a reliquorum consortio segregetur, aut jejunet hebdomadam unam.

2 Si quis cum charitate objurgatur ob aliquod erratum, nec tamen objurgationem susceperit, summa cum reverentia rogans et exposcens, ut delictorum sibi venia detur, is quoque a communitate separetur hebdomadam unam.

3 Si quis peccatum alicujus cognitum habuerit, neque correxerit ipsum, aut redarguerit in pace cum charitate Christi, sed cum tristitia ac molestia, quasi magis triumphet de fratre, quam curet peccati auctorem, is etiam **527** hebdomadas duas a cæteris sejungatur una cum eo qui fuit in peccato deprehensus: quandoquidem velut hostis, non ut frater corripuit.

4 Si quis quæ facere possit, a fratre jussus, eum afficiat contumelia, aut contradicat, neque morem gerat cum omni in Christo gaudio, tanquam qui præfidens in suo abundet sensu, similiter hebdomadam unam segregator.

5 Si quis inaniter garriat, aut sit facetiis deditus, non servans cum timore ac tremore doctrinam beati Apostoli et Evangeliorum, is quoque ipse ab aliis separetur hebdomadam unam.

[78] Psal. CXL, 4.

(21) Illud, ἢ νηστευέτω, deest in Colbertino.

(22) Codex Colb. διορθώσηται αὐτὸν, ἢ ἐλέγχων. Mox idem ms. τὸν αἴτιον, *auctorem*. Editi et Reg. primus τὸ αἴτιον, *causam*. Subinde idem ille liber antiquus διήλεγξεν.

(23) Unus ms. τὸ κατὰ δύναμιν.

(24) Codex Colb. καὶ οὗτος ἀφοριζέσθω.

6 Si quis præter *etiam* et *non*, aliud jusjurandum A juret, et ipse a cæteris sejungatur unam hebdomadam.

7 Si quis quempiam deliquisse fratrem conscius est, idque ei advenienti exprobraverit, veluti traducendi causa, ipse similiter veluti nulla miseratione commotus, et alienis malis lætatus, a cæteris segregetur hebdomadam unam.

8 Si quis quempiam peccasse conscius est, eumque videt id indifferenter ferentem, nec cum cordis contritione ac multis lacrymis Dominum placantem, adhortetur et admoneat ipsum, ut agat pœnitentiam, et pœnitentiæ ostendat opera. Quod si his factis neglexerit suam salutem, separetur prorsus qui est ejusmodi a communitate. *Nam modicum fermentum totam massam* B *corrumpit* [79], ut vir sanctus dixit.

9 Si quis exeat citra necessaria negotia, ac circumeat intempestive, segregator qui hujusmodi est, ut quiescant domi pedes ejus, sicut scriptum est [80].

10 Si quis irascatur temere, nec actutum fratrem a se tristitia affectum consoletur, ut peccatum quod in ipsum peccavit, condonet sibi, ipse similiter segregator hebdomadam unam.

11 Si quis fuerit a fratre contumelia affectus, et a communitate rogatus, peccatum non condonarit, recordatus ejus qui dixit : *Si quis adversus aliquem habet querelam : sicut et Christus donavit* [81] : et ipse pariter a cæterorum consortio segre- C getur hebdomadam unam.

12 Si quis egrediatur e monasterio non accepta benedictione, aut non dimissus ab archimandrita cum precatione, a cæteris sejungatur.

13 Si quis possidet aliquid in monasterio, aut extra monasterium, cæterorum privetur consortio.

14 Si quis conjungens se cum aliquo, cogitat e monasterio egredi ob aliud quoddam malum, sit excommunicatus.

15 Si quis ex cubiculorum præfectis invenit **528** aliquem turbas excitantem, aut colloquentem in dormitorio, et non ejicit ipsum extra cœtum, ipse careat benedictione.

16 Si quis careat benedictione castigationis gratia et ex contemptu se non excusarit, et acceperit D benedictionem, a cæteris sejungatur.

17 Si quis apponit quidpiam in mensa aut sibi ipsi,

ς' Εἴ τις πλὴν τοῦ *ναὶ* καὶ τοῦ *οὔ*, ἄλλον ὀμνύει ὅρκον, καὶ αὐτὸς ἀφοριζέσθω (25) ἑβδομάδα μίαν.

ζ' Εἴ τις συγγνῷ τινι ἀδελφῷ πταίσαντι (26), καὶ μετὰ τὸ παρελθεῖν ὀνειδίζοι, ὡς παραδειγματίζων, καὶ αὐτὸς ὡς ἀσυμπαθὴς καὶ ἐπιχαιρέκακος ἀφοριζέσθω ἑβδομάδα μίαν.

η' Εἴ τις συγγνῷ τινι ἁμάρτημα, καὶ ὁρᾷ αὐτὸν ἀδιαφόρως φέροντα, καὶ μὴ μετὰ συντριμμοῦ καρδίας καὶ πολλῶν δακρύων ἐξιλεούμενον τὸν Κύριον, παρακαλείτω καὶ ὑπομιμνησκέτω αὐτὸν μετανοεῖν, καὶ ἐπιδείκνυσθαι ἔργα μετανοίας. Εἰ δὲ τούτων γινομένων ἀμελοίη τῆς ἑαυτοῦ σωτηρίας, χωριζέσθω ὁ τοιοῦτος τῆς συνοδίας παντελῶς. *Μικρὰ γὰρ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ*, κατὰ τὸν εἰπόντα ἅγιον.

θ' Εἴ τις προέρχοιτο παρὰ τὰς ἀναγκαίας χρείας, περιάγων ἀκαίρως, ἀφοριζέσθω ὁ τοιοῦτος, ἵνα ἡσυχάζωσιν ἐν οἴκῳ οἱ πόδες αὐτοῦ, καθὼς γέγραπται.

ι' Εἴ τις ὀργισθῇ (27) εἰκῇ, καὶ μὴ παραχρῆμα παρακαλέσῃ τὸν ἀδελφὸν ὃν ἐλύπησεν, ὅπως ἀφῇ αὐτῷ τὴν ἁμαρτίαν ἣν ἥμαρτεν εἰς αὐτὸν, ἀφοριζέσθω καὶ αὐτὸς ἑβδομάδα μίαν.

ια' Εἴ τις ὑβρισθείη παρὰ ἀδελφοῦ, καὶ παρακληθεὶς ὑπὸ τῆς συνοδίας, μὴ συγχωρήσῃ (28) τὸ ἁμάρτημα, μνημονεύσας τοῦ λέγοντος· *Ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο·* καὶ αὐτὸς ὁμοίως ἀφοριζέσθω ἑβδομάδα μίαν.

ιβ' Εἴ τις (29) ἐξέλθοι τοῦ μοναστηρίου, μὴ λαβὼν εὐλογίαν, ἢ ἀπολυθεὶς ὑπὸ τοῦ ἀρχιμανδρίτου μετὰ εὐχῆς, ἔστω ἀκοινώνητος.

ιγ' Εἴ τις κέκτηταί τι ἐν τῷ μοναστηρίῳ, ἢ ἔξω τοῦ μοναστηρίου, ἔστω ἀκοινώνητος.

ιδ' Εἴ τις συνδυάζει (30) μετά τινος ἐπὶ τὸ ἀναχωρῆσαι τοῦ μοναστηρίου ἐφ' ἑτέρῳ τινὶ κακῷ, ἔστω ἀκοινώνητος.

ιε' Εἴ τις τῶν ἀρχικουνιτῶν εὑρίσκει τινὰ ταράσσοντα ἢ διαλεγόμενον ἐν τῷ κουνίῳ, καὶ μὴ ἐκβάλλει αὐτὸν ἔξω τοῦ χοροῦ, αὐτὸς γενέσθω ἀπευλογίας.

ις' Εἴ τις γένηται ἀπευλογίας ἕνεκεν παιδείας, καὶ καταφρονήσας μὴ ἀπολογήσηται, καὶ λάβῃ εὐλογίαν, ἀφοριζέσθω.

ιζ' Εἴ τις παρατιθεῖ τι (31) ἐν ταῖς τραπέζαις ἢ ἑαυ-

[79] Galat. v, 9. [80] Prov. vii, 11. [81] Coloss. iii, 13.

(25) Unus ms. ὁμοίως ἀφοριζέσθω.

(26) Reg. primus συγγνῷ πταῖσμά τι. Alius ms. ἐπὶ πταίσματι.

(27) Codex Colb. Εἴ τις ὀργισθείη. Mox idem ms. παρακαλέσῃ. Editi παρακαλέσει.

(28) Codex Colb. μὴ συγχωρήσῃ. Editi συγχωρήσει. Mox idem ms. ἔχοι μομφὴν, καθὼς ὁ Κύριος ἐχαρίσατο.

(29) Quæ sequuntur Epitimia in vulgatis post Constitutiones monasticas posita sunt : sed ea conjungere libuit, idque non sine causa, cum in Reg. primo conjungantur cæteris cum hoc titulo generali : Τοῦ αὐτοῦ [Βασιλείου] καὶ ὅσα ἐπιτίμια, *Ejusdem* [Basilii] *epitimia quæcunque reperiri potuerunt.* Vere autem an falso tribuantur Basilio, more nostro in Præfatione expendimus.

(30) Editi et Colb. Εἴ τις ἰδιάζει. Reg. primus συνδυάσει.

(31) Vocula τι addita est ex antiquis duobus libris. Statim mss. nostri aut ἀπὸ εὐλογίας, aut ἀπ' εὐλογίας. Editi uno verbo ἀπευλογίας.

τῷ, ἢ ἄλλῳ, μὴ ἐπιτραπεὶς παρὰ τοῦ ἀρχιμανδρί- A του, γενέσθω ἀπευλογίας.

ιη' Εἴ τις ἄνευ μαφορίου ποιεῖ ἔργον ἐν οἱῳδήποτε τόπῳ, γενέσθω ἀπευλογίας.

ιθ' Εἴ τις συντυγχάνει τῷ ἐρχομένῳ ξένῳ ἢ ἰδίῳ (32), μὴ ἐπιτραπεὶς παρὰ τοῦ ἀρχιμανδρίτου, ἐκτὸς τῶν ἐντετυπωμένων, γενέσθω ἀπευλογίας.

κ' Εἴ τις ἄρῃ ἀπὸ ἀδελφοῦ τι καὶ ἀποκρύψει, γενέσθω ἀπευλογίας.

κα' Εἴ τις, μὴ λαβὼν εὐλογίαν, ἐσθίει (33) ἄνευ παιδείας ὤν, ἀφοριζέσθω.

κβ' Εἴ τις οὐχ αἱρῇ εὐλογίαν εἰς τὸν ὄρδινον αὐτοῦ, γενέσθω ἀπευλογίας· εἰ δὲ χρείας ἕνεκεν οὐκ ἔφθασεν, ἀπολογησάσθω.

κγ' Εἴ τις εὑρεθῇ τὴν νύκτα ἰδιάζων μετά τινος, B ἢ τὸν τόπον ἀλλάσσων, ὅπου κοιμᾶται, παρὰ γνώμην τῶν ἐντετυπωμένων, ἀφοριζέσθω.

κδ' Εἴ τις ἐμβάλλει ἑαυτὸν εἰς ἄλλο ἔργον, μὴ ἐπιτραπεὶς, γενέσθω ἀπευλογίας.

κε' Εἴ τις ἀλλάσσῃ τι μετά τινος, ἢ χαρίζεται παρὰ γνώμην τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.

κς' Εἴ τις ἑσπέρας μετὰ τὸ *Πάτερ ἡμῶν* εὑρεθῇ ὁμιλῶν, ἀφοριζέσθω.

κζ' Εἴ τις τῶν ὑγιαινόντων κοιμᾶται ἔξω τοῦ εὐκτηρίου, ἔστω ἀφωρισμένος.

κη' Εἴ τις ἐν τραπέζῃ ἐσθίων φλυαρεῖ, ἐγειρέσθω εἰς προσευχήν. C

κθ' Εἴ τις γένηται ἀπευλογίας, καὶ λυπηθεὶς ἀντιπαιδεύσει τὸν παιδεύσοντα, ἢ ἀντιλέγων μὴ καταδέξηται, ἀφοριζέσθω. Εἰ δὲ λέγοι ἀδίκως παιδεύεσθαι, γνωριζέσθω τὴν αἰτίαν τῷ ἀρχιμανδρίτῃ, καὶ τὸ ὑπ' αὐτοῦ ὁριζόμενον καταδεχέσθω (34).

λ' Εἴ τις ἔχει πρός τινα λύπην, καὶ καταφρονῶν μὴ διαλλάσσεται πρὸ τῆς ὑπηρεσίας, ἢ λέγει (35) τὴν αἰτίαν τῷ ἀρχιμανδρίτῃ, ἢ τῷ ἀρχικουνίτῃ, ἀφοριζέσθω.

λα' Εἴ τις ἐν ἡμέρᾳ προσφορᾶς κωλύει ἑαυτὸν τῆς κοινωνίας (36) παρὰ γνώμην τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.

λβ' Εἴ τις ἀπὸ Γραφῶν φιλονείκως διαλέγεται, γενέσθω ἀπευλογίας· εἰ δὲ παραγγελθεὶς ἐπιμένει, D ὡς ἀπειθὴς (37) καὶ ἀνυπότακτος ἀφοριζέσθω.

λγ' Εἴ τις πλύνει ἢ ἑτέρου ἢ ἑαυτοῦ ἱμάτιον παρὰ γνώμην τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.

λδ' Εἴ τις ἀπολιμπάνεται τῶν τραπεζῶν, μὴ εἰρηκὼς τὴν αἰτίαν, μενέτω ἄσιτος.

aut alteri : si non permissum fuerit ipsi ab archimandrita, privetur benedictione.

18 Si quis absque capitis velamine opus facit in quocunque loco, privetur benedictione.

19 Si quis non data ab archimandrita facultate, cum aliquo externo accedente, aut cum aliquo contubernali colloquitur, exceptis iis, quorum hoc munus est, expers sit benedictionis.

20 Si quis abstulerit aliquid a fratre, et occultaverit, careat benedictione.

21 Si quis cum nulli pœnæ addictus sit, edit tamen non accepta benedictione, segregator a cæteris.

22 Si quis benedictionem ordine suo non receperit, careat benedictione : sin autem necessitate cogente non occurrit, excuset se.

23 Si quis inveniatur noctu privatim cum aliquo degens, vel locum ubi dormit commutans præter voluntatem præpositorum, cæterorum privetur consortio.

24 Si quis absque permissu intrudit se in opus aliud, privetur benedictione.

25 Si quis permutet aliquid cum aliquo, aut quidpiam largiatur præter sententiam archimandritæ, expers sit benedictionis.

26 Si quis vesperi post *Pater noster* inveniatur colloquens, aliorum privetur societate.

27 Si quis ex iis qui integra sunt valetudine, dormit extra oratorium, sit ab aliis sejunctus.

28 Si quis in mensa comedens nugatur, adigatur ad orandum.

29 Si quis caruerit benedictione, et ægre ferens vicissim redarguerit redarguentem, aut contradicens morem non gesserit, separetur a cæteris. Quod si dixerit redargui se immerito, causam notam faciat archimandritæ, et quod ab ipso statutum fuerit, sequatur.

30 Si quis sit cuipiam offensus, et id contemnens non reconcilietur ante ministerium : nisi dicat causam archimandritæ aut cubiculorum præfecto, sejungatur a cæteris.

31 Si quis in die oblationis removerit se a communione præter sententiam archimandritæ, expers sit benedictionis.

32 Si quis ex Scripturis contentiose disputat, careat benedictione : si vero commonitus perseveret, velut inobsequens et contumax, cæterorum privetur consortio.

33 **529** Si quis lavet aut alterius aut suam vestem præter voluntatem archimandritæ, careat benedictione.

34 Si quis absit a mensis, non dicta causa, maneat jejunus.

(32) Sic Regii primus et tertius. Codex Colb. τοῖς ἐρχομένοις ξένοις ἢ ἰδίοις· quæ scriptura, si cui ita libet, et ipsa quoque admitti potest. Editi τῶν ἐρχομένων ἢ ξένων ἢ ἰδίων.

(33) Editi Εἴ τις μὴ λάβοι εὐλογίαν, καὶ ἐσθίει. Reg. primus ut in contextu.

(34) Editi et Colb. καὶ τοῦ Παύλου ὁριζομένου καταδεχέσθω. Regii duo mss. ita ut edidimus.

(35) Vir doctissimus Combefisius legendum putat, εἰ μὴ λέγει, nec immerito ; nisi dicas particulam μή subaudiendam esse ex illis quæ proxime præcedunt, μὴ διαλλάσσεται.

(36) Editi κωλύσει ἑαυτὸν ταῖς κοινωνίαις. At Regii duo mss. ut in contextu.

(37) Sic mss. nostri, non ut editi, in quibus illud, ἀπειθὴς καί, desideratur.

35 Si quis aliquid perdiderit, et hoc non invento, rem minime declararit archimandritæ, privetur benedictione.

36 Si duo simul familiarem inter se consuetudinem habere comperiantur, et commoniti non secesserint, sint a cæteris segregati, donec corrigantur.

37 Si quis vesperi non accesserit ad *Pater noster*, absque causa aliqua, is precari pergat, donec omnes dormierint.

38 Si quis in tempore communionis fratri alicui offensus, ei pacem non dederit, sit excommunicatus.

39 Si quis amovet fratrem ab ordine ministerii, exceptis iis, quorum hoc munus est, careat benedictione.

40 Si quis noverit fratrem, qui clam secedere e monasterio velit, et non declararit archimandritæ, aut præfectis, a cæteris separetur.

41 Si quis surgit de mensa præter voluntatem archimandritæ, insistat precationi usque ad tempus lucernarum.

42 Si quis post communionem egreditur de ministerio, quousque omnes acceperint benedictionem, citra humanam necessitatem, solus seorsum comedat.

43 Si quis in causa est cur aliquis benedictione careat intempestive, ipse careat benedictione.

44 Si quis inventus fuerit loquens per cellas, exceptis iis qui eas occupant, aut etiam hesychastis, sit benedictionis expers.

45 Si quis facetias loquatur, aut inaniter garriat, privetur benedictione.

46 Si quis inventus fuerit detrahens cuipiam aut aliquos detrahentes audiens, et non increpans ipsos, aut non indicans archimandritæ, una cum ipsis excommunicetur.

47 Si quis repertus fuerit in horto loquens cum aliquo, aut repetens psalmos, aut dormiens, exceptis operariis et præpositis, careat benedictione.

48 Si quis ierit ad janitoris ædes sine permissu præpositorum, privetur benedictione: si vero ierit ad custodiæ locum, cæterorum privetur consortio.

49 Si quis dederit foris aliquid aut acceperit, præter voluntatem archimandritæ, a cæteris separetur.

50 Si quis præter præpositos, alicui ex peregrinis accedentibus obviam factus, cum eo **530** col-

A λε' Εἴ τίς τι ἀπολέσει, καὶ, μὴ εὑρὼν αὐτὸ, μὴ ἀναγγείλῃ (38) τῷ ἀρχιμανδρίτῃ, γενέσθω ἀπευλογίας.

λς' Ἐὰν εὑρεθῶσι δύο ἐπὶ τὸ αὐτὸ συνεχῶς πλησιάζοντες ἀλλήλοις, καὶ παραγγελθέντες μὴ χωρίζωνται, ἔσονται ἀφωρισμένοι, ἕως διορθώσωνται.

λζ' Εἴ τις ἑσπέρας μὴ φθάσῃ εἰς (39) τὸ *Πάτερ ἡμῶν*, ἐκτός τινος αἰτίας, στηκέτω εἰς προσευχὴν, ἕως ἂν πάντες κοιμηθῶσιν

λη' Εἴ τις, ἐν τῷ καιρῷ τῆς κοινωνίας λύπην ἔχων πρὸς τὸν ἀδελφὸν, μὴ δῷ αὐτῷ εἰρήνην, ἔστω ἀφωρισμένος.

λθ' Εἴ τις μεθιστᾷ τὸν ἀδελφὸν αὐτοῦ ἀπὸ τοῦ ὀρδίνου τῆς ὑπηρεσίας, ἐκτὸς τῶν ἐγκεχειρισμένων τὴν B φροντίδα, γενέσθω ἀπευλογίας.

μ' Εἴ τις γνῷ ἀδελφὸν λάθρα ἀναχωρῆσαι θέλοντα τοῦ μοναστηρίου, καὶ μὴ μηνύσῃ τῷ ἀρχιμανδρίτῃ, ἢ τοῖς προεστῶσιν (40), ἀφοριζέσθω

μα' Εἴ τις ἐγείρεται τῆς τραπέζης παρὰ γνώμην τοῦ ἀρχιμανδρίτου, στηκέτω εἰς προσευχὴν ἕως τοῦ λυχνικοῦ.

μβ' Εἴ τις μετὰ τὴν κοινωνίαν ἐξέρχεται τῆς ὑπηρεσίας, ἕως πάντες λάβωσιν εὐλογίας, ἐκτὸς ἀνθρωπίνης ἀνάγκης, καθ' ἑαυτὸν (41) ἐσθιέτω.

μγ' Εἴ τις ποιεῖ τινα ἀπευλογίαν γενέσθαι ἀκαίρως, αὐτὸς γενέσθω ἀπευλογίας.

μδ' Εἴ τις εὑρεθῇ λαλῶν εἰς τὰ κέλλια, ἐκτὸς τῶν ἐνοικούντων αὐτὰ (42), ἢ τῶν ἡσυχαστῶν, γενέσθω C ἀπευλογίας.

με' Εἴ τις εὐτράπελα λαλῶν ἢ ἀργολογῶν, γενέσθω ἀπευλογίας.

μς' Εἴ τις εὑρεθῇ καταλαλῶν τινος, ἢ ἀκούων καταλαλούντων τινῶν, καὶ μὴ ἐπιτιμῶν αὐτῷ, ἢ μηνύων τῷ ἀρχιμανδρίτῃ, σὺν αὐτῷ ἀφοριζέσθω.

μζ' Εἴ τις εὑρεθῇ εἰς τὸν κῆπον λαλῶν μετά τινος, ἢ δευτερῶν ψαλμοὺς (43), ἢ κοιμώμενος, ἐκτὸς τῶν ἐργαζομένων, ἢ τῶν ἐντετυπωμένων, γενέσθω ἀπευλογίας.

μη' Εἴ τις ἐξέλθοι εἰς τὸ ὀστιάριον μὴ ἐπιτραπεὶς ἐκ τῶν ἐν τετυπωμένων, γενέσθω ἀπευλογίας· εἰ δὲ εἰς τὸ φρούριον (44) ἐξέλθοι, ἀφοριζέσθω.

D

μθ' Εἴ τις διδοῖ ἔξω τι, ἢ λαμβάνει, παρὰ γνώμην τοῦ ἀρχιμανδρίτου, ἀφοριζέσθω.

ν' Εἴ τις συντυχὼν ὁμιλήσει τινὶ (45) τῶν ὑποστρεφόντων ξένων, πλὴν τοῦ δοῦναι τὴν εἰρήνην, ἐκτὸς

(38) Editi et Colb. αὐτὸ μὴ ἀναγάγῃ. At Regii duo mss. ἀναγγείλῃ. Mox duo mss. συνεχῶς πλησιάζοντες. Vox συνεχῶς aberat a vulgatis.

(39) Voculam εἰς addidi ex Colbertino. Haud longe addidimus quoque particulam ἂν ex duobus codicibus.

(40) Editi et Colb. ἢ τοῖς προεστῶσι. Reg. primus ἢ τοῖς ἡσυχασταῖς, *aut hesychastis*.

(41) Sic Reg. primus. Editi καθ' ἑαυτοῦ.

(42) Veteres duo libri τῶν ποιούντων, *exceptis iis, qui construunt ipsas*. Editi τῶν ἐνοικούντων. Aliquanto post editi καταλαλῶν τινας. Unus ms. τινος. Statim, ubi bis legitur αὐτῷ, utroque in loco legi oportere αὐτοῖς obscurum non est.

(43) Editi δεύτερος ψάλλων. At mss. tres δευτερῶν ψαλμούς.

(44) Antiqui duo libri εἰς το θυρώριον.

(45) Vox τινὶ addita est ex libris veteribus.

τῶν ἐντετυπωμένων, γενέσθω ἀπευλογίας.

να' Εἴ τις ὀχλεῖ τῷ ἀρχιμανδρίτῃ προφάσει τῆς ἐφημερίας, πλὴν τοῦ κελλαρίου, ἢ τοῦ ἀρχιεβδομαρίου, γενέσθω ἀπευλογίας· ἵνα ἑκάστης ἐφημερίας ὁ ἀρχιεβδομάριος καὶ ὁ φροντιστὴς περὶ πάσης χρείας φροντίζωσιν ἐπιμελῶς, ἵνα μὴ τῷ κρίματι τῆς ἀμελείας συμπέσωσιν.

νβ' Εἴ τις ἀκαίρως ἔρχεται εἰς τὸ ἑψητήριον ἢ εἰς τὸ κελλάριον ἐκτὸς τῶν ἐντετυπωμένων καὶ τῶν φροντιζόντων τῆς εὐταξίας, γενέσθω ἀπευλογίας.

νγ' Εἴ τις ἐξυπνισθεὶς παρά τινος λυπηθῇ ἐν τῷ καιρῷ τῆς ὑπηρεσίας ἢ τοῦ ἀναγνώσματος, ἀφοριζέσθω.

νδ' Εἴ τις περισσῶς μετὰ τὴν ἐπίσκεψιν τὴν μετὰ τὰ ὀρθρινὰ εἰσέρχεται εἰς τὸ νοσοκομεῖον, ἐκτὸς τῶν ἡσυχαστῶν καὶ τὴν φροντίδα ἐγκεχειρισμένων, γενέσθω ἀπευλογίας.

νε' Εἴ τις παρὰ γνώμην τοῦ νοσοκόμου εἰσελθὼν ἀναπαύει εἰς τὸ (46) νοσοκομεῖον, γενέσθω ἀπευλογίας· εἰ δὲ θλίβεται ἢ ἀρρωστεῖ, δηλούτω πρῶτον τῷ νοσοκόμῳ.

νς' Εἴ τις τῶν κακουμένων ἀλλάσσει τόπον, ὅπου κοιμᾶται, παρὰ γνώμην τοῦ νοσοκόμου, ἀφοριζέσθω.

νζ' Εἴ τις τῶν τετυπωμένων ὑπηρετῶν (47) ἐν τῷ νοσοκομείῳ παρατιθεῖ τι ἀδελφῷ παρὰ γνώμην τοῦ νοσοκόμου, γενέσθω ἀπευλογίας.

νη' Εἴ τις τῶν ἀῤῥώστων εὑρεθῇ καταλλάσσων παρὰ γνώμην τοῦ νοσοκόμου, ἢ τινος τῶν ὑπηρετούντων, γενέσθω ἀπευλογίας.

νθ' Εἴ τις εὑρεθῇ, ἐκτὸς τοῦ ἀρχιμανδρίτου, γράφων τινὶ ἢ δεχόμενος γράμματα, ἔστω ἀφωρισμένος.

ξ' Εἴ τις πέμπει τινὶ εὐλογίαν, ἢ δέχεταί τι ποτε, παρεκτὸς τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.

ΕΠΙΤΙΜΙΑ ΕΙΣ ΤΑΣ ΚΑΝΟΝΙΚΑΣ.

α' Ἡ ὀμόσασα τὸν τυχόντα ὅρκον ἀφοριζέσθω ἑβδομάδας δύο.

β' Ἡ βλασφημήσασά τινα τῶν πρεσβυτίδων τῶν πεπιστευμένων διατυποῦν τὰ ἐν τῷ ἀσκητηρίῳ ἀφοριζέσθω ἑβδομάδα μίαν.

γ' Ἡ κατὰ ἀπούσης ἀδελφῆς κρυφῇ λέγουσά τι σκοπῷ τοῦ διαβάλλειν αὐτήν, ἀφοριζέσθω ἑβδομάδα μίαν.

δ' Ἡ ὑβρίσασά τινα ὕβριν τὴν τυχοῦσαν ἀφοριζέσθω ἑβδομάδα μίαν.

ε' Ἥτις εὑρίσκεται (48) ψιθυρίζουσα ἄλλῃ ἐκτὸς τῶν πρεσβυτίδων τῶν πεπιστευμένων διακονεῖν, ἀφοριζέσθω ἑβδομάδα μίαν

A loquatur, excepto quod det pacem, sit benedictionis expers.

51 Si quis molestus est archimandritæ prætextu operæ per vices suscipiendæ, excepto cellario, aut archihebdomario, sit benedictionis expers: ut archihebdomarius, qui cuique vici præest, et procurator habeant sedulam curam rerum quarumlibet necessariarum, ne in judicium negligentiæ incidant.

52 Si quis intempestive venit in culinam aut cellarium, præter præpositos et disciplinæ curatores, privetur benedictione.

53 Si quis expergefactus ab aliquo in tempore ministerii aut lectionis, ægre ferat, a cæteris segregetur.

B 54 Si quis sine causa post visitationem matutinam ingreditur in valetudinarium, præter hesychastas et præter eos quorum hoc officium est, careat benedictione.

55 Si quis præter voluntatem curatoris ægrotorum, ingressus in valetudinarium, illic requiescit, careat benedictione: si vero affictatur, aut ægrotat, indicet id prius valetudinarii præfecto.

56 Si quis male habentium mutat locum ubi dormit præter voluntatem illius, qui valetudinario præest, a cæterorum separetur consortio.

57 Si quis ex designatis ad serviendum in valetudinario, apponat quidquam fratri præter sententiam illius qui valetudinario præponitur, sit benedictionis expers.

C 58 Si quis ex ægrotantibus inventus fuerit quidpiam permutans præter voluntatem illius, qui valetudinario præficitur, aut alicujus ex designatis ad ministerium, careat benedictione.

59 Si quis inventus fuerit scribens aut recipiens litteras, excepto archimandrita, a cæterorum sejungatur societate.

60 Si quis mittit alicui munusculum, aut recipit quidpiam alicunde, præter archimandritam, careat benedictione.

EPITIMIA IN CANONICAS.

1 Quæ juravit quodvis jusjurandum hebdomadas duas a cæteris segregetur.

D 2 Quæ maledixit alicui ex senioribus quæ rebus monasterii regendis præponuntur cæterarum privetur consortio hebdomadam unam.

3 Si qua quidpiam clanculum dicat adversus absentem sororem, eo consilio ut ei detrahat, cæterarum consortio privetur hebdomadam unam.

4 Quæ contumelia quavis aliquam affecerit a cæteris separetur hebdomadam unam.

5 **531** Si qua alia præter anus quibus credita administratio est comperitur susurrare, a cæterarum societate removeatur hebdomadam unam.

(46) Reg. primus εἰσελθὼν ἀναπέσῃ εἰς τό.
(47) Veteres duo libri ὑπηρετεῖν. Alia ejusdem generis multa omitto, quæ si ascriberem, frustra tempus terere mihi viderer.

(48) Hoc epitimium cum sequenti confunditur in vulgatis: sed in Reg. primo alterum ab altero distinguitur.

6 Quæ, nulla cogente necessitate, intempestivum colloquium serens futiliter garrit, sejungatur a cæteris hebdomadam unam.

7 Quæ facetias loquitur, aut indecore ridet, segregator hebdomadam unam.

8 Quæ ministerii sui opus peragens et necessario negotio occupata, cum proxima colloquetur utendo aut clamore, aut temerario sermone, sejungatur a cæteris hebdomadam unam.

9 Quæ defendit eam quæ condemnata est ob aliquod erratum, ab iis quibus post prævium examen administratio et cura rerum demandata est, simul cum ea quam defendit a reliquarum consortio segregetur hebdomadas duas.

10 Quæ cum aliquo ex iis qui foris accedunt collocuta fuerit, priusquam fuerit ei data facultas ab ea cui concredita cura est in omni disciplinæ auctoritate, segregetur a cæteris hebdomadam unam.

11 Quæ reperta fuerit murmurans ob rerum necessariarum angustias, aut ob laborem operum, cæterarum consortio privetur hebdomadam unam.

12 Quæ refragatur præcepto earum quibus rerum commissa est cura, segregetur a cæteris per unam hebdomadam.

13 Quæ contemptim, non autem quiete et silentio, implet præceptum, cæterarum consortio privetur hebdomadam unam.

14 Quæ exquisite ornare se velit, semel atque iterum commonefacta, coram præfecto redarguatur.

15 Quæ citra sententiam illarum quibus commissa est rerum cura ad matrem aut sororem abierit, segregetur hebdomadam unam.

16 Quæ movens oculos modo malo proximam affecerit molestia, a cæteris separetur hebdomadam unam.

17 Quæ post absolutas synaxes cum aliqua externa muliere confabulatur, separetur hebdomadas duas.

18 Quæ ab uno opere ad aliud opus transit sine jussu eorum qui rerum curam habent a cæterarum consortio removeatur hebdomadam unam.

19 Quæ epitimium rejecerit, aut quæ contradicit, aut murmurat, utilitatem sibi ipsi ex correctione accessuram non agnoscens, a cæteris segregetur hebdomadas duas.

A ς' Ἥτις χωρὶς ἀναγκαίας χρείας ἄκαιρον ὁμιλίαν προβαλλομένη ἀργολογεῖ, ἀφοριζέσθω ἑβδομάδα μίαν.

ζ' Ἥτις εὐτράπελα φθέγγεται, ἢ γέλωτα ἀπρεπῆ, ἀφοριζέσθω ἑβδομάδα μίαν.

η' Ἥτις ἐν τῷ ἔργῳ τῆς διακονίας οὖσα, καὶ ἀναγκαίαν χρείαν ἔχουσα, ὁμιλήσει τῇ πλησίον ἢ μετὰ κραυγῆς ἢ θρασυλογίας (49), ἀφοριζέσθω ἑβδομάδα μίαν.

θ' Ἥτις ἀντέχεται τῆς ἐπιχαταγινωσκομένης ἐπὶ πταίσματι παρὰ (50) τῶν μετὰ δοκιμασίας οἰκονομεῖν καὶ διατυποῦν πεπιστευμένων, συναφοριζέσθω ἐκείνῃ ᾗ ἀντέχεται ἑβδομάδας δύο.

ι' Ἥτις τινὶ τῶν ἔξωθεν ἐπεισερχομένων ὁμιλήσει, B πρὶν ἐπιτραπῇ παρὰ τῆς τὴν φροντίδα ἐμπεπιστευμένης ἐν πάσῃ ἐξουσίᾳ εὐταξίας, ἀφοριζέσθω ἑβδομάδα μίαν.

ια' Ἥτις ευρίσκοιτο γογγύζουσα ἐν τῇ στενοχωρίᾳ τῶν πρὸς τὴν χρείαν, ἢ ἐν τῷ καμάτῳ τῶν ἔργων, ἀφοριζέσθω ἑβδομάδα μίαν.

ιβ' Ἡ ἀντιπίπτουσα τῷ προστάγματι τῶν πεπιστευμένων τὴν φροντίδα ἀφοριζέσθω ἑβδομάδα μίαν.

ιγ' Ἡ καταφρονητικῶς, μετὰ δῆθεν ἡσυχίας μὴ πληροῦσα (51) τὸ ἐπίταγμα ἀφοριζέσθω ἑβδομάδα μίαν.

ιδ' Ἡ θέλουσα καλλωπίζεσθαι, μετὰ μίαν καὶ δευτέραν νουθεσίαν, ἐπὶ τοῦ προεστῶτος ἐλεγχέσθω.

C ιε' Ἡ ἄνευ γνώμης τῶν πεπιστευμένων τὴν φροντίδα εἰς μητέρα ἢ εἰς ἀδελφὴν ἀπελθοῦσα, ἀφοριζέσθω ἑβδομάδα μίαν.

ις' Ἡ ἐννεύσασα ὀφθαλμοὺς (52) σχήματι πονηρῷ λυποῦσα τῇ πλησίον, ἀφοριζέσθω ἑβδομάδα μίαν.

ιζ' Ἡ μετὰ τὴν ἀπόλυσιν τῶν συνάξεων ὁμιλοῦσά τινι τῶν ἔξω γυναικῶν ἀφοριζέσθω ἑβδομάδας δύο.

ιη' Ἡ ἀπ' ἔργου εἰς ἕτερον ἔργον μεταβαίνουσα χωρὶς ἐπιταγῆς τῶν ἐχόντων (53) τὴν φροντίδα ἀφοριζέσθω ἑβδομάδα μίαν.

ιθ' Ἥτις τὸ ἐπιτίμιον ἀποβάλλοιεν (*sic*), ἢ ἀντιλέγει, ἢ γογγύζει, μὴ γνωρίζουσα τὸ ἑαυτῆς ὄφελος ἐν τῇ διορθώσει, ἀφοριζέσθω ἑβδομάδας δύο.

D

CAPITA CONSTITUTIONUM.

1 Quod precatio omnibus anteponenda est.

2 De cogitationibus cohibendis ac moderandis, et quod corpus malum non est, ut quidam putaverunt.

3 **532** Quod non oportet cum mulieribus incaute colloqui.

ΚΕΦΑΛΑΙΑ ΔΙΑΤΑΞΕΩΝ.

α' Περὶ τοῦ δεῖν τὴν εὐχὴν προτιθέναι πάντων.

β' Περὶ τῆς τῶν λογισμῶν ἐπιστάσεως, καὶ ὅτι οὐ κακὸν τὸ σῶμα, ὥς τινες ὑπειλήφασιν

γ' Ὅτι οὐ δεῖ τὰς τῶν γυναικῶν συντυχίας ἀφυλάκτως ποιεῖσθαι.

(49) Editi et Colb. ἢ θρασυλογίας. Reg. primus ἢ θρασὺς λαλεῖ.

(50) Virgula in vulgatis posita fuerat ante vocem παρά· sed eam inde sustuli, fidem codicis Colbertini secutus.

(51) Codex Colb. μὴ πληρώσασα.

(52) Idem ms. ὀφθαλμούς. Editi ὀφθαλμοῦ. Ultima septem epitimia in Reg. primo non inveniuntur.

(53) Editi et Colb. τῶν ἐχόντων· sed forte pro ἐχόντων legendum est ἐχουσῶν.

δ' Ὅτι δεῖ τῇ δυνάμει τοῦ σώματος μετρεῖν τὴν ἐγκράτειαν· καὶ ὅτι καλὸν καὶ ἔννομον ἡ τοῦ σώματος ἐργασία.

ε' Ὅτι προσήκει τὸν ἀσκητὴν ἔργα ἐπιτηδεύειν τὰ πρέποντα.

ς' Ὅτι οὐ χρὴ πᾶσιν ἀνθρώποις ἀφυλάκτως συνδιατρίβειν τὸν ἀσκητήν.

ζ' Ὅτι οὐ χρὴ συχνὰς καὶ ἀβασανίστους ποιεῖσθαι τὰς προόδους.

η' Ὅτι οὐ χρὴ τοῖς ἀστατοῦσι τῶν ἀσκητῶν μεταδιδόναι θάρσους καὶ παῤῥησίας, ἀλλὰ καὶ τούτους φυλάττεσθαι.

θ' Ὅτι κλήρου ἢ προστασίας ἀδελφῶν οὐδαμῶς ἐφίεσθαι προσήκει τὸν ἀσκητήν.

ι' Ὅτι οὐ χρὴ πρὸς κενοδοξίαν βλέποντα ζηλοῦν τὰ καλά.

ια' Περὶ εὐκαιρίας λόγων.

ιβ' Ὅτι οὐ χρὴ πρὸς εὐτραπελίας βλέπειν τὸν ἀσκητήν.

ιγ' Περὶ πραότητος, καὶ τίνα τρόπον ἀγάπη συνίσταται.

ιδ' Περὶ φρονήσεως.

ιε' Περὶ πίστεως καὶ ἐλπίδος.

ις' Περὶ ταπεινοφροσύνης.

ιζ' Κατὰ πόσους τρόπους οἱ πονηροὶ λογισμοὶ συνίστανται.

ιη' Πρὸς τοὺς ἐν κοινοβίῳ κανονικούς.

ιθ' Ὅτι χρὴ τὸν ἀσκητὴν βεβαίᾳ κρίσει προσιέναι τῇ ἀσκήσει, καὶ περὶ ὑπακοῆς.

κ' Ὅτι οὐ χρὴ τὰς πρὸς τοὺς βιωτικοὺς συγγενεῖς μεταδιώκειν ὁμιλίας, ἢ τὰ ἐκείνων φροντίζειν.

κα' Ὅτι οὐ δεῖ τῆς πνευματικῆς ἀδελφότητος ἀποκόπτεσθαι.

κβ' Περὶ ὑπακοῆς πληρέστερον.

κγ' Ὅτι καὶ τὰ εὐτελῆ τῶν ἔργων μετὰ πολλῆς προθυμίας αἱρεῖσθαι προσήκει τὸν ἀσκητήν.

κδ' Ὅτι οὐ χρὴ τιμὰς καὶ πρεσβείας ἐπιζητεῖν τὸν ἀσκητήν.

κε' Περὶ τῆς κατὰ τὰ βρώματα ἀτυφίας καὶ ἁπλότητος.

κς' Ὅτι τὸν πρὸς τὸ τέλειον βλέποντα οὐδὲν ἡ πρόοδος παραβλάψαι δυνήσεται.

κζ' Ὅτι οὐ χρὴ ἀσχολίας ἔχειν τὸν ἀσκητήν.

κη' Ὅτι χρὴ τὸν προεστῶτα πατρικῇ εὐνοίᾳ τὰ κατὰ τοὺς ὑπηκόους οἰκονομεῖν.

κθ' Ὅτι οὐ χρὴ ἑταιρίας δύο ἢ τριῶν ἀδελφῶν ἐν συστήματι ἀσκητικῷ γενέσθαι.

λ' Ὅτι οὐ χρὴ ἐνδυμάτων ἐκλογὴν ἐπιζητεῖν τὸν ἀσκητήν.

λα' Ὅτι δεῖ τὸν προεστῶτα ἀνάλογα τῆς τοῦ σώματος δυνάμεως ὁρίζειν τὰ ἐπιτεταγμένα· καὶ περὶ τῶν ἀποκρυβόντων τὴν ἑαυτῶν δύναμιν.

λβ' Ὅτι οὐ δεῖ τοὺς ἀδελφοὺς λυπεῖσθαι, τῶν ἀσθενεστέρων φειδοῦς ἀξιουμένων.

λγ' Ὅτι οὐ χρὴ τοὺς προεστῶτας τοῖς ἀποστατοῦσι τοῦ οἰκείου ἀθροίσματος ἀσκηταῖς παῤῥησίας μεταδιδόναι, ἢ τούτους εἰς κοινωνίαν βίου δέχεσθαι.

A 4 Quod oportet abstinentiam corporeis viribus metiri; et quod corporis labor, bona res est et legitima.

5 Quod convenit ascetam in congruis operibus exercitari.

6 Quod non convenit ascetam cum omnibus hominibus incaute sermocinari.

7 Quod non oportet crebro et temere egredi.

8 Quod ascetis instabilibus confidentia ac loquendi libertas danda non est, imo vero quod hi vitandi sunt.

9 Quod non convenit ut asceta ingredi in clerum, aut fratribus præfici unquam cupiat.

10 Quod non convenit bona æmulari ob vanam

B gloriam.

11 De idoneo ad loquendum tempore.

12 Quod non convenit ascetam ad facetias respicere.

13 De mansuetudine, et quomodo charitas constituatur.

14 De prudentia.

15 De fide et spe.

16 De humilitate.

17 Quot modis nascantur pravæ cogitationes.

18 Ad canonicos in communi viventes.

19 Quod oportet ascetam firmo judicio accedere ad asceticam vitam, et de obedientia.

C 20 Quod non oportet sectari colloquia cum cognatis sæculo addictis, aut illorum res curare.

21 Quod non oportet a spirituali fraternitate resecari.

22 De obedientia uberius.

23 Quod asceta vilia etiam opera debet multa cum alacritate suscipere.

24 Quod non convenit honores ac dignitates requiri ab asceta.

25 De frugalitate ac simplicitate in alimentis.

26 Quod qui respicit ad perfectionem, nihil lædi possit egrediendo.

27 Quod asceta non debet privata negotia habere.

28 Quod oportet præfectum paterna benevolentia res ac negotia subditorum dispensare.

D 29 Quod non addecet in instituto ascetico duorum aut trium fratrum esse sodalitium.

30 Quod non convenit ut asceta delectum vestium expetat.

31 Quod debet præfectus viribus corporis sua mandata accommodare: et de iis qui vires suas occultant.

32 Quod non debent fratres tristitia affici, cum levamenti aliquid affertur debilioribus.

33 Quod non debent præfecti ascetis, qui suum ipsorum conventum deserunt, loquendi libertatem dare, aut ipsos admittere ad vitæ communitatem.

34 Quod non oportet ascetam in societate degentem, quidquam rerum terrenarum privatim possidere.

A λδ' Ὅτι οὐ χρὴ τὸν ἐν συστήματι πολιτευόμενον ἀσκητὴν ἰδίᾳ τι κεκτῆσθαι τῶν ὑλικῶν

MONITUM.

533 Adnotavimus non unam omnium sententiam esse de *Asceticorum* scriptore. Alii *Ascetica* omnia Basilio Magno tribuunt: alii aliquam eorum partem ei tribuere satis habent, sed ita tamen, ut omnes in eo conveniant, quod *Constitutionum monasticarum* Basilium Magnum auctorem faciant. De quibus omnibus satis fuse in Præfatione (n. 27) disputamus, ubi privatim ostendere conati sumus, si quid in *Asceticis* pro suspecto habendum sit, eam suspicionem maxime in *Constitutiones monasticas* injici debere (54).

(54) Chr. Frid. Matthæi *Lectionum Mosquensium* t. II, p. 37, Scholium edidit Theodori Studitæ, sæculi noni scriptoris, in hæc Basilii *Ascetica*. Quod cum pro eorum αὐθεντίᾳ non parum facere videatur, illud hic sistimus cum interpretatione nostra. Edit.

Θεοδώρου ἡγουμένου τοῦ Στουδίου Σχόλιον εἰς τὰ μερικὰ Ἀσκητικὰ τοῦ μεγάλου Βασιλείου. Ὅτι γνήσιον τοῦ μεγάλου Βασιλείου τὸ παρὸν σύνταγμα, δῆλον μὲν καὶ ἀπ' αὐτοῦ τοῦ χαρακτῆρος τῆς ὑψηγορίας, τοῦ τε εἴδους τῆς φράσεως· δῆλον δὲ καὶ ἐκ τοῦ συνεμπίπτειν ταῖς τῶν ἄλλων *Ἀσκητικῶν* ἐννοίαις τε καὶ λέξεσιν, ὡς μὴ δοκεῖν τι ἄλλο τῷ καὶ μικρὸν γοῦν ἐπεσκεμμένως ἀναγινώσκοντι ἢ θάτερον ἐν θατέρῳ διεξέρχεσθαι. Ὅτι δὲ ἐκεῖνα τοῦ Πατρὸς, τίς ἀντερήσει ἢ ὃς τυφλώττοι κατὰ νοῦν ἐνεργούμενος τὴν κακίαν; Οἶμαι γάρ τινας, δριμυττομένους τῷ ἀκριβασμῷ τῆς διδασκαλίας, προσλαβόντας τε ἐπίκουρον τῆς αὐθαδείας τὸ εἰπεῖν τινα τῶν ἱστοριογράφων παρά τισιν ἀμφιβάλλεσθαι, ῥιψοκινδύνως νόθα αὐτὰ φάναι. Οἱ δ' αὐτοί μοι δοκοῦσι καὶ τὴν πρὸς Ἑβραίους Ἐπιστολὴν, τήν τε Πέτρου δευτέραν, Ἰωάννου τε τὴν Ἀποκάλυψιν, ἑτέρας τε Καθολικὰς, πρὸς συγγράμμασί τισι πατρικοῖς, ἐπειδὴ ὁμοίως ἀμφιβάλλονται, ἀμφιβάλλεσθαι. Ἀλλ' εἰ τὸ δεύτερον ἀσεβὲς, πῶς οὐχὶ καὶ τὸ πρότερον, ἤδη ἀποδεδειγμένων παρὰ τῇ Ἐκκλησίᾳ ἀμφοτέρων, καὶ οὐδαμῶς τοῦ ἀμφιβόλου χώραν ἔχοντος ἔτι; Εἰ δὲ τὸν Θεολόγον μὴ ὑπομνηματίσαι φήσωσιν, ἢ ἐπιπολαίως ἀνέγνων, ἢ συνιέντες κακουργοῦσι. *Νομοθεσίαι γὰρ μοναστῶν*, ἡνίκα φησὶν, *ἔγγραφοί τε καὶ ἄγραφοι*, τί ἄλλο ἢ πάντως γε ταῦτα δηλοποιεῖται; Ἀπόδειξις δὲ καὶ ἐξ ἑτέρας θεωρίας. « Ὃ γὰρ λέγει Βασίλειος ἐν τοῖς *Ἀσκητικοῖς*, τὰ ἱερὰ γράμματα παρὰ τῶν γονέων μεμαθηκέναι, φησὶ Γρηγόριος, τὰ μὲν δὴ πρῶτα παρὰ τῷ πατρὶ σπαργανοῦταί τε καὶ διαπλάττεται. » Εὕροι δ' ἄν τις καὶ τὸν ὅσιον Θεοδόσιον πρός τισιν ἄλλοις κεχρῆσθαι αὐτοῖς, ὡς δηλοῖ ὁ περὶ αὐτοῦ Βίος. Πρὸς τίνα δ' αὖ ἄρα ἔμελλον ἕτερον ἐπερωτᾷν τὰ καθ' ἡμᾶς οἱ πάλαι ἐπηρωτηκότες μονάζοντες; ἢ τίνος ἦν ἄλλου ἐν τηλικαύτῃ ἐξουσίᾳ νομοθετεῖν, καὶ ὅλην ὑπόθεσιν σωτηρίας τὴν περὶ αὐτὰ πραγματείαν συστήσασθαι, ὡς μηδ' εἶναι ἄλλως σχεδὸν βαδίζειν ἀπταίστως τὴν κατὰ Θεὸν πορείαν ἢ ἐκ τῆς κατ' αὐτὴν ὑφηγήσεως; Ἢ τοίνυν δῶσιν ἰσόῤῥοπα ἕτερα *Ἀσκητικὰ*, ὡς ἐκείνων ὄντων τοῦ μεγάλου Βασιλείου, καίπερ οὐδ' οὕτως ἄλλος εἴη Βασίλειος, διὰ τὸ ἰσοδύναμον τοῦ πνεύματος καὶ τοῦ φθέγματος, ἢ μὴ, καὶ οὐ βουλόμενοι, πάντως καταδέξονται τοῦ μεγάλου Βασιλείου εἶναι. Ἰστέον δὲ, ὡς τὰ μὲν ἄλλα τὰ καθόλου *Ἀσκητικὰ* εἴρηται, ταῦτα δὲ τὰ μερικά. Ἔδει γὰρ τὸν λαμπτῆρα τοῦ κόσμου πρὸς ταῖς ἄλλαις αὐτοῦ ἀκτῖσι τῶν διδαγμάτων καταυγάζοντα τὴν ὑφ' ἥλιον πᾶσαν φωτίσαι ἡμᾶς κἂν τοῖσδε τοῖς δυσὶ συγγράμμασιν.

« *Theodori Studitæ Scholium in particularia Ascetica Magni Basilii.* Præsens opusculum genuinum esse Basilii Magni fetum, cum ipse magniloquentiæ character, tum etiam genus dictionis manifeste produnt. Idem etiam evincit hujus cum aliis *Asceticis* tanta, sive sensa sive etiam verba spectes, similitudo, ut vel leviter attendenti non tam diversa opera quam alterum alterius explanatio esse videantur. Quis porro *Ascetica* illa, nisi perversa mente ultro cæcutiat, sancto Patri abjudicaverit? Quæ quidem spuritatis temere non nullos arguisse novi, motos, ut opinor, hinc perspicacitatis ambitione, inde historiographi alicujus auctoritate, illa a quibusdam in dubiorum numero haberi scribentis, suoque testimonio spuritatis assertorum confirmantis audaciam. Consequens autem videtur ut iidem pro dubiis habeant Epistolam ad Hebræos, secundam Petri, Joannis Apocalypsim, aliasque Epistolas Catholicas, siquidem de illis etiam in quorumdam Patrum scriptis ambigitur. Si hoc autem impium, quomodo non impium erit *Ascetica* Basilio abjudicare, quandoquidem et de illis et de supradictis opusculis apostolicis litem solvit Ecclesiæ auctoritas, utraque recipiendo? Quod si dicant nullam a Theologo *Asceticorum* fieri mentionem, vel superficie tenus illum legisse, vel ultro mentiri se produnt. Quid enim aliud apud Gregorium innuunt *regulæ monachorum scriptæ et non scriptæ?* Suppetit etiam alia probandi ratio. « Quod autem dicat Basilius in *Asceticis* (*sunt verba Gregorii*), se a parentibus suis sacras litteras didicisse, certe a patre suo primis elementis imbutus est et informatus. » Ad hæc notum est, divum Theodosium, præter quosdam alios, *Asceticis* usum fuisse, ut ex illius Vita colligere licet. At vero, quem alium de institutis nostris consulere potuissent antiqui monachi? Cujus erat tanta auctoritate leges statuere, sacramque illam legislationem quasi fundamentum salutis ponere, ita ut, nisi quis illa duce usus fuerit, non potuerit aliter via quæ est secundum Deum ambulare? Exhibeant ergo nobis alia *Ascetica* nostris æqualia, Magnoque illa Basilio ascribant (quanquam nec sic exsurget alius Basilius, eamdem vim ingenii eumdemque stylum referens): si non, vel inviti *Ascetica* nostra Basilii esse confitebuntur. Porro notandum est, alia *Ascetica* esse generalia; hæc autem, particularia. Hoc enim mundi sidus, aliis præceptorum suorum radiis totam quæ sub sole est terram illuminans, nos singulariter his saltem duobus opusculis illustrare debuit. »

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΣΙΛΕΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ

ΑΣΚΗΤΙΚΑΙ ΔΙΑΤΑΞΕΙΣ (55),

ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΚΟΙΝΟΒΙῼ ΚΑΙ ΚΑΤΑΜΟΝΑΣ ΑΣΚΟΥΝΤΑΣ.

SANCTI PATRIS NOSTRI

BASILII,

CÆSAREÆ CAPPADOCIÆ ARCHIEPISCOPI,

CONSTITUTIONES ASCETICÆ,

AD EOS QUI SIMUL AUT SOLITARIE VIVUNT.

ΠΡΟΟΙΜΙΟΝ.

A

1. Τὴν κατὰ Χριστὸν φιλοσοφίαν ἐπανελόμενος, καὶ τῶν βιωτικῶν ἐπιθυμιῶν τε καὶ ἡδονῶν καὶ φροντίδων ἀνώτερον ἄρας τὸ φρόνημα, καὶ τῶν σαρκικῶν παθημάτων τὸν λογισμὸν ἐκ παντὸς τρόπου χωρίζειν καὶ ἀποκρίνειν ἐσπουδακὼς, πολλάκις μὲν πρὸς ἡμᾶς πολλοὺς πεποίησαι λόγους (56), πυνθανόμενος τίνα τρόπον δέοι τὴν τοῦ ἀγῶνος ἔνστασιν τελειῶσαι, μηδαμοῦ ταῖς σαρκικαῖς ἐπιθυμίαις ταῖς διὰ τοῦ σώματος παριούσαις ἐπὶ τὴν ψυχὴν ἁλισκόμενον· καὶ τί μὲν πρῶτον, ὡς μάλιστα παραφυλακτέον, τί δὲ μετὰ τὸ πρῶτον· τίνα δὲ τῶν καλῶν ζηλωτέον, ὥστε τῇ μὲν παραφυλακῇ φυγεῖν τὴν τῶν ἀτόπων ἐνέργειαν (57)· τῷ δὲ ζήλῳ κατορθῶσαι τὴν τῶν καλῶν πρᾶξιν. Ἔπειτα μέντοι ἠξίους B καὶ ἔγγραφόν σοι τῆς ἡμετέρας περὶ τούτου συμβουλῆς γενέσθαι τὴν ἔκθεσιν. Τούτου χάριν καὶ αὐτοὶ προήχθημεν τὸν ἀγαθόν σου ζῆλον μὴ παριδεῖν, ἀλλὰ καὶ τὸν ἐνόντα τρόπον ταῖς παρ' ἑαυτῶν ὑπο-

PROŒMIUM.

1. Ex quo Christi amplexus es philosophiam, et supra cupiditates mundanas atque voluptates ac curas animum extulisti, et mentem instituisti omni modo ab affectionibus carnalibus abducere et avocare, non raro nobiscum habuisti sermonem, ac percontatus es, quomodo susceptum certamen oporteat absolvere, ut carnis cupiditatibus, quæ per corpus ad animam obrepunt, nusquam capiare; et quid primum quam maxime vitandum sit, et quid deinde: et quæ bona æmulanda, ut alia vitando, ab ineptis operibus faciendis declines; alia vero æmulando, perficias bona. Postea vero postulasti etiam, ut nostram de hac re sententiam exscriberem tibi, exponeremque. Quare adducti sumus ut ne bonam tuam æmulationem aspernaremur, sed potius eos quos jam habes mores, nostris consiliis fulciremus confirmaremusque; non quod doctrinam pro rei argumento idoneam prolaturi si-

(55) Varii quidem tituli sunt in libris veteribus: sed tamen in eo omnes conveniunt, ut nomen Basilii præferant. Reg. primus: Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας λόγοι πρὸς τοὺς μονήρη βίον ἀσκοῦντας. Πρόλογος. *Sancti Patris nostri Basilii Cæsareæ Cappadociæ archiepiscopi sermones, ad eos qui in solitaria vita exercentur.* Reg. secundus: Διατάξεις ἐν κεφαλαίοις λε'. Τοῦ αὐτοῦ· Ἀσκητικαὶ διατάξεις πρὸς τοὺς ἐν κοινοβίῳ καὶ κατὰ μόνας ἀσκοῦντας. *Constitutiones in capitibus XXXV. Ejusdem* [*Basilii*] *constitutiones asceticæ, ad eos qui in cœnobio aut solitarie vivunt.* Regii tertius et quartus: Τοῦ αὐτοῦ ἀσκητικαί, et cætera C ut in eo, quem modo dixi libro. Denique codex Colb.: Τοῦ αὐτοῦ λόγοι πρὸς τοὺς τὸν μονήρη βίον ἀσκοῦντας. Πρόλογος. *Ejusdem* [*Basilii*] *sermones ad eos qui se in vita solitaria exercent. Prologus.* Monere libet, reperiri quidem quinque et triginta capita in plerisque libris veteribus, sed ita, ut in his Prooemium teneat locum capitis primi. Notabo quoque quasi præteriens, legi in impressis libris καταμόνας, uno verbo: sed id vocabulum distingui in nostris codicibus hoc modo, κατὰ μόνας. Antiquum titulum qui in vulgatis legitur, judicavimus non mutandum esse.

(56) Veteres quatuor libri præter Combef. πεποίησαι λόγους. Editi ἐποίησας.

(57) Reg. primus et Colb. τὴν τῶν κακῶν ἄτοπον ἐνέργειαν. Alii duo mss. et editi uti in contextu.

mus. sed ne doctrinam qua præditi sumus, silentio A veluti aggere quodam abscondamus, et ita demum intentas homini talentum in terra occultanti pœnas effugiamus. Conjugium autem, ut plurimum, causa est hominibus et occasio cupiditatis illius, quæ circa voluptates mundanas ac curas versatur. Neque enim cupiditas ulla, quæ naturæ corporis insita sit, unquam reperiri potest vehementior violentiorque, quam ea est, qua viri feminas, aut feminæ mares appetunt, **534** idque non mirum, cum ipsa tendat suapte natura ad liberorum procreationem. Itaque cum conjugium maximi momenti esset, impetum quoque indere debebat vehementiorem : similiterque neque curæ ullæ ex iis quæ hominibus accidere solent, graviores sunt, quam quæ ex connubio acervatim advolant, velut B Paulus ait : *Qui uxorem duxit sollicitus est de iis quæ sunt mundi* [82], utpote curarum sarcina degravatus. Etenim qui solus degit, seipsum tantummodo suasque necessitates corporales curat : aut fortasse eas etiam contempturus est, si semel id in animum suum inducere facile possit : qui vero curam suscipit uxoris ac liberorum, non jam amplius dominus exsistit suæ ipsius voluntatis, sed ea de causa necessario inservit voluptatibus, ac circa liberorum curam occupatus, haurit immensum curarum gurgitem : quas recensere longius foret, quam permittit præsens tempus.

2. Qui igitur cupit a mundi vinculis liber esse, nuptias quasi pedicas quasdam fugit : his autem C vitatis, suam Deo vitam consecrat, profiteturque castitatem, ut jam sibi non liceat recurrere ad nuptias, sed adversus naturam, ejusque vehementiores impetus decertans, initis pro castitate certaminibus prorsus incumbet. Nam quisquis est ejusmodi, is Dei factus amator, ejusque apathiam paululum saltem consequi cupiens, atque spiritualem sanctimoniam, tranquillitatemque et quietem, ac mansuetudinem, et quæ ex his nascuntur, lætitiam et gaudium degustare desiderans, in eo elaborat, ut procul ab omni terreno ac corporali affectu animum perturbante cogitationes suas abducat : imo etiam animi obtutu puro nulliusque tenebris obvoluto contemplatur divina, et lumine hinc emanante insatiabiliter perfunditur. Ubi au- D tem animum exercuit ad habitum statumque hujusmodi, tum demum Deo, quantum fas est, fit similis, efficiturque dilectissimus ei atque charissimus : ut qui magno et arduo certamine exantlato, invita etiam materiæ admistione, animo a corporalium affectionum mistura expurgato ac semoto, potuerit in Dei colloquium venire. Par est igitur et

θήκαις ἐπιστηρῖξαι (58) καὶ βεβαιώσασθαι· οὐχ ὡς ἀρκοῦντα πρὸς τὴν ὑπόθεσιν παρεχόμενον λόγον, ἀλλ' ὡς τὸν ὄντα μὴ καταχρύπτοντες, ὥσπερ τινὶ χώματι, τῇ σιγῇ, καὶ ταύτῃ φεύγοντες τὴν ἐπὶ τῷ καταχρύψαντι τὸ τάλαντον εἰς τὴν γῆν ἠπειλημένην δίκην. Πρόφασις μὲν οὖν, ὡς τὰ πολλὰ, τοῖς ἀνθρώποις τῆς (59) περὶ τὰς κοσμικὰς ἐπιθυμίας τε καὶ ἡδονὰς καὶ φροντίδας ὁ γάμος. Οὔτε γὰρ τῆς τοῦ θήλεος ἐπιθυμίας ἀνδράσιν, ἢ γυναιξὶ τῆς τοῦ ἄρρενος σφοδροτέραν καὶ βιαιοτέραν εὕροι τις ἂν ἐγκειμένην τῇ φύσει τοῦ σώματος· καὶ μάλα γε εἰκότως, οἷα δὴ περὶ τὴν τῶν ἐκγόνων βλάστησιν συνίστασθαι πεφυκυῖαν· ὃς, καιριωτάτην ἔχων ἐνέργειαν, ἤμελλε καὶ τὴν ῥύμην σφοδροτέραν ἐπάγεσθαι· οὐδὲ (60) φροντίδας βαρυτέρας ἀνθρώποις παρεισπιπτούσας τῶν διὰ τὴν συζυγίαν ἀθρόως ἐφιπταμένων, καθὼς ὁ Παῦλός φησιν· *Ὁ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου*, τὰς φροντίδας ἐπηχθισμένος. Ὁ μὲν γὰρ μόνος ἑαυτοῦ καὶ τῶν οἰκείων τοῦ σώματος ἀναγκῶν ἀνάσχοιτο ἂν, ἢ ἴσως καὶ περιφρονήσειε ταύτας, ἑαυτὸν εἰς τοῦτο πείθειν εὐκόλως δυνάμενος· ὁ δὲ γαμετῆς καὶ παίδων ἐπιμελούμενος οὐκέτι τῆς οἰκείας γνώμης κύριος γίνεται, ἀλλὰ ἀνάγκην ἔχει ταύτῃ τὰ καθ' ἡδονὰς πράττειν, καὶ περὶ τὴν τῶν παίδων ἐπιμέλειαν ἀσχολούμενος, πολλὴν ἄβυσσον ἐπαντλεῖσθαι φροντίδων, ἃς καταλέγειν μακρότερον ἢ κατὰ τὸν παρόντα καιρὸν ἂν εἴη.

2. Ὁ τοίνυν τῶν τοῦ κόσμου δεσμῶν ἐλεύθερος εἶναι γλιχόμενος τὸν γάμον ὥσπερ τινὰς πέδας ἀπέφυγε· τοῦτον δὲ (61) ἀποφυγὼν, τὸν ἑαυτοῦ βίον ἀνέθηκε Θεῷ, καὶ τὴν ἁγνείαν καθωμολόγησεν· ὡς μήτε ἄδειαν ὑπάρχειν αὐτῷ τῆς ἐπὶ τὸν γάμον ἐπιστροφῆς, ἀλλ' ἔχεσθαι αὐτὸν ἐκ παντὸς τρόπου τῶν ὑπὲρ τῆς ἁγνείας ἀγωνισμάτων φύσει προσπαλαίοντα, καὶ ταύτης ταῖς βιαιοτέραις ὁρμαῖς. Ἐραστὴς γὰρ ὁ τοιοῦτος τοῦ Θεοῦ καταστὰς, καὶ τῆς ἐκείνου ἀπαθείας, κατὰ γοῦν τὸ σμικρότατον, κατασχεῖν ἐφιέμενος, καὶ τῆς πνευματικῆς ἁγιότητος, γαλήνης τε καὶ ἀταραξίας, καὶ ἡμερότητος, καὶ τῆς ἐκ τούτων τικτομένης εὐφροσύνης τε καὶ χαρᾶς ἐπιθυμῶν ἀπογεύσασθαι, παντὸς μὲν ὑλικοῦ καὶ σωματικοῦ πάθους τοῦ τὴν ψυχὴν ἐπιθολοῦντος, πόῤῥω τοὺς λογισμοὺς ἀπάγειν ἐσπούδακε· καθαρῷ δὲ καὶ ἀνεπισκιάστῳ ὄμματι τῆς ψυχῆς τὰ θεῖα περιαθρεῖ, ἀπλήστως τοῦ ἐκεῖθεν φωτὸς ἐμφορούμενος. Εἰς τοιαύτην τε ἕξιν καὶ κατάστασιν τὴν ψυχὴν ἐξασκήσας, οἰκειοῦται (62) κατὰ τὴν ἐγχωροῦσαν ὁμοίωσιν τῷ Θεῷ, ἐπέραστός τε καὶ ποθεινότατος αὐτῷ γίνεται· οἷα δὴ μέγα τι ἆθλον καὶ δυσήνυτον ἀνατλὰς, καὶ ἐκ τῆς κατὰ τὴν ὕλην συγκράσεως δυνηθεὶς ἀκραιφνεῖ καὶ κεχωρισμένῃ τῇ διανοίᾳ τῆς τῶν

[82] I Cor. VII, 33.

(58) Editi et unus ms. ὑποστηρίξαι. Alii quatuor mss. ἐπιστηρίξαι.

(59) Multi mss. ἀνθρώποις τῆς. Editi ἀνθρώποις τοῖς. Infra codex Colb. ὡς κυριωτάτην ἔχων.

(60) Editi οὔτε. At mss. οὐδέ. Mox unus ms. ὁ Παῦλος. Articulus in vulgatis non legitur.

(61) Veteres duo libri τούτων δέ.

(62) Editi et mss. οἰκειοῦται· sed fortasse legendum est ὁμοιοῦται.

σωματικῶν ἐπιμιξίας παθῶν προσομιλῆσαι Θεῷ (63). Οὐκοῦν πρέπον τε καὶ ἀκόλουθον τὸν εἰς τοιαύτην ἕξιν διὰ τῆς προειρημένης ἀσκήσεως ἀνελθόντα μὴ κατασπᾶσθαι πάλιν διὰ τῶν τῆς σαρκὸς ἐρεθισμῶν πρὸς κοινωνίαν τῶν ἐκείνης παθῶν· μηδὲ τοὺς ἐκεῖθεν ἀτμοὺς ἀνιόντας δεχόμενον, ὥσπερ ἀχλύϊ τινὶ βαθυτάτῃ ἀμαυροῦσθαι τὸν τῆς ψυχῆς ὀφθαλμόν· καὶ ἀποπίπτειν τῆς θείας καὶ πνευματικῆς θεωρίας, ὑπὸ τοῦ καπνοῦ τῶν παθημάτων τὸ βλέμμα τοῦ λογισμοῦ δριμυσσόμενον.

ΚΕΦΑΛΑΙΟΝ Α'

Περὶ τοῦ δεῖν τὴν εὐχὴν προτιθέναι πάντων.

1. Πᾶσα πρᾶξις, ἀγαπητὲ (64), καὶ πᾶς λόγος τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κανών ἐστιν εὐσεβείας τε καὶ ἀρετῆς. Διά τοι τοῦτο καὶ ἐνηνθρώπησεν, ὡς ἐν εἰκόνι διαγράφων ἡμῖν εὐσέβειάν τε καὶ ἀρετὴν, ἵνα κατὰ δύναμιν ἕκαστος καὶ ἑκάστη ὁρῶντες ζηλώσωμεν τὸ ἀρχέτυπον. Διὰ γὰρ τοῦτο φορεῖ τὸ ἡμέτερον σῶμα, ἵνα καὶ ἡμεῖς αὐτοῦ τὴν πολιτείαν, ὡς οἷόν τε, μιμησώμεθα. Σὺ τοίνυν, ὅταν ἀκούσῃς λόγον ἢ πρᾶξιν αὐτοῦ, μὴ παρέργως καὶ ἁπλῶς καὶ ὡς (65) ἔτυχεν ἄκουε· ἀλλ' ἔμβαινε εἰς τὸ βάθος τῶν θεωρημάτων· γίνου κοινωνὸς τῶν μυστικῶς παραδεδομένων. Μάρθα μὲν γὰρ τὸν Κύριον ὑποδέχεται· καθέζεται δὲ πρὸς τοὺς πόδας αὐτοῦ Μαρία· ἐν δυσὶ δὲ ἀδελφαῖς καλὴ προθυμία· διάστησον μέντοι τὰ πράγματα. Ἡ μὲν γὰρ Μάρθα διηκόνει (66), παρασκευάζουσα τὰ πρὸς δεξίωσιν τῆς σωματικῆς αὐτοῦ χρείας· ἡ δὲ Μαρία, καθημένη πρὸς τοὺς πόδας αὐτοῦ, ἤκουε τῶν λόγων αὐτοῦ. Ἡ μὲν οὖν ἀνέπαυε τὸ φαινόμενον, ἡ δὲ ἐδούλευε τῷ ἀοράτῳ. Ἦν γὰρ ἀληθῶς καὶ ἄνθρωπος καὶ Θεὸς ὁ παρὼν, ὁ αὐτὸς Δεσπότης ἀμφοτέρων τῶν (67) γυναικῶν τὴν προθυμίαν ἀπεδέξατο. Ἀλλ' ἡ μὲν Μάρθα, καμάτῳ πιεζομένη, μεσίτην γενέσθαι παρεκάλει τὸν Κύριον, ἵνα προσλάβῃ βοηθὸν τὴν ἰδίαν ἀδελφὴν τῆς διακονίας. *Εἰπὲ* (68), φησὶν, *αὐτῇ*, *ἵνα ἀναστᾶσα συνδιακονῇ μοι*. Ὁ δὲ Κύριος πρὸς αὐτήν· *Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά. Ἑνὸς δέ ἐστι χρεία. Μαρία γὰρ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς*. Οὐδὲ γὰρ ἐπὶ τοῦτο πάρεσμεν, ἵνα ἐπὶ στιβάσιν ἀναπέσωμεν, καὶ τὴν κοιλίαν θρέψωμεν· ἀλλὰ πάρεσμεν, ἵνα ὑμᾶς θρέψωμεν λόγῳ ἀληθείας καὶ θεωρίᾳ μυστηρίων. Τὴν μὲν οὖν οὐκ ἀπέστρεψεν (69)

consentaneum, eum, qui per eam, quam dixi exercitationem ad hujusmodi habitum pervenerit, non denuo per carnis irritamenta, vitiorum ipsius participem fieri, neque animi oculum, vapores illinc ascendentes suscipientem, veluti profundissima quadam caligine obscurari : neque mentis obtutum ceu mordaci acrique humore ex libidinum fumo affectum, a divina et spirituali contemplatione excidere.

535 CAPUT I.

Quod precatio omnibus est anteponenda.

1. Omnis actio, charissime, omnisque sermo Servatoris nostri Jesu Christi, pietatis ac virtutis regula est. Quapropter pietate ac virtute nobis veluti in quadam imagine depictis, etiam naturam humanam assumpsit, ut unusquisque et unaquæque ad id respicientes, pro viribus archetypum ac exemplar imitaremur. Nam eam ob causam corpus nostrum gerit, ut et nos illius vivendi rationem, quoad ejus fieri potest, exprimamus. Tu igitur aliquo ipsius aut dicto aut facto auditis, cave oscitanter simpliciterque ac temere audias; sed descende ad imas contemplationes : efficiare eorum quæ mystice tradita sunt, particeps. Martha quidem Dominum excipit : Maria vero ad illius pedes assidet [83]. Bonum est in utraque sorore studium : sed tamen distingue res ipsas. Nam Martha in ministerio occupata, apparabat quæ hospitis corpori futura erant necessaria; Maria vero assidens ad illius pedes, sermones ipsius audiebat. Altera igitur reficiebat visibile, invisibili serviebat altera. Vere enim qui aderat, is et homo erat et Deus, idem Dominus utriusque mulieris studium approbabat. At Martha cum premeretur labore, internuntium fieri sibi Dominum postulabat, ut se sua soror in ministrando juvaret. *Dic illi*, inquit, *ut surgens ministret mecum*. Cui Dominus : *Martha, Martha, sollicita es et turbaris circa multa. Porro unum est necessarium. Maria enim bonam partem elegit, quæ non auferetur ab ea* [84]. Neque enim ideo venimus, ut recumbamus in lectis, ventremque nutriamus : sed adsumus ut pascamus vos verbo veritatis, mysteriorumque contemplatione. Illam quidem non avocavit a suscepto opere, sed hanc laudavit

[83] Luc. x, 38. [84] ibid. 40-42.

(63) Reg. primus παθῶν πῶς ὁμιλῆσαι Θεῷ.

(64) Editi et mss. nostri ἀγαθὴ τε. *Omnis actio bona*, et ita legi vult Combefisius, sed mihi persuasissimum est legi oportere ἀγαπητέ, uti infra scriptum invenitur, Ἔλαβες τοίνυν, ἀγαπητὲ, τὰ ὑποδείγματα καὶ τὴν ἀπόδειξιν, *Accepisti igitur, charissime, exempla et specimen*. Et paulo post Προσευχῆς δὲ, ἀγαπητέ, etc., *duplex est autem*, *charissime*, *modus orandi*. Præterea quid attinuisset vocem ἀγαθὴ addere, cum nullæ aliæ actiones sint in Christo, nisi bonæ? Accedit etiam quod vetus interpres legit et ipse quoque ἀγαπητέ.

(65) Editi ἁπλῶς ὡς. At duo mss. ἁπλῶς καὶ ὡς.

(66) Veteres duo libri διακονεῖ.

(67) Antiqui duo libri Δεσπότης ὤν. Mox Regii secundus et tertius προθυμίαν ἀπεδέχετο. Subinde iidem mss. βοηθὸν τὴν οἰκείαν ἀδελφήν.

(68) Regii secundus et tertius εἰπὲ γάρ. Hoc ipso in loco, ubi in editis et in Reg. tertio legitur ἵνα ἀναστᾶσα συνδιακονῇ μοι, Combefisius legi affirmat et apud Lucam et in suo codice ἵνα μοι συμπαραλαμβάνηται. Si quis tamen hunc locum quærat, sive apud Lucam, sive in codice Combefisii, scriptum inveniet non συμπαραλαμβάνηται, sed συναντιλάβηται.

(69) Sic Regii secundus et quartus, optime. Editi τὴν μὲν οὐ κατέτρεψεν, corrupte.

ob illius attentionem. Vide mihi igitur duos status per mulieres duas designari, alterum quidem inferiorem, cum ministerium magis corporale amplectatur (quamquam et ipsum est utilissimum), alterum vero meliorem, cum ad mysteriorum contemplationem ascendat, magisque spiritualis sit. Hæc tu, qui auditor es, spiritualiter accipe, et utrumvis elige. Quod si ministrare vis, ministrato in nomine Christi. Aiebat enim ipse : *Quatenus fecistis uni de his fratribus meis minimis, mihi fecistis* [85]. Sive enim excipias hospites, sive mendicos reficias, sive miserearis dolentium, sive auxiliarem manum iis qui in necessitate ac calamitate constituuntur, porrigas, sive **536** inservias ægrotantibus, recipit in seipsum Christus omnia. Sin autem velis Mariam imitari, quæ relicto corporis ministerio ad spiritualium spectaculorum contemplationem ascendit, hoc negotium legitime tracta. Relinque corpus, desere agriculturam, et obsoniorum compositionem atque apparatum, et assideto ad pedes Domini, ejusque sermones auscultato, ut arcanorum divinitatis fias particeps. Nam contemplatio documentorum Jesu, ministerium corporis transcendit.

2. Accepisti igitur, charissime, exempla ac specimen. Utrumvis æmulare, aut egentium esto minister, aut dogmatum Christi amator. Quod si potes utraque imitari, utrinque referes fructum salutis. Primus tamen est spiritualis sermo, reliqua omnia sunt posteriora. *Maria enim*, inquit, *bonam partem elegit*. Si igitur et tu Christi cupis esse mystes, assideas ad ipsius pedes, suscipias ipsius Evangelium, ibi derelinques totam rem familiarem, et vacuus ab omni sollicitudine deges, imo etiam obliviscere tui ipsius corporis, et ita demum poteris speculando cum ipso colloqui, ut imiteris Mariam, ac gloriam supremam consequare. Cum autem oras, cave alia pro aliis exposcas, et Dominum irrites, non pecunias, non humanam gloriam, non potentiam, non aliud quidquam rerum fluxarum; sed pete regnum Dei, et cunctas res corpori necessarias tibi ille suppeditaturus est, quemadmodum ipse Dominus ait : *Quærite regnum Dei, et justitiam ejus, et hæc omnia adjicientur vobis* [86]. Duplex est autem, charissime, orandi modus : alter quidem situs est in glorificatione cum humilitate ; alter vero qui huic inferior est, in petitione. Cum ergo oras, nolito confestim ad petitionem accedere : sin aliter, in tuam voluntatem id criminis infers, quod necessitate adactus preces Deo adhibeas. Cum igitur ingrederis precari, relinque teipsum, uxorem, liberos ; desere terram, transcende cœlum, derelinque omnem vi-

[85] Matth. xxv, 40. [86] Matth. vi, 33.

(70) Antiqui duo libri κρειττονα καὶ τελειοτέραν. Ταῦτα, *præstantiorem perfectioremque*. Nec ita multo post duo mss. Εἰ μὲν βούλει. Mox iidem mss. ἐν τῷ ὀνόματι. Vocula ἐν aberat a vulgatis.

A ἀφ' ὧν ἐποίει, τὴν δὲ ἀπεδέξατο ἐφ' οἷς προσεῖχεν. Ὅρα μοι τοίνυν τὰς δύο μερίδας διὰ τῶν δύο γυναικῶν εἰσαγομένας· τὴν μὲν μίαν ἐλάττω, τὴν διακονίαν τὴν σωματικωτέραν ἑλομένην, πλὴν ὅτι καὶ αὐτὴν χρησιμωτάτην· τὴν δὲ ἀναβεβηκυῖαν τῇ θεωρίᾳ τῶν μυστηρίων κρείττονα καὶ πνευματικωτέραν (70). Ταῦτα σὺ ὁ ἀκροατὴς πνευματικῶς ἐκλάμβανε, καὶ ὃ θέλεις ἔκλεξαι. Εἰ μὲν βούλῃ διακονεῖν, διακόνει ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ. Αὐτὸς γὰρ ἔλεγεν· *Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε*. Κἂν γὰρ ξένους δέχῃ, κἂν πτωχοὺς ἀναπαύῃς, κἂν τοῖς ὀδυνωμένοις ἐπικάμπτῃ, κἂν τοῖς ἐν ἀνάγκῃ καὶ συμφορᾷ χεῖρα βοηθείας ὀρέγῃς, κἂν ἀῤῥώστοις ὑπηρετῇς, πάντα εἰς ἑαυτὸν ὁ Χριστὸς ἀναδέχεται.
B Εἰ δὲ θέλῃς τὴν Μαρίαν ζηλῶσαι καταλελοιπυῖαν τὴν τοῦ σώματος διακονίαν, ἀναβᾶσαν δὲ εἰς θεωρίαν τῶν πνευματικῶν θεαμάτων (71), γνησίως μέτελθε τὸ πρᾶγμα. Κατάλιπε τὸ σῶμα, ἔασον γεωργίαν, ὀψοποιίαν τε καὶ παρασκευήν· κάθισον δὲ παρὰ τοὺς πόδας τοῦ Κυρίου, καὶ ἄκουσον αὐτοῦ τῶν λόγων, ἵνα κοινωνὸς γένῃ τῶν τῆς θεότητος μυστηρίων. Ἡ γὰρ θεωρία τῶν Ἰησοῦ μαθημάτων ἀναβέβηκε τοῦ σώματος τὴν διακονίαν.

2. Ἔλαβες τοίνυν, ἀγαπητὲ, τὰ ὑποδείγματα καὶ τὴν ἀπόδειξιν. Ζήλωσον ἃ θέλεις, ἢ διάκονος ἔσο πτωχῶν, ἢ ἐραστὴς δογμάτων Χριστοῦ. Εἰ δὲ δύνασαι ἀμφότερα ζηλῶσαι, ἑκατέρωθεν ἀποφέρῃ τὸν καρπὸν τῆς σωτηρίας. Πρῶτος μέντοι ἐστὶν ὁ πνευ-
C ματικὸς λόγος, τὰ δὲ λοιπὰ πάντα δεύτερα. *Μαρία γὰρ*, φησὶ, *τὴν ἀγαθὴν μερίδα ἐξελέξατο*. Ἂν τοίνυν καὶ σὺ θέλῃς μύστης εἶναι Χριστοῦ, παρακαθέζῃ μὲν αὐτοῦ τοῖς ποσὶ, δέχῃ δὲ αὐτοῦ τὸ Εὐαγγέλιον, καταλείψεις αὐτοῦ ὅλον τὸν βίον, καὶ ἀμερίμνως διοίσεις· ἐπιλησθήσῃ δὲ καὶ τοῦ ἰδίου σώματος, καὶ οὕτω δυνήσῃ προσδιαλέγεσθαι αὐτοῦ τοῖς θεωρήμασιν, ἵνα ζηλώσῃς Μαρίαν, καὶ τὴν ἀνωτάτω καρπώσῃ δόξαν. Προσευχόμενος δὲ, ὅρα μὴ ἄλλα ἀντ' ἄλλων αἰτήσῃς, καὶ παροργίσῃς τὸν Κύριον, μὴ χρήματα, μὴ δόξαν ἀνθρωπίνην, μὴ δυναστείαν, μὴ ἄλλο τι τῶν παρερχομένων· ἀλλὰ αἴτει τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ πάντα τὰ πρὸς τὴν χρείαν τοῦ σώματος αὐτός σοι παρέξει, καθώς φησιν αὐτὸς ὁ Κύριος· *Ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δι-*
D *καιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν*. Προσευχῆς δὲ, ἀγαπητὲ, δύο εἰσὶ τρόποι· ὁ μὲν ὁ τῆς δοξολογίας μετὰ ταπεινοφροσύνης· δεύτερος δὲ ὁ τῆς αἰτήσεως ὑποβεβηκώς. Προσευχόμενος οὖν, μὴ εὐθέως ἐπὶ αἴτησιν ἔρχου· εἰ δὲ μήγε, διαβάλλεις σου τὴν προαίρεσιν, ὡς ὑπὸ τῆς χρείας (72) ἀναγκαζόμενος προσεύχῃ τῷ Θεῷ. Ἀρχόμενος τοίνυν προσευχῆς, κατάλιπε σεαυτὸν, γυναῖκα, τέκνα· ἔασον τὴν γῆν, ὑπέρβηθι οὐρανὸν, κατάλιπε πᾶσαν τὴν

(71) Unus ms. perinde ut editi θεωρημάτων. Veteres duo libri θεαμάτων.
(72) Reg. secundus χρείας σου.

κτίσιν ὁρατήν τε καὶ ἀόρατον, καὶ ἄρξαι ἀπὸ δοξολογίας τοῦ ποιήσαντος τὰ πάντα, καὶ ὅταν δοξολογήσῃς αὐτὸν, μὴ πλανώμενος τὸν νοῦν ὧδε κἀκεῖσε, μηδὲ Ἑλληνικῶς μυθολογῶν, ἀλλ' ἀπὸ τῶν ἁγίων Γραφῶν ἐκλεγόμενος, καὶ λέγων· Εὐλογῶ σε, Κύριε, τὸν μακρόθυμον, καὶ ἀνεξίκακον, τὸν καθ' ἑκάστην ἡμέραν μακροθυμοῦντά μοι πλημμελοῦντι, καὶ δόντα ἐξουσίαν πᾶσιν ἡμῖν μετανοίας. Διὰ γὰρ τοῦτο σιωπᾷς, καὶ ἀνέχῃ ἡμῶν, Κύριε, ἵνα σε δοξολογῶμεν τὸν οἰκονομοῦντα τοῦ γένους ἡμῶν τὴν σωτηρίαν· ποτὲ μὲν διὰ φόβων (73), ἄλλοτε δὲ διὰ παραινέσεων, ποτὲ δὲ διὰ προφητῶν, ὕστερον δὲ διὰ τῆς παρουσίας τοῦ Χριστοῦ σου ἐπισκεψάμενος ἡμᾶς. Σὺ γὰρ ἔπλασας ἡμᾶς, καὶ οὐχ ἡμεῖς. Σὺ εἶ ὁ Θεὸς ἡμῶν.

3. Ὅταν δὲ δοξολογήσῃς ἀπὸ τῶν Γραφῶν, ὡς δύνασαι, καὶ ἀναπέμψῃς αἶνον πρὸς τὸν Θεὸν, τότε ἄρχου (74) μετὰ ταπεινοφροσύνης, καὶ λέγε· Ἐγὼ μὲν, Κύριε, οὐκ εἰμὶ ἄξιος ἐπὶ σοῦ φθέγξασθαι, διότι σφόδρα ἁμαρτωλὸς τυγχάνω. Κἂν μὴ σύνοιδάς τι σεαυτῷ φαῦλον, οὕτω χρή σε λέγειν. Οὐδεὶς γὰρ ἀναμάρτητος εἰ μὴ μόνος ὁ Θεός. Πολλὰ γὰρ ἁμαρτάνοντες, τὰ πλεῖστα οὔτε συνίεμεν. Διὰ τοῦτο φησὶν ὁ Ἀπόστολος· *Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι*· τουτέστι, πολλὰ ἁμαρτάνω, καὶ οὐ συνιῶ. Ὅθεν καὶ ὁ Προφήτης φησί· *Παραπτώματα τίς συνήσει;* Ὥστε οὖν οὐ ψευδῇ ἁμαρτωλὸν σεαυτὸν εἰπών. Εἰ γὰρ συνιεῖς (75), καὶ αὐτῷ τούτῳ ἁμαρτάνεις, τῷ λέγειν, ὅτι Οὐκ εἰμὶ ἁμαρτωλός· ἀλλὰ μᾶλλον λέγε, ὅτι Ὑπὲρ τοὺς ἁμαρτωλοὺς πάντας (76) ἐγώ εἰμι ὁ παραβαίνων τὸ θεῖον πρόσταγμα τὸ κελεῦον· *Ὅταν πάντα κατορθώσητε, λέγετε, ὅτι Ἀχρεῖοι δοῦλοί ἐσμεν· ἃ γὰρ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν.* Οὕτω σε δεῖ λογίζεσθαι διαπαντὸς, ὅτι Ἀχρεῖός εἰμι· καὶ πάλιν· *Τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν.* Προσεύχου οὖν τῷ Θεῷ μετὰ φόβου καὶ ταπεινοφροσύνης. Ὅταν οὖν ἀποτείνῃς λόγον ταπεινοφροσύνης, καὶ εἴπῃς· Εὐχαριστῶ σοι, Κύριε, ὅτι μου ἐμακροθύμησας τοῖς παραπτώμασι, καὶ ἕως τοῦ νῦν ἀτιμώρητόν με εἴασας· ἐγὼ μὲν γὰρ ἄξιος ἤμην πάλαι μυρία δεινὰ παθεῖν, καὶ ἀποῤῥιφῆναι ἀπὸ τοῦ προσώπου σου, ἡ δὲ ἀνεξίκακός σου φιλανθρωπία ἐμακροθύμησεν ἐπ' ἐμοί· εὐχαριστῶ σοι, εἰ καὶ μὴ τυγχάνω αὐτάρκης πρὸς εὐχαριστίαν τῆς σῆς ἀνεξικακίας· καὶ ὅταν τὰ δύο μέρη ἀποπληρώσῃς τῆς δοξολογίας καὶ ταπεινοφροσύνης, τότε λοιπὸν αἴτησον ὃ ὀφείλεις αἰτῆσαι· μὴ πλοῦτον, καθὼς προεῖπον, μὴ δόξαν ἐπίγειον, μὴ ὑγείαν σώματος. Αὐτὸς γάρ σε ἔπλασε, καὶ κήδεταί σου τῆς σωτηρίας, καὶ οἶδε πῶς ἑκάστῳ συμφέρει, εἴτε ὑγιαίνειν, εἴτε ἀσθε-

A sibilem ac invisibilem creaturam, et incipe a glorificatione conditoris universorum, et ubi ipsi dederis gloriam, ne vagare mente huc et illuc, neque Græcorum more enarres fabulas, sed carpe de sanctis Scripturis, et dic : Domine, benedico, tibi, clementi et toleranti malorum, qui me quotidie peccantem fers patienter, et omnibus nobis pœnitentiæ agendæ facultatem præbes. Idcirco enim taces, ac nos sustines, Domine, ut tibi generis nostri salutem moderanti tribuamus gloriam : qui modo terrendo, modo admonendo, modo per prophetas, postremum per adventum Christi tui nos visitasti. Tu enim finxisti nos, non autem ipsi nos. Tu es Deus noster [87].

B 3. Cum autem pro viribus ex Scripturis glorificaveris, laudaverisque Deum, tum ordire humiliter, ac dic : Equidem non sum dignus, Domine, qui loquar coram te, quoniam valde peccator sum. Et licet nullius mali tibi conscius sis, tamen ita te oportet dicere. Nemo enim sine peccato est, nisi solus Deus. Nam cum peccata **537** multa committamus, tamen ne intelligimus quidem eorum maximam partem. Quapropter dicit Apostolus : *Nihil mihi conscius sum, sed non in hoc justificatus sum* [88], hoc est, committo multa peccata, nec tamen ea cognosco. Unde ait quoque Propheta : *Delicta quis intelliget* [89]? Quare non mentiris cum teipsum dicis peccatorem. Etenim si ita esse noveris, etiam in hoc ipso peccas, quod dicis : Non sum
C peccator : sed dic potius : Pecco ego magis quam cæteri peccatores, qui violem illud præceptum, quod sic jubet : *Cum omnia recte feceritis, dicite : Servi inutiles sumus : quæ enim debuimus facere, fecimus* [90]. Sic semper cogitare te oportet, *Inutilis sum.* Ac rursus tecum reputa illud : *Humilitate superiores sibi invicem arbitrantes* [91]. Precare igitur Deum cum timore et humilitate. Ubi ergo protuleris humilitatis verba, dixerisque : Gratias ago tibi, Domine, quod patienter pertulisti peccata mea, et usque ad hoc tempus me reliquisti inultum : equidem jam pridem eram dignus, qui innumera supplicia paterer, expellererque e conspectu tuo, sed clementissima tua benignitas sustinuit me patienter; gratias, inquam, ago tibi, tametsi non pos-
D sum grates clementiæ tuæ debitas persolvere; et ubi duas glorificationis et humilitatis partes absolveris, tum demum quod debes petere, pete, non divitias, uti jam dixi, non gloriam terrenam, non corporis sanitatem. Ipse enim finxit te, ipsique

[87] Psal. XCIX, 3. [88] I Cor. IV, 4. [89] Psal. XVIII, 13. [90] Luc. XVII, 10. [91] Philipp. II, 3.

(73) Antiqui duo libri φόβων... παραινέσεων. Alius ms. φόβων... παραινέσεως. Editi φόβου... παραινέσεως.

(74) Codices duo αἶνον Θεῷ, τότε ἄρξαι.

(75) Editi et mss. Εἰ γὰρ συνιεῖς. Combefisius legi oportere ait Εἰ γὰρ οὐ συνιεῖς· *Si non intelligis* (*te esse peccatorem*). *Nam,* inquit, *sic petit contextus, nec Basilius aliter scripserit.* Ego tamen non video, cur necesse sit particulam negantem contra omnium librorum fidem addere, cum hæc eam habere possint sententiam : Si quis intelligit ita esse, hoc est, si conscius est sibi se esse peccatorem, sine dubio peccat, si neget esse se peccatorem : qui scilicet mendacium faciat. Ibidem editi et Reg. tertius, καὶ αὐτὸ τοῦτο ἁμαρτάνεις τὸ λέγειν. Alii duo mss. ut in contextu.

(76) Vox πάντας addita est ex antiquis duobus libris.

curæ est salus tua, nec ignorat qua ratione prosit unicuique sive bona, sive mala valetudo : sed quemadmodum jussus es, pete regnum Dei [92]. Nam ipse, ut prius dixi, providebit corporis tui necessitatibus. Etenim rex noster maximæ est dignitatis, atque augustissimus, et indigne fert, si quis parvum quiddam ab ipso petat, si quis nostrum res haud convenientes ab eo efflagitet. Cave igitur ne orando in te convertas illius indignationem, sed pete tibi ipse digna rege Deo. Cum autem exposcis digna Deo, ne destiteris, donec accipias. Hoc enim indicans Dominus, in Evangelio dicit : *Quis vestrum habebit amicum, et ibit ad illum media nocte, et dicet illi : Amice, commoda mihi tres panes, quoniam amicus meus venit de via, et non habeo quod ponam ante illum : et ille de intus respondeat : Noli mihi molestus esse, jam enim ostium clausum est et pueri mei mecum sunt in cubili, non possum surgere et dare tibi. Dico vobis, et si non dabit illi, surgens eo quod amicus ejus sit, propter improbitatem tamen ejus surget, et dabit illi quotquot habet necessarios* [93].

4. Hoc exemplum idcirco nobis a Domino proponitur, ut doceat nos in fide firmos esse ac pertinaces. Exemplum enim sumit ab homine ad hominem, ut discas nunquam desperare; ut cum petieris, nec acceperis, non desistas tamen, quoad accipias, si modo, uti dixi prius, **538** quæ Deus vult postules : neque dixeris, Peccator sum, et ideo non exaudior. Verum enimvero ne spem abjiceres, idcirco ait : *Et si non propterea quod ejus amicus sit, dabit illi, propter improbitatem tamen ejus dabit illi quotquot habet necessarios.* Cæterum sive mensis, sive annus, sive triennium, sive quadriennium, sive anni complures præterierint, donec impetres, ne supersederis : sed cum fide roga, semper quod bonum est perficiens. Contigit enim non raro, ut quis in juventute pudicitiam coluerit, deinde subrepserit voluptas, excitatæ sint naturales libidines, elanguerit precatio, accesserit juventuti vinum, perierit pudicitia, et homo alius pro alio factus sit. Sic fiunt mutationes, quod strenuo animo vitiosis affectibus non obsistamus. Oportet igitur unumquemque ex se omnem conatum adhibere, et tamen ad Deum clamare, ut sibi veniat

A νεῖν· ἀλλ' αἴτει, καθὼς προσετάχθης, τὴν βασιλείαν (77) τοῦ Θεοῦ. Περὶ γὰρ τῆς χρείας τοῦ σώματός σου, καθὼς προέφην, αὐτὸς φροντίσει. Ἀξιωματικώτατος γάρ ἐστιν ὁ βασιλεὺς ἡμῶν, καὶ ἀγανακτεῖ, ἐάν τις αὐτὸν μικρόν τι αἰτήσῃ, ἐάν τις ἡμῶν περὶ τῶν οὐδὲν προσηκόντων αὐτὸν αἰτῇ. Μὴ τοίνυν ἐν τῇ προσευχῇ σου ἀγανάκτησιν σεαυτῷ προσαγάγῃς, ἀλλ' αἴτησον σεαυτῷ ἄξια τοῦ βασιλέως Θεοῦ. Αἰτῶν δὲ τὰ ἄξια τοῦ Θεοῦ, μὴ ἀποστῇς, ἕως ὅτου λάβῃς. Τοῦτο γὰρ αἰνιττόμενος ὁ Κύριός φησιν ἐν τῷ Εὐαγγελίῳ· *Τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίῳ, καὶ ἐρεῖ αὐτῷ· Φίλε, χρῆσόν μοι τρεῖς ἄρτους, ἐπειδὴ φίλος μοι παρεγένετο ἐξ ὁδοῦ, καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ· κἀκεῖνος ἔσωθεν ἀποκριθῇ· Μή μοι κό-*
B *πους πάρεχε· ἤδη γὰρ ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου μετ' ἐμοῦ ἐν τῇ κοίτῃ εἰσίν, οὐ δύναμαι ἀναστὰς δοῦναί σοι. Λέγω ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ, ἀναστὰς διὰ τὸ φίλον αὐτοῦ εἶναι, ἀλλά γε διὰ τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει αὐτῷ ὅσων χρῄζει* (78).

4. Ὑπόδειγμα ἡμῖν δίδωσιν ὁ Κύριος, ἵνα διδάξῃ ἡμᾶς εὐτόνους εἶναι καὶ φιλονείκους ἐν πίστει. Ὑπόδειγμα γὰρ λαμβάνει ἀπὸ ἀνθρώπου πρὸς ἄνθρωπον, ἵνα μάθῃς μὴ ἀπαγορεύειν ποτέ· ἵνα, ὅταν αἰτήσῃς, καὶ μὴ λάβῃς, μὴ ἀποστῇς ἕως ὅτου λάβῃς, πλήν, καθὼς προεῖπον, ἐὰν αἰτῇς ἅπερ ὁ Θεὸς θέλει· καὶ μὴ εἴπῃς, ὅτι Ἁμαρτωλός εἰμι, καὶ οὐχ ἀκούομαι. Ἵνα γὰρ μὴ ἀπογινώσκῃς, διὰ τοῦτό φησιν· *Εἰ καὶ*
C *μὴ διὰ τὸ φίλον αὐτοῦ εἶναι δώσει* (79) *αὐτῷ, ἀλλά γε διὰ τὴν ἀναίδειαν αὐτοῦ δώσει αὐτῷ ὅσων χρῄζει.* Λοιπὸν κἂν μὴν παρέλθοι, κἂν ἐνιαυτός, κἂν τριετής, κἂν τετραετὴς χρόνος, κἂν πλείονα ἔτη, ἕως ὅτου λάβῃς, μὴ ἀναχωρήσῃς, ἀλλὰ μετὰ πίστεως αἴτει, διαπαντὸς τὸ ἀγαθὸν ἐργαζόμενος. Πολλάκις γάρ τις ἐξ ἡμῶν ἐν νεότητι ἀντεποιήθη σωφροσύνης, εἶτα ὑπεισῆλθεν (80) ἡ ἡδονή, ἐκινήθησαν αἱ κατὰ φύσιν ἐπιθυμίαι, ἠσθένησεν ἡ προσευχή, ἐπεβλήθη τῇ νεότητι οἶνος, ἀπώλετο ἡ σωφροσύνη, καὶ γέγονεν ὁ ἄνθρωπος ἄλλος ἀντ' ἄλλου. Οὕτως αἱ μεταβολαὶ γίνονται, διὰ τὸ μὴ γενναίῳ λογισμῷ ἀνθίστασθαι τοῖς πάθεσι (81). Δεῖ οὖν τὰ μὲν παρ' ἑαυτοῦ εἰσφέρειν πάντα, βοᾷν δὲ πρὸς τὸν Θεόν, ἵνα συμμαχήσῃ αὐτῷ. Ἐὰν γάρ τις χαυνότητι ἐκδώσει ἑαυτὸν ταῖς ἐπιθυ-

[92] Matth. vi, 33. [93] Luc. xi, 5-8.

(77) Editi et Reg. tertius οὐρανῶν μόνον, καὶ περὶ τῆς, *sed pete regnum cœlorum duntaxat.* Regii secundus et quartus ita, ut edendum curavimus. Mox unus ms. et editi φροντίζει. Alii duo mss. φροντίσει.

(78) Regii secundus et quartus : Λέγω ὑμῖν ὅτι, κἂν μὴ διὰ τὸ φίλον αὐτοῦ εἶναι, ἀλλά γε διὰ τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει αὐτῷ ὅσων χρῄζει. *Dico vobis quod etiamsi non propterea quod ejus amicus sit, at certe propter ipsius improbitatem surgens, dabit illi quotquot habet opus.* Alius codex Λέγω δὲ ὑμῖν, et cætera ut in iis, quos dixi, libris. Vulgatæ tres editiones ut in contextu, nisi quod editio Veneta pro ὅσων habeat ὅσον. Aliquanto post Reg. secundus ἀνθρώπου εἰς ἄνθρωπον.

D (79) Reg. tertius Εἰ καὶ μὴ διὰ τὸ φίλον αὐτοῦ εἶναι, δώσει. Editi Εἰ καὶ διὰ τὸ φίλον αὐτοῦ εἶναι οὐ δώσει αὐτῷ. Regii secundus et quartus Εἰ καὶ διὰ τὸ μὴ φίλον αὐτοῦ εἶναι, οὐ. Ita disponuntur verba in vulgatis, ut perturbata sint, nec suo loco posita. Sic potius scriptum oportuisset : Εἰ καὶ οὐ δώσει αὐτῷ διὰ τό, etc. Mox nostri mss. ὅσον. Subinde Reg. secundus μὴν παρέλθῃ.

(80) Veteres duo libri εἶτα ἐπεισῆλθεν. Mox vulgatæ tres editiones ἐπεκλήθη τῇ νεότητι, male. Antiqui tres libri ἐπεβλήθη, bene.

(81) Editio Paris. et Basil. πάθεσι. Δεῖ οὖν τά. Editio Ven. et tres mss. πάθεσι καὶ τὰ μέν. Haud longe editi ἐκδώσει αὐτόν. Codices Combef. ἑαυτόν.

μίαις, καὶ ἑαυτὸν προδώσει τοῖς ἐχθροῖς, τούτῳ ὁ Θεὸς οὐ συμμαχεῖ, οὐδὲ εἰσακούει· προλαβὼν γὰρ διὰ τῆς ἁμαρτίας ἠλλοτρίωσεν ἑαυτὸν ἀπὸ τοῦ Θεοῦ. Ὁ γὰρ θέλων βοηθεῖσθαι ὑπὸ τοῦ Θεοῦ, τὸ πρέπον οὐ προδίδωσιν· ὁ δὲ τὸ (82) πρέπον μὴ προδιδοὺς οὐ προδίδοταί ποτε ὑπὸ τῆς θείας συμμαχίας. Χρὴ τοίνυν ἐν μηδενὶ καταγινώσκεσθαι ὑπὸ τοῦ ἰδίου συνειδότος, καὶ οὕτως τὴν θείαν συμμαχίαν ἐπικαλεῖσθαι· ἐπικαλεῖσθαι δὲ μὴ ῥᾳθύμως, μὴ μετεωριζομένῳ τῷ νῷ ὧδε κἀκεῖσε· ὁ γὰρ τοιοῦτος οὐ μόνον οὐ λήψεται τὸ αἴτημα, ἀλλὰ καὶ μειζόνως παροξυνεῖ (83) τὸν Δεσπότην. Εἰ γὰρ, ἐπὶ ἄρχοντός τις ἑστὼς καὶ διαλεγόμενος, μετὰ πολλοῦ φόβου ἵσταται, ἀμετεώριστον ἔχων καὶ τὸ ἔξωθεν ὄμμα καὶ τὸ τῆς ψυχῆς ἔνδοθεν, μήποτε κινδυνεύσῃ· πόσῳ μᾶλλον (84) ἐπὶ Θεοῦ χρὴ ἑστάναι μετὰ φόβου καὶ τρόμου, ὅλον τὸν νοῦν τεταμένον ἔχοντα πρὸς αὐτὸν μόνον, καὶ ἀλλαχοῦ μηδαμοῦ; Διότι αὐτὸς οὐ μόνον τὸν ἔξωθεν ἄνθρωπον βλέπει, καθὼς οἱ ἄνθρωποι, ἀλλὰ καὶ τὸν ἔνδοθεν καθορᾷ. Ἐὰν τοίνυν οὕτως, ὡς χρὴ, στήκῃς ἐνώπιον τοῦ Θεοῦ, καὶ τὰ παρὰ σεαυτοῦ πάντα εἰσφέρῃς, μὴ ἀποστῇς, ἕως ὅτου λάβῃς τὸ αἴτημά σου· ἐὰν δὲ καταγινώσκῃ ὑπὸ τοῦ συνειδότος σου ὡς καταφρονῶν, καὶ ἐὰν μετεώρως στήκῃς εἰς εὐχὴν, δυνάμενος ἀμετεωρίστως στῆναι, μὴ τολμήσῃς στῆναι ἐνώπιον τοῦ Θεοῦ, ἵνα μὴ γένηται ἡ προσευχή σου εἰς ἁμαρτίαν. Εἰ δὲ, ἐξασθενήσας ὑπὸ τῆς ἁμαρτίας, ἀπερισπάστως οὐ δύνασαι εὔχεσθαι, ὅσον δύνασαι σεαυτὸν βιάζου, καὶ προσκαρτέρει στήκων ἐνώπιον τοῦ Θεοῦ (85), τὸν νοῦν πρὸς αὐτὸν ἔχων, καὶ ἐπισυνάγων αὐτὸν πρὸς ἑαυτὸν, καὶ ὁ Θεὸς συγγνώμην ποιεῖ, ὅτι οὐχ ἀπὸ καταφρονήσεως, ἀλλὰ ἀπὸ ἀσθενείας οὐκ ἰσχύεις, ὡς χρὴ, στήκειν ἐνώπιον τοῦ Θεοῦ (86). Ἐὰν οὕτω βιάζῃ ἑαυτὸν εἰς πᾶν ἔργον ἀγαθὸν, μὴ ἀποστῇς, ἕως ὅτου λάβῃς τὸ αἴτημά σου, ἀλλὰ μακροθύμως κροῦε τὴν θύραν αὐτοῦ, αἰτῶν τὸ αἴτημά σου. *Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει*, φησὶ, *καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.* Τίνος γὰρ ἄλλου θέλεις τυχεῖν εἰ μὴ μόνης τῆς κατὰ Θεὸν σωτηρίας;

5. Θέλεις μαθεῖν, ἀγαπητὲ, πῶς ἐμακροθύμουν οἱ ἅγιοι, καὶ οὐκ ἀπεγίνωσκον; Τὸν Ἀβραὰμ ὁ Θεὸς νεώτερον ἐκάλεσε, καὶ ἐκ τῆς Ἀσσυρίων γῆς μετέθηκεν αὐτὸν εἰς τὴν Παλαιστίνην, φήσας αὐτῷ· *Σοὶ δώσω τὴν γῆν ταύτην, καὶ τῷ σπέρματί σου μετὰ σέ· καὶ ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, οὕτως ἔσται τὸ σπέρμα σου, ὃ οὐκ ἐξαριθμηθήσεται.* Καὶ παρῆλθε πολὺς ἐτῶν ἀριθμὸς, καὶ ἐνεκρώθη μὲν αὐτοῦ ἡ φύσις, ἐν προθύροις δὲ ἡ τελευτὴ, καὶ οὐκ εἶπεν, ὅτι, Κύριε, ἀεί μοι παῖδας ἐπαγγέλλῃ, καὶ πατέρα με ἔσεσθαι πάντων τῶν ἐθνῶν (87) προλέγεις. Νεκρά

A suppetias. Si quis enim per ignaviam seipsum libidinibus dedat, prodatque seipsum hostibus: ei Deus auxilium non fert, neque exaudit, quandoquidem prior suo se peccato a Deo abalienavit. Qui enim a Deo se optat juvari, suo non deest officio: qui autem officio non deest, nunquam divino auxilio destituitur. Oportet itaque in nulla re a propria conscientia condemnari, et ita demum divinum auxilium flagitare: flagitandum autem est non segniter, neque mente huc et illuc divagante: siquidem quisquis est ejusmodi, non solum non consecuturus est quæ petet, imo vero Dominum magis exasperabit. Si enim cum aliquis coram principe stat, ac loquitur, stat cum multo timore, atque tum externum tum internum animæ oculum nequaquam B vagum, sed intentum habet, ne forte in aliquod periculum veniat: quanto magis coram Deo cum timore ac tremore standum est, mente tota in illum solum, nusquam vero alio intenta? Nam ipse non externum hominem modo videt velut homines, sed internum etiam intuetur. Proinde si sic, ut decet, steteris coram Deo, et quæ in te sunt, omnia pro viribus præstiteris, ne desistas, donec postulata obtineas: sin a tua ipsius conscientia negligentiæ ac contemptus condemnaris, stesque in precando vaga mente, cum possis citra mentis aberrationem stare, stare coram Deo ne aude, ut ne cedat precatio tua tibi in peccatum. Quod si a peccato debilitatus, non potes citra mentis aberrationem precari, quantum potes vim tibi ipsi inferas, ac constanter C sta coram Deo, mente in illum defixa, eaque ad seipsam advocata, sicque ignoscet Deus, quoniam non ex contemptu, sed ex infirmitate, ut convenit, stare coram Deo non potes. Si sic vi tibi illata omne opus bonum perficias; ne supersederis, quoad petita consequare: sed patienter fores ejus pulsa, cum petis. *Omnis enim*, inquit, *qui petit* **539** *accipit: et qui quærit invenit, et pulsanti aperietur* [94]. Quam enim aliam rem assequi vis, nisi solam secundum Deum salutem?

5. Vis discere, o dilecte, quomodo patientes fuerint sancti, nec spem abjecerint? Abraham, cum junior esset, vocavit Deus, et ex Assyriorum terra transtulit in Palæstinam, atque ad eum dixit: D *Tibi dabo terram hanc, et semini tuo post te; et velut sidera cœli, sic erit semen tuum, quod non enumerabitur* [95]. Et multorum annorum numerus effluxerat, et natura ipsius jam exstincta erat, mors vero pro foribus stabat, nec tamen dixit: Domine, mihi semper filios promittis, et gentium omnium futurum me patrem prænuntias.

[94] Luc. XI, 10. [95] Gen. XIII, 15, 16.

(82) Editio Venet. et tres mss. ὁ γὰρ τό. Aliæ duæ editiones ὁ δὲ τό.
(83) Unus ms. et editi παροξύνει, *exasperat*. Alii duo παροξυνεῖ, *exasperabit*.
(84) Reg. secundus πολλῷ μᾶλλον.
(85) Antiqui duo libri ἐνώπιον Κυρίου.
(86) Codices duo ἐνώπιον αὐτοῦ. Ἐάν. Mox Regii secundus et quartus κροῦε εἰς τὴν θύραν αὐτοῦ αἰτῶν ὃ βούλει. Πᾶς γάρ. *Pulsa fores illius, et pete quod vis.*
(87) Editi et mss. πάντων τῶν ἐθνῶν, *patrem omnium gentium*. Sed apud LXX, Genes. XVII, 5 ali-

Mortui sunt mei naturales motus propter senectam, A et Saræ uxori meæ nihil jam muliebre accidit præ senectute, tua igitur falsa est pollicitatio. Ambo enim jam senes qualem spem habere possumus? Non dixit hæc, neque cogitavit, sed in fide inconcussus permansit, et ætate ipsius senescente, spes juvenescebat. Et corpore vires suas amittente, ac desperationi locum dante, fides et animum et corpus corroborabat. Deus, inquit, est, qui promisit, ipse est Dominus naturæ, et aliter fieri non potest. Ipse est, qui quæ ex se fieri non possunt, ut fieri possint, facit : siquidem efficit omnia, et pro arbitrio transmutat. Imitare fidem Abrahæ. Postquam igitur debilitata fuisset natura, motusque exstincti, tum demum Dei vixit promissio. Accipe exempla. Nos autem annum oramus, et B desistimus : biennium jejunamus, et supersedemus. Nolimus igitur animum despondere, cum Deus nobis aliquid promittit. Qui enim huic promiserat multiplicaturum se semen illius, idem quoque promisit se nobis daturum quod petierimus. Ait enim : *Venite ad me, omnes qui laboratis, et onerati estis, et ego reficiam vos* [96]. Cum enim tu longe ab ipso abesses, misericordia motus accersivit te laborantem, et gravissima peccati sarcina oneratum : ut levaret te onere, et requiem in posterum tibi largiretur ; et tu ei fidem non habes? Atqui licet tacere voluerimus, ab ipsa nostra conscientia redarguimur. Neque enim propterea ei fidem abrogamus, quod nos reficere non C possit : sed jugum ipsius supra nos tollere recusamus, bonum illud et leve : pigetque in Dei regnum per angustam portam introire, et malumus peccatorum sarcinam gestare, et per voluptates libidinosas lata via incedere, et per amplam portam ingredi in interitum. At sæpe, inquit, petivi, et tamen non accepi. Prorsus, quia male petivisti, aut dubitanter, aut vaga mente, aut ea quæ tibi non conducunt. Quod si sæpe etiam flagitasti conducibilia, at non perseverasti. Scriptum est enim : *In patientia vestra possidete animas vestras* [97]. Item : *Qui perseveraverit usque in finem, hic salvus erit* [98].

. Deus corda novit precantium. Quid igitur, inquit, petitione nostra opus est Deo? 540 D Nonne novit quibus indigemus? Quid ergo necesse est petere? Novit quidem Deus quibus opus habemus, et omnia corporalia nobis fruenda abunde suppeditat, et cum bonus sit, pluit super justos et injustos, vultque solem suum super bonos et malos

μου διὰ γῆρας τῆς φύσεως τὰ κινήματα, καὶ Σάῤῥα, ἡ γυνή μου, οὐκέτι ὑπομένει τι γυναικεῖον διὰ τὸ γῆρας· ὥστε ψευδὴς ἡ ἐπαγγελία. Δύο γὰρ γέροντες ποίαν ἐλπίδα ἔχομεν; Οὐκ εἶπε ταῦτα, οὐκ ἐνενόησεν, ἀλλ' ἔμενεν ἀσάλευτος τῇ πίστει· καὶ τῇ μὲν ἡλικίᾳ ἐγήρασκεν (88), ἡ δὲ ἐλπὶς ἐνέαζε. Καὶ τὸ μὲν σῶμα εἰς ἀτονίαν ἤρχετο, καὶ ἀπόγνωσιν ἐνεποίει, ἡ δὲ πίστις ἐνεύρου καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. Θεὸς, φησὶν, ἐστὶν ὁ ἐπαγγειλάμενος, ὁ Δεσπότης τῆς φύσεως, καὶ ἄλλως γενέσθαι οὐ δύναται. Αὐτός ἐστιν ὁ καὶ τὰ ἀδύνατα δυνατὰ ποιῶν· διότι ποιεῖ πάντα, καὶ μετασκευάζει ὡς βούλεται. Μιμοῦ τὴν πίστιν τοῦ Ἀβραάμ. Ὅτε οὖν ἠσθένησεν ἡ φύσις, καὶ ἐνεκρώθη τὰ κινήματα, τότε ἔζησεν ἡ ἐπαγγελία τοῦ Θεοῦ. Δέχου τὰ ὑποδείγματα. Ἡμεῖς δὲ ἐνιαυτὸν προσευχόμεθα, καὶ ἀναχωροῦμεν· δύο ἔτη νηστεύομεν, καὶ παυόμεθα. Μὴ οὖν ἀτονήσωμεν πρὸς τὴν ἐπαγγελίαν τοῦ Θεοῦ. Καὶ γὰρ ὁ ἐκείνῳ ἐπαγγειλάμενος πληθύνειν τὸ σπέρμα αὐτοῦ, καὶ ἡμῖν ἐπηγγείλατο αἰτοῦσι παρέχειν τὸ αἴτημα ἡμῶν. Φησὶ γάρ· *Δεῦτε πάντες πρὸς* (89) *μὲ, οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.* Μακρὰν γάρ σου ὄντος ἀπ' αὐτοῦ, κοπιῶντά τε καὶ πεφορτισμένον τὸ βαρύτατον (90) φορτίον τῆς ἁμαρτίας, ἐλεήσας σε προσεκαλέσατο, ὥστε κουφίσαι σε τοῦ φορτίου, καὶ ἀνάπαυσιν τοῦ λοιποῦ χαρίσασθαι· καὶ σὺ οὐ πιστεύεις αὐτῷ; Ἀλλὰ γὰρ, κἂν σιωπᾷν θέλωμεν, ἐλεγχόμεθα ὑπὸ τοῦ συνειδότος ἡμῶν. Οὐ γὰρ ἀπιστοῦμεν αὐτῷ ὡς μὴ δυναμένῳ ἀναπαῦσαι ἡμᾶς, ἀλλὰ περιστελλόμεθα ἆραι τὸν ζυγὸν αὐτοῦ ἐφ' ἑαυτῶν, τὸν χρηστὸν καὶ ἐλαφρὸν, καὶ διὰ τῆς στενῆς πύλης εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· αἱρούμεθα δὲ μᾶλλον τὸ τῶν ἁμαρτιῶν φορτίον βαστάζειν, καὶ διὰ τῶν ἐν ἡδονῇ παθημάτων τὴν εὐρύχωρον ὁδὸν βαδίζειν, καὶ διὰ τῆς πλατείας πύλης εἰσέρχεσθαι εἰς τὴν ἀπώλειαν. Ἀλλὰ πολλάκις, φησὶν (91), ᾔτησα, καὶ οὐκ ἔλαβον. Πάντως ὅτι κακῶς ᾔτησας, ἢ ἀπίστως, ἢ μετεώρως, ἢ τὰ μὴ συμφέροντά σοι. Εἰ δὲ καὶ τὰ συμφέροντα πολλάκις ᾔτησας, ἀλλ' οὐ παρέμεινας. Γέγραπται γὰρ, ὅτι *Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν·* καὶ, *Ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.*

6. Οἶδεν ὁ Θεὸς τῶν προσευχομένων τὴν καρδίαν. Τί οὖν, φησὶ, τῆς ἡμῶν χρείαν ἔχει αἰτήσεως ὁ Θεός; Οὐκ οἶδεν ὧν (92) χρείαν ἔχομεν; Τίς οὖν χρεία αἰτήσεως; Οἶδε μὲν ὁ Θεὸς ὧν χρῄζομεν, καὶ πάντα τὰ σωματικὰ πλουσίως ἡμῖν παρέχει εἰς ἀπόλαυσιν, καὶ ἀγαθὸς ὑπάρχων, βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς

[96] Matth. xi, 28. [97] Luc. xxi, 19. [98] Matth. x, 22.

ter legitur, πατέρα πολλῶν ἐθνῶν τέθεικά σε, *patrem multarum gentium posui te*. Ibidem Reg. secundus Νεκρὰ δέ μου.

(88) Veteres duo libri καὶ ἡ μὲν ἡλικία ἐγήρασεν.

(89) Editio Ven. et tres mss. αἴτημα ἡμῶν. Καὶ πάλιν· Δεῦτε πρός. Aliæ duæ editiones αἴτημα ἡμῶν. Φησὶ γάρ.

(90) Antiqui duo libri διὰ τὸ βαρύτατον.

(91) Editiones Paris. et Basil. hic et paulo post φησί. Editio Ven. et tres mss. utroque in loco φησίν. Statim editi et Reg. tertius ἀπλήστως ἢ μετεώρως, *insatiabiliter et vaga mente*. Regii secundus et quartus ἀπίστως ἢ μετεώρως, recte.

(92) Veteres duo libri καὶ οὐκ οἶδεν ὧν.

καὶ ἀγαθοὺς, καὶ πρὸ τοῦ αἰτῆσαι ἡμᾶς· τὴν δὲ πίστιν, καὶ τὰ κατορθώματα τῆς ἀρετῆς, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, ἐὰν μὴ αἰτήσῃς μετὰ καμάτου καὶ παραμονῆς πολλῆς, οὐ λαμβάνεις. Δεῖ γὰρ πρότερον ποθῆσαι, ποθήσαντα δὲ ζητῆσαι ἐξ ἀληθείας ἐν πίστει καὶ ὑπομονῇ τὰ παρ' ἑαυτοῦ πάντα εἰσφέροντα· ἐν μηδενὶ κρινόμενον ὑπὸ τοῦ ἰδίου συνειδότος, ὡς ἢ ἀμελῶς ἢ ῥᾳθύμως αἰτοῦντος, καὶ τότε λαβεῖν, ὅτε θέλει ὁ Κύριος. Κρεῖσσον γάρ σου οἶδε τὰ συμφέροντά σοι. Καὶ ἴσως διὰ τοῦτο ἀναβάλλεται διδόναι, τὴν πρὸς αὐτὸν προσεδρίαν σου σοφιζόμενος· καὶ ἵνα γνῷς, τί ἐστι δῶρον Θεοῦ, καὶ φυλάξῃς τὸ δοθὲν μετὰ φόβου. Πᾶν γὰρ ὃ μετὰ πολλοῦ καμάτου τις κτᾶται (93), σπουδάζει τοῦτο φυλάττειν, ἵνα μὴ, ἀπολέσας αὐτὸ, ἀπολέσῃ καὶ τὸν πολὺν αὐτοῦ κάματον, καὶ τὴν χάριν τοῦ Θεοῦ ἀθετήσας, ἀνάξιος γένηται τῆς αἰωνίου ζωῆς. Τί γὰρ ὠφέλησε τὸν Σολομῶντα ταχέως λαβόντα τὴν χάριν τῆς σοφίας, καὶ ἀπολέσαντα αὐτήν;

A oriri [89], prius etiam quam a nobis rogatus sit : sed fidem, et virtutis opera et regnum cœlorum nisi cum labore et perseverantia multa efflagitaveris, ea nequaquam consequere. Oportet enim prius desiderare : tum ubi desideraveris, omnesque vires tuas adhibueris, ita ex animo quærendum in fide et patientia, neque committendum, ut ulla in re a propria conscientia condemnere, tanquam qui aut negligenter aut oscitanter roges, et ita demum, cum Deus voluerit, accipies : quandoquidem quæ tibi expediant, melius ipse intelligit quam tu. Et fortasse ea de causa differt largitionem, ut hac arte te erga ipsum perseverantem reddat, intelligasque quid sit donum Dei, ac cum tremore custodias quod datum est. Quidquid enim multo B labore ab aliquo comparatum est, id custodire conatur, ut ne hoc deperdito, perdat quoque multum suum laborem, neve contempto Dei munere, æterna vita indignus efficiatur. Quid enim Salomoni profuit cito sapientiæ donum accepisse, cum ipsum amiserit?

7. Μὴ οὖν ὀλιγοψύχει, εἰ μὴ λάβῃς ταχέως τὸ αἴτημα. Εἰ γὰρ ᾔδει ὁ ἀγαθὸς Δεσπότης, ὅτι (94), ταχέως λαμβάνων τὴν χάριν, οὐκ ἀπολεῖς αὐτὴν, ἕτοιμος ἦν καὶ πρὸ τοῦ αἰτῆσαί σε αὐτὴν παρασχεῖν. Νῦν δὲ κηδόμενός σου τοῦτο ποιεῖ. Εἰ γὰρ ὁ λαβὼν τὸ τάλαντον, καὶ σῶον αὐτὸ φυλάξας, διότι μὴ ἐπραγματεύσατο (95) αὐτὸ, κατεκρίθη· πόσῳ μᾶλλον κατακριθήσεται ὁ ἀπολέσας αὐτό; Ταῦτα οὖν εἰδότες, εἴτε ταχύτερον εἴτε βραδύτερον λάβωμεν, μείνωμεν εὐχαριστοῦντες τῷ Κυρίῳ· ὅτι πάντα ὅσα ποιεῖ ὁ Δεσπότης, ὑπὲρ τῆς ἡμῶν σωτηρίας οἰκονομεῖ· μόνον ἡμεῖς μὴ ὀλιγοψυχήσαντες παυσώμεθα τῆς αἰτήσεως. Διὰ γὰρ τοῦτο τὴν παραβολὴν εἶπεν ὁ Κύριος περὶ τῆς χήρας, ἣ διὰ τῆς παραμονῆς αὐτῆς ἐπέκαμψε τὸν ἄνομον κριτὴν (96), ἵνα καὶ ἡμεῖς διὰ τῆς παραμονῆς λαμβάνωμεν τὰ αἰτήματα ἡμῶν. Ἔνθεν γὰρ καὶ ἡ πίστις ἡμῶν καὶ ἡ ἀγάπη ἡ πρὸς τὸν Θεὸν δείκνυται, ὅταν, καὶ μὴ λαμβάνοντες ταχὺ, μένωμεν εὐχαριστοῦντες αὐτῷ. Εὐχαριστήσωμεν οὖν (97) αὐτῷ διαπαντὸς, ἵνα καταξιωθῶμεν ἐπιτυχεῖν τῶν αἰωνίων αὐτοῦ ἀγαθῶν· ὅτι αὐτῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

7. Itaque animo ne concidas, si illico non assequaris postulata. Si benignus Deus intellexisset futurum fuisse, ut donum illico acceptum a te non amitteretur, necdum rogatus ad id conferendum paratus fuisset. Nunc autem tibi prospiciens, hoc facit. Si enim qui talentum acceperat, idque integrum servaverat, propterea tamen quod ex ipso nullum quæstum comparaverit, condemnatus est [1], quanto magis condemnabitur qui ipsum perdiderit? C Nos igitur horum haud ignari, sive citius, sive serius quidpiam receperimus, pergamus gratias Domino rependere : quando Dominus quæcunque facit, ea omnia pro nostra salute dispensat, tantum nos ne ex animi demissione flagitare desinamus. Idcirco enim Dominus protulit parabolam de vidua illa, quæ judicem iniquum flexit perseverando [2], ut nos quoque per perseverantiam petita consequamur. Ex eo enim et nostra fides et dilectio erga Deum ostenditur, si re etiam non illico impetrata, nihilominus tamen grates ipsi perseveranter exsolvamus. Itaque ei semper agamus gratias, ut digni habeamur, qui sempiterna ipsius bona recipiamus : quandoquidem ipsum addecet D gloria in sæcula sæculorum. Amen.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς τῶν λογισμῶν ἐπιστάσεως, καὶ ὅτι οὐ κακὸν τὸ σῶμα, ὡς τινες ὑπειλήφασιν.

1. Πρῶτον (98) μὲν οὖν κρατητέον ἐκ παντὸς τρό-

541 CAPUT II.

De cogitationibus cohibendis ac moderandis, et quod corpus malum non sit, ut quidam putaverunt.

1. Primum quidem omnibus modis cogitationem

[89] Matth. v, 45. [1] Matth. xxv, 25-30. [2] Luc. xviii, 2-5.

(93) Unus ms. et editi κτήσεται. Alii duo mss. κτᾶται.

(94) Veteres duo libri ὁ ἀγαθὸς Θεὸς, ὅτι. Mox editi et Reg. tertius οὐκ ἀπώλυες. Regii secundus et quartus ἀπολεῖς. Statim Reg. secundus Νυνὶ δέ.

(95) Antiqui duo libri διότι μὴ ἐπειργάσατο, κατεκρίθη. Aliquanto post Reg. secundus λάβωμεν, μένωμεν. Subinde editi ὅτι πάντα ἃ ποιεῖ. Unus ms. ὅτι πάντα εἴ τι ποιεῖ. Alii duo πάντα ὅσα ποιεῖ.

(96) Regii secundus et tertius τὸν ὠμὸν κριτὴν, *crudelem judicem*.

(97) Veteres duo libri Εὐχαριστῶμεν οὖν.

(98) Codices duo Καὶ πρῶτον. Nec ita multo post duo mss. συγχωρεῖν τὴν ψυχήν. Alii duo et editi τῇ ψυχῇ.

continere debemus, ei pervigilis mentis inspectionem præficientes, ita ut menti non permittatur, ut ob inconsideratos impetus affectibus corporis facile in adversam partem trahentibus cedat. Corpus enim videt per oculum, animus vero cernit per mentem sibi agnatam, neque tamen alterum velut in altero est, sed animus et mens unum sunt et idem, cum mens vis quædam naturalis sit, non autem adventitia ejus animi partis, in qua sita ratio est. Etenim animus quando sua intelligendi vi commota, quæ ei naturaliter a sancta Trinitate ipsius opifice insita est, de rebus, quæ et ad officium pertinent, et honestæ sunt, deliberat, tunc corporis assultus effugit; motusque ejus inordinatos prospiciens ac reprimens, et in se digna tranquillitate degit, et in pacatissimo otio res naturæ suæ convenientes contemplatur, hoc videlicet, quantum fieri potest, intentis animi oculis in sancta et adoranda Trinitate contuens, consideransque divinam illam majestatem ex splendoris magnitudine inaccessam, beatitudinis claritatem, sapientiam nullis terminis circumscriptam, firmam omnique fluctuatione vacuam tranquillitatem, et naturam affectuum nesciam ac immotam. Cui enim ex improviso accidere nihil potest, ut qui rerum omnium tam præsentium quam futurarum cognitionem in seipso reconditam habeat, complectaturque universa, et omnia teneat in manu, cuique nihil resistere, aut cujus aspectum nihil omnino sustinere potest: ei consentaneum est inesse tranquillitatem ac quietem perpetuam. Etenim rerum inexspectatarum repentini casus perturbationem hominum mentibus solent afferre. Quare quem nullum vitium infestat, imo quem virtus omnis, et omne bonum comitatur, is utique jure ac merito immutabile perpetuumque gaudium gaudere poterit, quando virtutis ac bonitatis comes est lætitia, quemadmodum Propheta dicit: *Lætabitur Dominus in operibus suis* [a].

2. Animus igitur qui mentem suam pervigilem et idoneis actionibus occupatam detinuerit, in iis, quas dixi contemplationibus versabitur, moresque suos ad rectitudinem, et justitiam, honestatemque ac pacem exercebit. Ubi autem meditari, et res convenientes clare speculari destiterit, tunc insurgentia corporis vitia veluti canes temerarii et audaces, non parum, amisso moderatore, allatrant animam, et unumquodque vitium trahens ad se ejus vitalem facultatem, ipsam variis modis dilaniare conatur. Duplicem enim ego arbitror vim esse animæ, cum ipsa una et eadem exsistat, alteram corpus animantem, alteram vero rerum speculatricem, quam etiam **542** rationalem nominamus.

A που τὸν λογισμὸν, νηφάλιον ἐφιστῶντας τὴν τῆς διανοίας ἐπισκοπὴν, ὡς ἂν μὴ συγχωρεῖν τῇ ψυχῇ ταῖς ἀπερισκέπτοις ὁρμαῖς ῥᾳδίως πρὸς τὰς τοῦ σώματος ἀνθολκὰς ἐνδιδόναι. Βλέψις μὲν γὰρ τοῦ σώματος ὁ ὀφθαλμὸς, ὅρασις δὲ τῆς ψυχῆς ὁ συμφυὴς αὐτῇ νοῦς· ἀλλ' οὐχ ὡς ἕτερον ἐν ἑτέρῳ, ἀλλὰ ταὐτὸν ψυχή τε καὶ νοῦς· δύναμις ὑπάρχων φυσική τις καὶ οὐκ ἐπείσακτος τοῦ λογιστικοῦ (99) τῆς ψυχῆς. Ἡνίκα μὲν γὰρ ἡ ψυχὴ, τὸ ἑαυτῆς ἀνακινοῦσα νοερὸν, τὸ φυσικῶς ἐγκατεσπαρμένον αὐτῇ παρὰ τῆς πεποιηκυίας αὐτὴν ἁγίας Τριάδος, βουλεύεται τὰ δέοντά τε καὶ προσήκοντα, τηνικαῦτα διαφεύγει τὰς (1) τοῦ σώματος ἐπηρείας· τάς τε ἀτάκτους αὐτοῦ κινήσεις προορωμένη καὶ ἐπιστομίζουσα, γαλήνην τε ἄγει τὴν αὐτῇ πρέπουσαν, καὶ ἐν ἀπεριχτυπήτῳ σχολῇ ἐν B τοῖς κατὰ φύσιν θεωρήμασι γίνεται· τοῦτο μὲν εἰς τὴν ἁγίαν καὶ προσκυνητὴν Τριάδα, κατὰ τὸ ἐνὸν, ἀτενὲς ἐνορῶσα, καὶ ἀναλογιζομένη τὸ τῆς θείας δόξης ἀπρόσιτον διὰ τὴν ὑπερβολὴν τῆς λαμπρότητος, τὸ τῆς μακαριότητος διαυγὲς, τὸ τῆς σοφίας ἀπέραντον, τὸ τῆς ἀταραξίας πεπηγὸς καὶ ἀκύμαντον, τὴν ἀπαθῆ καὶ ἀκίνητον φύσιν (2). Ὧ γὰρ μηδὲν ἐξ ἀδοκήτου συμπίπτειν δύναιτ' ἂν, οἷα δὴ τεθησαυρισμένῳ τὴν γνῶσιν τῶν τε ὄντων τῶν τε ἐσομένων ἁπάντων, καὶ περιδεδραγμένῳ τῶν ὅλων, καὶ ὑπὸ χεῖρα τὰ σύμπαντα ἔχοντι, καὶ οὐδὲν ἀντιπεσεῖν (3) καὶ ἀντιβλέψαι γοῦν ὅλως δυνάμενον· τούτῳ ἀκόλουθον παρεῖναι γαλήνην καὶ ἀταραξίαν διηνεχῆ. Αἱ γὰρ τῶν ἀνελπίστων πραγμάτων αἰφνίδιοι περιστάσεις C τὰς ταραχὰς ταῖς τῶν ἀνθρώπων διανοίαις ἐμποιεῖν πεφύκασιν. Ὥστε ᾧ μηδεμία κακία παρενοχλεῖ, πᾶσα δὲ ἀρετὴ καὶ πᾶν ὅ τι καλὸν ἕπεται, οὗτος εὐφραίνοιτο ἂν κατὰ λόγον εὐφροσύνην ἀκίνητόν τε καὶ ἀτελεύτητον. Ἀρετῆς γὰρ καὶ ἀγαθότητος ὀπαδὸς ἡ εὐφροσύνη (4), καθὼς ὁ Προφήτης φησίν· *Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.*

2. Ψυχὴ τοίνυν ἡ τὸ νοερὸν αὐτῆς ἐν νήψει καὶ ταῖς προσηκούσαις ἐνεργείαις διαφυλάττουσα ἔν τε τοῖς προειρημένοις θεωρήμασι καταστήσεται, καὶ τὸ ἑαυτῆς ἦθος πρὸς τὸ ὀρθὸν καὶ δίκαιον, κόσμιόν τε καὶ εἰρηνικὸν ἐξασκήσει. Ἡνίκα δ' ἂν τοῦ διανοεῖσθαι καὶ ἐντρανίζειν τοῖς καθήκουσι θεωρήμασιν D ἀπολήξῃ, τηνικαῦτα, ὥσπερ σκύλακες ἄτακτοι καὶ θρασεῖς τὸν ἐπιστάτην ἀποβαλόντες (5), διαναστάντα τὰ τοῦ σώματος πάθη, πολλὰ καθυλακτεῖ τῆς ψυχῆς· καὶ ποικίλως αὐτὴν διασπᾷν ἐπιχειρεῖ ἕκαστον τῶν παθῶν, τὴν ζωτικὴν αὐτῆς δύναμιν πρὸς ἑαυτὸ μεριζόμενον. Διττὴν γὰρ εἶναι τῆς ψυχῆς ἔγωγε οἶμαι τὴν δύναμιν, μιᾶς καὶ τῆς αὐτῆς ὑπαρχούσης· τὴν μέν τινα τοῦ σώματος ζωτικὴν, τὴν δὲ ἑτέραν τῶν

[a] Psal. CIII, 31.

(99) Reg. primus τοῦ λογικοῦ τῆς. Mox idem ms. φυσικῶς κατεσπαρμένον.

(1) Editi διαφύγῃ τάς. Antiqui tres libri διαφεύγει.

(2) Reg. primus ἀκίνητον εὐφροσύνην, *immutabile gaudium et constans*. Codex Colb. ἀπαθῆ καὶ ἀκήρατον εὐφροσύνην, *lætitiam affectuum expertem et puram*. Mox unus ms. ἀδοκήτου συνεμπίπτειν

(3) Antiqui duo libri καὶ οὐδὲ ἀντιπεσεῖν. Statim editi ὅλως δύναται. At mss. quatuor δυνάμενον.

(4) Reg. primus et Colb. ἀγαθότητος τὸ πέρας εὐφροσύνη, *gaudium finis est virtutis atque bonitatis*.

(5) Reg. secundus ἐπιστάτην ἀποβάλλοντες.

ὄντων θεωρητικήν· ἣν δὴ καὶ λογιστικὴν ὀνομάζομεν. A Ἀλλὰ τὴν μὲν ζωτικὴν δύναμιν, ἐπεὶ συγκέκραται τῷ σώματι ἡ ψυχή, φυσικῶς διὰ τὴν σύγκρασιν, καὶ οὐκ ἐκ προαιρέσεως χορηγεῖ· ὥσπερ γὰρ ἥλιον οὐχ οἷόν τε ἐπιλάμψαντα μὴ φωτίσαι (6) τοῦτο, καθ' οὗ τὰς αὐγὰς ἤνεγκεν· οὕτω ψυχὴν ἀμήχανον μὴ ζωοποιεῖν σῶμα, ᾧ ἂν ἐγγένηται· ἡ δὲ θεωρητικὴ δύναμις ἐν προαιρέσει ἔχει τὴν κίνησιν. Ἂν μὲν οὖν διὰ παντὸς τὸ θεωρητικόν τε καὶ λογιστικὸν ἑαυτῆς ἐγρηγορέναι παρασκευάζῃ, καθὼς ὁ Προφήτης φησί· *Μηδὲ νυστάξῃ* (7) *ὁ φυλάσσων σε*· διπλῇ κατευνάζει τὰ πάθη τοῦ σώματος, τῇ τε περὶ τῶν κρειττόνων καὶ προσφυῶν θεωρίᾳ ᾗ ἀπασχολεῖται, καὶ τῇ ἀταραξίᾳ τοῦ σώματος ἐπισκοποῦσα, σωφρονίζει ταῦτα καὶ καταστέλλει (8)· ἂν δὲ, τὴν ἀργίαν ἀσπασαμένη, τὸ θεωρητικὸν ἀκίνητον ἔχῃ, σχολαῖον τὸ B ζωτικὸν (9) τὰ πάθη τοῦ σώματος εὑρόντα, καὶ μερισάμενα, μηδενὸς ἐπιστατοῦντος καὶ ἀνακόπτοντος, ἐπὶ τὰς οἰκείας ὁρμάς τε καὶ ἐνεργείας τὴν ψυχὴν συγκαθείλκυσαν. Ὥστε εἶναι τὰ πάθη τοῦ σώματος βίαια μὲν, ἀργοῦντος τοῦ ἐν ἡμῖν λόγου· εὐπειθῆ δὲ, τούτου τάττοντος καὶ διέποντος (10). Οὐ μεμπτὸν τοίνυν τὸ σῶμα τοῖς ὀρθῶς περὶ αὐτοῦ γινώσκειν ἐθέλουσι. Πρέπει γὰρ τῇ τῆς συμβουλῆς ἐκθέσει καὶ τὰς κακοδοξίας τῶν πονηρῶς ὑπειληφότων περὶ τοῦ σώματος ἀναιρεῖν. Ὥσπερ γὰρ, ἀγαπητὲ, καλὸν ὁ ἵππος, καὶ ὅσωπερ ἂν τὴν φύσιν ὀξύτερος καὶ θερμότερος ᾖ, τοσούτῳ ἀμείνων· δεῖται δὲ τοῦ ἡνιοχήσοντός τε καὶ κυβερνήσοντος (11), οἷα δὴ λογισμῶν ἄμοιρος ὤν. Ἐπιβάντος δὲ τοῦ ἡνιόχου, αὐτὸς μὲν τῇ φύσει χρῆσθαι πειοάσεται. C

3. Ἐὰν μὲν οὖν ὁ ἡνίοχος τὰς ὁρμὰς τοῦ ὑποζυγίου δεόντως οἰκονομήσῃ, ἑαυτῷ τε πρὸς τὸ συμφέρον ἐχρήσατο, καὶ τοῦ σκοποῦ τοῦ προκειμένου τετύχηκε, καὶ αὐτὸς δὲ σέσωσται, καὶ τὸ ὑποζύγιον ὤφθη τὴν χρῆσιν ἄριστον· ἐπειδὰν δὲ ὁ ἡνίοχος κακῶς ἀγάγῃ τὸν πῶλον, ὅ τε πῶλος (12) πολλάκις παρετράπη τῆς λεωφόρου, καὶ εἰς ἀνοδίαν ἐξέπεσε· κατενεχθεὶς δὲ καὶ αὐτὸν ἔστιν ὅτε τὸν ἐπιβάτην κατήνεγκε, καὶ κίνδυνος ἑκατέρων ἡ τοῦ ἡνιόχου ῥαθυμία γίνεται. Οὕτω καὶ ἐπὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ὑπολάμβανε. Τὸ μὲν γὰρ σῶμα τὰς φυσικὰς ὁρμὰς ἔλαβεν οὐκ ἀτόπους, ἀλλὰ πρός τι πάντως καλὰς καὶ χρησίμους· λογισμοῦ δὲ (13) τοῦτο ἄμοιρον D

Jam vero propterea quod conjuncta est corpori anima, ei suapte natura ob eam conjunctionem non autem voluntate, facultatem hanc vitalem impertitur. Quemadmodum enim fieri non potest quin sol eas res ad quas radios suos appulerit, illustret : ita fieri non potest quin animus corpori in quo fuerit, vitam tribuat. Facultas vero speculatrix in voluntate motum suum habet. Itaque si facultatem suam contemplatricem et rationalem assiduo vigilantem reddiderit, velut Propheta dicit : *Neque dormitet qui custodit te* [4], duplici ratione consopit vitiosos corporis affectus; ut quæ et rerum præstantiorum sibique affinium contemplationi vacans, et corporis tranquillitati providens, frenet illos et compescat. Si vero quod se ignaviæ dediderit, detinet sine motu facultatem suam speculatricem, jam corporis libidines vitalem partem otiosam nactæ, partitæque, nullo regente ac prohibente, animum ad impetus actusque sibi proprios pertrahunt. Quare violentæ quidem sunt corporis affectiones, ratione in nobis otium agente ; morigeræ vero, ipsa ordinante ac gubernante. Non igitur corpus dignum est reprehensione, si qui recte de ipso judicare velint. Par est enim etiam pravas opiniones eorum qui male de corpore sentiunt, per meæ sententiæ expositionem evertere. Quemadmodum enim, o dilecte, bona res equus est, et quo suapte natura concitatior ac vehementior fuerit, eo habetur præstantior : tamen ei utpote rationis experti opus est et moderatore et gubernatore. Ubi autem conscenderit illum auriga, conabitur ipse natura uti.

3. Auriga igitur, si rite jumenti impetus regat, et sibiipsi utiliter eo utitur, et ad finem, quem sibi proposuit, pervenit, ipseque servatur incolumis, et jumenti usus sibi videtur optimus. Cum vero auriga male rexerit pullum, plerumque et pullus ipse deflectit a publica via, et in invia delabitur ; imo etiam præceps actus, nonnunquam sessorem ipsum præcipitat, atque ex aurigæ desidia uterque in periculum adducitur. Eumdem ad modum de anima quoque et de corpore cogita. Corpus enim naturales impetus sortitum est non ineptos, sed prorsus ad aliquid idoneos ac utiles. Expers est autem rationis, ut majori in pretio

[4] Psal. cxx, 3.

(6) Unus ms. et editi ἐπιλάμψαντα μὴ φωτίσαι. Alii quatuor τοῦ μὴ φωτίσαι.

(7) Editi νυστάξει, *dormitabit*. At mss. tres νυστάξῃ.

(8) Editi Ἥ τε γὰρ περὶ τῶν κρειττόνων καὶ προσφυῶν θεωρία αὐτῆς ἀπησχόληται, καὶ ἡ τὰς ἀταξίας ἐπισκοποῦσα τοῦ σώματος σωφρονίζει ταύτας καὶ καταστέλλει, corrupte. Reg. primus et Colb. ut in contextu, nisi quod in Colbertino legatur ἀσχολεῖται. Ita vero Reg. secundus habet, Εἴγε περὶ τὴν τῶν κρειττόνων καὶ προσφυῶν θεωρίαν ἀπασχολεῖται καὶ εἰς τὰς ἀταξίας ἐπισκοποῦσα τοῦ σώματος, σωφρονίζει αὐτὰς καὶ καταστέλλει, *Si modo rebus præstantioribus sibique affinibus contemplandis vacaverit, atque in corporis motus incompositos intenta acie hæc castiget et compescat.*

(9) Editi σχολῇ τὸ ζωτικόν. Veteres quatuor libri σχολαῖον τὸ ζωτικόν. Aliquanto post Reg. primus ψυχὴν συγκαθείλκυσεν.

(10) Reg. primus et Colb. τάττοντος αὐτὰ καὶ διέποντος.

(11) Codex Colb. δεῖται τοῦ ἡνιοχοῦντος καὶ κυβερνῶντος αὐτόν. Reg. primus ἡνιοχήσαντος καὶ κυβερνήσαντος.

(12) Unus ms. ὁ δὲ πῶλος. Aliquanto post duo mss. τὸν ἀναβάτην κατήνεγκεν. Subinde iidem duo mss. ῥαθυμία γεγένηται.

(13) Veteres duo libri λογισμοῦ δέ. Alii duo mss. et editi λογισμοῦ τε. Mox duo mss. ἵνα τιμηθῇ.

anima habeatur, ob rationis prærogativam. Ipsa enim si impetus corporis rite gubernarit, et ipsum servat, et ipsa caret periculo: sin jus negligat regendi, et segnitiei somno victa, gubernationem corporis deseruerit, et ipsum veluti ratione destitutum, a recta via aberrat, et animam in eamdem ruinam detrudit, **543** non ex sua ipsius pravitate, sed propter illius socordiam. Etenim si ejusmodi essent istæ corporis affectiones, ut non possent ab animo domari, merito non a culpa abesset corpus: at si multorum, qui eis dominari studuerint, imperio subditæ fuerint, corpus ab iis qui ipsum velut pravitatis auctorem criminari conantur, nequaquam culpari potest: sed incusanda est negligentiæ anima, si suum in corpus dominium deseruerit, cum neque ipsa suapte natura malum in se habeat, sed in malo versetur boni defectu. Vitium enim nihil aliud est quam virtutis defectus.

A ὑπάρχει, ἵνα τιμηθείη τοῖς τοῦ λόγου προτερήμασιν ἡ ψυχή. Ἐὰν μὲν γὰρ αὐτὴ τὰς τοῦ σώματος ὁρμὰς δεόντως οἰκονομῇ, αὐτό τε περιεσώσατο, καὶ αὐτὴ ἔξω κινδύνων· ἐὰν δὲ τοῦ ἐπιστατικοῦ ἀμελήσῃ, καὶ ὕπνῳ κρατηθεῖσα τῆς ῥᾳθυμίας (14), παρείη τὴν τοῦ σώματος ἡνιόχησιν, αὐτό τε, οἷα λογισμῶν ἔρημον, τῆς εὐθείας ἐκτρέπεται, καὶ τὴν ψυχὴν τοῖς ἴσοις περιέβαλε πταίσμασιν, οὐκ ἐξ οἰκείας κακίας, ἀλλὰ διὰ τὴν ἐκείνης ὀλιγωρίαν. Εἰ μὲν γὰρ ἦν τὰ πάθη τοῦ σώματος, οἷα μὴ δαμασθῆναι ψυχῇ, εἶχεν ἂν τὰς αἰτίας εὐλόγως τὸ σῶμα· εἰ δὲ πολλοῖς ὑποχείρια γέγονε τοῖς (15) κρατῆσαι ἐσπουδακόσιν, ἀνεύθυνον μὲν τὸ σῶμα τοῖς διαβάλλειν ὡς ἀρχηγὸν κακίας ἐπιχειροῦσι, μεμπτὴ δὲ τῆς ὀλιγωρίας, ἡ τὸ κῦρος ἀνειμένη (16) τοῦ σώματος, οὔτε αὐτὴ φύσει τὸ κακὸν ἐν B ἑαυτῇ ἔχουσα, ἀλλὰ τῇ ἀπολείψει τοῦ καλοῦ ἐν τούτῳ καθισταμένη. Κακία γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ ἀπόλειψις ἀρετῆς.

CAPUT III.

Quod non oportet incaute cum mulieribus colloqui.

1. Ac de moderandis quidem cogitationibus, regendisque corporeis affectionibus, deque amplitudine atque tranquillitate interni hominis, itemque de rerum ad hunc attinentium contemplatione ac studio abunde pro virili superius disseruimus. Par est autem non solum cogitationes moderari, sed etiam, quoad ejus fieri potest, a rerum consuetudine recedere: maxime earum, quæ suo ad nos accessu libidinem nobis in memoriam revocantes, turbant ac confundunt mentem, bellaque et pugnas animo faciunt. Bellum enim quod invitis nobis accidit, sufferre plane necesse fuerit; sed spontaneum bellum sibi ciere est absurdissimum. In priore enim etiamsi quis superetur, forte veniam consequetur (absit tamen hoc a Christi athletis): at vero in altero si quis vincatur, præterquamquod id admodum ridiculum est, præterea venia caret. Itaque operæ pretium est et mulierum colloquia et consuetudines quam maxime fugere, nisi inevitabilis quædam necessitas adigat ad collocutionem. Quod si devenerimus ad hoc necessitatis, ab his tanquam ab igne cavendum est, et ab ipsis ocissime et celerrime secedendum. Considera autem quid ea de re Sapientia ipsa dicat: *Alligabit quis ignem in sinu, vestes autem non comburet? aut ambulabit quis super carbones ignis, et pedes non comburet* [a]?

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅτι οὐ δεῖ τὰς τῶν γυναικῶν συντυχίας ἀφυλάκτως ποιεῖσθαι.

1. Περὶ μὲν τῆς ἐπιστάσεως τῶν λογισμῶν, καὶ τῆς ἡνιοχήσεως τῶν τοῦ σώματος παθημάτων, καὶ τῆς εὐρυχωρίας καὶ γαλήνης τοῦ ἔνδον ἀνθρώπου, καὶ τῆς τῶν καθηκόντων αὐτῷ θεωρίας τε καὶ σπουδῆς, ἀρκούντως, ὡς ἐνῆν, προειρήκαμεν. Χρὴ δὲ μὴ μόνον τοῖς λογισμοῖς ἐπιστατεῖν (17), ἀλλὰ καὶ τούτων τῆς ὁμιλίας, ὡς οἷόν τε, χωρίζεσθαι, μάλιστα ὅσα πλησιάζοντα ἡμῖν εἰς ὑπόμνησίν τε τῶν παθῶν ἡμᾶς C ἄγοντα, ταράττει καὶ συγχέει τὸν λογισμὸν, καὶ πολέμους καὶ ἀγῶνας (18) ἐμποιεῖ τῇ ψυχῇ. Τὸν μὲν γὰρ ἀκουσίως ἡμῖν προσπίπτοντα καταδέχεσθαι πόλεμον ἀναγκαῖον ἂν εἴη· ἑκούσιον δὲ δημιουργεῖν ἑαυτοῖς ἀλογώτατον. Ἐν μὲν γὰρ τῷ προτέρῳ καὶ ἡ ἧττα τυχὸν συγγνώμης τεύξεται, ἀπείη δὲ τῶν κατὰ Χριστὸν ἀθλητῶν· ἐν δὲ τούτῳ τὸ ἁλῶναι (19), πρὸς τὸ καταγέλαστον εἶναι, καὶ συγγνώμης ἐστέρηται. Χρὴ τοίνυν καὶ τὰς τῶν γυναικῶν ὁμιλίας καὶ συντυχίας ὡς τὰ μάλιστα φεύγειν, εἰ μή τις ἀπαραίτητος ἀνάγκη τὴν συντυχίαν βιάζοιτο. Καὶ ἀνάγκης δὲ καταλαβούσης, ὡς ἀπὸ πυρὸς προσήκει φυλάττεσθαι, καὶ ὀξυτάτας καὶ ταχίστας (20) ἀπαλλαγὰς ποιουμένους. Σκόπησον δὲ τί περὶ τούτου φησὶν ἡ Σοφία· *Ἀποδέσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια* D (21) *οὐ κατακαύσει; ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρὸς, τοὺς δὲ πόδας οὐ κατακαύσει;*

[a] Prov. VI, 27, 28.

(14) Reg. tertius et editi τῇ ῥᾳθυμίᾳ. Alii tres mss. τῆς ῥᾳθυμίας. Hoc ipso in loco codex Colb. παρῇ τὴν τοῦ. Nec ita multo post duo mss. ἴσοις περιέβαλλεν.

(15) Codex Colb. ὑπὸ χεῖρα γέγονεν ἐν τοῖς.

(16) Editi et tres mss. τὸ κῦρος ἀνημμένη. Reg. primus ἀνειμμένη. Codex Colb. ἀνειμένη. Mox vulgatæ tres editiones et Reg. tertius secunda manu ἐν τούτῳ καθισταμένη. Veteres tres libri ἐν τούτοις, et ita quoque in Reg. tertio legebatur prima manu.

(17) Reg. primus λογισμοῖς αὐτῶν ἐπιστατεῖν.

(18) Editi et duo mss. καὶ ἀγωνίας. Reg. primus et Colb. καὶ ἀγῶνας.

(19) Veteres quatuor libri τὸ ἁλῶναι. Vocula τό abest a vulgatis et a Reg. tertio. Ibidem Reg. secundus πρὸς τῷ. Subinde duo mss. ὁμιλίας τε καὶ συν.

(20) Editi καὶ ταχείας. At duo mss. καὶ ταχίστας. Ibidem Reg. primus Σκόπησον γὰρ περὶ τούτου τί ἡ σοφία φησίν. Reg. quartus περὶ τούτων, etc.

(21) Reg. primus ἱμάτια αὐτοῦ. Nec ita multo infra duo mss. Εἰ δέ τις λέγοι. Subinde codex Colb. ἢ συνδιαιτᾶσθαι ἐπὶ πλεῖον.

2. Εἰ δέ τις λέγει, ἐκ τοῦ γυναιξὶ συντυγχάνειν, συνδιαιτᾶσθαί τε ἐπὶ πλέον, μὴ παραβλάπτεσθαι, οὗτος ἢ οὐ μετέσχηκε τῆς τοῦ ἄῤῥενος φύσεως, καὶ ἔστι τι κτῆμα (22) παραδοξότατον, ἐν μεταιχμίῳ τῆς φύσεως ἑκατέρας ἑστὼς (οἷον τοὺς ἀπὸ γεννήσεως εὐνούχους φασὶν, εἴγε κἀκείνοις δοίημεν τὸ πρὸς τὴν θήλειαν ἀπαθὲς καὶ ἀκίνητον· *Ἐπιθυμία γὰρ εὐνούχου ἀποπαρθενῶσαι* (23) *νεᾶνιν*, φησὶν ὁ Σοφός)· ἢ, εἰ μετέσχε, βαπτιζόμενος ὑπὸ τῶν παθῶν, οὐκ αἰσθάνεται, τοὺς μεθύοντας ἢ φρενιτιῶντας μιμούμενος, οἳ, τὰ δεινότατα πεπονθότες, ἔξω πάθους εἶναι νομίζουσι. Συγχωρήσωμεν δὲ τῷ λόγῳ τὸ ἔξω λόγου, τὸ εἶναί τινα μὴ νυττόμενον ὑπὸ τοῦ ἄῤῥενος πάθους. Ἀλλὰ κἂν αὐτὸς μὴ πάσχῃ, οὐκ ἂν καὶ τοὺς ἄλλους εὐκόλως πείσειεν, ὡς οὐ πάσχοι. Τὸ δὲ, μηδενὸς προκειμένου κατορθώματος, τοὺς πολλοὺς σκανδαλίζειν, οἶμαι οὐκ ἀκίνδυνον τῷ ποιοῦντι. Ἔπειτα δὲ ἕτερον ἔστιν ἰδεῖν, ὅτι κἂν ὁ ἀνὴρ μὴ δέχεται λύμην τοῖς λογισμοῖς, ἀλλ' οὐκ ἤδη καὶ περὶ τῆς γυναικὸς ἡμῖν ἀμφισβητήσει, ὡς καὶ αὐτὴ ἔξω τῶν τοῦ σώματος ὑπάρχει παθῶν· ἀλλὰ πολλάκις ἐκείνη, ἀσθενὴς οὖσα τὸν λογισμὸν, καὶ τὸ πάθος ἐξῤῥοπον ἔχουσα, ἔπαθέ τι ἐπὶ τῷ ἀφυλάκτως ποιησαμένῳ (24) τὰς συντυχίας. Καὶ αὐτὸς μὲν οὐ τέτρωται, ἔτρωσε δὲ πολλάκις, ὡς οὐκ ἐπίσταται. Καὶ ἐν προσποιήσει δῆθεν πνευματικῆς ἀγάπης τὸ γύναιον συνεχῶς πρὸς τὸν ἀσκητὴν ἀφικνούμενον, ἄρχεται δι' ὀφθαλμῶν τῆς ἁμαρτίας ἐμφορηθῆναι, καὶ ἀκολάστοις ὄμμασι τὴν τοῦ πλησίον ἰδέαν ἐπιβόσκεσθαι, καὶ τὴν ἔνδον παρθένον, ἧς μάλιστα ὁ νυμφίος ἐρᾷ, τοῖς ἀκαθάρτοις λογισμοῖς διαφθείρειν (25). Ὡς ἂν τοίνυν μηδὲν τῶν εἰρημένων συμβαίη, φυλάττεσθαι προσήκει, εἰ μὲν οἷόν τε, καὶ παντελῶς, εἰ δὲ μὴ, τάς γοῦν συχνὰς καὶ ἐπιτεταμένας ὁμιλίας τῶν γυναικῶν καὶ συντυχίας, οὐχ ὡς μισοῦντας τὸ γένος, ἄπαγε! οὐδὲ ὡς ἀπαρνουμένους τὴν ἐκείνων συγγένειαν, ἀλλὰ καὶ προσισταμένους καὶ ὠφελοῦντας (26) τὰ δυνατὰ, πᾶσαν μὲν κοινωνοῦσαν τῆς ἀνθρωπίνης φύσεως, ἐξαιρέτως δὲ τὰς τοὺς ὑπὲρ τῆς ἁγνείας ἀγῶνας ἀνελομένας (27), ὡς τὰ ἀδελφὰ ἡμῖν συναθλούσας· τὴν δὲ συντυχίαν φυλαττομένους, ἵνα μὴ πάθους, οὗ παρῃτήμεθα καὶ ᾧ ἀπηγορεύσαμεν, ὑπόμνημα γένηται.

2. Quod si quis dicat, se ex frequenti mulierum colloquio atque consuetudine nequaquam lædi, is aut particeps non est masculæ naturæ, et est res quædam portentosissima, in utriusque sexus confinio posita, quales dicunt eos qui eunuchi nati sunt, si tamen hoc illis etiam demus quod nullo modo feminæ libidine afficiantur, aut commoveantur: *Concupiscentia enim spadonis devirginare juvenculam*, inquit Sapiens [a], aut si expers non est, cum totus libidinibus immersus sit, 544 insciens ebrios et phreneticos imitatur, qui, gravissimis morbis affecti, existimant esse se a morbo immunes. Agedum quod rationi haud consentaneum est, id inter disceptandum concedamus, esse quempiam, qui nullo masculo affectu exstimuletur. Verum tametsi nihil sentit, tamen se nihil sentire vix cæteris etiam persuadere poterit. Porro quod quis, nulla sibi proposita virtute, multis offensioni est, hoc ei periculosum esse arbitror. Deinde vero aliud etiam considerandum est, quod etiamsi nullam viro perniciem afferant cogitationes, at non item de muliere quoque nobiscum contendet, quasi ea etiam corporearum libidinum expers sit: quin potius ipsa cum sæpe debili ratione prædita sit, irrepatque facile in eam libido, ex eo qui in ipsius collocutionem incaute venit, detrimenti aliquid accipit. Et ipse quidem non sauciatur: sed non raro, licet nesciens, sauciavit. Et muliercula, quæ spiritualis scilicet charitatis simulatione atque nomine ad ascetam frequenter accedit, incipit per oculos peccato impleri, obtutibusque lascivis depasci speciem proximi, et internam virginem, quam maxime sponsus amat; cogitationibus impuris corrumpere. Proinde ne eorum, quæ diximus, quidquam eveniat, omnia prorsus (id si fieri poterit), sin minus, crebra saltem et longa mulierum colloquia consortiaque vitanda sunt: neque id ex odio sexus, apage: neque quasi abnegemus illarum cognationem, sed ut earum patrocinium suscipiamus, atque pro virili singulis quæ naturæ humanæ consortes sunt, suppetias feramus, iis maxime, quæ pro castitate in certamen descenderunt, velut quæ communia nobiscum certamina subeant. Caveamus autem congressum ac consuetudinem, ut ne libidinem, cui vale diximus, cuique nuntium remisimus, in memoriam revocemus.

ΚΕΦΑΛΑΙΟΝ Δʹ.

Ὅτι δεῖ τῇ δυνάμει τοῦ σώματος μετρεῖν τὴν ἐγκράτειαν· καὶ ὅτι καλὸν καὶ ἔννομον ἡ τοῦ σώματος ἐργασία.

1. Ἀκόλουθον μέντοι καὶ γαστρὸς ἐπικρατεῖν.

CAPUT IV.

Quod oportet corporeis viribus abstinentiam metiri: et quod corporis labor bona res est et legitima.

1. Consequens utique fuerit, ut ventri etiam do-

[a] Eccli. xx, 2

(22) Veteres duo libri ἔστι κτίσμα. Alii duo ἔστι τι κτίσμα. Editi et Reg. tertius ἔστι τι κτῆμα. Aliquanto post mss. quinque δοίημεν τὸ πρός. Editi δοίοιμεν.

(23) Veteres quinque libri ἀποπαρθενῶσαι. Editi ἀποπαρθενῶσα. Ibidem Reg. primus ἢ, εἰ μετέσχηκε.

(24) Antiqui duo libri ἀφυλάκτως ποιουμένῳ.

(25) Editi διαφθείρει. At tres mss. διαφθείρειν.

(26) Reg. primus et Colb. προϊσταμένους καὶ εὐεργετοῦντας, *velut patrocinantes atque afficientes beneficio*. Statim mss. aliquot πάσας μὲν κοινωνούσας.

(27) Codices aliquot ἀγῶνας ἑλομένας. Aliquanto post tres mss. οὗ παρῃτήμεθα. Editi et unus ms. ὃ παρῃτήμεθα.

minemur. Etenim ventris castigatio turbulentorum motuum refrenatio est : refrenatio vero turbulentorum motuum, quies est animi atque tranquillitas : animi autem tranquillitas fons exsistit virtutum fecundissimus. Porro temperantia et moderatio ventris optima est, si eam quisque corporis viribus metiatur. Enimvero ingens etiam afflictatio visa est quibusdam non gravis, eamque levamenti potius quam laboris loco habuere, ob corporeæ constitutionis fortitudinisque firmitatem ac vigorem. Verum quod hi tolerare potuerunt, aliis fuit periclitandi causa. Nam discrimen tantum invenerit quis corpora inter et corpora, quantum æs et ferrum a sarmentitiis lignis differunt. Itaque pro suis quisque viribus **545** temperantiam debet colere. Et quidem quæ in solo animo adolescunt virtutes, omnes omnibus æqualiter excolendæ proponentur; veluti mansuetudo, morum facilitas, humilitas, bonitas, fraternus amor, sinceritas, studium veritatis, commiseratio, lenitas, humanitas. Has enim virtutes dicimus animi esse peculiares, quandoquidem ad eas et parandas et excolendas nihil amplius corpus animo confert, nisi quod ei locus consilii et curia est, ubi de his deliberatur. Sed abstinentia, corporearum virium habita ratione unicuique præscribetur, sic ut neque minus quam pro viribus contendamus, neque ultra vires progrediamur. Nam et hoc, opinor, considerandum est, ut ne corporis viribus per immodicam abstinentiam resolutis, ipsum ad bona opera iners et invalidum reddamus. Neque enim Deus cum hominem conderet, eum inertem et otiosum esse voluit, sed ad officia sua actuosum promptumque : quandoquidem Adamo præcepit, ut laboraret in paradiso, illumque custodiret [7] (etsi enim hisce verbis subjecta est notio quædam sublimior, nihilominus tamen ipse etiam proprius verborum sensus imitatione ac studio dignus est), et tum deinde posteaquam ex eo ejectus est, pronuntiavit fore, ut in sudore vultus sui comederet panem [8]. Quod autem ea quæ Adamo dicta sunt, dicta sint omnibus ex eo oriundis, ex re perspicuum est. Etenim illum Deus quidem morti addixit, his verbis : *Terra es, et in terram reverteris* [9] : sed omnes quotqu t ab eo originem duxere, non secus ac ipse hujusce

A Γαστρὸς γὰρ παιδαγωγία παθῶν ἐστι κόλασις· παθῶν δὲ κόλασις ἀταραξία καὶ γαλήνη ψυχῆς· γαλήνη δὲ ψυχῆς ἀρετῶν (28) γονιμωτάτη πηγή. Ἐγκράτεια δὲ γαστρὸς ἀρίστη ἡ ἑκάστῳ μετρουμένη πρὸς τὴν τοῦ σώματος δύναμιν. Ἐνίοις μὲν γὰρ καὶ ἐπιτεταμένη κακοπάθεια ἄλυπος ὤφθη, καὶ ἄνεσις μᾶλλον ἢ πόνος ἔδοξε διὰ τὸ στεῤῥὸν καὶ ἀνένδοτον (29) τῆς τοῦ σώματος κατασκευῆς καὶ δυνάμεως· τὸ δὲ τούτοις ἀνεκτὸν ἑτέροις κινδύνων ὑπόθεσις γέγονε. Σωμάτων γὰρ πρὸς σώματα τοσαύτην ἄν τις εὕροι διαφορὰν, ὅσην χαλκοῦ καὶ σιδήρου πρὸς τὰ φρυγανώδη τῶν ξύλων. Ὥστε ἐγκράτειαν αἱρεῖσθαι προσήκει πρὸς λόγον τῆς ὑπαρχούσης δυνάμεως. Ἀρεταὶ μὲν γὰρ ἐν μόνῃ τῇ ψυχῇ κατορθούμεναι πᾶσαι πᾶσιν ὁμοίως ταχθήσονται· οἷον πραότης, ἐπιείκεια, ταπεινο-

B φροσύνη, ἀγαθωσύνη, φιλαδελφία, τὸ ἄδολον, τὸ φιλάληθες, τὸ συμπαθὲς, τὸ ἥμερον, τὸ φιλάνθρωπον· ταύτας γὰρ ἐξαιρέτους φαμὲν τῆς ψυχῆς ἀρετὰς, ἐπείπερ εἰς τὴν αὐτῶν κτῆσίν τε καὶ κατόρθωσιν οὐδὲν πλέον τὸ σῶμα τῇ ψυχῇ συνεισφέρει ἢ τὸ βουλευτήριον αὐτῇ γενέσθαι (30) τῆς περὶ αὐτῶν διασκέψεως· ἐγκράτεια δὲ ἑκάστῳ πρὸς τὴν δύναμιν τοῦ σώματος ὁρισθήσεται, ὥστε μήτε ἔλαττο τῆς ὑπαρχούσης δυνάμεως διελθεῖν (31), μήτε τοῖς ὑπὲρ τὴν δύναμιν ἐπεκτείνεσθαι. Καὶ τοῦτο γὰρ, οἶμαι, προσήκει σκοπεῖν, ὅπως ἂν, μὴ τῇ ἀμετρίᾳ τῆς ἐγκρατείας τὴν δύναμιν τοῦ σώματος καταλύσαντες, ἀργὸν αὐτὸ καὶ ἄπρακτον πρὸς τὰ σπουδαῖα τῶν πράξεων ἀποφήνωμεν. Οὐ γὰρ δὴ ποιῶν ὁ Θεὸς τὸν ἄνθρωπον ἀργὸν καὶ ἀκίνητον αὐτὸν εἶναι βεβού-

C ληται (32), ἀλλ' ἐνεργὸν ὑπάρχειν πρὸς τὰ καθήκοντα, ἐν μὲν τῷ παραδείσῳ κελεύσας τὸν Ἀδὰμ ἐργάζεσθαι, καὶ φυλάττειν αὐτὸν (εἰ γὰρ καὶ θεωρία τῷ ῥητῷ πρόσκειται, ἀλλὰ γοῦν καὶ τὸ ἰδικὸν ζήλου καὶ σπουδῆς ἄξιον), μετὰ δὲ τὴν ἐκεῖθεν ἔκπτωσιν ἐν ἱδρῶτι τοῦ προσώπου τὸν ἄρτον ἐσθίειν ἀποφηνάμενος. Τὰ δὲ πρὸς τὸν Ἀδὰμ εἰρημένα, ὅτι πᾶσι τοῖς ἐξ αὐτοῦ γεγεννημένοις (33) εἴρηται, δῆλον ἐντεῦθεν. Καὶ γὰρ τὸν θάνατον ὥρισε μὲν ὁ Θεὸς κατ' ἐκείνου, *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*, εἰπών· πάντες δὲ οἱ ἐξ αὐτοῦ γεγονότες μετέσχον παραπλησίως ἐκείνῳ τοῦ πάθους. Προσήκει τοίνυν μηδὲν καινοτομεῖν παρὰ τὴν φύσιν καὶ τοὺς ὅρους τοῦ εὐεργέτου τῆς φύσεως (34), ἀλλ' ἐμμένοντα τούτοις,

D ἔμπρακτον ἔχειν τὸ σῶμα, μηδαμοῦ ταῖς ἀμετρίαις

[7] Gen. II, 15. [8] Gen III, 19. [9] ibid.

(28) Sic veteres quatuor libri. Editi ἀταραξία καὶ γαλήνη ψυχῆς, ἀρετῶν. quod mutilum erat et mancum.

(29) Reg. primus στεῤῥὸν καὶ δυσένδοτον.

(30) Reg. primus αὐτῇ γίνεσθαι.

(31) Antiqui duo libri δυνάμεως διελθεῖν, *eamus, contendamus*. Alii mss. et editi διαθλεῖν, *decertemus, pugnemus*. Utramque scripturam recipi posse non nego quidem : sed puto priorem alteri præferendam esse. Ita enim hæc duo verba ἐπεκτείνεσθαι et διελθεῖν sibi invicem respondebunt, ita ut utrumque hoc loco significet *ire* et *contendere*.

(32) Veteres quatuor libri ἀργὸν αὐτὸν καὶ ἀκίνητον εἶναι βούλεται. Editi et Reg. tertius ut in contextu. Nec ita multo infra duo mss. Ἐν μὲν γάρ. Subinde duo mss. ἐργάζεσθαι καὶ τὸν παράδεισον φυλάττειν.

(33) Veteres duo libri γεγενημένοις.

(34) Editi et quatuor saltem mss. ὅρους τοῦ εὐεργέτου τῆς φύσεως, et tamen eruditissimus vir Combefisius pro εὐεργέτου legendum ait εὐεργετικοῦ; quem locum ita a se emendatum vertit hoc modo, *aliquid moliri præter naturam, et ultra naturæ vis agendi modos*. Nihil in vulgatis mutandum censuimus.

παραλυόμενον. Τοῦτο γάρ, οἶμαι, ἀρίστης οἰκονομίας ἐστὶ, τὸ τοῖς κειμένοις κατακολουθεῖν ὅροις.

A calamitatis participes exstitere. Convenit igitur nihil innovare præter naturam terminosque, quos qui naturæ commodis consulit, præscribit: sed in his immorari, corpusque ad agendum paratum, nusquam vero per immoderationem resolutum habere. Hæc est enim, meo quidem judicio, optima agendi ratio, statutos limites servare.

2. Ἄλλως τε καὶ ἐκ πλειόνων μαρτυριῶν τῆς θείας Γραφῆς ἔχομεν ἂν (35) συστῆσαι τὸν λόγον. Ἡ γὰρ θεία Γραφὴ ἐργάζεσθαι μὲν κελεύει, καὶ κινεῖσθαι τῷ σώματι, καὶ μᾶλλον ἑτέρων ὑπερείδειν ἀσθένειαν (36), ἢ τῆς παρ' ἑτέρων δεῖσθαι χειρός· καταμαραίνειν δὲ τοῦτο καὶ παραλύειν ταῖς ἀμέτροις ἐκτήξεσιν οὐδαμῶς. Καὶ τούτου ἀξιοπιστότατόν (37) σοι παρέξομαι μάρτυρα τὸν ἅγιον Παῦλον, πῆ μὲν λέγοντα· *Ἀκούομεν τινας ἐν ὑμῖν ἀτάκτως περιπατοῦντας, μηδὲν ἐργαζομένους·* καὶ τὴν ἀργίαν ἀταξίαν ἀποφηνάμενον· *Οὐκ ἠτακτήσαμεν γάρ,* φησίν, *ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι·* καὶ τὸ τούτου πλέον (38)· *Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται·* ἑτέρωθι δὲ πάλιν· *Ἵνα ἐργαζόμενοι,* φησί, *τὸν ἑαυτῶν ἄρτον ἐσθίωσι·* καὶ πάλιν ἄλλοθι· *Ἡσυχάζειν, καὶ πράττειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς χερσὶν ὑμῶν.* Τύφου παντὸς (39) ἀπηλλάχθαι προσήκει τὸν ἀσκητήν, καὶ τὴν μέσην ὄντως καὶ βασιλικὴν ὁδὸν πορευόμενον, ἐπὶ θάτερα μηδαμῶς ἀποκλίνειν· μήτε τὴν ἄνεσιν ἀσπαζόμενον, μήτε τῇ ὑπερβολῇ τῆς ἐγκρατείας ἀχρειοῦντα τὸ σῶμα. Εἰ μὲν γὰρ καλὸν ἦν παρεῖσθαι τῷ σώματι, καὶ κεῖσθαι νεκρὸν ἔμπνουν, τοιούτους πάντως ἂν (40) ἡμᾶς κατεσκεύασεν ἐξ ἀρχῆς ὁ Θεός· εἰ δὲ οὐ πεποίηκεν οὕτως, πάντως ὅ τί περ ἂν καλὸν ἔγνω, τοῦτο καὶ ἀπετέλεσεν· εἰ δὲ ὅπερ καλὸν ἦν, τοῦτο ἡμᾶς ἀπειργάσατο, ἁμαρτάνουσιν οἱ τὸ καλῶς ποιηθέν, ὡς ἔνεστιν, οὐ φυλάττοντες.

2. Cæterum possimus etiam pluribus divinæ Scripturæ testimoniis nostrum sermonem confirmare. Divina namque Scriptura operari jubet, et corpore moveri, et potius aliorum fulcire debilitatem, quam alterius manu indigere: at illud tabe absumere et immodicis afflictationibus enervare, non item. Atque hujus rei testem fide dignissimum tibi adducam sanctum Paulum, qui alicubi quidem dicit: *Audimus quosdam inter vos ambulare* B *inordinate, nihil operantes* [10]. Quin et inertiam, ordinis desertionem pronuntiavit: *Non enim,* inquit, *inordinate gessimus nos inter vos, neque gratis panem manducavimus ab aliquo, sed in labore, et fatigatione, nocte et die operantes* [11]. Et quod hoc etiam majus est: *Ad ea quæ mihi opus erant, et his qui mecum sunt, ministraverunt manus* **546** *istæ* [12]. Ac iterum alio in loco. *Ut operantes,* inquit, *suum panem manducent* [13]. Et rursus alibi: *Ut quieti sitis, et ut vestrum negotium agatis, et operemini manibus vestris* [14]. Oportet ascetam ab omni fastu liberum esse, et viam vere mediam et regiam euntem, nunquam ad alterutram partem declinare; neque dedere se mollitiei, neque per abstinentiæ immoderationem corpus inutile reddere. Etenim si C bonum esset hominem corpore fractum esse, et dum spiraret viveretque, mortuum tamen jacere, utique nos tales Deus ab initio condidisset. Quod si non ita fecit, omnino quod bonum esse novit, hoc etiam effecit; sin autem nos ita, ut bonum erat, condidit, peccant qui quod bene factum est, quantum in ipsis est, nequaquam servant.

3. Ἓν οὖν ὁ ἀσκητὴς τῆς εὐσεβείας σκοπείτω, εἰ μήπου κακία διὰ ῥαθυμίας ἐνεφώλευσε τῇ ψυχῇ, εἰ μήπου ἡ νῆψις καὶ ἡ πρὸς Θεὸν ἐκτενὴς τῆς διανοίας ἀπότασις ἐξελύθη, εἰ μήπου ὁ τοῦ Πνεύματος ἁγιασμός, καὶ ὁ ἐκεῖθεν ἐγγενόμενος τῇ ψυχῇ φωτισμὸς ἠμαυρώθη. Ὡς, εἴγε τὰ εἰρημένα ἀκμάζοι καλά, οὐδαμῶς καιρὸν ἕξει τὰ πάθη τοῦ σώματος κατεξανίστασθαι, τῆς ψυχῆς πρὸς τὰ ἄνω (41) ἀσχολουμένης, καὶ οὐκ ἐνδιδούσης καιρὸν τῷ σώματι τῆς διαναστάσεως τῶν παθῶν. Εἰ γάρ, διανοουμένων ἡμῶν τι πολλάκις κατὰ τὸν βίον συντόνῳ λογισμῷ, καὶ ἡ ὄψις καὶ ἡ ἀκοὴ ἀνενέργητος ἔμεινε, καὶ ὅλη ἡ ψυχὴ τοῦ ἐνθυμήματος ἔχεται, καταλιποῦσα τὰς αἰσθήσεις ἐρήμους, πολλῷ μᾶλλον εἰ ὁ θεῖος ἔρως ἐνακμάζοι

3. Unum igitur consideret pietatis cultor, num pravitas aliqua per incuriam in anima sua delituerit, numcubi vigilantia et vehemens animi in Deum intentio oblanguerit, num Spiritus sanctificatio, et quæ illinc animo accedit illustratio, obscurata sit. Nam si vigeant quæ diximus bona, nullum rebellandi locum invenient affectiones corporis, animo D in supernis occupato, nullamque corpori excitandarum libidinum occasionem tribuente. Si enim sæpe cum nos de aliquibus hujusce vitæ rebus intento animo cogitamus, tum visus tum auditus inertes permanent et desides, animaque, sensibus sine functione derelictis, tota in hac cogitatione hæret; potiori jure si viguerit in animo nostro di-

[10] II Thess. III, 11. [11] ibid. 7, 8. [12] Act. XX, 34. [13] II Thess. III, 12. [14] I Thess. IV, 11.

(35) Reg. primus ἔχοιμεν ἄν.
(36) Codex Colb. ἑτέρων ὑπηρετεῖν ἀσθενείᾳ. Hoc ipso in loco Reg. secundus τῆς ἑτέρων δεῖσθαι.
(37) Veteres duo libri τούτου ἀξιόπιστον. Ibidem Reg. secundus παρέξω.
(38) Codices duo τούτων πλέον. Haud longe unus mss. καὶ πάλιν ἀλλαχοῦ.
(39) Reg. secundus Τύφου γὰρ παντός. Aliquanto post duo mss ἐπὶ θατέρῳ μηδαμῶς.
(40) Editi πάντας ἄν. Veteres quatuor libri πάντως, rectius.
(41) Unus ms. πρὸς τὸ ἄνω.

vinus amor, ne spatium quidem de libidinibus cogitandi nobis futurum est. Quod si insurrexerint vel paululum, illico animi sublimitate sedabuntur. Utrum, quæso, præstabilius est, arboresne frugiferas imitari, quæ et ipsæ opulentæ sunt, et alios sua fertilitate exhilarant, an similem esse oleribus, quæ præ æstu atque siccitate marcescunt; et esse, ut est apud prophetam [18], velut betam semicoctam, quæ ne suis quidem usibus inservire possit (idque cum integras ad nos curandos vires a natura acceperimus), atque ex dimidia tantum parte, solo videlicet animo, ac non etiam corpore philosophiæ operam dare? Etenim si fuissemus sine corpore constituti, necessario optima quæque animo solo sectaremur. Verum quia duplex est homo, duplex etiam convenit esse virtutis studium, quod et corporis laboribus, et animæ exercitiis excolatur. Labores autem corporis non sunt otium, sed ipsum opus.

4. Atque etiam illud considerandum est, ut ne necessitatis corporeæ obtentu inserviamus voluptatibus. Nam si perpetuam inediam sustinentes, possemus debita corporis officia explere, utique optimum hoc esset: sed quoniam perpauca sunt corpora, quæ ejusmodi victu non concidant, idcirco ut moderate jejunandum est, ita levamen maxime necessarium corpori afferendum; sic tamen, ut voluptas in sumendis cibis haudquaquam ducis vicem impleat, sed **547** ratione necessitati terminos diligenter præscribente, ac congruenter citra ullam commiserationem more periti medici infirmitatem curante. Quisquis enim, animo sic affecto, cibum sumit, in nihilo videbitur inferior non sumenti, quantum attinet ad philosophiam. Imo quod ad consilium mentemque spectat, non jejunium perpetuum modo, sed inediam etiam servavit, ac corpori prospiciendo laudem consequitur dispensationis optimæ. Non enim moderatus corporis victus et abstinentia solent cupiditates accendere, ac libidines indomitas reddere. Hoc enim ex ciborum redundantia oritur, et ex deliciis. De his satis, cum ad confirmandum quod nunc examinandum nobis propositum est, sufficiant quæ et ex naturæ legibus, et ex divinæ Scripturæ testimoniis protulimus. Sed cum ea quæ dicta sunt, non verbis ac monitis solum stabilire, sed efficacibus etiam exemplis sententiam nostram confirmare operæ pretium sit, ad ipsam jam progrediar Servatoris nostri vitam quam, in carne transactam, omnibus pie vivere volentibus virtutis formam ac exemplar

A ἡμῶν τῇ ψυχῇ, οὐδὲ καιρὸν τῆς (42) περὶ τὰ πάθη ἐννοίας ἕξομεν. Εἰ δέ που καὶ μικρὸν ταῦτα διαναστaίη, ταχέως τῇ τῆς ψυχῆς μεγαλονοίᾳ καταστaλήσεται. Τί γὰρ βέλτιον, εἰπέ μοι, μιμεῖσθαι τῶν δένδρων τὰ εὔκαρπα, ἃ καὶ αὐτὰ πλουτεῖ, καὶ ἑτέρους ταῖς εὐκαρπίαις εὐφραίνει, ἢ παρεοικέναι τῶν λαχάνων τοῖς ὑπὸ καύσωνος καὶ ἀνυδρίας μαραινομένοις, καὶ εἶναι, κατὰ τὸν προφήτην, ὥσπερ σεύτλιον ἡμίεφθον, οὐδὲ ταῖς οἰκείαις χρείαις ὑπηρετεῖσθαι δυνάμενον (καὶ ταῦτα αὐτοτελῆ τὴν τῆς οἰκείας θεραπείας δύναμιν παρὰ τῆς φύσεως ἔχοντας)· ἐξ ἡμισείας δὲ τὴν φιλοσοφίαν ἐργάζεσθαι ψυχῇ μόνῃ, ἀλλ' οὐχὶ καὶ τῷ σώματι; Εἰ μὲν γὰρ ἔξω τοῦ σώματος (43) καθειστήκειμεν, ἀναγκαῖον τῇ ψυχῇ μόνῃ σπουδάζειν τὰ βέλτιστα· ἐπεὶ δὲ διπλοῦς ὁ ἄνθρωπος, B διπλοῦν εἶναι προσήκει καὶ τὸ τῆς ἀρετῆς σπούδασμα, πόνοις τε σώματος καὶ ψυχῆς ἀσκήμασι κατορθούμενον. Πόνοι δὲ σώματος οὐχ ἡ ἀργία, ἀλλὰ τὸ ἔργον ἐστί.

4. Δεῖ μέντοι καὶ τοῦτο σκοπεῖν, ὅπως ἂν μὴ προφάσει τῆς τοῦ σώματος χρείας εἰς ὑπηρεσίαν τῶν ἡδονῶν ἐξοκείλωμεν. Εἰ μὲν γὰρ ἦν, ἐνδείᾳ διηνεκεῖ προσανέχοντας, τὰς καθηκούσας ἐκτελεῖν ἐργασίας τῷ σώματι, τοῦτο ἂν ἦν ἄριστον· ἐπεὶ δὲ λίαν (44) ὀλίγων σωμάτων ἐστὶ τῇ τοιαύτῃ διαιτήσει μὴ καταπίπτειν, δεῖ καὶ νηστεύειν ἔμμετρα, καὶ τὴν ἀναγκαιοτάτην ἐπικουρίαν εἰσφέρειν τῷ σώματι, μὴ τῆς ἡδονῆς ἡγουμένης περὶ τὰ βρώματα, ἀλλὰ τοῦ λογισμοῦ τὴν χρείαν μετὰ ἀκριβείας ὁρίζοντος· καθάπερ C τινὸς ἐπιστήμονος ἰατροῦ τοῖς καθήκουσιν ἀπροσπαθῶς τὴν ἀσθένειαν θεραπεύοντος. Ταύτης γὰρ τῆς διαθέσεως ἐν ψυχῇ γενομένης (45), οὐδὲν ὁ μετέχων τῆς τροφῆς τοῦ μὴ μετέχοντος δεύτερος εἰς φιλοσοφίαν φανεῖται· ἀλλὰ τῷ μὲν σκοπῷ τὴν διηνεκῆ οὐ νηστείαν μόνον, ἀλλὰ καὶ ἀτροφίαν κατώρθωσε, τῇ δὲ περὶ τὸ σῶμα προμηθείᾳ τῆς ἀρίστης οἰκονομίας τὸ ἐπαινετὸν ἔχει. Οὐ γὰρ οἶδεν ἡ σύμμετρος ἀγωγὴ τοῦ σώματος καὶ ἐγκράτεια τὰς ἐπιθυμίας ἀναφλέγειν, καὶ ἀδάμαστα τὰ πάθη ποιεῖν. Πλεονεξίας γὰρ καὶ τρυφῆς τοῦτό γε (46). Καὶ ταῦτα μὲν οὖν, ὅσον ἐκ τῶν τῆς φύσεως νόμων καὶ μαρτυριῶν τῆς θείας Γραφῆς, συστῆσαι τὸ νῦν (47) εἰς διάσκεψιν ἡμῖν προκείμενον. Ἐπειδὴ δὲ δεῖ μὴ μόνον ταῖς τῶν λόγων ὑποθήκαις κρατῦναι τὰ εἰρημένα, ἀλλὰ καὶ πρακτι- D κοῖς ὑποδείγμασι τὴν συμβουλὴν βεβαιώσασθαι, ἐπ' αὐτὴν ἤδη βαδιοῦμαι (48) τοῦ Σωτῆρος τὴν πολιτείαν, ἣν κατὰ σάρκα πολιτευσάμενος πᾶσι τοῖς εὐσεβῶς βιώσασθαι θέλουσι τύπον ἀρετῆς καὶ πρόγραμμα τέθεικεν· ὥστε τοὺς λοιποὺς, ὁρῶντας εἰς ἐκείνους τοὺς χαρακτῆρας, τὴν ὁμοίαν τοῖς ἑαυτῶν

[18] Isa. LI, 20

(42) Editi et Reg. tertius οὐδὲ μικρὸν τῆς. Alii quatuor mss. οὐδὲ καιρὸν τῆς. Nec ita multo post codex Colb. ἀνυδρίας ξηραινομένοις.

(43) Codices aliquot ἔξω τοῦ σώματος. Abest articulus a vulgatis. Mox Reg. secundus ἐπειδὴ δὲ διπλοῦς.

(44) Reg. secundus ἐπειδὴ δὲ λίαν. Mox Reg. quartus ἐστὶ τὰ τῆς τοιαύτης διαίτης, ὥστε μὴ καταπίπτειν.

(45) Reg. primus ψυχῇ γινομενης.

(46) Unus ms. γὰρ καὶ τροφῆς τοῦτό γε.

(47) Editi συστῆναι τὸ νῦν. At mss. quinque συστῆσαι. Ibidem duo mss. ἡμῖν προκομιζόμενον.

(48) Reg. primus βαδιοῦμεν. Aliquanto post duo mss. καὶ προγραμμὸν τέθεικεν.

βίοις εναποτυποῦν ἰδέαν, οὐδαμοῦ τὸ ἀρχέτυπον τῇ παραλλαγῇ τῆς μιμήσεως διαστρέφοντας. Ὅτι γὰρ τὸν οἰκεῖον βίον ὁ Σωτὴρ εἰκόνα πολιτείας ἀρίστης πᾶσι τοῖς αὐτῷ πείθεσθαι θέλουσιν ἔθηκεν, ἄκουσον αὐτοῦ διαῤῥήδην τοῦτο διδάσκοντος· *Ἐάν τις γάρ*, φησὶν, *ἐμοὶ διακονῇ, ἐμοὶ ἀκολουθείτω*, οὐ τὴν κατὰ σάρκα δηλῶν ἀκολούθησιν (ἦν γὰρ πᾶσιν ἄπορος (49), τοῦ Κυρίου τανῦν ἐν οὐρανοῖς εἶναι κατὰ τὸ σῶμα γινωσκομένου), ἀλλὰ τὴν ἀκριβῆ τῆς πολιτείας κατὰ τὸ ἐγχωροῦν μίμησιν.

A proposuit, ut reliqui conspecta hac effigie, similem in vita sua formam exprimerent, nusquam hoc exemplar diversa ac impari imitatione pervertentes. Nam quod Servator suam ipsius vitam omnibus ipsi obtemperare volentibus proposuit imaginem vitæ optimæ, audi ipsum aperte hoc docentem : *Si quis* enim, inquit, *mihi ministrat, me sequatur* [16], haud indicans corpoream sequendi rationem (erat enim omnibus impervia, cum Dominum nunc secundum corpus in cœlis esse notum sit), sed vitæ, quantum fieri potest, accuratam imitationem.

5. Πῶς οὖν ὁ Σωτὴρ ἡμῶν βεβίωκε, καὶ πῶς πεπολίτευται; Ἁμαρτίαν μὲν οὐκ ἐποίησε. Πῶς γὰρ ἂν ἡ δικαιοσύνη τῇ ἁμαρτίᾳ ἡττήθη; πῶς δ' ἂν τὸ ψεῦδος τῆς ἀληθείας ἐκράτησεν; πῶς δὲ ἡ δύναμις ὑπὸ τῆς ἀσθενείας κατεπαλαίσθη; ἢ πῶς τὸ μὴ ὂν τοῦ ὄντος περιεγένετο; Ὁ μὲν γὰρ Θεὸς ἀεὶ ὢν, καὶ τῆς ὑπάρξεως ὅρον οὐκ ἔχων, πέρας οὐ προσιέμενος· ἡ δὲ ἁμαρτία ἔστι μὲν οὐδέποτε, οὐδὲ ἐν ἰδίᾳ ὑποστάσει καταλαμβάνεται· ἐν δὲ τοῖς δρῶσιν αὐτὴν μᾶλλον ἢ ἐν τοῖς δρωμένοις (50) κακῶς ἀπολείψει τοῦ καλοῦ τὴν ὕπαρξιν ἔχουσα, σκότος τυποῦται τοῖς ἀδικήμασι νοερὸν, τῷ δὲ φωτὶ τῆς δικαιοσύνης διαλυόμενον· τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ τῷ πέρατι τῶν ἀτοπημάτων συνδιατρέχον. Πεπαυμένων γὰρ τῶν πονηρῶν πράξεων, καὶ ἡ ὕπαρξις τῆς ἁμαρτίας συναφανίζεται. *Ζητηθήσεται γὰρ*, φησὶν, *ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ*· κἂν ἡ ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρία τεταμιευμένη τύχοι τοῖς ἁμαρτάνουσι, καὶ ἄλυτος ἡ ἐπὶ τοῖς ἀδικήμασι κόλασις. *Ἁμαρτίαν τοίνυν οὐκ ἐποίησεν, οὐδὲ* (51) *εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ*. Μακροθυμίας δὲ, καὶ ἀνεξικακίας, καὶ χρηστότητος, πραότητός τε καὶ φιλανθρωπίας, καὶ ἡμερότητος, ταπεινοφροσύνης τε καὶ φρονήσεως, καὶ πάσης ἁπαξαπλῶς ἀρετῆς πολλὰ παρέσχε τὰ ὑποδείγματα, ἅπερ ἐν τοῖς Εὐαγγελίοις σαφῶς διηγόρευται. Μακροθυμίας μὲν καὶ ἀνεξικακίας, τῷ φέρειν (52) τὰς τῶν Ἰουδαίων ἐπιβουλὰς, ἀεὶ ταῖς ἑξῆς ὑπερβολαῖς τὰ πρότερα πονηρεύματα καλυπτούσας· καὶ διελέγχειν (53) μὲν αὐτοὺς ἠρέμα, ὅσον στῆσαι τῆς πονηρίας, ἀμύνασθαι δὲ καὶ ἐπεξιέναι οὐδὲ κατὰ μικρὸν, ἀλλὰ φιλονεικεῖν ταῖς εὐεργεσίαις τὴν ἐκείνων ἀπανθρωπίαν νικᾷν, καὶ ταῖς τῶν ἀγαθῶν χορηγίαις τὴν τῆς πονηρίας ἐπίτασιν (54)· καὶ τὸ τελευταῖον σταυρὸν ὑπὲρ τῶν σταυ-

5. Quomodo igitur vixit Servator noster, et quomodo conversatus est? Peccatum quidem non fecit [17]. Qui enim a peccato vinci justitia potuisset? B qui vero mendacium vinceret veritatem? qui debellaretur potentia ab infirmitate? aut quomodo quod non est, id quod est superasset? Deus enim semper est, nullumque habet exsistendi tempus limitatum, nec finem ullum admittit. Peccatum vero nunquam est, neque in sua ipsius substantia deprehenditur. Verum in peccantibus magis quam in ipsis rebus, quæ male fiunt, per boni defectum subsistens, caliginem spiritualem per injustitias imprimit, quæ justitiæ lumine dissolvitur, cum lux in tenebris luceat [18], et eousque durent, quandiu delicta durant. Nam cessantibus pravis actionibus, jam peccati substantia simul etiam deletur et evanescit. *Quæretur enim*, inquit, *peccatum illius, et non invenietur* [19]; etiamsi alioqui supplicium pec- C cantibus reservatum sit ob peccata, sitque perpetuus cruciatus ob iniquitates exspectandus. *Peccatum igitur non fecit, neque inventus est dolus in ore ejus* [20]. Sed contra lenitatis, patientiæ, benignitatis, mansuetudinis, humanitatis, comitatis, humilitatis, prudentiæ, et uno verbo virtutis cujuscunque **548** exempla multa præbuit, quæ clare recensentur in Evangeliis. Lenitatis quidem et patientiæ cum pertulit Judæorum insidias, quæ posteriorum injuriarum magnitudine semper contegebant flagitia priora. Atque etiam cum redarguit ipsos leniter, solum videlicet quantum opus erat, ut eorum coerceret malignitatem, non ut etiam eos ulcisceretur, aut reos perageret vel tantillum, sed ut be- D neficiis illorum inhumanitatem, et bonorum largitione magnitudinem nequitiæ eorum vincere cona-

[16] Joan. XII, 26. [17] I Petr. II, 22. [18] Joan. I, 5. [19] Psal. X, 15, sec. Hebr. [20] Isa. LIII, 9; I Petr. II, 22.

(49) Reg. secundus ἦν γὰρ ἂν ἅπασιν ἄπορος. Nec ita multo post codex Colb. πεπολίτευται; ἄκουε συνετῶς· ἁμαρτίαν, *et quomodo conversatus est? audi sapienter*, etc. Mox duo mss. δικαιοσύνη τῆς ἁμαρτίας. Subinde duo mss. πῶς δ' ἂν ἡ δύναμις.

(50) Illud, *ἐν τοῖς δρωμένοις*, de personis accipiendum esse putat vir doctissimus Combefisius, sicque hunc locum interpretatur: *Cum peccatum in eis potius sit qui ipsum perpetrant, quam in iis qui inde injuria damnoque afficiuntur, honesti rectique carentia exsistentiam habens*. Mox Vossii codex et alii duo νοερὸν, τῷ δὲ φωτί. Editi et mss. nonnulli νοητὸν, τῷ φωτί. Subinde duo mss. cum Voss. ἀτοπημάτων συμπαρατρέχον.

(51) Veteres duo libri ἐποίησεν ὁ Χριστὸς, οὐδέ.

(52) Editi τὸ φέρειν. At mss. duo τῷ φέρειν.

(53) Reg. secundus et editi διελέγχει. Veteres duo libri διελέγχειν, et ita quoque legitur in Reg. tertio, sed secunda manu : ubi supplenda est vocula τῷ, ut sit τῷ διελέγχειν, quemadmodum scriptor aliquanto ante dixit τῷ φέρειν. Mox editi ταῖς εὐεργεσίαις τὴν ἐκείνων ἀπανθρωπίαν καὶ νικᾷν ταῖς. Reg. quartus ut in contextu. Vocula καί male locata fuerat in vulgatis.

(54) Unus ms. cum Voss. πονηρίας ἔνστασιν. Mox codex Colb. αὐτὸν ἀναδέχεσθαι. Vossii vetus liber ἀναδέχεται. Alii mss. et editi αὐτὸν καταδέχεται. Si per veteres libros liceret, mallem legere κα-

retur. Ad extremum etiam pro crucifigentibus se crucifigitur. Mansuetudinis autem et lenitatis, cum omnes ex convenienti sibi benignitate admisit, ac colloquendi præbuit libertatem, non viris probis modo, sed iis etiam, quibus studia turpissima familiaria erant ac consueta. Itaque sic accesserunt scorta ac publicani; non ut libidinis aut avaritiæ morbum augerent, sed ut detergerent morbum animæ. Neque magis confundebantur ex nequitiæ suæ conscientia, quam in spe medelæ confiderent. Nam inveniebant experientiam spe etiam altiorem. Humanitatis quoque et misericordiæ, cum nunc quidem fame in deserto confectis copiosam mensam ex tempore construxit, eosque dupliciter accepit, tum rerum necessariarum copia, tum insolenti suppeditandi modo [21]; nunc vero, cum misertus est jacentium, quod dispersi essent et dissipati velut oves pastore carentes [22], et cum sanavit corporeas infirmitates, et vitiata ac mutilata membra redintegravit, itemque, quando et animi morbos, et indissolubilia peccatorum vincula, et violentarum pactionum obligationes, quas cum diabolo peccati parente contraxeramus, dissolvit. Quanta autem exhibuit humilitatis exempla? Etenim non carne solum indui, sed parentum etiam, pro præsenti eorum statu, humilium partim fieri filius, partim putari voluit; fieri quidem, matris: putari autem, illius, qui pater est appellatus [23]. Quot prudentiæ? cum modo Sadducæos, qui quodam septem fratrum vita functorum unius et ejusdem uxoris maritorum commento resurrectionem irridere conabantur, refutavit [24]; modo Pharisæorum discipulos una cum Herodianis pudore affecit, ubi ancipiti hac et captiosa quæstione proposita: *Num Cæsari dare censum oportet, an non* [25], ambiguum ancepsque responsum acceperunt, quod cum non dari, sed reddi præciperet, poterat utraque parte illorum amentiam resecare. *Reddite* enim, inquit, *quæ sunt Cæsaris, Cæsari* [26]: Cæsaris enim erat numisma, cujus imaginem ac inscriptionem ferebat.

6. Et hæ sunt præcipuæ animi virtutes, et præter illas aliæ etiam infinitis partibus plures: at corporis quot et quantæ exstant dotes? Quarum ostendendarum causa maxime allatum est **549** exemplum. In prima quidem ætate subditus parentibus [27], omnem laborem corporalem leni ac obedienti animo cum ipsis sustinuit. Cum enim homines illi essent justi quidem et pii, sed pauperes et

A ρωσάντων αὐτὸν ἀναδέχεσθαι· πραότητος δὲ καὶ ἡμερότητος, τῷ πάντας προσίεσθαι μετὰ τῆς αὐτῷ πρεπούσης χρηστότητος, καὶ θάρσος ὁμιλίας παρέχειν οὐ τοῖς σπουδαίοις τῶν ἀνθρώπων μόνον, ἀλλ' ἤδη καὶ οἷς τὰ αἴσχιστα ἐπιτηδεύειν φίλον καὶ σύνηθες. Οὕτω γοῦν πόρναι καὶ τελῶναι προσίεσαν, οὐχ ἵνα τὸ νόσημα τῆς λαγνείας ἢ τῆς (55) φιλαργυρίας αὐξήσωσιν, ἀλλ' ἵνα τὸ νόσημα τῆς ψυχῆς ἀποτρίψωνται. Καὶ οὐ κατεδύοντο μᾶλλον τῷ συνειδότι τῆς πονηρίας, ἢ ἐθάῤῥουν τῇ ἐλπίδι τῆς θεραπείας. Εὕρισκον γὰρ καὶ τὴν πεῖραν τῆς ἐλπίδος ὑψηλοτέραν. Τῆς δὲ φιλανθρωπίας καὶ τῆς εὐσπλαγχνίας αὐτοῦ τίνα τὰ ὑποδείγματα; Ἄρτι μὲν ἐν τῇ ἐρήμῳ τοῖς ὑπὸ ἐνδείας ἐκλυομένοις τράπεζαν αὐτὸν σχεδιάζειν (56) ἀμφιλαφῆ, διπλῇ δεξιούμενον, τῷ τε B ἀφθόνῳ τῆς χρείας καὶ τῷ παραδόξῳ τοῦ πορισμοῦ· ἄρτι δὲ ἐπὶ τοῖς κειμένοις σπλαγχνίζεσθαι, ὅτι ἦσαν ἐσκυλμένοι καὶ ἐῤῥιμμένοι ὡς πρόβατα μὴ ἔχοντα ποιμένα· καὶ ἰᾶσθαι μὲν σωματικὰς ἀσθενείας, λώβας τε μελῶν καὶ πηρώσεις ἐπανορθοῦσθαι· λύειν δὲ καὶ ψυχικὰς ἀῤῥωστίας, καὶ ἁμαρτημάτων ἀλύτους δεσμοὺς, καὶ στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἃς πρὸς τὸν πατέρα τῆς ἁμαρτίας τὸν διάβολον πεποιήμεθα. Ταπεινοφροσύνης δὲ ἡλίκα τὰ ὑποδείγματα; Τὸ μὴ μόνον ἑλέσθαι σάρκα περιβαλέσθαι, ἀλλὰ γὰρ (57) καὶ ταπεινῶν, κατὰ τὸ παρὸν σχῆμα, γονέων παῖς τὸ μὲν γενέσθαι, τὸ δὲ νομισθῆναι· γενέσθαι μὲν τῆς μητρὸς, νομισθῆναι δὲ τοῦ λεχθέντος πατρός. Φρονήσεως δὲ τὸ ἄρτι (58) μὲν διελέγχειν τοὺς Σαδδουκαίους διαγελᾶν τὴν ἀνάστασιν C πειρωμένους τῷ πλάσματι τῶν ἑπτὰ ἀδελφῶν ἐπὶ μιᾷ γαμετῇ τεθνεώτων· ἄρτι δὲ τοὺς μαθητὰς τῶν Φαρισαίων μετὰ τῶν Ἡρωδιανῶν καταισχύνειν, ἡνίκα, τὸ ἀμφίκρημνον ἐρώτημα προβαλλόμενοι, *Εἰ δέοι κῆνσον Καίσαρι δοῦναι*, ἢ οὔ, ἀπόκρισιν ἐδέχοντο περιδέξιον, ἐφ' ἑκάτερα ἑλεῖν τὴν ἐκείνων ἄνοιαν δυναμένην, οὐχὶ δοῦναι, ἀλλὰ ἀποδοῦναι προστάσσουσαν. *Ἀπόδοτε* γὰρ, φησὶ, *τὰ τοῦ Καίσαρος τῷ Καίσαρι*· ἐπειδὴ τὸ νόμισμα Καίσαρος ἦν, οὗ τὴν εἰκόνα καὶ τὴν ἐπιγραφὴν ἔφερε.

6. Καὶ τὰ μὲν προηγούμενα τῶν κατορθωμάτων ταῦτα, καὶ τούτων ἀπείρῳ τῷ ἀριθμῷ πλείονα· τὰ δὲ τοῦ σώματος ἡλίκα, καὶ ὅσα; Ὧν ἕνεκα μάλιστα προῆκται (59) καὶ τὸ ὑπόδειγμα. Κατὰ μὲν τὴν πρώτην D ἡλικίαν τοῖς γονεῦσιν ὑποτασσόμενος, ἅπαντα πόνον σωματικὸν πράως καὶ εὐπειθῶς συνδιέφερεν. Ἄνδρες γὰρ ὄντες (60) δίκαιοι μὲν καὶ εὐσεβεῖς, πένητες δὲ καὶ τῶν ἀναγκαίων οὐκ εὔποροι (καὶ μάρτυς ἡ φάτνη

[21] Matth. xv, 32 seqq. [22] Matth. ix, 36. [23] Matth. xiii, 55. [24] Matth. xxii, 25. [25] Ibid. 17. [26] ibid. 21. [27] Luc. ii, 51.

ταδέχεσθαι, ut esset τῷ καταδέχεσθαι, quemadmodum non longe auctor scripsit τῷ πάντας προσίεσθαι. Ita enim habent veteres duo libri, non ut vulgati τὸ πάντας προσίεσθαι.

(55) Unus ms. λαγνείας καὶ τῆς. Nec ita multo post codex Colb. ψυχῆς ἀποῤῥίψωνται, non ita recte. Subinde idem ms. Εὕρισκον δὲ καί.

(56) Sic Regii secundus et tertius, non uno verbo αὐτοσχεδιάζειν, ut scripsit Combefisius, et uti in vulgatis legitur. Ibidem editi δεξιουμένην. Veteres libri δεξιούμενον.

(57) Vocula γάρ addita est ex veteribus quatuor libris.

(58) Reg. secundus τῷ ἄρτι. Alii mss. et editi τὸ ἄρτι. Ibidem Colb. ἐλέγχειν. Nec ita multo post idem ms. ἐπὶ μιᾶς γαμετῆς.

(59) Unus ms. μάλιστα παρῆκται.

(60) Editio Veneta et quatuor mss. Ἄνδρες γὰρ ὄντες. Aliæ duæ editiones Ἄνθρωποι γὰρ ὄντες.

τῶν τιμιῶν τοχων ἡ θεραπεία), εἰκότως πόνοις σώματος προσωμίλουν διηνεκέσι, τὴν ἀναγκαίαν χρείαν ταύτῃ ἑαυτοῖς συμπορίζοντες (61). Ἰησοῦς δὲ τούτοις ὑποτασσόμενος, ὥς φησιν ἡ Γραφὴ, πάντως καὶ τῷ συνδιαφέρειν τοὺς πόνους τὴν εὐπείθειαν ἐπεδείκνυτο. Προϊὼν δὲ καὶ τὰς δεσποτικὰς καὶ θείας εὐεργεσίας ἀπογυμνῶν, καὶ μαθητὰς λοιπὸν αἱρούμενος, καὶ βασιλείαν οὐρανῶν κηρύσσειν διανοούμενος, οὐκ ἐπὶ μιᾶς γωνίας κείμενος, ἐκλυόμενός τε τὸ σῶμα, τῆς παρ' ἑτέρων ἐδεῖτο διακονίας, ἀλλὰ ἄρτι μὲν ὁδοιπορῶν, καὶ πεζεύων διηνεκῶς, τοῖς μαθηταῖς ἅμα διακονούμενος, ὡς αὐτὸς ἔφησεν· *Ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν, ὡς ὁ διακονῶν*· καὶ, *Καθὼς ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι*· ἄρτι δὲ νίπτων τοὺς πόδας τῶν μαθητῶν· αὖθις δὲ τῇ διδασκαλίᾳ προσδιατρίβων ἐπὶ μακρὸν, τόπον τε ἐκ τόπου μεταμείβων ἀόκνως, διὰ τὴν σωτηρίαν ἡμῶν διετέλει. Ἅπαξ δὲ ὑποζυγίῳ, καὶ τούτῳ μόνον ἐπὶ ὀλίγον (62) χρησάμενος φαίνεται, οὐχ ἵνα τὸ σῶμα διαναπαύσῃ, ἀλλ' ἵνα τοῖς ἔργοις τὴν προφητείαν σφραγίσηται. Τί δὲ οἱ ἀπόστολοι; Οὐχὶ τὸν Δεσπότην μεμίμηνται; οὐχὶ πόνοις ὡμίλουν διηνεκῶς; Σκόπησον Παῦλον ἐργαζόμενον ἀπαύστως, ὁδοιποροῦντα συντόνως, πλέοντα, κινδυνεύοντα, χειμαζόμενον, ἐλαυνόμενον, μαστιζόμενον, λιθαζόμενον, πᾶσιν ἀρκοῦντα τοῖς πειρασμοῖς τῇ προθυμίᾳ τῆς ψυχῆς, καὶ τῷ σθένει τοῦ σώματος. Εἰ δὲ ἦν τῇ ἀμετρίᾳ παραλύων τὴν τοῦ σώματος δύναμιν, οὐκ ἂν ἐπὶ τούτοις ἐστεφανώθη. Καλὸν οὖν, τὸν τοῦ Δεσπότου βίον καὶ τῶν τούτου μαθητῶν καὶ ἀποστόλων (63) διά τε τῶν ψυχικῶν ἀρετῶν διά τε τῶν σωματικῶν ἀσκημάτων μιμούμενον, ἐνεργὸν παρέχειν τὸ σῶμα ταῖς ἀρίσταις ὑπηρετούμενον πράξεσι. Ψυχῆς μὲν γὰρ τὸ προελέσθαι τῶν καλῶν ὅσα καὶ τῇ συνεργίᾳ τοῦ σώματος τελειοῦνται (64)· σώματος δὲ τὸ ἐνεργεῖν ἅπερ ἡ ψυχὴ προείλετο. Ἀτονοῦντος δὲ τούτου πρὸς τὴν ἐνέργειαν, ἡμιτελὲς τὸ κατόρθωμα ἐν προαιρέσει κρυπτόμενον, καθάπερ τι βλάστημα τοῖς τῆς γῆς κόλποις ἐμμαραινόμενον, καὶ οὐ προβαῖνον εἰς χρῆσιν τούτων, δι' οὓς καὶ ἔφυ.

A rebus ad vivendum necessariis non admodum instructi (cujus rei testis est præsepe quod venerando partui inservivit [28]), erant, ut verisimile est, laboribus corporis assiduis dediti, sic ut hac ratione res necessarias sibiipsis compararent. Jesus autem, ut ait Scriptura, his subjectus, laboresque una cum ipsis perferendo, obedientiam suam prorsus declaravit. Cæterum autem temporis progressu, cum herilia divinaque beneficia detegeret, et, electis posthac discipulis, de prædicando cœlorum regno cogitaret, nequaquam in uno angulo positus aut corpore exsolutus, aliorum indigebat ministerio, sed modo obambulans, et assidue pedibus iter conficiens, una cum discipulis suis ministrabat, velut ipse dixit : *Ego autem in medio vestrum sum,* B *sicut qui ministrat* [29]. Item : *Sicut Filius hominis non venit ministrari, sed ministrare* [30] : modo vero lavabat pedes discipulorum [31]. Rursus autem in docendo diu immorari, ac locum ex loco impigre permutare salutis nostræ gratia non intermittebat. Semel autem jumento, eoque ad exiguum duntaxat tempus usus fuisse comperitur [32], non ut reficeret corpus, sed ut ipsis operibus prophetiam obsignaret. Quid vero apostoli? Nonne Dominum imitati sunt? nonne vacabant assiduis laboribus? Considera Paulum indesinenter laborantem, acriter iter facientem, navigantem, periclitantem, tempestate jactatum, fugatum, flagris cæsum, lapidibus petitum, animi alacritate et corporis firmitate ferendis omnibus tentationibus non imparem. Quod si enerC vasset corporis vires per immoderationem, haudquaquam ob hæc coronam assecutus fuisset. Quamobrem præclare faciet, qui Domini, illiusque discipulorum ac apostolorum vitam tam per animi virtutes quam per corporis exercitia imitando, corpus strenuum et optimorum operum ministrum præstabit. Animi enim est, bona seligere, quæ posthac perficiuntur corporis opera; corporis vero, exsequi quæ animus selegit. Quod si corpus invalidum est ad agendum, imperfectum remanet virtutis opus, cum occultetur in animi sententia veluti germen quoddam, quod in terræ sinibus emarcescit, nec ad usum eorum propter quos productum est, pervenit

7. Ἀλλὰ, φησὶ, καὶ ὁ Κύριος ἀσιτίαν ἐπιτεταμένην διήνεγκε, καὶ Μωϋσῆς δὲ οὐδὲν ἧττον, καὶ Ἠλίας ὁ προφήτης. Ἀλλὰ καὶ τοῦτο σκόπησον, ὅτι ὁ Κύριος ἡμῶν ἅπαξ τοῦτο μόνον ἐποίησε, καὶ Μωϋσῆς δὲ καὶ Ἠλίας ὁμοίως· τὸν δὲ λοιπὸν χρόνον ἅπαντα ἐν τάξει τῇ προσηκούσῃ διακυβερνῶντες τὸ σῶμα, καὶ ἐνεργὸν τοῦτο παρέχοντες, κόποις τε καὶ πόνοις προσομιλοῦντες ἀεὶ, οὕτω τὰς ἀρετὰς τῆς ψυχῆς τῇ συνεργίᾳ τοῦ σώματος ἀπελάμπρυναν, τὸν πρακτικὸν βίον σφραγῖδα καὶ τελείωσιν τῆς πνευματικῆς πολιτείας πεποιημένοι. Τοῦτο μὲν Μωϋσῆς,

7. Sed, inquit, et Dominus pertulit inediam diuturnam, et Moyses quoque, et Elias propheta. D Verum illud etiam animadverte, Dominum nostrum, et Moysen, itemque Eliam, id semel duntaxat fecisse : sed toto reliquo tempore corpus debita moderatione gubernasse, illudque reddidisse strenuum et validum, semper et in laboribus et in ærumnis versantes, sicque animi virtutes corporis ope illustrarunt, actuosam vitam ceu sigillum atque perfectionem spiritualis **550** vitæ præstantes. Hoc Moyses, hoc Elias, hoc etiam

[28] Luc. II, 7. [29] Luc. XXII, 27. [30] Matth. XX, 28. [31] Joan. XIII, 5. [32] Matth. XXI, 7.

(61) Codex Colb. ἑαυτοῖς ἐκπορίζοντες. Vossii vetus liber ταύτην αὐτοῖς ἐπιπορίζοντες.

(62) Editi ἐπὶ ὀλίγῳ. Antiqui tres libri præter Voss. ἐπὶ ὀλίγον. Mox codex Colb. σῶμα διαναπαύσηται.

(63) Veteres duo libri καὶ τῶν ἀποστόλων. Particula καί in editis desideratur

(64) Codex Colb. τελειοῦται.

Joannes ipse effecit : qui ex arcano quodam Dei consilio diu in deserto commoratus, completoque hoc consilio ad regionem cultam profectus, tunc et prædicavit, et baptizavit (quod pertinet ad actionem), et ob suam loquendi libertatem adversus Herodem, certamen absolvit. Hoc et omnis sanctorum turma, et ipse Jesus fecit, in agendo scilicet perseverans : ut undelibet planum esset et exploratum cum ex naturæ legibus, tum ex divinarum Scripturarum doctrina, tum ex omnium sanctorum factis, tum ex vivendi ratione ipsius Servatoris nostri, tum ex regula vitæ virorum pie degentium, melius esse atque præstabilius, si corpus firmum sit ac robustum, quam si exsolutum sit ac enervatum : itemque, si reddatur ad bonas actiones strenuum, quam si voluntaria afflictatione iners fiat ac deses.

A τοῦτο δὲ Ἠλίας, τοῦτο δὲ καὶ Ἰωάννης αὐτὸς, οἰκονομίᾳ μὲν ἀποῤῥήτῳ τὴν χρονίαν ἐν τῇ ἐρήμῳ διατριβὴν ποιησάμενος· μετὰ δὲ τὴν πλήρωσιν τῆς οἰκονομίας, ἐπὶ τὴν κεκοσμημένην χώραν ἐλθὼν, κηρύσσων τε καὶ βαπτίζων, ἃ τοῦ πράττειν ἐστὶ, καὶ ἐκ τῆς(65) πρὸς τὸν Ἡρώδην παῤῥησίας τὴν ἄθλησιν τελειούμενος. Τοῦτο καὶ πᾶς ὁ τῶν ἁγίων κατάλογος, καὶ Ἰησοῦς αὐτὸς ἐν τῷ πράττειν διατελῶν· ὡς εἶναι πάντοθεν δῆλον ἔκ τε τῶν νόμων τῆς φύσεως καὶ τῆς διδασκαλίας τῶν θείων Γραφῶν, ἔκ τε τῶν τοῖς ἁγίοις ἅπασι πεπραγμένων, ἔκ τε τῆς πολιτείας τοῦ Σωτῆρος ἡμῶν, καὶ τοῦ κανόνος τῆς τῶν εὐσεβούντων ζωῆς, ὅτι καλὸν καὶ συμφέρον συνεστάναι μᾶλλον, ἢ παρεῖσθαι τῷ σώματι· καὶ ἐνεργὸν τοῦτο παρέχειν ταῖς ἀγαθαῖς B πράξεσιν, ἢ ἀργὸν ἑκουσίως ἀποτελεῖν.

CAPUT V.

Quod convenit ascetam in iis operibus, quæ ipsum deceant, exercitari.

Cæterum in iis se operibus exercere asceta debet, quæ sibi conveniant : quæ videlicet ab omni cauponaria, longiorique mentis avocatione et turpi lucro aliena sint, quæque manentibus intra tectum nobis ut plurimum confici possint, ut et compleatur opus, et quies servetur. Quod si oportuerit ob inevitabilem quamdam necessitatem opus aliquod etiam sub dio perfici, ne hoc quidem philosophiæ futurum est impedimento. Qui enim vere philosophus est, ei cum corpus sit loco scholæ et gymnasii, sitque eidem animi sedes firmissima, etiamsi in foro fuerit, sive in conventu, sive in monte, sive in agro, sive in media multitudinis frequentia, ceu in naturali monasterio commoratur : quippe qui intus ad se advocet animum, et de rebus, quæ sibi conveniant, philosophetur. Fieri enim potest, ut et qui domi desidet, is tamen mente foras evagetur, et qui in foro versatur, is, si vigilet, quasi in solitudine sit, cum et ad semetipsum et ad Deum solum conversus sit, tumultusque ex rebus sensibilibus in animum irrepentes nequaquam sensibus excipiat.

ΚΕΦΑΛΑΙΟΝ Ε'

Ὅτι προσήκει τὸν ἀσκητὴν ἔργα ἐπιτηδεύειν τὰ πρέποντα (66).

Ἐργάζεσθαι μέντοι τὸν ἀσκητὴν προσήκει ἔργα τὰ πρέποντα, ὅσα καπηλείας ἁπάσης, καὶ μακροτέρων περισπασμῶν, καὶ αἰσχροκερδείας ἀπήλλακται· ὅσα ὑπωροφίων μενόντων ἡμῶν, ὡς τὰ πολλὰ, ἐπιτελεῖσθαι δύναται, ἵνα (67) καὶ τὸ ἔργον πληρῶται, καὶ ἡσυχία φυλάττηται. Εἰ δέ τι δέοι διὰ τὴν ἀναγκαίαν χρείαν καὶ ὕπαιθρον ἔργον ἐπιτελεῖν, οὐδὲ τοῦτο τὴν φιλοσοφίαν κωλύσει. Ὁ γὰρ ἀκριβὴς φιλόσοφος, φροντιστήριον ἔχων τὸ σῶμα, καὶ C καταγωγὴν τῆς ψυχῆς ἀσφαλῆ, κἂν ἐπ' ἀγορᾶς ὢν τύχῃ (68), κἂν ἐν πανηγύρει, κἂν ἐν ὄρει, κἂν ἐν ἀγρῷ, κἂν μεταξὺ πλήθους πολλοῦ, ἐν τῷ φυσικῷ μοναστηρίῳ καθίδρυται, ἔνδον συνάγων τὸν νοῦν, καὶ φιλοσοφῶν τὰ αὐτῷ πρέποντα. Δυνατὸν γὰρ καὶ οἴκοι καθήμενον, ἔξω περιπλανᾶσθαι τοῖς λογισμοῖς· καὶ ἐπὶ τῆς ἀγορᾶς ὄντα, νήφοντα δὲ, ὡς ἐπ' ἐρημίας εἶναι, πρὸς ἑαυτόν τε καὶ πρὸς Θεὸν μόνον ἐπιστρεφόμενον, καὶ οὐ δεχόμενον ταῖς αἰσθήσεσι τοὺς ἐκ τῶν αἰσθητῶν τῇ ψυχῇ θορύβους προσπίπτοντας.

CAPUT VI.

Quod non convenit ascetam incaute cum omnibus hominibus colloqui.

1. Jam ne illud quidem decet, seipsum hominibus omnibus concredere, aut se aperire, aut se incaute detegere. Qui enim secundum Deum vivit, huic complures insidiantur, atque ii ipsi plerumque qui sunt ei conjunctissimi, sæpe vitam ipsius explorant. Itaque operæ pretium est non temere cum externis congredi. Si enim, ut **551** ait Evan-

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

D *Ὅτι οὐ χρὴ πᾶσιν ἀνθρώποις ἀφυλάκτως συνδιατρίβειν τὸν ἀσκητήν.*

1. Θαῤῥεῖν δὲ μηδὲ πᾶσιν ἀνθρώποις ἑαυτὸν, μηδὲ ἀπογυμνοῦν, μηδὲ ἀνακαλύπτειν ἀφυλάκτως προσήκει. Πολλοὺς γὰρ ἐφέδρους ὁ κατὰ Θεὸν πολιτευόμενος ἔχει· καὶ αὐτοὺς πολλάκις τοὺς οἰκειοτάτους, τῆς ἑαυτοῦ ζωῆς κατασκόπους. Προσήκει τοίνυν μὴ ἀβασανίστους ποιεῖσθαι τὰς πρὸς τοὺς ἔξωθεν συντυχίας. Εἰ γὰρ ὁ Σωτὴρ, ὥς φησι τὸ

(65) Sic Vossii vetus liber et alii tres. Editi βαπτίζων ἀπὸ τοῦ πράττειν ἔτι καὶ ἐκ τῆς, corrupte. Post verbum ἀποτελεῖν, quod in fine hujus capitis legitur, additum invenitur in Vossii veteri libro διὰ τὴν ὑπερβολὴν τῆς ἐνδείας.

(66) Editi ἐπιτηδεύειν τὰ προσήκοντα. Antiqui tres libri τὰ πρέποντα. Mox editi προσήκει τὰ ἔργα πρέποντα.

(67) Editi δύναιτ' ἂν ἵνα. At mss tres δύναται· ἵνα. In Vossii veteri libro ita legitur post voculam ἂν: ὥστε τὸν τόνον τῆς ψυχῆς καὶ τὴν τῆς ἀρετῆς θεωρίαν διὰ τῆς ἐπιτεταγμένης ἐργασίας μὴ ἀπαμβλύνειν· ἵνα καὶ τὸ ἔργον.

(68) Codex Colb. ὢν τύχοι.

Εὐαγγέλιον, οὐκ ἐπίστευε τοῖς πᾶσιν ἑαυτὸν (*Αὐτὸς γάρ*, φησὶν, *ὁ Ἰησοῦς* (69) *οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς*)· εἰ ἐκεῖνος, ὁ καθαρὸς, ὁ ἄμωμος, ὁ ἀνεπίληπτος, ὁ δίκαιος, ὁ τὸ πᾶν ἀρετὴ, πῶς ἡμεῖς οἱ ἁμαρτωλοὶ, οἱ εὐόλισθοι, οἱ μὴ κατὰ σκοπὸν ἀεὶ εὐοδούμενοι, τοῦτο μὲν διὰ τὴν φυσικὴν ἀσθένειαν, τοῦτο δὲ διὰ τὸν πονηρῶς καὶ ἀνενδότως ἡμῖν προσπαλαίοντα, ἑαυτοὺς ἐκδιδόντες περιέργοις ἀνθρώποις (70), οὐχὶ πονηρὰς ἐπισπασόμεθα διαβολὰς, καὶ ἑαυτοῖς τὰ σκάνδαλα καταπήξομεν (71); Πολλάκις γὰρ οἱ πονηροὶ καὶ τὰ καλῶς πραττόμενα διαβάλλειν ἐπιχειροῦσι, καὶ μὴ ἀλοιδόρητα καταλιμπάνειν καὶ τὰ μικρότατα τῶν πταισμάτων ἀνέχονται.

2. Χρὴ τοίνυν πεφυλαγμένας (72) ποιεῖσθαι τὰς πρὸς τοὺς ἔξωθεν ὁμιλίας. Συμβαίνει γὰρ αὐτοῖς τι καὶ ἕτερον πάθος ὑπὸ λογισμῶν ἀπειρίας ἐπὶ τῶν ἀναχωρησάντων τοῦ βίου. Ὑπολαμβάνουσι γὰρ, οὐ τὴν γνώμην μετατεθεῖσθαι τῶν μετατιθεμένων (73) τὴν πολιτείαν, ἀλλὰ τὴν φύσιν αὐτοῖς τὴν ἀνθρωπίνην μετεσκευάσθαι· καὶ οὐ κρίνουσι τοὺς ἀσκητὰς ὡς ἐν πάθεσι μὲν τοῖς αὐτοῖς στρεφομένους, δυνάμει δὲ ψυχῆς καὶ ἀλλοτριώσει τῇ πρὸς τὰς ἡδονὰς ἐπικρατοῦντας αὐτῶν (74)· ἀλλ' οἴονται, ὅτι πάντη ἐκποδὼν τὰ πάθη τῆς τοῦ σώματος αὐτῶν φύσεως γέγονεν. Ὅθεν δὴ, καὶ εἴ τι μικρὸν ὁ πνευματικὸς διαμάρτοι τοῦ καλοῦ, εὐθέως ἅπαντες, καὶ οἱ τὸ πρὶν θερμότατοι ἐπαινέται καὶ θαυμασταὶ, πικροὶ κατήγοροι γίνονται, καὶ διελέγχουσιν ἑαυτοὺς, οὐδὲ πρότερον ἀληθεῖς τοὺς ἐπαίνους ποιούμενοι. Καθάπερ γὰρ ἀθλητοῦ τινος ὀλισθήσαντος, εὐθὺς ὁ ἀντίπαλος κατεξανίσταται παίων καὶ προσκαταβάλλων αὐτόν· οὕτω καὶ ἐκεῖνοι (75), ἐπὰν ἴδωσι τὸν ἐν ἀσκήσει ἀρετῆς διαζῶντα μικρόν τι τοῦ καλοῦ διαμαρτήσαντα, ἐπιτίθενται ταῖς λοιδορίαις καὶ ταῖς διαβολαῖς, ὥσπερ τοξεύμασι βάλλοντες· οὐ λογιζόμενοι καθ' ἑαυτοὺς, ὅτι αὐτοὶ μὲν ἐφ' ἑκάστης ἡμέρας μυρίοις τιτρώσκονται τοῖς βέλεσι τῶν παθῶν. Οἱ δέ γε τῆς εὐσεβείας ἀγωνισταὶ, καίπερ ὑπὸ τῶν ὁμοίων πολιορκούμενοι παθῶν, ἢ μικρά τινα, ἢ οὐδὲν πολλάκις ὑπὸ τούτων ἐπηρεάζονται· καὶ ταῦτα, καὶ τὸν ἀνταγωνιστὴν σφοδρότερον ἤπερ ἐκεῖνοι δεχόμενοι. Ἐπείπερ οὗτοι μὲν τὸν πρὸς ἐκεῖνον ἀγῶνα διωμολόγησαν, καὶ μέγα τῷ πονηρῷ τὸ κατὰ τούτων ἄρασθαι νῖκος, πάλιν (76) δ' αὖ τὸ ἡττηθῆναι καιρίαν τὴν πληγὴν ἤνεγκεν, ὡς ὁλοσχερῶς καὶ πᾶσιν ἀρετῆς μέρεσιν ἡττηθέντι· ὁ δὲ πρὸς τοὺς τῷ βίῳ προσνείμαντας ἑαυτοὺς κατα-

A gelium, non omnibus seipsum concredebat Servator (*Ipse enim*, inquit, *Jesus non credebat semetipsum eis* [33]); si ille, licet purus, inculpatus, nulli repréhensioni obnoxius, justus, si ille qui prorsus virtus ipsa erat, ita se gessit, quomodo nos peccatores, ad lapsum proclives, quorum viæ non semper directæ sunt ad scopum, partim propter infirmitatem naturalem, partim propter eum qui maligne ac fortiter nobis adversatur, quomodo, inquam, fieri poterit, ut si nosmetipsos curiosis hominibus prodiderimus, non conflemus in nos pravas calumnias, et nobis ipsis offendicula non struamus? Nam maligni ea etiam quæ recte fiunt, calumniari non raro conantur, et ne levissima quidem errata a conviciis immunia relinqui sinunt.

B 2. Par est igitur caute cum externis hominibus confabulari. Nam incidunt et in aliud quoddam vitium, dum de iis qui e sæculo recesserunt, imperite ac inscite cogitant. Suspicantur enim non mentem sententiamque eorum, qui vitæ genus immutarunt, immutatam fuisse, sed ipsam naturam humanam penitus in illis fuisse transformatam, nec judicant de ascetis, tanquam de hominibus, qui cum in iisdem affectibus versentur, eos tamen animi viribus, et sua a voluptatibus abalienatione vincant; sed arbitrantur corporis eorum naturam affectibus nullomodo obnoxiam esse. Ex quo fit, ut si vel paululum spiritualis vir a recto declinarit, statim omnes, etiam ii ipsi qui erant antea ferventissimi laudatores admiratoresque, fiant amarulenti

C accusatores, atque adeo non veras laudes prius tribuisse convincuntur. Quemadmodum enim labente aliquo athleta, confestim adversarius insurgit, illumque ferit, ac magis prosternit: sic etiam illi, ubi viderint eum qui in virtutis exercitio vivit, tantillum a recto deflexisse, tum ipsum conviciis calumniisque perinde ut immissis quibusdam spiculis insectantur: neque reputant secum, se quotidie innumeris vitiorum telis transfigi. At vero pietatis propugnatores, etiamsi ab iisdem obsideantur affectibus, sæpe tamen ab his aut parum, aut nihil accipiunt detrimenti; idque, quamvis adversarium vehementiorem quam illi sustineant. Nam hi quidem ei se adversarios professi sunt, et magni aliquid adeptum se esse arbitratur malignus ille, si

D de ipsis reportet victoriam, contraque, si succumbit, putat mortiferam plagam sibi infligi, tanquam qui perfecte et in omnibus virtutis partibus victus sit: sed bellum iis, qui se mundo sæculoque ad-

[33] Joan. II, 24.

(69) Antiqui duo libri ὁ Ἰησοῦς. Articulus in vulgatis deerat.
(70) Codex Voss. ἐκδιδόντες πονηροῖς ἀνθρ.
(71) Unus ms. ἐπισπασώμεθα... καταπήξωμεν. Mox duo mss. ἐπιχειροῦσιν, οὐδὲ ἀλοιδόρητα. Codex Colb. ἐπιχειροῦσι, μήτε ἀλ.
(72) Veteres duo libri πεφυλαγμένως.
(73) Codex Colb. τῶν μεταθεμένων. Statim Reg. tertius et editi μετασκευάσθαι. Alii tres mss. μετεσκευάσθαι.
(74) Codex Colb. ἐπικρατοῦντας ἑαυτῶν. Aliquanto post editi Ὅθεν δὴ, καὶ εἰ ὅτι. Veteres tres libri εἴ τι. Haud longe editi ἐπαινέται καὶ θαυμαστοί, male. Antiqui duo libri præter Combef. θαυμασταί, bene.
(75) Codex Colb. οὕτως κἀκεῖνοι.
(76) Codices nonnulli καὶ πάλιν.

dixerunt, illatum, despicatui habetur, partim quod maxima eorum pars ad suam cladem stragemque suapte sponte currant, voluptatibus variis atque cupiditatibus ad peccatum allecti, adversarioque victoriam de se facillime reportandam offerentes, partim quod ii etiam qui parum peccato obsistere videntur, ob varia impedimenta haud difficile a palæstra secedant, **552** et terga vertentes, vehementerque sagittis petiti, multas ac fœdas cladis suæ notas ferant.

3. Quod si forte nonnulli, impetu etiam mundanarum curarum superato, maligni illius bello obversa facie opponere se potuerunt, non tamen paria certamina sustinuerunt, sed multo, vel potius infinitis partibus minora sunt ascetarum certaminibus. Alter enim contendit retinere jus suum, atque in litibus, quæ de præsentibus fiunt, pertinaciter decertat; alter vero vel de jure etiam suo iis qui secum litigant, concedit, perficiens illud: *Ab eo qui aufert quæ tua sunt, ne repete* [34]. Ille percussus percutit vicissim, et affectus injuria injuriam vicissim infert, atque hoc pacto stare se in æqualitate arbitratur: hic vero tolerat, quoad injuriam facienti aut etiam ferienti satietatem attulerit. Et hic idem studet omnibus corporis voluptatibus dominari: alter vero ad satietatem usque indulget voluptatibus. Quomodo igitur qui civile vitæ genus ducit, inter athletas numerabitur, si cum asceta comparetur? Velim consideres et aliud, quod iis solitum est usu venire, qui communem ac vulgarem vitam sequuntur, quandocunque res ascetarum expendunt. Simul ac enim asceta æquum esse duxerit, corpus post longam famem alimento suffulcire, tunc quasi is incorporeus esset, et materiæ expers, ipsum aut nihil, aut quam paululum alimenti sumere volunt.

4. Et si viderint ascetam non omnino immisericorditer corpus tractare, sed partim saltem præsenti necessitati satisfacere, eum conviciis ac calumniis consectantur, ac eos vocant heluones, voracesque, et id dedecus bibendique intemperantiam ab uno in omnes extendunt: neque illud reputant, se, cum bis, et ex ipsis nonnulli etiam ter die cibum capiant, et escis crassissimis ac pinguissimis, ingentique carnium mole exsatientur, immodicamque vini copiam infundant, nihilominus tamen perinde atque canes post longam famem a vinculis solutos, mensis inhiare. Sed veri asceta et alimento siccissimo utuntur, et in quo præter imbecillitatem tenues admodum ad alendum vires

A πεφρόνηται πόλεμος· τὸ μὲν, ὅτι οἱ πλεῖστοι αὐτῶν αὐτομάτως ἐπὶ τὴν ἧτταν τρέχουσι, ταῖς ποικίλαις ἡδοναῖς καὶ ἐπιθυμίαις πρὸς τὴν ἁμαρτίαν δελεαζόμενοι, καὶ ἄπονον αὐτῷ τὴν καθ' ἑαυτῶν νίκην παρέχοντες· τὸ δὲ, ὅτι καὶ οἱ δοκοῦντες μικρὸν πρὸς τὴν ἁμαρτίαν ἀνταίρειν, τοῖς ποικίλοις περισπασμοῖς εὐκόλως τῆς ἀγωνίας ἀφέλκονται, καὶ τὰ νῶτα στρέψαντες (77), καὶ ἀνενδότως βαλλόμενοι, πολλὰ καὶ αἰσχρὰ τῆς ἥττης τὰ στίγματα φέρουσιν.

3. Εἰ δέ πού τινες, καὶ τὴν φορὰν τῶν βιωτικῶν περισπασμῶν βιασάμενοι, ἀντιβλέψαι πρὸς τὸν τοῦ πονηροῦ δεδύνηνται πόλεμον, ἀλλ' οὖν γε οὐ τοιούτους ἀγῶνας διήνεγκαν, ἀλλὰ πολλῷ καὶ ἀπείρῳ τῷ μέτρῳ τῶν ἀσκητικῶν λειπομένους (78). Ὁ
B μὲν γὰρ τῶν δικαίων κρατεῖν (79) ἐσπούδακε καὶ φιλονείκως διαγωνίζεται ἐν ταῖς περὶ τὰ παρόντα ἀμφισβητήσεσιν· ὁ δὲ καὶ τῶν δικαίων τοῖς ἀμφισβητοῦσι παραχωρεῖ, πληρῶν τὸ, *Ἀπὸ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει.* Ὁ μὲν, τυπτηθεὶς, ἀντετύπτησε, καὶ ἀδικηθεὶς, ἀντηδίκησε, καὶ ταύτῃ τὸ ἴσον ἔχειν ὑπολαμβάνει· ὁ δὲ καρτερεῖ μέχρι τοσούτου, ἄχρι κόρον τῷ ἀδικοῦντι ἢ (80) καὶ τῷ παίοντι ἐμποιήσει. Καὶ ὁ μὲν πασῶν τῶν τοῦ σώματος ἡδονῶν κρατεῖν διεσπούδακεν, ὁ δὲ ἐν κόρῳ διατρίβει τῶν ἡδονῶν. Πῶς οὖν ἂν καὶ (81) ἀγωνιστὴς ὁ βιωτικὸς νομισθείη πρὸς τὸν ἀσκητὴν κρινόμενος; Σκόπησον δὲ καὶ ἕτερον, ὅπερ πάσχειν σύνηθες τοῖς τῷ παρόντι βίῳ προσέχουσιν, ἡνίκα ἂν τὰ περὶ τοὺς ἀσκητὰς ἐξετάζωσιν. Ἐπειδὰν γὰρ ὁ
C ἀσκητὴς ἐκ μακρᾶς τῆς ἐνδείας ὑπερείδειν τὸ σῶμα τροφῇ καλῶς ἔχειν ἡγήσαιτο (82), καθάπερ ἀσώματόν τε καὶ ἄϋλον, ἢ οὐ μετέχειν τροφῆς, ἢ τῆς ἐλαχίστης θέλουσι.

4. Κἂν ἴδωσι τὸν ἀσκητὴν μὴ πάντῃ τοῦ σώματος ἀφειδῶς ἔχοντα, ἀλλὰ μέρει γοῦν τινι τὴν ὑπάρχουσαν ἔνδειαν θεραπεύοντα, λοιδοροῦσι καὶ διαβάλλουσι, καὶ πολυσίτους τινὰς καὶ λαιμάργους ἀποκαλοῦσι, τὴν κατὰ τοῦ ἑνὸς ὕβριν καὶ παροινίαν ἐπὶ τοὺς πάντας ἐκτείνοντες· οὐ λογιζόμενοι, ὅτι αὐτοὶ μὲν δὶς, ἔνιοι δὲ αὐτῶν καὶ τρὶς τῆς ἡμέρας σιτούμενοι σιτίων τὰ παχύτατα καὶ πιότατα, ἀπεί-
D ρου τε ὄγκου κρεῶν ἐμφορούμενοι, καὶ οἴνου πλῆθος ἄμετρον ἐγχεόμενοι, οὕτως ἐπὶ τὰς τραπέζας κεχήνασιν, ὥσπερ σκύλακες μετὰ μακρὰν ἔνδειαν τῶν δεσμῶν ἀφεθέντες. Οἱ δέ γε κατὰ ἀλήθειαν ἀσκηταὶ τροφῇ τε ξηροτάτῃ κέχρηνται, καὶ ὀλίγον ἐχούσῃ (83) σὺν ἀσθενείᾳ τὸ τρόφιμον, καὶ παρὰ

[34] Luc. vi, 30.

(77) Veteres duo libri νῶτα τρέψαντες.
(78) Regii secundus et quartus ἀλλ' οὖν γε οὗτοι οὐ τοὺς ἀγῶνας διήνεγκαν.... τῶν ἀσκητικῶν λείπονται.
(79) Codex Colb. cum Voss. τῶν ἰδίων κρατεῖν, *sua servare conatur.*
(80) Voculam ἢ addidimus ex antiquis duobus libris.
(81) Editi Πῶς οὖν καὶ... νομισθῇ. At mss. duo ut in contextu.
(82) Reg. secundus ἡγήσηται. Alius ms. ἡγήσεται. Aliquanto post editi μὴ παντί, male. Veteres libri πάντῃ.
(83) Antiqui duo libri ὀλίγον ἔχουσι. Mox editi ἅπαξ εἰ καὶ τάξει. At mss. tres ἅπαξ· οἵ γε τάξει.

πᾶσαν τὴν ἡμέραν ἅπαξ· οἵ γε τάξει διαζῆν ἐγνωκότες, καὶ τοῦτο μετρίως καὶ ἐπιστημόνως σιτούμενοι, εἰκότως παρὰ τὸν καιρὸν τῆς σιτήσεως τὴν χρείαν μετ' εὐπαῤῥησιάστου τοῦ συνειδότος (84) χορηγοῦσι τῷ σώματι. Διά τοι τοῦτο προσήκει μὴ τὴν ἐλευθερίαν ἡμῶν κρίνεσθαι ὑπὸ ἄλλης συνειδήσεως. Εἰ γὰρ ἡμεῖς χάριτι μετέχομεν, τί βλασφημούμεθα ὑπὲρ ὧν ἡμεῖς εὐχαριστοῦμεν; τὴν ἔνδειαν καὶ τὴν τῆς τροφῆς εὐτέλειαν μετὰ τοσαύτης εὐφροσύνης αἱρούμενοι, μεθ' ὅσης οὐδὲ ἐκεῖνοι τὴν ὑπέρλαμπρον καὶ παντοδαπῆ (85) τῆς πολυόψου τραπέζης παρασκευήν. Εἰ δέ τις τῶν εἰρημένων ἀνθρώπων ἐπὶ συνέσει καὶ εὐλαβείᾳ γνώριμος εἴη, καὶ δι' αἰδοῦς ἄγοι τὸν ἡμέτερον βίον, τούτῳ κοινωνεῖν τραπέζης, εἰ τούτου δεήσειεν ἐπεσκεμμένως, οὐκ ἄλογον.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὅτι οὐ χρὴ συχνὰς καὶ ἀβασανίστους ποιεῖσθαι τὰς προόδους.

1. Χρὴ δὲ μηδὲ προφάσει τῆς τῶν ἀδελφῶν ἐπισκέψεώς τε καὶ συντυχίας πολλὰς καὶ συχνὰς ποιεῖσθαι τὰς ἐκδημίας (ἔστι γὰρ καὶ τοῦτο διαβολική τις ἐπίνοια, πειρωμένου τοῦ ἐχθροῦ διὰ (86) τῆς τοιαύτης μεθόδου τὸ εὐσταθὲς ἡμῶν καὶ τὸ τεταγμένον τῆς ζωῆς παραλύειν, καὶ εἰς φιληδονίας καὶ λογισμῶν ἀκαταστασίας διαφόρους ἐμβάλλειν)· καθ' ἡσυχίαν δὲ ἑαυτοῖς ὁμιλοῦντας, διασκέπτεσθαί τε καὶ ἐπανορθοῦν τὰ τῆς ψυχῆς ἁμαρτήματα. Ὁ γὰρ ἄρτι τὸν κόσμον τῇ (87) διαθέσει καταλιπὼν, ἀπὸ μὲν τῆς πρὸς τὰ καλὰ νεύσεως τὸ ἐπαινετὸν ἔχει· οὔπω δὲ τὸ τέλειον τῶν ἀρετῶν κέκτηται· πολλάκις δὲ οὐδὲ διανενόηται τὸν τρόπον τῆς αὐτῶν κατορθώσεως, ἀλλὰ δεῖται, καθ' ἡσυχίαν ἑαυτὸν ἐπισκεψάμενος, κατιδεῖν τε τὰς ἀτάκτους τῆς ψυχῆς ὁρμὰς καὶ κινήσεις, καὶ ταύταις γενναίως ἀνταγωνίσασθαι, καὶ τοῖς κρείττοσι λογισμοῖς τὰς ἀταξίας ἐπανορθώσασθαι· τάξις γὰρ ψυχῆς ἀρετῆς σύνθεμα. Ὁ τοίνυν διαπαντὸς ἐν ἀποδημίαις καὶ μεταβάσεσιν ὢν, καὶ ἀεὶ τὸ τῆς ψυχῆς σύννουν καὶ πεπυκνωμένον ῥιπίζων καὶ διαχέων, καὶ πρὸς τὰς ἡδονὰς τοῦ σώματος βλέπειν κατὰ μικρὸν ἐθιζόμενος, πῶς δυνήσεται κατιδεῖν (88) ἑαυτὸν, ἢ γνῶναι τὰ μὴ καλῶς ἔχοντα, ἢ πρὸς τὸ δέον αὐτὰ μεθαρμόσασθαι, τὴν ψυχὴν ἔτι διερεθίζων πρὸς ἐμπαθεῖς διαθέσεις·

2. Χρὴ τοίνυν ἡσυχῇ μένειν τὰ πολλὰ, καὶ καρτερεῖν ἕκαστον τὴν ἰδίαν καταγωγὴν, ἵνα ἔχῃ τοῦτο τῆς εὐσταθείας τῶν τρόπων μαρτύριον (89)· μὴ πάντη μὲν καθεῖρχθαι, ἀλλὰ τάς τε ἀναγκαίας προόδους εὐπαῤῥησιάστους ποιεῖσθαι, ἐν αἷς οὐδὲν τὸ συνειδὸς ἐπισκήπτει, καὶ τοὺς βελτίστους τε καὶ ὠφελιμωτάτους διὰ πολιτείας ἀκρίβειαν τῶν ἀδελφῶν ἐπι-

A sint, et comedunt semel per totam diem : qui cum ordinate vitam degere statuerint, moderateque ac prudenter cibum sumant, jure ac merito ubi edendi tempus advenit, tunc animo religionis libero corpori necessaria suppeditant. Quamobrem convenit libertatem nostram ab alia conscientia non judicari. Si enim nos cum gratia accipimus, quid pro iis de quibus gratias agimus, blasphemamur? dum tenuitatem, cibique vilitatem tanta cum hilaritate amplectimur, cum quanta ne illi quidem splendidissimum et omnigenum mensæ lautissimæ apparatum. Quod si quispiam ex his, quos dixi, hominibus ob prudentiam ac pietatem notus sit, habeatque in reverentia nostrum vitæ institutum, eum nostra mensa circumspecte communicare, si B id usus poscat, a ratione alienum non est.

553 CAPUT VII

Quod non oportet crebro et temere egredi

1. Atque etiam operæ pretium est, nequaquam prætextu et visendi fratres, et cum ipsis colloquendi, crebro ac frequenter peregrinari. Nam et hoc diabolicum quoddam inventum est : siquidem conatur adversarius ejusmodi artificio constantiam nostram, et vitæ nostræ disciplinam evertere, nosque voluptatibus ac variis cogitationum tumultibus implicare. Imo vero nobiscum tacite colloquendo, peccata animæ et expendere et emendare debemus. Qui enim nuper ex animo hunc mundum C dereliquit, ob suam quidem ad bona propensionem laudandus est : at nondum tamen virtutum assecutus est perfectionem, imo etiam quomodo eas consequi possit, ne cogitavit quidem; ob idque ei opus est, præmisso prius sui ipsius tacito examine, inordinatos animi impetus ac motus excutere, hisque fortiter obluctari, et melioribus consiliis perturbationem sedare; nam animi ordinatio ac sedatio argumentum est virtutis. Qui igitur assidue peregrinatur, transitque de loco in locum, ac semper animi attentionem crebramque meditationem ventilat, et effundit, paulatimque assuescit ad corporis voluptates respicere, quomodo poterit inspicere seipsum, aut agnoscere ea quæ se non recte habent, aut ipsa ad honestum decorumque revocare, D cum magis ac magis ad vitiosas affectiones animus illius irritetur?

2. Par est igitur in quiete ut plurimum manere, et quemlibet in propria sede persistere, ut hoc constantiæ morum testimonium habeat : non tamen prorsus in cella sua inclusum esse, sed libero, si propterea nihil conscientia exprobret, necessitate cogente egredi, et fratres vitæ integritate et optimos et utilissimos invisere, sed ita tamen, ut ex

(84) Sic veteres quatuor libri. Editi μετ' εὐπαῤῥησίας τοῦ συνειδ.

(85) Codices duo καὶ παντοδαπήν. Statim codex Colb. εἰ τοῦτο δεήσειεν.

(86) Editi ἐχθροῦ καὶ διά. At mss. ἐχθοῦ διά.

(87) Editi ἄρτι τὸν δεσμὸν τῇ. Veteres duo libri ἄρτι τόνδε τὸν δεσμόν, *qui reliquit vinculum*. Vossii vetus liber et Colb. ut in contextu, rectius. Aliquanto post codex Voss. ἀταξίας ἐπανορθοῦσθαι.

(88) Codex Colb. ἢ κατιδεῖν. Nec ita multo infra idem ms. εἰς τὴν ἰδίαν καταγ.

(89) Veteres duo libri εὐσταθείας τὸν τρόπον μαρτυροῦν. Haud longe codex Colb. cum Voss. βελτίους τε καί.

utili congressu virtutum capiat exempla : quod A consequetur, si, ut diximus, in prodeundo modus teneatur, nihilque fiat quod reprehendi possit. Sæpe enim insitum etiam animo tædium exeundo dissipatur; idque in causa est cur iterum veluti convalescamus, ac paululum respiremus, alacriterque ad certamina pro pietate subeunda veniamus. Quod si quis, quod e cella non egrediatur, propterea sentiat de se magnifice, is noverit, se ob rem inanem inflari. Neque enim non exire, ex se laudandum est, aut data occasione exire, potest virum probum aut improbum reddere : sed firmum et immutabile judicium circa bonum, aut contra levitas et inconstantia hominem bonum reddit vel malum. Si quis vero posteaquam bonum in animo firmiter constabiliverit, diuturnaque exercitatione B gubernandorum affectuum experientiam adeptus
554 fuerit, et domitis corporis libidinibus coercuerit tumultus animales, tum demum rationis freno confisus velit frequentius ac crebrius ad ædificandos visitandosque fratres egredi, cum, qui ejusmodi est, ratio ad exeundum potius inducet, ut posita super candelabro lucerna, doctrinæ bonæ lumen impertiat omnibus : si modo confidat posse et sermone et opere seipsum iis quibuscum congreditur, ceu quamdam virtutum scholam exhibere : et si semetipsum ita muniverit, ut Apostolus dixit : *Ne forte, cum aliis prædicaverim, ipse reprobus efficiar* [35].

CAPUT VIII. C

Quod ascetis instabilibus confidentia ac libertas loquendi danda non sit : imo vero quod hi vitandi sint.

1. Atque ii etiam vitandi sunt, qui instabiles sunt, et modo ad hos, modo ad illos fratres accedunt, et irrequieto ac vehementi impetu jugiter circumeunt monasteria, et plane spiritualis dilectionis obtentu et nomine, carnis explent voluntates : quorum in animis nulla inest constantia, nulla stabilitas, nulla disciplina, nullus prudentiæ ornatus ; sed potius quidquid curiosum ac pravum est, quidquid refertum est inconstantia et dementia, dolo et simulatione, mendacio et fraudulenta adulatione. Hi enim sunt et lingua imperiti, et ventre intemperantes, et animo semper elati ac

σκέπτεσθαι, παραδείγματα ἀρετῶν ἐκ τῆς ὠφελίμου συντυχίας λαμβάνοντα (90), ἐμμέτρους, ὡς ἔφημεν, καὶ ἀνεπιλήπτους τὰς προόδους ποιούμενον. Πολλάκις γὰρ καὶ ἀκηδίαν ἐγγενομένην τῇ ψυχῇ ἡ πρόοδος διαλύσασα (91), πάλιν οἷον ἐπιῤῥῶσαι καὶ ἀναπνεῦσαι μικρὸν παρασχοῦσα, προθύμως προσιέναι τοῖς ὑπὲρ τῆς εὐσεβείας ἀγωνίσμασι δίδωσιν. Εἰ δέ τις ἐπὶ τῷ μὴ προϊέναι τοῦ δωματίου μέγα φρονοίη (92), ἴστω διακένῳ φυσιούμενος πράγματι. Οὐδὲ γὰρ τὸ μὴ προϊέναι καθ' ἑαυτὸ καλὸν, ἢ τὸ κατὰ καιρὸν προϊέναι καλὸν ἢ φαῦλον οἶδεν ἐργάζεσθαι· ἀλλ' ἡ περὶ τὸ καλὸν βεβαία καὶ ἀκίνητος κρίσις, ἢ τοὐναντίον, τὸ εὐμετάθετον σπουδαῖον ἢ φαῦλον ἀποτελεῖ (93). Εἰ δέ τις, τὸ καλὸν τῇ ψυχῇ βεβαίως ἐνιδρυσάμενος, καὶ τῇ χρονίᾳ ἀσκήσει τῆς τῶν παθῶν κυβερνήσεως τὴν ἐμπειρίαν λαβὼν, καὶ δαμάσας μὲν τὰς σωματικὰς ἀκρασίας (94), χαλινώσας δὲ τὰς ψυχικὰς ἀταξίας, θαῤῥῶν δὲ τῷ τοῦ λογισμοῦ χαλινῷ, συχνοτέρας θέλοι (95) ποιεῖσθαι τὰς προόδους εἰς οἰκοδομὴν καὶ ἐπίσκεψιν ἀδελφῶν, τὸν τοιοῦτον καὶ παρορμήσει μᾶλλον ὁ λόγος ἐπὶ τὴν πρόοδον, ἵνα, τὸν λύχνον ἐπὶ τὴν λυχνίαν τιθεὶς, πᾶσι τὸ φῶς τῆς τῶν καλῶν καθηγήσεως χορηγήσῃ· μόνον εἴγε θαῤῥοίη (96), ὡς καὶ λόγῳ καὶ ἔργῳ διδασκαλεῖον ἀρετῶν ἑαυτὸν δυνήσεται τοῖς συντυγχάνουσι παρέχειν· καὶ οὕτως ἐξασφαλίσαιτο ἑαυτὸν, καθὼς ὁ Ἀπόστολος εἴρηκε· *Μή πως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.*

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι οὐ χρὴ τοῖς ἀστατοῦσι τῶν ἀσκητῶν μεταδιδόναι θάρσους καὶ παῤῥησίας, ἀλλὰ καὶ τούτους φυλάττεσθαι.

1. Φυλάττεσθαι μέντοι προσήκει καὶ τοὺς ἀστατοῦντας, καὶ ἄλλοτε πρὸς ἄλλους τῶν ἀδελφῶν (97) μεταβαίνοντας, καὶ ἀπαύστοις καὶ ἀνενδότοις ὁρμαῖς διαπαντὸς περινοστοῦντας τὰ μοναστήρια, καὶ προφάσει δῆθεν πνευματικῆς ἀγάπης τὰ τῆς σαρκὸς ἐκπληροῦντας θελήματα· οὐδὲν βέβαιον, οὐδὲ ἱδρυμένον, οὐδὲ εὔτακτον, οὐδὲ συνέσει κεκοσμημένον ἐν ταῖς ψυχαῖς ἔχοντας, ἀλλὰ πᾶν ὅ τι περίεργον καὶ κακόηθες, ῥεμβασμοῦ καὶ ἀλογιστίας πεπληρωμένον, δόλου καὶ ὑποκρίσεως, ψευδολογίας καὶ ἀπατηλῆς κολακείας. Οὗτοι γλῶσσαν (98) μὲν ἀπαίδευτοι, γαστέρα δὲ ἀκρατεῖς, ψυχὴν δὲ διαπαντὸς ἐπτερω-

[35] I Cor. IX, 27.

(90) Hæc verba, παραδείγματα ἀρετῶν ἐκ τῆς D ὠφελίμου συντυχίας λαμβάνοντα, reperiuntur quidem in vulgatis et in ora Regii tertii manu recentiore : sed in reliquis mss. desunt. Ibidem duo mss. ἐμμέτρους μέντοι.

(91) Antiqui duo libri διαλύουσα. Ibidem Vossii vetus liber et alii duo ἐπιῤῥώσασα. Paulo post codex Voss. προθυμοτέρως προσιέναι.

(92) Unus ms. μέγα φρονεῖ. Mox editi φυσώμενος πράγματι. Regii secundus et quartus φυσιούμενος, melius.

(93) Regius secundus φαῦλον ἀποτελεῖν· ubi vox οἶδεν supplenda est. Mox codex Voss. pro βεβαίως habet τελείως.

(94) Sic mss. tres præter Voss. Vox ἀκρασίας deerat in vulgatis.

(95) Codex Colb. συχνοτέρας ἐθέλει. Alius ἐθέλοι. Alius θέλει.

(96) Vossii vetus liber θαῤῥοίη ἑαυτῷ. Nec ita multo post duo mss. οὕτως ἐξησφαλίσατο.

(97) Veteres duo libri καὶ ἀπιόντας ἄλλοτε πρὸς ἄλλους τῶν ἀδελφῶν, καί, etc.

(98) Unus ms. et editi Οὗτοι γλώσσῃ. At mss. tres γλῶσσαν. Aliquanto post unus ms. cum Voss. ψυχῇ δὲ διαπ. Ibidem codex Colb. ἀνεπτερωμένοι. Rursus in eodem loco idem ms. Colb. ῥιπιζομένους λογισμούς.

μένοι καὶ ῥιπιζόμενοι, λογισμοὺς κατὰ τὴν πτῆσιν τῶν νυκτερίδων ἔχοντες, οὐδαμοῦ πρὸς τὸ εὐθὺ (99) βλέποντας, ἀλλὰ σχολιὰ καὶ εὐμετάτρεπτα πετομένους· ἄλλο παρὰ τὰς πρώτας ὁρμὰς ὑποφαίνοντας, καὶ πρὸς ἕτερον τῷ εὐμεταβόλῳ τῆς γνώμης παρὰ δόξαν πᾶσαν φερομένους, πολλὰ ἕρποντας, καὶ οὐδὲν προβαίνοντας.

2. Ἐοίκασι δὲ καὶ τῶν ὑποζυγίων τοῖς περὶ τὰς μύλας ἐλαυνομένοις, ἃ πολλὰ βαδίζοντα ἐπὶ τὸν αὐτὸν ἀεὶ τόπον εὑρίσκεται· καὶ τὸ μὲν σῶμα κόπτεται (1), τὸ δὲ βραχὺ χωρίον οὐδαμῶς ὑπερβαίνει· οὕτω κἀκεῖνοι, διαπαντὸς περὶ τὰ πάθη τοῦ σώματος ἰλυσπώμενοι, οὐδὲν ἐπὶ τὸ πνευματικὸν ὕψος προκόπτουσι· τρέχουσι δὲ κύκλον ἀπέραντον ταῖς τοῦ σώματος ἐπιθυμίαις καὶ ἡδοναῖς ἀεὶ συνδονούμενοι (2), καὶ ἀπὸ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ πάλιν φερόμενοι, καὶ τῆς πονηρᾶς δουλείας οὐκ ἀφιέμενοι διὰ τὴν τῆς προαιρέσεως μοχθηρίαν. Οὗτοι, τὸ σχῆμα τοῦ προβάτου τῶν ὁρώντων δέλεαρ προβαλλόμενοι, ἔνδον τὴν λίχνον (3) καὶ κακοήθη καὶ ὕπουλον ἀλώπεκα κρύπτουσι, πολλοὺς δὲ καὶ παρατρέπειν ἐπὶ τὴν ἴσην κακίαν σπουδάζουσιν· ὅσοι κυβερνήσεως λογισμοῦ ἀμοιροῦντες, καὶ τῷ καλῶς καὶ κακῶς ἄγοντι ῥᾳδίως προστίθενται, τοῦτο καλὸν νομίσαντες, ὅπερ ἄν τις ἢ ὀρθῶς, ἢ πιθανῶς ὑφηγήσεται. Καὶ τούτους τοίνυν πρὸς τὸ οἰκεῖον καθέλκειν σπουδάζουσι βάραθρον, τὴν διαστροφὴν αὐτῶν (4) οἰκείαν ἀπολογίαν εἶναι νομίζοντες, καὶ τὴν ἑταιρίαν τῆς πονηρίας τῶν ἐγκλημάτων ἐλάττωσιν. Τούτους οὖν ἐκ παντὸς τρόπου προσήκει φυλάττεσθαι, ὡς ἂν μήτ' ἄλλους βλάψαι ἐν τῇ τοῦ ψυχικοῦ λοιμοῦ μεταδόσει, καὶ αὐτοὶ πάντοθεν εἰργόμενοι, ὀψὲ γοῦν πρὸς τὸ καλὸν ἐπιστρέψωσι, παιδαγωγὸν τὴν αἰσχύνην λαμβάνοντες, καὶ τὴν τῶν σπουδαίων ἀποστροφὴν νουθεσίαν εἰς τὴν τῆς κακίας ἀπαλλαγήν. Τοῦτο γὰρ καὶ ὁ Παῦλος ἐδίδαξε, λέγων περὶ τῶν μηδὲν ἐργαζομένων ἀλλὰ περιεργαζομένων· *Τοῦτον*, φησὶ, *σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ.*

A ventilati, quorum cogitationes vespertilionum volatum imitantur, nusquam ad rectum spectantes, sed oblique ac perverse volantes : quippe qui primo impetu aliud præ se ferant, sed mox mentis instabilitate ad aliud ferantur præter opinionem omnem, repentes non parum, at nullo modo progredientes.

2. Quin etiam similes sunt jumentis, quæ circa molas acta multum conficiunt itineris, et tamen eodem in loco semper reperiuntur, et corpore defatigato, ipsa tamen ultra exigui loci spatium non progrediuntur : sic illi quoque, jugiter in corporis libidinibus volutati, nullo modo ad spiritualem altitudinem procedunt : quin potius conficiunt circulum interminatum, ut qui semper una B cum corporis concupiscentiis ac voluptatibus circumagantur, rursusque ferantur ex iisdem in eadem, nec a mala servitute liberentur, ob voluntatis suæ pravitatem. Hi ob intuentium oculos posito habitu ovillo quasi illicio quodam, intus gulosam malignamque et subdolam vulpem occultant, multosque in eamdem quoque nequitiam impellere conantur : qui cum rationis clavo destituantur, facile sive bono sive malo ductori morem gerunt ; et quidquid a quovis aut **555** recte aut probabiliter sibi propositum est, id ab ipsis habetur bonum. Itaque hos quoque student trahere in suam ipsorum perniciem, rati eorum nequitiam suam ipsorum defensionem esse, pravitatisque societatem, imminutionem criminum. Hi igitur C sunt omnino fugiendi, ut ne communicata animi peste noceant aliis, sed hi ipsi undelibet coerciti sero saltem ad bonum convertantur, pudore in illis pædagogi vices explente, atque virorum proborum odio ipsos de nequitiæ fuga admonente. Hoc enim docuit et Paulus, loquens de iis qui operi nulli incumbunt, sed agunt curiose : *Hunc*, inquit, *notate, et ne commisceamini cum illo, ut confundatur* [36]

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅτι κλήρου ἢ προστασίας ἀδελφῶν οὐδαμῶς ἐφίεσθαι προσήκει τὸν ἀσκητήν.

Κλήρου μέντοι, ἢ προστασίας ἀδελφῶν ἐφίεσθαι τὸν ἀσκητὴν οὐδαμῶς προσήκει (5). Διαβολικὸν γὰρ τὸ νόσημα, καὶ φιλαρχίας τὸ ἔγκλημα· ὅπερ τῆς ἀνωτάτω τοῦ διαβόλου πονηρίας (6) τὸ γνώρισμα. Κἀκεῖνος γὰρ ὑπὸ τούτου τοῦ πάθους εἰς τὸ τῆς ὑπερηφα-

CAPUT IX.

Quod non convenit, ut asceta cupiat unquam ingredi in clerum, aut fratribus præfici.

Cæterum nequaquam convenit, ut asceta cupiat unquam ingredi in clerum, aut fratribus præfici. D Nam diabolica ista pestis est, labesque libidinis dominandi : quæ res summæ diaboli nequitiæ insigne est. Nam et ille ab hoc vitio præceps actus

[36] II Thess. III, 14.

(99) Reg. tertius et editi πρὸς τὸ εὐθές. Alii mss. εὐθύ. Nec ita multo infra editi ἀλλὰ παρά, *verum, sed*. Veteres duo libri ἄλλα, *alia*. Alii duo præter Voss. ἄλλο, *aliud*. Subinde Colb. δόξαν ἅπασαν.

(1) Codex Colb. et Reg. tertius emendatus perinde ut editi κόπτεται. Alii tres mss. κόπτουσι.

(2) Editio Veneta et tres mss. συνδιανοούμενοι. Reg. quartus συνδιατιθέμενοι. Editiones Paris. et Basil. συνδονουμενοι.

(3) Vossii vetus liber τὴν λίχνην. Anquanto post duo mss. πολλοὺς δὲ καί. Alius ms. et editi πολλούς τε καί. Subinde codex Colb. cum Voss. κυβερνήσεως λογισμῶν.

(4) Codex Voss. et Colbertinus τὴν διαστροφὴν αὐτῶν, et ita quoque habent Regii duo codices emendati. Reg. quartus et editi τῆς διαστροφῆς αὐτῶν, haud recte. Mox duo mss. ἄλλους βλάψαιεν ἐν. Subinde codex Colb. πρὸς τὸ καλὸν ἐπιστρέψαντες.

(5) Vossii vetus liber οὐδαμῶς προσῆκον. Ibidem idem ms. cum Colb. γάρ ἐστι τὸ νόσημα.

(6) Codex Colb. διαβόλου πολιτείας. Mox duo mss. et editi εἰς τὸ περιφανὲς κατενήνεκται, *in ruinam conspicuam delapsus est*. Regii secundus et quartus ut in contextu, melius.

est in superbiæ lapsum : qui autem hoc morbo A corripitur, perinde atque ille ægrotat. Deinde vero quos occupat morbus ille, eos invidos, contentiosos, accusatores, impudentes, calumniatores, assentatores, molitores, et præter decorum humiles, illiberales, arrogantes, ac innumeris turbis refertos efficit. Invidet enim qui ejusmodi est, viris claris, eosque calumniatur : imo etiam plerumque eorum mortem exoptabit, ut, hominibus qui ad opus idonei sunt, deficientibus, suffragia ad se devolvantur. Itidem penes quos est sortitio electioque, iis adulabitur, ob idque habebit animum servilem : at vero adversus inferiores, si adversentur, superbe ac insolenter invehitur. Dolos igitur consuet, turbis ac suspicionibus innumeris futurus est obnoxius, animique dissolvet tran- B quillitatem, prætereaque Deus pacis fugabitur, utpote cui locus non sit quiescendi. Cognito itaque detrimento, hanc absurdam cupidinem fugiamus. Quod si Deus aliquando eligat quempiam ad ejusmodi munera, novit, cum sit industrius ac sagax, quemadmodum ipsum etiam præstiturus sit dignum : nos autem conscii esse debemus nobismetipsis, nunquam nos aliquid tale appetivisse, neque ullo modo ejusmodi desiderium in animo habuisse. Nam et hic animæ morbus ravissimus est, et facit, ut a bonis excidamus.

νίας κατενήνεκται πτῶμα· καὶ ὁ τούτῳ τῷ πάθει κρατούμενος τὰ ἴσα ἐκείνῳ νοσεῖ. Ἔπειτα δὲ καὶ βασκάνους, καὶ φιλονείκους, καὶ κατηγόρους, καὶ ἀναισχύντους, καὶ διαβόλους, καὶ κόλακας, καὶ κατασκευαστὰς, καὶ παρὰ τὸ προσῆκον (7) ταπεινοὺς, καὶ δουλοπρεπεῖς, καὶ ἀλαζόνας, καὶ μυρίας ταραχῆς γέμοντας, τοῦτο τὸ πάθος τοὺς ἑαλωκότας ἐργάζεται. Ὁ γὰρ τοιοῦτος βασκαίνει τοῖς ἀξίοις, καὶ διαβάλλει τούτους· εὔξεται δὲ πολλάκις αὐτῶν καὶ τὸν θάνατον, ὡς ἀπορίᾳ τῶν πρὸς τὸ ἔργον ἐπιτηδείων ἐπ' αὐτὸν τὰς ψήφους ἐλθεῖν. Κολακεύσει τε τοὺς δοῦναι κυρίους τὸν κλῆρον, καὶ διὰ τοῦτο δουλοπρεπὴς ἔσται· θρασύνεται (8) δὲ κατὰ τῶν ἐλαττόνων, εἰ ἀντιπίπτοιεν. Δόλους οὖν συῤῥάψει· ταραχὰς καὶ ὑπονοίας μυρίας ἕξει· καὶ τὴν γαλήνην τῆς ψυχῆς καταλύσει· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἀπελαθήσεται, οὐκ ἔχων ὅπου προσαναπαύσεται. Γνόντες οὖν τὴν ζημίαν, φύγωμεν τῆς ἐπιθυμίας τὸ ἄτοπον. Εἰ δέ που Θεός τινα πρὸς τὰ τοιαῦτα ψηφίσαιτο, οἶδεν ὁ εὐμήχανος ὅπως καὶ παρέξει τὸν ἄξιον (9)· ἡμῶν μηδαμοῦ συνειδότων ἑαυτοῖς ἐσπουδακόσι περὶ τὸ τοιοῦτον, ἢ ὅλως τὴν ἐπιθυμίαν ἐν τῇ ψυχῇ περιέχειν. Νόσημα γὰρ καὶ τοῦτο ψυχῆς χαλεπώτατον, καὶ ἔκπτωσις τῶν καλῶν.

CAPUT X.

556 *Quod non convenit bona æmulari, vanæ gloriæ causa.*

C 1. Fugienda est quam maxime inanis gloria, quæ nos non ante labores a suscipiendo labore deterret (siquidem levius hoc esset malum), sed coronis spoliat post labores. Est autem difficilis expugnatu illa salutis nostræ insidiatrix, cum locet nobis insidias vel in ipsis cœli orbibus, virtutesque, quarum caudex ad cœlum usque pertingit, dejicere ac deturbare contendat. Ubi enim viderit pietatis mercatorem omnigenis virtutum mercibus onerariam mentis navem implevisse, tunc excitata sua tempestate, evertere ac submergere navem conatur. Cum enim mentem ejus, qui ad regnum supernum navigat, eo adduxit, ut ad infernas res et ad glorias humanas respiciat, tum demum omnibus animæ divitiis ceu D flatu repentino dissipatis, fundamentisque virtutum in terram dejectis, labores ad cœlum usque porrectos diruit ; quandoquidem facit ut mercedem ab hominibus ob exantlatos labores exposcamus nos, quos tamen oportebat ad Deum solum respicere, eique nostra recte facta recondere, ab illo solo pro merito præmia accipere. Nos vero, quoniam malumus ob hominum gloriam bona

ΚΕΦΑΛΑΙΟΝ Γ'

Ὅτι οὐ χρὴ πρὸς κενοδοξίαν βλέποντα ζηλοῦν τὰ καλά.

1. Κενοδοξίαν ὅτι μάλιστα φεύγειν προσήκει τὴν οὐ πρὸ τῶν πόνων τοῦ πονεῖν ἀφιστῶσαν (ἦν γὰρ ἂν τὸ κακὸν ἔλαττον), ἀλλὰ μετὰ τοὺς πόνους τῶν στεφάνων ἀποσυλῶσαν, τὴν δυσάλωτον τῆς ἡμετέρας σωτηρίας ἐπίβουλον, τὴν πρὸς ταῖς οὐρανίαις ἁψῖσι τοὺς καθ' ἡμῶν λόχους ἱδρύουσαν, καὶ τὰς μέχρις (10) οὐρανῶν στελεχωθείσας ἀρετὰς καταβαλεῖν φιλονεικοῦσαν. Ἐπειδὰν γὰρ ἴδῃ τὸν τῆς εὐσεβείας ἔμπορον παντοδαποῖς ἀγωγίμοις ἀρετῶν τὴν φορτίδα τῆς διανοίας πληρώσαντα, τότε, τὴν ἑαυτῆς καταιγίδα κινήσασα, περιτρέπειν καὶ ὑποβρύχιον ἄγειν τὸ σκάφος διαγωνίζεται. Τὴν γὰρ διάνοιαν τοῦ τῆς ἄνω βασιλείας πλωτῆρος πρὸς τὰ κάτω καὶ τὰς ἀνθρωπίνας δόξας ὁρᾷν ἀναπείσασα, ἅπαντα τὸν πλοῦτον τῆς ψυχῆς αἰφνίδιον ἐξεφύσησε, καὶ τοὺς θεμελίους τῶν ἀρετῶν ὑποσύρασα ἐπὶ γῆν, οὐρανομήκεις πόνους κατήνεγκε, τὸν ἐπὶ τοῖς πεπονημένοις μισθὸν παρὰ ἀνθρώπων (11) αἰτεῖσθαι παρασκευάσασα, οὓς ἔδει πρὸς τὸν Θεὸν μόνον βλέποντας, καὶ τούτῳ τὰ ἡμέτερα κατορθώματα ταμιεύοντας, παρ' ἐκείνου μόνου ἀξίως κομίζεσθαι. Ἡμεῖς δὲ, τοῦ διὰ Θεὸν ἐσπουδακέναι τὰ καλὰ τὸ διὰ ἀνθρώπων δόξαν ἐνεργεῖν προτιμήσαντες, παρ' ἐκείνων

(7) Codex Voss. κατὰ τὸ μὴ προσῆκον. Aliquanto post ms. Colb. μυρίων ταραχῶν.

(8) Regii secundus et quartus θρασυνεῖται, *insolenter se geret*. Ibidem codex Colb. δὲ καί.

(9) Regii duo codices ψηφίσεται... ὅπως καὶ προάξοι τὸν ἄξιον, *eum qui dignus est, promovebit*. Nec ita multo infra codex Colb. περὶ τῶν τοιούτων.

(10) Veteres aliquot libri καὶ τὰς μέχρις. Deest articulus in vulgatis. Mox Reg. primus ἀρετὰς καταβάλλειν.

(11) Unus ms. et editi παρὰ ἀνθρώποις. Alii duo mss. cum Voss. ἀνθρώπων. Aliquanto post duo mss. κατορθώματα ταμιεύσαντας.

τε τὸν (12) διάκενον τῆς εὐφημίας μισθὸν ἀπαιτοῦντες, εἰκότως καὶ δικαίως τῶν θείων ἀμοιβῶν ἀποπίπτομεν, οὐ τῷ Θεῷ πονοῦντες, ἀλλὰ τοῖς ἀνθρώποις ἑαυτοὺς ἐργατεύοντες· παρ' ὧν τὴν ζημίαν τῶν μισθῶν ἀντὶ μισθῶν κομιζόμενοι, τί καὶ παρὰ Θεοῦ ἀπαιτήσωμεν, ᾧ οὐδὲν ἐργάσασθαι προειλόμεθα; Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἄκουσον τοῦ ἱεροῦ Εὐαγγελίου λέγοντος, περὶ τῶν διὰ ἀνθρώπους τὰ καλὰ δρώντων· *Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν.*

2. Φύγωμεν οὖν κενοδοξίαν, τὸν γλυκὺν σκυλευτὴν τοῦ πνευματικοῦ πλούτου, τὸν ἡδὺν τῶν ἡμετέρων ψυχῶν πολέμιον, τὸν σῆτα τῶν ἀρετῶν, τὸν μεθ' ἡδονῆς τὰ ἡμέτερα καλὰ ληιζόμενον, τὸν μέλιτι χρίσαντα (13) τῆς οἰκείας ἀπάτης τὸ δηλητήριον, καὶ ταῖς διανοίαις τῶν ἀνθρώπων τὴν ὀλεθρίαν ὀρέγοντα κύλικα, ἵνα, οἶμαι, τοῦ πάθους ἐμφορηθῶσιν ἀπλήστως. Γλυκὺ γὰρ ἀνθρωπίνη δόξα τοῖς ἀπαιδεύτοις. Ἄλλως δὲ καὶ κρίσεως ὀρθῆς εὐκόλως ἁμαρτάνειν τοὺς ἁλόντας παρασκευάζει. Ὁ γὰρ ταύτης ἐφιέμενος τὰς μὲν οἰκείας κρίσεις κατέλυσε (14)· τοῦτο δὲ νενόμικε τίμιον, ὅπερ ἂν παρὰ τῶν προστυχόντων θαυμάζηται. Ὡς, εἴγε, πονηροὶ ὄντες ἢ ἀλόγιστοι, θαυμάζοιεν τὰ κακὰ, τοῦτο δράσει πάντως ὁ ἐπαινούμενος, ὅπερ τοὺς κριτὰς τῶν οἰκείων ἐπιτηδευμάτων καλὸν ὑπειληφέναι νενόμικεν· ὡς εἶναι τὴν κενοδοξίαν οὐ μόνον καθαιρέτιν (15) τῶν καλῶν πράξεων, ἀλλὰ καὶ τῶν πονηρῶν ὁδηγόν. Διὸ δὴ προσήκει, πρὸς τὸν ὀρθὸν λόγον, καὶ πρὸς τὸν Θεὸν βλέποντας τὸν τοῦ ὀρθοῦ λόγου καθηγητὴν, ταύτῃ βαδίζειν (16), ἧπερ ἂν ὁ Θεὸς ὑφηγῆται· κἂν ἐπαινῶσί (17) τινες τὴν τοιαύτην ὁδὸν, μὴ μέγα τιθέναι τὸν ἐκείνων ἔπαινον, πρὸς τὸν ἄνωθεν ἐπαινέτην ὁρῶντας, συγχαίρειν δὲ μόνον αὐτοῖς τῆς ὀρθῆς περὶ τὰ καλὰ κρίσεως· κἂν ψέγωσιν ἕτεροι, μηδαμῶς καταδύεσθαι, ταλανίζειν δὲ ἐκείνους τοὺς ὀρθῆς κρίσεως ἀμοιροῦντας, καὶ σκότος διανοίας τὸ δεινότατον ὑπομένοντας.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ εὐκαιρίας λόγων.

Ταῦτα μὲν οὖν τὰ κεφαλαιώδη τῶν κατορθωμάτων, ἅπερ οὐ πρὸς τὸ μέγεθος τῆς οἰκείας ἀρετῆς διηγόρευται, πρὸς δὲ τὸ μέτρον τῆς ἡμετέρας δυνάμεως· τὰς μέντοιγε καθεξῆς ἀρετὰς, ὅσαι τὸ πρόχειρον ἦθος ἐπικοσμοῦσι, ῥᾴδιον οἶμαι κατιδεῖν ἅπασιν, οἷον λόγων εὐκαιρίαν καὶ πρὸς τὸ χρήσιμον προφοράν. Χρήσιμον δ' ἂν εἴη ἢ τὸ περὶ ἀρετῆς ἐν

A opera peragere, quam eis Dei causa incumbere, idcirco inani laudis mercede ab illis efflagitata, jure ac merito excidimus a divinis remunerationibus, non laborantes Deo, sed hominibus nosmetipsos operarios locantes: a quibus si semel præmiorum jacturam pro præmiis receperimus, quid jam a Deo exposcere possumus, cujus gratia nihil unquam agendum nobis proposuimus? Id autem verum esse disce ex sacro Evangelio, quod de iis qui hominum ergo faciunt bona, ait: *Amen dico vobis, recipiunt mercedem suam* [37].

2. Agedum fugiamus vanam gloriam, dulcem illum spiritualium divitiarum prædonem, jucundum animarum nostrarum hostem, virtutum tineam, non injucunde bona nostra diripientem:
B quæ fraudis suæ venenum melle illinit, porrigitque exitiosum poculum mentibus hominum, ut hoc vitio, opinor, inexplebiliter imbuantur. Nam dulce quiddam est imperitis humana gloria. Accedit etiam, quod quos subegit, eos nullo negotio a recto judicio inducat in errorem. Qui enim illius tenetur desiderio, is ut evertit sua cogitata ac judicia, ita quidquid plebeculæ est admirationi, id existimat eximium. Quo fit ut si pravi quidam sint aut temerarii qui quæ mala sunt admirentur, necessario ea quæ a studiorum suorum judicibus in bonis poni crediderit, facturus sit, qui laudari se cupit; sic, ut inanis **557** gloria non exstirpet modo bonas actiones, sed ad malas etiam
C conducat. Par est igitur oculis in rectam rationem et in Deum rectæ rationis moderatorem conjectis, hoc itineris ingredi, quo Deus præit ducitque. Sive autem laudent nonnulli hujusmodi viam, non oportet eorum laudem magni facere, erectis in supernum laudatorem oculis, sed ipsis duntaxat de recto circa bona judicio gratulari: sive vituperent alii, nequaquam convenit regredi, at misereri eorum, quod veri judicii sunt expertes, et in gravissimis mentis tenebris jaceant.

CAPUT XI.

De idoneo ad loquendum tempore.

Hæc quidem præcipua sunt officia, quæ non pro suæ præstantiæ magnitudine, sed pro modo facultatis nostræ explicata sunt: quæ vero sequuntur
D virtutes, quæ vulgares mores exornant, eæ, opinor, facile in omnium veniunt conspectum, velut est loquendi opportunitas, et utilis verborum prolatio. Utile autem fuerit, aut de virtute opportune

[37] Matth. vi, 5.

(12) Veteres duo libri ἐκείνων τε τόν. Alii duo ἐκείνων δὲ τόν. Editi ἐκείνων τόν. Ibidem Regii secundus et quartus δίκαιον τῆς εὐφημίας.

(13) Reg. quartus μέλιτι χρίσαντα, et ita quoque scriptum invenitur in Reg. secundo, sed secunda duntaxat manu. Alius ms. et editi χρώσαντα, non ita recte.

(14) Editi καταλύσειεν. Unus ms. καταλύσει. Alii tres præter Voss. κατέλυσε.

(15) Codex Colb. et Reg. quartus μόνον καθαιρέτιν, et ita quoque habent alii duo mss., sed solum secunda manu. Nec audiendus Combefisius, qui legi ait in suis codicibus, καθαίρετον, cum et in his quoque scriptum sit καθαιρέτιν. Editio Paris. καθαιρέτην. Mox unus ms. ἀλλὰ γὰρ καί.

(16) Codex Colb. ταύτην βαδίζειν ἦν.

(17) Veteres aliquot libri ἐπαινῶσι. Editi ἐπαινοῦσι. Nec ita multo post codex Colb. μὴ μέγα τίθεσθαι. Reg. primus et Voss. μὴ μετατίθεσθαι, corrupte.

disserere, aut necessitate instante ac urgente verba facere, aut etiam omnino loqui ad audientium ædificationem; reliquos vero sermones velut superfluos ac vanos reprobare.

CAPUT XII.

Quod non convenit ascetam facetias sectari.

Operæ pretium est abstinere a facetiis omnibus. Contingit enim plerumque, ut qui talibus occupantur, a recta ratione aberrent, animo effundente se ad risum movendum, et prudentiæ cogitationem ac vim destruente. Sæpe autem hoc malum sensim procedens, postremo desinit in verborum obscenitatem et in extremas ineptias, adeo ut animi vigilantia, ejusque in facetias diffusio nunquam simul cohæreant. Quod si opus aliquando fuerit oblectamento verborum ut tristitia paululum remittatur, sit sermo vester refertus spirituali lepore, et evangelico sale conditus; ut gratum interni cujusdam ac sapientis consilii afferat odorem, dupliciterque auditorem exhilaret, et animi relaxatione, et prudentiæ gratia.

CAPUT XIII.

De mansuetudine, et quomodo charitas constituatur.

Oportet ascetam quam maxime plenum esse mansuetudine, quandoquidem spiritus mansuetudinis vel particeps jam factus est, vel fieri se participem cupit. Convenit autem hospitem hujus ei, qui hospitio excipitur, **558** similem esse. Quod si opus etiam aliquando fuerit indignatione adversus socordem, qui scilicet sit nobis subditus, ratione temperetur indignatio. Etenim ut homicidæ gladiis utuntur, ita utuntur et medici. Verum illi, quod ex ira et crudelitate ensem in manus sumunt, patrant facinora omnium scelestissima, cum eos qui ejusdem generis sunt, interimant: hi vero, quod ratione gladium admovent, maximam hinc afferunt utilitatem: quippe qui periclitantibus salutem conferant. Hunc ad modum et qui novit cum ratione indignari, ei magnopere prodest, cui indignatus est, cum ejus segnitiem, aut nequitiam corrigat: qui vero iræ vitio victus est, nihil peragit sani. Quod autem et eos qui mansuetudinem excolunt, deceat opportuna indignatio, hinc planum perspicuumque efficitur. Moyses enim qui hominum omnium mansuetissimus fuisse perhibetur [38], ubi ita temporis ratio poscere visa est, indignatus est, eoque processit concitationis, ut finierit indignationem tribulium

A καιρῷ διαλέγεσθαι, ἢ τὸ πρὸς τὴν (18) ἐνεστῶσαν καὶ κατεπείγουσαν χρείαν τοὺς λόγους ποιεῖσθαι, ἢ καὶ ὅλως πρὸς τὴν τῶν ἀκουόντων οἰκοδομήν· τοὺς δὲ λοιποὺς ὡς περιττοὺς καὶ ἀνωφελεῖς παραιτεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ὅτι οὐ χρὴ πρὸς εὐτραπελίαν (19) βλέπειν τὸν ἀσκητήν.

Εὐτραπελίας ἀπάσης ἀπέχεσθαι προσήκει. Πολλὰ γὰρ συμβαίνει τοὺς περὶ τὰ τοιαῦτα ἀσχολουμένους τοῦ ὀρθοῦ λόγου διαμαρτάνειν, τῆς ψυχῆς πρὸς γελοιασμὸν διαχεομένης, καὶ τὸ τῆς φρονήσεως σύννουν καὶ πεπυκνωμένον καταλυούσης. Πολλάκις δὲ τὸ κακὸν ὁδῷ βαδίζον καὶ εἰς αἰσχρολογίαν καὶ ἀτοπίαν τὴν ἐσχάτην κατέλυσεν, ὡς μὴ συμβαίνειν κατὰ ταυτὸν ψυχῆς νῆψιν καὶ εὐτραπελίας διάχυσιν. Εἰ B δέ που καὶ δέοι, ὥστε μικρὸν ὑπανεῖναι τὸ σκυθρωπὸν, διὰ τῶν λόγων φαιδρύνεσθαι, ἔστω ὁ λόγος ὑμῶν χάριτος γέμων πνευματικῆς, καὶ τῷ εὐαγγελικῷ ἅλατι ἠρτυμένος, ἵνα τῆς ἔνδοθεν (20) σοφῆς οἰκονομίας τὴν εὐωδίαν ἐπιφέρηται, καὶ διπλῶς εὐφραίνῃ τὸν ἀκροατὴν, τῇ τε ἀνέσει τῇ τε τῆς συνέσεως χάριτι.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ πραότητος, καὶ τίνα τρόπον ἀγάπη συνίσταται (21).

Πραότητος δεῖ ὅτι μάλιστα ἔμπλεον εἶναι τὸν ἀσκητήν· ἐπειδὴ τοῦ πνεύματος τῆς πραότητος ἢ μετέσχηκεν, ἢ μετασχεῖν ἐφίεται. Καὶ προσήκει τὸν τούτου ξενιστὴν τῷ ξενιζομένῳ προσεοικέναι. Εἰ δέ C που καὶ ἀγανακτήσεως δέοι κατὰ τοῦ ῥαθυμοῦντος ὑφ' ἡμῖν δηλαδὴ τεταγμένου, ἔστω λογισμῷ κεκραμένη ἡ ἀγανάκτησις. Καὶ γὰρ ξίφεσι κέχρηνται μὲν καὶ ἀνδροφόνοι, κέχρηνται δὲ καὶ ἰατρῶν παῖδες. Ἀλλ' οἱ μὲν, ἐπειδὴ ὀργῇ καὶ ὠμότητι τὸ ξίφος διαχειρίζονται, τὰ πάντων ἀτοπώτατα δρῶσι, τοὺς ὁμογενεῖς διαχρώμενοι· οἱ δὲ, ἐπειδὴ λογισμῷ πρὸς τὴν διὰ ξίφους (22) ἐνέργειαν ἀφικνοῦνται, τὰ μέγιστα ἐντεῦθεν ὠφελοῦσι· τοὺς γὰρ κινδυνεύοντας περισώζουσιν. Οὕτω καὶ ὁ σὺν λόγῳ διαγανακτεῖν ἐγνωκὼς ὤνησε τὰ (23) μεγάλα τοῦτον, καθ' οὗ ἐποιήσατο τὴν ἀγανάκτησιν, ῥαθυμίαν ἢ πονηρίαν ἐπανορθούμενος· ὁ δὲ ὀργῆς πάθει κεκρατημένος οὐδὲν ὑγιὲς ἀπεργάζεται. Ὅτι δὲ καὶ τοῖς πραότητος (24) ἐπιμελουμένοις πρέπει ἡ εὔκαιρος ἀγανά- D κτησις, δῆλον ἐντεῦθεν. Καὶ γὰρ Μωϋσῆς, πραότατος πάντων ἀνθρώπων μαρτυρηθεὶς, τοῦ καιροῦ καλοῦντος, διηγανάκτησε, καὶ εἰς τοσοῦτον προὔβη (25) κινήσεως, ὥστε φόνῳ τῶν ὁμοφύλων ὁρίσαι τὴν ἀγανάκτησιν· τοῦτο μὲν, ἡνίκα τὸν μόσχον ἐτέκταινον, τοῦτο δὲ, ὁπότε τῷ Βεελφεγὼρ ἐμιάνθησαν. Ὥστε

[38] Num. XII, 3.

(18) Editi ἢ πρὸς τήν. At duo mss. ἢ τὸ πρὸς τήν.

(19) Reg. tertius et editi πρὸς εὐτραπελίας. Alii tres mss. πρὸς εὐτραπελίαν. Aliquanto post unus ms. perinde ut editi Πολλοὺς γάρ. Alii duo Πολλὰ γάρ.

(20) Codex Colb. τῆς ἔνδον. Haud longe aliquot mss. εὐφραίνῃ. Editi εὐφραίνει.

(21) Veteres duo libri simpliciter καὶ τίνα τρόπον συνίσταται. Aliquanto post tres mss. præter Voss. ἢ μετέσχηκεν. Alius ms. et editi μετέσχεν.

(22) Codex Colb. διὰ ξιφῶν.

(23) Veteres quatuor libri cum Voss. ὤνησε τά. Editi εὐώνησε. Mox codex Colb. καθ' οὗ ποιεῖται.

(24) Unus ms. et editi καὶ τῆς πραότητος. Alii tres καὶ τοῖς πρ.

(25) Editi προέβη. At mss. quatuor προὔβη. Statim codex Colb. ἐτέκταιναν.

ἔνι, καὶ πρᾶον ὄντα, σὺν λόγῳ διαθερμαίνεσθαι, καὶ τὸ τῆς πραότητος μὴ διαφθείρειν καλόν. Τὸ δὲ ἀκίνητον μένειν, ἢ δεόντως μὴ ἀγανακτεῖν (26), ἀργίας τῆς φύσεως, οὐ πραότητος ἂν εἴη. Τῇ δὲ πραότητι πέφυκέ πως καὶ τὸ ἀνεξίκακον ἕπεσθαι. Πραότης γὰρ ἀνεξικακίας μήτηρ. Οὐδὲν δὲ ἧττον τοῖς κατὰ ἀλήθειαν πραέσιν, ἀλλὰ μὴ βαρύτητι πεπληγμένοις (27) τὸ ἦθος, καὶ τὸ χρηστὸν συγκέκραται. Χρηστότης γὰρ ὕλη πραότητος. Ταῦτα δὲ, συγκιρνώμενα ἀλλήλοις καὶ συντιθέμενα, τὸ κράτιστον τῶν ἀρετῶν τὴν ἀγάπην ἀποτελεῖ.

A cæde; hocque tum, cum conflassent vitulum [39]: tum etiam, cum se per Beelphegor inquinassent [40]. Quare potest etiam mansuetus cum ratione excandescere, nec tamen mansuetudinis dignitatem corrumpere. Nam nullo modo commoveri, aut tempestive non indignari, lentitudo fuerit naturæ, non mansuetudo. Atque etiam patientia solet, nescio quomodo, lenitatem sequi. Lenitas enim mater est patientiæ. Cæterum nihilominus in iis qui vere mansueti sunt, nec habent mores severitate attritos ac vitiatos, permista est etiam benignitas. Etenim mansuetudinis materia benignitas est. Hæc autem inter se permista ac conjuncta, præstantissimam virtutum charitatem efficiunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ φρονήσεως.

Πάντων μέντοι τῶν πραττομένων φρόνησιν ἡγεῖσθαι προσήκει. Φρονήσεως γὰρ δίχα πᾶν ὅ τι, κἂν καλὸν εἶναι δοκῇ, εἰς κακίαν διὰ τῆς ἀκαιρίας καὶ τῆς ἀμετρίας μετέπεσε. Λόγου δὲ καὶ φρονήσεως τοῖς ἀγαθοῖς τὸν καιρὸν καὶ τὸ μέτρον ὁρίζοντος, θαυμαστόν τι τὸ τῆς χρήσεως αὐτῶν κέρδος τοῖς τε διδοῦσι καὶ τοῖς λαμβάνουσι γίνεται.

CAPUT XIV.

B *De prudentia.*

Cæterum in omnibus quæ suscipiuntur rebus antecedere prudentia debet. Nam citra prudentiam omnia etiam quæ videntur esse bona, ob adversum tempus et ob immoderationem vertuntur in vitium: sed si ratio et prudentia tempus ac modum rebus bonis præscribat, mirabile quoddam emolumentum ex ipsarum usu tum a dantibus, tum ab accipientibus percipitur.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ πίστεως καὶ ἐλπίδος.

Πάντων μέντοι τῶν ἐγχειρημάτων ἡγείσθω πίστις ἡ εἰς Θεὸν, καὶ συνεπέσθω τὸ εὔελπι, ἵνα τῇ μὲν πίστει (28) δύναμιν τῆς ψυχῆς ἐρειδώμεθα, τῇ δὲ εὐελπιστίᾳ πρὸς τὰ καλὰ προθυμώμεθα. Οὐδὲ γὰρ ἡ περὶ τὰ καλὰ τῶν ἀνθρώπων ἐγχείρησις δίχα τῆς ἄνωθεν βοηθείας τελειωθήσεται· οὐδὲ ἡ ἄνωθεν χάρις ἐπὶ τὸν μὴ σπουδάζοντα παραγένοιτ' ἄν· ἀλλ' ἑκάτερα συγκεκρᾶσθαι προσήκει, σπουδήν τε ἀνθρωπίνην καὶ τὴν διὰ τῆς πίστεως ἄνωθεν καθήκουσαν συμμαχίαν εἰς τελείωσιν ἀρετῆς.

CAPUT XV.

De fide et spe

Atqui res omnes quas aggredimur, præcedat fides in Deum, comiteturque spes bona, ut animæ quidem vires fulciamus per fidem, per bonam vero spem reddamur ad bona alacres. Neque enim ullus C hominum in rebus bonis conatus absque superna ope fiet: neque accessura unquam est superna gratia ad **559** hominem non studiosum; sed ad perfectum virtutis cumulum conjuncta simul esse utraque hæc oportet, et humanum studium, et cœleste auxilium per fidem e supernis accersitum.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Περὶ ταπεινοφροσύνης.

Ἐπὶ πᾶσι μέντοι τοῖς παρ' ἡμῶν κατορθουμένοις ἡ ψυχὴ τῆς κατορθώσεως τὰς αἰτίας ἐπὶ τὸν Δεσπότην ἀναφερέτω, μηδὲν ὅλως κατορθοῦν ἐξ οἰκείας λογιζομένη δυνάμεως (29). Ἡ γὰρ τοιαύτη διάθεσις τὴν ταπεινοφροσύνην ἡμῖν ἐμποιεῖν πέφυκε. Ταπεινοφροσύνη δὲ θησαυροφυλάκιον ἀρετῶν. Ταῦτά σοι παρ' ἡμῶν, ὡς ἄν τις εἴποι, σπέρματα τῶν περὶ ἀρετῆς λόγων· σὺ δὲ, λαβὼν ἐντεῦθεν, πολύχουν ἡμῖν ἔργασαι τὸν καρπὸν, καὶ πλήρου τὸν τῆς Σοφίας λόγον, τὸν διδόναι κελεύοντα τοῖς σοφοῖς ἀφορμὰς, ἵνα σοφώτεροι γένωνται.

CAPUT XVI.

De humilitate.

Atqui in omnibus quæ recte a nobis fiunt, animus causas rectæ actionis referat Domino acceptas, nihil omnino suis se viribus recte facere ratus. Ejusmodi enim affectus solet humilitatem in nobis ingenerare. Virtutum autem ærarium humilitas est. Hæc tibi, ut ita dicam, a nobis proponuntur ceu D quædam sermonum ad virtutem spectantium semina: tu vero his hinc acceptis, multiplicem nobis fructum profer, et exple hoc Sapientiæ dictum, quod sapientibus jubet occasiones dari, ut sapientiores fiant [41].

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Κατὰ πόσους τρόπους οἱ πονηροὶ λογισμοὶ ἐν ψυχῇ συνίστανται.

1. Ἐπειδὴ δὲ φθάσαντες (30) μὲν ἤδη τὰ περὶ τῶν

CAPUT XVII.

Quot modis malæ in animo cogitationes nascantur.

1. Cum autem jam antea disputaverimus de co-

[39] Exod. XXXII, 27. [40] Num. XXV, 5. [41] Prov. IX, 9.

(26) Unus ms. cum Voss. μένειν ὅτε δέον ἀγανακτεῖν. Ibidem duo mss. ἀργία φύσεως. Reg. secundus ἀργίας. Editi ἀρνίας. Subinde duo mss. ἂν εἴη. Editi ἂν ᾖ.

(27) Codex Colb. βαρύτητι πεπειλημένοις [sic].

(28) Vocem πίστει addidimus ex libris veteribus.

(29) Codex Colb. λογιζομένη διανοίας.

(30) Veteres tres libri Ἐπειδὴ καὶ φθάσαντες. Haud longe codex Colb. οὐ διειλάμεθα.

gitationibus, neque tamen quot modis cogitationes pravæ in recto intellectu exoriantur, distinxerimus, id quoque nunc adjiciendum esse censuimus, ut perfectissima sit hujus partis tractatio. Duobus igitur modis intellectum rectum infestant turpes cogitationes, cum aut animus ex sua ipsius oscitantia in ea, quæ non decent, vagus fertur, inciditque ex imaginationibus in absurdas imaginationes, aut cum diabolus insidiose conatur menti res ineptas objicere, eamque a rerum laudabilium contemplatione considerationeque avocare. Cum igitur animus, attentione ac contentione mentis remissa, obvias rerum etiam vulgarium memorias semel susceperit, tunc intellectus inscite imprudenterque in eas res, quæ sic in memoria hærent, præceps actus, in eisque diutius occupatus, ex erroribus in longos errores transit, ac tandem sæpenumero in turpissimas atque flagitiosissimas cogitationes delabitur. Oportet autem ejusmodi animi incuriam ac effusionem densiore et coarctiore mentis applicatione emendare, mentemque reducere, et eam bonorum contemplatione ad aliquam rem præsentem jugiter appellere.

2. Cum autem diabolus insidiari aggreditur, conaturque vehementer admodum suscitatas a se cogitationes velut ignita quædam spicula in quietum ac pacatum animum intorquere, eumque derepente incendere, et immissarum semel specierum memorias diuturnas ac tenaces efficere, **560** tunc vigilantia quadam et attentione fortiore insidias hujusmodi vitare debemus, non secus ac athleta aliquis custodia quadam diligentissima et corporis agilitate non sinit apprehendi se ab adversariis; et de cætero precationi et superni præsidii invocationi prorsus belli cessatio et telorum declinatio tribuendæ sunt. Hoc enim nos docuit Paulus, cum dixit: *In omnibus sumentes scutum fidei, in quo possitis omnia tela nequissimi ignea exstinguere* [12]. Etsi igitur etiam inter orandum suggerat pravas imaginationes, ne desistat animus ab orando, neque pravum illud hostis semen, aut imaginationes a versipelli illo præstigiatore suscitatas putet suam ipsius agriculturam esse, sed illud secum cogitans, ab impudente illo nequitiæ inventore absurdarum cogitationum speciem imprimi, insistat intentius precationi, rogetque Deum, ut malum illud munimen ab ineptarum cogitationum memoria exstru-

A λογισμῶν ἐξητάσαμεν, οὐ διειλόμεθα δὲ κατὰ πόσους τρόπους αἱ πονηραὶ ἔννοιαι τοῖς ὀρθοῖς λογισμοῖς ἐπιφύονται, νῦν καὶ τοῦτο προσθεῖναι ἐδικαιώσαμεν, ὥστε εἶναι τελειοτάτην τὴν τοῦ μέρους ἐξέτασιν. Δύο τοίνυν τρόποι, καθ' οὓς αἱ ἀπρεπεῖς ἔννοιαι παρενοχλοῦσι τοῖς ὀρθοῖς λογισμοῖς· ἢ τῆς ψυχῆς κατ' οἰκείαν ὀλιγωρίαν περὶ τὰ (31) μὴ προσήκοντα πλανωμένης, καὶ φαντασίαις ἐκ φαντασιῶν ἀλογίστοις ἐντυγχανούσης, ἢ κατ' ἐπιβουλὴν τοῦ διαβόλου πειρωμένου πραγμάτων ἀτοπίας ὑποφαίνειν τῇ διανοίᾳ, καὶ ταύτην ἀπάγειν τῆς τῶν ἐπαινετῶν θεωρίας καὶ διασκέψεως. Ὅταν μὲν οὖν ἡ ψυχὴ, τὸ πυκνὸν καὶ σύντονον τῆς διανοίας ὑποχαλάσασα, μνήμας τὰς προστυχούσας καὶ τῶν τυχόντων ἀναφέρῃ (32) πραγμάτων, τηνικαῦτα ὁ λογισμὸς, ἀπαιδεύ-

B τως καὶ ἀνεπιστημόνως πρὸς τὰ μνημονευθέντα τῶν πραγμάτων φερόμενος, τούτοις τε ἐπὶ πλεῖον ἐνασχολούμενος, πλάνους ἐκ πλάνων μεταβαίνει (33) μακροὺς, καὶ εἰς αἰσχρότητας πολλάκις καὶ ἀτοπίας ἐννοιῶν καταστρέφει τὸ τελευταῖον. Ἀλλὰ τὴν μὲν τοιαύτην ὀλιγωρίαν τῆς ψυχῆς καὶ διάχυσιν πυκνοτέρᾳ καὶ ἐπιστρεφεστέρᾳ τῇ τῆς διανοίας ἐπιστάσει διορθοῦσθαι καὶ ἐπανάγειν δεῖ, καὶ τῇ πρὸς τὸ παρὸν ἀεὶ περὶ τὰ καλὰ διασκέψει προσασχολεῖν.

2. Ὅταν δὲ ὁ διάβολος ἐπιβουλεύειν ἐπιχειρῇ, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ὥσπερ τινὰ βέλη πεπυρωμένα τοὺς παρ' αὐτοῦ (34) λογισμοὺς ἐνιέναι ἡσυχαζούσῃ καὶ ἠρεμούσῃ βιάζηται τῇ ψυχῇ, καὶ ταύτην αἰφνίδιον ἐμπιπρᾷν, καὶ χρονίας καὶ δυσεκλύτους τὰς μνήμας τῶν ἅπαξ ἐμβληθέντων ἐργάζε-

C σθαι· τηνικαῦτα νήψει καὶ προσεχείᾳ (35) συντονωτέρᾳ τὰς τοιαύτας ἐπιβουλὰς ὑπεξίστασθαι δεῖ, καθάπερ ἀθλητοῦ τινος ἀκριβεστάτῃ φυλακῇ καὶ τάχει σώματος τὰς λαβὰς τῶν ἀντιπάλων ἐκτρεπομένου· καὶ τὸ πᾶν τῇ προσευχῇ καὶ τῇ ἐπικλήσει τῆς ἄνωθεν συμμαχίας διδόναι τὴν τοῦ πολέμου (36) καθαίρεσιν καὶ τὴν τῶν τοξευμάτων ἀποτροπήν. Τοῦτο γὰρ ἡμᾶς ὁ Παῦλος ἐδίδαξε λέγων· *Ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι.* Κἂν τοίνυν ἐν αὐταῖς ταῖς προσευχαῖς ὑποβάλλῃ (37) τὰς πονηρὰς φαντασίας, μὴ ἀφιστάσθω ἡ ψυχὴ τοῦ προσεύχεσθαι, μηδὲ οἰέσθω οἰκεῖα εἶναι γεώργια τὰς πονηρὰς τοῦ ἐχθροῦ ἐπι-

D σπορὰς, καὶ τὰς τοῦ ποικίλου θαυματοποιοῦ φαντασίας· ἀλλὰ λογισαμένη τῇ ἀναιδείᾳ τοῦ τῆς πονηρίας εὑρετοῦ τὴν τῶν ἀτόπων ἐννοιῶν φαντασίαν γίνεσθαι, μᾶλλον (38) ἐπιτεινέτω τὴν πρόσπτωσιν, καὶ

[12] Ephes. vi, 7.

(31) Reg. secundus ολιγωριαν ἐπὶ τά. Aliquanto post Reg. primus ἀλογίστως ἐντυγχανούσης.

(32) Editi ἀναφέροι. At mss. tres ἀναφέρῃ. Nec ita multo infra Reg. primus καὶ τούτοις ἐπί.

(33) Veteres duo libri et editi μεταμείβει, male. Reg. primus et Colb. μεταβαίνει, recte. Aliquanto post unus ms. πυκνοτάτῃ καὶ ἐπιστρ.

(34) Unus ms. παρ' ἑαυτοῦ. Haud longe editi βιάζεται. At mss. nonnulli βιάζηται.

(35) Codex Colb. καὶ προσοχῇ συν.

(36) Veteres quinque libri τοῦ πολέμου. Editi τοῦ πολεμίου, *hostis cladem*, et ita legi oporteret, si vel unus ms. huic lectioni faveret. Nec ita multo infra mss. nonnulli ὁ Παῦλος. Articulus deerat in vulgatis.

(37) Editi ὑποβάλλει. At mss. nonnulli ὑποβάλλῃ. Alius ms. ὑποβάλῃ. Aliquanto post duo mss. ποικίλας αὐτοῦ φαντασίας.

(38) Unus ms. φαντασιαν, αὐτῇ μᾶλλον. Alii tres φαντασίαν, ταύτῃ μᾶλλον. Ibidem editi τὴν πρόπτωσιν. Libri antiqui πρόσπτωσιν. Haud longe duo mss. ἀποσκεδασθῆναι αὐτῇ.

ἱκετευέτω τὸν Θεὸν ἀποσκεδασθῆναι αὐτῷ τὸ πονηρὸν διατείχισμα τῆς τῶν ἀτόπων λογισμῶν μνήμης· ὥστε ἀπαρεμποδίστως τῇ (39) τῆς διανοίας ὁρμῇ, ἀχρόνως, καὶ ὀξυῤῥεπῶς, πρὸς τὸν Θεὸν διαβαίνειν, μηδαμοῦ ταῖς τῶν πονηρῶν ἐνθυμημάτων ἐφόδοις διακοπτόμενον. Εἰ δὲ καὶ ἐπιτείνοιτο ἡ τοιαύτη τῶν λογισμῶν ἐπήρεια διὰ τὴν τοῦ προσπολεμοῦντος ἀναίδειαν, οὐδὲ οὕτως ἀπαγορεύειν, οὐδὲ ἡμιέργους τοὺς ἀγῶνας καταλιμπάνειν προσήκει· ἀλλὰ μέχρι τοσούτου (40) καρτερεῖν, μέχρις ἂν ὁ Θεὸς, τὴν ἡμετέραν ἔνστασιν θεασάμενος, τὴν χάριν τοῦ Πνεύματος ἐπιλάμψῃ, τὸν μὲν ἐπίβουλον φυγαδεύουσαν, τὴν δὲ διάνοιαν ἡμῶν καθαίρουσαν, καὶ θείου φωτὸς ἐμπιπλῶσαν, καὶ ἀκυμάντῳ γαλήνῃ τὸν λογισμὸν τῷ Θεῷ λατρεύειν μετ' εὐφροσύνης παρέχουσαν.

B

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Πρὸς τοὺς ἐν κοινοβίῳ κανονικούς (41).

1. Περὶ μὲν οὖν τοῦ καθέκαστον ἀσκητοῦ, καὶ τοῦ τὸν μονήρη βίον ἀσπασαμένου, ἐν τοῖς ἔμπροσθεν, ὡς ἐνῆν, δεδηλώκαμεν· ὅπως, τήν τε ψυχὴν πρὸς τὸ καλὸν ἐξασκῶν, καὶ τὸ σῶμα πρὸς τὸ δέον οἰκονομῶν, δύναιτ' ἂν ἡμῖν τὸν ἀκριβῆ χαρακτηρίσαι φιλόσοφον· ἐπεὶ δὲ (42) οἱ πλεῖστοι τῶν ἀσκητῶν κατὰ συστήματα πολιτεύονται, ἀλλήλοις τὰ φρονήματα πρὸς ἀρετὴν παραθήγοντες, καὶ τῇ τῶν κατορθωμάτων ἀντιπαραθέσει παρορμῶντες ἑαυτοὺς ἐπὶ τὴν τοῦ καλοῦ προκοπὴν, δίκαιον ᾠήθημεν, καὶ τούτοις τὴν διὰ τῶν λόγων παράκλησιν εἰσενέγκασθαι. Χρὴ δὲ, πρότερον ἐγνωκότας αὐτοὺς, ὁπόσου καὶ πηλίκου C μεταποιοῦνται καλοῦ, οὕτω τὴν ἐπὶ τοῦτο (43) προτροπὴν ὑποδέξασθαι, ἵνα προθυμίαν καὶ σπουδὴν ἀξίαν τῆς τοῦ κατορθώματος ἀρετῆς ἐπιδείξωνται. Πρῶτον μὲν οὖν ἐπὶ (44) τὸ κατὰ φύσιν καλὸν ἐπανέρχονται, τὴν κοινωνίαν καὶ τὴν συνδιαίτησιν ἀσπαζόμενοι. Κοινωνίαν γὰρ βίου τελεωτάτην ἐγὼ καλῶ, ἐν ᾗ κτήσεως μὲν ἰδιότης ἐξώρισται, γνώμης δὲ ἐναντίωσις ἀπελήλαται, ταραχὴ δὲ πᾶσα, καὶ φιλονεικία, καὶ ἔριδες ἐκ ποδῶν ἑστήκασι· κοινὰ δὲ τὰ σύμπαντα, ψυχαὶ, γνῶμαι, σώματα, καὶ ὅσοις τὰ σώματα τρέφεται καὶ θεραπεύεται· κοινὸς ὁ Θεὸς, κοινὸν τὸ τῆς εὐσεβείας ἐμπόρευμα, κοινὴ ἡ σωτηρία, κοινὰ τὰ ἀγωνίσματα, κοινοὶ οἱ πόνοι, κοινοὶ οἱ στέφανοι (45), εἷς οἱ πολλοὶ, καὶ ὁ εἷς οὐ μόνος, ἀλλ' ἐν πλείοσι. D

2. Τί ταύτης (46) τῆς πολιτείας ἴσον; τί δὲ μακαριώτερον; τί τῆς συναφείας καὶ τῆς ἑνώσεως ἀκριβέστερον; τί τῆς τῶν ἠθῶν καὶ τῶν ψυχῶν συγκράσεως χαριέστερον; Ἄνθρωποι ἐκ διαφόρων

A ctum evertat, ut citra impedimentum, subito quodam mentis impulsu, nulla temporis mora interposita, festinanterque, ad Deum accedere possit, nusquam pravarum cogitationum insidiis alienatus. Quod si etiam augeatur talis cogitationum assultus propter adversarii impudentiam, non propterea abjicienda spes omnis, aut certamina relinqui debent imperfecta: sed eo usque perseverandum, quoad Deus conspecta nostra perseverantia nos gratia Spiritus illustret, quæ et insidiatorem fuget, purgetque mentem nostram, et ipsam divino lumine impleat, efficiatque ut mens in tranquillitate pacatissima Deo cum lætitia inserviat.

CAPUT XVIII.

Ad canonicos in cœnobio versantes.

1. Ac de asceta quidem, qui seorsum agit, vitamque solitariam amplexus est, dilucide, quantum in nobis erat, superius disseruimus, quomodo et animum exercens ad bonum, et corpus apte et rite componens, philosophum perfectum nobis exprimere possit. At quoniam versantur simul in communitate plurimi ascetarum, animum mutuo exacuentes ad virtutem, et recte factorum comparatione seipsos ad progressum in bono faciendum concitantes, æquum esse putavimus, hos etiam sermonibus nostris adhortari. Cum autem prius cognoverint, qualis ac quanti boni participes fiant, eos oportet sic adhortationem nostram ad hoc spectantem suscipere, ut animi promptitudinem ac studium hujus boni præstantia dignum ostendant. Primum igitur ad id quod **561** ex natura est bonum, revertuntur, amplectentes societatem ac victum communem. Nam perfectissimam vitæ societatem appello ego eam a qua exclusa est omnis possessio propria, fugataque est animorum dissensio, et ex qua perturbatio omnis contentioque ac dissidia absunt: in qua vero omnia sunt communia, animæ, sententiæ, corpora et quæcunque alia, quibus corpora nutriuntur ac curantur, communis Deus, communis pietatis negotiatio, salus communis, communia certamina, communes labores, coronæ communes, ubi multi unus, et unus non solus, sed in pluribus.

2. Quid comparandum est huic vitæ instituto? quid beatius? quid hac conjunctione atque unitate perfectius? quid jucundius morum et animorum conspiratione? Homines ex diversis nationibus ac

(39) Veteres duo libri ἀπαρεμποδίστῳ τῇ. Mox editi et duo mss. διακοπτόμενος· quam scripturam retinendam esse non judicavi, cum nihil toto hoc loco inveniatur, ad quod referri possit. Edendum igitur curavi διακοπτόμενον, uti in aliis duobus mss. legitur. Subinde unus ms. πολεμοῦντος ἀναίδειαν.

(40) Editi τοσοῦτον. At mss. τοσούτου. Ibidem Reg. primus προσκαρτερεῖν.

(41) Ita in ora Regii tertii legitur, ἕως ὧδε διδάσκει ὁ ἅγιος τοὺς καταμόνας, *hactenus docet Sanctus solitarios*. Ibidem in extrema pagina additum est illud, ἀρχὴ ὑποτυπώσεως τῶν ἐν κοινοβίῳ, *initium eorum, quibus instituuntur cœnobitæ.*

(42) Codex Colb. ἐπειδὴ δέ. Nec ita multo post idem ms. ἑαυτοὺς πρὸς τήν.

(43) Antiqui tres libri ἐπὶ τοῦτο. Editi τούτῳ. Mox duo mss. ἵν', οἶμαι, προθυμίαν.

(44) Codex Colb. Πρῶτον μὲν γὰρ ἐπί.

(45) Unus ms. κοινὸς ὁ στέφανος.

(46) Codex Colb. et Voss. Τί τοίνυν ταύτης. Mox mss. tres cum Voss. ψυχῶν συγκράσεως. Editi ψυχῶν συγκρίσεως, corrupte.

regionibus profecti, tam perfecte et sincere in unum coaluere, ut animus unus cernatur in multis corporibus, multa vero corpora mentis unius organa esse comperiantur. Qui infirmus est corpore, multos habet una secum ex affectu infirmos: qui animo ægrotat ac concidit, ei præsto sunt multi, a quibus curetur, pariterque erigatur. Hi æquabili jure inter se alii aliorum et servi sunt, et domini, et in libertate invicta servitutem sibi invicem exhibent integerrimam, quam vi non peperit fortuiti alicujus casus necessitas, quæ non parvam suis captivis affert tristitiam, sed eam cum gaudio produxit liberum animi arbitrium; charitate liberos homines alios aliis subjiciente, ac voluntati libertatem servante. Tales nos ab initio Deus esse voluit, et ea de causa condidit. Hi, peccato primi parentis Adæ occultato, antiquum revocant bonum. Divisio enim dissensioque et bellum non exstarent inter homines, nisi peccatum naturam divisisset. Hi Servatoris, institutorumque vitæ ejus, quam in carne degit, imitatores sunt sinceri. Quemadmodum enim ille coacto discipulorum cœtu omnia communia, et seipsum communem præbuit apostolis: ita hi quoque duci obedientes, si modo probe vitæ regulam observent, apostolorum ac Domini ipsius vivendi genus accurate imitantur. Hi angelorum æmulantur vitam, illorum exemplo societatem diligenter tuentes. Nulla est lis inter angelos, nulla contentio, nulla controversia, sed quisque quæ omnium sunt, possidet, et tamen omnes integra bona apud seipsos recondunt. Non sunt enim angelorum divitiæ materia quædam circumscripta, quæ, quandocunque in plures distribui opus sit, sectione indigeat, sed possessio est expers materiæ, et mentis divitiæ.

3. Et idcirco bona hæc, cum apud singulos integra permaneant, omnes ex æquo efficiunt divites: quippe quæ peculiarem ipsis possessionem nulli controversiæ aut contentioni obnoxiam præbeant. Nam comtemplatio summi **562** boni, et virtutum manifestissima comprehensio, angelorum est thesaurus, ad quæ respicere licet omnibus, unoquoque horum notitiam ac possessionem adipiscente. Tales exsistunt qui veri sunt ascetæ, qui nequaquam vindicant sibi terrestria, sed disceptant de cœlestibus, eademque singuli individuis quibusdam partitionibus apud se quisque integra recondunt. Virtutis enim possessio est, et recte factorum divitiæ, et laudanda avaritia, et lacrymarum expers rapina, et insatiabilis aviditas coronam consecuta, et reus efficitur quisquis vim non facit. Rapiunt omnes, et nemo afficitur injuria, ob idque pax has divitias dispensat. Hi promissi regni bona præripiunt, qui per eximiam suam vivendi rationem ac

A γενῶν καὶ χωρῶν κινηθέντες εἰς τοσαύτην ἀκρίβειαν ταυτότητος συνηρμόσθησαν, ὥστε μίαν ψυχὴν ἐν πολλοῖς σώμασι θεωρεῖσθαι, καὶ τὰ πολλὰ σώματα μιᾶς γνώμης ὄργανα δείκνυσθαι. Ὁ ἀσθενῶν τὸ σῶμα πολλοὺς ἔχει τῇ διαθέσει συγκάμνοντας· ὁ νοσῶν καὶ καταπίπτων τῇ ψυχῇ πολλοὺς ἔχει τοὺς ἰωμένους καὶ συνδιανιστῶντας αὐτόν. Ἀλλήλων ἰσόδουλοι, ἀλλήλων κύριοι, καὶ ἐν τῇ ἀμάχῳ ἐλευθερίᾳ τὴν ἀκριβεστέραν δουλείαν (47) ἀλλήλοις ἀντεπιδείκνυνται, ἣν οὐκ ἀνάγκη περιστάσεως πρὸς βίαν (48) ἐπήγαγε, πολλὴν φέρουσα τοῖς ἁλοῦσι τὴν ἀθυμίαν, ἀλλὰ γνώμης τὸ αὐθαίρετον μετ' εὐφροσύνης ἐδημιούργησεν· ἀγάπης τοὺς ἐλευθέρους ὑποτασσούσης ἀλλήλοις, καὶ τῷ αὐθαιρέτῳ τὸ ἐλεύθερον φυλαττούσης. Τοιούτους ἡμᾶς ἐξ ἀρχῆς ὁ Θεὸς εἶναι βεβού-
B ληται (49), καὶ ἐπὶ τούτοις ἐδημιούργησεν. Οὗτοι τὸ ἀρχαῖον ἀνακαλοῦνται καλὸν, τοῦ ἀρχιπάτορος Ἀδὰμ τὴν ἁμαρτίαν ἐπικαλύπτοντες. Διαίρεσις γὰρ, καὶ διάστασις, καὶ πόλεμος οὐκ ἂν ἦν ἐν ἀνθρώποις, μὴ τῆς ἁμαρτίας διατεμούσης τὴν φύσιν. Οὗτοι ἀκριβεῖς μιμηταὶ τοῦ Σωτῆρος καὶ τῆς κατ' αὐτὸν ἐν σαρκὶ πολιτείας ὑπάρχουσιν. Ὥσπερ γὰρ ἐκεῖνος, χορὸν μαθητῶν συστησάμενος, κοινὰ τὰ πάντα, καὶ κοινὸν ἑαυτὸν τοῖς ἀποστόλοις παρέσχηκεν· οὕτω καὶ οὗτοι τῷ καθηγουμένῳ πειθόμενοι, οἵγε καλῶς τὸν κανόνα τοῦ βίου διαφυλάσσοντες, τὴν τῶν ἀποστόλων καὶ τοῦ Κυρίου πολιτείαν μετ' ἀκριβείας μεμίμηνται. Οὗτοι τὴν τῶν ἀγγέλων ζωὴν ἐζηλώκασι, τὸ κοινωνικὸν, ὥσπερ ἐκεῖνοι, δι' ἀκρι-
C βείας φυλάξαντες. Οὐκ ἔστιν ἐν ἀγγέλοις ἔρις, οὐ φιλονεικία, οὐκ ἀμφισβήτησις· ἕκαστος τὰ πάντων ἔχει, καὶ πάντες ὁλόκληρα παρ' ἑαυτοῖς τὰ καλὰ ταμιεύονται. Οὐ γάρ ἐστιν ὕλη ἐμπερίγραπτος ὁ τῶν ἀγγέλων πλοῦτος, δεομένη τομῆς, ἡνίκα ἂν αὐτὴν πλείοσιν ἐπινέμεσθαι δέῃ (50)· ἀλλ' ἄϋλος ἡ κτῆσις, καὶ διανοίας ὁ πλοῦτος.

3. Καὶ διὰ τοῦτο παρ' ἑκάστοις ὁλόκληρα τὰ καλὰ μένοντα πάντας ἰσοτίμως πλουσίους ἐργάζεται, ἀναμφισβήτητον αὐτοῖς καὶ ἄμαχον τὴν οἰκείαν κτῆσιν παρέχοντα. Θεωρία γὰρ τοῦ ἀνωτάτου καλοῦ, καὶ ἀρετῶν σαφεστάτη κατάληψις, τῶν ἀγγέλων ἐστὶ θησαύρισμα, πρὸς ἃ βλέπειν ἅπασιν ἔξεστιν, ὁλόκληρον αὐτῶν τὴν γνῶσιν καὶ τὴν κτῆσιν ἑκάστου λαμβάνοντος. Τοιοῦτοι οἱ κατὰ ἀλήθειαν ἀσκηταὶ, οὐ
D τῶν γηΐνων μεταποιούμενοι, ἀλλὰ τῶν οὐρανίων ἀμφισβητοῦντες, καὶ ἀμερίστοις διανομαῖς τὰ αὐτὰ οἱ πάντες παρ' ἑαυτοῖς ἕκαστος ὁλόκληρα θησαυρίζοντες. Ἀρετῆς γὰρ ἡ κτῆσις, καὶ κατορθωμάτων ὁ πλοῦτος, καὶ πλεονεξία ἐπαινετὴ, καὶ ἀδάκρυτος ἁρπαγὴ, καὶ ἀπληστία στεφανουμένη, καὶ ὁ μὴ βιαζόμενος ἔνοχος. Πάντες ἁρπάζοντες, καὶ οὐδεὶς ἀδικούμενος, καὶ διὰ τοῦτο εἰρήνη τῷ πλούτῳ βραβεύουσα. Οὗτοι τῆς ἐπηγγελμένης βασιλείας τὰ ἀγαθὰ προαρπάζουσι, τὴν ἐνάρετον ἑαυτῶν πολιτείαν καὶ κοινωνίαν ἀκριβὲς μίμημα τῆς ἐκεῖσε διαγωγῆς

(47) Codex Colb. et Voss. ἀκριβεστάτην δουλείαν.
(48) Antiqui tres libri præter Combef. πρὸς βίαν. Illud πρός in editis desiderabatur.

(49) Regii duo mss. βεβούλευτο. Alius βεβούλευται.
(50) Codex Colb. ἐπινέμεσθαι δέοι.

καὶ καταστάσεως παριστῶντες. Οὗτοι τὴν ἀκτησίαν τελείως κατώρθωσαν, οὐδὲν ἴδιον ἔχοντες, ἀλλήλων δὲ τὰ πάντα. Ἡλίκων ἡμῖν ἀγαθῶν ἡ τοῦ Σωτῆρος ἐνανθρώπησις πρόξενος γέγονε, σαφῶς οὗτοι τῷ βίῳ τῶν ἀνθρώπων ὑπέδειξαν, τὴν διεῤῥωγυῖαν τῶν ἀνθρώπων φύσιν, καὶ εἰς μυρία κατατμηθεῖσαν, τό γε ἐπ' αὐτοῖς (51), πάλιν συνάγοντες πρὸς ἑαυτήν τε καὶ πρὸς τὸν Θεόν. Τοῦτο γὰρ τὸ κεφάλαιον τῆς τοῦ Σωτῆρος κατὰ σάρκα οἰκονομίας, ἵνα τὴν ἀνθρωπίνην φύσιν πρὸς ἑαυτήν τε καὶ πρὸς ἑαυτὸν συναγάγῃ, καὶ τὴν πονηρὰν κατατομὴν ἐξελὼν, τὴν ἀρχαίαν ἀνακαλέσηται ἕνωσιν· καθάπερ τις ἄριστος ἰατρὸς σῶμα κατὰ πολλὰ μέρη διαιρεθὲν φαρμάκοις σωτηρίοις ἀνασυνδέων.

4. Καὶ ταῦτα διῆλθον, οὐχ ἵνα φιλοτιμήσωμαί τι, καὶ τοῖς λόγοις ἐπάρω τὰ τῶν κοινοβιακῶν (52) κατορθώματα (οὐ γὰρ τοσαύτη δύναμις τῶν ἐμῶν λόγων, ὥστε τὰ μεγάλα σεμνύνειν, τοὐναντίον δὲ μᾶλλον καὶ ἀμαυροῦν τῇ περὶ τὴν διήγησιν ἀσθενείᾳ), ἀλλ' ἵνα, ὡς οἷόν τε, διέλθω καὶ ἐπιδείξω (53) τὸ τοῦ κατορθώματος ὕψος καὶ μέγεθος. Τί γὰρ ἂν εἰς ἴσον ἔλθοι τῷ καλῷ τούτῳ διὰ συγκρίσεως; Ὅπου γὰρ πατὴρ μὲν εἷς μιμούμενος τὸν ἄνω Πατέρα, παῖδες δὲ πολλοὶ νικᾷν ἐσπουδακότες ἀλλήλους ταῖς περὶ τὸν προστάτην εὐνοίαις, παῖδες πρὸς ἑαυτούς τε ὁμονοοῦντες, καὶ τὸν πατέρα ταῖς ἐναρέτοις πράξεσι δεξιούμενοι, οὐ φύσιν τῆς συναφείας αἰτίαν ἐπιγραφόμενοι, λόγον δὲ φύσεως βεβαιότερον τῆς ἑνώσεως ἀρχηγὸν καὶ φύλακα ποιησάμενοι, καὶ Πνεύματος ἁγίου δεσμῷ κρατούμενοι. Τίνα ἂν εἰκόνα τῶν ἐπὶ τῆς γῆς εἰς παράστασιν ἔχοιεν (54) τῆς τοῦ κατορθώματος ἀρετῆς; Ἀλλὰ τῶν μὲν ἐπὶ τῆς γῆς οὐδεμίαν· μόνη δὲ ἡ ἄνω λείπεται (55). Ἀπαθὴς ὁ ἄνω Πατήρ· δίχα πάθους καὶ οὗτος, λόγῳ τοὺς ἅπαντας προσαγόμενος. Ἄφθοροι οἱ παῖδες τοῦ ἄνω Πατρός· ἀφθορία καὶ τούτους εἰσεποιήσατο. Ἀγάπη συνδεῖ τὰ ἄνω· ἀγάπη καὶ τούτους πρὸς ἀλλήλους συνήρμοσεν. Ὄντως ἀπαγορεύει (56) πρὸς τὴν τοιαύτην φάλαγγα καὶ αὐτὸς ὁ διάβολος, οὐκ ἀρκῶν πρὸς τοσούτους ἀγωνιστὰς, οὕτως εὐσταλῶς καὶ συγκεκροτημένως κατ' ἐκείνου στρατεύοντας, καὶ τοσοῦτον τῇ ἀγάπῃ συνησπικότας ἀλλήλοις καὶ φραττομένους τῷ Πνεύματι, ὥστε μήτε βραχυτάτην τινὰ παρείσδυσιν ταῖς ἐκείνου βολαῖς παρασχεῖν. Σκόπει μοι τὴν τῶν ἑπτὰ Μακκαβαίων σύμφωνον ἄθλησιν, καὶ εὑρήσεις παρὰ τούτοις θερμοτέραν τὴν συμφωνίαν. Περὶ τούτων Δαβὶδ ὁ προφήτης ἐν ᾠδαῖς ἀνεβόησε λέγων· *Ἰδοὺ δὴ, τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;* τῷ μὲν καλῷ τὸ τοῦ βίου δόκιμον παριστὰς, τῷ δὲ τερπνῷ τὴν ἐκ τῆς ὁμονοίας καὶ τῆς ἑνώσεως εὐφροσύνην. Τοῦ-

A societatem plane imitentur vitam cœlestem ac statum. Hi sunt perfecte inopes, nihil proprium, sed omnia inter se communia habentes. Quot et quanta bona nobis conciliarit Servatoris incarnatio, hi ipsi aperte humano generi ostenderunt, qui confractam hominum naturam, et in innumeras partes dissectam, quantum in ipsis fuit, rursus et ad seipsam et ad Deum collegerunt. Hæc enim summa est eorum quæ in carne gesta sunt a Salvatore, ut humanam naturam tam ad seipsam, quam et ad seipsum etiam accerseret, et sublata prava sectione revocaret priscam conjunctionem, non secus ac medicus optimus, qui corpus plures in partes concisum salutaribus medicamentis religat.

4. Atque hæc recensui, non ut glorier ullo pacto, B et cœnobitarum recte facta verbis extollam (neque enim tanta mihi inest dicendi facultas, ut valeam magna exornare, imo potius his offundo tenebras per meam in dicendo infirmitatem), sed ut præclari hujus instituti altitudinem magnitudinemque pro viribus explicem ac ostendam. Quid enim potest ex æquo cum hoc bono comparari? Ibi enim ut pater unus est, qui imitatur supernum Patrem, ita complures filii sunt, qui vincere se invicem sua in præfectum benevolentia student, filii, inquam, qui et inter se concordibus sunt animis, et patrem egregiis officiis et obsequiis prosequuntur, non in natura statuentes conjunctionis ac necessitudinis suæ causam; sed firmiorem natura rationem concordiæ suæ ducem ac C custodem reponentes, seque constringentes vinculo Spiritus sancti. Quæ jam rerum terrestrium imago possit præclari illius instituti præstantiam ac dignitatem exprimere? Atqui profecto nulla quidem est in terrenis, sed sola superna relinquitur. Nullis affectibus obnoxius est Pater cœlestis; his hic quoque immunis est, sibi sermone ac doctrina concilians omnes. Incorrupti filii cœlestis Patris; hos etiam adoptavit integritas. Charitas connectit superna; charitas etiam hos inter se coadunavit. Vere et diabolus ipse de hujusmodi phalange desperat, impar tot pugnatoribus adeo composite **563** ac confertim adversus ipsum militantibus, tantaque cum charitate, testitudine inter se D facta, certantibus, Spirituque ita septis et communitis, ut ne minimum quidem illius assultibus accessum præbeant. Considera mihi concordem septem Machabæorum pugnam, invenies quoque apud hos concordiam ferventiorem. De his David propheta in odis exclamavit, ac dixit: *Ecce nunc quid bonum, vel quid jucundum, nisi habitare fra-*

(51) Codex Voss. et Colb. τό γε ἐπ' αὐτοῖς. Editi κατά γε τὸ ἐπ' αὐτοῖς.
(52) Antiqui tres libri τῶν κοινωνικῶν. Editi et Reg. tertius κοινοβιακῶν.
(53) Codex Colb. καὶ ἐπιδείξαιμι.
(54) Idem codex Colb. εἰς παράταξιν σχοῖεν. Lectio inepta. Codex Voss. habet quoque σχοῖεν.
(55) Antiquæ duæ editiones et quatuor mss. μόνη δὲ τῇ ἄνω λείπεται· ubi μόνη, ut mihi videtur, scriptum oportuerat cum ι subscripto, μόνῃ, *et sola superna inferior est*. Secuti sumus editionem Parisiensem. Mox codex Colb. καὶ οὗτος. Vocula καὶ deerat in vulgatis. Ibidem codex Colb. ἅπαντας προαγόμενος.
(56) Reg. secundus οὕτως ἀπαγορεύει.

tres in unum [13]? Per bonum quidem integritatem hujus vitæ exprimit; per jucundum vero, concordiæ et unanimitatis lætitiam. Hoc vivendi genus qui accurate ac diligenter excolunt, hi mihi videntur supremam virtutem æmulari.

A τον (57) οἱ μετιόντες τὸν βίον μετὰ ἀκριβείας, ἐμοὶ δοκεῖν, τὴν ἀνωτάτω ἐζηλωκέναι ἀρετήν.

CAPUT XIX.

Quod oportet ascetam cum firmo proposito accedere ad asceticam vitam, et de obedientia.

Atque iis quidem, qui perspicaci mente præditi sunt, oratio nostra, cum superius hujusce status proprietates exponeremus, vivendi regulam præscripsit. Verum, quoniam operæ pretium est propter simpliciores fratres, etiam manifestius hujusce instituti præscripta singulatim explicare, jamjam ad hoc convertamur. Oportet igitur in primis eum qui ad ejusmodi vivendi genus accedit, stabilem, firmum et immobilem animum habere, B ac propositum ejusmodi, quod nequitiæ spiritus invadere ac mutare non possint, itemque martyrum constantiam firmitate animi usque ad mortem ostendere, sic ut et Dei mandata amplectatur, et magistris suis obtemperet. Hæc enim hujus instituti summa est. Quemadmodum enim Deus, qui Pater omnium et est, et vocari vult, obedientiam integerrimam a suis servis exigit: ita quoque inter homines spiritualis pater ad Dei leges præscripta sua accommodans, obedientiam requirit disceptationis contentionisque expertem. Si enim qui mechanicæ alicui arti, earum videlicet, quæ ad præsentem vitam utiles sunt, studium impertit, prorsus obedit artifici, neque ulla in re adversatur illius præceptis, et ne paululum quidem ab ipso C secedit, sed omni tempore in oculis magistri est, cibumque et potum ac reliquum victum ab eo præscriptum recipit; multo magis qui ad discendam pietatis sanctitatisque disciplinam accedunt, ubi semel persuaserint sibi, se ejusmodi scientiam a præfecto ediscere posse, se his præstabunt omnino dociles ac prorsus morigeros omnibus in rebus, neque eorum, quæ imperata sunt, exposcent rationem, sed injunctum opus perficient; præterquamquod si eorum quæ ad salutem attinent, quidpiam ignorent, licebit modeste et **564** cum decenti reverentia interrogare ac doceri. Omnis autem hominis diligentia in eo ponenda est, ut ne animi altitudo ob insurgentes voluptates deprimatur.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

Ὅτι χρὴ τὸν ἀσκητὴν βεβαίᾳ κρίσει προσιέναι τῇ ἀσκήσει, καὶ περὶ ὑπακοῆς.

Τοῖς μὲν οὖν διορατικοῖς τὸν νοῦν ἐν τῇ προδιηγήσει τῶν τῆς πολιτείας ἰδιωμάτων τὸν κανόνα τῆς πολιτείας ὁ λόγος ὡρίσατο. Ἐπειδὴ δὲ προσήκει διὰ τοὺς ἁπλουστέρους τῶν ἀδελφῶν καὶ σαφέστερον ἐκθέσθαι τὸν τῆς πολιτείας ἐφ' ἑκάστῳ κανόνα, ἐπὶ τοῦτο δὴ καὶ τρεψώμεθα (58). Χρὴ τοίνυν πρό γε ἁπάντων τὸν προσελθόντα τῇ τοιαύτῃ πολιτείᾳ, ἐστηριγμένον, καὶ ἑδραῖον, καὶ ἀκίνητον ἔχειν τὸ φρόνημα, καὶ κρίσιν τοῖς πνεύμασι τῆς πονηρίας ἀνεπιχείρητον καὶ ἀμετάθετον, καὶ μαρτύρων ἔνστασιν τῇ τῆς ψυχῆς ἐπιδείκνυσθαι βεβαιότητι μέχρι θανάτου, τῶν τε ἐντολῶν τοῦ Θεοῦ ἀντεχόμενον (59), καὶ τὴν ὑπακοὴν τοῖς καθηγουμένοις ἐπιδεικνύμενον. Τοῦτο γὰρ τῆς πολιτείας ἐστὶ τὸ κεφάλαιον. Ὥσπερ γὰρ ὁ Θεὸς, Πατὴρ ἁπάντων καὶ ὢν, καὶ καλεῖσθαι καταξιῶν, ἀκριβεστάτην παρὰ τῶν αὐτοῦ θεραπόντων ἀπαιτεῖ τὴν εὐπείθειαν· οὕτω καὶ ὁ πνευματικὸς ἐν ἀνθρώποις πατὴρ πρὸς τοὺς τοῦ Θεοῦ νόμους τὰς ἑαυτοῦ διατάξεις ἁρμόζων, ἀναμφίλεκτον τὴν ὑπακοὴν ἀπαιτεῖ. Εἰ γὰρ ὁ τέχνῃ τινὶ τῶν βαναύσων, τούτων δὴ τῶν πρὸς τὴν παροῦσαν ζωὴν ἡμῖν χρησίμων, ἑαυτὸν ἐκδιδοὺς, παντὶ τρόπῳ πείθεται τῷ τεχνίτῃ, καὶ κατ' οὐδὲν ἐναντιοῦται τοῖς ἐκείνου προστάγμασιν, οὔτε μὴν πρὸς τὸ βραχύτατον τούτου χωρίζεται, ἀλλὰ πάντα καιρὸν ἐν ὀφθαλμοῖς ἐστι τοῦ διδασκάλου, βρῶσίν τε καὶ πόσιν καὶ τὴν ἄλλην δίαιταν ὑπομένει ταύτην, ἣν ἂν ἐκεῖνος ὁρίσειεν· πολλῷ μᾶλλον οἱ πρὸς τὴν μάθησιν τῆς εὐσεβείας καὶ τῆς ἱσότητος ἀφικνούμενοι, ἅπαξ πεπεικότες ἑαυτοὺς, ὅτι δυνήσονται παρὰ τοῦ καθηγουμένου τὴν τοιαύτην ἐπιστήμην λαβεῖν, πᾶσαν εὐπείθειαν καὶ τὴν περὶ πάντα ἀκριβεστάτην ὑπακοὴν τούτοις εἰσοίσονται (60)· καὶ οὐχὶ τὸν λόγον τῶν ἐπιτεταγμένων ἀπαιτήσουσιν· ἀλλὰ τὸ ἔργον τὸ ἐπιτεταγμένον ἐπιτελέσουσιν, εἰ μὴ τοσοῦτον, ὅσον ἀγνοοῦντάς τι τῶν συντεινόντων πρὸς σωτηρίαν, κοσμίως καὶ μετὰ τῆς πρεπούσης αἰδοῦς (61) ἐρωτᾷν καὶ παιδεύεσθαι. Πᾶσα δὲ σπουδὴ τοῦ ἀνθρώπου ἔστω, ὅπως μὴ τὸ ὑψηλὸν

[13] Psal. cxxxii, 1.

(57) Unus ms. et editi τούτων οἱ. Alii duo τοῦτον οἱ. Statim mss. nonnulli ἐμοὶ δοκεῖ. Editio Paris. et Reg. tertius ἐμοὶ δοκεῖν· sed scribi debuisset ex grammaticorum regulis δοκοῦσι. Codex Voss. ἐμοὶ δοκεῖν μᾶλλον δὲ τῇ ἀληθείᾳ.

(58) Codex Colb. τρεψώμεθα. Alius mss. et editi τρεψόμεθα. Reg. quartus τρέψομαι. Aliquanto post editi πνεύμασι τοῖς πονηρίας. Antiqui tres libri πνεύμασι τῆς πονηρίας.

(59) Reg. primus et Colb. Θεοῦ ἀνεχόμενον. Haud longe unus ms. cum Combef. Ὥσπερ γὰρ ὁ. Alius codex ὥσπερ οὖν ὁ. Vocula utraque in editis juncta fuerat, Ὥσπερ γὰρ οὖν ὁ. Subinde duo mss. τῶν ἑαυτοῦ θεραπόντων.

D (60) Editi et mss. τούτοις εἰσοίσονται· melius, opinor, scriptum fuisset τούτῳ, nempe καθηγουμένῳ. Ibidem duo mss. cum Voss. λόγον τῶν ἐπιταγμάτων... ἔργον τῶν ἐπιταχθέντων. Editi λόγον τῶν ἐπιτεταγμένων... ἔργον τῶν ἐπιταγμάτων, eadem plane sententia. Reg. quartus ut in contextu, rectius.

(61) Codex Voss. προσηκούσης αἰδοῦς. Post illud παιδεύεσθαι leguntur hæc verba in Vossii veteri libro et in Colb. et in Reg. primo. πᾶσα δὲ σπουδὴ, et quæ sequuntur ad finem usque. Hoc autem additamentum editum quidem jam fuerat a doctissimo viro Andrea Scotto in variis suis lectionibus: sed nonnulla, quæ fœde corrupta erant, ex codice Colbertino emendavimus.

τῆς ψυχῆς διὰ τῆς ἐπαναστάσεως τῶν ἡδονῶν ταπεινωθείη. Πῶς γὰρ ἂν ἔτι δύναται πρὸς τὸ συγγενὲς καὶ νοητὸν φῶς ἐλευθέρῳ ἀναβλέψαι τῷ ὄμματι ἡ προσηλωθεῖσα κάτω ψυχὴ τῇ ἡδονῇ τῆς σαρκός; Διὸ χρὴ πρό γε πάντων τὴν ἐγκράτειαν ἀσκεῖν, ἀσφαλῆ φρουρὸν τῆς σωφροσύνης τυγχάνουσαν, καὶ τὸν ἡγεμόνα νοῦν μὴ συγχωροῦσαν ὧδε κἀκεῖσε ῥέμβεσθαι. Καθάπερ γὰρ τὸ περιεστεγασμένον διὰ σωλήνων ὕδωρ ὄρθιον ὑπὸ τῆς ἀναθλιβούσης βίας ἐπὶ τὸ ἄνω φέρεται, οὐκ ἔχων ὅπου διαχυθείη· οὕτω καὶ ὁ νοῦς ὁ ἀνθρώπινος, καθάπερ σωλῆνος στεγανοῦ τῆς ἐγκρατείας αὐτῶν πανταχόθεν περισφιγγούσης, ἀναληφθήσεταί πως ὑπὸ τῆς τοῦ κινεῖσθαι φύσεως πρὸς τὴν τῶν ὑψηλοτέρων ἐπιθυμίαν, οὐκ ἔχων ὅπου διαῤῥυῇ. Οὐδὲ γὰρ στῆναί ποτε δυνατόν ἐστι τὸν ἀεικίνητον ὑπὸ τοῦ πεποιηκότος εἰληφότα τὴν φύσιν· καὶ εἰς τὰ μάταια κινεῖσθαι κωλυόμενον, ἀμήχανον μὴ πρὸς τὴν ἀλήθειαν πάντως εὐθυπορῆσαι. Ἐγκράτειαν δὲ ἡγούμεθα ὁρίζεσθαι οὐ μόνον τὴν τῶν βρωμάτων ἀποχὴν (τοῦτο γὰρ πολλοὶ καὶ τῶν παρ' Ἕλλησι φιλοσόφων κατώρθωσαν), ἀλλὰ πρό γε πάντων τὸν τῶν ὀφθαλμῶν ῥεμβασμόν. Τί γὰρ ὄφελος, εἰ, σιτίων ἀπεχόμενος, μοιχείας ἀκολασίαν διὰ τῶν ὀφθαλμῶν ἐσθίεις, ἢ τοῖς ὠσὶν ἑκὼν ἀκροᾶσαι ματαίας καὶ διαβολικὰς φωνάς; Οὐδὲν ὄφελος βρωμάτων ἀπέχεσθαι, τύφου δὲ ὑψηλοφροσύνης καὶ κενῆς δόξης καὶ παντὸς πάθους μὴ ἀπέχεσθαι. Ἢ τί γε ὄφελος ἐγκρατεύεσθαι ἀπὸ βρωμάτων, καὶ ἀπὸ λογισμῶν πονηρῶν καὶ ματαίων μὴ ἀπέχεσθαι; Διὸ καὶ ὁ Ἀπόστολος ἔλεγεν· *Φοβοῦμαι μή πως φθαρῇ τὰ νοήματα ἡμῶν*. Ἐγκρατεῖς οὖν γενώμεθα ἀπὸ τούτων ἁπάντων, μήποτε εἰκότως καὶ ἐφ' ἡμᾶς ἡ τοῦ Κυρίου μέμψις ἔλθοι, ὡς τὸν κώνωπα διυλιζόντων, τὴν δὲ κάμηλον καταπινόντων.

A Quomodo enim anima humi per carnis vo.uptatem confixa, potest adhuc libero obtutu in affine sibi atque intelligibile lumen suspicere? Quare ante omnia temperantiam castimoniæ tutum custodem, et quæ præsidem mentem huc illuc errare non sinat, excoli oportet. Ut enim constricta per canales aqua, cum non habeat quo se diffundat, recta a comprimente vi in altum fertur : ita et humanus animus temperantia quasi angusto quodam canali undelibet constrictus, quodammodo ex motus natura ad rerum sublimiorum desiderium attolletur, qui scilicet, quo effundatur, non habeat. Neque enim animus unquam stare potest, qui ejusmodi naturam a Conditore accepit, ut semper moveatur, et si prohibeatur movere se ad res B vanas, fieri non potest, ut ad veritatem recta omnino non tendat. Temperantiam autem arbitramur non sola ciborum abstinentia circumscribi (hoc enim multi et apud gentiles philosophi factitarunt, sed maxime oculorum accurata occupatione. Quid enim prodest a cibis abstinere, si adulterii libidinem per oculos vores, aut lubens vanas ac diabolicas voces auribus audias? Abstinentia prorsus inutilis est, nisi et a fastu et a superbia, et a vana gloria, et ab omni affectu vitioso abstineas. Aut quid inde emolumenti, si abstineas ab escis, a pravis autem et vanis cogitationibus non prorsus abstineas? Quamobrem Apostolus dicebat : *Timeo ne corrumpantur sensus vestri* [44]. Abstineamus igitur ab his omnibus, ne merito Domini accusatio veniat C in nos quoque, tanquam qui excolemus culicem, camelum vero glutiamus [45].

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Ὅτι οὐ χρὴ τὰς πρὸς τοὺς βιωτικοὺς συγγενεῖς μεταδιώκειν ὁμιλίας, ἢ τὰ ἐκείνων φροντίζειν.

1. Συγγενῶν μέντοι καὶ φίλων καὶ γονέων κεχωρίσθαι τοσοῦτον τῇ διαθέσει προσήκει, ὅσον (62) τοὺς τεθνεῶτας ὁρῶμεν τῶν ζώντων ἀφεστηκότας. Καὶ γὰρ ὁ κατὰ ἀλήθειαν πρὸς τοὺς κατ' ἀρετὴν ἀγῶνας ἀποδυσάμενος, καὶ τῷ κόσμῳ παντὶ μετὰ τῶν ἐν τῷ κόσμῳ πάντων ἀποταξάμενος, καὶ σταυρώσας ἑαυτὸν, ἵνα τὸ πλῆρες εἴπω, τῷ κόσμῳ, τέθνηκε τῷ κόσμῳ, καὶ πᾶσι τοῖς ἐν τῷ κόσμῳ, κἂν γονεῖς ὦσι, κἂν ἀδελφοὶ, κἂν τρίτον ἢ τέταρτον ἢ πολλοστὸν βαθμὸν τῆς συγγενείας ἐπέχοντες. Εἰ μὲν οὖν μετασταῖεν οἱ γεγεννηκότες τοῦ βίου, καὶ πρὸς τὴν πολιτείαν τοῦ παιδὸς μετατάξαιντο, ἀληθῶς εἰσι συγγενεῖς· οὐ τὴν γονέων, ἀλλὰ τὴν ἀδελφῶν τάξιν ἐπέχοντες. Πατὴρ γάρ ἐστιν ἀληθέστατος, πρῶτος (63) μὲν ὁ τῶν ἁπάντων Πατήρ· ὁ δεύτερος δὲ μετ' ἐκεῖνον ὁ τῆς πνευματικῆς καθηγούμενος πολιτείας. Εἰ δὲ μένοιεν οἱ συγγενεῖς τὸν πρότερον ἀσπασάμενοι βίον, μέρος εἰσὶ τοῦ κόσμου, οὗ ἡμεῖς κεχωρίσμεθα,

CAPUT XX.

Quod colloquia cum cognatis sæculo addictis non sunt requirenda, neque res illorum curandæ.

1. Convenit utique tam disjunctos esse affectu a cognatis amicisque et parentibus, quam separari videmus mortuos a viventibus. Qui enim se vere ad subeunda virtutis certamina exuit, mundoque universo ac rebus omnibus mundanis nuntium remisit, et ut amplius aliquid dicam, qui mundo crucifixit seipsum, mundo et omnibus qui in mundo D sunt, mortuus est, sive parentes fuerint, sive fratres, sive tertium, aut quartum, aut remotissimum cognationis gradum obtineant. Et quidem si parentes secesserint a sæculo, et ad filii se vivendi rationem contulerint, tunc vere sunt cognati; non parentum, sed fratrum obtinentes **565** locum. Pater enim est verissimus, primus quidem universorum Pater ; secundus vero post illum, is qui præit in spiritualis vitæ instituto. Si vero pergant cognati vitam priorem retinere, pars sunt mundi, a qua nos separati sumus, et jam nulla ex parte cognati su-

[44] II Cor. XI, 3. [45] Matth. XXIII, 24.

(62) Editi ὅσῳ τούς. At mss. ὅσον.

(63) Veteres duo libri πρῶτος. Editi πρῶτον.

nosis, qui, carnali homine deposito, eam quam cum ipsis habebamus propinquitatem exuerimus. Qui autem hominum sæculo addictorum amicitiam diligenter requirit, studetque continuo cum ipsis congredi, is ex colloquiis assiduis affectus illorum introducit in animum, ac rursus mente cogitationibus mundanis repleta, a bono proposito excidit, atque semovet se a spirituali sapientia, et animus illius rediit ad vomitum priorem, atque adeo sauciatur ab hoste, qui cognatione carnali vitam spiritualem conturbat.

2. Precemur itaque optima cognatis nostris, justitiam, inquam, et pietatem, et quæ nos magni fecimus. Decet enim nos hæc precari: illis vero conducit, ut opera nostra hæc ipsa consequantur. Quare nos neque simus de illis solliciti, neque anxii. Nam diabolus, cum animadvertit nos omnem temporalem curam exuisse, et succinctos ad cœlum currere, tum referens nobis propinquorum memoriam, nosque ad res illorum curandas adigens, auctor est, ut etiam mens sit de mundanis negotiis sollicita, dum cogitat quæ sint cognatorum facultates, abundentne, an desint, quæ ipsis ex commerciis proveniant lucra, et quantum ex his augeantur divitiæ; quæ jacturæ nascantur ex adversis vitæ casibus, et quantum ex his illorum opes imminuantur: facitque, ut cum eis lætemur quidem de prosperis ipsorum successibus, contristemur vero ob infortunia, et simus ipsorum inimicis inimici, idque, licet jubeamur nullum inimicum habere [46], itemque gaudeamus una cum amicis, qui sunt sæpe indigni spirituali cognatione, et oblectemur de injustis ac fraudulentis ipsorum lucris: prava denique omnia temporalium rerum studia, quibus exutis spirituales cogitationes introduxeramus, ille denuo inducit in mentem, atque terrenis ac mundanis cogitationibus illius opera animum rursum subeuntibus destruit internum ascetam, solamque statuam monachi figuram circumferentem efficit: quæ scilicet nusquam virtutibus animata sit. Sæpe etiam ob ingentem in propinquos benevolentiam asceta ausus est et sacrilegium committere, ut inopiæ mederetur cognatorum. Etenim quæ pro sanctis, qui seipsos Deo dicarunt, servantur, res sacræ, vereque Deo consecratæ esse et intelliguntur, et judicantur. Quamobrem qui talium quidpiam aufert, unus est ex iis qui sacrilegium audent perpetrare.

3. Cognito igitur intolerabili illo damno, quod ex studio in propinquos nostros nascitur, susceptam eorum causa sollicitudinem tanquam diabolicum telum fugiamus. Nam et Dominus ipse ejusmodi affectum ac consuetudinem **566** vetuit: qui uni ex discipulis id non permisit, ut diceret vale pro-

A καὶ κατ' οὐδὲν προσήκοντες τὸν κατὰ σάρκα ἄνθρωπον ἀποθεμένοις, καὶ ἀποδυσαμένοις τὴν πρὸς ἐκείνους οἰκείωσιν. Ὁ δὲ τὴν τῶν βιωτικῶν φιλίαν μετὰ ἀκριβείας κατασπαζόμενος, καὶ τούτοις διαπαντὸς προσομιλεῖν ἐφιέμενος, τὰς ἐκείνων διαθέσεις διὰ τῆς συνεχοῦς ὁμιλίας εἰς τὴν ψυχὴν εἰσῳκίσατο. Πάλιν τε τοῦ κοσμικοῦ φρονήματος ἀναπλησθεὶς τὴν διάνοιαν, τῆς ἀγαθῆς ἐνστάσεως ἀποπέπτωκε, καὶ τοῦ πνευματικοῦ φρονήματος ἐχωρίσθη, καὶ τὸν πρότερον ἔμετον ἀνεμάξατο τῇ ψυχῇ, καὶ παρὰ τοῦ ἐχθροῦ τέτρωται, διὰ τῆς σαρκικῆς συγγενείας τὴν πνευματικὴν πολιτείαν ἐπιθολώσαντος.

2. Τοῖς μὲν οὖν συγγενέσιν εὐχώμεθα τὰ βέλτιστα, δικαιοσύνην, φημὶ, καὶ εὐσέβειαν, καὶ ταῦτα, ἅπερ ἡμεῖς τίμια πεποιήμεθα. Ταῦτα (64) γὰρ ἡμῖν πρέπον B εὔχεσθαι, κἀκείνοις παρ' ἡμῶν καρποῦσθαι συμφέρον. Αὐτοὶ δὲ τῆς περὶ ἐκείνων φροντίδος τε καὶ μερίμνης τοὺς λογισμοὺς ἀπολύσωμεν. Ὁ γὰρ διάβολος, θεασάμενος ἀποδυσαμένους ἡμᾶς πᾶσαν φροντίδα βιωτικὴν, καὶ εὐσταλεῖς ἐπὶ τὸν οὐρανὸν τρέχοντας, τὴν περὶ τοὺς συγγενεῖς ἡμῖν ἐνεργασάμενος ἔννοιαν, τά τε ἐκείνων φροντίζειν παρασκευάσας, καὶ εἰς τὰς βιωτικὰς φροντίδας τὸν λογισμὸν μεριμνᾷν παρασκευάζει· τίς μὲν ἡ τῶν οἰκείων περιουσία, καὶ εἰ αὐτάρκης, ἢ ἐνδεὴς, τίνα δὲ τὰ ἐκ τῶν συναλλαγμάτων αὐτοῖς προσγενόμενα κέρδη, καὶ ἐπὶ πόσον τὸν πλοῦτον αὐξάνοντα· τίνες δὲ ἐκ τῶν τοῦ βίου περιστάσεων ζημίαι προσπίπτουσαι, καὶ πόσον τὴν ὑπάρχουσαν ἐλαττοῦσαι περιουσίαν. Καὶ συν- C ήδεσθαι μὲν ποιεῖ ταῖς εὐπορίαις αὐτῶν, συναθυμεῖν τε ταῖς ἀστοχίαις, συνεχθραίνειν δὲ τοῖς ἐχθροῖς (καὶ τοῦτο, κελευομένους μηδένα ἔχειν ἐχθρὸν), καὶ συγχαίρειν τοῖς φίλοις οὐκ ἀξίοις οὖσι πολλάκις τῆς πνευματικῆς οἰκειώσεως, χαίρειν δὲ καὶ ἐπὶ τοῖς ἀδίκοις αὐτῶν καὶ παραλόγοις κέρδεσι, καὶ πάσας τὰς πονηρὰς τῶν βιωτικῶν ὑποθέσεων διαθέσεις, ἃς ἀποδυσάμενοι, τὰς πνευματικὰς ἐννοίας εἰσῳκισάμεθα, πάλιν ἐπεισάγει τοῖς λογισμοῖς, καὶ τὸ ὑλικὸν καὶ κοσμικὸν φρόνημα τῇ ψυχῇ πάλιν ἐνεργασάμενος, τὸν ἔνδον ἀσκητὴν καταλύει, καὶ ἀνδριάντα μόνον ἀσκητοῦ τὸ σχῆμα περιφέρειν παρασκευάζει, μηδαμοῦ ἐψυχωμένον ταῖς ἀρεταῖς. Πολλάκις δὲ διὰ τὰς περὶ τοὺς συγγενεῖς ἐπιταθείσας εὐνοίας ἐτόλμησεν ὁ ἀσκητὴς καὶ ἱεροσυλίαν ἐργάσασθαι, ὥστε τὴν τῶν D συγγενῶν ἔνδειαν θεραπεῦσαι. Τὰ γὰρ εἰς τοὺς ἁγίους, τοὺς ἀναθέντας ἑαυτοὺς τῷ Θεῷ, ταμιευόμενα ἱερὰ καὶ ἀληθῶς ἀναθήματα νοεῖται καὶ ἐκλαμβάνεται. Ὁ τοίνυν τούτων τι νοσφιζόμενος εἷς ἐστι τῶν ἱεροσυλίας κατατολμώντων.

3. Γνόντες οὖν τῆς περὶ τοὺς οἰκείους διαθέσεως τὴν ἀφόρητον βλάβην, φύγωμεν τὴν περὶ ἐκείνων φροντίδα, ὡς διαβολικὸν ὅπλον ὑπάρχουσαν. Καὶ γὰρ αὐτὸς ὁ Κύριος τὴν τοιαύτην σχέσιν καὶ συνήθειαν ἀπηγόρευσεν, ἑνὶ μὲν τῶν μαθητῶν οὐκ ἐπιτρέψας, οὐδὲ αὐτὸ μόνον τοῖς οἰκείοις (65) συντάξασθαι· ἑτέρῳ

[46] Matth. v, 44.

(64) Reg. secundus Ταῦτα μὲν γάρ. Mox duo mss. περὶ ἐκείνων.

(65) Verbum συντάξασθαι videtur hoc loco sumi pro ἀποτάξασθαι, *renuntiare*, *vale dicere*. Scriptor

δὲ οὐδὲ τῷ σώματι τοῦ πατρὸς τεθνεῶτος γῆν ἐπαμήσασθαι. Τῷ μὲν γὰρ συντάξασθαι βουλομένῳ τοῖς οἰκείοις φησίν· *Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν* (66)· τῷ δὲ θάψαι τὸν πατέρα παρακαλοῦντι, *Ἀκολούθει μοι*, φησὶ, καὶ, *Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς*. Καίτοι ἐδόκουν εὐλογωτάτας καὶ δικαιοτάτας ποιεῖσθαι τὰς δεήσεις ἑκάτεροι· ἀλλ' οὐκ ἐπένευσεν ὁ Σωτὴρ, οὐδὲ πρὸς τὸ ἀκαρὲς γοῦν ἀφῆκεν αὐτοῦ χωρίζεσθαι τοὺς τροφίμους τῆς τῶν οὐρανῶν βασιλείας, ἵνα μή τι τοῦ ὑψηλοῦ καὶ οὐρανίου φρονήματος ταπεινότερον ἢ πράξαιεν, ἢ λογίσαιντο τῇ περὶ τὰς γηΐνας καὶ σαρκικὰς διαθέσεις ῥοπῇ, ὡς οὐκ ἐξὸν, τοὺς τὰ οὐράνια φρονοῦντας τῶν ἐπὶ γῆς ἔχειν λόγον τινὰ, ὡς ἤδη μεταστάντας (67) καὶ ὑπερκοσμίους τῇ διανοίᾳ γεγενημένους. Εἰ δὲ λέγοι τις, ὅτι Πῶς οὖν ὁ νόμος κελεύει τῶν οἰκείων φροντίζειν, λέγων· *Καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει*· ὁμοίως δὲ καὶ ὁ Ἀπόστολος· *Εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων*, σύντομον (68) τὴν ἀπόκρισιν παρεξόμεθα· ὅτι ὁ θεῖος Ἀπόστολος πρὸς τοὺς βιωτικοὺς, πρὸς τοὺς τὸν ὑλικὸν πλοῦτον ἔχοντας, καὶ δυναμένους παραμυθεῖσθαι τὴν τῶν συγγενῶν ἔνδειαν, τοῦτο εἴρηκεν. Ὁμοίως δὲ καὶ ὁ νόμος ταῦτά φησι, καὶ ἵνα συντομώτερον εἴπω, πρὸς τοὺς ζῶντας, οὐ πρὸς τοὺς τεθνεῶτας· ἀνεύθυνοι γὰρ παντὸς (69) τοιούτου ὀφλήματος οὗτοί γε.

4. Σὺ δὲ τέθνηκας μὲν, καὶ ἐσταύρωσαι τῷ κόσμῳ παντί. Ἀποταξάμενος γὰρ τῷ ὑλικῷ πλούτῳ, τὴν ἀκτησίαν ἠγάπησας· σεαυτὸν δὲ ἀναθεὶς τῷ Θεῷ, κειμήλιον γέγονας τοῦ Θεοῦ. Ὡς τεθνεὼς, ἐλεύθερος εἶ πάσης τῆς περὶ τοὺς συγγενεῖς εἰσφορᾶς· ὡς ἀκτήμων, οὐδὲν ἔχεις ὃ χορηγήσῃς. Καὶ αὐτὸ δὲ τὸ σῶμα καρποφορήσας, καὶ οὐδὲ ἐκείνου λοιπὸν ἔχων τὴν ἐξουσίαν ὡς ἀναθήματος, οὐ θέμις σοι (70) εἰς ἀνθρώπων χρῆσιν εἶναι· μόνοις δὲ τοῖς ὁμοτρόποις ὡς καὶ αὐτοῖς Θεῷ τὸ πᾶν ἀνακειμένοις συμπολιτεύεσθαι. Πόθεν οὖν σοι ἁρμόσει τὰ μνημονευθέντα ῥήματα τῆς ἁγίας Γραφῆς; ἢ πῶς οὐχ ἁμαρτήσεις τὰς ἑαυτοῦ ὁμολογίας περὶ τὴν ἄσκησιν ἀθετῶν;

pinquis : nec alteri, ut vel cadaver mortui patris humo superinjecta contegeret. Ei enim, qui vale propinquis suis dicere volebat, dixit : *Nemo mittens manum suam ad aratrum, et respiciens retro, aptus est regno cœlorum* [47]. Alteri vero, qui sepelire patrem postulabat : *Sequere me* [48], inquit, et, *Sine ut mortui sepeliant mortuos suos* [49]. Et quidem videbatur uterque rem æquissimam justissimamque rogare : sed Servator non probavit, et ne minimo quidem temporis momento permisit a se disjungi alumnos regni cœlorum, ne alta et cœlesti meditatione humilius aliquid ex quadam ad terrenos et carnales affectus propensione aut facerent, aut cogitarent, cum non liceat cœlestia curantibus aliquam habere rerum terrenarum rationem, velut jam translatis et animo supra mundum evectis. Quod si dixerit quispiam : Quomodo igitur jubet lex curam suscipere cognatorum, his verbis : *Et propinquos seminis tui ne despicias* [50] ; et Apostolus similiter : *Si quis autem suorum et maxime propinquorum curam non habet, fidem negavit, et est infideli deterior* [51], ei paucis respondebimus, hoc a divino Apostolo ad homines sæculo addictos, ad homines qui terrenas opes possidebant, poterantque cognatorum inopiam levare, dictum fuisse. Similiter lex etiam hæc dixit, atque ut dicam brevius, sermo est de viventibus, non de mortuis : quandoquidem hi ab omni hujusmodi debito liberi sunt.

4. Tu autem mortuus es, et toti mundo crucifixus. Rejectis enim terrenis divitiis amplexus es paupertatem : et cum te ipse dicasti Deo, Dei factus es thesaurus. Ut mortuus, liber es ab omni in propinquos pecuniarum collatione : ut nihil omnino possidens, nihil habes quod largiaris. Imo etiam cum ipsum corpus obtuleris, et de cætero ne illius quidem potestatem habeas, tanquam quod res sit Deo consecrata, tibi eo uti non licet ad humanum usum : sed cum iis solis qui iisdem moribus præditi sunt, quandoquidem et ipsi sunt Deo prorsus dicati, versari debes. Qui igitur in te convenient quæ ex sancta Scriptura retulimus verba? aut quomodo peccaturus non es, si fœdus, quod tu ipse de colenda pietate cum Deo inivisti, irritum facias?

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Ὅτι οὐ δεῖ τῆς πνευματικῆς ἀδελφότητος ἀποκόπτεσθαι.

1. Χρὴ μέντοι καὶ τοῦτο πεπεῖσθαι σαφῶς, ὅτι ὁ ἅπαξ εἰς σύνδεσμον καὶ συνάφειαν ἐλθὼν πνευματικῆς ἀδελφότητος οὐχ οἷός τ' ἂν ᾖ (71) ἀποκόπτεσθαι καὶ χωρίζεσθαι τούτων, οἷς συνηρμόσθη. Εἰ γὰρ ἄνθρωποι πολλάκις εἰς κοινωνίαν βίου τούτου τοῦ ὑλι-

CAPUT XXI.

Quod non oportet a spirituali fraternitate resecari.

1. Jam illud quoque pro certo habendum est, eum, qui semel fraternitati spirituali alligatus est et adjunctus, ab iis, quibus ascitus est, nullo modo resecari ac separari posse. Si enim homines sæpenumero in societatem terrenæ hujus vitæ conve-

[47] Luc. IX, 62. [48] ibid. 59. [49] ibid. 60. [50] Isa. LVIII, 7. [51] I Tim. V, 8

enim non obscure respicit ad illud Lucæ IX, 61 : *Sequar te, Domine, sed permitte mihi prius ut dicam vale iis qui sunt domi meæ.*

(66) Reg. primus ἐστιν ἐν τῇ βασιλείᾳ τῶν.

(67) Unus ms. ἤδη μεταναστάντας.

(68) Codex Colb. συντομον αὐτῷ τὴν.

(69) Editi πάντες. At mss. tres παντός.

(70) Vocula σοι addita est ex libris veteribus.

(71) Veteres duo libri ἂν εἴη. Aliquanto post codex Voss. παρὰ τὰ συμβάντα.

nientes, non queunt citra pacta separari: et qui hoc facit, **567** futurus est reus præscriptarum multarum: longe magis qui fœdus inierit spiritualis illius contubernii, quod indissolubilem ac perpetuam conjunctionem habet, is seipsum ab iis quibus permistus est, sejungere ac resecare non poterit. Alioqui, si hoc facit, pœnis gravissimis e cœlo infligendis obnoxium se reddit. Etenim si mulier quæ ad viri pervenit societatem, cum eoque carnali copula conjuncta fuit, si insidias ipsi struxisse deprehendatur, morte multatur: quanto magis qui spirituali societati ascitus est, is, ipso Spiritu sancto teste ac internuntio, reus fit ob secessum?

2. Quemadmodum igitur corporis membra, naturæ vinculo colligata, non possunt a corpore abscindi, aut, si abscissa fuerint, mortuum fit quod absciditur: sic et asceta qui in collegium fratrum cooptatus est, Spiritusque fœdere, quod vinculum est vinculo naturæ fortius, ligatus fuit et vinctus, jam ab iis quibuscum copulatus est, non poterit resecari. Alioqui, si hoc facit, mortuus est animo, et privatus Spiritus gratia, ut qui id fœdus quod eo auctore inierat, violaverit. Si vero aliquis dicat, pravos esse aliquos fratres (non enim omnes accusabit: si quidem non malo consilio pepigere societatem, sic ut uno consensu mali sint omnes); si quis igitur dicat, improbos esse aliquos fratres, et incaute bonum ab his everti, negligi honestatem, haberi despicatui convenientem ascetis disciplinam, ob idque a talibus separari se oportere, is secedendi sufficientem causam non excogitavit. Neque enim Petrus, aut Andreas, aut Joannes propter Judæ nequitiam submoverunt se a reliquo apostolorum choro, neque alius quisquam apostolus hanc ad recedendum ansam arripuit, neque quominus obediret Christo, ob illius pravitatem ullo modo impeditus est: sed documentis Domini obsecuti æmulabantur pietatem ac virtutem, non autem ad imitandam illius perversitatem adducebantur. Sic qui ait: Cogor propter malos a spirituali communitate separari, non idoneam inconstantiæ suæ causam invenit: quin potius terra petrosa est ipse, qui veritatis doctrinam alere non potest ob consilii instabilitatem, sed per modicæ tentationis assultum, aut affectuum vitiosorum intemperantiam, honestum vivendi genus non perfert, statimque teneram doctrinæ germen per vitiorum æstum arescit. Atque causas verisimiles quidem illas, ut sibi

A χοῦ συνερχόμενοι οὐκ ἂν δύναιντο παρὰ τὰ συμβάντα χωρίζεσθαι, ἢ ὁ τοῦτο (72) ποιῶν ἔνοχος ἔσται τοῖς ὡρισμένοις ἐπιτιμίοις· πολλῷ μᾶλλον ὁ εἰς σύμβασιν ἐλθὼν πνευματικῆς συμβιώσεως τῆς ἄλυτον (73) καὶ αἰώνιον τὴν συνάφειαν κεκτημένης οὐχ οἷός τ' ἂν εἴη μερίζειν καὶ ἀποκόπτειν ἑαυτὸν τούτων, οἷς συνεκράθη. Ἢ τοῦτο ποιῶν, βαρυτάτοις ἑαυτὸν τοῖς ἄνωθεν ἐπιτιμίοις ὑποβάλλει. Εἰ γὰρ γυνὴ, ἡ εἰς κοινωνίαν ἀνδρὸς ἀφιγμένη, καὶ σαρκικὴν ἔχουσα τὴν συνάφειαν αὐτοῦ, εἰ (74) τούτῳ ἐπιβουλεύουσα φωραθείη, θανάτῳ καταδικάζεται· πόσῳ μᾶλλον ὁ πνευματικῇ κοινωνίᾳ συναρμοσθεὶς ὑπ' αὐτῷ μάρτυρι καὶ μεσίτῃ τῷ Πνεύματι ὑπόδικος ἐπὶ τῷ χωρισμῷ γίνεται;

B 2. Ὥσπερ οὖν τὰ μέλη τοῦ σώματος, φύσεως συνηρτημένα δεσμῷ, οὐκ ἂν τοῦ σώματος ἀποῤῥήγνυσθαι δύναιτο, ἢ, εἰ ἀποῤῥαγείη, νεκρὸν τὸ ἀποῤῥηγνύμενον γένοιτ' ἄν· οὕτω καὶ ἀσκητὴς ἀδελφότητι συναπτόμενος, καὶ φύσεως ἰσχυροτέρῳ δεσμῷ τῇ τοῦ Πνεύματος ἁρμολογίᾳ κρατούμενος, οὐκ ἂν ἐξουσίαν ἔχοι τέμνεσθαι τούτων, οἷς συνηρμόσθη. Ἢ ποιῶν τοῦτο, νεκρός ἐστι τῇ ψυχῇ (75), καὶ ἐστερημένος τῆς τοῦ Πνεύματος χάριτος, οἷα δὴ τὴν ἐπ' αὐτοῦ σύμβασιν ἀθετήσας. Εἰ δὲ λέγοι τις, ὅτι φαῦλοί τινες τῶν ἀδελφῶν· οὐ γὰρ ἅπαντας αἰτιάσεται· οὐ γὰρ ἐπὶ κακίᾳ τὴν κοινωνίαν πεποίηνται (76), ὥστε πάντας συμφώνως εἶναι κακούς· εἰ οὖν λέγοι, ὅτι φαῦλοί τινες τῶν ἀδελφῶν, καὶ ἀφυλάκτως τὸ ἀγαθὸν παραλύοντες (77), καὶ τῆς κοσμιότητος C ἀμελοῦντες, καὶ τὴν πρέπουσαν ἀσκηταῖς ἀκρίβειαν παρορῶντες, καὶ διὰ τοῦτο προσήκει τῶν τοιούτων χωρίζεσθαι, οὐκ ἀρκοῦσαν ἀπολογίαν τοῦ χωρισμοῦ ταύτην ἐπινενόηκεν. Οὐδὲ γὰρ Πέτρος, ἢ Ἀνδρέας, ἢ Ἰωάννης διὰ τὴν τοῦ Ἰούδα πονηρίαν ἀπεῤῥάγησαν τοῦ λοιποῦ τῶν ἀποστόλων χοροῦ, οὐδὲ ἕτερός τις τῶν ἀποστόλων ταύτην ἀφορμὴν ἀποστάσεως ἐποιήσατο, οὐδέ τι πρὸς τὸ πείθεσθαι τῷ Χριστῷ ὑπὸ τῆς ἐκείνου μοχθηρίας ἐνεποδίσθη· ἀλλὰ τοῖς τοῦ Κυρίου πειθαρχοῦντες διδάγμασι (78), τὴν εὐσέβειαν καὶ τὴν ἀρετὴν ἐζήλουν, οὐ μὴν πρὸς τὴν ἐκείνου πονηρίαν ἐπιστρεφόμενοι. Οὕτως ὁ λέγων, ὅτι Διὰ τοὺς φαύλους χωρίζεσθαι πνευματικῆς ἀναγκάζομαι συναφείας, οὐκ εὔλογον πρόφασιν ἐξεῦρε τῆς οἰκείας ἀβεβαιότητος· ἀλλὰ ἔστι μὲν αὐτὸς γῆ πετρώδης, D τὸν τῆς ἀληθείας λόγον ἐκθρέψαι διὰ γνώμης ἀβεβαιότητα μὴ δυνάμενος, ἀλλὰ διὰ μικροῦ πειρασμοῦ προσβολὴν (79), ἢ ἀκρασίαν παθῶν, τὴν σώφρονα πολιτείαν οὐχ ὑπομένων, εὐθύς τε ἀποξηραίνεται τῷ καύσωνι τῶν παθῶν τὸ τῆς διδασκαλίας ἀρτιφυὲς

(72) Antiqui tres libri præter Combef. Ἢ ὁ τοῦτο. Vocula ἢ in editis desiderabatur.

(73) Codices duo συμβιώσεως τῆς ἄλυτον. Alii duo et editi συμβιώσεως τὴν ἄλυτον. Codex Colb. συμβιώσεως τοῖς ἄλυτον... κεκτημένοις.

(74) Particula εἰ, quam ex veteribus libris addidimus, deerat in vulgatis. Mox tres mss. cum Voss. πολλῷ μᾶλλον. Subinde duo mss. ἐν τῷ χωρισμῷ.

(75) Codex Colb. ἐστι τὴν ψυχήν. Statim duo mss. cum Voss. Πνεύματος χορηγίας.

(76) Editi κοινωνίαν ποιήσεται. Veteres tres libri præter Combef. et Voss. πεποίηνται, recte.

(77) Antiqui duo libri cum Voss. ἀφυλάκτως τὸ καλὸν παραλ. Aliquanto post Reg. secundus ταύτην ἐπινενόηται.

(78) Codex Colb. πειθαρχοῦντες προστάγμασι. Nec ita multo infra duo mss. et Voss. ἐζήλουν, οὐδὲν πρὸς τήν. Subinde duo mss. ἐπιστρέφοντα. Ibidem Vossii vetus liber et alii duo Οὔτε οὖν ὁ λέγων

(79) Veteres duo libri cum Voss. διὰ μικρὰν πειρασμοῦ τινος προσβ.

βλάστημα· προφάσεις δὲ (80) εἰκαίας καὶ οὐκ ἀρκούσας πρὸς ἀπολογίαν ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ κατὰ πληροφορίαν οἰκείαν ἐπινοῶν, καὶ ἑαυτὸν εὐκόλως παραχρουόμενος. Οὐδὲν γὰρ τοῦ ἑαυτὸν ἀπατᾷν εὐκολώτερον, ἐπειδὴ κριτὴς ἕκαστος ἑαυτῷ κεχαρισμένος γίνεται, τὰ ἡδέα κρίνων (81) εἶναι συμφέροντα.

3. Ἔστω τοίνυν ὁ τοιοῦτος κατακεκριμένος παρὰ ἀληθείᾳ δικαζούσῃ, ὡς σκανδάλων ὑπόθεσις πλείοσι καθιστάμενος, ἤτοι πονηρῷ ὑποδείγματι πρὸς ζῆλον τῶν ἴσων ἀτοπημάτων διερεθίζων ἀεὶ, καὶ τοῦ οὐαὶ κληρονόμος γενόμενος. *Καὶ συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς κρεμασθῇ περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης.* Ἐπὰν γὰρ (82) ψυχὴ ἀπόστασιν ἐθισθείη, πολλῆς ἐμπίπλαται ἀκρασίας, πλεονεξίας τε καὶ γαστριμαργίας, ψεύδους τε καὶ πάσης κακοηθείας· καὶ τὸ τελευταῖον εἰς τὸν πυθμένα καταστρέφει τῆς πονηρίας τοῖς ἐσχάτοις ἐμπειρομένη κακοῖς. Ὁ τοίνυν τῶν τοιούτων ὁδηγὸς καθιστάμενος, σκοπείτω πόσων ψυχῶν ἀπωλείας ἔνοχος γίνεται· ὅ γε μηδὲ πρὸς τὰς εὐθύνας τῆς ἑαυτοῦ ψυχῆς ἀρκέσαι δυνάμενος. Τί γὰρ οὐχὶ μᾶλλον ὁ τοιοῦτος μιμεῖται τὸν μέγαν Πέτρον, καὶ ὑπόδειγμα βεβαίας πίστεως, καὶ τῆς περὶ τῶν καλῶν (83) ἐνστάσεως τοῖς λοιποῖς γίνεται, ἵνα, λάμποντος τοῦ φωτὸς τῶν ἐκείνου κατορθωμάτων, καὶ οἱ ἐν σκότει τῆς πονηρίας διάγοντες ἐπὶ τὸ κρεῖττον ὁδηγηθῶσιν; Ἔπειτα δὲ Νῶε μὲν ὁ δίκαιος οὐκ εἶπε πρὸς τὸν Θεὸν, ὅτι Δεῖ με ἐκβῆναι τοῦ κόσμου, ἐπειδὴ πάντες εἰσὶ πονηροὶ, ἀλλ' ἐκαρτέρησε μᾶλλον ἀθλητικῶς (84) καὶ γενναίως, καὶ μεταξὺ ἀβύσσου πονηρίας τὴν εὐσέβειαν ἀχείμαστον διετήρησε, καὶ πρὸς τὸν Δεσπότην οὐδαμῶς ἐστασίασεν, ἀλλὰ ὑπομονῇ καὶ καρτερίᾳ μεταξὺ τῶν κυμάτων τῆς ἀσεβείας τὴν φορτίδα (85) τῆς εὐσεβείας περιεσώσατο. Καὶ Λὼτ ἐν Σοδόμοις, μεταξὺ τοσαύτης ἀσεβείας καὶ παρανομίας καὶ ἀθεσμίας στρεφόμενος, τὴν ἀρετὴν ἀπαράφθορον διεφύλαξεν, οὐδαμοῦ κακαῖς ἑαλωκυῖαν ἐπιβουλαῖς· ἀλλὰ μεταξὺ ξενοκτόνων, καὶ ὕβρει πολλῇ καὶ ἀκολασίᾳ κατὰ τῶν τῆς φύσεως φερομένων θεσμῶν, τὴν ἁγιωσύνην ἀμίαντον αὐτός τε διέσωσε, καὶ τοῖς λοιποῖς, ὡς ἐνῆν, εἰσηγήσατο (86), πράξεσι πρὸ τῶν λόγων τὸ καλὸν ἐκπαιδεύων. Σὺ δὲ προφασίζῃ τὰς τῶν ἀδελφῶν ὀλιγωρίας ἢ οὔσας, ἢ παρὰ σοῦ πλαττομένας, τὴν ἀποστασίαν ἐννοῶν, καὶ τὴν ἀθέτησιν τοῦ ἁγίου Πνεύματος μηχανώμενος (87), καὶ τῆς ἑαυτοῦ πονηρίας καὶ τῶν πόνων τῶν ὑπὲρ

A ipse persuadet, sed quæ tamen ad se defendendum ante tribunal Christi haud satis idoneæ sunt comminiscitur; fallitque semetipsum facile. Nihil enim facilius est, quam seipsum decipere, quod quisque sibi benevolus justoque indulgentior judex est, jucunda judicans esse conducibilia.

3. Quamobrem qui ejusmodi est, sit ipso veritatis **568** judicio condemnatus, tanquam qui multis scandali exsistat occasio, aut etiam pravo suo exemplo semper alios ad hujusmodi flagitia imitanda provocet, et vocis illius *væ* hæres evadat. *Et expedit ei ut suspendatur mola asinaria ad collum ejus, et demergatur in profundum maris* [52]. Cum enim semel anima defectioni assuefacta fuerit, B multa intemperantia repletur, avaritiaque, et edacitate, mendacio atque malignitate omni, et postremo in imam nequitiam fertur, malis extremis infixa. Qui igitur talium dux exstiterit, consideret quot animarum interitus reus fiat: qui tamen ne animæ quidem suæ rationi reddendæ par esse possit. Cur enim qui ejusmodi est, non magis imitatur magnum Petrum, fitque reliquis firmæ fidei et constantis in bonis animi exemplum, ut fulgente virtutum illius splendore, etiam ii qui in nequitiæ tenebris degunt, ad quiddam melius deducantur [53]? Deinde vero Noe justus ille haudquaquam Deo dixit: Oportet exire me de mundo, cum sint pravi omnes; sed potius athletico ac generoso C animo perseveravit, servavitque in pravitatis abysso tranquillam ac pacatam pietatem, nec unquam dissensit a Domino, sed per patientiam ac tolerantiam in mediis impietatis fluctibus pietatis onerariam navim tutam et incolumem præstitit [54]. Et Lot in Sodomis inter tantam impietatem iniquitatemque ac injustitiam degens, virtutem incorruptam custodivit, neque ullis omnino passus est pravis insidiis circumventam captivamque teneri: atque inter hospitum interfectores, eosque qui multa petulantia atque libidine contra naturæ leges ferebantur, et ipse conservavit sanctitatem incontaminatam, et reliquos ad eam exhortatus est pro virili, prius factis quam verbis edocens bonum ac virtutem. Tu vero meditans defectionem, ac Spiritus sancti secessum excogitans, fratrum negli- D gentias aut veras aut a te confictas prætendis, facisque, ut illata fratribus calumnia quasi quoddam

[52] Matth. XVIII, 6. [53] Gen. VI, 9. [54] Gen. XIX.

(80) Sic antiqui tres libri, non ut editi, in quibus vocula δέ non legitur. Aliquanto post codex Voss. εὐκόλως ἀποκρουόμενος.

(81) Codex Colb. τὰ ἴδια κρίνων. Nec ita multo infra idem ms. καθιστάμενος, οἱ τῷ... διερεθίζονται.

(82) Reg. secundus ἐὰν γάρ. Statim duo mss. cum Voss. ἐθισθῇ. Subinde codex Colb. πονηρίας τοῖς αἰσχίστοις.

(83) Codex Colb. περὶ τὸ καλόν.

(84) Antiqui duo libri μάλα ἀθλητικῶς.

(85) Editi τὴν φροντίδα. Regii tertius et quartus τὴν φορτίδα, bene. Alius codex itidem Regius utramque scripturam exhibet, primam prima manu, secundam secunda. Subinde duo mss. perinde ut Voss. οὐδαμοῦ κακίας.

(86) Veteres duo libri et editi διηγήσατο. Alii duo cum Voss. εἰσηγήσατο, rectius.

(87) Illud, καὶ τὴν ἀθέτησιν τοῦ ἁγίου Πνεύματος μηχανώμενος, addidimus ex Colbertino, nec aliter legitur in Vossii veteri libro et in Reg. primo, nisi quod vox ἁγίου in his libris desit. Statim editi τῶν πόνων τῶν πόνων· sed vox πόνων et inepte et contra veterum librorum fidem bis edita fuerat. Mox codex Voss. τὴν τῶν ἀρετῶν ἐργάζῃ.

velamentum sit et tuæ pravitatis, et tuæ in laboribus segnitiei, quos pro virtute debueras subire.

4. Quare qui talis fuerit, his exemplis ad frugem meliorem revocatus, in pactis cum Spiritu initis acquiescat, quibus se in primis cœlestis partus incunabulis devinxerat. Neque enim si contigerit, ut unus digitus molesti aliquid in manu perferat, continuo etiam alius resecari pertinaciter volet : sed primum quidem dolorem effugiet amputationis, deinde vero permanebit firmus et constans, ut et operam eam quæ a periclitante danda esset, det ipse corpori, et ne manus omnino ramis naturalibus spoliata, proprio et innato ornatu privetur. Velim igitur transferas **569** exemplum ad ascetam, et considera quantum dolorem ac dedecus animis acri sensu præditis per resectionem afferat, et quomodo constituat seipsum mortuum et vitæ exsortem. Quod autem præceptor discipulum suum ad pravitatem inducere non velit, sic ut prava magistri institutio causa discipulo sit secessus atque defectionis, hoc modo, si placet, consideremus. Quid est pater? quid vero est magister? Pædotriba uterque. Alter quidem filio, alter vero discipulo studiose precatur ac vult meliora. Siquidem et illud naturale patribus est, ut optent liberos sibi esse quam optimos et prudentissimos, honestissimosque ac modestissimos : quo et filii clari sint, et patres virtutibus filii ad se redundantibus magis inclarescant. Similiter et palæstræ magistri, quos ipsi exercent, eos et strenuissimos et peritissimos efficere student, ut cum fortiter ac perite prosperum certamen peregerint, adversariorum fiant splendidi victores, eorumque legitima pugna manifesta laus sit magistrorum. Quisquis autem animum ad docendum induxit, naturaliter vult discipulos suos ad perfectissimam documentorum suorum cognitionem pervenire. Cum igitur ita sint natura affecti patres, quomodo non optarit sanctitatis doctor, ut suus discipulus reddatur optimus, ac spirituali sapientia sapientissimus? præsertim cum sciat, se, si suus discipulus talis evaserit, tum apud homines futurum celebrem, tum a Christo eximias coronas consecuturum, quandoquidem famulos illius, vel, ut rectius dicam [55], fratres, quando et hac voce uti Christus voluit, diligentia ac cura sua effecit ipsius consortio dignos.

5. Sed et aliud præterea consideremus, quod si malus evaserit discipulus ob ipsius institutionem, inurenda sit magistro judicii tempore indelebilis

A ἀρετῆς οκνηριας παραπέτασμα τὴν τῶν ἀδελφῶν ἐργάζῃ διαβολήν.

4. Ὥστε σωφρονισθεὶς ὁ τοιοῦτος τοῖς ὑποδείγμασι, στεργέτω τὴν ἁρμονίαν τοῦ Πνεύματος, ἣν ἑαυτῷ (88) περὶ τὰς πρώτας σπαργανώσεις τῆς οὐρανίου κυήσεως συνηρμόσατο. Οὔτε γὰρ, εἰ συμβαίη ἐπὶ τῆς χειρὸς ἕνα τῶν δακτύλων παθεῖν τι τῶν ἀνιαρῶν, ἤδη καὶ ὁ ἕτερος ἐκτμηθῆναι φιλονεικήσει· ἀλλὰ φεύξεται μὲν πρῶτον τὸ ἀλγεινὸν τῆς τομῆς, ἔπειτα δὲ καὶ στεῤῥῶς παραμενεῖ, ὥστε καὶ τὴν τοῦ κινδυνεύοντος ἀντεισφέρειν χρείαν τῷ σώματι, καὶ μὴ πάντῃ τὴν χεῖρα τῶν φυσικῶν κλάδων ἀφαιρεθεῖσαν ἀποσυληθῆναι τοῦ οἰκείου κόσμου καὶ προσφυοῦς. Μετένεγκε τοίνυν ἐπὶ τὸν ἀσκητὴν τὸ ὑπόδειγμα, καὶ σκόπησον ὅσον ἄλγος καὶ ἀκοσμίαν ταῖς αἰσθητικαῖς ψυχαῖς τῇ B ἀποκοπῇ κατεργάζεται, καὶ ὅπως ἑαυτὸν νεκρὸν καὶ ζωῆς ἀμέτοχον ἀποφαίνει. Ὅτι δὲ ὁ ἀφηγούμενος οὐκ ἂν ἕλοιτο τὸν αὐτῷ μαθητευόμενον πρὸς πονηρίαν ενάγειν, ὥστε τὴν πονηρὰν ἀγωγὴν τοῦ διδασκάλου πρόφασιν τῷ μαθητῇ χωρισμοῦ γενέσθαι καὶ ἀποστάσεως, οὕτως, εἰ δοκεῖ, σκεψώμεθα. Τί μὲν πατήρ; τί δὲ διδάσκαλος; Παιδοτρίβης ἑκάτερος. Ὁ μὲν γὰρ τῷ παιδὶ, ὁ δὲ τῷ μαθητῇ εὔχεσθαί τε τὰ κρείττονα καὶ βουλεύεσθαι διεσπούδακε. Φύσις μὲν γὰρ πατράσιν εὔχεσθαι τοὺς παῖδας ὡς βελτίστους καὶ φρονιμωτάτους γενέσθαι, κοσμιωτάτους τε καὶ μετριωτάτους, ἵνα οἱ μὲν παῖδες εὐδοκιμοῖεν, οἱ δὲ πατέρες εὐκλεέστεροι γένοιντο τῇ ἐπ' αὐτοὺς ἀναφορᾷ τῶν καλῶν τοῦ παιδός· σπουδὴ δὲ καὶ παιδοτρίβαις ἀλκιμωτάτους τε καὶ τεχνικωτάτους τοὺς ὑπ' αὐτῶν C ἀσκουμένους γενέσθαι, ἵνα, ῥώμῃ καὶ ἐμπειρίᾳ περιδέξιον τὸ ἀγώνισμα ποιησάμενοι, λαμπροὶ νικηταὶ τῶν ἀντιπάλων ἀποδειχθῶσι, καὶ ἡ τούτων ἔννομος ἄθλησις (89) τῶν καθηγουμένων σαφὴς ἔπαινος γένηται. Φύσις δὲ παντὶ τῷ διδάσκειν προῃρημένῳ τὸ θέλειν εἰς ἀκριβεστάτην κατάληψιν ἀφικέσθαι τῶν διδαγμάτων τοὺς μαθητάς. Τῆς τοίνυν τῶν πατέρων (90) φύσεως τοῦτον ἐπεχούσης τὸν λόγον, πῶς οὐκ ἂν καὶ ὁ τῆς ὁσιότητος παιδευτὴς τὸν παρ' αὐτοῦ παιδευόμενον εὔξαιτο ἀκακώτατόν τε καὶ σωφρονέστατον τὴν πνευματικὴν σοφίαν ἀποδειχθῆναι; καίπερ σαφῶς ἐπιστάμενος, ὅτι, τοιούτου γενομένου τοῦ μαθητοῦ, καὶ παρὰ ἀνθρώποις εὐκλεὴς ἔσται, καὶ παρὰ τοῦ Χριστοῦ λαμπροὺς ὑποδέξεται (91) τοὺς στεφάνους, ὡς τοὺς οἰκέτας αὐτοῦ, μᾶλλον δὲ εἰπεῖν, D ἀδελφοὺς, ἐπειδὴ καὶ τοῦτο Χριστὸς εἵλετο, ἀξίους τῆς πρὸς αὐτὸν οἰκειώσεως διὰ τῆς αὐτοῦ ἐπιμελείας ἀπεργασάμενος

5. Καὶ ἕτερον δὲ σκοπῶμεν, ὡς, εἰ φαῦλος ὁ μαθητὴς γένοιτο παρὰ τὴν αὐτοῦ ἀγωγὴν, αἰσχύνην ἀπαρηγόρητον ἕξει ἐπὶ τῆς οἰκουμενικῆς κατὰ τὸν τῆς

[55] Matth. XII, 49.

(88) Veteres duo libri et editi ἣν ἑαυτῷ. Alii duo mss. ἣν αὐτόν. Codex Voss. ἣν ἑαυτόν. Ibidem Vossii vetus liber et alii duo παρὰ τάς· quem locum ita ad verbum interpretabere, *quam sibi in primis cœlestis partus fasciis aptavit*. Hoc est, *quam ipse professus est in primis cœlestis partus incunabulis, seu initiis*. Vocula τι addita est non longe ex Combefisii veteri libro. Subinde codex Colb. φιλονεικεῖν.

(89) Codex Colb. ἔννομος ἄσκησις.

(90) Vossii vetus liber et alii duo Τῆς τοίνυν τῶν πραγμάτων, *cum igitur res ita se habeant suapte natura*.

(91) Sic veteres aliquot libri. Editi παρὰ Χριστοῦ λαμπροὺς ἀποδέξηται.

κρίσεως καιρον πανηγύρεως ὁ ὑφηγούμενος, καὶ ἐπὶ τοῦ πανδήμου τῶν οὐρανίων ἀθροίσματος (92) οὐκ αἰσχυνεῖται μόνον, ἀλλὰ καὶ κολασθήσεται. Πόθεν οὖν ἐγγενήσεται τὸ μὴ οὐχὶ θελῆσαι τὸν καθηγούμενον κόσμιόν τε καὶ ἐπιεικῆ γενέσθαι τὸν οἰκεῖον ὁμιλητήν; Καὶ ἄλλως δὲ ἀλυσιτελὴς τῷ διδασκάλῳ ἡ τοῦ μαθητοῦ πονηρία. Ἐπειδὴ γὰρ τὴν πρὸς ἀλλήλους ἑκάτερος (93) συμβίωσιν εἵλοντο, ἧς ἂν μετάσχῃ πονηρίας ὁ μαθητής, τῶν ταύτης καρπῶν πρῶτον μεταδίδωσι τῷ διδασκάλῳ· ὥσπερ τὰ ἰοβόλα τῶν ἑρπετῶν τοῖς θάλπουσι πρῶτον ἐνίησι τὸν ἰόν· ὡς εἶναι πάντοθεν δῆλον, ἔκ τε τῆς φύσεως τῶν πραγμάτων, ἔκ τε τοῦ λυσιτελοῦντος τῷ ἄγοντι, ὅτι εὔξεται, καὶ πάντα τρόπον σπουδάσει, ἐπιεικῆ τε καὶ κόσμιον τὸν ὑπ' αὐτῷ παιδευόμενον καταστῆναι. Εἰ μὲν γὰρ ἦν κακίας καὶ πονηρίας ἀλείπτης, πρὸς τοῦτο πάντως ἄγειν ἂν τὸ πέρας τοὺς παρ' αὐτοῦ ἀσκουμένους ἐσπούδακεν· εἰ δὲ ἀρετῆς καὶ δικαιοσύνης ἐστὶ παιδευτής, οὐκ ἂν ἐναντίον οἶμαι τοῖς οἰκείοις σπουδάσμασι τὸ πέρας ἐπὶ τὸν μαθητευόμενον (94) ἐκβῆναι ἕλοιτο. Ἅπασα τοίνυν πρόφασις εὔλογος τῷ βουλομένῳ χωρίζεσθαι πνευματικοῦ συστήματος περιῄρηται. Αἰτία δὲ αὐτῷ ἀπεδείχθη τῆς τοιαύτης γνώμης ἡ τῶν παθῶν ἀκρασία, καὶ ἡ περὶ τοὺς πόνους ὀλιγωρία, καὶ τὸ τῆς κρίσεως σαθρὸν (95) καὶ ἀβέβαιον. Οὐ γὰρ ἤκουσεν οὗτος παρὰ τοῦ προφήτου Δαβὶδ, ὅτι *Μακάριοι οἱ φυλάσσοντες κρίσιν*· οἱ φυλάσσοντες, οὐχὶ οἱ καταλύοντες. Οὗτοί εἰσιν οἱ τοῖς μωροῖς ὁμοιωθέντες, οἱ ἐπὶ τῆς ψάμμου, τῆς κατὰ τὴν γνώμην ἀβεβαιότητος, τὸν θεμέλιον τῆς πνευματικῆς τιθέντες οἰκοδομῆς, ὃν ὀλίγαι ψεκάδες πειρασμῶν, καὶ βραχὺς χείμαῤῥος τῶν τοῦ πονηροῦ ἐφόδων (96), ὑφελκύσας τὴν ὑποβάθραν, διέλυσέ τε καὶ διεσκόρπισεν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ ὑπακοῆς πληρέστερον.

1. Ὅπως μὲν οὖν προσήκει τὸν ἅπαξ ἑνωθέντα πνευματικῷ συστήματι φυλάττειν τὴν ἕνωσιν ἀδιάλυτον, κατὰ τὸ ἐνὸν ὑπεθέμεθα. Νῦν δ' αὖ πάλιν τὸν περὶ τῆς ὑπακοῆς λόγον γυμνάσωμεν· καὶ πρότερον μὲν διὰ βραχέων ἐπελθόντες, νῦν δὲ τελειότερον ἐκτιθέμενοι· καὶ δείξωμεν, ὁπόσην ὁ ἀκριβὴς ἀπαιτεῖ λόγος παρὰ τῶν ἀσκητῶν τῷ προεστῶτι τὴν εὐπείθειαν. Ἐξ αὐτῆς γὰρ τῆς ἁγίας Γραφῆς πειράσομαι ταύτης τὸ μέτρον διασαφῆσαι. Παῦλος ὁ ἀπόστολος, Ῥωμαίοις ἐπιστέλλων, προστάσσει (97) πάσαις ἐξουσίαις ὑπερεχούσαις ὑποτάσσεσθαι, ἐξουσίαις ταῖς τοῦ

ignominia coram orbis terrarum publico conventu, nec sit modo pudore afficiendus coram universo cœlitum agmine, verum etiam puniendus sit. Unde igitur fiet, ut præceptor discipulum suum bene moratum ac modestum esse nolit? Et alioqui magistro non profutura est discipuli pravitas: cum enim ambo alter cum altero ætatem degere statuerit, in quod vitium discipulus inciderit, ejus fructus primum cum magistro communicat; more venenatorum serpentum, qui a quibus foventur, in eos primum virus immittunt. Quare perspicuum est undique, cum ex rerum natura, tum ex utilitate instituentis, optaturum ipsum, ac curaturum omni modo, ut suus discipulus fiat probus ac modestus. Etenim si malitiæ ac nequitiæ foret magister, ad hunc omnino finem eos qui ab ipso exercentur, studeret perducere: si vero doctor est virtutis ac justitiæ, haudquaquam volet, opinor, discipulum suum ad contrarium suis ipsius studiis
570 finem pervenire. Itaque æquus omnis prætextus sublatus est ei, qui vult a spirituali societate separari. Posita est autem ipsi ob oculos causa hujus consilii, intemperantia affectuum, laborum negligentia, corruptela ac instabilitas judicii. Non enim audivit is a propheta David, *Beati qui custodiunt judicium* [86]; qui custodiunt, non qui evertunt. Hi sunt qui fatuis assimilantur: qui super arenam inconstantiæ mentis, ædificii spiritualis posuerunt fundamentum, quod paucæ tentationum guttæ, et modicus torrens ab illius maligni assultibus excitatus, subtracto fulcro, dissolvit ac disjicit.

CAPUT XXII.

De obedientia uberius.

1. Quomodo quidem indissolubilis conjunctio ab eo, qui se semel spirituali societati adjunxerit, servanda sit, quoad potuimus, ostendimus. Verum nunc iterum de obedientia instituamus sermonem, et quod superius paucis perstrinximus, nunc diligentius explicemus, ostendamusque quantam exigat ab ascetis erga præfectum obedientiam accurata doctrina. Ex ipsa enim Scriptura adnitar modum illius ac mensuram declarare. Ad Romanos scribens apostolus Paulus, subjici eos et potestatibus cunctis supereminentibus jubet, mundanis, inquam, non

[86] Psal. cv, 3.

2. Ἕστηκέ τις ἐνταῦθα φθόνῳ τὴν ψυχὴν κεκακωμένην ἔχων; Εἴη μὲν οὖν μηδένα εἶναι· καὶ τοῦτο ἐμοὶ εὐχὴ ἐστι πρέπουσα. Ἀλλ' ἐπειδὴ δύσκολον ἐν ἀνθρωπίνῃ φύσει μὴ εἶναι ἕν τι τῶν παθῶν μικρὸν ἢ μεῖζον, ἕκαστος ἐκ τῶν εἰρημένων ἐκλεγέσθω τὴν ὠφέλειαν. Βάσκανος εἶ; λάβε τὴν θεραπείαν· Θυμώδης εἶ; πρόκειταί σοι ἡ ἴασις. Διαλέγεται γὰρ περὶ τούτων πάντων. Καὶ, εἰ δυνατὸν, ἐροῦμεν βραχέα ἀφ' ἑκάστου τῶν εἰρημένων ἀπανθιζόμενοι. Πλεονέκτης εἶ; ἐνταῦθα ἡ ἴασις. Ὑπερήφανος εἶ; ὧδε δαμάσεις τὴν ὑπερηφανίαν· ὧδε κολάσεις τῆς ψυχῆς τὸ ὕψος, ἐὰν θελήσῃς. Πάντα, ὥσπερ πηγῆς βρυούσης, ἀρυόμενος τὰ ἀγαθὰ τῶν λόγων τῶν πνευματικῶν, οὕτω πλουσίως σεαυτῷ ἐπαντλήσας ἐπάνιθι. Εἴρηται πρῶτος λόγος ἐν Παροιμίαις, κατὰ τὸ εἶδος τὸ παροιμιακὸν, πρὸς γυμνασίαν τοῦ νοῦ τοῦ ἡμετέρου τῆς ἀσαφείας ἐπιτεθείσης, ὅτι « Ὁ βλέπων λεῖα ἐλεηθήσεται. » Ἆρα αὐτόθεν ἥρπασας τὴν διάνοιαν τοῦ ῥήματος, ἢ ἐπιζητεῖς, ὅγε φιλόπονος ἀκροατὴς, πῶς ὁ λεῖα βλέπων ἐπαινεθήσεται (89); Ἐπαινετὰ γάρ ἐστι τὰ κατὰ προαίρεσιν. Ὁρῶμεν δὲ οἱ ἄνθρωποι οὐχ ὁποῖα βουλόμεθα (90), ἀλλ' ὁποῖα ἡ φύσις τῶν ὁρωμένων ἐστίν. Ὥστε ἐὰν μέν τι τραχὺ ᾖ κατὰ τὴν ἐπιφάνειαν, οἷον ὑπάρχει τῇ φύσει, τοιοῦτόν ἐστιν ὁραθῆναι· ἐὰν δὲ τοῖς λείοις ἐπιβάλωμεν τὰς ὄψεις τῶν ὁρωμένων, πόθεν ὁ ἔπαινος τῷ ὁρῶντι τὰ λεῖα; Λεῖά ἐστιν, ἃ τὴν ἐπιφάνειαν ὡμαλισμένην ἔχει· τραχὺ δέ ἐστιν, ὃ ἀνωμάλως σύγκειται κατὰ τὴν πρώτην ὄψιν. Ἐπεὶ τοίνυν ἀνώμαλός ἐστι τῶν ὁρωμένων ἡ φύσις, πῶς ἐπαινεῖ ἡ Γραφὴ τὸν βλέποντα λεῖα ὑπὲρ τὸν τὰ τραχέα; Καὶ κατακρίνει τὸν ὄρη (91), καὶ σκοπέλους, καὶ φάραγγας, καὶ ὕλης πυκνότητα, καὶ γεννήματος συνέχειαν τραχύνουσαν τὴν ἐπιφάνειαν, ἢ καὶ θάλασσαν πολλάκις ὑπὸ ἀνέμων τραχυνομένην, ἢ καὶ γῆν ὑπὸ ἀρότρου σχιζομένην, καὶ ἀντὶ τῆς λειότητος εἰς τραχέα διακοπτομένην. Ἆρα ὁ ταῦτα βλέπων κατακριθήσεται; Καὶ ποῦ ἡ δικαιοκρισία τοῦ Θεοῦ, εἰ ἃ ἀκουσίως πάσχομεν, ἐπὶ τούτοις καταδικαζόμεθα; Ἐὰν ἴδω τὴν φύσιν τῆς γῆς ἀνωμάλως ἔχουσαν (ἐπειδὴ γὰρ οἵα ἐκτίσθη, τοιαύτη ὁρᾶται), ἐπὶ τούτοις ἐγὼ καταδικάζομαι; Ἀλλὰ νόει μοι ὑψηλῶς, « Ὁ βλέπων λεῖα. » Παρεστήκασί σοι ἀδελφῶν διαφοραί· ὁ μὲν πένης, ὁ δὲ πλούσιος· ὁ μὲν ξένος, ὁ δὲ οἰκεῖος, ἢ δικάζοντί σοι κρινόμενοι, ἢ μεταδιδόντι σοι χρῄζοντες (92). Ἐὰν κάθῃ κρίνων, μὴ βλέπε ἀνώμαλα, μὴ τὸν πλούσιον ὑψηλὸν, τὸν δὲ πένητα ταπεινόν. Ἐὰν παραστῇ τῇ θύρᾳ σου ὁ τὴν χρείαν αὐτοῦ ἐπανορθωθῆναι ζητῶν, μηδὲ οὕτως ἀνώμαλα ἴδῃς. Μὴ εἴπῃς· Οὗτος

(89) Paulo ante habent quidem et editi et veteres libri omnes ἐλεηθήσεται· sed hoc loco ita variant, ut in editione Paris. et Colb. secundo legatur quoque ἐλεηθήσεται, *misericordiam consequetur*, editio vero Basil. et Colb. tert. et Coisl. et tres Regii habeant ἐπαινεθήσεται. Hic autem locus non occurrit in Proverbiis, nisi quis dicat versiculum esse 25 cap. IV: Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, *oculi tui recta videant*. Neque vero quidquam in *Hexaplis* invenitur, quod nos ullo modo juvet. Aquilas et Theodotio ita interpretati sunt, Οἱ ὀφθαλμοί σου εὐθυνέσθωσαν κατεναντίον· *Oculi tui dirigantur ex adverso*. Symmachus, Οἱ ὀφθαλμοί σου εἰς τὸ εὐθὺ βλεπέτωσαν· *Oculi tui in rectum aspiciant*.

(90) Antiqui duo libri οὐχ οἷα βουλόμεθα.

(91) Hic ellipsis est. Etenim post verbum κατακρίνει supplenda est vox βλέποντα· *sic damnat eum, qui videt montes*, etc.

(92) Veteres duo libri μεταδιδόντι οἱ χρῄζοντες. Statim Colb. primus μὴ τὸν μέν.

φίλος, οὗτος συγγενὴς, οὗτος εὐεργέτης· ἐκεῖνος ξένος, ἀλλότριος, ἄγνωστος. Ἀνώμαλα βλέπων, οὐκ ἐλεηθήσῃ· λεῖα βλέπε. Φύσις μία, ἄνθρωπος καὶ οὗτος κἀκεῖνος. Χρεία μία, ἔνδεια ἐν ἀμφοτέροις ἡ αὐτή. Δὸς τῷ ἀδελφῷ καὶ τῷ ξένῳ. Μήτε τὸν ἀδελφὸν ἀποστραφῇς, καὶ τὸν ξένον ἀδελφὸν οἰκεῖον ποίησαι. Λεῖα οὖν χρὴ βλέπειν. Μὴ πρόκρινε τὸν φίλον ἀπὸ τοῦ ἀλλοτρίου, τὴν χρείαν ἑαυτοῦ ἐπανορθούμενον (93). Βούλεταί σε παραμυθητικὸν εἶναι τῶν δεομένων, οὐ προσωπολήπτην, οὐ τῷ συγγενεῖ διδόντα, τὸν δὲ ξένον ἀπωθούμενον. Πάντες συγγενεῖς, πάντες ἀδελφοὶ, ἑνὸς πατρὸς ἔκγονοι πάντες. Ἐὰν τὸν πνευματικὸν ζητῇς πατέρα, ὁ οὐράνιος (94)· ἐὰν τὰ γήινα ζητῇς, μήτηρ ἡ γῆ, καὶ ἀπὸ τοῦ αὐτοῦ πηλοῦ διηρτίσμεθα πάντες. Ὥστε ἀδελφὴ ἡ φύσις κατὰ σάρκα, ἀδελφὴ ἡ γένεσις ἡ κατὰ πνεῦμα. Τὸ αὐτό σοι αἷμα φορεῖ ἀπὸ τοῦ πρώτου ἀνθρώπου· τὴν αὐτήν σοι χάριν ἔλαβε παρὰ τοῦ Δεσπότου. Βλέπε οὖν λεῖα, ἵνα ἐλεηθῇς. Μὴ εἴπῃς· Οὗτος πλούσιος, καὶ τιμῆς ἄξιος· ἐκεῖνος πένης, καὶ φαυλίζω τὸν πένητα· μηδὲ ταῖς ὑπεροχαῖς (95) ταύταις ἀνωμάλως διάνεμε τὰς τιμάς. Ἔστι γὰρ ὁ πλούσιος ψεύστης, ὁ πλούσιος ἅρπαξ, ὁ πλούσιος πόρνος, ὁ πένης δίκαιος. Μὴ τοίνυν τῇ ἔξωθεν ἐπιφανείᾳ πρόσεχε, ἀλλ' εἰς τὸ κρυπτὸν εἰσερχόμενος, ἐκεῖ τὰς διαφορὰς διάνεμε. Τίμα τὸν τὰ τίμια κεκτημένον. Τί τιμιώτερον, ἀρετὴ ἢ πλοῦτος; Τί ἐκ τῶν ἔξωθεν δοκιμάζεις, τὰ κρύφια μὴ διερευνώμενος; Ὁρᾷς, ὅτι ὁ Βὴλ ἔξωθεν μὲν εἶχε χαλκὸν, ἔνδοθεν δὲ πηλὸν τῷ περιαστράπτοντι χαλκῷ ὑποκρυπτόμενον. Ἐὰν ἴδῃς τοὺς ἐν τῷ βίῳ περιφανεῖς, γίνωσκε, ὅτι χαλκὸς αὐτοῖς περιλάμπει, ἔνδοθεν δὲ πηλός εἰσι, τοῦ χαλκοῦ τὸ σαθρὸν ὑπερείδοντος. Πολλοὶ μὲν χρυσὸν ἔχουσιν ἔνδον, ὄστρακον δὲ ἔξωθεν περικείμενον. Οὗτος ὁ θησαυρὸς ὁ ἐν ὀστρακίνῳ σκεύει κεκαλυμμένος. Οὗτος σωφρονεῖ, κἀκεῖνος πορνεύει. Τίς πλουσιώτερος, ὁ τὴν σωφροσύνην ἔχων, ἢ ὁ τὰ χρήματα ἐξ ἀδικίας συνειλεγμένα; Τούτου τὸ μνημόσυνον ἀναφαίρετον· ἐκείνου ὁ πλοῦτος πρόσκαιρος. Τοῦτο κλέπτης οὐ διορύσσει· ἐκεῖνο σήμερον (96) ἀνθεῖ, αὔριον δὲ ἀπομαραίνεται. Ὥστε βλέπε λεῖα, ὁμοτίμως κατὰ τὸ αὐτό· τὴν μέντοι διάκρισιν τῶν τιμίων μὴ ἀφανίσῃς, ἵνα ἦς ἠλεημένος.

A perem humilem. Si foribus tuis astiterit qui penuriæ suæ quærat levamen, ne sic quidem videas inæqualia. Ne dixeris : Hic amicus est, hic consanguineus, hic auctor est collati in me beneficii, ille peregrinus, alienus, ignotus. Inæqualia si videas, non consequere misericordiam ; levia vide. Natura est una : tum hic tum ille homo est. Penuria una, egestas in utroque eadem : fratri da, et peregrino, et cave fratrem averseris : peregrinum autem pro fratre babe. Itaque levia videre operæ pretium est. Amicum egestati suæ consulentem alieno ne præponas. Vult Deus te indigentibus solatium afferre, nullam personarum rationem habere, non propinquo dare, peregrinum vero repellere. Omnes propinqui, omnes fratres, unius patris filii omnes. B Spiritualem patrem si quæris, ille cœlestis est : terrena si quæris, mater est terra, atque ex eodem luto conflati sumus omnes. Quare natura, quæ est secundum carnem, germana est : germana quoque est ea, quæ secundum spiritum est generatio. Eumdem sanguinem a primo homine habet, quem tu : eamdem a Domino gratiam accepit, quam tu. Vide igitur levia, ut misericordiam consequare. Ne dixeris : Hic dives est, et honore dignus : ille pauper, sed pauperem parvi facio : neque his vitæ conditionibus quibus alter alteri præstat inæqualiter honores distribuas. Est enim dives mendax, dives rapax, dives scortator, pauper justus. Itaque ne attende externæ speciei : sed occulta penitioraque ingressus, illic differentias distribue, honora C qui quæ honore digna sunt possidet. Utrum magis honorandum, virtus an divitiæ? Quid ex iis quæ externa sunt, probas hominem, ea vero quæ abdita sunt, non scrutaris [28]? **589** Vides Bel extrinsecus quidem æs habuisse, intrinsecus vero lutum sub fulgente ære absconditum. Si videris eos qui in mundo illustres sunt, scias eos ære circumfulgere, intus vero lutum esse, ære quod putre est suffulciente. Multi quidem aurum intus habent, testam vero forinsecus circumpositam. Hic est thesaurus in testaceo vase reconditus. Hic pudicam vitam agit, ille scortatur. Uter ditior, qui pudicitiam colit, an qui habet pecunias inique collectas? Illius indelebilis est memoria ; hujus divitiæ temporariæ sunt. Hoc fur non perfodit, illud hodie floret, cras marcescit. Proinde vide levia ex æquo, una eademque ratione, sed tamen eorum quæ honore digna sunt discretionem e medio ne sustuleris, misericordiam ut nanciscare.

3. « Καὶ ἀνδρὶ θυμώδει μὴ συναυλίζου. » (97) Εἰπὲ

3. « Et ne habites una cum viro iracundo [29]. »

[28] Dan. XIV, 6. [29] Prov. XXII, 24.

(93) Editio Paris. αὐτοῦ ἐπανορθούμενος. Reg. tertius ἑαυτοῦ ἐπανορθούμενος. Editio Basil., duo Colb., Coisl. et Reg. secundus ἑαυτοῦ ἐπανορθούμενον, quam scripturam sequimur, non quod multum nobis arrideat, sed quod ita comparati simus, ut a multis codicibus inter se consentientibus ægre discedamus.

(94) Utraque editio et Reg. tertius πατὴρ, ὁ οὐράνιος. At Colbertini duo πατέρα, ὁ οὐράνιος· ubi notari potest pro ζητῇς in Colb. tertio legi εἴπῃς.

(95) Illud, ταῖς ὑπεροχαῖς, etc., sic verterat interpres vetus : *Noli in distribuendis honoribus respe-* D *ctus habere inæquales.* Sed quoniam voces ταῖς ὑπεροχαῖς expressæ non fuerant, maluit ita interpretari Combefisius · *neque his excessibus inæqualiter honores distribuas;* quorum verborum sententiam si non sumus consecuti, at consequi tamen conati sumus.

(96) Antiqui duo libri Coisl. et Colb. tertius ἐκεῖνος σήμερον. Editi et alii mss. ἐκεῖνο. Si legas ἐκεῖνος, supple vocem πλοῦτος · sin autem legere malueris ἐκεῖνο, supple vocem πρᾶγμα.

(97) Illud, *Εἰπὲ δὲ, ὅτι*, etc., ita Latine reddidit vetus interpres : *Dic, age, estne inter vos quisquam*

Es autem dicturus : Est inter nos qui sit gloriæ cupidus, qui tamen iracundus non sit. Gloriæ cupidus es? Non vides levia. Iracundus es? « Et ne habites una cum viro iracundo. » Vides quam paucis verbis peccata corrigantur, nisi forte aures vestras duntaxat per vocem pulsemus, in cor vero dictorum intelligentiam non transmittamus. Sed sic tecum reputa : ubinam lectum est quod ad me spectat? Quæ de iracundis lecta sunt, agnosce tu qui iracundus es. Dicito : Hic meus est morbus, meam agnosco infirmitatem, accipe medelam. Quod si adeas medicum, et videris pretiosa medicamenta in variis tabulis collocata, considerabis quid morbo tuo conveniat. Non qui pedem offendit, quærit oculi curationem : sed qui oculum male affectum habet remedium morbi hujus proprium conquirit. Sumat igitur quisque ex Scriptura, ea quæ morbo suo sunt agnata. Iracundus es? Cohibe iracundiam. « Vir enim, inquit, iracundus est inhonestus [30]. » Disce a Scriptura. Sit faciei tuæ speculum Scriptura. Ibi disce. Quoniam enim impia ratiocinatio, tenebris inductis, quantum peccatum ira sit, reputare te non sinit, Scriptura dicit tibi : « Inhonestus est vir iracundus. » Quomodo inhonestus est qui iracundus est? Exuit habitum humanum, belluinum habitum induit. Finge tibi animo iratum, efferbuit in ipso ira, et oculi mutati sunt : non sunt iidem oculi, ignescunt : excurrit ipsius sanguis, circum cor ebullit, tunicas subit oculorum : suffunditur sanguine, dum morbo succumbit; alterat oculos suos. « Vir iracundus est inhonestus. » Si videris iratum dentes acuentem, cogita hominem ejusmodi similem esse apro, ut qui iracundiam internam dentium affrictu indicet. Si videris iratum spumantem : si videris indistincta in corde balbutientem : si videris iratum patris obliviscentem, non agnoscentem corpus filii, gerentem se in omnibus inconsulte ut **590** impetui suo satisfaciat, intueris ipsam rei turpitudinem. In alieno malo teipsum cura, ne et tu illius contrahas deformitatem. « Vir iracundus est inhonestus. » Et, « Ne habites una cum viro iracundo. » Mala res, cum cane colligari, ac perpetuum latratum ferre. « Vir iracundus est inhonestus. » Fuge congressum ejus atque consuetudinem, alioqui necesse tibi est aliquid viarum ipsius addiscere. Dixit rem contume-

A δὲ ὅτι· Ἔστι τις ἐν ἡμῖν φιλόδοξος, καὶ οὐ θυμικός. Φιλόδοξος εἶ; οὐ βλέπεις λεῖα. Θυμώδης εἶ; « Καὶ ἀνδρὶ θυμώδει μὴ συναυλίζου. » Εἶδες πῶς ἐν βραχυλογίᾳ ἡ διόρθωσις τῶν ἁμαρτημάτων δίδοται, ἐὰν μὴ ἄρα τὰ μὲν ὦτα κρουώμεθα διὰ τῆς φωνῆς, ἐπὶ δὲ τὴν καρδίαν τὴν ἔννοιαν τῶν λαλουμένων οὐ παραπέμπωμεν. Ἀλλ' ἐξέταζε μὲν, ποῦ τὸ ἐμὸν ἀνεγνώσθη; Τὰ περὶ τῶν θυμικῶν ἐπίγνωθι, ὁ θυμικός. Εἰπέ· Τοῦτο ἐμὸν τὸ πάθος· γνωρίζω τὸ ἀῤῥώστημά μου· λάβε τὴν θεραπείαν. Ἐὰν παραστῇς τῷ ἰατρῷ, καὶ ἴδῃς τὴν πολυτέλειαν τῶν φαρμάκων ἐν ταῖς πολυπτύχοις ἀποκειμένην δέλτοις, περισκόπει τί οἰκεῖον ἀπόκειται τῷ σῷ πάθει. Οὐχ ὁ τὸν πόδα προσπταίσας ἐπιζητεῖ τὸ τοῦ ὀφθαλμοῦ ἴαμα· ἀλλ' ὁ τὸν ὀφθαλμὸν κεκακωμένον ἔχων B ζητεῖ τὸ οἰκεῖον τῷ πάθει βοήθημα. Οὐκοῦν ἕκαστος ἐκ τῆς Γραφῆς λαμβανέτω τὰ συγγενῆ τῷ ἰδίῳ πάθει. Θυμώδης εἶ; κατάστειλον τὸν θυμόν (98). « Θυμώδης γὰρ, φησὶν, ἀνὴρ οὐκ εὐσχήμων. » Μάθε παρὰ τῆς Γραφῆς. Κάτοπτρον γενέσθω τοῦ προσώπου τοῦ σοῦ ἡ Γραφή. Ἐκεῖ μάθε. Ἐπειδὴ ὁ ἀσεβὴς λογισμὸς σκοτώσας οὐκ ἐᾷ λογίσασθαί σε ἡλίκον (99) ἁμάρτημά ἐστιν ὁ θυμὸς, ἡ Γραφή σοι λέγει· « Οὐκ εὐσχήμων ἀνὴρ θυμώδης. » Πῶς ἀσχημονεῖ ὁ θυμώδης; Ἀποτίθεται τὸ σχῆμα τὸ ἀνθρώπινον, θηρίου σχῆμα μεταλαμβάνει. Ἐννόησον τὸν θυμούμενον. Ἐπέζεσεν αὐτῷ ὁ θυμὸς, καὶ οἱ ὀφθαλμοὶ ὑπηλλάγησαν· οὐκ εἰσὶν οἱ αὐτοὶ ὀφθαλμοί, πῦρ βλέπει, ἀνέδραμεν αὐτῷ τὸ αἷμα, περιέζεσε τὴν καρδίαν, περιέδραμε τοὺς χιτῶνας τῶν ὀφθαλ- C μῶν, ἐγένετο ὕφαιμος ἐκχωρῶν τῷ πάθει, ἠλλοίωσεν αὐτοῦ τοὺς ὀφθαλμούς. « Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. » Ἐὰν ἴδῃς τὸν θυμούμενον τοὺς ὀδόντας παραθήγοντα, ἐνθυμήθητι, ὅτι συῒ ἔοικεν ὁ τοιοῦτος, τὸν ἔνδοθεν θυμὸν διὰ τῆς τῶν ὀδόντων παρατρίψεως ὑπεκφαίνων. Ἐὰν ἴδῃς τὸν θυμούμενον ἀφρίζοντα· ἐὰν ἴδῃς ἄσημα φθεγγόμενον ἐν τῇ καρδίᾳ· ἐὰν ἴδῃς τὸν θυμούμενον πατρὸς μὲν ἐπιλανθανόμενον, παιδὸς δὲ ἀγνοοῦντα σῶμα, διὰ πάντων ἀφειδῶς χωροῦντα, ἵνα πληροφορήσῃ αὐτοῦ τὴν ὁρμὴν, βλέπεις τὴν ἀσχημοσύνην τοῦ πράγματος. Ἐν ἀλλοτρίῳ κακῷ σεαυτὸν θεράπευσον, ἵνα μὴ τὴν ἐκείνου ἀσχημοσύνην καὶ αὐτὸς λάβῃς. « Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. » Καὶ, « Ἀνδρὶ θυμώδει μὴ συναυλίζου. » Κακὸν πρᾶγμα κυνὶ συνδεδέσθαι, καὶ διηνεκοῦς ὑλακῆς ἀπολαύειν. « Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. »

[30] Prov. xi, 25, juxta LXX.

inanis gloriæ cupidus; qui non sit iracundus? Nec multo aliter Combefisius, cujus hæc sunt : *Sicne aliquis inter nos gloriæ cupidus, et non iracundus?* Sed neuter, nisi valde fallor, sententiam hujus loci expressit. Puto igitur interrogationem penitus tollendam esse, cum ejusmodi notæ vestigium neque in editis neque in veteribus libris reperiatur ullum. In eo autem peccaverunt ii quos dixi interpretes, quod vocem εἰπέ per imperativum reddiderint, quæ erat reddenda per futurum, hoc fere modo : *Es autem dicturus, Est inter nos qui gloriæ cupidus est, qui tamen iracundus non sit.* Hoc est, fortasse fateri te non pudebit, quosdam esse, qui gloriæ cu- D pidi sint, quod gloriæ amor videatur vitium esse minus indecorum : sed non ita facile fateberis iracundos esse, quod vitium iræ sit per se turpissimum. Imperativum autem reddi aliquando debere per futurum, exemplis multis probare cum possim, unum proferam non longe quæsitum. Ubi enim haud multo post ita legitur, Ἐὰν παραστῇς τῷ ἰατρῷ καὶ ἴδῃς..... περισκόπει. Ibi imperandi modus περισκόπει sic debet verti, *considerabis*, *expendes*. Infra codices tres δίδοται. Editi δέδοται.

(98) Unus Colb. κατάστειλον τὸ θυμικόν.

(99) Antiqui tres libri σε ἡλίκον. Editi et unus ms. πηλίκον. Vocula σε in uno ms. deest.

Φεῦγε τὰς μετ' αὐτοῦ διατριβάς· ἀνάγκη γάρ σε μαθεῖν τι τῶν (1) ἐκείνου ὁδῶν. Εἶπέ τι ὑβριστικὸν, ἐκίνησε καὶ τὸν ἐν σοὶ θυμόν. Ὥσπερ κυνὸς ὑλακὴ προκαλεῖται ἑτέρου κυνὸς θόρυβον, καὶ τὸν ἐν σοὶ θυμὸν τέως κοιμώμενον καὶ ἡσυχάζοντα ἡ ἐκείνου φωνὴ διήγειρε, καὶ γεγόνατε ἀλλήλοις ἀνθυλακτοῦντες, εἶτα ἀντικαταστάντες ἀλλήλοις, ὥσπερ σφενδόνας ἀφίετε τῶν ῥημάτων τῆς ἀσχημοσύνης. Εἶπέ τι ὑβριστικὸν ἐκεῖνος, ἀντέδωκας σὺ μείζονι ὑπερβολῇ, τὸν προλαβόντα μιμούμενος. Λαβὼν ἐκεῖνος τὴν ἐκ τοῦ λόγου τοῦ ὑβριστικοῦ ἀντίδοσιν, οὐκ ἔστι τῆς ὁρμῆς, ἀλλ' ἐστράφη καὶ ἐκορύφωσε τὴν ἑαυτοῦ ἁμαρτίαν. Μείζων ἐβουλήθη γενέσθαι ἐκ τοῦ εἰπεῖν τι χαλεπώτερον. Σὺ δὲ, δεξάμενος πάλιν, ὑπερυψώθης· καὶ γέγονε κακῶν φιλονεικία. Ὁ δὲ ἐν κακῶν ἁμίλλαις νικῶν, οὗτος ἀθλιώτερός ἐστιν (2). « Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων·» καὶ, « Ἀνδρὶ θυμώδει μὴ συναυλίζου. »

4. « Μηδὲ συνδείπνει ἀνδρὶ βασκάνῳ. » Ἕτερον πάθος ἐμπολιτευόμενον τῷ βίῳ τῶν ἀνθρώπων, καὶ ἀεὶ προσπεφυκὸς ταῖς ψυχαῖς ἡμῶν, καὶ μᾶλλον δαπανῶν τὴν καρδίαν ἢ ὁ ἰὸς τὸν σίδηρον, ἡ βασκανία ἐστὶν, ἐν ᾗ πολλὰ μέν ἐστι κακὰ, ἓν δὲ χρήσιμον, ὅτι κακόν ἐστιν αὐτῷ τῷ κεκτημένῳ. Ὁ γὰρ βάσκανος αὐτὸν μὲν τὸν βασκαινόμενον ὀλίγα βλάπτει, ἑαυτὸν δὲ δαπανᾷ τῇ λύπῃ καὶ τῷ στεναγμῷ ἐπὶ τῇ εὐημερίᾳ τοῦ πλησίον· καὶ τὴν μὲν χώραν τοῦ γείτονος οὐκ ἠλάττωσεν, ἑαυτὸν δὲ κατεδαπάνησε τῇ βασκανίᾳ.

5. « Μὴ μέταιρε ὅρια αἰώνια. Εἰς δὲ κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς. » Μὴ εἰσέλθῃς εἰς τὸ τῶν ὀρφανῶν κτῆμα, ἵνα εἰσέλθῃς εἰς τὸ σὸν κτῆμα. Σὸν δέ ἐστι κτῆμα ἡ ἡτοιμασμένη βασιλεία τῶν οὐρανῶν. Ὅρια πατέρων μὴ κινήσῃς. Μὴ ἐπιθυμήσῃς τῆς τοῦ πλησίον χώρας. Μὴ, αὔλακα αὔλακι προστιθεὶς, κατὰ μικρὸν αὔξανε τὴν σήν. Ὅσον γὰρ πλατύνεις ἐκ τῆς ἀλλοτρίας προσθήκης τὴν γῆν, τοσούτῳ (3) μακροτέραν σοι τὴν ἁμαρτίαν κατασκευάζεις. Καὶ ἡ μὲν γῆ ἐνταῦθα παραμένει, κατὰ μικρόν σοι προσχωρηθεῖσα, καὶ διὰ τῆς πλεονεξίας γενομένη, οὐκέτι σὴ, ἀλλὰ τῶν μετὰ σὲ, καὶ ἀφίῃς ἄδικον τῷ διαδεχομένῳ τὸν βίον· « Ἡ γῆ ἕστηκεν (4) εἰς τὸν αἰῶνα, » ἡ δὲ ἁμαρτία ἀκολουθήσει σοι, ὡς σκιὰ παρεπομένη (5) τῇ ψυχῇ. Ὥσπερ γὰρ ἡ σκιὰ τῷ σώματι ἕπεται, οὕτω καὶ ἡ ἁμαρτία τῇ ψυχῇ συμπέφυκε. Μὴ ἴσθι σεαυτῷ πληθύνων τὴν ἁμαρτίαν. Οὐδαμοῦ γὰρ ἵσταται τῆς πλεονεξίας ἡ νόσος, ἀλλ' ὁμοία ἐστὶ τῇ τοῦ πυρὸς φύσει. Καὶ γὰρ τὸ πῦρ ἐπειδὰν καταπρήσεως ἅψηται, σπεύδει πᾶσαν ἐπινεμηθῆναι τὴν ὕλην, καὶ οὐδεὶς αὐτὸ στῆσαι δύναται, πρὶν ἂν ἐπιλείπῃ (6) ἡ ὕλη. Τὸν δὲ πλεονέ-

A liosam, commovit et animum tuum. Quemadmodum canis latratus provocat canis alterius tumultum : ita quoque animum tuum prius sopitum ac quiescentem vox ejus ad iram concitavit, et alter alterum allatrastis, et ita demum alter alteri adversantes, ignominiosa verba velut fundas intorquetis. Dixit ille aliquid injuriosum : tu longe injuriosius respondisti, auspicantem atque aggredientem imitatus. Ille contumeliosi verbi receptis vicibus, commoveri non destitit : sed conversus peccatum suum adauxit. Superior evadere voluit verborum acerbitate. Tu rursus his auditis, supra modum attolleris, sicque malorum fit contentio. Qui autem in malorum certamine vincit, is magis miser est. « Vir iracundus est inhonestus. » Et, « Ne B habites una cum viro iracundo. »

4. « Neque cœnes una cum viro invido [31]. » Vitium aliud quod in hominum vita diversatur, jugiterque animis nostris adhæret, et exedit cor magis quam rubigo ferrum, invidia est : in qua quidem sunt mala multa, sed unum utile est, quod malum sit possidenti. Enimvero invidus invidioso nocet parum ; sed se ipse mœrore gemituque ob proximi felicitatem absumit, nec imminuit agrum vicini, sed se ipse consumpsit per invidiam.

C 5. « Ne transfer terminos æternos [32]. In possessionem orphanorum ne ingrediaris [33]. » Ne ingrediaris in possessionem orphanorum, ut ingrediare in possessionem tuam. Est autem tua possessio paratum regnum cœlorum. Terminos patrum ne moveris. Ne concupiscas agros proximi [34]. Ne sulcum sulco adjiciens, agrum tuum paulatim adaugeas. Quantum enim ex aliena accessione terram dilataveris, tanto majus peccatum tibi accersis. Et terra quidem quæ tibi paulatim accesserat, et per avaritiam parta fuerat, hic remanet, nec amplius tua est, sed hæredum, ac iniquas opes relinquis successori : « Terra in æternum stat [35], » peccatum vero te sequetur, cum animam instar umbræ comitetur. Quemadmodum enim umbra sequitur D corpus, ita et peccatum animæ cohæret. Tibi ne multiplices peccatum. Nusquam enim conquiescit avaritiæ morbus, sed ad ignis naturam similitudine accedit. Ignis enim postquam accensus est, festinat materiam omnem depascere : nec quisquam priusquam materia deficiat, eum sistere potest. Similiter quid potest avarum cohibere? Igne ipso est

[31] Prov. XXIII, 6. [32] Prov. XXII, 28. [33] Prov. XXIII, 10. [34] Deut. V, 21. [35] Eccle. I, 4.

(1) Editio utraque μαθεῖν τι τῶν. Veteres quinque libri μαθεῖν τῶν.
(2) Editi ἔσται. At mss. tres ἐστιν.
(3) Editi et Reg. tertius τοσοῦτον. Alii duo mss. τοσούτῳ. Nec ita multo post mss. tres καὶ διά. Vocula καί deest in vulgatis.
(4) Editi γῆ δ' ἕστηκεν. At mss. multi, γῆ ἕστηκεν.
(5) Editi ὡς σκιὰ πᾶσι παρεπομένη· sed vox πᾶσι non legitur neque in duobus Colb. neque in Reg. secundo, nec dubito quin melius absit.
(6) Antiqui tres libri ἐπιλείπῃ. Alius ms. et editi ἐπιλίπῃ.

asperior, omnia continenter depascens. Usurpavit quæ proximi sunt; successit vicinus alius, ejus quoque bona sibi assumpsit. Non attendit iis quæ prius parta fuerunt, quod multa sunt : **591** sed iis quæ desunt, quod vicinos habet. Non lætatur possessis : sed de iis quæ desunt, dolet : neque attendit congestorum possessioni, sed opum ampliorum desiderio absumit semetipsum. Deinde hinc vigiliæ, curæ, sollicitudines. Quantum augescunt divitiæ, tantum affertur curarum mundanarum. Judex exspectatur, et avarus circumspectat ne ad judicium pertrahatur; ne orphanus lacrymas suas in foro notas efficiat. Deliberat noctu, quos amarulentos patronos subornet, quemadmodum testimonia falsa mercede conducat; quomodo eum qui desolatus est expugnet, huncque, vel in ipso judicio occultata veritate, opprimat potentia, quomodo denique et judicem fallens, et pupillum bonis spolians, utrumque voret. Hæ curæ avari animam consumunt. Latrat canis, et dives furem esse existimat. Auditur muris strepitus, et salit cor divitis; servum suspectum habet, sunt ei suspecta omnia; filios jam grandes velut insidiatores conspicit, quod eorum ætas successionem urget. Avari alio etiam morbo laborant. Victum suum in digitis ponit avarus; alias pecunias profert in medium, alias defossas habet, ad spes incertas seponens, ad spes, inquam, quæ spes nequaquam sunt. Etenim si ad spes reconderentur, apparatus earum pro spe æterna fuisset factus. Nunc autem sub lecto divitias incertas abscondit, venturum damnum avertere se ratus. Sed an ventura sit unquam utendi necessitas, incertum : contra, veniet tempus, in quo pecunias non dispensasse pœnitebit. Hoc certum est, et indubitatum, et ego sponsor sum. Est enim necesse mihi vos commonere, deque vitiis omnibus disserere : vobis vero, animum attendere, et ex verbis meis utilitatem capere, ut quilibet peccatum velut serpentis spolium exuens, ita demum nudatus, atque justitiam efflorescentem indutus revertatur, alius ex alio factus. Hoc enim conventus est. Eam ob causam patres nostri hos cœtus constituerunt, ut quæ diebus singulis ediscere non valemus, ob docentium commonentiumque penuriam, ea, singulis annis coacti, in communi conventu suscipiamus, posteaque viaticum custodiamus ad subsequens tempus, et singula quasi in memoria adhuc insonantia retinentes, fugiamus peccatum, justitiæ vero opus persequamur.

A κτην τί δύναται ἐπισχεῖν; Πυρός ἐστι χαλεπώτερος, πάντα διὰ συνεχείας νεμόμενος. Ἔλαβε τὰ τοῦ πλησίον· ἄλλος ἀνεφάνη γείτων· καὶ τὰ ἐκείνου ἐξιδιοποιήσατο. Οὐ τοῖς κατόπιν προσέξει, ὅτι πολλά· ἀλλὰ τοῖς λείπουσιν, ὅτι γείτονας κέκτηται. Οὐκ εὐφραίνει τὰ κτηθέντα, ἀλλὰ λυπεῖ τὰ λειπόμενα· οὐ τῇ ἀπολαύσει τῶν συναχθέντων προσέχει, ἀλλ' ἑαυτὸν ἐκδαπανᾷ τῇ ἐπιθυμίᾳ τῆς τοῦ πλείονος κτήσεως. Εἶτα ἀγρυπνίαι ἐντεῦθεν, αἱ μέριμναι, αἱ φροντίδες. Ὅσον αὔξει ὁ πλοῦτος, τοσοῦτον φέρει τοῦ βίου τὸ μεριμνητικόν. Δικαστὴς προσδοκᾶται, καὶ ὁ πλεονέκτης περισκοπεῖ μὴ εἰς δικαστήρια παρασυρῇ· μὴ ὀρφανὸς τὸ δάκρυον ἑαυτοῦ (7) ἐπὶ δικαστηρίου δημοσιεύσῃ. Βουλεύεται ἐν νυκτὶ, τίνας τῶν πικρῶν συνηγόρων παρασκευάσει, B ἵνα ψευδεῖς μαρτυρίας ἐκμισθώσηται· πῶς ἐκπολιορκήσει τὸν ἐν τῇ ἐρημίᾳ, καταδυναστεύσει δὲ τούτου, καὶ ἐν δικαστηρίῳ τὴν ἀλήθειαν κλέψας· ἀμφοτέρους δὲ ἀναλώσει, καὶ τὸν δικαστὴν παρακρουσάμενος, καὶ τὸν νήπιον πλεονεκτήσας. Αὗται αἱ (8) μέριμναι δαπανῶσι τοῦ πλεονέκτου τὴν ψυχήν. Κύων ὑλακτεῖ, καὶ ὁ πλούσιος νομίζει κλέπτην εἶναι. Μυὸς ψόφος, καὶ τοῦ πλουσίου ἡ καρδία πηδᾷ· τὸν παῖδα ὑποπτεύει, πάντα δι' ὑποψίας ἔχει· υἱοὺς αὐξανομένους ὥσπερ ἐπιβούλους ὁρᾷ, ὅτι ἡ ἡλικία αὐτῶν τὴν διαδοχὴν κατεπείγει. Τοῖς πλεονέκταις καὶ ἑτέρα ἐστὶ νόσος. Τὸν βίον (9) αὐτοῦ ἐπὶ δακτύλων τίθησι· τὸν μὲν δημοσιεύει, τὸν δὲ κατορωρυγμένον ἔχει πρὸς ἐλπίδας τὰς ἀδήλους ἀποτιθέμενος· ἐλπίδας τὰς οὐκ ἐλπίδας. Εἰ γὰρ C πρὸς ἐλπίδας ἦν ἡ ἀπόθεσις, πρὸς τὴν αἰωνίαν ἐλπίδα ἐγένετο ἂν ἡ παρασκευή. Νῦν δὲ ὑποκρύπτει τῇ κλίνῃ τὸν πλοῦτον τὸν ἄδηλον, τὴν ἐπερχομένην ζημίαν ἀποστρέφειν οἰόμενος. Ἀλλ' εἰ μὲν ἥξει ποτὲ ἡ χρεία, ἄδηλον· ἥξει μέντοι καιρὸς, ἐν ᾧ μεταμεληθήσῃ, μὴ οἰκονομήσας τὸν πλοῦτον. Τοῦτο πρόδηλον, κἀγὼ εἰμι ὁ ἐγγυώμενος. Ἀνάγκη μὲν γὰρ (10) περὶ πάντων τῶν παθῶν διαλέγεσθαι, ὑπομιμνήσκοντα ὑμᾶς· ὑμᾶς δὲ προσέχοντας λαμβάνειν τὴν ἐκ τῶν λόγων ὠφέλειαν, ἵνα, ἀποδυσάμενος ἕκαστος, ὥσπερ γῆρας ὄφεως, τὴν ἁμαρτίαν, οὕτως ἐπανέλθοι γεγυμνωμένος (11), καὶ ἔχων τὴν δικαιοσύνην αὐτῷ ἐπανθοῦσαν, ἕτερος ἐξ ἑτέρου γενόμενος. Τοῦτο γάρ ἐστι σύνοδος. Διὰ τοῦτο οἱ D πατέρες ἡμῶν τοὺς συλλόγους τούτους ἐπέγνωσαν, ἵνα ἃ καθ' ἑκάστην ἡμέραν μαθεῖν οὐ δυνάμεθα, τῇ τῶν διδασκόντων καὶ ὑπομιμνησκόντων ἐνδείᾳ, ταῦτα δι' ἔτους συνιόντες, ἐν κοινῇ πανηγύρει ὑποδεξώμεθα· εἶτα φυλάξωμεν ἐφόδια πρὸς τὸν ἐφεξῆς χρόνον, καὶ ἔναυλα ἔχοντες τῇ μνήμῃ τὰ καθ' ἕκαστον, φύγωμεν τὴν ἁμαρτίαν, διώξωμεν δὲ τὸ ἔργον τῆς δικαιοσύνης.

(7) Codices tres δάκρυον αὐτοῦ. Aliquanto post duo mss. ἀμφοτέρους τε. Hoc ipso in loco Reg. primus πῶς ἐκπολιορκήσῃ... καταδυναστεύσῃ..... ἀναλώσῃ.

(8) Reg. primus Αὗται δὲ αἱ.

(9) Loci hujus, *Τὸν βίον*, etc. hæc videtur esse sententia : Pecunias suas satis habet digitis suis numerare, nec eis utitur ad vitæ necessitates.

(10) Veteres quatuor libri Ἀνάγκη μὲν γάρ. Editi Ἀνάγκη με γάρ.

(11) Regii duo codices et Colb. tertius γεγυμνασμένος, male. At Reg. secundus et Coisl. et editi γεγυμνωμένος, recte. Aliquanto post editio Paris. τούτους ἐπενόησαν. Editio Basil. et veteres quinque libri ἐπέγνωσαν.

6. « Μὴ μέταιρε ὅρια αἰώνια. Εἰς δὲ κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς. » Μὴ προφασίζου τοὺς παῖδας, ὁ πλεονέκτης. Παῖδές εἰσι; θησαύριζε (12) αὐτοῖς θησαυρὸν αἰώνιον. Θησαυρὸς δέ ἐστιν ἡ εὐσέβεια (13) χρημάτων. Κατάλειπε παισὶν ἀγαθὴν μνήμην ἢ πλοῦτον πολύν. Πάντας ποίησαι τοῦ παιδὸς τοῦ σοῦ πατέρας διὰ τῆς εὐποιίας (14). Ἀνάγκη σέ ποτε ἀπελθεῖν τοῦ βίου· εἶτα τὸν σὸν παῖδα ἐν τῇ ἀφηλικίᾳ καταλείψεις, τῶν προεστώτων δεόμενον. Ἐὰν μὲν γὰρ καλὸς καὶ ἀγαθὸς ᾖς, ἕκαστος τὸν σὸν ἔκγονον ὥσπερ ἴδιον ἐκθρέψει· μεμνήσεται γάρ, ὅτι καὶ σὺ ὀρφανῶν πατὴρ ἐγένου· ἐὰν δὲ ἐν πονηρίᾳ ζήσας, καὶ πολλοὺς λυπήσας, καὶ παντὸς θηρίου χαλεπώτερος γενόμενος τοῖς συντυγχάνουσιν, εἶτα ὑπεξέλθῃς τοῦ βίου, κατέλιπες τὸν σὸν ἔκγονον κοινὸν ἐχθρὸν τῶν ζώντων. B Ὥσπερ γὰρ τέκνον σκορπίου ὁ θεασάμενος φοβεῖται, μή ποτε εἰς ἡλικίαν ἐλθὸν μιμήσηται τὸν πατέρα· οὕτω καὶ τὰ σὰ ἔκγονα πονηρίας πατρικῆς ὄντα κληρονόμα, πρὶν εἰς ἡλικίαν ἐλθεῖν, παρὰ πάντων ἐπιβουλευθήσεται. Τί οὖν πολλοὺς ἐπιβούλους καὶ ἐχθροὺς συνάγεις τοῖς ἑαυτοῦ τέκνοις; Καίτοι, εἰ καὶ πάντα τὸν χρόνον ἔζης, ἔδει σε μᾶλλον τῶν πολλῶν τὴν εὔνοιαν ἔχειν συνεργόν. Ἐπειδὴ δὲ ἄδηλον τὸ κατὰ σέ, κατάλιπε διὰ τῆς εὐποιίας πολλοὺς τοὺς προϊσταμένους· μή ποτέ σου ὑπεξελθόντος, εἶτα τοῦ πλούτου, ὃν συνάγεις, εἰς ὄνησιν μὴ δυνηθέντος διαδεχθῆναι (15), ἕκαστος κινήσῃ τὴν κεφαλήν, καὶ εἴπῃ· Πῶς τὰ κακῶς κτηθέντα εἰς ἐκγόνους καὶ παῖδας οὐ παρεπέμφθη; Ταῦτά σοι λέγω ἐκ τῶν ἀνθρωπίνων λόγων· τὰ μέντοι παρὰ τοῦ Κυρίου, οἷά σοι ἐρεῖ τὸ Εὐαγγέλιον, οἶδας.

A 6. « Ne transfer terminos æternos [36]. In possessionem orphanorum ne ingrediaris [37]. » Ne causeris liberos, o avare. Liberi sunt? collige ipsis thesaurum æternum. Est enim thesaurus usus pius pecuniarum. Relinque liberis recordationem bonam magis quam divitias multas. Fac bene faciendo, ut omnes sint loco patrum filio tuo. **592** Aliquando de vita decedas necesse est: deinde filium tuum in immatura ætate relinques adhuc tutoribus egentem. Quod si honestus fueris et bonus, unusquisque filium tuum ut suum enutriet; nam eis in mentem veniet fuisse te quoque orphanorum patrem; sin autem posteaquam in malitia vixeris, multosque affeceris mœrore, et in eos qui tecum congrediuntur fera omni fueris acerbior, ita demum migras de vita; filium tuum reliquisti communem viventium hostem. Quemadmodum enim qui scorpii natum conspexerit, timet ne quando ætate provectior imitetur patrem: ita etiam tuis liberis paternæ nequitiæ hæredibus, priusquam ad ætatem pervenerint, struentur ab omnibus insidiæ. Quid igitur multos insidiatores liberis tuis et inimicos paras? Et vero etiamsi semper victurus esses, par magis fuerat te multorum benevolentiam adjutricem habere. Sed cum res tuæ incertæ sint, ita benefacias, ut relinquas patronos ac curatores multos: ne quando te vita functo, posteaque divitiis, quas congesseris, ad hæredes successione utili transire non valentibus, unusquisque caput moveat, ac dicat: Quomodo male parta ad nepotes C ac liberos transmissa non sunt? Hæc dico tibi ex humano loquendi modo: quæ vero dicantur a Domino (talia autem sunt qualia tibi Evangelium nuntiabit), haud ignoras.

7. Μὴ προφασίζου τοὺς παῖδας. Τί ὑποτίθῃ ἀφορμὴν εὐπρόσωπον εἰς τὴν ἁμαρτίαν; Ὁ τὸν παῖδα ποιήσας, καὶ σὲ ἐποίησεν. Ὁ σοὶ τὰς ἀφορμὰς παρεχόμενος, καὶ τῷ παιδὶ παρέξει τὰς τοῦ βίου διεξαγωγάς. Ἕκαστος τῆς ἑαυτοῦ ζωῆς λόγον δώσει τῷ Κυρίῳ. Τί οἶδας τίνι θησαυρίζεις; « Θησαυρίζει (16), καὶ οὐκ οἶδε τίνι συνάξει αὐτά. » Πολλάκις ὁ παῖς ἐστιν ὑπόθεσις τῶν θησαυριζομένων. Ἐγένετο δὲ ἢ λῃστοῦ διάρπαγμα, ἢ συκοφάντου παρανάλωμα, ἢ πολεμίων αἰχμαλώτευμα τὰ ὑπὸ σοῦ συναχθέντα, ἢ λοιμοῦ (17) ἐγκατασκήψαντος. Πολλοὶ γὰρ ἀφανισμοὶ τοῦ βίου. Εἰπέ μοι· ὅτε ᾔτεις παρὰ τοῦ Θεοῦ τοὺς παῖδας, ὅτε ἐβούλου γενέσθαι τέκνων πα-

7. Liberos ne prætendas. Cur speciosam peccandi causam profers? Qui enim condidit filium, te quoque condidit. Qui tibi tribuit unde victitare possis, etiam filio vitæ subsidia præbebit. Redditurus est suæ quisque vitæ rationem Domino. Num nosti cui thesaurum pares? « Thesaurizat, et ignorat cui congregabit ea [38]. » Filius plerumque causa est colligendarum opum. Sed quæ coacervasti, aut rapta sunt a prædone, aut a sycophanta consumpta, aut capta ab hostibus, aut peste grassante evanuere. Nam modis multis evolant e conspectu divitiæ. Dic, quæso, cum peteres a Deo liberos, cum cuperes filiorum pater fieri; num hoc precibus addi-

[36] Prov. xxii, 28. [37] Prov. xxiii, 10. [38] Psal. xxxviii, 7.

(12) Unus codex Colb. θησαύρισον. Ibidem Reg. primus θησαυρὸν οὐράνιον, *thesaurum cœlestem:* sed in hujus libri ora legitur αἰώνιον.

(13) Editio utraque ἡ εὐσέβεια. Articulus in veteribus quinque libris desideratur. Quod autem hoc loco ait Combefisius, videri post nomen χρημάτων deesse vocem προτιμότερος, id mihi non parum placeret, si huic conjecturæ vel unus liber vetus faveret: sed nullum ejus vocis vestigium in nostris codicibus exstat. Fortasse vox εὐσέβεια ita hic accipienda est, ut pium divitiarum usum significet. Ibidem mss. duo κατάλειπε. Editi κατάλιπε.

(14) Veteres aliquot libri et editi διὰ τῆς εὐ- D νοίας, *per benevolentiam.* At Reg tertius optimæ codex, cui favet Reg. secundus eadem manu emendatus, διὰ τῆς εὐποιίας, *per beneficentiam*, rectius. Et ita quoque paulo post legi oportet. Mox editi καταλείψῃ. Veteres quinque libri καταλείψεις.

(15) Hic in Reg. primo legitur δυνηθέντος διαχεθῆναι, *diffundi.* Alii mss. cum editis διαδεχθῆναι.

(16) Editi Θησαυρίζει, φησί, καί· sed verbum φησί in veteribus libris deest. Ibidem editi συνάγει. At mss. plerique omnes συνάξει.

(17) Pro λοιμοῦ legitur in Colb. tertio λιμοῦ, *aut fame grassante.*

A disti, Da mihi liberos, ut avarus factus liberorum obtentu gehennæ tradar? Da mihi liberos, ut ne conficiam mandata? Da mihi liberos, ut Evangelium contemnam? Non hæc erant quæ tunc dicebas: sed liberos efflagitabas qui tibi vitæ essent adjutores. Accepisti adjutores ac socios; fac eos doceas et sermonibus bonis et exemplis utilibus, quales esse oporteat in iis quæ ad Deum attinent, cujusmodi sæpe vidisti. Nam hæ divitiæ pecuniis multis sunt pretiosiores. Hæc est bona hæreditas, a patre ad filios transmissa. « In possessionem ergo orphanorum ne ingrediaris. »

8. Et, « Ne cœnes una cum viro invido [39]. » Dictum jam est de invidia. Sed quo magis id mali
B caveatur, addamus invidiam vitium quoddam esse diaboli proprium. Nec enim statim diabolus conditus est diabolus: sed angeli potestate accepta, conversus est in dæmonis naturam. Ita qui hac 593 pravitate erat infectus, atque a sua cum Deo conjunctione abalienatus, et ad defectionis partem conversus, tandem effectus est pravus dæmon, cum hominem animal exiguum conspexit ante omnem creaturam honoratum. Nimirum, homine antiquior cum esset, vidit natalitia omnia verbo fuisse condita. Ait enim, « Producant aquæ reptilia animarum viventium [40]. » Verbo fecit cete, quæ in mari Atlantico versantur. Verbo fecit terrestria. Hæc Dei mandato producta sunt. Mandato conditæ sunt elephantorum proceritates et camelorum. Equi
C bovesque et animalia omnia magnitudine ac robore præstantia, præcepto uno gregatim procreata sunt: et quod magis mirere, præcepto cœlum, præcepto sol, præcepto herba, præcepto aquarum natura, tum quæ super cœlum et super terram strata erat, tum quæ effusa fuerat in cava, omnia præcepto; homo vero manibus formatus est. Vidit honorem homini delatum, invidit diabolus. Vidit eum soli prælatum. Hic quidem prodiit per præceptum in rerum naturam: ille vero Dei manibus conformatus est. Rursus hic fuit conditus propter hominem, homo vero propter Deum; homo, ut Deus gloria afficiatur; sol, ut inserviat hominibus. Intellexit honorem homini datum. Vidit res alias fuisse prius creatas, hominem vero posterius, quod
D ei quasi patrifamilias præparasset domum plenam. Neque enim primum condidit hominem, ut ne pauper crearetur: sed fecit cœlum, ut tectum quoddam

τηρ, τί προσετίθεις τῇ εὐχῇ; Δός μοι παῖδας, ἵνα, πλεονέκτης γενόμενος, τῇ προφάσει τῶν παίδων τῇ γεέννῃ παραδοθῶ; Δός μοι παῖδας, ἵνα μὴ ποιήσω τὰς ἐντολάς; Δός μοι παῖδας, ἵνα τοῦ Εὐαγγελίου καταφρονήσω; Οὐ ταῦτα ἦν ἃ τότε ἔλεγες, ἀλλὰ παῖδας ἐζήτεις συνεργοὺς τοῦ βίου. Ἔλαβες συνεργούς, κοινωνοὺς τοῦ βίου (18)· δίδασκε καὶ λόγοις ἀγαθοῖς, καὶ ὑποδείγμασι χρηστοῖς, ὁποίους προσῆκεν εἶναι τὰ πρὸς τὸν Θεόν, ὁποίους πολλάκις εἶδες. Οὗτος γάρ ἐστιν ὁ πλοῦτος πολλῶν χρημάτων τιμιώτερος. Αὕτη ἡ κληρονομία ἀγαθή, παρὰ πατρὸς εἰς παῖδας παραπεμπομένη. « Εἰς δὲ κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς. »

8. Καί, « Μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ. » Εἴρηται καὶ περὶ τῆς βασκανίας (19). Προσκείσθω δὲ εἰς πλείονα φυλακὴν τοῦ κακοῦ, ὅτι ἴδιόν τι πάθος ἐστὶ τοῦ διαβόλου ἡ βασκανία. Οὐ γὰρ εὐθὺς διάβολος ἐκτίσθη ὁ διάβολος, ἀλλ' ἀγγέλου ἐξουσίαν λαβών, κατεστράφη εἰς τὴν τοῦ δαίμονος φύσιν. Καὶ ἐγένετο πονηρὸς δαίμων ὁ ταύτῃ τῇ πονηρίᾳ χαρακτηρισθείς, καὶ ἀπαλλοτριωθεὶς τῆς πρὸς τὸν Θεὸν οἰκειότητος, ἀποστραφεὶς δὲ πρὸς τὸ μέρος τῆς ἀποστασίας, ἐπειδὴ εἶδε τὸν ἄνθρωπον μικρὸν μὲν ζῶον, παρὰ πᾶσαν δὲ τὴν κτίσιν τιμιώτερον. Πρεσβύτερος ὢν τοῦ ἀνθρώπου, εἶδεν, ὅτι τὰ νηκτὰ πάντα λόγῳ ἐδημιουργήθη. « Ἐξαγαγέτω » γάρ, φησί, « τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν. » Λόγῳ ἐποίησε τὰ κήτη τὰ κατὰ τὸ πέλαγος τὸ Ἀτλαντικὸν ἐνδιαιτώμενα. Λόγῳ ἐποίησε τὰ χερσαῖα. Προστάγματι Θεοῦ εἰς τὸ εἶναι παρήχθη. Προστάγματι γέγονε τὰ τῶν ἐλεφάντων μεγέθη, τὰ τῶν καμήλων· ἵπποι, καὶ βόες, καὶ ὅσα μεγέθει διαφέροντα καὶ ἰσχύϊ ζῶα, κατὰ ἀγέλας ἐκτίσθη ἑνὶ προστάγματι· καὶ τὸ ἔτι θαυμασιώτερον, προστάγματι οὐρανός, προστάγματι ἥλιος, προστάγματι βοτάνη, προστάγματι ἡ τῶν ὑδάτων φύσις, ἥ τε ὑπὲρ τὸν οὐρανὸν (20) καὶ τὴν γῆν ἐστορεσμένη, καὶ ταῖς κοιλότησιν ἐκκεχυμένη, πάντα προστάγματι· ὁ δὲ ἄνθρωπος χερσὶ διεπλάσθη. Εἶδε τὴν περὶ τὸν ἄνθρωπον τιμήν, ἐβάσκηνεν ὁ διάβολος. Εἶδεν, ὅτι ἡλίου προτιμότερος. Ὁ μὲν γὰρ προστάγματι εἰς τὸ εἶναι παρῆλθεν (21)· ὁ δὲ χερσὶ Θεοῦ διεπλάσθη. Καὶ ὁ μὲν ἐκτίσθη διὰ τὸν ἄνθρωπον, ἄνθρωπος δὲ διὰ Θεόν· ἄνθρωπος, ἵνα Θεὸς δοξασθῇ· ἥλιος, ἵνα ἀνθρώποις ὑπηρετῇ. Κατέμαθε τὴν περὶ τὸν ἄνθρωπον τιμήν. Εἶδεν, ὅτι πρώτη ἡ κτίσις, τελευταῖος δὲ ὁ ἄνθρωπος, ὅτι παρεσκεύασεν αὐτῷ ὥσπερ οἰκοδεσπότῃ οἶκον πεπληρωμένον. Οὐ γὰρ πρῶτον ἐποίησεν ἄνθρωπον, ἵνα μὴ πτωχὸς (22)

[39] Prov. XXIII, 6. [40] Gen. I, 20.

(18) Editio Paris. κοινωνοὺς τοῦ βίου. Sed illud, τοῦ βίου, in libris antiquis non invenitur. Statim editio Paris. ὁποίου προσῆκεν. Editio Basil. et quinque mss. ὁποῖον, *qualiter*. Denique Colb. secundus eadem manu emendatus ὁποίους προσῆκεν εἶναι τὰ πρὸς Θεόν: quam emendationem secuti sumus.

(19) Unus Codex colb. Εἴρηται καὶ τά.

(20) Editi ὑπὲρ τῶν οὐρανῶν. At Reg. secundus et Colb. tertius cum Coisl. ὑπὲρ τὸν οὐρανόν. Ibidem editi et Reg. tertius καὶ ὑπὸ τὴν γῆν. Sed præpositio ὑπό abest a Regiis duobus libris et a Colb. tertio et a codice Coisliniano: quam præpositionem re ipsa exprimi non debere putamus. Etenim aquæ non erant subter terram, sed super eam expandebantur. Ibidem pro ἐστορεσμένη legitur in aliquibus codicibus ἐγκεχυμένη.

(21) Editi παρήχθη. At mss. sex. παρῆλθεν. Aliquanto ante ita legitur, λόγῳ ἐποίησε τὰ χερσαῖα, προστάγματι Θεοῦ εἰς τὸ εἶναι παρήχθη: sed ultima hæc verba, τῷ προστάγματι Θεοῦ, etc., illuc e margine inepte translata fuisse suspicamur.

(22) Editio Paris. ἵνα μὴ πτωχός. Editio Basil. et

κτισθῇ, ἀλλ' ἐποίησεν οὐρανὸν, σκέπην αὐτοφυῆ κτίσας, ὑπεστόρεσε τὴν γῆν, ἰσχυρὸν ἔδαφος τοῖς ποσὶ προετοιμάζων τοῖς τοῦ ἀνθρώπου. Θάλλειν αὐτὴν ἐποίησε βοτανῶν καὶ καρπῶν παντοίαις φοραῖς. Πάντα εὐτρεπῆ τῷ ἀνθρώπῳ· τὰ ὑποζύγια εὐτρεπίσθη κατὰ ἀγέλας· ἐκτίσθη ἡ κτίσις. Τὰ μὲν σύννομα παρεσκευάσθη· τὰ δὲ ἄγρια πρὸς γυμνασίαν τοῦ σώματος. Τὰ μὲν πόνῳ κτητὰ, ἵνα φιλητὰ γένηται· τὰ δὲ ἑτοίμως παρόντα, ἵνα αὐτόθεν τῇ κτίσει ὑπηρετῆται. Εἶδεν, ὅτι αὐτομάτως ἡ γῆ τὸν καρπὸν αὐτοῖς παρεσκεύασε. Πᾶσα ἡ κτίσις ἐξεδέχετο τοὺς ἀπολαύοντας, καὶ εἰς ἑστίασιν παρήχθη ὁ ἄνθρωπος. Εἶδεν, ὅτι οὐκ ἠρκέσθη ὁ φιλάνθρωπος Θεὸς τῇ τῆς γῆς ἀπολαύσει· ἀλλ' ἐξαίρετον ἐνδιαίτημα, τὸ ἴδιον ἐγκαλλώπισμα, τὸν ἄνθρωπον ἑαυτοῦ βουλόμενος, ἐκεῖ κατέστησεν ἐν τῷ παραδείσῳ (23). Ἐπονηρεύσατο ὁ διάβολος ὁρῶν πολλὴν ἀπόλαυσιν περιῤῥέουσαν τῷ ἀνθρώπῳ, ἀγγέλους παιδαγωγοὺς παρεδρεύοντας αὐτῷ· Θεὸν ὁμόγλωσσον γενόμενον (24) τοῖς ἀνθρώποις. διαλεγόμενον ἀπὸ ἰδίας φωνῆς, πανταχόθεν τὸν παῖδα τὸν νήπιον παιδευόμενον, ἵνα εἰς Θεοῦ ὁμοιότητα ἀναδράμῃ· ἐπειδὴ κατέμαθε τὸν ἄνθρωπον, ἐπειδὴ εἶδεν, ὅτι τὸ μικρὸν τοῦτο ζῶον πρὸς τὴν τῶν ἀγγέλων ὁμοτιμίαν ὁ Κύριος προεκαλεῖτο· διὰ τῆς ἀρετῆς ἀνάγων αὐτὸν, καὶ διὰ σωφροσύνης τῶν κατὰ τὸν βίον ἐπὶ τὴν τελείωσιν τῆς ψυχῆς. Ἕως γὰρ μόνος (25) ἦν ὁ ἄνθρωπος, οὐκ εἶχε λαβὴν ὁ διάβολος, ἐπεὶ δὲ ἐκτίσθη ἡ γυνὴ, ἁπαλὸν ζῶον, ἀναγκαίως τοῦ Δημιουργοῦ τὴν ἁπαλότητα φυσικὴν ἐμποιήσαντος, ἵνα ὑπὸ τοῦ φιλανθρώπου εὐμαρῶς τραφῇ τὰ νήπια. Εἰ γὰρ αὐστηρὰ ἦν ἡ γυνὴ, οὐκ ἂν ἀποκλαιόμενον τὸ νήπιον τοῖς στήθεσιν ἐνηγκαλίζετο· οὐκ ἂν τῆς ἰδίας τροφῆς ἠμέλει, τὸν δὲ μαζὸν ἐπεῖχε πρὸς ὠφέλειαν τοῦ ὑπομαζίου παιδίου. Νῦν μέντοι μητέρων εὐσπλαγχνίαι τὸν ὕπνον πολλάκις τῶν βλεφάρων ἀποδιώκουσιν, ἐπειδὰν μικρὸν παρενοχληθῇ τὸ νήπιον. Ἵνα τοίνυν ἐκτρέφηται νήπιον, ἁπαλὴ ἡ φύσις ἡ γυναικεία παρήχθη, ἁπαλὴ καὶ φιλάνθρωπος. Τῷ οὖν ἁπαλῷ καὶ τῷ (26) εἰκτικῷ προσχὼν ὁ διάβολος, τὴν εὐκολίαν τὴν πρὸς ἀρετὴν, εὐκολίαν εἰς κακίαν ἐποιήσατο. Τοῦτο οὖν ἐστιν ἴδιον τὸ κακὸν τοῦ διαβόλου, ὁ φθόνος· φθόνος ὁ ἐκλαληθῆναι μὴ δυνάμενος, ὁ ἰατρείαν οὐκ ἐπιδεχόμενος. Ὁ κεφαλὴν ἀλγῶν λέγει τῷ ἰατρῷ

A naturale conderet; substravit terram, ut hominis pedibus præpararet validum pavimentum. Illam omni herbarum ac fructuum genere atque copia florere voluit. Omnia homini parata: jumenta gregatim sunt instructa: condita fuit quælibet creatura. Animantes productæ sunt, partim communibus pascuis utentes, partim agrestes ad corporis exercitationem. Aliæ erant labore comparandæ, quo gratiores fierent: aliæ aderant prompte et sine negotio, ut confestim homini creando subservirent. Vidit terram eis sponte fructum parasse. Creatura omnis exspectabat qui fruerentur; tum demum productus est homo ad epulandum. Vidit benignissimum Deum terræ deliciis contentum non fuisse: cum vellet hominem suum ipsius ornamen-
B tum esse, eum in eximio habitaculo collocasse, in paradiso scilicet. Maligne se gessit diabolus, cum vidit multum homini affluere voluptatis, angelos pædagogos ei assidere, Deum eadem atque homines lingua utentem, propria voce loqui, erudire omnibus modis puerum parvulum, ut ad Dei similitudinem pertingeret; rursus, postquam consideravit hominem, postquam vidit exiguum hoc animal
594 a Domino ad angelorum æqualitatem advocari, ut qui ipsum per virtutem ac rerum mundanarum moderatum usum eveheret ad animæ perfectionem. Etenim, quandiu solus fuit homo, ansam non habebat diabolus. Sed istuc contigit, postquam condita est mulier, tenerum illud animal, cui conditor ne-
C cessario teneritudinem naturalem indidit, ut ob benignitatem pueros propense educaret. Etenim, si austera esset mulier, non sane plorantem infantem ulnis complexa in sinu foveret, neque alimento suo neglecto, mammam ad lactentis pueri commodum præberet. Nunc vero materna illa charitas somnum e palpebris non raro fugat, ubi incommodum leve infanti acciderit. Ut igitur infans educaretur, muliebris sexus tener conditus est, tener, inquam, et humanus. Quamobrem teneræ ac molli indoli intentus diabolus, mores qui ad virtutem proni erant, pronos ad vitium effecit. Est itaque diaboli proprium hoc malum, invidia, invidia quæ nec potest verbis explicari, nec medelam admittit. Cui caput dolet, is medico declarat capitis dolorem;

D

nostri sex mss. ἵνα πτωχός. Mihi quidem dubium non est quin typographi Parisienses voculam μή de suo addiderint sine ulla veterum librorum auctoritate: quoniam tamen negans particula μή videtur esse necesse, nihil in contextu mutandum censuimus.

(23) Variant hoc loco libri tum typis excusi tum manu exarati. Editio Paris.: ἀλλ' εἰς ἐξαίρετον ἐνδιαίτημα, τὸ ἴδιον ἐγκαλλώπισμα, τὸν ἄνθρωπον ἑαυτοῦ βουλόμενος εἶναι, κατέστησεν εἰς τὸν παράδεισον. Editio Basil.: ἀλλ' εἰς ἐξαίρετον ἐνδιαίτημα... βουλόμενος, ἐκεῖ κατέστησεν ἐν τῷ παραδείσῳ. Antiqui tres libri: ἀλλ' ἐξαίρετον ἐνδιαίτημα... βουλόμενος ἐκεῖ καταστῆσαι ἐν τῷ παραδείσῳ: cætera vero ut editio Paris., Reg. secundus et Coisl. εἰς τὸ ἴδιον, etc., uti in tribus illis quos dixi codicibus legitur. Reg. primus κατέστησεν: qui codex in cæteris quoque consentit cum antiquis tribus libris, quos primum nominavi. Regium codicem primum sequimur.

(24) Codices multi γενόμενον. Editi γινόμενον. Nec ita multo post antiqui duo libri προσεκαλεῖτο. Editi et mss. nonnulli προεκαλεῖτο.

(25) Editio Paris. ψυχῆς· λείπει ἕως μὲν μόνος: sed in antiquis omnibus libris verbum λείπει desideratur. Puto autem id verbum hoc loco a typographis fuisse positum, ut moneremur deesse hic aliquid librariorum oscitantia. Sed, nisi valde fallor, nihil deest, cum illud, ἐπειδὴ κατέμαθε, etc., possit referri ad id quod præcedit. ἐπονηρεύσατο ὁ διάβολος, *Diabolus inique se gessit, postquam consideravit hominem, postquam vidit parvum hoc animal*, etc. Hoc ipso in loco pro μέν ex quinque mss. edendam curavimus voculam γάρ.

(26) Codices non pauci καὶ τῷ. Deerat articulus in vulgatis.

qui invidiæ morbo laborat, ecquid dixerit? Exhibent mihi molestiam fratris bona? Verum id est: at dicere unumquemque pudet. Quid doles? tuumne ipsius malum, an alienum bonum? Canes quidem nutriendo reddimus mansuetos: sed invidum conferendis beneficiis efficimus morosiorem. Nec enim iis quibus donatur bonis gaudet: sed opulentia tua mœret, quod suppetat tibi facultas, unde illius suppleatur egestas. Ne igitur collabare in fraudem diaboli: invidit tibi, invidit, ejecit te e paradiso. Propter illum spinæ, propter illum sudor: propter illum exsilii locus, in quem delapsus patriæ antiquæ ne obliviscare. Memineris nobilitatis tuæ; memineris patriæ, unde pulsus es; memor sis ejus qui malis tantis te affecit. Ne paciscaris cum eo, neque unquam cum ipso venias in collocutionem. Nam intulit injurias duas, et ab initio depulit, et nunc reditum intercipit. Invidit tibi prima bona per mulierem: ac rursus artificiis per mulierem utens, impedit quominus in pristinum statum restituare. Excogitavit scortationem, ut ne ingrediaris in paradisum. Non satis habuit damnum primum intulisse, te videlicet subvertisse: sed alteras fraudes artesque comminiscitur, cursum nostrum inhibiturus. Decipit mendacio atque circumvenit: si quidem iter in paradisum facientibus quidam murus est mendacium.

9. Innumeræ sunt illius artes. Illius germina sunt crudelitas, asperitas, avaritia, convicium: omnia quæcunque sermo veritatis odit, ea opus sunt diaboli. Osor hominum est, cum et Dei sit hostis. Deum prius odio habuit, rebellavit adversus Deum omnipotentem, sprevit Dominum, abalienatus est a Deo. Postquam autem vidit hominem ad imaginem ac similitudinem Dei factum, cum non posset Deum impetere, in imaginem Dei malignitatem **595** suam effudit; velut si quis homo iratus imaginem lapidibus petat, cum regem non possit, lignum effigie ipsius insignitum percutiens. Vidi ego non raro in stadiis infestissima homini animalia, aut vidi, aut audivi: tutus enim sit nobis sermo. Ut ut est, pantheris ipsis insita est naturalis quædam in hominem ira, et maxime solent hominibus in oculos involare. Itaque belluæ furorem ridere qui volunt, imaginem velut hominem ei in charta ponunt ob oculos. Illa autem præ nimio impetu nihil cogitans, chartam velut hominem dilaniat, illicque suum in homines odium ostendit. Sic etiam diabolus suum in Deum odium patefacit in imagine, cum attingere Deum non possit. Sic ex illato nobis bello liquet malignum illum Dei hostem esse, ac primum Domino ipsi bellum gerere. Ille hominem ab Jerusalem in Jericho abduxit, ab altis ad cava. Nimirum Jerusalem

A τὴν κεφαλαλγίαν· ὁ φθόνον νοσῶν τί εἴπῃ; Λυπεῖ με τὰ τοῦ ἀδελφοῦ ἀγαθά; Ἡ μὲν ἀλήθεια αὕτη· τὰ δὲ ῥήματα ἕκαστος ἐπαισχύνεται. Τί στενάζεις; ἴδιον κακὸν, ἢ ἀλλότριον ἀγαθόν; Τοὺς μὲν γὰρ κύνας τρέφοντες ἡμεροῦμεν· τὸν δὲ βάσκανον εὐεργετοῦντες χαλεπώτερον ἀπεργαζόμεθα. Οὐ γὰρ χαίρει ἐφ' οἷς ἂν πάθῃ χρηστοῖς· ἀλλὰ λυπεῖται τῇ σῇ εὐπορίᾳ, ὅτι ἔχεις ὕλην, ὅθεν τὴν χρείαν αὐτῷ πληρώσεις. Μὴ τοίνυν συνεμπέσῃς εἰς τὴν ἀπάτην τοῦ διαβόλου· ἐβάσκηνέ σοι, ἐβάσκηνεν· ἐξώρισέ σε τοῦ παραδείσου. Δι' ἐκεῖνον ἄκανθαι, δι' ἐκεῖνον ἱδρὼς, δι' ἐκεῖνον ὁ τόπος τῆς ἐξορίας· εἰς ὃν ἐκπεσὼν, μὴ ἐπιλάθῃ τῆς πατρίδος τῆς ἀρχαίας. Μέμνησο τῆς εὐγενείας τῆς σεαυτοῦ· μέμνησο τῆς πατρίδος ὅθεν ἐξωρίσθης. Μέμνησο τοῦ τὰ τηλικαῦτά (27) σε ζη- B μιώσαντος· μὴ σπείσῃ πρὸς αὐτὸν, μηδέ ποτε τὴν πρὸς αὐτὸν ὁμιλίαν καταδέξῃ. Δύο γὰρ ἠδίκησε, καὶ ἐξ ἀρχῆς ἐξέβαλε, καὶ νῦν τὴν ἐπάνοδον διακόπτει. Ἐβάσκηνέ σοι τῶν πρώτων ἀγαθῶν διὰ γυναικὸς, καὶ πάλιν ἐπινοίαις ταῖς κατὰ τὴν γυναῖκα εἰς τὴν ἀποκατάστασιν κωλύει. Πορνείαν (28) ἐπενόησεν, ἵνα μὴ εἰσέλθῃς εἰς παράδεισον. Οὐκ ἤρκεσεν αὐτῷ ἡ πρώτη ζημία, ὅτι κατέστρεψεν· ἀλλὰ δευτέρας μεθοδείας ἐπινοεῖ (29), τὸν δρόμον ἡμῖν ἐπέχων. Κλέπτει διὰ τοῦ ψεύδους, ἐπειδὴ τεῖχός ἐστι τοῖς ὁδεύουσιν εἰς παράδεισον τὸ ψεῦδος.

9. Τὰ ἐκείνου ἐπιτηδεύματα μυρία. Τὰ ἐκείνου βλαστήματα, ὠμότης, τραχύτης, πλεονεξία, λοιδορία· πάντα ὅσα μισεῖ ὁ λόγος τῆς ἀληθείας, ταῦτα τοῦ διαβόλου ἐστί. Μισάνθρωπος, ἐπειδὴ καὶ θεομάχος. C Ἐμίσησε πρότερον, ἐτραχηλίασε κατὰ Θεοῦ παντοκράτορος, κατεφρόνησε τοῦ Δεσπότου, ἠλλοτριώθη τοῦ Θεοῦ. Ἐπειδὴ εἶδε τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ, μὴ δυνάμενος εἰς Θεὸν τραπῆναι, εἰς τὴν εἰκόνα τοῦ Θεοῦ τὴν ἑαυτοῦ πονηρίαν ἐκένωσεν· ὥσπερ εἴ τις ἄνθρωπος ὀργισθεὶς τὴν εἰκόνα λιθάζοι, ἐπειδὴ τὸν βασιλέα οὐ δύναται, τὸ ξύλον τύπτων, τὸ τὴν μίμησιν ἔχον. Εἶδον ἐγὼ τὰ μισανθρωπότατα τῶν ζώων ἐν τοῖς σταδίοις πολλάκις (30), ἢ εἶδον, ἢ ἤκουσα· ἀσφαλὴς γὰρ ἔστω ὁ λόγος. Πλὴν ὅτι αὗται αἱ παρδάλεις φυσικήν τινα ἔχουσι πρὸς τὸν ἄνθρωπον ὀργὴν, καὶ πεφύκασι μάλιστα τοῖς ὀφθαλμοῖς τῶν ἀνθρώπων ἐφάλλεσθαι. Οἱ τοίνυν καταπαίζοντες τῆς μανίας τοῦ θηρίου ἐν χάρτῃ εἰκόνα D προδεικνύουσιν ὡς ἄνθρωπον. Ἡ δὲ ὑπὸ τῆς ἄγαν ὁρμῆς μὴ λογιζομένη, ὡς ἄνθρωπον, σπαράσσει τὸν χάρτην, κἀκεῖ δείκνυσι τὸ μισάνθρωπον. Οὕτω καὶ ὁ διάβολος ἐν τῇ εἰκόνι τὸ μισόθεον ἔδειξεν, ἐπειδὴ Θεοῦ προσάψασθαι οὐκ ἐδύνατο. Οὕτως ὁ εἰς ἡμᾶς πόλεμος ἀπόδειξιν ἔχει τοῦ θεομάχον εἶναι τὸν πονηρὸν, καὶ πρῶτον πολεμεῖν τῷ Δεσπότῃ. Ἐκεῖνος κατήγαγεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ τὸν ἄνθρωπον, ἀπὸ τῶν ὑψηλῶν ἐπὶ τὰ κοῖλα. Ἐπὶ μὲν τῆς ὀρεινῆς ἡ

(27) Editi Μέμνησο τοῦ ταῦτα καὶ τηλ. At mss. tres ut in contextu.

(28) Editio Paris. Πορνείαν γάρ. Vocula γάρ in nostris mss. deest.

(29) Editio Basil. et Reg. primus cum Colb. tertio ἐπέχων κλέπτειν. Ἐπειδή. Editio Paris. ἐπέχων τῷ ψεύδεσθαι. Ἐπειδή. Antiqui tres libri ἐπέχων κλέπτει. Ἐπειδή. Codex Coisl. ut in contextu.

(30) Editio Paris. πολλάκις παρδάλεις. Vox ultima neque in editione Basil. neque in nostris sex mss. invenitur.

Ἱερουσαλήμ· ἡ δὲ Ἱεριχὼ κάτω ἐν τῇ ἁλμυρᾷ θαλάσσῃ. Εἴ τις ὑμῶν οἶδε τὸν τόπον, οἶδε τῶν λεγομένων τὴν ἀλήθειαν, ὅτι Ἱεριχὼ μὲν ἔχει τὰ κοῖλα τῆς Παλαιστίνης, Ἱερουσαλὴμ δὲ ἐπὶ τῆς κορυφῆς ἐρήρεισται, τὴν ἄκραν κατέχουσα τοῦ ὄρους τοῦ διὰ πάσης ἐκείνης τῆς χώρας ἀνεστηκότος. Ἀπὸ τοίνυν τῶν ὑψηλῶν ἐπὶ τὰ κάτω ἦλθεν ὁ ἄνθρωπος, ἵνα τοῖς λῃσταῖς περιπέσῃ· τῆς ἀσφαλείας ἐξελθὼν (31) τῆς κατὰ Ἱερουσαλήμ, ἵνα εὐάλωτος γένηται τοῖς κατὰ τὴν ἐρημίαν λῃσταῖς, οἳ πληγὰς ἐπέθηκαν, καὶ ἐξέδυσαν. Πρότερον πληγαί, καὶ τότε γύμνωσις. Πληγὴ ψυχῆς ἁμαρτία· γύμνωσις ψυχῆς ἀπόθεσις τοῦ ἐνδύματος τῆς ἀφθαρσίας. Ἡ δὲ ἁμαρτία ἀφανιστικὴ τῆς χάριτος τῆς δεδομένης ἡμῖν διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας. Πορνεία, πληγή, μοιχεία, ἄλλη πληγή, πληγὴ ὁ φθόνος, πληγὴ ἕκαστον τούτων, πληγὴ αὐτὰ τὰ καίρια τύπτουσα, πληγὴ παρὰ λῃστῶν ἐμβαλλομένη, παρὰ δαιμόνων τῶν συνεργούντων ἡμῖν πρὸς τὰς ἁμαρτίας. Μετὰ τὰς πληγὰς ἐξεδύθη ὁ τετυμμένος (32). Εἰ σωματικὸν ἦν τὸ λεγόμενον, πρότερον ἐξέδυνον φειδοῖ τοῦ ἱματίου, καὶ τότε πληγὰς ἐπετίθεσαν. Ἢ ἐκδύσαντες ἄν, πληγὰς ἐπέθηκαν, ἵνα καὶ τὸ ἱμάτιον διεσώθη, καὶ ὁ τυπτηθεὶς ἐπλήγη. Νῦν μέντοι πληγαὶ τῆς ἐκδύσεως προηγοῦνται, ἵνα μάθῃς, ὅτι ἁμαρτία προηγεῖται τῆς ἀποθέσεως τοῦ χαρίσματος, τοῦ δεδομένου σοι διὰ τῆς τοῦ Κυρίου φιλανθρωπίας. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A in montana regione sita est; Jericho vero in depresso ac humili loco ad salsum mare. Si quis vestrum vidit locum, quæ dicuntur, ea vera esse novit, Jericho videlicet in Palæstinæ cavis locari, Jerusalem vero summo in loco sitam esse, montis ejus, qui per totam illam regionem assurgit, cacumen occupantem. Itaque ab altis ad inferna descendit homo, ut incideret in latrones. Egressus est e firmo Jerosolymorum præsidio, ut commorantibus in deserto prædonibus fieret facilis captu: qui inflictis plagis eum denudarunt. Plagæ prius, tum demum denudatio. Plaga animæ peccatum est, denudatio animæ est indumenta incorruptibilitatis abjicere. Peccatum autem gratiam nobis per regenerationis lavacrum collatam abolet. Scortatio plaga, adulterium plaga alia, plaga invidia. Plaga
B unumquodque horum, plaga vitales ipsas partes consaucians, imposita a prædonibus plaga, a dæmonibus videlicet, qui sunt nobis adjutores ad peccata. Post plagas exutus est qui fuerat percussus. Si corporeum quiddam esset quod dicitur, prius exuissent, ut parcerent vesti, et tunc plagas incussissent. Aut ubi exuissent, inflixissent plagas, ut et servaretur vestis, et percussus vulneraretur. Nunc vero plagæ præcedunt vestium detractionem, ut discas peccatum doni ejus amissioni anteire, quod fuerat tibi per Domini benignitatem traditum. Ipsi gloria in sæcula sæculorum. Amen.

ΟΜΙΛΙΑ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ.

1. Χριστοῦ γέννησις ἡ μὲν οἰκεία καὶ πρώτη καὶ ἰδία (33) αὐτοῦ τῆς θεότητος σιωπῇ τιμάσθω· μᾶλλον δὲ καὶ ταῖς ἐννοίαις ἡμῶν μὴ ζητεῖν ἐκεῖνα μηδὲ πολυπραγμονεῖν ἐπιτάξωμεν. Ὅπου γὰρ οὐ χρόνος, οὐκ αἰὼν ἐμεσίτευσεν, οὐ τρόπος ἐπινενόηται, οὐ θεατὴς παρῆν, οὐχ ὁ διηγούμενός ἐστι (34), πῶς φαντασθῇ ὁ νοῦς; πῶς δὲ ὑπηρετήσει ταῖς διανοίαις ἡ γλῶσσα; Ἀλλὰ Πατὴρ ἦν, καὶ Υἱὸς ἐγεννήθη (35). Μὴ εἴπῃς, Πότε; ἀλλὰ παράδραμε τὸ ἐπερώτημα. Μὴ ἐπιζητήσῃς, Πῶς; ἀδύνατος γὰρ ἡ ἀπόκρισις. Τὸ μὲν γάρ, *πότε*, χρονικόν· τὸ δέ, *πῶς*, ὀλισθον ἐμποιεῖ πρὸς τοὺς σωματικοὺς τῆς γεννήσεως τρόπους. Ἔχω εἰπεῖν ἀπὸ τῆς Γραφῆς, ὅτι ὡς ἀπαύγασμα ἀπὸ τῆς δόξης, καὶ ὡς εἰκὼν ἀπὸ τοῦ πρωτοτύπου. Ἀλλ' ὅμως ἐπειδὴ οὐχ ἵστησί σου τὴν πολυπραγμοσύνην τῶν λογισμῶν ὁ τοιοῦτος λόγος τῆς ἀποκρίσεως (36), ἐπὶ τὸ ἄῤῥητον καταφεύγω τῆς δόξης, καὶ ὁμολογῶ ἀνεπινόητον εἶναι λογισμοῖς

HOMILIA IN SANCTAM CHRISTI GENERATIONEM.

C 1. Christi generatio, germana illa primaque et divinitatis ejus propria, colatur silentio: imo vero cogitationibus nostris imperemus, ne hæc inquirant, neque curiose scrutentur. Ubi enim nec tempus nec sæculum intercessit, nec modus excogitatus est, nec spectator adfuit, nec est qui enarret, quomodo quidquam sibi mens finget? Quomodo etiam lingua ipsa rei intelligendæ inserviet? Atqui **596** Pater erat, et Filius genitus est. Ne dicas: Quando? sed prætereas hanc quæstionem. Ne quæras: Quomodo? dari namque responsum nullum potest. Nam *quando*, temporale quiddam sonat: illud vero, *quomodo*, efficit ut in generationis corporeos modos labamur. Dicere
D habeo ex Scriptura [41] esse eum velut splendorem ex gloria, et velut imaginem ex exemplari. Quoniam tamen hæc respondendi ratio animi tui non sistit curiositatem, ad majestatis arcanum confugio,

[41] Hebr. I, 3.

(31) Unus codex Colb. ἐξῆλθεν. Mox utraque editio λῃσταῖς οἱ. Vocula οἱ in nostris mss. non legitur. Subinde quatuor mss. πρότερον πληγή. At Reg. tertius et editi πρότερον πληγαί.

(32) Editi ὁ τετυμμένος. Veteres quatuor libri ὁ τετυπτημένος.

(33) Combefisiani quidam codices πρώτη καὶ ἀΐδιος, *prima et sempiterna*. Editi et nostri quatuor mss. πρώτη καὶ ἰδία. Notandum præterea, hanc homiliam et in Colb. primo et in Reg. secundo deesse.

(34) Colb. tertius οὐχ ὁδηγούμενος. Codices Combefisiani ὁ διηγούμενος ἦν.

(35) Codices Combefisiani Πότε; Ἄπορον γὰρ τὸ ἐπερώτημα, *Nam perplexa interrogatio est, et insolubilis*. Editi et Colb. tertius ut in contextu. Nec ita multo post editi et Reg. tertius σωματικοὺς τῆς γεννήσεως τρόπους.

(36) Codices Combefisiani et alii duo πολυπραγμοσύνην ὁ λογισμὸς τοῖς τοιούτοις λόγοις τῆς. Editi et Reg. tertius ut in contextu.

fateorque non posse divinæ generationis modum ratiocinationibus ullis excogitari, neque ullis humanis verbis exponi. Cave dicas: Si genitus est, non erat: neque vafris verbis sententiam ineptam arripias, ita ut exemplis humanis veritatem corrumpas, coinquinesque theologiam. Dixi: *Genitus est*, ejus ut principium causamque exhibeam, non ut Unigenitum tempore posteriorem ostendam. Neque vero mens tua inania meditetur, transgrediens sæcula Filio antiquiora, quæ neque exsistunt neque exstitere. Qui enim fieri potest ut quæ condita sunt, conditore ipso sint antiquiora? Sed quod refugiebam, in id imprudens ex sermonis serie casu incidi. Omittamus igitur de sempiterna illa et arcana generatione loqui, illud cogitantes, mentem nostram intelligendis rebus esse imparem: sermonem rursus imbecilliorem, quam ut possit intellecta exprimere.

2. Considerare igitur oportet quantus sit a veritate ad sermonem lapsus. Enimvero mens non potest ad rerum incomprehensibilium naturam pertingere: neque tanta sermonis vis potest inveniri, ut ea quæ qualicunque tandem modo cogitata sunt, exæquet. Deus in terra, Deus inter homines, non ferens legem per ignem et tubam et montem fumantem, aut caliginem, et procellam animas audientium perterrefacientem; sed per corpus mansuete ac blande cum iis qui eamdem atque ipse naturam habent, colloquens. Deus in carne, non intervallo operans velut in prophetis, sed insitam sibi et conjunctam humanitatem consecutus, atque per suam carnem nobis cognatam omne hominum genus reducens ad semetipsum. Quomodo igitur per unum, inquit, in omnes splendor devenit? Quonam modo divinitas est in carne? Velut ignis in ferro; non transitu, sed communicatione. Non enim ignis excurrit in ferrum, sed manens in loco, suam ei virtutem impartit: neque hac communicatione minuitur, sed quidquid suiipsius particeps est, omne id replet. Sic igitur et Deus Verbum, neque emotus est ex seipso, « Et tamen habitavit in nobis [42]: » neque fuit mutationi obnoxius, « Et tamen Verbum caro factum est [43]: » neque cœlum destitutum fuit eo qui illud continebat, sed tamen
597 suscepit terra in suo sinu cœlestem. Noli

A καὶ ἄφατον ῥήμασιν (37) ἀνθρωπίνοις τὸν τρόπον τῆς θείας γεννήσεως. Μὴ λέγε· Εἰ ἐγεννήθη, οὐκ ἦν· μηδὲ συνάρπαζε κακουργίᾳ ῥημάτων διανοίας ἀπειροκάλους, ἐκ τῶν ὧδε παραδειγμάτων διαλυμαινόμενος τὴν ἀλήθειαν, καὶ τὴν θεολογίαν καταῤῥυπαίνων. *Ἐγεννήθη*, εἶπον, ἵνα τὴν ἀρχὴν αὐτοῦ καὶ τὸν αἴτιον ἀποδείξω, οὐχ ἵνα χρόνου ὕστερον τὸν Μονογενῆ ἀπελέγξω. Σοῦ δὲ μὴ κενεμβατείτω ὁ νοῦς, εἰς αἰῶνας ὑπερβαίνων πρεσβυτέρους τοῦ Υἱοῦ, τοὺς οὔτε ὄντας, οὔτε γενομένους (38). Πῶς γὰρ πρεσβύτερα δύναται εἶναι τὰ ποιήματα τοῦ πεποιηκότος αὐτά; Ἀλλὰ γὰρ ἔλαθον, ὃ ἀπέφυγον, εἰς τοῦτο αὐτομάτως ἐκ τῆς τοῦ λόγου ἀκολουθίας συνενεχθείς. Καταλείπωμεν (39) οὖν τοὺς λόγους τοὺς περὶ τῆς ἀϊδίου ἐκείνης καὶ ἀῤῥήτου γεννήσεως, ἐκεῖνο ἐν-
B θυμηθέντες, ὅτι ὁ μὲν νοῦς τῶν πραγμάτων ἐλάττων, ὁ δὲ λόγος τῶν νοουμένων πάλιν καταδεέστερος.

2. Σκοπεῖν οὖν χρὴ ὁπόσον τί ἐστι τὸ ἀπὸ τῆς ἀληθείας ἐπὶ τὸν λόγον ἀπόπτωμα· εἴπερ ὁ μὲν νοῦς προσβῆναι τῇ φύσει τῶν ἀκαταλήπτων ἀδυνατεῖ, λόγου δὲ φύσιν τοῖς ὁπωσοῦν νοηθεῖσιν εὑρεῖν παρισουμένην ἀμήχανον (40). Θεὸς ἐπὶ γῆς, Θεὸς ἐν ἀνθρώποις, οὐ διὰ πυρὸς καὶ σάλπιγγος καὶ ὄρους καπνιζομένου, ἢ γνόφου, καὶ θυέλλης ἐκδειματούσης τὰς ψυχὰς τῶν ἀκροωμένων νομοθετῶν, ἀλλὰ διὰ σώματος ἡμέρως καὶ προσηνῶς τοῖς ὁμογενέσι διαλεγόμενος. Θεὸς ἐν σαρκί· οὐκ ἐκ διαλειμμάτων ἐνεργῶν ὡς ἐν τοῖς προφήταις, ἀλλὰ συμφυῆ ἑαυτῷ (41) τὴν ἀνθρωπότητα καὶ ἡνωμένην κατακτη-
C σάμενος, καὶ διὰ τῆς συγγενοῦς ἡμῶν σαρκὸς αὐτοῦ πρὸς ἑαυτὸν ἐπανάγων πᾶσαν τὴν ἀνθρωπότητα. Πῶς οὖν δι' ἑνὸς, φησὶν, εἰς πάντας ἦλθε τὸ λαμπτήριον (42); Τίνα τρόπον ἐν σαρκὶ ἡ θεότης; Ὡς τὸ πῦρ ἐν σιδήρῳ· οὐ μεταβατικῶς, ἀλλὰ μεταδοτικῶς. Οὐ γὰρ ἐκτρέχει τὸ πῦρ πρὸς τὸν σίδηρον, μένον δὲ κατὰ χώραν, μεταδίδωσιν αὐτῷ τῆς οἰκείας δυνάμεως, ὅπερ οὔτε ἐλαττοῦται τῇ μεταδόσει, καὶ ὅλον πληροῖ ἑαυτοῦ τὸ μετέχον. Κατὰ τοῦτο δὴ καὶ ὁ Θεὸς Λόγος οὔτε ἐκινήθη ἐξ ἑαυτοῦ, « Καὶ ἐσκήνωσεν ἐν ἡμῖν· » οὔτε τροπὴν ὑπέμεινε, « Καὶ ὁ Λόγος σὰρξ ἐγένετο· » οὔτε ὁ οὐρανὸς ἔρημος ἦν τοῦ συνέχοντος, καὶ ἡ γῆ ἐν τοῖς ἰδίοις κόλποις τὸν οὐράνιον ὑπεδέχετο. Μὴ κατάπτωσιν τῆς θεότητος ἐννοήσῃς· οὐ γὰρ μεταβαίνει ἐκ τόπου εἰς τόπον ὡς τὰ σώματα·
D μηδὲ φαντασθῇς ἠλλοιῶσθαι τὴν θεότητα μεταβλη-

[42] Joan. I, 14. [43] ibid.

(37) Editi καὶ ἄβατον ῥήμασιν, *verbis inaccessum*. Combefisiani libri et alii duo καὶ ἄφραστον. Reg. tertius καὶ ἄφατον. Haud multo post Reg. primus et Colb. tertius συνάρπαζε κακουργίαν ῥημάτων διανοίας ἀπειροκάλου. Editi et Reg. tertius ita ut edidimus. Subinde Colb. tertius et alter διαλυόμενος τὴν ἀλήθειαν, *evertens veritatem*.

(38) Editi et Reg. tertius οὔτε ὄντας, οὔτε ἐσομένους, *neque sunt, neque erunt*. Codices Combefisiani οὔτε γενομένους, *neque exstiterunt*.

(39) Editi καταλίπωμεν. Antiqui duo libri καταλείπωμεν. Statim duo mss. ἐκεῖνα ἐνθ.

(40) Editi et Colb. tertius εὑρεῖν παρισαζομένην. Codices Combefisiani et Reg. tertius παρισουμένην. Haud longe unus codex Θεὸς ἐπὶ γῆς, Θεὸς ἐν οὐρανοῖς, *Deus in cœlis*. Subinde editi et Reg. tertius γνόφου καὶ ζόφου. Illud, καὶ γνόφου, in aliis mss. non legitur.

(41) Antiqui duo mss. συμφυῆ αὐτῷ. Mox iidem mss. ἡνωμένην καταστησάμενος. Haud procul mss. plerique omnes ἐπανάγων πᾶσαν τήν. Vox πᾶσαν in editis desideratur.

(42) Unus codex Combef. τὸ λαμπτήριον, ὅτι καὶ ἐξ ἀρχῆς ἑνὸς παραπεσόντος εἰς πάντας ἦλθε τὸ βλαβερόν, *quia scilicet etiam a principio lapsu unius in omnes noxa transiit*. Nec ita multo post antiqui tres libri σαρκὶ, φησὶν, ἡ.

θεῖσαν εἰς σάρκα· ἄτρεπτον γὰρ τὸ ἀθάνατον (43). Πῶς οὖν, φησὶ, τῆς σωματικῆς ἀσθενείας ὁ Θεὸς Λόγος οὐκ ἀνεπλήσθη; Φαμὲν, ὡς οὐδὲ τὸ πῦρ τῶν τοῦ σιδήρου ἰδιωμάτων μεταλαμβάνει. Μέλας ὁ σίδηρος καὶ ψυχρός· ἀλλ' ὅμως πυρακτωθεὶς τὴν τοῦ πυρὸς μορφὴν ὑποδύεται, αὐτὸς λαμπρυνόμενος, οὐχὶ μελαίνων τὸ πῦρ, καὶ αὐτὸς ἐκφλογούμενος, οὐ καταψύχων (44) τὴν φλόγα. Οὕτω καὶ ἡ ἀνθρωπίνη τοῦ Κυρίου σὰρξ, αὐτὴ μετέσχε τῆς θεότητος, οὐ τῇ θεότητι μετέδωκε τῆς οἰκείας ἀσθενείας. Ἢ οὐδὲ τῷ αἰσθητῷ τούτῳ (45) πυρὶ ἴσον δίδως ἐνεργεῖν τὴν θεότητα, ἀλλὰ πάθος περὶ τὸν ἀπαθῆ ἐκ τῆς ἀνθρωπίνης ἀσθενείας φαντάζῃ, καὶ ἀπορεῖς πῶς ἡ φθαρτὴ φύσις τῇ πρὸς Θεὸν κοινωνίᾳ ἔσχε τὸ ἀκήρατον (46); Μάθε δὴ τὸ μυστήριον. Διὰ τοῦτο Θεὸς ἐν σαρκὶ, ἵν' ἐναποκτείνῃ τὸν ἐμφωλεύοντα (47) θάνατον. Ὡς γὰρ τῶν φαρμάκων τὰ ἀλεξητήρια καταχρατεῖ τῶν φθαρτικῶν, οἰκειωθέντα τῷ σώματι, καὶ ὡς τὸ ἐνυπάρχον τῷ οἴκῳ σκότος τῇ ἐπεισαγωγῇ τοῦ φωτὸς λύεται· οὕτως ὁ ἐνδυναστεύων τῇ ἀνθρωπίνῃ φύσει (48) θάνατος τῇ παρουσίᾳ τῆς θεότητος ἠφανίσθη. Καὶ ὡς ἐν ὕδατι πάγος, ὅσον μὲν χρόνον νὺξ ἐστι καὶ σκιὰ, καταχρατεῖ τῶν ὑγρῶν, ἡλίου δὲ θάλποντος ὑποτήκεται τῇ ἀκτῖνι· οὕτως ἐβασίλευσε μὲν ὁ θάνατος μέχρι παρουσίας Χριστοῦ· ἐπειδὴ δὲ ἐφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος, καὶ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, κατεπόθη ὁ θάνατος εἰς νῖκος, τῆς ἀληθινῆς ζωῆς τὴν ἐπιδημίαν οὐκ ἐνεγκών. Ὢ βάθος ἀγαθότητος καὶ φιλανθρωπίας Θεοῦ! Δι' ὑπερβολὴν φιλανθρωπίας πρὸς τὴν δουλείαν (49) ἀφηνιάζομεν. Διά τί Θεὸς ἐν ἀνθρώποις, τὸν λόγον ἐπιζητοῦσιν ἄνθρωποι, δέον προσκυνεῖν τὴν χρηστότητα.

lapsum cogitare divinitatis. Non enim transit e loco ad locum velut corpora. Neque divinitatem in carnem transmutatam putaveris alteratam fuisse. Nam quod immortale est, id immutabile est. Quomodo igitur, inquis, Deus Verbum infirmitate corporali repletus non est? Hoc dicimus, ne ignem quidem proprietatum ferri participem fieri. Ferrum nigrum est et frigidum, sed tamen ignitum ac candens, ignis formam induit; splendidum efficitur, non ignem denigrat; inflammatur, non refrigerat flammam. Hunc ad modum et humana Domini caro cum divinitatis effecta est particeps, suam ipsius infirmitatem nequaquam contulit divinitati. An divinitatem non concedis similiter sensibili huic igni operari, sed affectionem in eo qui cujuscunque affectionis expers est, ex humana imbecillitate tibi animo fingis, dubitasque quomodo fieri potuerit, ut obnoxia corruptioni natura ex ea quam cum Deo habuit communione incorruptibilitatem obtinuerit? Disce igitur mysterium. Propterea Deus in carne est, ut latitantem in ea mortem enecet. Ut enim si medicamenta venenis expellendis idonea corpori misceantur, causas corruptionis expugnant, utque tenebræ in domo residentes adveniente luce dissolvuntur: sic mors, quæ in natura humana dominabatur, divinitatis præsentia abolita est. Et sicut glacies in aqua, dum quidem nox est et umbra, humori dominatur, sed solis calefacientis radio colliquescit: sic mors ad Christi usque adventum regnavit; sed, posteaquam apparuit gratia Dei salutaris [44], et ortus est sol justitiæ [45], absorpta est mors in victoriam [46], vitæ veræ non sustinens præsentiam. O altitudinem bonitatis amorisque Dei in homines! Servitutem excutimus magnitudine benignitatis. Rationem cur Deus inter homines sit, homines requirunt, cum adoratam oportuisset bonitatem.

3. Τί σοι ποιήσομεν, ἄνθρωπε; Μένοντα ἐν τῷ ὕψει τὸν Θεὸν οὐκ ἐπεζήτησας, συγκαταβαίνοντά σοι καὶ διὰ σαρκὸς ὁμιλοῦντα οὐχ ὑποδέχῃ· ἀλλὰ

3. Quid faciemus tibi, o homo? Manentem in supernis Deum non inquisivisti, demittentem se ad te, atque per carnem conversantem non suscipis:

[44] Tit. II, 1. [45] Mal. IV, 22. [46] I Cor XV, 54.

(43) Codices Combefisiani ἄτρεπτος γὰρ καὶ ἀθάνατος. Editi et Reg. tertius ut in contextu. Ibidem codices Combefisiani ἀσθενείας ἐκτὸς ὁ Θεὸς Λόγος: quod ita interpretatur Combefisius, *expers est corporalis infirmitatis?* Editi et Reg. tertius ita ut in contextu legitur. Ibidem unus codex Combef. ἐνεπλήσθη. Hoc ipso in loco Colb. tertius, Φαμὲν, ὅτι οὔτε.

(44) Editi et Colb. tertius ἀποψύχων. At mss. multi καταψύχων. Ibidem editi, Οὕτω δή. Vocula δή in nostris mss. non invenitur.

(45) Codices Combefisiani οὐδὲ τῷ αἰσθητῷ τούτῳ. Editi mss. nonnulli τῷ θνητῷ τούτῳ. Hoc ipso in loco editi ἴσως. Libri veteres ἴσον.

(46) Sic Reg. primus et Colb. tertius. Editio Paris. et Reg. tertius fusius: πῶς ἡ εὔφθαρτος φύσις τῇ πρὸς Θεὸν κοινωνίᾳ ἐδύνατο τὸ ἀκήρατον διασώσασθαι; καὶ ταῦτα ὁρῶν τὸ πῦρ (ἔτι γὰρ ἔχομαι τῆς εἰκόνος) τῷ ἰῷ τοῦ σιδήρου μὴ δαπανώμενον; Μάθε. Hunc locum corruptum esse cum videret Combefisius, sic eum de suo emendare conatus est, πῶς ἡ ἄφθαρτος φύσις τῇ πρὸς ἄνθρωπον κοινωνίᾳ ἠδύνατο τὸ ἀκήρατον διασώσασθαι; Quibus emendatis, sic interpretatur vir doctus: *Quomodo natura incorruptibilis, commercio cum homine, incorruptionem servare potuit? idque adeo cum videas ignem* (*adhuc enim in similitudine hæreo*) *a ferri rubigine non absumi.*

(47) Codex unus Combef. τὸν ἐμφωλεύσαντα. Ibidem codices Combefisiani: κατέπιεν ὁ θάνατος ἀγνοῶν, κατέπιε ζωήν· κατεπόθη ὑπὸ τῆς ζωῆς· κατέπιεν ἕνα μετὰ πάντων, ἀπώλεσε διὰ τὸν ἕνα πάντας. Ὡς γάρ. *Absorpsit mors insciens, absorpsit vitam: absorpta est a vita. Absorpsit unum cum omnibus: omnes unius gratia amisit.*

(48) Sic mss. nostri. Vox φύσει abest a vulgatis. Monere libet, libros veteres ita inter se discrepare, ut si has omnes variantes lectiones exscribere vellem, tempus male locare mihi viderer. Quare, ne tempus inaniter teram, majorem earum partem deinceps silentio præteribo. Attamen, si quem diversarum lectionum copia delectat, ei auctor sum, ut legat Combefisii *Basilium recensitum*, in quo, opinor, plus satis inveniet.

(49) Codices non pauci ἀπὸ τῆς δουλείας. Editi et Reg. tertius πρὸς τὴν δουλείαν. Ibidem καὶ διά. Vocula καί in nostris mss. non legitur. Verba, quæ in prius editis sequuntur, μὴ πολυπραγμονεῖν τὴν θεότητα, delevimus, fidem librorum antiquorum secuti.

sed cur necessitudinem cum Deo inieris, causam exposcis. Condiscito. Idcirco Deus in carne est, quia hanc carnem exsecratam oportebat sanctificari, debilem corroborari, e Deo abalienatam cum eo conjungi, delapsam a paradiso in cœlos reduci. Quænam vero est hujusce dispensationis officina? Virginis sanctæ corpus. Quænam autem generationis principia? Spiritus sanctus, et virtus Altissimi obumbrans. Imo potius ipsa Evangelii verba audi. « Cum enim esset, inquit, desponsata mater **598** ejus Maria Joseph, antequam convenirent, inventa est in utero habens de Spiritu sancto [47]. » Et virgo, et viro desponsata, habita est idonea ad hujus dispensationis ministerium, ut et virginitas honori esset, et matrimonium non contemneretur. Virginitas enim ut ad sanctimoniam apta, selecta est: per desponsationem vero comprehensa sunt initia nuptiarum. Simul autem, ut et Joseph puritatis Mariæ esset testis domesticus, et ne foret calumniis obnoxia, quasi virginitatem contaminasset, sponsum habebat vitæ custodem. Possum et aliam quamdam rationem proferre, nihilo his quas protulimus viliorem, quod videlicet idoneum ad Incarnationem Domini tempus olim præfinitum, et ante conditum orbem prædestinatum, tunc instaret, in quo Spiritum sanctum et Altissimi virtutem oportebat carnem illam Dei gestatricem conformare. Quoniam vero illa hominum ætas nihil puritati Mariæ æquandum habebat, sic ut Spiritus sancti susciperet operationem, occupata autem jam erat per desponsationem, electa est beata Virgo, nihil ex desponsatione virginitate læsa. Allata est alia ratio a quodam ex antiquis, videlicet excogitatam fuisse Josephi desponsationem, ut Mariæ virginitas mundi hujus principem lateret. Nam in Virgine adhibitus est desponsationis apparatus, quasi quædam hæsitandi occasio daretur maligno illi, qui jam pridem virgines observabat, ex quo audierat prophetam dicentem: « Ecce virgo concipiet, et pariet filium [48]. » Deceptus igitur est per desponsationem virginitatis insidiator ille. Noverat enim imperium suum per Domini apparitionem, quæ in carne futura erat destructum iri.

4. « Antequam convenirent, inventa est in utero habens de Spiritu sancto. » Utrumque invenit Joseph, tum graviditatem, tum causam, quod scilicet esset ex Spiritu sancto. Quapropter veritus talis mulieris vir appellari, « Voluit occulte dimittere eam [49]. » non ausus quæ in ea contigerant, patefacere. Cum autem justus esset, mysteriorum assecutus est re-

A πῶς οἰκειωθῇς τῷ Θεῷ, ἐπιζητεῖς τὴν αἰτίαν. Μάνθανε, ὅτι διὰ τοῦτο Θεὸς ἐν σαρκὶ, ἐπειδὴ ἔδει τὴν καταραθεῖσαν σάρκα ταύτην ἁγιασθῆναι, τὴν ἀσθενήσασαν ἐνδυναμωθῆναι, τὴν ἀλλοτριωθεῖσαν Θεοῦ, ταύτην οἰκειωθῆναι αὐτῷ, τὴν ἐκπεσοῦσαν τοῦ παραδείσου, ταύτην εἰς οὐρανοὺς ἀναχθῆναι. Καὶ τί τὸ ἐργαστήριον τῆς οἰκονομίας ταύτης; Παρθένου ἁγίας σῶμα. Τίνες δὲ ἀρχαὶ τῆς γεννήσεως; Πνεῦμα ἅγιον, καὶ δύναμις Ὑψίστου ἐπισκιάζουσα. Μᾶλλον δὲ αὐτῶν ἄκουε τῶν τοῦ Εὐαγγελίου ῥημάτων. « Μνηστευθείσης γὰρ, φησὶ, τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου. » Καὶ παρθένος (50), καὶ μεμνηστευμένη ἀνδρὶ, ἐπιτηδεία πρὸς τὴν τῆς οἰκονομίας διακονίαν ἐκρίθη, ἵνα καὶ
B ἡ παρθενία τιμηθῇ, καὶ ὁ γάμος μὴ φαυλισθῇ. Ἡ παρθενία μὲν γὰρ ὡς ἐπιτηδεία πρὸς ἁγιασμὸν ἐξελέγη (51)· διὰ δὲ τῆς μνηστείας αἱ ἀρχαὶ τοῦ γάμου συμπαρελήφθησαν. Ὁμοῦ δὲ, ἵνα καὶ μάρτυς οἰκεῖος ᾖ τῆς καθαρότητος Μαρίας ὁ Ἰωσὴφ, καὶ μὴ ἔκδοτος εἴη τοῖς συκοφάνταις ὡς τὴν παρθενίαν βεβηλώσασα, μνηστῆρα εἶχε τοῦ βίου φύλακα. Ἔχω τινὰ καὶ ἄλλον λόγον εἰπεῖν οὐδὲν ἀτιμότερον τῶν εἰρημένων, ὅτι ὁ ἐπιτήδειος πρὸς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου καιρὸς, πάλαι προωρισμένος καὶ προδιατεταγμένος πρὸ καταβολῆς (52) κόσμου, τότε ἐνειστήκει, καθ' ὃν ἔδει τὸ Πνεῦμα τὸ ἅγιον καὶ τὴν δύναμιν τοῦ Ὑψίστου τὴν θεοφόρον ἐκείνην συστήσασθαι σάρκα. Ἐπειδὴ δὲ ὁμότιμον τῆς καθαρότητος Μαρίας οὐκ
C εἶχεν ἡ κατ' ἐκείνην γενεὰ τῶν ἀνθρώπων, ὥστε ἐνέργειαν τοῦ Πνεύματος ὑποδέξασθαι, προκατείληπτο δὲ διὰ τῆς μνηστείας, ἐξελέγη ἡ μακαρία Παρθένος, οὐδὲν τῆς παρθενίας ἐκ τῆς μνηστείας παραβλαβείσης. Εἴρηται δὲ τῶν παλαιῶν τινι καὶ ἕτερος λόγος, ὅτι ὑπὲρ τοῦ λαθεῖν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου τὴν παρθενίαν τῆς Μαρίας ἡ τοῦ Ἰωσὴφ ἐπενοήθη μνηστεία. Οἱονεὶ γὰρ μετεωρισμὸς τῷ πονηρῷ τὸ σχῆμα τῆς μνηστείας περὶ τὴν Παρθένον ἐπενοήθη πάλαι ἐπιτηροῦντι τὰς παρθένους, ἀφ' οὗ ἤκουσε τοῦ προφήτου λέγοντος· « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν. » Ἀπεβουκολήθη οὖν διὰ τῆς μνηστείας ὁ ἐπίβουλος τῆς παρθενίας. Ἤδει γὰρ κατάλυσιν τῆς ἰδίας ἀρχῆς τὴν διὰ σαρκὸς ἐπιφάνειαν τοῦ Κυρίου γενησομένην.
D

4. « Πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου. » Ἀμφότερα εὗρεν ὁ Ἰωσὴφ, καὶ τὴν κύησιν, καὶ τὴν αἰτίαν, ὅτι ἐκ Πνεύματος ἁγίου. Διὸ, φοβηθεὶς τοιαύτης γυναικὸς ἀνὴρ ὀνομάζεσθαι, « Ἠβουλήθη λάθρα ἀπολῦσαι αὐτὴν, » μὴ τολμήσας δημοσιεῦσαι τὰ κατ' αὐτήν. Δίκαιος δὲ ὢν, ἔτυχε τῆς ἀποκαλύψεως τῶν μυστη-

[47] Matth. I, 18. [48] Isa. VII, 14. [49] Matth. I, 19.

(50) Sic mss. nonnulli. Editi παρθένος ἦν... καὶ ἐπιτηδεία.
(51) Ita veteres libri. Editi ἁγιασμὸν ἐξελέχθη. Illud, quod mox sequitur, ὁ Ἰωσήφ, in nostris mss. non invenitur.

(52) Editi et aliquot mss. ἀπὸ καταβολῆς. At unus codex Combef. πρὸ καταβολῆς. Statim editi et mss. aliquot τὴν θεοφόρον. Alii duo mss. τὴν χριστοφόρον. Lege Ducæum. Subinde codices Combefisiani ὡς ἐνέργειαν.

ρίων. « Ταῦτα γὰρ αὐτοῦ ἐνθυμηθέντος, ἄγγελος Κυρίου ἐφάνη αὐτῷ κατ' ὄναρ, λέγων· Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. » Μηδ' ἐκεῖνο ἐνθυμηθῇς, ὅτι ὑπονοίαις ἀτόποις συσκιάσεις τὸ ἁμάρτημα. Δίκαιος γὰρ προσηγορεύθης· οὐ πρὸς δικαίου δὲ ἀνδρὸς σιωπῇ τὰς παρανομίας ἐπικαλύπτειν. « Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. » Ἔδειξεν, ὅτι οὐκ ἠγανάκτει, οὐδὲ ἐβδελύσσετο, ἀλλ' ἐφοβεῖτο αὐτὴν ὡς Πνεύματος ἁγίου πεπληρωμένην. « Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου. » Καὶ ἐντεῦθεν δῆλον, ὅτι οὐ κατὰ τὴν κοινὴν φύσιν τῆς σαρκὸς ἡ σύστασις ἐγένετο τῷ Κυρίῳ. Εὐθὺς γὰρ τέλειον ἦν τῇ σαρκὶ τὸ κυοφορούμενον, οὐ ταῖς κατὰ μικρὸν διαπλάσεσι μορφωθὲν, ὡς δηλοῖ τὰ ῥήματα. Οὐ γὰρ εἴρηται, Τὸ κυηθὲν, ἀλλὰ, « Τὸ γεννηθέν. » Ἐξ ἁγιωσύνης οὖν ἡ σὰρξ συμπαγεῖσα, ἀξία ἦν τῇ θεότητι τοῦ Μονογενοῦς ἑνωθῆναι. « Τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. » Τετηρήκαμεν, ὅτι οἷς ἐξεπίτηδες τίθενται τὰ ὀνόματα, ἔνδειξιν ἔχει τῆς ὑποκειμένης φύσεως (53), ὡς τῷ Ἀβραὰμ, καὶ τῷ Ἰσαὰκ, καὶ τῷ Ἰσραήλ. Τούτων γὰρ ἑκάστου ἡ προσηγορία οὐ μᾶλλον τὸν τοῦ σώματος χαρακτῆρα ἢ τὸ ἰδίωμα τῆς κατορθουμένης ὑπ' αὐτῶν ἀρετῆς παρεδήλου. Διὰ τοῦτο καὶ νῦν Ἰησοῦς προσαγορεύεται, τουτέστι « Σωτηρία λαοῦ. » Ἤδη δὲ καὶ τὸ πρὸ αἰώνων διατεταγμένον μυστήριον, καὶ πάλαι διὰ τῶν προφητῶν κηρυχθὲν, τὴν ἔκβασιν εἶχεν. « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ Θεός. » Πάλαι κἀκείνη (54) ἡ προσηγορία τοῦ παντὸς μυστηρίου τὴν δήλωσιν ἔχει, ὅτι Θεὸς ἐν ἀνθρώποις, ἐπειδὴ ἑρμηνεύεται, φησὶ, τὸ Ἐμμανουὴλ « Μεθ' ἡμῶν ὁ Θεός. » Καὶ μηδεὶς περιτρεπέσθω ταῖς Ἰουδαϊκαῖς ἐπηρείαις, οἵ φασιν οὐχὶ παρθένον, ἀλλὰ νεᾶνιν εἰρῆσθαι παρὰ τοῦ προφήτου. « Ἰδοὺ γὰρ, φησὶν, ἡ νεᾶνις ἐν γαστρὶ λήψεται. » Πρῶτον μὲν γὰρ πάντων ἐστὶν ἀλογώτατον τὸ παρὰ τοῦ Κυρίου ἀντὶ σημείου δοθὲν, τοῦτο κοινὸν ὂν καὶ ὑπὸ πάσης τῆς φύσεως ὁμολογούμενον εἶναι δοκεῖν. Τί γάρ φησιν ὁ προφήτης; « Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἄχαζ· Οὐ μὴ αἰτήσω, οὐδ' οὐ (55) μὴ πειράσω Κύριον. » Εἶτα μετ' ὀλίγα φησίν· « Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται. » Ἐπειδὴ γὰρ οὐκ ᾔτησε τὸ εἰς βάθος ἢ εἰς ὕψος σημεῖον ὁ Ἄχαζ, ἵνα μάθῃς, ὅτι ὁ καταβὰς εἰς τὰ κατώτερα μέρη τῆς γῆς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, αὐτὸς ὁ Κύριος ἔδωκε σημεῖον· σημεῖον δὲ παράδοξόν τι καὶ τεραστικὸν, καὶ παρὰ πολὺ τῆς κοινῆς παρηλλαγμένον φύσεως. Ἡ αὐτὴ γυνὴ καὶ

A velationem. « Hæc enim eo cogitante, angelus Domini apparuit ei in somnis, dicens: Noli timere accipere Mariam conjugem tuam [50]. » Neque illud cogitaveris, obumbraturum te peccatum absonis quibusdam commentis. Nam vocatus es justus; non est autem viri justi, silentio scelera contegere. « Noli timere accipere Mariam conjugem tuam. » Ostendit se indignatum ei non fuisse, neque ipsam aversatum, sed veritum esse se eam tanquam Spiritu sancto repletam. « Quod enim in ea generatum est, de Spiritu sancto est [51]. » Et inde compertum est, non secundum communem carnis naturam fuisse Domini compagem. Statim enim carne perfectum erat quod utero gestabatur, non, ut indicant verba, per conformationes paulatim formam B accepit. Non enim dictum est: Quod conceptum est, sed, « Quod generatum est. » Caro igitur ex sanctitate compacta, digna erat, quæ Unigeniti conjungeretur divinitati. « Pariet autem **599** filium, et vocabis nomen ejus Jesum [52]. » Observavimus, quibus de industria nomina imponuntur, in his per ea naturam subjectam ostendi, ut Abrahamo, Isaaco, Israeli. Horum enim appellatio non corporis characterem magis quam virtutis ab eis excultæ proprietatem significabat. Idcirco etiam nunc Jesus vocatur, hoc est, « Salus populi. » Jam vero mysterium et ante sæcula ordinatum, et olim per prophetas nuntiatum, exitum habuit. « Ecce virgo in utero suscipiet, et pariet filium, et vocabunt nomen C ejus Emmanuel; quod est interpretatum, Nobiscum Deus [53]. » Atque hæc appellatio jam a longo tempore mysterium totum declarat, fore videlicet, ut Deus inter homines versaretur, quandoquidem, inquit, vocem Emmanuel si interpreteris, sonat « Nobiscum Deus. » Nec quisquam Judaicis fraudibus pervertatur, qui aiunt, non virginem, sed puellam dictam esse a propheta. « Ecce enim, inquit, puella in utero suscipiet [54]. » Primum enim res est omnium absurdissima, quod a Domino pro signo traditum est, id existimare commune esse, et omnis naturæ confessione notum. Ecquid enim, ait propheta? « Et adjecit Dominus loqui ad Achaz, dicens: Pete tibi signum a Domino Deo tuo in profundum, sive in excelsum. Et dixit Achaz: Non D petam, et non tentabo Dominum [55]. » Mox paucis interjectis subjungit: « Propter hoc dabit Dominus ipse vobis signum. Ecce Virgo in utero suscipiet [56]. » Quoniam enim non petivit Achaz signum, neque in profundum, neque in excelsum, ut disceres eum qui in inferiores terræ partes descendit, eumdem esse qui et ascendit super cœlos omnes [57], idcirco Dominus ipse signum dedit; signum autem inauditum, et prodigiosum, et valde a communi natura alienum.

[50] Matth. I, 20. [51] ibid. [52] ibid. 21. [53] ibid. 23. [54] Isa. VII, 14. [55] ibid. 10-12. [56] ibid. 14. [57] Ephes. IV, 9.

(53) Editi φύσεως τὰ σύμβολα, ὡς. Libri veteres φύσεως, ὡς.

(54) Sic mss. Combefisiani et Reg. primus. Editi Πάλιν κἀκείνη.

(55) Ita veteres libri. At editi οὐδὲ μή.

Eadem mulier et virgo et mater, et in virginitatis sanctimonia manens, et gignendæ prolis benedictionem sortita. Quod si nonnulli ex his qui Hebraicam vocem interpretati sunt pro virgine puellam reddidere, tamen nihil vitiatur sententia. Invenimus enim id in more Scripturæ positum, ut puella pro virgine sæpe usurpetur, velut ait in Deuteronomio: « Si quis invenerit puellam virginem, quæ desponsata non sit, et vim faciens dormierit cum ea, et deprehensus fuerit, dabit homo, qui dormivit cum ea, patri puellæ quinquaginta didrachmata [58]. »

5. « Et expergefactus accepit uxorem suam [59]. » Quanquam et affectu, et amore, et omni studio conjugibus convenienti uxorem suam esse rebatur, tamen a nuptialibus operibus abstinuit. « Non enim, inquit, cognoscebat eam, donec peperit filium suum primogenitum [60]. » Jam autem hinc oritur suspicio, Mariam posteaquam generationi Domini per Spiritum sanctum factæ pure inservivit, tum demum consueta nuptiarum opera non denegasse. Nos autem, etiamsi hoc pietatis doctrinam nihil lædat, **600** (siquidem ad dispensationis usque ministerium necessaria erat virginitas: quod vero postea evenit, id ratio mysterii curiosius inquirere non cogit), cum tamen Christi amantes audire non sustineant quod Deipara aliquando desierit esse virgo, testimonia illa sufficere arbitramur. Quod quidem attinet ad illud: « Non cognoscebat eam, donec peperit filium suum [61], » respondemus videri illud, « donec, » multis locis aliquod quidem tempus definitum indicare, sed tamen indefinitum vere significat. Quale est quod dictum est a Domino: « Et ecce ego vobiscum sum omnibus diebus, usque ad consummationem sæculi [62]. » Non enim futurum erat, ut Dominus post hoc sæculum non amplius cum sanctis versaretur: sed promissio præsentis denotat perpetuitatem, non rescindit futurum. Eodem igitur modo hic etiam illud, « donec, » acceptum fuisse dicimus. Cum autem dictum est, « Primogenitum, » non continuo primogenitus habet comparationem ad succedentes: sed qui primum aperit uterum, primogenitus appellatur. Declarat autem et Zachariæ historia Mariam perpetuo virginem permansisse. Ferunt enim, et id ex traditione ad nos usque pervenit, Zachariam, cum Mariam in virginum loco post Domini partum posuisset, templum inter et aram occisum a Judæis fuisse, videlicet accusatum a populo, quod hac ratione confirmaret admirabile illud et perquam decantatum signum, virginem

A παρθένος καὶ μήτηρ, καὶ ἐν τῷ ἁγιασμῷ τῆς παρθενίας μένουσα, καὶ τὴν τῆς τεκνογονίας εὐλογίαν κληρονομοῦσα. Εἰ δέ τινες τῶν ἑρμηνευσάντων τὴν Ἑβραΐδα φωνὴν ἀντὶ τῆς παρθένου τὴν νεᾶνιν ἐκδεδώκασιν, οὐδὲν τῷ λόγῳ διαλυμαίνεται (56). Εὑρήκαμεν γὰρ ἐν τῇ συνηθείᾳ τῆς Γραφῆς ἀντὶ τῆς παρθένου τὴν νεᾶνιν παραλαμβανομένην πολλάκις, ὡς ἐν τῷ Δευτερονομίῳ φησίν· « Ἐάν τις εὕρῃ τὴν παῖδα τὴν παρθένον, ἥτις οὐ μεμνήστευται, καὶ βιασάμενος κοιμηθῇ μετ' αὐτῆς, καὶ εὑρεθῇ, δώσει ὁ ἄνθρωπος ὁ κοιμηθεὶς μετ' αὐτῆς τῷ πατρὶ τῆς νεάνιδος πεντήκοντα δίδραχμα. »

5. « Καὶ ἐγερθεὶς παρέλαβε τὴν γυναῖκα αὐτοῦ. » Καὶ διαθέσει, καὶ στοργῇ, καὶ πάσῃ τῇ ἐπιβαλλούσῃ τοῖς συνοικοῦσιν ἐπιμελείᾳ γυναῖκα ἡγούμενος, τῶν B γαμικῶν ἔργων ἀπείχετο. « Οὐκ ἐγίνωσκε γὰρ αὐτήν, φησίν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον. » Τοῦτο δὲ ἤδη ὑπόνοιαν παρέχει, ὅτι (57) μετὰ τὸ καθαρῶς ὑπηρετήσασθαι τῇ γεννήσει τοῦ Κυρίου τῇ ἐπιτελεσθείσῃ διὰ τοῦ Πνεύματος τοῦ ἁγίου, τὰ νενομισμένα τοῦ γάμου ἔργα μὴ ἀπαρνησαμένης τῆς Μαρίας. Ἡμεῖς δὲ, εἰ καὶ μηδὲν τῷ τῆς εὐσεβείας παραλυμαίνεται λόγῳ (μέχρι γὰρ τῆς κατὰ τὴν οἰκονομίαν ὑπηρεσίας ἀναγκαία ἡ παρθενία, τὸ δ' ἐφεξῆς ἀπολυπραγμόνητον τῷ λόγῳ τοῦ μυστηρίου), ὅμως διὰ τὸ μὴ καταδέχεσθαι (58) τῶν φιλοχρίστων τὴν ἀκοὴν, ὅτι ποτὲ ἐπαύσατο εἶναι παρθένος ἡ Θεοτόκος, ἐκείνας ἡγούμεθα τὰς μαρτυρίας αὐτάρκεις. Πρὸς μὲν τὸ, ὅτι « Οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς, » ὅτι τὸ, « ἕως, » πολλαχοῦ C χρόνου μέν τινα δοκεῖ περιορισμὸν ὑποφαίνειν, κατὰ δὲ τὴν ἀλήθειαν τὸ ἀόριστον δείκνυσιν. Ὁποῖόν ἐστι τὸ ὑπὸ τοῦ Κυρίου λεχθὲν τὸ, « Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. » Οὐ γὰρ δήπου μετὰ τὸν αἰῶνα τοῦτον οὐκ ἔμελλε συνέσεσθαι τοῖς ἁγίοις ὁ Κύριος· ἀλλ' ἡ ἐπαγγελία τοῦ παρόντος τὸ διηνεκὲς σημαίνει, οὐκ ἔστιν ἀποκοπὴ τοῦ μέλλοντος. Τὸν αὐτὸν δὴ τρόπον φαμὲν κἀνταῦθα παρειλῆφθαι τὸ, « ἕως. » Ἐπειδὴ δὲ εἴρηται, « Πρωτότοκον, » οὐ πάντως ὁ πρωτότοκος πρὸς τοὺς ἐπιγινομένους ἔχει τὴν σύγκρισιν, ἀλλ' ὁ πρῶτον διανοίγων μήτραν πρωτότοκος ὀνομάζεται. Δηλοῖ δὲ καὶ ἡ κατὰ τὸν Ζαχαρίαν ἱστορία, ὅτι μέχρι παντὸς παρ- D θένος ἡ Μαρία. Λόγος γάρ τίς ἐστι, καὶ οὗτος ἐκ παραδόσεως εἰς ἡμᾶς ἀφιγμένος, ὅτι ὁ Ζαχαρίας ἐν τῇ τῶν παρθένων χώρᾳ τὴν Μαριὰμ κατατάξας μετὰ τὴν τοῦ Κυρίου κύησιν, ὑπὸ τῶν Ἰουδαίων κατεφονεύθη μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ἐγκληθεὶς ὑπὸ τοῦ λαοῦ ὡς διὰ τούτου κατασκευάζων τὸ παράδοξον ἐκεῖνο καὶ πολυύμνητον

[58] Deut. XXII, 28, 29. [59] Matth. I, 24. [60] ibid. 25. [61] ibid. 26. [62] Matth. XXVIII, 20.

(56) Unus ms. cum Colbertino tertio διαλυμαίνονται. Editi et unus codex διαλυμαίνεται.

(57) Combefisiani quidam codices παρεῖχέ τισιν, ὅτι. Alius παρέχει τισὶν ὡς, *id in causa cur suspicati sint nonnulli*. Multa docte et sapienter scripsit Ducæus in hunc locum: sed, ut verum fatear, hæc oratio mihi videtur aut Basilii non esse, aut si ejus esse dicatur, ita tamen corrupta est variantium lectionum copia atque multitudine, ut alicujus esse momenti vix possit.

(58) Editi μυστηρίου καταλείψωμεν. Vox ultima in mss. nostris deest.

σημεῖον, παρθένον γεννήσασαν καὶ τὴν παρθενίαν μὴ διαφθείρασαν. « Τοῦ δὲ Ἰησοῦ (59) γεννηθέντος, φησὶν, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες· Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; » Ἔθνος Περσικὸν οἱ μάγοι, μαντείαις καὶ ἐπαοιδίαις καὶ φυσικαῖς τισιν ἀντιπαθείαις προσέχοντες, καὶ περὶ τὴν τήρησιν τῶν μεταρσίων ἐσχολακότες. Ταύτης δὲ τῆς (60) μαντείας ἔοικε εἶναι καὶ Βαλαὰμ, ὁ μεταπεμφθεὶς παρὰ τοῦ Βαλὰκ, ὥστε διά τινων τελετῶν καταράσασθαι τὸν Ἰσραήλ· ὃς καὶ ἐν τῇ τετάρτῃ αὐτοῦ παραβολῇ τοιαῦτα λέγει περὶ τοῦ Κυρίου· « Ἄνθρωπος ὁρῶν, φησὶν, ἀκούων λόγια Θεοῦ, ἐπιστάμενος γνῶσιν Ὑψίστου, καὶ ὅρασιν Θεοῦ ἰδὼν ἐν ὕπνῳ· ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ. Δείξω αὐτῷ, καὶ οὐχὶ νῦν, μακαρίζω, καὶ οὐκ ἐγγίζει. Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ. » Διὰ τοῦτο ἐπιζητήσαντες τὸν τόπον τῆς Ἰουδαίας, κατὰ μνήμην τῆς παλαιᾶς προφητείας, ἦλθον μαθεῖν ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων. Τάχα δὲ καὶ ἀντικειμένης δυνάμεως τῇ ἐπιφανείᾳ τοῦ Κυρίου ἀτονωτέρας λοιπὸν γενομένης, αἰσθανόμενοι καταργουμένης τῆς ἐνεργείας αὐτῶν, μεγάλην δύναμιν τῷ τεχθέντι προσεμαρτύρουν. Διὰ τοῦτο εὑρόντες τὸ παιδίον προσεκύνησαν αὐτῷ ἐν δώροις. Μάγοι, τὸ ἀπηλλοτριωμένον τοῦ Θεοῦ καὶ ξένον τῶν διαθηκῶν ἔθνος, πρῶτοι τῆς προσκυνήσεως ἠξιώθησαν, διότι αἱ παρὰ τῶν ἐχθρῶν μαρτυρίαι ἀξιοπιστότεραί εἰσιν. Εἰ γὰρ Ἰουδαῖοι προσεκύνησαν πρῶτοι, ἐνομίσθησαν ἂν τὴν ἑαυτῶν σεμνύνειν συγγένειαν· νῦν δὲ οἱ μηδὲν προσήκοντες ὡς τῷ Θεῷ προσκυνοῦσιν, ἵν' οἱ οἰκεῖοι κατακριθῶσι, τοῦτον σταυρώσαντες, ὃν οἱ ἀλλόφυλοι προσεκύνησαν. Ἐπεὶ μέντοι προσέκειντο ταῖς τῶν οὐρανίων κινήσεσιν, οὐκ ἀργῶς ἐθεώρουν τὸ παράδοξον τῶν κατ' οὐρανὸν θεαμάτων, ἀστέρα καινὸν καὶ ἀσυνήθη τῇ γεννήσει τοῦ Κυρίου ἐπανατείλαντα.

6. Καὶ μηδεὶς ἑλκέτω τὴν τῆς ἀστρολογίας κατασκευὴν εἰς τὴν τοῦ ἀστέρος ἀνατολήν. Οἱ μὲν γὰρ τὴν γένεσιν παρεισάγοντες ἐκ τῶν ἤδη ὄντων ἀστέρων, τῶν τούτων τοιόνδε (61) σχηματισμὸν αἴτιον εἶναι τῶν κατὰ τὸν βίον συμπτωμάτων ἑκάστῳ τίθενται· ἐνταῦθα δὲ οὐδεὶς τῶν ὄντων ἀστέρων τὴν βασιλικὴν γέννησιν ἐσήμαινεν, οὐδ' αὐτὸς τῶν συνήθων ἦν. Οἱ γὰρ τῇ κτίσει συγκαταβληθέντες ἐξ ἀρχῆς ἤτοι ἀκίνητοί εἰσι διὰ παντὸς, ἢ τὴν κίνησιν ἄπαυστον ἔχοντες· ὁ δὲ φανεὶς οὗτος ἀμφότερα φαίνεται ἔχων, καὶ κινούμενος καὶ ἱστάμενος. Καὶ ἐν μὲν τοῖς ἤδη οὖσιν οἱ μὲν κατεστηριγμένοι οὐδέποτε κινοῦνται, οἱ δὲ πλανῆται οὐδέποτε ἵστανται· ὁ δὲ ἀμφότερα ἔχων ἐν αὐτῷ, καὶ κίνησιν καὶ στάσιν, δῆλός ἐστιν οὐδετέροις προσήκων. Ἐκινήθη μὲν γὰρ ἀπὸ ἀνατολῶν μέχρι Βηθλεέμ· ἔστη δὲ ἐπάνω οὗ ἦν τὸ

A peperisse, nec virginitatem violasse. « Cum autem natus esset Jesus, inquit, in Bethleem Judææ, in diebus Herodis regis : ecce magi ab Oriente venerunt Jerosolymam dicentes : Ubi est qui natus est rex Judæorum [63]? » Genus Persicum magi, vaticinationibus incantationibusque et naturalibus rerum affectionibus inter se oppositis intenti, ac rerum sublimium contemplationi vacantes. Videtur autem hujus vaticinationis particeps fuisse et Balaam, qui accersitus est a Balac, ut quibusdam ritibus dira Israeli precaretur : qui et in sua parabola quarta talia de Domino dicit : « Homo videns, inquit, audiens eloquia Dei, sciens scientiam Altissimi, ac Dei visionem in somnis videns : revelati oculi ejus. Ostendam ei, et non nunc, beatum prædico, et non B appropinquat. Orietur stella ex Jacob, et consurget homo ex Israel [64]. » Quamobrem locum Judææ cum inquirerent, recordati vaticinii veteris, accesserunt ut discerent ubi esset qui natus erat rex Judæorum. Fortasse autem et adversa potestate per Domini adventum jam debiliore effecta, vim agendi suam destrui sentientes, potentiam magnam nato tribuebant. Quare inventum puerum muneribus oblatis adoravere. Magi, gens aliena a Deo, et peregrina a testamento ac fœdere, primi habiti sunt digni qui adorarent, quod inimicorum testimonia sint fide digniora. Etenim, si Judæi adorassent primi, suum ipsorum genus exornare visi fuissent : nunc vero qui eam cognatione nulla C attingunt, iidem velut Deum adorant, ut hi, qui ei affines sunt condemnentur, quod crucifigant **601** quem alienigenæ adoraverunt. Sed, cum animum appellerent ad cœlestium motus, non oscitanter mirum illud cœli spectaculum contemplabantur, stellam scilicet novam atque insolitam, quæ in Domini natali exorta fuerat.

6. Nec quisquam apparatum astrologiæ trahat ad exortum stellæ explicandum. Qui enim sidus natalitium in numero stellarum quæ jam exstant, reponunt, harum hanc vel illam figuram putant causam esse rerum, quæ cuique in vita accidunt ; hic vero nulla ex stellis quæ jam erant, nativita- D tem regiam designavit, neque ipsa ex consuetarum numero fuit. Quæ enim ab initio conditæ sunt, aut omnino immobiles sunt, aut motum irrequietum habent ; stella vero quæ tunc apparuit, utrumque habuisse videtur, cum et moveretur, et staret. Et inter eas quidem, quæ jam sunt, fixæ nunquam moventur, errantes vero nunquam conquiescunt : hanc autem, cum in se ipsa utrumque complectatur, et motum et quietem, ad neutras pertinere liquet. Nam mota est quidem ex

[63] Matth. II, 1. [64] Num. XXIV, 15-17.

(59) Editi Ἰησοῦ Χριστοῦ. Vocem ultimam in veteribus libris non invenimus.

(60) Codices Combefisiani Ταύτης δὲ τῆς. Editi Ταύτης τῆς.

(61) Editi τὸν τοιόνδε. Codices Combefisiani τῶν τούτων.

Oriente usque ad Bethleem : sed stetit supra locum ubi erat puer. Quapropter profecti magi ab Oriente, et ductum stellæ secuti, cum pervenissent in Hierosolyma, ut civitatem omnem adventu suo conturbarunt, ita regi Judæorum timorem incusserunt. Itaque, cum invenissent quem quærebant, muneribus cohonestarunt, auro, thure et myrrha. Fortasse hic quoque prophetiam Balaam secuti sunt, qui de Christo talia protulit : « Recumbens requievit ut leo, et ut catulus. Quis suscitabit eum? Qui benedicunt te, benedicti sunt : et qui maledicunt te, maledicti sunt [65]. » Quoniam igitur dignitatem regiam Scriptura indicat per leonem, per recubitum passionem, per facultatem vero benedicendi, divinitatem, magi vaticinio adhærentes, velut regi aurum, velut morituro myrrham, velut Deo thus obtulerunt. Neque vero iis qui curiose exponunt quæ ad partum attinent, illud dicere licet, stellam fuisse cometis consimilem, qui maxime ad significandas regum successiones videntur in cœlo consistere. Et hi enim fere immobiles sunt, in circumscripto loco facta inflammatione. Cometæ enim sive trabes sive scrobes fuerint, diversæ figuræ sunt, et nomina peculiaria figuris imponuntur. Omnium autem eadem est origo. Cum enim aer redundat circum terram, diffunditurque in æthereum locum, et cum quidquid crassum est ac turbidum in hac exhalatione, id veluti materiam igni præbet, ita tum stellæ conspectum manifestum reddit. Quæ autem stella in Oriente apparuit, et magos ad eum qui natus erat quærendum excitavit, rursus non videbatur ; donec ipsis consilii inopibus dedit se iterum in Judæa conspiciendam, ut discerent cujus stella esset, cuique inserviret, et propter quem esset oborta. Veniens enim stetit supra locum ubi erat puer [66]. Quamobrem etiam cum vidissent stellam magi, gavisi sunt gaudio magno [67]. Suscipiamus igitur et nos in nostris cordibus magnum illud gaudium. Hoc enim gaudium annuntiant angeli pastoribus [68]. **602** Adoremus cum magis, una cum pastoribus demus gloriam, tripudiemus cum angelis, « Quia natus est hodie Salvator, qui est Christus Dominus [69]. Deus Dominus, et illuxit nobis [70], » non in forma Dei, ne quod debile erat, id perterrefaceret, sed in forma servi, ut quod servituti addictum erat, id libertate donaret. Quis est animo ita torpenti, quis ita ingratus, qui non gaudeat, non exsultet, non oblectetur præsentibus? Festum illud creaturæ omni commune est : largitur cœlestia mundo, archangelos ad Zachariam mittit et ad Mariam, atque choros angelorum instituit, qui dicunt : « Glo-

A παιδίον. Διὰ τοῦτο κινηθέντες οἱ μάγοι ἀπὸ ἀνατολῶν τῇ ὁδηγίᾳ ἀστέρος ἑπόμενοι, ἐπιστάντες τοῖς Ἱεροσολύμοις, πᾶσαν μὲν ἐτάραξαν τῇ ἑαυτῶν ἐπιδημίᾳ τὴν πόλιν, φόβον δὲ τῷ βασιλεῖ τῶν Ἰουδαίων ἐνῆκαν. Εὑρόντες οὖν ὃν ἐζήτουν, δώροις ἐτίμησαν, χρυσῷ, καὶ λιβάνῳ, καὶ σμύρνῃ· τάχα που τῇ προφητείᾳ τοῦ Βαλαὰμ ἀκολουθοῦντες καὶ ἐνταῦθα, ὃς περὶ τοῦ Χριστοῦ τοιαῦτα εἶπε· « Κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων, καὶ ὡς σκύμνος (62). Τίς ἀναστήσει αὐτόν; Οἱ εὐλογοῦντές σε εὐλόγηνται, καὶ οἱ καταρώμενοί σε κεκατήρανται. » Ἐπεὶ οὖν διὰ μὲν τοῦ λέοντος τὸ βασιλικὸν ὁ λόγος ἐνδείκνυται, διὰ δὲ τῆς κατακλίσεως τὸ πάθος, διὰ δὲ τῆς τοῦ εὐλογεῖν δυνάμεως τὴν θεότητα, ἀκολουθοῦντες τῇ προφητείᾳ οἱ μάγοι, ὡς μὲν βασιλεῖ τὸν χρυσόν, ὡς δὲ τεθνηB ξομένῳ τὴν σμύρναν προσήνεγκαν, ὡς δὲ Θεῷ τὸν λίβανον. Οὐ μὴν οὐδ' ἐκεῖνο τοῖς περιέργως τὰ κατὰ τὸν τόκον (63) ἐκλαμβάνουσιν εἰπεῖν ὑπάρχει, ὅτι ὁ ἀστὴρ τοῖς κομήταις παραπλήσιος ἦν, οἵπερ μάλιστα δοκοῦσι βασιλέων διαδοχὰς δηλοῦντες κατ' οὐρανὸν ἵστασθαι. Ἀκίνητοι γὰρ καὶ οὗτοι ὡς (64) ἐπίπαν εἰσίν, ἐν περιγραπτῷ τόπῳ τῆς ἐκκαύσεως γινομένης. Κομῆται γὰρ καὶ δοκίδες καὶ βόθυνοι διάφορα σχήματα, καὶ προσηγορίαι οἰκεῖαι τοῖς σχήμασι. Πάντων δὲ γένεσις ἡ αὐτή. Ὅταν γὰρ πλημμύρῃ (65) ὁ περὶ τὴν γῆν ἀὴρ, καὶ εἰς τὸν αἰθέριον τόπον ὑπερχυθῇ, καὶ οἱονεὶ ὕλην τῷ πυρὶ παρασχόμενος τὸ παχὺ καὶ τεθολωμένον τῆς ἐντεῦθεν ἀναφορᾶς, ἀστέρος ἐναργῆ φαντασίαν παρέχεται. Ὁ μέντοι φανεὶς ἐπὶ C τῆς ἀνατολῆς, κινήσας τοὺς μάγους πρὸς τὴν ζήτησιν τοῦ γεννηθέντος, πάλιν ἀφανὴς ἦν ἕως οὗ ἀπορουμένοις αὐτοῖς ἐπὶ τῆς Ἰουδαίας δεύτερον ἐξεφάνη, ὥστε ἀκοῦσαι τίνος ἦν, καὶ τίνι ὑπουργεῖ, καὶ διὰ τίνα γεγέννηται. Ἐλθὼν γὰρ ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. Διὸ καὶ ἰδόντες οἱ μάγοι ἐχάρησαν χαρὰν μεγάλην. Δεξώμεθα τοίνυν καὶ ἡμεῖς ταύτην τὴν μεγάλην χαρὰν ἐν ταῖς καρδίαις ἡμῶν. Ταύτην γὰρ εὐαγγελίζονται τὴν χαρὰν τοῖς ποιμέσιν οἱ ἄγγελοι. Μετὰ μάγων προσκυνήσωμεν, μετὰ ποιμένων δοξάσωμεν, μετὰ ἀγγέλων χορεύσωμεν, « Ὅτι ἐτέχθη ἡμῖν σήμερον Σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος. Θεὸς Κύριος (66), καὶ ἐπέφανεν ἡμῖν, » οὐκ ἐν μορφῇ Θεοῦ, ἵνα μὴ διαπτοήσῃ τὸ ἀσθενοῦν, ἀλλ' ἐν μορφῇ δούλου, ἵνα ἐλευθερώσῃ τὸ δουλωθέν. Τίς οὕτως νωD θρὸς τὴν ψυχὴν, τίς οὕτως ἀχάριστος, ὡς μὴ χαίρειν καὶ ἀγαλλιᾶσθαι καὶ φαιδρύνεσθαι ἐπὶ τοῖς παροῦσι; Κοινὴ ἑορτὴ πάσης τῆς κτίσεως· αὕτη τῷ κόσμῳ δωρεῖται τὰ ὑπερκόσμια· τοὺς ἀρχαγγέλους πέμπει πρὸς τὸν Ζαχαρίαν, καὶ πρὸς τὴν Μαρίαν· καὶ χοροὺς ἀγγέλων ἵστησι τοὺς λέγοντας· « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. » Ἀστέρες διατρέχουσιν ἐξ οὐρανοῦ· μάγοι

[65] Num. XXIV, 9. [66] Matth. II, 9. [67] ibid. 10. [68] Luc. II, 10. [69] ibid. 11. [70] Psal. CXVII, 27.

(62) Editi σκύμνος λέοντος. Vox ultima in mss. deest.

(63) Sic Colbertini secundus et tertius. Editi κατὰ τὸν τόπον.

(64) Ita codices Combefisiani et alii. Editi οὗτοι τόκον ὡς.

(65) Libri veteres πλημμύρῃ... ἀὴρ καὶ εἰς. Editi πλημμύρας... ἀὴρ εἰς.

(66) Sic unus codex Combef. Editi ὅς ἐστιν Ἰησοῦς Χριστὸς Θεὸς Κύριος, καὶ ἐπέφανεν.

κινοῦνται ἐκ τῶν ἐθνῶν· γῆ ὑποδέχεται ἐν σπηλαίῳ· οὐδεὶς ἀσυντελὴς, οὐδεὶς ἀχάριστος. Φθεγξώμεθά τινα καὶ ἡμεῖς (67) φωνὴν ἀγαλλιάσεως· ὄνομα θώμεθα τῇ ἑορτῇ ἡμῶν Θεοφάνια· ἑορτάσωμεν τὰ σωτήρια τοῦ κόσμου, τὴν γενέθλιον ἡμέραν τῆς ἀνθρωπότητος. Σήμερον ἐλύθη ἡ καταδίκη τοῦ Ἀδάμ. Οὐκέτι, « Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ · » ἀλλὰ τῷ οὐρανίῳ συναφθεὶς πρὸς οὐρανὸν ἀναληφθήσῃ. Οὐκέτι, « Ἐν λύπαις τέξῃ τέκνα· » μακαρία γὰρ ἡ ὠδίνασα τὸν Ἐμμανουὴλ, καὶ μαστοὶ οἱ ἐκθρέψαντες. Διὰ τοῦτο « Παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. » Θάλλει μου ἡ καρδία, καὶ πηγάζει μου ὁ νοῦς· ἀλλὰ βραχεῖα ἡ γλῶσσα καὶ ἀμυδρὸς ὁ λόγος, ὥστε τοσοῦτον χαρᾶς μέγεθος ἐξαγγεῖλαι. Νόει μοι θεοπρεπῶς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου. Ἄχραντόν μοι νόει καὶ ἀῤῥύπωτον τὴν θεότητα (68)· κἂν ἐν ὑλικῇ φύσει γένηται. Τὸ ἐμπαθὲς διορθοῦται, οὐχ αὐτὴ τοῦ πάθους ἐμπίπλαται. Οὐχ ὁρᾷς τουτονὶ τὸν ἥλιον καὶ ἐν βορβόρῳ γινόμενον, καὶ μηδὲν μολυνόμενον, καὶ ῥυπαροῖς ἐπιλάμποντα, καὶ δυσωδίας μὴ ἀπολαύοντα; Τοὐναντίον μὲν οὖν οἷς ἂν διαρκῶς ὁμιλήσῃ τὰς σηπεδόνας ἀναξηραίνει. Τί οὖν φοβῇ περὶ τῆς ἀπαθοῦς καὶ ἀκηράτου φύσεως, μή τινα κηλῖδα παρ' ἡμῶν ἀναμάξηται; Διὰ τοῦτο ἐτέχθη, ἵνα σὺ καθαρθῇς διὰ τοῦ συγγενοῦς. Διὰ τοῦτο αὐξάνεται, ἵνα σὺ διὰ τῆς συνηθείας οἰκειωθῇς. Ὢ βάθος ἀγαθότητος καὶ φιλανθρωπίας Θεοῦ! Δι' ὑπερβολὴν δωρεῶν ἀπιστοῦμεν τῷ εὐεργέτῃ· διὰ τὴν μεγάλην τοῦ Δεσπότου φιλανθρωπίαν πρὸς τὴν δουλείαν ἀφηνιάζομεν. Ὢ τῆς ἀτόπου ταύτης καὶ πονηρᾶς ἀγνωμοσύνης! Μάγοι προσκυνοῦσι, καὶ Χριστιανοὶ συζητοῦσι, πῶς ἐν σαρκὶ Θεὸς, καὶ ποταπῇ σαρκί· καὶ εἰ τέλειος ἄνθρωπος ἢ ἀτελὴς ὁ προσληφθείς. Σιγάσθω τὰ περιττὰ ἐν Ἐκκλησίᾳ Θεοῦ· δοξαζέσθω τὰ πεπιστευμένα· μὴ περιεργαζέσθω τὰ σιωπώμενα. Ἐκείνοις σεαυτὸν ἀνάμιξον τοῖς μετὰ χαρᾶς ἐξ οὐρανῶν ὑποδεξαμένοις τὸν Κύριον. Ἐννόησον ποιμένας σοφιζομένους, ἱερεῖς προφητεύοντας, γυναῖκας εὐφραινομένας, ὅτε (69) Μαρία χαίρειν ἐδιδάσκετο παρὰ τοῦ Γαβριὴλ, ὅτε Ἐλισάβετ ἐπ' αὐτῶν εἶχε τῶν σπλάγχνων σκιρτῶντα τὸν Ἰωάννην. Ἄννα εὐηγγελίζετο, Συμεὼν ἐνηγκαλίζετο, ἐν μικρῷ βρέφει τὸν μέγαν Θεὸν προσκυνοῦντες· οὐ τοῦ ὁρωμένου καταφρονοῦντες, ἀλλὰ τῆς θεότητος αὐτοῦ τὴν μεγαλωσύνην δοξολογοῦντες. Ἐφαίνετο γὰρ, ὥσπερ φῶς δι' ὑελίνων ὑμένων, διὰ τοῦ ἀνθρωπίνου σώματος ἡ θεία δύναμις, διαυγάζουσα τοῖς ἔχουσι τοὺς ὀφθαλμοὺς τῆς καρδίας κεκαθαρμένους· μεθ' ὧν καὶ ἡμεῖς εὑρεθείημεν ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, ἵνα καὶ αὐτοὶ μεταμορφωθῶμεν ἀπὸ δόξης εἰς δόξαν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ

A ria in altissimis Deo, et in terra pax, in hominibus bona voluntas [71]. » Excurrunt stellæ e cœlo, magi proficiscuntur ex gentibus, terra excipit in spelunca. Nemo sit qui non conferat aliquid, nemo sit homo ingratus. Eloquamur et nos vocem aliquam exsultationis. Festum nostrum appellemus Theophaniam, celebremus salutaria mundi, natalem humanæ naturæ diem. Hodie soluta est Adami multa. Jam dici non potest, « Terra es, et in terram reverteris [72]; » sed cœlesti conjunctus, admitteris in cœlum. Jam non audietur amplius : « In doloribus paries filios [73]. » Beata est enim quæ peperit Emmanuelem, et ubera, quæ nutrivere. Eam ob causam « Puer natus est nobis, et filius datus est nobis, cujus imperium super humerum B ejus [74]. » Efflorescit cor meum, et mens fontis in morem scaturit; sed exigua lingua et sermo hebes ad tantam gaudii magnitudinem annuntiandam. Cogita mihi, ut Deum decet, incarnationem Domini. Cogita mihi divinitatem intemeratam omnisque labis puram, etsi in terrena natura inhabitat. Emendat quod vitiosum est, non ipsa vitio impletur. Non vides hunc solem etiam in cœno versari, et tamen nihil accipere inquinamenti, itemque sordidis affulgere, et tamen graveolentiæ participem non esse? Imo vero eorum quibus diu immoratus fuerit putredinem exsiccat. Quid igitur naturæ ei quæ omni affectione ac corruptione vacat, times, ne quam ex nobis maculam contrahat? Propterea C natus est, ut tu per id quod tibi affine est, expurgeris. Propterea adolescit, ut tu consuetudine atque necessitudine efficiare ei familiaris. O altitudinem bonitatis et amoris Dei in homines! Ob donorum magnitudinem fidem non habemus benefacienti; ob ingentem heri benignitatem, servi ejus esse nolumus. O ingrati animi vitium insulsum et pravum. Adorant magi, et Christiani inquirunt quomodo Deus in carne sit, et quali carne, et utrum assumptus sit homo perfectus an imperfectus. Prætermittantur silentio superflua in Ecclesia Dei, sentiamus quæ jam fidem obtinuere, ne curiosius investigentur quæ silentio prætermissa sunt. Adjunge temet iis qui Dominum cum gaudio ex cœlis suscepere. Cogita pastores sapientia imbutos, pontifices prophetiæ dono ornatos, mulieres D lætitia perfusas, tum, cum Maria a Gabriele edoceretur gaudere [75], Elisabethque exsilientem in ipsis visceribus Joannem haberet [76]. Anna declarabat **603** nuntium bonum [77], Simeon in ulnas suscipiebat [78], in parvo infante magnum Deum adorantes, non quod videbant contemnentes, sed divinitatis ipsius majestatem collaudantes. Nam virtus

[71] Luc. II, 14. [72] Gen. III, 19. [73] Ibid. 16. [74] Isa. IX, 6. [75] Luc. I, 28. [76] ibid. 44. [77] Luc. II, 38. [78] ibid. 28.

(67) Sic mss. Combefisiani. Editi Φθεγξώμεθα οὖν καί τινα καὶ ἡμεῖς.
(68) Ita libri Combefisiani. Editi Κυρίου ἄχραντον, καὶ νόει μοι τὴν θεότητα ἀῤῥύπωτον.
(69) Sic antiqui duo libri præter Combefisianos. In vulgatis ὅτι bis legitur pro ὅτε.

divina per humanum corpus quasi lux per vitreas membranas apparebat, iis qui oculos cordis expurgatos habebant affulgens: cum quibus utinam nos quoque inveniamur, retecta facie gloriam Domini quasi in speculo contuentes, ut et ipsi transformemur a gloria in gloriam,[79] gratia et benignitate Domini nostri Jesu Christi, cui gloria et imperium in sæcula sæculorum. Amen.

Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA DE PŒNITENTIA.

1. Arrogantiam eorum qui pœnitentiam e medio tollere audent, non ferens frater observantia omni dignissimus, alterum nobis mandatum dedit, ubi hac superbia conspecta prudentem dextram fratribus ad pœnitentiam porrexit. Hic autem sermo hominibus utilissimus est. Nemo enim homo sine peccato est. Nam de uno testimonium affertur, quod peccatum non fecerit[80]. Dicemus igitur de pœnitentia cum ex Veteri tum ex Novo Testamento. Hi enim thesauri sunt Ecclesiæ. Commendamus autem pœnitentiam, non quod peccatum fratris promoveamus (siquidem nolumus peccatorem in peccatum spe pœnitentiæ ruere), sed quod lapsum studeamus erigere. Desperatio enim quæ ab adversariis introducitur, eum qui semel lapsus est eo impellit, ut se in peccatis volutet; pœnitentiæ vero exspectatio hominem lapsum ad surgendum et ad amplius non peccandum instigat. Qui vero nos sumus, ut Deo legem imponamus? Vult Deus dimittere; ecquis est qui prohibeat? Nos dicimus, non quid illi ausint, sed quod Deus præcipiat. « Nunquid qui cadit, non resurgit[81]? » Contradicunt Deo. Qui cadit, non resurgit. Non adduxit te tenui verbo ad fidem adhibendam, adducet te ad credendum, exemplo claro. Quid enim ita lautu difficile est ut coccinum? quid vero album apud nos ut nix, aut ut lana munda? Dicit tamen qui hæc condidit: Si fuerint peccata vestra velut colores, qui elui non possunt, si modo lavemini, in nivis puritatem transibunt[82]. At post baptismum non est hæc remissio. Dixit enim, inquit, « Lavamini, mundi estote[83]. » Atqui hoc maxime, si a nobis petissetis, poteramus ex Scriptura ostendere, veniam scilicet ac remissionem esse post baptisma. Non enim oportet ita contradicere, ut facilia seligamus: sed adversus ea quæ valida videntur, contrario sermone est insurgendum. Dum enim obsistentia ab animo non amoventur, curari æger non potest.

2. Sed, quoniam rebus salsugine imbutis non datur dulcescendi locus, nosque nunc verba proferimus ex Veteri Testamento; referamus quid opponant adversus ea quæ ex Veteri dicuntur. Aiunt enim quod si ante Servatoris passionem, priusquam sacer ille sanguis pro nobis effunderetur, quidpiam ex Veteri Testamento **604** de pœnitentia nobis legeritis, dicimus in Veteri Testamento fuisse peccata remissa, sed in Novo propter passionem veniam non futuram. Si vero ex Novo ostenderimus et post baptismum et Spiritus participationem, qui peccave-

ΟΜΙΛΙΑ ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ.

1. Τῶν τὴν μετάνοιαν ἀναιρεῖν τολμώντων τὴν ἀλαζονείαν μὴ ἐνεγκὼν ὁ τιμιώτατος ἀδελφὸς, δεύτερον ἡμῖν ἐπίταγμα προσέταξε, τοῦτο τὸ ὑπερήφανον βλέπων, σώφρονα δὲ τοῖς ἀδελφοῖς δεξιὰν ὀρέξων εἰς μετάνοιαν. Χρησιμώτατος δὲ ὁ λόγος ἀνθρώποις ἐστίν. Ἀνθρώπων γὰρ οὐδεὶς ἀναμάρτητος. Ἑνὶ γὰρ μαρτυρεῖται, ὅτι ἁμαρτίαν οὐκ ἐποίησε. Λέξομεν οὖν περὶ μετανοίας ἐκ Παλαιᾶς τε καὶ Καινῆς. Οὗτοι γὰρ τῆς Ἐκκλησίας θησαυροί. Συνιστῶμεν δὲ μετάνοιαν, οὐχ ἁμαρτίαν ἀδελφοῦ προτρεπόμενοι (οὐ γὰρ ἐπ' ἐλπίδι μετανοίας βουλόμεθα ἐφ' ἁμαρτίας ἰέναι τὸν ἁμαρτήσαντα), ἀλλ' ἀναστῆσαι τὸν πεσόντα σπεύδοντες. Ἡ γὰρ παρὰ τῶν ἐναντίων εἰσαγομένη ἀνελπιστία τὸν ἅπαξ πεσόντα συνειλεῖσθαι τοῖς ἁμαρτήμασι προτρέπεται· ἡ δὲ προσδοκία τῆς μετανοίας τὸν πεσόντα ἀναστῆναι καὶ μηκέτι ἁμαρτάνειν προτρέπεται. Τίνες δέ ἐσμεν τῷ Θεῷ νομοθετοῦντες; Βούλεται ὁ Θεὸς ἀφιέναι· καὶ τίς ὁ κωλύων; Ὅτι ἡμεῖς λέγομεν (70) οὐ τί ἐκεῖνοι τολμῶσιν, ἀλλὰ τί ὁ Θεὸς προστάσσει. « Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; » Ἀντιφθέγγονται τῷ Θεῷ. Ὁ πίπτων οὐκ ἀνίσταται. Οὐκ ἔπεισέ σε ψιλῷ ῥήματι, πείσει σε δι' ὑποδείγματος ἐναργοῦς. Τί γὰρ οὕτως ἄπλυτον ὡς κόκκινον; τί δὲ λευκὸν παρ' ἡμῖν ὡς χιὼν, ἢ ὡς ἔριον καθαρόν; Φησὶν ὁ ταῦτα πλάσας, ὅτι Ἐὰν γένωνται αἱ ἁμαρτίαι ὑμῶν ὡς τὰ ἄπλυτα χρώματα, εἰ λούσοισθε, μεταπίπτει εἰς καθαρότητα χιόνος. Ἀλλ' οὐ μετὰ τὸ βάπτισμά ἐστιν αὕτη ἡ ἄφεσις. Εἶπε γὰρ, φησὶ, « Λούσασθε, καθαροὶ γίνεσθε. » Τοῦτο δὲ μάλιστα, παρ' ἡμῶν εἰ ᾐτήσασθε, ἠδυνάμεθα ἀπὸ Γραφῆς δεῖξαι, ὅτι μετὰ τὸ βάπτισμά ἐστι συγχώρησις. Οὐ γὰρ τὰ εὔκολα δεῖ ἐκλεγομένους ἀντιλέγειν, ἀλλὰ πρὸς αὐτὰ τὰ δοκοῦντα ἰσχυρὰ ἐν τῷ ἐναντίῳ λόγῳ διανίστασθαι. Ἐφ' ὅσον γὰρ τὰ ἀντιπίπτοντα οὐκ αἴρεται ἀπὸ τῆς ψυχῆς, ἀνίατός ἐστιν ὁ κάμνων.

2. Ἀλλ' ἐπειδὴ οὐκ ἔχει χώραν γλυκαίνεσθαι τὰ ἁλμυρὰ, λέγομεν δὲ καὶ ἡμεῖς νῦν ἀπὸ Παλαιᾶς· εἴπωμεν τί ἀντιλέγουσι πρὸς τὰ ἐκ τῆς Παλαιᾶς λεγόμενα. Λέγουσι γὰρ, ὅτι πρὸ τοῦ πάθους Σωτῆρος, πρὸ τοῦ τὸ αἷμα τὸ ἅγιον ὑπὲρ ἡμῶν ἐκχυθῆναι, ἐὰν ἀπὸ τῆς Παλαιᾶς ἀναγνῶτε ἡμῖν περὶ μετανοίας, λέγομεν, ὅτι ἐν τῇ Παλαιᾷ συγκεχώρηται· ἐν δὲ τῇ Καινῇ διὰ τὸ πάθος οὐκ ἔσται συγχώρησις. Ἐὰν δὲ ἀπὸ τῆς Καινῆς δείξωμεν, ὅτι καὶ μετὰ τὸ βάπτισμα καὶ μετάληψιν τοῦ Πνεύματος ἁμαρτήσας τις ἀνακαλεῖται διὰ μετανοίας τὸ χάρισμα, δῆλον, ὅτι ἔστι μετά-

[79] II Cor. III, 18. [80] Isa. LIII, 9. [81] Jerem. VIII, 4. [82] Isa. I, 18. [83] ibid. 16.

(70) Combefisius putat potius legendum esse Διότι ἡμεῖς, *quapropter diximus nos*, etc.

νοια τοῖς παραπεσοῦσι καὶ μετὰ τὸ βάπτισμα· καὶ τὰ ἐν τῇ Παλαιᾷ ἔσται ὑπὲρ τῆς μετανοίας κύρια. Ὡς προσέχουσι δὲ λέγω· ὅθεν καὶ βαρυτέρων ἅπτομαι, ἵνα, εὐέλπιδες γενόμενοι, μὴ ἅπαξ πεσόντες ἐπιμένωμεν τῷ πτώματι. Οὐκ ἐπείσθης αὐτῷ δι' ὑποδείγματος παριστῶντι, ὅρκῳ πείσθητι τοῦ Θεοῦ. Λέγει ὁ Θεός· « Ζῶ ἐγὼ, λέγει Κύριος. » Τοῦτο δὲ ὅρκος Θεῷ πρέπων. Ἐπειδὴ γὰρ οὐκ εἶχε μείζονα ἑαυτοῦ, ὄμνυσι δὲ διὰ τὴν ἀπιστίαν τῶν τὴν μετάνοιαν ἀναιρούντων, « Ζῶ ἐγὼ, λέγει Κύριος, » [καὶ οὐδεὶς φοβείτω,] ὅτι « οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἢ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν. » Ὁ ζῶν, ζῆσαι θέλει. Οὐδὲ ὅτε ὄμνυσι Θεὸς ἀξιόπιστος; Οὔτε λόγῳ, οὔτε ὑποδείγματι, οὔτε ὅρκῳ πείθῃ; Ἔργοις πείσθητι. Οὐ κατεστράφη Νινευΐ· μετενόησε γάρ. Ἡ ἀγανάκτησις τοῦ προφήτου, ὅτι οὐ κατεστράφη· ἀνεφύη κολόκυνθα. Ἀπολογεῖταί σοι, ἵνα μνησθῇς, ὅτι ἔστιν ἀγαθός. Δέδοικα δὲ μὴ ἀκούσῃς παρ' αὐτοῦ· « Εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; » Τίς ἀσεβέστερος ἀναγέγραπται τοῦ Ἀχαάβ; Ὡς ἀναγινώσκουσι λέγω. Ἥρπασε πρὸς ταῖς ἄλλαις ἁρπαγαῖς ἀμπελῶνα, φονεύσας τὸν δεσπότην· κατῆλθε κληρονομῆσαι· κατῆλθε χαίρων. Ἀπήντησεν ὁ λυπῶν, ὁ ἐλέγχων προφήτης· οὐχὶ ἐχθρὸς, ἀλλ' ὡς φειδόμενος ἀπεφήνατο οὐ τὴν ἑαυτοῦ ἀπόφασιν, ἀλλὰ τὴν τοῦ Θεοῦ. Μετὰ τὴν ἀπόφασιν ἐνεδύσατο σάκκον, καὶ ἀποδύεται τὴν δεσποτείαν. Γέγραπται γὰρ, ὅτι αὐτὸς ὁ προφήτης, ὁ ἀποσταλεὶς ἐπὶ τὴν ἀπόφασιν, ἤκουσε παρὰ τοῦ Θεοῦ, ὅτι Ἐπειδὴ ἐδεήθη Ἀχαάβ, τὴν ἀπειλὴν φοβούμενος, οὐκ ἔσται ἃ εἶπον ἐν ταῖς ἡμέραις αὐτοῦ. Ἀναγκάζομαι ἐπιθυμῆσαι καλοῦ φαρμάκου. Δαβὶδ ὁ ὅσιος, καὶ μετὰ τὴν ἁμαρτίαν ὅσιος, τῶν δέκα ἐντολῶν ἐν μιᾷ ὑποθέσει τρεῖς παρέβη. Ἐπειδὴ ὑμῖν λαλοῦμεν, εἴπωμεν καὶ σαφέστερον. Γέγονε μοιχεία, καὶ φόνος, καὶ ἐπιθυμία ἀλλοτρίας γυναικός. Ἥμαρτεν ὁ δίκαιος ἄνθρωπος, καὶ ὁ Θεὸς κριτὴν αὐτὸν ἐποίησε τῆς ἰδίας ἁμαρτίας. Ἐπειδὴ γὰρ οὐ βλέπομεν δοκὸν ἐν ὀφθαλμῷ ἡμῶν, κάρφος δὲ ἐν ἀλλοτρίῳ, εἰσάγει αὐτῷ τὴν δίκην αὐτοῦ ὡς ἀλλοτρίαν, καί φησιν, ὅτι « Δύο ἄνδρες ἦσαν ἐν πόλει μιᾷ, ὁ μὲν πλούσιος, ὁ δὲ πένης. Τῷ πλουσίῳ ὑπῆρχε πολλά· τῷ δὲ πένητι ἀμνὰς μία, ἣ καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδε (τοῦτο δὲ γυναικὸς μυστήριον), μετ' αὐτοῦ ἤσθιε, καὶ ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινεν. Ἦλθε, φησι, ξένος τῷ πλουσίῳ· » καλῶς δὲ ὅτι « ξένος· » οὐ γὰρ ἐν τούτοις εἶχε συνήθειαν ὁ Δαβίδ. « Ἦλθεν οὖν αὐτῷ ξένος. Ἐάσας, φησὶ, τῷ ξένῳ ἀφ' ὧν εἶχε θῦσαι, τὴν μίαν ἀμνάδα, φησὶ, τοῦ πένητος ἀφαρπάσας θύει. » Ὅσον ἂν πέσῃ ὁ ἰσχυρὸς, ταχεῖαν ἔχει τὴν ἀνάστασιν. Ἀγανακτεῖ ὁ Δαβίδ· ἦν γὰρ Δαβὶδ καὶ πεσών. « Ζῇ Κύριος, ἄξιος θανάτου ἐστὶν ὁ ποιήσας τοῦτο. » Ἀπεφήνατο αὐτὸς καθ' ἑαυτοῦ. Ὡς ἀπεφήνατο, ἐφανέρωσεν ὁ προφήτης τίς ἐστιν ὁ ἄνθρωπος. Εὐθὺς ἐπὶ τὸ φάρμακον ἐλήλυθεν· εἶδε τὸ τραῦμα· προσέφυγε τῷ ἰατρῷ. « Ἥμαρτον, » φησὶ, καὶ εὐθὺς ἡ ἴασις. « Καὶ ὁ Κύριος παρήνεγκέ σου τὸ ἁμάρτη-

rit, eum pœnitentiæ beneficio revocari, palam est lapsis pœnitentiæ locum esse etiam post baptismum, sicque ea quæ in Veteri leguntur, robur auctoritatemque ad astruendam pœnitentiam habebunt. Alloquor velut attentos: unde et graviora attingo, ut semel lapsi, concepta spe bona, haudquaquam in peccato permaneamus. Non credidisti ei per exemplum probanti, Dei crede juramento. Dicit Deus: « Vivo ego, dicit Dominus [84]. » Convenit autem Deo hoc jusjurandum. Quoniam enim non habebat majorem semetipso, jurat autem propter incredulitatem eorum qui pœnitentiam abolent, « Vivo ego, dicit Dominus, » sed nemo absterreatur, quoniam « nolo mortem peccatoris, sed magis ut convertatur et vivat [85]. » Qui vivit, vivere te vult. Itane etiam cum Deus jurat, indignus est cui credatur? Neque verbo, neque exemplo, neque juramento credis? Crede factis. Ninive eversa non est: egit enim pœnitentiam [86]. Eversam eam non fuisse indigne ferebat propheta: enata est cucurbita [87]. Excusat se tibi, ut memineris eum esse bonum. Vereor autem ne audias ab ipso: « An oculus tuus nequam est, quia ego bonus sum [88]? » Quis magis impius quam Achaab descriptus est? Velut legentibus loquor. Vineam præter reliquas prædas, domino occiso, rapuit [89]: descendit ad hæredium capiendum: descendit gaudens. Obviam venit qui tristitiam inferret, qui eum redargueret, propheta videlicet, non inimicus, sed velut parcens pronuntiavit non suam, sed Dei sententiam. Lata sententia, induit saccum, exuit dominium. Scriptum est enim quod ipse propheta, qui ad sententiam dicendam missus fuerat, audierit a Deo. Quoniam precatus est Achaab, veritus minas, non in ipsius diebus erunt quæ dixi [90]. Cogor remedium bonum exoptare. Sanctus ille David, vel post peccatum sanctus, ex decem præceptis tria in una causa transgressus est. Quoniam alloquimur vos, loquamur jam clarius. Factum est adulterium, et cædes, et concupiscentia alienæ uxoris [91]. Peccavit justus homo, et Deus ipsum proprii peccati constituit judicem. Et quoniam in nostro oculo trabem non videmus, videmus vero festucam in alieno [92], crimen ejus tanquam alienum ei proponit, et dicit [93]: « Viri duo erant in civitate una, unus dives, alter pauper. Diviti erant multa: pauperi vero agna una, quæ et in sinu ejus dormiebat » (hoc autem uxoris erat mysterium), « manducabat cum ipso, et de poculo ejus bibebat. Venit, inquit, hospes ad divitem; » recte vero dicitur « hospes; » David videlicet his non assueverat. « Venit igitur ad eum hospes: Parcens ille, inquit, hospiti mactare de his quæ habebat, unam illam, inquit, pauperis agnam abreptam mactat. » Quantumvis sane cadat fortis, cito resurgit. Rem moleste fert David, erat enim David et in

[84] Ezech. XXXIII, 11. [85] ibid. [86] Joan. III, 10. [87] Joan. IV, 6. [88] Matth. XX, 15. [89] III Reg. XXI, 16 seqq. [90] ibid. 29. [91] II Reg. XI, 15 seqq. [92] Matth. VII, 3. [93] II Reg. XII, 1-4.

lapsu. « Vivit Dominus, dignus est morte qui fecit A hoc [94]. » Sententiam in se ipso tulit. Hanc ubi tulit, declaravit propheta quis esset homo ille. Statim David accessit ad remedium : vidit vulnus,
605 ad medicum confugit. « Peccavi, » inquit, et statim adest medela ; « Et Dominus transtulit peccatum tuum [95]. » Quid enim vis, unumne peccatum imputari sanctis, an justitiam multam? Fecit peccatum, at fecit etiam justitias multas. Quid justum est apud justum Deum, paucorumne meminisse, an multorum oblivisci? Sit statera, et qua mensura mensi fuerimus, admetientur nobis [96]. Si peccata plura sunt, sit peccator : justitiæ plures, sit justus. Unus et unus. Nam omnia nostra ex abundantiori judicantur. Et res una alba albore superatur ab altera ; et dulci, si compares aliquid B aliud, dulcius est. Sic etiam justi sumus tanquam homines, non quod peccatum justitia sit. Unde Filius Dei justitia vocatur : nos vero participatione justitiæ justi sumus. Et Moyses aliquid lingua locutus est [97], quod tamen non comprehensum est historia. Et Abraham invenitur fidelis fuisse [98], et tamen fuit tempus cum esset incredulus [99]. Non accuso justos, sed Deum gloria afficio. Non invito quemquam ut peccemus. Placuit Enoch Deo, inquit Scriptura [1], postquam genuisset filium. Si postea placuit, potest placere qui non placuit.

μα. » (71) Τί γὰρ βούλει, ἓν ἁμάρτημα λογισθῆναι ὁσίοις, ἢ πολλὴν δικαιοσύνην; Ἐποίησεν ἁμαρτίαν, ἀλλ' ἐποίησε καὶ πολλὰς δικαιοσύνας. Τί δίκαιον παρὰ δικαίῳ Θεῷ, τῶν ὀλίγων μνημονεῦσαι, ἢ τῶν πολλῶν ἐπιλανθάνεσθαι; Ἔστω ζυγὸς, καὶ ᾧ μετροῦμεν, μετρηθήσεται ἡμῖν. Εἰ πλείονα τὰ ἁμαρτήματα, ἔστω ἁμαρτωλός· εἰ δὲ πλείονα τὰ δικαιώματα, ἔστω δίκαιος. Εἷς καὶ εἷς. Τὰ γὰρ παρ' ἡμῖν πάντα ἐκ τοῦ πλείονος λέγεται. Καὶ τοῦ λευκοῦ ἐστι λευκότερον, καὶ τοῦ γλυκέος εἰς σύγκρισιν ἄλλο γλυκύτερον. Οὕτως καὶ οἱ δίκαιοί ἐσμεν ὡς ἄνθρωποι, οὐχ ὡς ἡ ἁμαρτία δικαιοσύνη. Ὅθεν ὁ Υἱὸς τοῦ Θεοῦ δικαιοσύνη ἀκούει· ἡμεῖς δὲ μεταλήψει δικαιοσύνης δίκαιοι. Καὶ Μωϋσῆς ἐλάλησέ τι τῇ γλώττῃ, ἀλλ' οὐκ ἀπελήφθη τῇ ἱστορίᾳ. Καὶ Ἀβραὰμ εὑρίσκεται πιστὸς, καὶ ἔστιν ὅπου ἠπίστησεν. Οὐ τῶν δικαίων κατηγορῶ, ἀλλὰ τὸν Θεὸν δοξάζω. Οὐ προτρέπομαι, ἵνα ἁμαρτήσωμεν. Ἤρεσεν Ἐνὼχ τῷ Θεῷ, λέγει ἡ Γραφὴ, μετὰ τὸ γεννῆσαι τὸν υἱόν. Εἰ μετὰ ταῦτα ἤρεσεν, ἔστιν ἀρέσαι μὴ ἀρεσκόμενον.

3. Sed veniamus ad Novum Testamentum, licet occurrant adhuc nobis plura e Veteri. Nam et Manasses qui idola quadruplicem faciem habentia in templo Dei collocarat, ut undecunque quis ingrederetur, idola adoraret, acta pœnitentia revocatus est ex captivitate. Transeamus ad Novum, C Ex illo namque, unde potissimum excludere volunt pœnitentiam, pœnitentia potissimum prædicatur. Interrogemus Servatorem, Cur venisti? et respondet : « Non veni, ut justos salvos faciam, sed peccatores, inquit [2], ob pœnitentiam. » Sciscitemur ex ipso. Quid gestas in humeris? Ovem, inquit, perditam. Super quo gaudium fit in cœlo? Super aliquo peccatore, inquit [3], pœnitentiam agente. Angeli gaudent, et tu invides? Deus gaudens suscipit, et tu prohibes? Confugiamus ad Deum bonum alacritate majore. Duo, inquit [4], erant, ambo filii (dicere mihi non potes pœnitentiam illam gentilium fuisse : sed ambo erant filii qui sua ex æquo diviserant). Junior quod habebat consumit : justus cum esset, excidit. At con- D sumptis omnibus venit ad pœnitentiam, et ad patrem properat, et patri occursurus, cogitat quid sit ei dicturus. « Peccavi, inquit, in te, et coram cœlo [5]. » Hæc apud se statuit, nec latuit

3. Ἀλλ' ἔλθωμεν ἐπὶ τὴν Καινὴν, ἔτι πλείονα ἔχοντες ἀπὸ τῆς Παλαιᾶς. Καὶ γὰρ Μανασσῆς ὁ τετραπρόσωπα (72) εἴδωλα ἐν τῷ ναῷ τοῦ Θεοῦ θεὶς, ἵν' ὅθεν ἄν τις εἰσέλθῃ τοῖς εἰδώλοις προσκυνήσῃ, μετανοήσας ἀνεκλήθη ἐκ τῆς αἰχμαλωσίας. Ἔλθωμεν ἐπὶ τὴν Καινήν. Ἀφ' ἧς γὰρ μάλιστα θέλουσιν ἀποκλεῖσαι τὴν μετάνοιαν, ἀπ' αὐτῆς μάλιστα κηρύττεται ἡ μετάνοια. Πυνθανώμεθα τοῦ Σωτῆρος, Τί ἦλθες; καὶ ἀποκρίνεται· « Οὐκ ἦλθον δικαίους σῶσαι (73), ἀλλὰ ἁμαρτωλοὺς, φησὶν, εἰς μετάνοιαν. » Ἐξετάζωμεν αὐτὸν, Τί βαστάζεις ἐπ' ὤμων; Ἀπολωλὸς, λέγει, πρόβατον. Ἐπὶ τίνος γίνεται χαρὰ ἐν οὐρανοῖς; λέγει, Ἐπί τινος ἁμαρτωλοῦ μετανοοῦντος. Ἄγγελοι χαίρουσι, καὶ σὺ βασκαίνεις; Ὁ Θεὸς χαίρων δέχεται, καὶ σὺ κωλύεις; Σφοδρότερον προσφευξώμεθα ἀγαθῷ Θεῷ. Δύο, φησὶν, ἦσαν, ἀμφότεροι υἱοὶ (οὐ δύνασαί μοι εἰπεῖν, ὅτι ἡ ἀπὸ Ἑλλήνων ἐστὶν ἡ ὧδε μετάνοια, ἀλλ' ἀμφότεροι υἱοὶ, ἐξ ἴσου μερίσαντες). Ἀναλίσκει ὃ εἶχεν ὁ νεώτερος· δίκαιος ὢν, ἐκπίπτει. Ἀναλώσας δὲ πάντα, ἦλθεν ἐπὶ μετάνοιαν, καὶ σπεύδει (74) πρὸς τὸν πατέρα, καὶ μελετᾷ, πατρὶ ἀπαντήσων, τί εἴποι. « Ἥμαρτον, εἶπεν, ἐπὶ σοὶ, καὶ ἔμπροσθεν τοῦ οὐρανοῦ. » Ταῦτα ἐβουλεύσατο, οὐκ ἔλαθε τὸν ἀγαθὸν πατέρα. Ἦλθεν ἀπολογήσασθαι, ἀπήντησεν ὁ αἰσχυνόμενος (75). Μόνον θέλησον, καὶ αὐτὸς

[94] II Reg. XII, 5. [95] ibid. 13. [96] Matth. VII, 2. [97] Exod. IV, 13, 14. [98] Gen. XV, 6. [99] Gen. XVII, 17. [1] Gen. V, 22. [2] Matth. IX, 13. [3] Luc. XV, 5-7. [4] Luc. XV, 11. [5] ibid. XXI,

(71) Quæ hoc loco traditur doctrina ut sanæ theologiæ, ita veritati prorsus est contraria; nec satis mirari queo Combefisium, qui, ut ejus verbis utar, eam cum aliis Basilianis conciliare conatur. Certe si ex nulla alia re, at ex perversitate doctrinæ tam novæ quam Basilio indignæ discere ei licebat, orationem ejusmodi Basilio Magno tribui nec debere, nec posse.

(72) Legas velim Ducæi eruditissimam notam in illud, ὁ τετραπρόσωπα.

(73) Σῶσαι, si credamus Combefisio, hoc loco est καλέσαι, *non veni, ut vocem justos, sed peccatores ad pœnitentiam.*

(74) Editi καὶ εἰ σπεύδει. Voculam εἰ delevimus, exemplum Combefisii secuti.

(75) Illud, ἀπήντησεν ὁ αἰσχυνόμενος, ita inter

προαπαντᾷ. Ἄρχεται λέγειν, καὶ ὁ πατὴρ προσλαμβάνεται. Κατανόει τὰ σπλάγχνα, καὶ μὴ ἀποκόψῃς τὴν ἐλπίδα. Ἐδέξατο, καί φησι· Θύσατε ταῦρον, καὶ στολὴν ἐξενέγκατε, καὶ ταύτην ἀρχαίαν, καὶ δακτύλιον ἐν τῇ χειρί. Ταῦτα πάντα παρερμηνεύεται μὲν, δηλοῖ δὲ συντόμως τὴν προτροπὴν τὴν ἀγαθὴν τοῦ ὑποδεξαμένου, οὐ πρὸς ἃ θέλω, ἀλλὰ πρὸς ἃ λέγει. Εἰ δὲ ἀγανακτεῖς, ὅτι δέχεται μετὰ τὸ βοσκῆσαι χοίρους, μετὰ τὸ ἀναλῶσαι πάντα, ἠγανάκτησε καὶ ὁ ἀδελφὸς, ἀλλ' οὖν ἐδέξατο ὁ αἰσχυνόμενος.

A bonum patrem. Excusaturus se accessit: obviam ivit ille, habens ei honorem. Solum velis, et ipse præcurrit. Incipit loqui, et pater admittit. Considera viscera, et ne abscindas spem. Excepit, et ait: Mactate taurum, et stolam afferte, eamque primariam, et annulum in manum ipsius. Hæc omnia in aliam quidem sententiam exponuntur: sed tamen compendio significant bonam **606** suscipientis cohortationem, non ad ea quæ volo, sed ad ea quæ dicit. Quod si suscipi hunc, posteaquam pavit porcos, posteaquam absumpsit omnia, indigne fers, indigne tulit et frater: contra ille honorifice excepit.

4. Καὶ συκῆ γεωργουμένη, καὶ ἐν τρισὶν ἔτεσι μὴ δοῦσα καρπὸν, ἀφείθη, καὶ οὐκ ἐξετμήθη ἐπ' ἐλπίδι τοῦ δοῦναι. Δεσπότης χαρίζεται, καὶ σὺ ἀντερεῖς; Μὴ γὰρ ἴδια πράγματά τις ἑαυτῷ ἁρπάζει; Εἰ δὲ χαρίζεται ὁ Θεὸς, τίς ὁ ἀντιλέγων; Ἐπεὶ διδαχθῶμεν εὔχεσθαι· «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, διότι ἀφήκαμεν καὶ ἡμεῖς.» Σὺ ἀφίῃς, Θεὸς οὐκ ἀφίησι; Σὲ ἐποίησεν ἰατρὸν σεαυτοῦ. Ὦ μέτρῳ ἀντιμετρῇς, ἀντιμετρηθήσεταί σοι. Ἀφίῃς, ἀφίησί σοι. Ἀλλὰ σὺ ὁ πονηρὸς χρηστεύῃ, ὁ ἀγαθὸς οὐ πολὺ μᾶλλον; Μετὰ ἁμαρτωλῶν (76) Ἰησοῦς, μετὰ νοσούντων ὁ ἰατρός. Ἀγανακτοῦσι Φαρισαῖοι, οἱ πατέρες τῶν νῦν ἀγανακτούντων· οὐκ ἀποστρέφεται ὁ ἐλεήμων. Εἰσῆλθεν εἰς οἶκον Φαρισαίου κληθείς· ἐπεισῆλθεν αὐτῷ ἁμαρτωλὸς γυνὴ μὴ κληθεῖσα. Εἶδε τὴν ἁμαρτίαν, προσῆλθε τῇ δικαιοσύνῃ· εἶδε τὴν νόσον, ἀπῆλθεν ὅπου ὁ ἰατρός. Προσῆλθεν οὐ πρὸς προσώπῳ, οὐ γὰρ εἶχε παῤῥησίαν· οὐκ ἐκράτησεν αὐτοῦ χεῖρα, οὐ γὰρ ἐτόλμα· ἀλλ' ἐπὶ τοὺς πόδας, οὓς τοῖς δάκρυσιν ἔπλυνεν, ἐξέβαλε τὰς τρίχας τότε μόνον καλῶς, τὰς πολλάκις κακῶς φανείσας τότε καλῶς ἐγύμνωσεν. Ὑπεγράφη σοι τὸ προσφυγεῖν τοῖς ποσὶ τοῦ Ἰησοῦ. Ἀνῆλθε πρὸς τὸν Πατέρα, ἀλλά φησιν· «Ἐγὼ μεθ' ὑμῶν εἰμι.» Ὁπότε θέλεις, πρόσφυγε θαῤῥῶν, βρέξον πόδας, ἐγγίζων ἐστί. Καὶ ἦλθε παρὼν, καὶ ἀπῆλθε παρών. Ταῦτα ἀπὸ Καινῆς ἀδελφὰ τῶν ἐν Παλαιᾷ. Τί κηρύττει ὁ Ἰωάννης; Βάπτισμα μετανοίας. Καὶ διδάσκει ἐν παραβολαῖς, οὐχ ἅπαξ, οὐ δὶς, ἵνα πολλάκις διδασκόμενος μάθῃς. Πέτρος τρὶς ἀπαρνεῖται, καὶ κεῖται ἐν θεμελίῳ. Παῦλος ἀπὸ διωκτῶν κῆρυξ. Ἀλλ' ἐνταῦθά ἐστι ζήτημα. Ἀλλὰ τί λέγει αὐτός; «Ἰησοῦς Χριστὸς ἦλθεν εἰς τὸν κόσμον, ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ.» Τὸ ἴδιον ἐλάττωμα φανεροῖ, ἵνα δείξῃ τὸ μέγεθος τῆς χάριτος. Ἀλλὰ Πέτρος εἰπὼν καὶ εὐλογηθεὶς, εἰπὼν, ὅτι «Υἱὸς εἶ τοῦ Θεοῦ» τοῦ ὑψίστου, καὶ ἀκούσας, ὅτι «Πέτρα εἶ,» ἐνεγκωμιάσθη. Εἰ γὰρ καὶ πέτρα, οὐχ ὡς Χριστὸς πέτρα, ὡς Πέτρος πέτρα· Χριστὸς γὰρ ὄντως πέτρα ἀσάλευτος· Πέτρος δὲ διὰ

4. Et ficus quæ colebatur, et annos tres fructum non dederat, dimissa est, nec excisa ob spem fu-
B turi fructus. Dominus condonat, et tu contradicis? Num quisquam est qui res sibi proprias rapiat? Quod si Deus indulget, quis est qui contradicat? Alioqui discamus orare: «Dimitte nobis debita nostra quoniam dimisimus et nos [6].» Tu dimittis, et Deus non dimittit? Te tui ipsius fecit medicum. Qua mensura mensus fueris, remetietur tibi [7]. Dimittis: dimittit tibi. Tu malus cum sis, tamen benigne agis; nonne multo magis is qui bonus est? Versatur Jesus cum peccatoribus, medicus cum infirmis. Indignantur Pharisæi, patres eorum qui nunc indignantur; non aversatur misericors. Ingressus est in domum Pharisæi, vocatus; ingressa est post illum mulier peccatrix non vocata [8]. Vidit peccatum, ivit ad justitiam; vidit morbum, abiit eo,
C ubi erat medicus. Accessit non ad faciem, neque enim usque adeo audax erat; non ipsius apprehendit manum, non enim audebat: sed ad pedes, quos lacrymis lavabat, effudit comam tunc solum honeste; eam plerumque turpiter ostensam, tunc honeste nudavit. Datum tibi est exemplum, ut ad pedes Jesu confugias. Rediit ad Patrem, sed dicit: «Ego vobiscum sum [9].» Quandocunque libuerit, confugito confidenter, riga pedes, propinquus est [10]. Et venit præsens, et abiit præsens. Hæc quæ ex Novo Testamento desumpta sunt, iis quæ in Veteri comperiuntur germana sunt et affinia. Quid prædicat Joannes? Baptismum pœnitentiæ. Atque in parabolis docet, non semel, non bis, ut dum sæpe doceris, discas. Petrus ter negat, ta-
D men in fundamento collocatur. Paulus ex persecutoribus factus est prædicator. Sed hic quæstio est. Quid vero dicit ipse? «Jesus Christus venit in mundum, ut peccatores salvos faceret, quorum primus sum ego [11].» Declarat suum ipsius vitium, ut gratiæ ostendat magnitudinem. At dixerat Petrus, et benedictionem consecutus fuerat;

[6] Matth. vi, 12. [7] Matth. vii, 2. [8] Luc. vii, 37 seqq. [9] Matth. xxviii, 20. [10] Deut. iv, 7. [11] I Tim. i, 15.

pretatur Combefisius: *Occurrit, cui is pudore fuerat, qui ejus offensus luxuria, cui ille probro fuerat:* quarum interpretationum mihi nulla placet. Existimo verbum αἰσχύνεσθαι hoc loco sumi pro eo quod est *revereri, honorem habere*: quasi dixisset auctor: *pater filio occurrit honorifice.* Quod sequitur, τὴν προτροπὴν τὴν ἀγαθὴν, etc., id quoque explanat Combefisius: ego autem hanc orationem tanti non facio, ut in ea explananda multum laboris ac industriæ ponere velim.

(76) Editio Paris. κατὰ ἁμαρτωλῶν, male. Editio Basil. μετὰ ἁμαρτ., recte.

dixerat : « Filius es Dei » altissimi [12] : cumque audisset : « Petra es [13], » præconio nobilitatus est. Quanquam autem petra est, non ut Christus petra, sed ut Petrus petra : Christus enim vere petra est inconcussa : Petrus vero propter petram. Nam Jesus dignitates suas largitur, nec exhauritur : sed quæ tribuit, retinet. Lux est. « Vos estis lux mundi [14]. » Sacerdos est ; facit sacerdotes. Ovis est. « Ecce mitto vos sicut oves in medio luporum [15]. » Petra est, petram facit, et servis dat sua. Hoc enim indicium est divitis, habere et tribuere. Verum qui apud nos divites sunt, cum largiuntur, ea quæ habent imminuunt. Divites enim non sumus, nam aliena possidemus. Ille vero sic dives est, ut quantumcunque largitus fuerit, tantum nihilo secius dives permanet, velut fons perennis. Quantumcunque hauseris, non decrescit fluentum. Imo non velut fons : nullum enim apud nos exemplum naturæ illi potest comparari. Quare cum habeamus dignum
607 nihil, minoribus utimur, ut ignota utcunque cognoscamus. Negat ter Petrus, non ut Petrus cadat, sed ut et tu habeas consolationem. Flevit ; lacrymæ eum qui nostri miseretur, flexerunt. Nam bonum erat propositum animi. Ubique solus confitetur. « Spiritus quidem promptus : caro vero infirma [16]. » Qui finxit, figmentum novit [17], portatque infirmitates, condonans delicta.

A τὴν πέτραν. Χαρίζεται γὰρ Ἰησοῦς τὰ ἑαυτοῦ ἀξιώματα, οὐκ ἀποκενούμενος, ἀλλ' ἔχων ἃ δίδωσι. Φῶς ἐστιν. « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. » Ἱερεύς ἐστι· ποιεῖ ἱερέας. Πρόβατόν ἐστιν. « Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. » Πέτρα ἐστί· πέτραν ποιεῖ, καὶ τὰ ἴδια χαρίζεται τοῖς δούλοις. Τοῦτο γὰρ σημεῖον πλουσίου, τὸ ἔχειν καὶ χαρίζεσθαι. Ἀλλ' οἱ παρ' ἡμῖν πλούσιοι χαριζόμενοι ἐλαττοῦσιν ἃ ἔχουσιν. Οὐ γὰρ πλούσιοι, ἀλλότρια γὰρ κεκτήμεθα. Ὁ δὲ οὕτως πλουτῶν, ὅσα ἐὰν χαρίζηται, τοσοῦτον μένει πλούσιος ὤν· ὥσπερ πηγὴ ἀένναος. Ὅσον ἐὰν λάβῃς, οὐκ ἀπομειοῦται τὸ ῥεῦμα. Καὶ οὐχ ὡς πηγή· οὐδὲν γὰρ ἄξιον ὑπόδειγμα τῶν παρ' ἡμῶν ἐκείνης τῆς φύσεως. Ἀλλὰ μὴ ἔχοντές τι ἄξιον, χρώμεθα τοῖς ἐλάττοσιν, ἵνα ὁπωσδήποτε γνῶμεν τὰ ἄγνωστα.
B Τρὶς ὁ Πέτρος ἀρνεῖται, οὐχ ἵνα Πέτρος πέσῃ, ἀλλ' ἵνα καὶ σὺ σχῇς (77) παραμυθίαν. Ἐδάκρυσεν, ἔκαμψε τὰ δάκρυα τὸν ἐλεήμονα ἡμῶν. Ἡ γὰρ προθυμία ἦν ἀγαθή. Πανταχοῦ ὁμολογεῖ μόνος. « Τὸ μὲν πνεῦμα πρόθυμον· ἡ δὲ σὰρξ ἀσθενής. » Οἶδεν ὁ πλάσας τὴν πλάσιν, καὶ βαστάζει τὰ ἀσθενήματα, συγχωρῶν τὰ παραπτώματα.

5. « Memento, Domine, inquit, quod pulvis sumus [18]. » Ecquid enim est justitia nostra ? Vere magnus erat Abraham. Ita erat magnus, quoniam terra est et cinis [19]. Qui enim cognoscit quantum intersit Deum inter et homines, novit seipsum. Audi et alias beatitudines. « Beati quorum remissæ sunt iniquitates, et quorum tecta sunt peccata [20]. » Deus beatos prædicat, et tu prohibes ? Loquunturne Scripturæ uti volumus ? debemusne obtemperare ita, ut scriptum est ? Atque hæc contra nos. Contentio quæ spem amputat, bona non est. Sed quia veniam post baptisma pollicemur (hoc enim maxime communit adversus scelus), scribit Apostolus in priore Epistola ad Corinthios : « Scortatio omnino inter vos nominatur, et talis scortatio qualis nec inter gentes nominatur [21]. » Audistis mali magnitudinem, etiam latæ sententiæ vehementiam audite. « Congregatis vobis, inquit, et meo spiritu, in virtute Christi, tradatur qui hujusmodi est Satanæ, in interitum carnis, ut spiritus salvus sit [22]. » Castigat, non enim tanquam inimicus rejicit. In priore quidem Satanæ tradidit ; in posteriore vero nihil priori contrarium scribit. « Confirmetur in illum charitas, ne tristitiæ nimietate pereat qui ejusmodi est [23]. » Solvit etiam indissolubilia Apostolus. Tunc jubet talem Satanæ tradere ; postea de eodem scribens, ac veniam dans, ait : « Ut ne circumveniamur a Satana [24]. » Nam si quem nostrum rapuit, jam nos

5. « Μνήσθητι, φησὶ, Κύριε, ὅτι χοῦς ἐσμεν. » Τί γὰρ ἡμῶν ἡ δικαιοσύνη ; Μέγας ἦν ὄντως Ἀβραάμ. Οὕτως ἦν μέγας, διότι γῆ ἐστι καὶ σποδός. Ὁ γὰρ γινώσκων ὅσον μεταξὺ Θεοῦ καὶ ἀνθρώπων, οἶδεν ἑαυτόν. Ἄκουε καὶ ἄλλους μακαρισμούς. « Μακάριοι
C ὧν ἀφείθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. » Θεὸς μακαρίζει, καὶ σὺ ἀποκωλύεις ; Ἆρα πότερον ὡς βουλόμεθα λέγουσιν αἱ Γραφαὶ, ἢ ὡς γέγραπται ὀφείλομεν ἀκολουθῆσαι ; Καὶ ταῦτα καθ' ἡμῶν. Οὐ καλὴ ἡ φιλονεικία, ἐλπίδα ἀποκόπτουσα. Ἀλλ' ἐπειδὴ ἐπαγγελλόμεθα μετὰ τὸ βάπτισμα συγχώρησιν (τοῦτο γὰρ τὸ συνεκτικώτατον πρὸς τὴν κακουργίαν), γράφει ὁ Ἀπόστολος ἐν τῇ προτέρᾳ Ἐπιστολῇ πρὸς Κορινθίους, ὅτι « Πορνεία ὅλως ἐν ὑμῖν ὀνομάζεται, καὶ τοιαύτη πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται. » Ἠκούσατε τὸ μέγεθος τοῦ κακοῦ, ἀκούσατε καὶ τὸ μέγεθος τῆς ἀποφάσεως. « Συναχθέντων, φησὶν, ὑμῶν, καὶ τοῦ ἐμοῦ πνεύματος ἐν τῇ δυνάμει τοῦ Χριστοῦ, παρα-
D δοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ. » Παιδεύει, οὐ γὰρ ὡς ἐχθρὸς ἀποῤῥίπτει. Ἐν μὲν τῇ προτέρᾳ τῷ Σατανᾷ παραδέδωκεν· ἐν δὲ τῇ δευτέρᾳ γράφει οὐδὲν τῇ προτέρᾳ ἐναντίον. « Κυρῶσαι εἰς αὐτὸν ἀγάπην, μὴ τῇ ὑπερβολῇ τῆς λύπης ἀπόληται ὁ τοιοῦτος. » Ἔλυσε καὶ τὰ ἄλυτα ὁ Ἀπόστολος. Τότε λέγει παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ· μετὰ ταῦτα περὶ τοῦ αὐτοῦ γράφων καὶ συγχωρῶν, φησίν· « Ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ Σατανᾷ. » Ἐὰν γὰρ λάβῃ τινὰ ἡμῶν, καὶ

[12] Matth. xvi, 16. [13] ibid. 18. [14] Matth. v, 14. [15] Matth. x, 16. [16] Matth. xxvi, 41. [17] Psal. cii, 14. [18] ibid. [19] Gen. xviii, 27. [20] Psal. xxxi, 1. [21] I Cor. v 1. [22] ibid. 4, 5. [23] II Cor. ii, 6, 7. [24] ibid. 11.

(77) Ita hunc locum emendat Combefisius, ut pro καὶ συσχῇ legat καὶ σὺ σχῇς, quem sequimur.

ἐπλεονέκτησεν ἡμῶν. Ἐξέρχεται πρόβατον ἀπὸ ποίμνης, λύκων γίνεται βορά. Εἰσάγαγε, ἵνα φύγῃ τὴν ἐπιβουλήν· ὥσπερ οἱ ἀγαθοὶ ποιμένες, κἂν ἀρθῇ τὸ πρόβατον, δέρμα γοῦν σπεύδουσι λαβεῖν. Εἰ δέρμα νεκροῦ καλὸν ἀποσπάσαι (78), ψυχὴν ἀπὸ στόματος λύκου οὐκ ἄξιον λαμβάνειν; Καὶ ἐν πολέμῳ τιτρώσκεται ἀριστεὺς, καὶ οὐχ ὅτι ἐτρώθη, διὰ τοῦτο οὐ στέφεται· ἀλλ' ἔλαβε τραύματα πολλὰ ἐργασάμενος. Τὸ μὲν ἓν λογίζεται κακὸν, τὰ δὲ πολλὰ ἀγαθὰ οὐ λογίζεται Θεός; Πόσοι μάρτυρες, πρῶτον ἀρνησάμενοι, τὸ δεύτερον ἀνεκαλέσαντο τὴν ἧτταν; Ἀλλ' ἀρνησάμενοι οὐχὶ τῇ διανοίᾳ, ἀλλὰ τῇ γλώττῃ. Ἡ σὰρξ γὰρ ἀσθενής. Ἀπαρνούμενος ἐκπίπτει, πάλιν ὁμολογῶν ἀνακαλεῖται. Οὐ γὰρ τὰ κακὰ φυλάττει ὁ Θεὸς, τὰ δὲ καλὰ ἀθετεῖ. Καὶ βασανιζόμενός τις, πολλάκις ἐνέδωκε, μὴ ἐνεγκὼν, οὐ τὴν προθυμίαν, ἀλλὰ τὸν πόνον. Ἀλλὰ κατενεχθεὶς, καὶ ἄνεσιν λαβὼν, ἀνακαλεῖται. Τὸ μικρὸν ῥῆμα φυλαχθήσεται αὐτῷ, αἱ δὲ βάσανοι οὐκ ἀριθμηθήσονται; Ἀλλὰ Θεὸς κριτὴς, οὐκ ἀνθρώπων ἡ τόλμα. Τολμᾷς νομοθετεῖν Θεῷ, ὃς οἶδε τὴν ἀσθένειαν, καὶ χορηγεῖ τὴν βοήθειαν, καὶ δώσει τὴν νίκην; Πόσοι οὐκ ἀπὸ καλοῦ βίου ἐμαρτύρησαν; Ἆρα ἐπειδὴ ἐπέστρεψεν ἐπιθυμία, ἀποστερηθήσονται τῶν καμάτων; Οὐκ ἄγγελοί ἐσμεν, ἀλλ' ἄνθρωποι· καὶ πίπτομεν καὶ ἐγειρόμεθα, καὶ πολλάκις τῆς αὐτῆς ὥρας. « Καὶ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ. » Διὰ τί; Εἰ γὰρ μέτρον τί ἐστι τῆς δικαιοσύνης, πάντες ὀφείλουσι τὸ ἴσον ἔχειν· εἰ δὲ οἱ μὲν λάμπουσιν ὡς ὁ ἥλιος, οἱ δὲ αὐγάζουσιν ὡς σελήνη, οἱ δὲ κατὰ τὴν διαφορὰν τῶν ἄστρων λάμπουσι, δῆλον, ὅτι ἄλλος ὑπερέχει· ὁ δὲ ἐλαττούμενος δῆλον ὅτι ἔχει μικρὰ ἁμαρτήματα. Εἰ δὲ οὐδενὸς ἁμαρτήσαντος ἡ ἄφεσις, ἡ διαφορὰ ἦν ἐν τῇ ποικιλίᾳ (79).

A circumvenit. Egreditur ovis ex caula, luporum fit pabulum. Introduc, ut insidias effugiat. Ita boni pastores, etiamsi rapta ovis sit, vellus saltem recuperare student. Si vellus mortuæ abstrahere bonum est, animam ex ore lupi eripere res nihili est? Et victor in bello vulneratur, nec ob id non coronatur, quod vulneratus est : sed laboribus multis perfunctus, vulnera accepit. Unumne malum reputat Deus, multa vero bona non reputat? Quot martyres qui primum negarant, rursus redintegrata pugna cladem resarsere? Negarant autem non animo, sed lingua. Caro namque infirma est. Excidit qui abnegat; rursus, cum confitetur, instauratur. Nec enim mala observat Deus, bona vero nullo loco numerat. Et cum quis torqueretur, B plerumque cessit, cum ferre non posset, non commutans voluntatis propositum, sed labore victus. At dimissus, ac requiem nactus, restauratur. Servabiturne dictum breve adversus illum, tormenta vero non enumerabuntur? At Deus judex est, non hominum audacia. Audes legem præscribere Deo, qui infirmitatem novit, et suppeditat auxilium, dabitque victoriam? Quot sunt qui post vitam malam martyrium **608** sustinuerunt? Num quoniam cupiditas illexit, privabuntur laboribus? Non angeli sumus, sed homines, et cadimus et resurgimus, idque sæpenumero hora eadem. « Et stella a stella differt in gloria [25]. » Quam ob causam? Etenim si mensura quædam est justitiæ, debent omnes æque justi esse : sin alii fulgent ut C sol, alii splendent ut luna, alii autem pro astrorum discrimine coruscant, perspectum est alium ab alio superari : qui autem superatur, liquet eum peccatis parvis obnoxium esse. Quod si nemini qui peccavisset, daretur venia, foret discrimen in varietate.

6. Ἀλλ' ἐπειδὴ ἀναγκαῖόν ἐστι δεῖξαι μετὰ τὸ βάπτισμα σωζομένους τοὺς παραπεσόντας, φοβούμενος λέγω, μὴ παρὰ τὸ ἐμὸν βούλημα ἀποστῆτε· πάνυ γὰρ θέλω τοὺς λαμβάνοντας τὸ βάπτισμα μὴ ἁμαρτάνειν. Εἰ δὲ παραπίπτοιέν ποτέ τινες μὴ βουλόμενοι, οὐ βούλομαι ὃ βούλονται οἱ τὴν μετάνοιαν ἀναιροῦντες, μὴ βουλόμενοι συναποθανεῖν ἡμᾶς τῷ σταυρῷ· ἀλλ' ὃ Ἀπόστολος, καὶ συνταφῆναι αὐτῷ, καὶ μηκέτι ζῆν ἁμαρτίᾳ, τοῦτο μὲν βούλομαι. « Οὐκ ἀθετῶ δὲ τὴν χάριν τοῦ Θεοῦ, » Γαλάταις γράφων ὁ Ἀπόστολός φησιν, ὅτι ἔλαβον Πνεῦμα. Μὴ τούτου ἐναργέστερον ζητεῖς; Ἀλλ' ἐπιφέρει· « Οὕτως ἀνόητοί ἐστε, ἐναρξάμενοι Πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε. » Οὐκοῦν εἰλήφασι Πνεῦμα. Καὶ πάλιν· « Τοῦτο μόνον θέλω μαθεῖν παρ' ὑμῶν· ἐξ ἔργων νόμου τὸ Πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως; Ἐτρέχετε καλῶς. » Βλέπετε πόσα πλεονεκτήματα. Ἄκουε τὰ ἁμαρτήματα. « Νῦν σαρκὶ ἐπιτελεῖσθε, ἐξεπέσατε ἀπὸ Χριστοῦ. » Εἶδες αὐτοὺς ἔχοντας τὸ Πνεῦμα· ἤκουσας, ὅτι « Κατηργήθητε

6. Sed quoniam demonstrare necesse est, lapsos post baptisma salutem consequi, non sine metu loquor, ne præter animi mei sententiam desciscatis : omnino enim cupio non peccare qui baptismum accipiunt. Quod si qui aliquando præter voluntatem lapsi fuerint, non volo quod volunt qui pœnitentiam abrogant, nolentes nos una commori in cruce : sed quod Apostolus vult [26], nos una cum ipsa sepeliri, nec amplius vivere nos peccato; hoc ipsum volo. « Non abjicio autem gratiam Dei, » ait Apostolus scribens ad Galatas [27], quod Spiritum acceperant. Num hoc manifestius quiddam quæris? Sed infert : « Sic stulti estis, ut cum Spiritu cœperitis, nunc carne consummemini [28]. » Ergo Spiritum acceperant. Et iterum : « Hoc solum volo discere a vobis : ex operibus legis Spiritum accepistis, an ex auditu fidei [29]? Currebatis bene [30]. » Videte quot prærogativæ. Audi peccata. Nunc carne consummamini, excidistis

[25] I Cor. xv, 41. [26] Rom. vi, 4. [27] Galat. ii, 21. [28] Galat. iii, 3. [29] ibid. 2. [30] Galat. v, 5, 7.

(78) Editio Basil. ἀποσπάσαι, recte. Editio Paris. ἀποσχάσαι.

(79) Voculam οὐκ de suo addidit Combefisius.

a Christo. » Vidisti ipsos habere Spiritum : audisti illud, « Evacuati estis a Christo [31] : » similiter quoque, « A gratia excidistis [32]. » Quid postea subjungit, locum dans instaurationi ? « Filioli mei, quos iterum parturio [33]. » Semel genuerat ; sed qui semel genuerat, non recusat etiam denuo gignere ad salutem. Quod si quispiam omnia alia animo malo agat, idipsum fuerit impium. Homines vero qui Spiritum acceperunt, qui bene cucurrerunt, tanta passi, periclitati, frustra toleratis adversis, lapsi et evacuati, iterum tamen regenerantur, ut rursus Dei formam recipiant. Num quidquam superest tibi, quod adversus pœnitentiam opponas? Quis nos formavit? Deus. Fecit nobis corpus, fecit nobis animam. Contemnitne? Quis dedit nobis pharmacum vitæ? Cur adhibentur lectiones? Ut desistamus a peccatis. Cur irrigamur? Ut fructum afferamus. Quid oramus? Ut dimittantur nobis peccata. Imponamus finem orationi. Quibusnam non est pœnitentia? Ille ipse est, qui pœnitentiæ spe male agens, habet maleficii habitum, ac pœnitentia privatus est. Spes est etiam post peccatum, est curatio etiam post ulcus, sed manet cicatrix. Beatum fuerit, ne vacillasse quidem : beatitudo altera, reddita post plagam sanitas. Deo autem, qui initio condidit, seque demittit ad infirmitatem, et propositum servat, ac pœnitentiam largitur, per eum qui nobis bona confert, Jesum Christum Dominum nostrum, gloria et imperium in sæcula sæculorum. Amen.

A ἀπὸ Χριστοῦ· » ὁμοίως καὶ, « Τῆς χάριτος ἐξεπέσατε. » Τί μετὰ ταῦτα ἐπιφέρει, διδοὺς τόπον ἐγκαινισμοῦ; « Τεκνία μου, οὓς πάλιν ὠδίνω. » Ἅπαξ ἦν γεννήσας· ἀλλ' οὐχ ὁ ἅπαξ γεννήσας παραιτεῖται καὶ ἐκ δευτέρου γεννῆσαι εἰς σωτηρίαν. Εἰ τὰ ἄλλα πάντα τις κακουργήσει, τοῦτο αὐτὸ ἄθεον (80). Ἄνθρωποι δὲ, λαβόντες τὸ Πνεῦμα, καλῶς τρέχοντες, τοσαῦτα ὑπομείναντες, κινδυνεύσαντες, εἰκῇ ὑπομεμενηκότες, ἐκπεσόντες καὶ καταργηθέντες, πάλιν ἀναγεννῶνται, ἵνα πάλιν μορφὴν Θεοῦ ἀναδέξωνται. Μὴ πάλιν ὑπολείπεταί σοι ἀντιλογία περὶ μετανοίας; Τίς ἡμᾶς ἔπλασε; Θεός. Ἐποίησεν ἡμῖν σῶμα, ἐποίησεν ἡμῖν ψυχήν. Περιορᾷ; Τίς δέδωκεν ἡμῖν φάρμακον ζωῆς; Διὰ τί ἀναγνώσματα; Ἵνα ἀποστῶμεν ἁμαρτημάτων. Διὰ τί ἀρδευόμεθα; Ἵνα καρποφορήσωμεν. Τί εὐ- B χόμεθα; Ἵνα ἀφεθῶσιν ἡμῶν αἱ ἁμαρτίαι. Πληρώσωμεν τὸν λόγον. Τίσιν οὐκ ἔστι μετάνοια; Ὁ δ' ἐλπίδι τῆς μετανοίας κακουργῶν κακουργίας ἔχει τὸν τρόπον, καὶ ἀπεστέρηται μετανοίας. Ἔστιν ἐλπὶς καὶ μετὰ τὴν ἁμαρτίαν, ἔστιν ἴασις καὶ μετὰ τὸ ἕλκος, ἀλλὰ μένει ἡ οὐλή. Μακάριον τὸ μηδὲ διστάσαι· δεύτερος μακαρισμὸς ἡ μετὰ τὴν πληγὴν ἴασις. Θεῷ δὲ τῷ πλάστῃ ἐξ ἀρχῆς, καὶ συνερχομένῳ τῇ ἀσθενείᾳ, καὶ φυλάττοντι τὴν προαίρεσιν, καὶ χαριζομένῳ μετάνοιαν, διὰ τοῦ ἄγοντος ἡμῖν τὰ ἀγαθὰ, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

609 EJUSDEM HOMILIA

Adversus eos qui per calumniam dicunt dici a nobis deos tres.

1. Solatium magnum est animis qui ob concitatum in se odium afflictantur, una cum Domino odio haberi. « Si enim mundus vos odit, scitote, inquit, quod me ante vos odio habuit [34]. » Quapropter si Dilectus odio habetur, quid est magni, si nos apud homines quibus copiosa est odii supellex, odio digni habeamur? Prohibeor loqui tristium recordatione, quæ animum subit ; atque decidentes lacrymæ vocem intercipiunt, cum cogito quod dilectione et pace nobis a Domino relicta, nequaquam tamen quæramus quod relictum est. Donum est quod oculos fugit, nec in quoquam reperitur. Charitas relicta est, sed pugna manet. Data concordia est, sed odium accensum est. Magnum odii rogum inter nos accendimus. Plangimus quisque privatim, nec tamen convenit inter nos. Quis mihi dabit theatrum universum orbem terrarum, et vocem tuba validiorem, et lamentationes Jeremiæ, et la-

C ΤΟΥ ΑΥΤΟΥ ΟΜΙΛΙΑ

Πρὸς τοὺς (81) συκοφαντοῦντας ἡμᾶς, ὅτι τρεῖς θεοὺς λέγομεν.

1. Μεγάλη παράκλησις ψυχαῖς, διὰ τὸ μισεῖσθαι κεκακωμέναις (82), τὸ μετὰ Κυρίου μισεῖσθαι. « Εἰ ὁ κόσμος γὰρ ὑμᾶς μισεῖ, γινώσκετε, φησὶν, ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκε. » Διὸ εἰ ὁ Ἀγαπητὸς μισεῖται, τί μέγα, εἰ ἡμεῖς τοῦ μίσους ἀξιούμεθα παρ' ἀνθρώποις, οἷς περισσεύει τὸ κτῆμα τοῦ μίσους; Ἐπέχει μου τὸν λόγον ἡ μνήμη τῶν λυπηρῶν, ὑποτρέχουσα τὴν καρδίαν (83)· καὶ προπῖπτον τὸ δάκρυον τὴν φωνὴν ἐπικόπτει, ὅταν ἐνθυμηθῶ, ὅτι ἀγάπης καὶ εἰρήνης ἡμῖν παρὰ Κυρίου καταλειφθείσης, οὐ ζητοῦμεν τὸ καταλειφθέν. Ἀφανές ἐστι τὸ δῶρον ἐν D οὐδενὶ εὑρισκόμενον. Ἀγάπη κατελείφθη· καὶ μάχη ἐμπολιτεύεται. Ἕνωσις ἐδόθη· καὶ μῖσος ἐξήφθη. Μεγάλην κατ' ἀλλήλων τὴν πυρκαϊὰν τοῦ μίσους ἐξήψαμεν· ἕκαστος καθ' ἑαυτὸν ὀδυρόμεθα, εἰς ἀλλήλους δὲ οὐ συμβιβαζόμεθα. Τίς μοι δώσει (84) θέατρον τὴν οἰκουμένην ἅπασαν, καὶ φωνὴν σάλπιγγος εὐτονωτέραν, καὶ θρήνους Ἱερεμίου, καὶ δάκρυον δαψιλὲς κα-

[31] Galat. v, 4. [32] ibid. [33] Galat. iv, 19. [34] Joan. xv, 18.

(80) Pro ἄθεον legi debere ἄπορον putat vir doctissimus Combef.

(81) Aliter in aliis codicibus inscribitur hæc oratio : quas inscriptiones, cum sensu inter se non dissideant, notare inutile foret. Hæc oratio in modum epistolæ scripta invenitur in aliquibus mss. uti in Harl. et Clarom.

(82) Editi ψυχαῖς κεκακωμέναις. Vox ψυχαῖς in libris veteribus deest. Mox unus codex Combef. μετὰ Κυρίου ἢ διὰ Κύριον μισεῖσθαι, *una cum Domino aut propter Dominum odio haberi :* cui codici favet Reg. tertius secundis curis.

(83) Antiqui duo libri τῇ καρδίᾳ.

(84) Codex Harl. δώῃ. Nec ita multo post mss. plerique omnes ἡμῖν καταχεχυμένην. Vox ἡμῖν deest in vulgatis.

ταῤῥῆξαι καρδίαν ὀδύναις συντετριμμένην, καταχέασθαι κόνιν τὴν νῦν ἐκ τῆς ἀτιμίας ἡμῖν καταχεχυμένην, πενθῆσαί τε τὴν κοινὴν συμφορὰν, ὅτι ἐπιλέλοιπεν ἡ ἀγάπη ἡ ῥίζα τῶν ἐντολῶν; Διὰ τοῦτο ἀκορέστῳ τῇ περιπλοκῇ τοῦ πνεύματος συμπεριπτύσσομαι τοὺς παρόντας, ὅτι θέαμα ξένον ἔδειξαν εἷς ἑνὶ συγκολλώμενοι (85). Γεγενήμεθα γὰρ καθ' ἑαυτὸν ἕκαστος ὥσπερ ἡ ψάμμος, οὐ συνημμένοι ἀλλήλοις, ἀλλ' ἕκαστος καθ' ἑαυτὸν διηρτημένοι. Οὔτε γὰρ οἰκοδομὴν συστῆναι, συνδέσμων ὑφαιρεθέντων, δυνατόν· οὔτε Ἐκκλησίαν εἰς ὕψος αὐξηθῆναι, μὴ συνδεδεμένην τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ τῆς ἀγάπης.

A crymas uberes, quibus cor doloribus contritum dirumpam, pulveremque nobis nunc ignominiose aspersum perfundam, et deplorem calamitatem communem? Quippe defecit mandatorum radix charitas. Quapropter insatiabili spiritus amplexu complector astantes, quod alter alteri conglutinati, spectaculum insolitum exhibuerunt. Nam privatim unusquisque velut arena effecti sumus, non sociati inter nos, sed singuli inter nos divisi. Neque enim detractis compagibus, potest ædificium consistere: neque Ecclesia in altum crescere, pacis charitatisque vinculis non colligata.

2. Μικρὸν ἡμῖν μακροθύμως χρήσατε τὴν ἀκοὴν, οὐ πρὸς ἐπίδειξιν διαλεγομένοις, ἀλλ' εἰς κοινωνίαν τῶν λυπηρῶν συμπεριλαμβάνειν ἐπειγομένοις· φέρει γὰρ παραμυθίαν ὀδυρομένοις (86) ἡ κοινωνία τῶν στεναγμῶν. Τάχα δὲ καὶ πρὸς Κύριον ἑνωθεῖσα ἡμῶν ἡ λύπη εὐτονώτερον ἂν διαβαίη. Ἢ ἕκαστος ἡμῶν καθ' ἑαυτὸν εἰσακουσθήσεται διὰ τὴν ἐκ τῶν ἔργων ἀτονίαν; Αὐτὸ τὸ (87) ὁρώμενον τῆς παλαιᾶς ἀγάπης τῶν πατέρων ἐστὶ λείψανον. Τούτου γὰρ ἕνεκα ἐκεῖνοι τὰς πανηγύρεις ταύτας ἐμηχανήσαντο, ἵνα τὴν ἐκ τῶν χρόνων ἐγγινομένην ἀλλοτρίωσιν διὰ τῆς τῶν καιρῶν ἐπιμιξίας ἀνανεοῦσθαι (88)· καὶ τοὺς τὴν ὑπερορίαν οἰκοῦντας, ἕνα τοῦτον καταλαβόντας τόπον, ἑαυτοῖς ἀρχὴν φιλίας καὶ ἀγάπης τὴν συντυχίαν παρέχειν. Τοῦτο πνευματικὴ πανήγυρις τὰ ἀρχαῖα ἀνανεουμένη· τοῖς μέλλουσιν ἀρχὴν παρεχομένη. Οὐ γὰρ ἤλθομεν ὠνίων ποιήσασθαι διάμειψιν, ἀλλ' ἀγάπης ἀλλήλοις δοῦναι ἀντάλλαγμα, πλήρη δοῦναι, καὶ πλήρη λαβεῖν τὴν ἀγάπην. Ταῦτα οἱ πατέρες ἡμῶν κατεστήσαντο. Ἡμεῖς δὲ παραλαβόντες εἰς τί κατελήξαμεν δείξει τὰ ὁρώμενα. Οἱ πλεῖστοι τῶν παρόντων κατάσκοποι μᾶλλόν εἰσι κατάσκοποι τῶν λεγομένων ἢ μαθηταὶ τῶν διδαγμάτων (89). Καὶ λόγος ἐπιζητεῖται οὐ πρὸς οἰκοδομὴν τῶν παρόντων, ἀλλὰ πρὸς ἐπήρειαν τῶν ἐφεδρευόντων. Κἂν μέν τι λεχθῇ συμβαῖνον ταῖς ἐπιθυμίαις τῶν ἐξοστρακιζόντων τὴν γνώμην, ἀπῆλθε καταδεξάμενος ὡς τὸ ἴδιον εὑρὼν παρ' ἡμῖν. Ταῦτα ἐγγραφέσθω ταῖς ὑμετέραις καρδίαις. Μαρτυρήσατε (90) τῇ ἀληθείᾳ καὶ ἡμῖν πρὸς τοὺς ἐπιτρυλλοῦντας τὰ τοιαῦτα, ὅτι ἄρα ἡμεῖς τὴν παλαιὰν δωρεὰν ἀνενεωσάμεθα.

2. Aures paulisper nobis patienti animo commodate, non ad ostentationem dicturis, sed ad id B impulsuris, ut vos in tristium societatem adjungamus; nam societas gemituum affert solatium lugentibus. Fortasse autem et tristitia nostra adunata, vehementius ad Dominum transibit. Num quisque nostrum ob languidam agendi rationem privatim exaudietur? Quod conspicimus, id antiquæ illius Patrum charitatis reliquiæ sunt. Nam illi eam ob causam publicos hos conventus adinvenere, ut certis anni temporibus convenientes, inductam temporum processu alienationem renovarent, iique qui dissiti sunt, si ad unum hunc locum accederent, sibi amicitiæ atque dilectionis initium congressum facerent. Hic est spiritualis conventus, quo vetera renovantur, futuris initium C præbetur. Non enim venimus rerum venalium facturi permutationem, sed **610** charitatis commutationem mutuam exhibituri, daturi charitatem plenam, plenamque recepturi. Hæc sunt a patribus nostris constituta. Nos autem qui ea velut per manus tradita accepimus, in quem statum degeneraverimus, spectaculum præsens ostendet. Plurimi eorum qui adsunt, magis sunt exploratores eorum quæ dicenda sunt, quam discipuli eorum quæ docentur. Atque exquiritur concio, non ut astantes ædificentur, sed ut insidiatores locum habeant calumniandi. Quod si forte dictum est quidpiam, quod conveniat cupiditatibus eorum qui sententiam explodunt, abiit qui audivit, tanquam si id quod suum est, apud nos reperisset. Hæc cordibus vestris inscribantur. Reddite testimonium veritati et nobis, adversus eos qui talia divulgant, videlicet quod nos donum vetus instauravimus.

3. Ταῦτα γὰρ μὴ φοβουμένων τὸν Κύριον τὰ ῥήματα, ἀνοιγόντων καθ' ἡμῶν στόμα (91), ὡς ἡμῶν τρεῖς θεοὺς καταγγελλόντων. Ὁ τρεῖς θεοὺς κηρύττων

D 3. Hæc enim sunt non timentium Dominum verba, sed aperientium contra nos os, quasi nos deos tres enuntiemus. Deos tres qui prædicat, quid quærit in

(85) Ita libri veteres. Editi εἰς ἓν συγκ. Mox duo mss. συνημμένοι πρὸς ἀλλήλους.

(86) Unus codex Combef. et Harl. ὠδυνομένοις.

(87) Editi διαβαίη ἑκάστου ἡμῶν καθ' ἑαυτὸν, εἰσακούεσθαι διὰ τὴν ἐκ τῶν ἔργων εὐτονίαν, μὴ δυναμένων ἀλλήλοις ἐνοῦσθαι. Αὐτὸ τό. Codex Harl. cum Combef. ut in contextu. Mox mss. ἐστὶ λείψανον. Editi vero ἔτι λείψανον.

(88) Veteres aliquot libri et editi ἀνανεώσωσι .. παρέχοιεν. Codex Harl. ἀνανεοῦσθαι... παρέχειν. Quod si quispiam malit ἀνανεώσωσι... παρέχοιεν, legat oportet οἰκοῦντες... καταλαβόντες, ex grammaticorum præceptis.

(89) Sic mss. nostri. Editi vero τῶν δογμάτων.

(90) Codices nonnulli Μαρτυρήσατε. Alii duo mss. Μάρτυρες ἔσεσθε, *testes eritis*. Editi Μαρτυρήσασθε. Statim editi πρὸς τοὺς ἐμὲ θρυλλοῦντας. At mss. aliquot πρὸς τοὺς ἐπιθρυλλοῦντας.

(91) Codex Harl. Ταῦτα γὰρ στόματα μὴ φοβουμένων τὸν Κύριον ἀνοίγεται καθ' ἡμῶν. Mox mss. Ἐκκλησίᾳ Κυρίου. Editi Ἐκκλησίᾳ Χριστοῦ.

ecclesia Domini? Alibi deorum multitudo, alibi religiosus Dei cultus. Qui tres dicit, audeat etiam dicere quatuor, numerum ad duodecim usque extendat. Quæ est igitur insania eorum qui exacutam linguam habent contra veritatem? Non sum pusillo animo ad reprehendendum, sed exspecto judicium Christi. Illic mihi ex adverso sistentur, qui hanc calumniam consuunt: « Novit Dominus qui sint sui [35]; » et, « Qui calumniatur pauperem, irritat eum qui fecit illum [36]. » Si fidem Patrum trado, cur missis Patribus me bello petis? Si credo in Patrem, si confiteor Filium, si non reprobo Spiritum. Trinitatem qui confitetur, si deos tres nominet, abrogat baptisma, et fidem impugnat. Quorsum mea persona supposita, Dominum bello impetis? Quis reliquit, ut baptizemus in nomen Patris et Filii et Spiritus sancti [37]? ego, an Dominus? Cujus sunt verba? præconis, an illius qui misit? Cur, quia personam meam calumniis facile obnoxiam reperis, ob me impugnas veritatem? ob me concutis fidei munimentum? Ego quidem expugnari facile possum: sed fides perstat inconcussa. « Unus Dominus [38], » disce ex verbis Pauli, non duo, aut tres. Etsi Filium Dominum nominavero, non in duos dominos, non in deos multos divisi dominationem. Dominus Pater, Dominus Filius: « Una fides [39], » cum Dominus unus sit. Unum uni comes est: uni Domino, una fides, uni fidei, « Unum baptisma [40]. » Sic unum ex uno per unum confirmatur. Sed si non dejicio Spiritum, neque eum in servili ordine colloco, propterea calumniam illam suscipio. Cave dicas quæ non dico, et videamus calumniæ tuæ verisimilitudinem. Quid occultas tuam ipsius calumniam? Mentiris, vir exsecrande, cum **611** ais deos tres a nobis prædicari, nec aperte dicis nos ipsos esse, qui eos qui Spiritum sanctum creaturam dicunt, anathemate ferimus. Hanc accusationem admitto. Eam ob causam ignem subibo et gladium exacutum. Sive rota collidat, sive tormenta in me moveantur, eadem animi persuasione perferam tormenta, qua martyres hic jacentes coronas consecuti sunt. Itaque hoc me nomine accusa, quod non inter creaturas numero Spiritum sanctum. Quod si quid amplius dixeris, reddes rationem Judici. Modo legebatur, « Cum venerit Paracletus [41]; » tu vero inde

A τί ζητεῖ ἐν Ἐκκλησίᾳ Κυρίου; Ἀλλαχοῦ πολυθεΐα· καὶ ἀλλαχοῦ θεοσέβεια. Ὁ τρεῖς λέγων κατατολμάτω καὶ τεσσάρων· ἐκτεινάτω τὸν ἀριθμὸν εἰς δώδεκα (92). Τίς οὖν ἡ μανία τῶν ἠκονημένην γλῶσσαν ἐχόντων κατὰ τῆς ἀληθείας; Οὐ μικροψυχῶ πρὸς τὸν ἔλεγχον, ἀλλ' ἐκδέχομαι τὸ τοῦ Χριστοῦ δικαστήριον. Ἐκεῖ ἀντικαταστήσονταί μοι οἱ τὴν ἐπήρειαν ταύτην ῥάπτοντες· « Οἶδε Κύριος τοὺς ὄντας αὐτοῦ· » καί, « Ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν. » Εἰ μεταδίδωμι τὴν πίστιν τῶν Πατέρων (93), τί, παρεὶς τοὺς Πατέρας, ἐμοὶ πολεμεῖς; Εἰ πιστεύω εἰς Πατέρα, εἰ ὁμολογῶ τὸν Υἱόν, εἰ μὴ ἀθετῶ τὸ Πνεῦμα. Εἰ ὁ Τριάδα ὁμολογῶν τρεῖς ὀνομάζει θεούς, ἀθετεῖ τὸ βάπτισμα, καὶ πολεμεῖ τῇ πίστει. Τί, τὸ ἐμὸν πρόσωπον ὑποθέμενος, πολεμεῖς τῷ Κυρίῳ; Τίς
B κατέλειπε βαπτίζειν εἰς ὄνομα Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος; ἐγώ, ἢ Δεσπότης; Τίνος τὰ ῥήματα; κήρυκος, ἢ τοῦ ἀποστείλαντος; Τί, τὸ ἐμὸν πρόσωπον εὐεπίβατον ταῖς συκοφαντίαις εὑρών, δι' ἐμοῦ πολεμεῖς τῇ ἀληθείᾳ; δι' ἐμοῦ κατασείεις τὸ ὀχύρωμα τῆς πίστεως; Ἐγὼ μέν σοι εὐάλωτος· ἡ δὲ πίστις ἀσειστος. « Εἷς Κύριος (94), » μάνθανε τοῦ Παύλου λέγοντος, μὴ δύο, ἢ τρεῖς. Κἂν ὀνομάσω Κύριον τὸν Υἱόν, οὐχ εἰς δύο κυρίους, οὐχ εἰς πολλοὺς θεοὺς διεῖλον τὴν κυριότητα. Κύριος ὁ Πατήρ, Κύριος ὁ Υἱός· « Μία πίστις, » ἐπειδὴ εἷς Κύριος. Ἓν ἑνὶ ἀκολουθεῖ· ἑνὶ Κυρίῳ μία πίστις, μιᾷ πίστει « ἓν βάπτισμα. » Οὕτως ἓν ἐξ ἑνὸς δι' ἑνὸς βεβαιοῦται. Εἰ δὲ οὐκ ἀθετῶ τὸ Πνεῦμα, οὐδὲ ἐν τῇ δουλικῇ αὐτὸ
C τίθημι τάξει, διὰ τοῦτο τὴν συκοφαντίαν ἐκείνην ἐκδέχομαι. Μὴ λέγε ἃ μὴ λέγω, καὶ ἴδωμέν σου τῆς συκοφαντίας τὸ πιθανόν. Τί ὑποκρύπτεις σεαυτοῦ τὴν ἐπήρειαν; Ψεύδη, κατηραμένε (95), λέγων παρ' ἡμῖν τρεῖς θεοὺς καταγγέλλεσθαι, καὶ οὐ λέγεις ἐκ τοῦ προφανοῦς, ὅτι ἡμεῖς ἐσμεν οἱ τοὺς κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον λέγοντας ἀναθεματίζοντες. Ταύτην τὴν κατηγορίαν δέχομαι. Ἐπὶ τούτῳ πῦρ καὶ ξίφος ἠκονημένον ὑφίσταμαι. Κἂν ὁ τροχὸς καταῤῥάσσῃ, κἂν βασανιστήρια ἐπ' ἐμὲ κινῆται, ἐν τῇ αὐτῇ πληροφορίᾳ δέχομαι τὰ βασανιστήρια, ἐν ᾗ καὶ οἱ μάρτυρες οἱ ἐνταῦθα κείμενοι τῶν στεφάνων ἠξιώθησαν. Τοῦτο τοίνυν ἐγκάλει μοι, ὅτι μὴ ἐν τοῖς κτίσμασι συναριθμῶ τὸ Πνεῦμα τὸ ἅγιον. Κἂν δέ τι περισσὸν λέγοις, τῷ κριτῇ λόγον δώσεις. « Ὅταν ἔλθῃ (96) ὁ Παράκλητος, » νῦν ἀνεγινώσκετο· σὺ δὲ ταῖς συκοφαν-

[35] II Tim. II, 19. [36] Prov. XIV, 31. [37] Matth. XXVIII, 19. [38] Ephes. IV, 5. [39] ibid. [40] ibid. [41] Joan. XV, 26.

(92) Unus codex Combef. εἰς δωδεκάθεον. Ibidem libri Combefisiani ἄθεον καὶ ἐγγὺς τῆς δαιμονικῆς πλάνης τὸ πολύθεον.

(93) Editi εἰς τὴν τῶν Πατέρων πίστιν μεταδιώκω, τί. Codex Combef. cum Harl. ut in contextu, Reg. tertius εἰ τήν, etc.

(94) Illud, εἷς Κύριος, addidimus ex libris antiquis. Mox editi Κύριον, οὐκ εἰς δύο... θεούς. Κύριος. At Colb. primus cum alio codice ita, ut edidimus. Hoc ipso in loco codices Combefisiani ὁ Υἱός. Κυριότης μία, ἀρχὴ γὰρ μία· εἷς Κύριος, μία πίστις. Ita in Reg. tertio legere pergimus, Διὰ τοῦτο μία πίστις, ἐπειδὴ εἷς Κύριος. Ἓν ἑνὶ ἀκολουθεῖ· ἓν ἑνὶ
D Κυρίῳ· μία πίστις, ἓν βάπτισμα. Οὕτως. *Dominatio una, principium enim unum. Unus Dominus, una fides. Ob id una fides, quod unus Dominus. Unum uni abest : unum uni Domino, una fides, unum baptisma :* in quibus omnibus, ut verum fatear, peregrinitatis aliquid olfacere mihi videor. Illud, μιᾷ πίστει, ex uno codice Combefisiano additum est.

(95) Editi ψευδῆ κατηραμένα. Codices Combefisiani ψεύδη, κατηραμένε. Aliquanto post editi οἱ τὸ κτίσμα. At mss. οἱ τοὺς κτίσμα.

(96) Illud, Ὅταν ἔλθῃ, etc., restituimus ex Combefisianis libris. Reg. secundus νῦν ἀναγινωσκέτω ὁ Παράκλητος.

τίαις ἀφορμὴν εἰς ἐπήρειαν τέθεικας. Παράκλητος, φησὶν, ὁ περὶ σοῦ παρακαλῶν. Δι' ὧν εὐεργετεῖ, διὰ τούτων ἀγνωμονεῖς. Οὐ δέχῃ τοίνυν τοῦ Παρακλήτου τὴν εὐεργεσίαν. Ἢ οὐχὶ ὁ Κύριος ἑαυτῷ ταύτην τὴν προσηγορίαν πρέπειν ἐνομοθέτησε; « Πέμψω ὑμῖν καὶ ἄλλον Παράκλητον. » Ὁ καὶ ἄλλον εἰπὼν οὐχ ἑαυτὸν ἔδειξε πρὸ τοῦ ἄλλου; Εἰ ἀπ' ἐμαυτοῦ (97) λαλῶ, μὴ ἀκούετέ μου· εἰ τὰ γεγραμμένα ἀναγινώσκω, ὑπόκυψον τῇ ἀληθείᾳ. Ὁ τέλειος οὔτε μειοῦται, οὔτε αὔξεται. Εἷς ἀγέννητος ὁ Θεός· εἷς ὁ τούτου μονογενὴς ὁ Υἱὸς καὶ Θεός. Ὥσπερ οὐκ ἔνι (98) συναγέννητος Θεὸς ἕτερος, οὕτως οὐδὲ συγγεγεννημένος Υἱὸς ἕτερος· Ὥσπερ οὐ λόγῳ ὁ Πατὴρ, οὕτως οὐδὲ λόγῳ ὁ Υἱός. Θεὸς ὁ Πατὴρ, Θεὸς ὁ Υἱός· Θεὸς τέλειος (99) ὁ Πατήρ· Θεὸς τέλειος καὶ ὁ Υἱός. Ἀσώματος ὁ Πατήρ· ἀσώματος ὁ Υἱὸς, ἀσωμάτου χαρακτὴρ, καὶ εἰκὼν ἀσώματος. Πιστεύεις, ὅτι γεγέννηται; Μὴ ζήτει, Πῶς; Εἰ γὰρ ἐνδέχεται ζητεῖν, ὁ ἀγέννητος πῶς ἀγέννητος, ἐνδέχεται ζητεῖν, καὶ ὁ γεγεννημένος πῶς γεγέννηται· εἰ δὲ οὐ καταλείπει ζήτησιν ὁ ἀγέννητος, πῶς ἀγέννητος (1)· οὕτως οὐδὲ ὁ γεγεννημένος καταλείπει ζητεῖν, πῶς γεγέννηται. Μὴ ζήτει τὰ ἀνεύρετα· οὐ γὰρ εὑρήσεις. Ἐὰν γὰρ ζητῇς, παρὰ τίνος ἔχεις μαθεῖν; Παρὰ γῆς; Οὐχ ὑφεστήκει. Παρὰ θαλάττης; Οὐκ ἦν ὑγρά. Παρ' οὐρανοῦ; Οὐκ ἦν ἐπαρθείς. Παρ' ἡλίου καὶ σελήνης καὶ ἄστρων (2); Οὐ δεδημιούργηντο. Ἀλλὰ παρ' αἰώνων; Πρὸ αἰώνων ὁ Μονογενής. Μὴ ἐξέταζε τὰ μὴ ἀεὶ ὄντα ὑπὲρ τοῦ ἀεὶ ὄντος. Εἰ δὲ μὴ θέλεις, ἀλλὰ φιλονεικεῖς, καταγελῶ σου τῆς ἀνοίας, μᾶλλον δὲ κλαίω σου τὴν τόλμαν.

A occasionem arripuisti calumniandi, injuriam ut inferas. Paracletus, inquit, qui pro te rogat. Per quæ te afficit beneficio, per ea animum ingratum ostendis. Non igitur suscipis Paracleti beneficentiam. An non Dominus hanc sibi appellationem congruere sanxit? « Mittam vobis et alium Paracletum [42]. » Qui cum et alium dixit, nonne seipsum ante alium ostendit? Si ex me ipso loquor, ne audite me; sin autem quæ scripta sunt pronuntio, subjice te veritati. Perfectus neque minuitur, neque augetur. Unus ingenitus Deus: unus unigenitus ejus Filius ac Deus. Sicut non est Deus alter, qui quoque una cum ipso sit ingenitus: ita neque est Filius alter, qui quoque una cum ipso sit genitus. Quemadmodum non est voce tenus Pater, B sic neque est voce tenus Filius. Deus Pater, Deus Filius: Deus perfectus Pater; Deus perfectus Filius. Incorporeus Pater, incorporeus Filius, incorporei character, et imago incorporea. Credis genitum esse? Cave quæras, Quomodo? Si enim licet quærere quomodo ingenitus sit ingenitus, licet et quærere quomodo genitus sit genitus: sin ingenitus quæstionem hanc non relinquit, quomodo scilicet sit ingenitus: ita neque genitus relinquit locum quærendi quomodo genitus sit. Cave quæras quæ investigari non possunt, non enim invenies. Etenim si quæras, a quo discere potes? A terra? Non exsistebat. A mari? Non erat liquidum. A cœlo? Non erat surrectum. A sole et luna et astris? Non erant condita. A sæculis? Ante sæcula Unigenitus. Ne interroga ea quæ non semper sunt, de eo qui semper est. Quod si nolis, sed contendas, derideo tuam amentiam: imo potius deploro tuam audaciam.

4. « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. » Τὸ, « ἦν, » περιγράφει τὸ, « οὐκ ἦν· » καὶ τὸ « Θεὸς, » περιγράφει τὸ, « οὐ Θεός. » Τοῖς γεγραμμένοις πίστευε, τὰ μὴ γεγραμμένα μὴ ζήτει. Οὗτος ὁ Λόγος, ὁ Υἱὸς τοῦ Θεοῦ, ἄνθρωπος ἐγένετο διὰ τὸν ἐκπεσόντα ἄνθρωπον Ἀδάμ. Διὰ τὸν Ἀδὰμ ὁ ἀσώματος ἐν σώματι. Διὰ τὸ σῶμα ἔλαβε νέφος τὸ σῶμα ὁ Λόγος, ἵνα μὴ καταφλέξῃ τὰ ὁρώμενα. Συγκατέβη σαρκὶ, ἵνα καὶ ἡ σὰρξ ἐκείνῳ συνεπαρθῇ. Ὁ ἀόρατος ἐν ὁρατῷ, ἵν' ὑποδύῃ τὰ ὁρώμενα. Ὡς ἄνθρωπος, ὑπὸ χρόνον· ὡς Θεὸς, πρὸ χρόνων. Τὸ, « ὡς, » οὐχ ὁμοιώσει, ἀλλ' ἀληθείᾳ κατ' ἀμφότερα Θεὸς καὶ ἄνθρωπος. Θεὸς ἦν, ἄνθρωπος (3) ἐγένετο κατ' οἰκονομίαν. Οὐ πρότερον τὸ, « ἐγένετο, » καὶ τότε τὸ, « ἦν· » ἀλλὰ πρότερον τὸ, « ἦν, » καὶ

C 4. « In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum [43]. » Illud, « Erat, » explodit vocem, « Non erat, » et vox, « Deus, » explodit vocem, « Non Deus. » Crede iis quæ scripta sunt: quæ non sunt scripta, ne investiga. Hoc Verbum, Filius Dei, homo factum est ob lapsum hominem Adamum. Propter Adamum incorporeus in corpore. Propter corpus Verbum nubem assumpsit, corpus videlicet, ut ne res visibiles combureret. Demisit se ad carnem, ut et caro una cum illo erigeretur. Invisibilis in visibili, ut visibilia subiret. Velut homo, sub tempus; velut Deus, ante tempora. Illud, « velut, » **612** non similitudine, sed veritate; utrumque Deus et homo. Deus erat, homo factus est per Incarnationem. Non prius

[42] Joan. XIV, 16; XVI, 7. [43] Joan. I, 1.

(97) Editi ἀπ' ἐμοῦ. Libri veteres ut in contextu. Mox editi γεγραμμένα ἀναμιμνήσκω. At mss. non pauci ἀναγινώσκω.

(98) Veteres aliquot libri ἔνι. Editi ἐνί, *uni*. Haud longe editi οὕτως οὐδὲ συναγέννητος, pessime. Codices Combefisiani et Clarom., οὐδὲ συγγεγεννημένος, optime.

(99) Unus codex Combef., et Clarom., et Reg. tertius Θεὸς ὁ Υἱός· Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον. Alii quidam mss. et editi ita, ut in contextu legi potest.

(1) Editi εἰ δὲ οὐ καταλείπεις ζήτησιν πῶς ἀγέν- D νητος, οὐ γεγέννηται. Οὕτως. At Reg. tertius et Clarom. ut in contextu.

(2) Veteres aliquot libri σελήνης καὶ ἄστρων. Illud, καὶ ἄστρων, deest in vulgatis. Addidimus quoque non longe vocem ἀεί, codicum quorumdam fidem secuti. Nec ita multo post Reg. tertius et Clarom. σοῦ τῆς διανοίας. Illud, τῆς ἀνοίας, in editis desiderabatur.

(3) Ita veteres aliquot libri. Editi ἄνθρωπος· ἄνθρωπος. Mox mss. nonnulli κατ' οἰκονομίαν. Alii quidam mss. et editi δι' οἰκονομίαν.

« factus est, » et tunc « erat : » sed prius « erat, » et tunc « factus est. » Ne igitur carnis dispensatio tollat Unigeniti deitatem. Hæc enim sunt hæreticorum effugia, et Manichæorum deliramenta. « Nam fundamentum aliud nemo potest ponere præter hoc quod positum est, qui est Jesus Christus [44]. » Genitus est per mulierem, ut genitos regeneraret. Crucifixus est sponte, ut eos qui inviti crucifixi erant, detraheret. Mortuus est sponte, ut eos qui præter voluntatem mortui erant, exsuscitaret. Mortem quam non suscipiebat, suscepit, ut eos qui sub morte erant vivificaret. Devoravit ipsum mors insciens : ubi devoravit, cognovit devoratum. Devoravit vitam, a vita devorata est. Devoravit unum cum omnibus, amisit propter unum omnes. Rapuit ut leo, contracti sunt dentes ipsius. Quapropter etiam velut debilis contemnitur. Nec enim amplius eam ut leonem timemus, sed velut pellem conculcamus. Unigeniti ex Patre generatio silentio colatur. Novit enim ipse qui genitus est, et qui genuit. Nosse enim debemus quæ loqui oporteat, et quæ oporteat silere. Non omnia verba queunt a lingua proferri, ut ne mens velut oculus solem totum intueri volens, etiam quod lumen habebat perdat. Nam in hoc cognoscis, si noveris te non comprehendisse. Itaque generationem illam quæ arcana est et inenarrabilis, silentio colamus. Quod si etiam huic concipiendæ impares sumus, ne afficiamur tristitia. Nam illa formidanda est ob naturam : hæc vero inexplicabilis ob rei novitatem. Joannes vox quidem dicebatur clamantis in deserto : sed homo erat natura. Cave igitur tollas ob Verbi nomen Unigeniti hypostasim. Sed forte dixeris : Cur igitur honoratior est qui a dextris sedet? Verum si per seipsum honorem haberet, foret honoratior : sin autem a Genitore accepit, est ejus qui dedit beneficium. Non erat alius Filius, ut a sinistris sederet. Unus ingenitus Deus, unus quoque Unigenitus illius, Filius et Deus. Decebat igitur Filium Patri dextram non cedere, sed Patrem Filio. Nimirum naturæ quæ a nostra separatur, separato etiam notionem. Nam apud nos pater ex alio patre est, et tempore indiget, et alimento, et incremento, et alia cura, nec quod vult pater, hoc generat. Deus vero potestatem habens cum voluntate concurrentem, genuit dignum seipso, genuit uti ipse novit : cui gloria et imperium in sæcula sæculorum. Amen.

τότε τὸ, « ἐγένετο. » Μὴ οὖν ἀναιρείτω τὸ δι' οἰκονομίαν τοῦ Μονογενοῦς τὴν θεότητα. Ταῦτα γὰρ αἱρετικῶν ἐκκλίσεις (4), καὶ Μανιχαίων μανίαι. « Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. » Ἐγεννήθη διὰ γυναικὸς, ἵνα τοὺς γεννηθέντας ἀναγεννήσῃ. Ἐσταυρώθη ἑκὼν, ἵνα τοὺς (5) μὴ σταυρωθέντας ἑκοντὶ καθέλῃ. Ἀπέθανεν ἑκὼν, ἵνα τοὺς ἀκουσίως ἀποθανόντας ἐγείρῃ. Ἐπεδέξατο ὃν οὐκ ἐπεδέχετο θάνατον, ἵνα τοὺς ὑπὸ θανάτου ζωοποιήσῃ. Κατέπιεν ὁ θάνατος ἀγνοῶν· καταπιὼν ἔγνω ὃν κατέπιεν. Κατέπιε ζωὴν, κατεπόθη ὑπὸ ζωῆς. Κατέπιε τὸν ἕνα μετὰ πάντων, ἀπώλεσε διὰ τὸν ἕνα τοὺς πάντας. Ἥρπασεν ὡς λέων, συνεθλάσθη τοὺς ὀδόντας. Διὰ τοῦτο καὶ ὡς ἀσθενὴς καταφρονεῖται. Οὐκέτι γὰρ ὡς λέοντα φοβούμεθα, ἀλλ' ὡς δορὰν (6) πατοῦμεν. Ἡ τοῦ Μονογενοῦς ἐκ Πατρὸς γέννησις σιωπῇ τιμάσθω. Οἶδε γὰρ αὐτὸς ὁ γεγεννηκὼς, καὶ ὁ γεγεννημένος. Εἰδέναι γὰρ ὀφείλομεν ἃ χρὴ λαλεῖν, καὶ ἃ χρὴ σιωπᾷν. Οὐ πάντα ῥητὰ τῇ γλώττῃ, ἵνα μὴ ὁ νοῦς, καθάπερ ὀφθαλμὸς ὅλον τὸν ἥλιον θέλων ὁρᾷν, ἀπολέσῃ καὶ ὃ ἔσχε φῶς. Ἐν γὰρ τούτῳ (7) γινώσκεις, ἐὰν γνῷς, ὅτι μὴ κατείληφας. Ἐκείνην μὲν οὖν τὴν γέννησιν, ἄῤῥητον οὖσαν, σιωπῇ τιμήσωμεν. Ἐὰν δὲ καὶ περὶ ταύτην ἀτονήσωμεν, μὴ λυπηθῶμεν. Ἐκείνη μὲν γὰρ φοβερὰ διὰ τὴν φύσιν, αὕτη δὲ δυσερμήνευτος διὰ τὸ ξένον. Ὁ Ἰωάννης φωνὴ μὲν ἐλέγετο βοῶντος ἐν τῇ ἐρήμῳ, ἄνθρωπος δὲ ἦν τὴν φύσιν. Μὴ οὖν ἀναίρει (7*) διὰ τὸ ὄνομα τοῦ Λόγου τὴν τοῦ Μονογενοῦς ὑπόστασιν. Ἀλλ' ἴσως φῇς· Διὰ τί οὖν ἐκ δεξιῶν καθήμενος ἐντιμότερός ἐστιν; Ἀλλ' εἰ μὲν δι' ἑαυτοῦ τὴν τιμὴν εἶχεν, ἐντιμότερος· εἰ δὲ λαβὼν παρὰ τοῦ γεννήσαντος, τοῦ δεδωκότος ἡ χάρις. Οὐκ ἦν ἄλλος Υἱὸς, ἵνα ἐξ (8) ἀριστερῶν καθίσῃ. Εἷς ἀγέννητος ὁ Θεὸς, εἷς καὶ ὁ τούτου Μονογενὴς, Υἱὸς καὶ Θεός. Ἔπρεπεν οὖν μὴ τὸν Υἱὸν ὀρέγειν τῷ Πατρὶ τὴν δεξιὰν, ἀλλὰ τὸν Πατέρα τῷ Υἱῷ. Δηλαδὴ ἀφωρισμένης τῆς παρ' ἡμῖν (8*) φύσεως, ἀφόρισον καὶ τὰ νοήματα. Ὁ μὲν γὰρ παρ' ἡμῖ πατὴρ ἐξ ἄλλου πατρὸς, καὶ χρόνων δεῖται, καὶ ἀνατροφῆς, καὶ αὐξήσεως, καὶ ἄλλης ἐπιμελείας, καὶ οὐχ ὅπερ βούλεται πατὴρ γεννᾷ· ὁ δὲ Θεὸς, σύνδρομον ἔχων τῇ βουλήσει τὴν δύναμιν, ἐγέννησεν ἄξιον ἑαυτοῦ, ἐγέννησεν ὡς αὐτὸς οἶδεν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

613 SERMO DE LIBERO ARBITRIO.

Quibus inest divina lex, etc.

ΛΟΓΟΣ ΠΕΡΙ ΤΟΥ ΑΥΤΕΞΟΥΣΙΟΥ.

Οἷς ἐνυπάρχει ὁ θεῖος νόμος, κ. τ. λ.

Est inter homilias Macarii Ægyptii ordine vicesima quinta. Vide ad annum 393. Edit.

[44] I Cor. III, 11.

(4) Editi αἱρετικῶν ἐστι κτήματα, nullo sensu. At unus codex Combef. et Clarom. cum Reg. uno ut in contextu.

(5) Editi ἵνα μὴ τούς. Veteres aliquot libri ἵνα τοὺς μή.

(6) Editi ὡς δράκοντα, *velut draconem*. At mss. ὡς δορὰν, *velut pellem*.

(7) Sic libri quidam veteres. Editi τοῦτο.

(7*) Editi ἀναιρῇ. At mss. ἀναίρει.

(8) Editi ἵνα μὴ ἐξ. Vocula μὴ deest in libris antiquis.

(8*) Editi τῆς φύσεως πρὸς ἡμᾶς. Reg. tertius et Harl. τῆς πρὸς ὑμᾶς φύσεως. Codices Combefisiani τῆς παρ' ἡμῖν φύσεως. Aliquanto post editi οὐχ ὥσπερ βούλεται. Codices Combefisiani οὐχ ὅπερ βούλεται. Multas quidem variantes lectiones notavi : sed non omnes. Alias enim non paucas omisi, quod veteres libros viderem aut corruptos, aut ita inter se dissidentes, ut si tantam variantium lectionum copiam notare voluissem, rem ingratam simul et inutilem fecissem.

MONITUM.

614-617 Duas quæ sequuntur homilias jam olim edidere doctissimi viri Franciscus Combefisius et Joannes Baptista Cotelerius, ille Latine duntaxat, hic Græce et Latine, in *Monument. Eccl. Græc.* t. I, p. 23-40. Quanquam autem hæc opuscula pro spuriis habeamus, ea tamen rursus hoc loco edenda esse censuimus. Græca Latinaque et notas mutuati sumus a Cotelerio. Plura qui cupit, legat Præfationem, in qua de his oratiunculis disputatur.

—

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ (9)

Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας.

Εἰς τό· *Μὴ δῷς ὕπνον σοῖς ὀφθαλμοῖς, μηδὲ ἐπινυστάξῃς σοῖς βλεφάροις.*

A Οὐ λυπεῖ με ἐλάττωσις τῶν συνελθόντων ἐπὶ τὴν πνευματικὴν ταύτην πανήγυριν. Ὁρῶ γὰρ, ὅτι τὸ θορυβοῦν ἠλαττώθη, τὸ δὲ φιλήκοον πάρεστι. Καὶ γὰρ οὐδὲν (10) δέομαι τῶν ἔξω περιηχούντων τὸν τύπον (11)· ἀλλ' ἐπιζητῶ ψυχὰς φιληκόους, εὐσχημόνως περιεστώσας τὸ πνευματικὸν ἀκροατήριον, καὶ δεχομένας ἐν κόσμῳ τὰς ὑπομνήσεις τοῦ Πνεύματος, καὶ φυλασσούσας τῇ μνήμῃ τὰ σωτήρια διδάγματα· ἅπερ εὔχομαι ὑπάρξαι τοῖς παροῦσιν. B Ἐπεὶ καὶ ποιμένι ἀσφαλεστέρα ἡ ἐνέργεια ἐν ὀλίγῳ ἢ τῷ πλήθει τῶν ποιμνίων, καὶ κυβερνήτῃ εὐεπιχείρητος ναῦς, ἄλλως τε κἂν κλύδων ᾖ πανταχόθεν ὁ περικλύζων τὴν γῆν, καὶ χαλεπὴν ποιῶν κυβέρνησιν τῷ ἐπιτεταμένῳ. Ἕνεκα μὲν γὰρ τῆς ἀγάπης τῆς περὶ ἕκαστον, πάντας ἀνθρώπους ἐβουλόμην παρεῖναι· ἀλλ' ἐπειδὴ τῷ πλήθει συμπαρέσπαρται καὶ τὸ νόθον, εὔχομαι τὸ καθαρὸν φυλοκρινηθὲν ἀκριβῶς (12) κεχωρισμένον τοῦ βλαβεροῦ μόνον συνεῖ-

SANCTI PATRIS NOSTRI

BASILII MAGNI

Cæsareæ Cappadociæ archiepiscopi,

In illud : *Ne dederis somnum oculis tuis, neque indormites valpebris tuis* [45].

Non me dolore afficit eorum qui ad spiritalem hanc celebritatem convenerunt paucitas. Cerno enim imminutum esse quod tumultum concitare solet, adesse vero eos qui audiendi studio tenentur. Nullatenus enim iis opus habeo qui extra murmure perstrepunt : sed animas requiro auditionis cupidas, decenter circumstantes spiritale auditorium, quæque rite suscipiant commonitiones Spiritus, et memoria conservent documenta salutaria : quas res inesse iis qui adsunt exopto. Cum et pastori tutior sit operatio in paucitate, quam in multitudine gregum, et gubernatori ductu facilis sit una navis, licet etiam fluctus insurgant, undique terram alluentes, ac difficilem sua vehementia reddentes gubernationem. Propter charitatem quidem erga singulos, vellem cunctos adesse homines : sed quia cum multitudine insertum est quod est spurium, oro ut quod purum est, accurate discre-

[45] Prov. vi, 4.

(9) *Βασιλείου.* Homilia non indigna S. Basilio. Citatur autem ex sensu magis quam ex verbis in Catena ad Proverbia, vers. 4 et 5 cap. vi. Basil. *Per dormitationem, ignaviam, et ad saniora consilia capessenda tarditatem; per mysticos autem oculos, mentem et intelligentiam; per animæ vero, peccatum actu satiatum significat : aut per somnum et dormitationem immundos cogitatus, impetus nequam, qui primum in animo exoriuntur; vel animi certe ad deteriora propensionem designat. Vult autem sapiens, eum qui virtutibus ex proposito incumbit, animi prosperitate valere, supraque adversariorum laqueos fortiter sese efferre, virtutum nimirum alis in altum sublatum.* En Græca e duobus codicibus Regiæ bibliothecæ : ΒΑΣΙΛ. Ὕπνος ἡ πρὸς τὸ κρεῖττον ἀμέλεια· νοητὰ ὄμματα νοῦς καὶ διάνοια· ὕπνος ἐστὶ ψυχῆς ἡ κατ' ἐνέργειαν ἁμαρτία· νυσταγμὸς δὲ τὸ πρῶτον ἐν τῇ ψυχῇ συνιστάμενον ἀκάθαρτον φρόνημα. Ἐπινυσταγμός ἐστιν ἡ πρὸς τὰ χείρω ῥοπή. Βούλεται διορατικὸν εἶναι τὸν σοφὸν, καὶ τὰς τῶν ἐναντίων ὑπερίπτασθαι πάγας, τοῖς τῶν ἀρετῶν πτεροῖς κουφιζόμενον. Hoc est ad verbum : *Somnus est negligentia circa id quod est præstantius; oculi sub intelligentiam cadentes, sunt mens et cogitatio : somnus animæ est, peccatum actu commissum : dormitatio* C *autem, primum immundum cogitatum, quod in anima consistit. Superdormitatio est ad deteriora propensio. Vult sapientem perspicacem esse; laqueosque adversariorum transvolare, virtutum alis elevatum.* Cæterum post typis mandatam hanc Orationem cum sequenti, venit in manus meas Ecclesiastes Francisci Combefisii, in quo utraque inter Basilianas locum obtinet, Latine edita, interprete eodem viro doctissimo.

(10) *Οὐδὲν δέομαι τῶν ἔξω περιηχούντων τὸν τύπον.* Memorata interpretatio, *Nihil mihi necessarii, qui circa locum foris strepunt.* Τόπον, pro τύπον, recte. Sed in Chrysostomo Savili t. V, pag. 980, l. xiv, 15, ubi de Spiritus sancti descensu, omnino legi debet, βροντῆς κτύπον ἡ τοῦ Πνεύματος ἄφιξις ἐμιμεῖτο, non autem τύπον.

(11) F. κτύπον.

(12) *Φυλοκρινηθὲν ἀκριβῶς.* Pari modo in *Historia* Georgii Pachymeris lib. viii, cap. 2, ἐφυλοκρίνουν ἀκριβῶς τὴν ἐξήγησιν. Non enim assentior docto interpreti ac de Græcis litteris optime merito, qui in hoc et aliis locis verbum φυλοκρινεῖν probat. Est φυλοκρινεῖν non solum τὰς φυλὰς διακρίνειν, juxta Hesychium, sed etiam ex Suida διακρίνειν, καταδοκιμάζειν περιέργως, *dijudicare, accurate per-*

tum, separatumque a noxio, solum nobiscum sit; non ad calumniam circumstans, sed vere audiens. Opto frumentum segregatum a palea. Hæc quippe omni vento doctrinæ circumfertur[46] : illud autem grave et firmum ac per se cadens, Spiritu secretum, horreo dignum censetur. Quid dicam? quo vos modo alloquar? Quo pacto antevertam præterita? futurorum debitum? Etenim præteritorum reus sum, et futurorum debitor. De qua Scripturæ parte vobis opportune **618** disseram? Omnes ejusdem pretii sunt, omnes spiritales, omnes a Deo inspiratæ, omnes utiles. Verum nec facilis mihi est discretio; nec vobis licet, illam rejicere, hanc admittere, cum æqualis sit gratia in unaquaque, et proponatur nobis dignitate par undique proveniens emolumentum. Locutus est nobis utilia verba, Proverbiorum conscriptor Salomon. Hoc primum auribus vestris immisit : hinc inchoemus istam ad vos homiliam. Perspicacem te vult esse discipulum et sublimem consilio. Horum utrumque exhibet duplex sermo : « Ne dederis somnum oculis tuis, neque dormitationem palpebris tuis. Ne dederis somnum. » Huncne prohibet somnum, communem naturæ affectionem, vultque nos pervigiles manere? Igitur accusatio est creatoris, qui vitæ nostræ conjunxit requiem somni? « Ne dederis somnum oculis tuis, neque dormitationem palpebris tuis. » Non eumdem sermonem repetit, sed differentiam novit somni et dormitationis. Somnus enim est, gravis sensuum stupor; dormitatio autem, mistura vigiliæ ac somni. Quia igitur alii quidem profundo detinentur somno, donorum Dei oblivione quasi veterno occupati; alii vero permiste interdum vigilant, interdum velut indormitant; neque alienum admittunt, neque eum qui aliquando conversus est, neque ægrotum tanquam sanum. VERS. 5. « Ut salveris tanquam damula e laqueis. » Damula ceu dorcas animal est acie oculorum valens, ex qua dorcadis nomen tulit. Nihil latet dorcadis oculum; novit quid cavere debeat; novit ubi sit cursus gubernaculum. Sed et damula sis, ad scrutanda quæ inferius sunt; et avis, ad quærenda sublimia; ut ne reti inhibearis, at excelsior fias laqueis. Nunquam avis incidit in rete, si naturaliter sibi insita penna aerem secans, super terram elevetur. Vult ergo te per mentis sublimitatem, quam a Creatore tuo accepisti, caute observare; et pigritiæ coalumnum vitium insectari, tanquam quod felicem exsecutionem eorum quæ a Domino præcepta sunt

A ναι ἡμῖν· μὴ πρὸς ἐπήρειαν περιεστηκὸς, ἀλλὰ κατὰ ἀλήθειαν τὴν ἀκρόασιν ποιούμενον. Εὔχομαι τὸν σῖτον κεχωρισμένον τοῦ ἀχύρου. Τὸ μὲν γὰρ παντὶ ἀνέμῳ τῆς διδασκαλίας περιφέρεται· τὸ δὲ βαρὺ καὶ εὐσταθὲς καὶ αὐτόπιπτον (13), τῷ Πνεύματι διακρινόμενον, τῆς ἀποθήκης ἀξιοῦται. Τί εἴπω; πῶς ὑμᾶς προσφθέγξομαι; Πῶς προκαταλήψομαι τὰ παρελθόντα; τῶν μελλόντων τὸ χρέος; Καὶ γὰρ παρελθόντων ὑπεύθυνός εἰμι, καὶ μελλόντων χρεώστης. Ἀπὸ ποίας Γραφῆς ἂν ὑμῖν καιρίως διαλεχθείην; Πάντα ὁμότιμα, καὶ πάντα πνευματικά· πάντα θεόπνευστα, καὶ πάντα ὠφέλιμα. Ἀλλ' οὐ ῥᾳδία οὐδὲ ἐμοὶ ἡ διάκρισις, οὐδὲ ὑμῖν δυνατὸν τὸ μὲν ἀποπέμπεσθαι, τὸ δὲ προΐεσθαι, ἴσης οὔσης τῆς ἐν ἑκάστῳ χάριτος, καὶ ὁμοτίμου τῆς πανταχόθεν
B ὠφελείας ἡμῖν προκειμένης. Ἐφθέγξατο ἡμῖν ῥήματα χρήσιμα ὁ παροιμιαστὴς Σολομών. Τοῦτο πρῶτον προσέβαλεν ὑμῶν ταῖς ἀκοαῖς· ἐντεῦθεν ἀρξώμεθα τῆς πρὸς ὑμᾶς ὁμιλίας. Διορατικόν σε βούλεται εἶναι μαθητὴν καὶ ὑψηλὸν τῷ φρονήματι. Ἑκάτερον τούτων παρίστησι διϊκὸς λόγος· « Μὴ δῷς ὕπνον σοῖς ὀφθαλμοῖς, μηδὲ νυσταγμὸν σοῖς βλεφάροις. » -« Μὴ δῷς ὕπνον. » Ἆρα τοῦτον ἀπαγορεύει τὸν ὕπνον, τὸ κοινὸν πάθος τῆς φύσεως, καὶ βούλεται ἡμᾶς ἀΰπνους εἶναι; Οὐκοῦν κατηγόρημα τοῦ δημιουργοῦ τοῦ συζεύξαντος τῇ ζωῇ ἡμῶν τὴν ἐκ τοῦ ὕπνου ἀνάπαυσιν; « Μὴ δῷς ὕπνον σοῖς ὀφθαλμοῖς, μηδὲ νυσταγμὸν σοῖς βλεφάροις. » Οὐ ταυτολογεῖ, ἀλλ' οἶδε τὴν διαφορὰν τοῦ ὕπνου καὶ τοῦ
C νυσταγμοῦ. Ὁ μὲν γὰρ ὕπνος βαρεῖά τίς ἐστιν ἀναισθησία· ὁ δὲ νυσταγμὸς μίγμα ἐστὶν ἐγρηγόρσεως καὶ ὕπνου. Ἐπεὶ οὖν οἱ μὲν βαθεῖ κατέχονται ὕπνῳ, ληθαργήσαντες τῶν τοῦ Θεοῦ δωρεῶν· οἱ δὲ ἀναμὶξ, ποτὲ μὲν ἐγρηγόρασιν, ποτὲ δὲ ὥσπερ ἐπινυστάζουσιν· οὔτε τὸν ἀλλότριον δέχονται, οὔτε τόν ποτε ἐπιστρέφοντα, οὔτε τὸν νοσοῦντα ὡς ὑγιαίνοντα. « Ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων. » Ἡ δορκὰς ζῶόν ἐστιν ὀξυδερκὲς, ἐπώνυμον τῇ ἑαυτοῦ ὀξυδορκίᾳ (14). Οὐδὲν λανθάνει τὸν ὀφθαλμὸν τῆς δορκάδος· οἶδεν ὃ φυλάξεται, καὶ οἶδεν ὅπου τοῦ δρόμου τὸ κυβερνητικόν. Ἀλλὰ καὶ δορκὰς ἔσο πρὸς τὸ τὰ κάτω ἐρευνᾷν· καὶ ὄρνεον, πρὸς τὸ τὰ ὑψηλὰ ζητεῖν· ἵνα μὴ τῇ παγίδι ἐνσχασθῇς, ἀλλὰ καὶ ὑψηλότερος γένῃ τῶν βρόχων. Οὐδέποτε ὄρνεον πίπτει εἰς πα-
D γίδα, ἐὰν, τῷ κατὰ φύσιν πτερῷ τὸν ἀέρα τέμνον, τὴν γῆν ὑπεραίρηται. Βούλεται οὖν σε τῷ ὑψηλῷ τῆς διανοίας, ὃ ἔλαβες παρὰ τοῦ κτίσαντός σε, ἀσφαλῶς φυλάσσειν, καὶ τὸ σύντροφον πάθος τῆς ἀργίας, ὡς τὴν εὐπραξίαν τῶν διατεταγμένων ἡμῖν

[46] Ephes. IV, 14.

pendere; nec non *discernere, lustrare, scrutari*. Atque id verbum invenies apud Eusebium *Hist. eccl.* lib. VIII, cap. 4; lib. X, cap. 4; Basilium *de Spiritu sancto* cap. 29, aliosque : φυλοκρινητικὴν vero σοφίαν, et φυλοκρίνησιν, in Clemente Alexandrino.

(13) *Αὐτόπιπτον*. Ita codex, non αὐτόπιστον. Et in c. ὑμῶν ταῖς ἀκοαῖς, non ἡμῶν.

(14) *Ἐπώνυμον τῇ ἑαυτοῦ ὀξυδορκίᾳ*. His gemina profert idem Basilius Homilia in illud, *Attende tibi ipsi* : Ἡ μὲν γὰρ δορκὰς ἀνάλωτός ἐστι τοῖς βρόχοις δι' ὀξύτητα τῆς ὁράσεως· ὅθεν καὶ ἐπώνυμός ἐστι τῆς οἰκείας ὀξυδορκίας, etc. Apud Theodoretum *in Cant.* II, 9 : Φασὶ τὴν δορκάδα ἐπώνυμον εἶναι τῆς οἰκείας ὀξυδερκίας, καὶ διὰ τὸ ὀξέως ὁρᾷν ταύτην εἰληφέναι τὴν προσηγορίαν. Mitto cæteros quamplurimos, qui eamdem etymologiam tradunt, vel ad eam respiciunt.

παρὰ τοῦ Κυρίου ἀποδιῶκον, διώκεσθαι. Χαλεπωτάτη γὰρ ἀργία, ἡ τῶν ψυχῶν νωθρία. Μὴ ἔσο ἀργὸς περὶ τὰς ἐντολὰς τοῦ Κυρίου· μὴ τὸ μὲν ποίει, τὸ δὲ ἀναβάλλου. Δανειστικόν τι ποιεῖς ἀφοσίωμα, ὡς τὸ ὅλον πληρώσας. Ἀλλὰ βούλεταί σε ἐν τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. Ὁρᾷς, ὅτι εὐπερίδρομόν σε βούλεται τῆς εὐσεβείας εἶναι, τρέχοντα ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως; Οὐ τοίνυν χρὴ τὸν αὐτὸν καὶ ἀργὸν εἶναι καὶ ἐμπορεύεσθαι. Πάρεστιν ὁ αἰτῶν· ἐὰν ἀργῇς πρὸς τὴν ἐλεημοσύνην, ἡ ἀργία ἐμπόδιόν σοι γίνεται πρὸς τὸν δρόμον τῆς σωτηρίας. Ἵνα οὖν σε διυπνίσῃ, καὶ ζηλωτὴν ποιήσῃ τῶν καλῶν ἔργων, μικρὸν ζῶον ἐκλεξάμενος τὸ πάντων ἐλάχιστον, τοῦτο προστίθησί σοι (15). « Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ. » Εἶδες πῶς σοι κέχρηται· εὐτελῆ διδάσκαλον προδείκνυσιν· ἵν' οὕτως, τὸν ὕπνον ἀποσεισάμενος, τὴν ἀργίαν ἀπωσάμενος, τῇ αἰσχύνῃ τῇ πρὸς τὸν συγκρινόμενον, ποιήσῃς σεαυτὸν ἄξιον τῷ κτίσαντι. Εἴ σοι εἶπεν· Μίμησαι τοῦ ἵππου τὸν δρόμον, μίμησαι τὴν ἀχθηφορίαν τῆς καμήλου, μίμησαι τὸν γεηπονοῦντα βοῦν· εἶπες ἄν, Πῶς μιμήσωμαι τὰ ἁπλᾶ τὰ τῷ μεγέθει τοῦ σώματος; Ἄλλος ἐκείνος (16) ὁ τόνος τοῦ σώματος πάρεστιν· ἐγὼ δὲ μικρὸς καὶ ἀσθενής. Ἵνα μὲν τοῦτο προβάλλῃ, τὸ ἀναντιῤῥήτως ὑποδεέστερον, τοῦτό σοι προέθηκεν εἰς μίμησιν. « Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ. » Τί καταφρονεῖς τοῦ μεγάλου διδασκάλου; Ὁ μύρμηξ σε διερεθιζέτω πρὸς τὴν ἐνέργειαν. « Καὶ παρ' ἐκείνου μάθε. » Ἐκεῖνος οὐ διδάσκαλον οἶδεν, οὐκ ἀποδημίαν ἀπεδήμησεν, οὐκ ἔμαθε γεωργικοὺς λόγους, οὐκ ἔζευξε βοῦν, οὐ κέκτηται βοῦν ἀροτῆρα, οὐ μάχεται περὶ ὅρων γῆς, οὐ παροργίζει τοὺς γείτονας, οὐ τὰ μὲν κατέχει, τὰ δὲ προσλαμβάνεται, οὐδὲν οἶδε τῶν κατὰ γεωργίαν· οὐκ ἔχει δεσπότην τὸν ἐπικείμενον, οὐκ ἔχει φορολόγον τὸν ἀναγκάζοντα, οὐκ ἔχει τοὺς οἰκέτας τοὺς, ὅτε ἐὰν μὴ διανεμηθῇ αὐτοῖς τὸ σιτηρέσιον, διχαζομένους τῷ δεσπότῃ. Οὐδὲν τούτων πάρεστιν· ἀλλὰ φυσική τις ἀνάγκη τὸ ζῶον διερεθίζει. Οὐκοῦν ἡ φύσις τότε. Καὶ σὺ (17) τῆς φύσεως παρίει λόγος αἴτιος. Λόγῳ πλεονεκτεῖς τὸν μύρμηκα. Εἰ δύναμις συνεργὸς, προτιμοτέρα ἡ σὴ δύναμις τοῦ μύρμηκος. « Ἴθι οὖν πρὸς τὸν μύρμηκα, ὀκνηρέ· καὶ παρ' ἐκείνου μάθε. » Προλαβὼν ἐδιδάχθης· ὑπὸ δὲ ἀργίας αὐτὰ ἔῤῥιψας, καὶ λήθην ἔλαβες ἐκ τοῦ ὕπνου ὃν ἠγάπησας. Μάθε ἀπὸ τοῦ μύρμηκος. Ἐκεῖνος γὰρ γεώργιον οὐκ ἔχει, οὐδὲ δεσπότην κέκτηται, οὐδὲ ὑπὸ ἀνάγκην ἐστίν· καὶ οὐδεμιᾷ ἀνάγκῃ δουλεύων, ἀδέσποτος ὢν, αὐτόνομον βίον καὶ ἐλεύθερον κεκτημένος, αὐτὸς ἑαυτῷ ἐφέστηκεν, ἐπείγων ἑαυτὸν πρὸς τὸ ἔργον. Τίς εἶπε τῷ μύρμηκι, ὅτι Νῦν θέρος; καὶ τίς πάλιν ἐρεῖ, ὅτι Νῦν πάλιν χειμών; Ἵνα δείξῃ σοι τὴν τοῦ Θεοῦ πρόνοιαν δι' ὅλων ἀνήκουσαν

A nobis, expellat. Gravissimum peccatum est pigritia, animarum segnities. Noli esse circa mandata Domini otiosus, noli hoc quidem facere, illud vero differre. Fœneraticiam quamdam agis satisfactionem, ut qui totum impleveris. Sed vult te ad ea quæ sunt priora extendi [47]. Vides quod te cupiat rectum esse pietatis cursorem, ad bravium supernæ vocationis properantem [48]? Non ergo oportet ut idem piger sit ac negotietur. Adest qui petit : si cessaveris ad eleemosynam, cessatio impedimento tibi est ad cursum salutis. Itaque ut te a somno excitet, æmulatoremque faciat bonorum operum; parvo animali electo, omnium minimo, hoc apponit tibi. Vers. 6. « Vade ad formicam, o piger, et æmulare vias ejus. » Vidisti quo pacto te usus fuerit : B vilem magistrum præmonstrat; ut eo modo somnum excutiens, segnitiem repellens, verecundia affectus ob rem quæ in comparationem assumitur, teipsum dignum reddas Creatore. Si dixisset tibi, imitare equi cursum, imitare camelum **619** in gestatione onerum; imitare bovem terræ cultorem; respondisses, quomodo imitari potero quæ mole corporis ingentia sunt? Aliud illis inest corporis robur, ego vero parvus sum et infirmus. Ne hoc prætenderes, animal procul dubio imbecillius tibi ad imitationem proposuit. « Vade ad formicam, o piger. » Quid contemnis magnum præceptorem? Formica te excitet ad operationem. « Et ab illa disce. » Illa non novit magistrum, non peregre profecta est, non didicit agriculturæ artem, non C junxit bovem, non possidet bovem aratorem, non pugnat de terminis terræ, nec ad iram provocat vicinos, non hæc quidem detinet, illa vero assumit, nihil scit eorum quæ ad agriculturam pertinent; non habet instantem dominum, non tributorum collectorem qui cogat, non famulos qui annona cum non fuerit iis distributa, contendant cum domino. Nihil horum adest : sed naturalis quædam necessitas animal excitat. Itaque natura tunc. Et tibi accedit ratio quæ naturæ parens est. Ratione antecellis formicam. Si facultas cooperaria est, præstantior facultas tua facultate formicæ. « Vade igitur ad formicam, piger, et ab illa disce. » Antea edoctus fuisti; sed ex segnitie pristinam doctrinam D abjecisti, et in oblivionem lapsus es ob somnum quem dilexisti. Disce a formica. Illa enim (Vers. 6, 7) agellum non habet, nec dominum, neque subjecta est necessitati, et nulli necessitati serviens, domini expers, vitam ducens sui juris ac liberam ipsi sibi instat, et seipsam ad opus urget. Quis dixit formicæ, nunc messis est? et quis iterum dicet, nunc rursus hiems? Ut ostendat tibi providentiam Dei, per omnia pervenire ad nos; ne vero etiam te liberum aut nullius dominio mancipatum

[47] Philipp. III, 13. [48] ibid.

(15) F. προτίθησι.
(16) L. ἐκείνοις.

(17) L. σοι.

existimares, formicam tibi commonstravit. Etenim illa non spontaneo quodam casu hæc operatur; sed urgentem habet Dei dispensationem, præceptore usa lege naturæ. Hæc sunt documenta. Messis est, et formica operatur, quæ a tua operatione excidunt, in suum vertit lucrum. Vereor nequando tui accusatrix exsistat, quod laboriose Dei dona non collegeris, sicut ipsa repositoria sua implet. Disce formicarum hospitium. Illa sibi conficiens binas concamerationes ternasque contignationes, Noemum imitata, et diluvii apparatum in arca, alias quidem sibi subjectas, alias vero quæ domos supergrediantur construens, alias receptacula constituit, alias demensa. Vidistine aliquando formicinam cavernam? Considerasti diligenter, aut ut nec formicina perdisceres? Apte compositæ sunt formicæ stationes: separata sunt apud illam sordida a puris: in repositorio degit, et scita est repositio. Aspexi ego frumentum a formica repositum, non temere autem projectum, sed cum prudenti consilio apotheca donatum. Scilicet ungulis findit medium frumenti, suspicata ne forte sub terram cadens, indeque humectatum, perveniat ad germinationem: sed diffindit et mortuum reddit frumentum; ut ad alimoniam aptum sit, ad germinationem inutile. Videturne tibi fide dignior esse magistra quæ tanta **620** sapientia et arte utitur? « Vade ad formicam, o piger; » disce formicæ bene constitutum ordinem; quo modo quæ frumentum convehunt, eas quæ egrediuntur non impediunt; sed unus est locus exeuntium, alius importantium: atque ordo in illis est, quamvis regem ducentem non habeant, nec divisionem in tribunos noverint: sed ut unus viarum bonus ordo, hinc alia, altera vero cum aliis illinc, quando se mutuo prætereunt, sibi invicem impedimento non sunt ad cursum. Quis autem hæc ordinavit? Ego existimo ordinum rectores et ducendis exercitibus præfectos hinc accepisse tacticam peritiam, et ad hominum disciplinam transtulisse. Sic sapientiæ lex antiquior est institutis artis. Adest formicæ et præscientia. Sæpe igitur e suis specubus proferentes frumentum exsiccant, cum fuerit madidum. Tunc ergo ubi videris annonaria frumenta extra formicarum cavernam, scito imbrem non futurum. Unde hoc, nisi a Domino, ut persistat animal, nec pereat fame? Noli ergo existimare res tuas irrationabili et spontaneo casu regi. Vers. 8. « Aut vade ad apem. » Quid vulgarius hisce exemplis? Quis ignorat formicam? Quis nescit apem? Animalia quæ teruntur, quæque nobiscum vivunt, ea nobis ostendit. Ut autem eorum accipiamus deductionem seu magisterium, quo nostri curam geramus; quia non sufficiebat formicæ exemplum, apem adjecit. Nam poterat mihi dicere avarus, et retinens opum suarum, Imitor formicam: est enim animal immunificum, quod sibi

A ἐφ' ἡμῖν· ἵνα δὲ μήτε σεαυτὸν ἐλεύθερον ἢ ἀδέσποτον ὑπολάβῃς· τὸν μύρμηκά σοι προσέδειξε. Καὶ γὰρ ἐκεῖνος οὐχ αὐθαιρέτῳ τινὶ συντυχίᾳ ταῦτα ἐνεργεῖ, ἀλλ' ἔχει τὸν ἐπείγοντα, τὴν τοῦ Θεοῦ οἰκονομίαν, διδασκάλῳ χρώμενος τῷ τῆς φύσεως νόμῳ. Ταῦτά ἐστι τὰ διδάγματα. Θέρος ἐστὶ, καὶ ὁ μύρμηξ ἐνεργεῖ, τὰ ἀποπίπτοντα τῆς σῆς ἐνεργείας ἴδιον κέρδος ποιούμενος. Φοβοῦμαι μή ποτέ σου κατήγορος γένηται, ὡς φιλοπόνως τὰς τοῦ Θεοῦ δωρεὰς μὴ συναγαγόντος, ὡς ἐκεῖνος τὰς ἑαυτοῦ ἀποθήκας πληροῖ. Μάθε μυρμήκων τὸ καταγώγιον. Ἐκεῖνος ἑαυτῷ διώροφα καὶ τριώροφα, τὸν Νῶε μιμούμενος, τὴν τοῦ κατακλυσμοῦ κατασκευὴν ἐπὶ τῆς κιβωτοῦ, ποιούμενος, τὰ μὲν ἑαυτῷ ὑπεύθυνα, τὰ δὲ ὑπαναβεβηκότα (18) τῶν οἴκων κατασκευάσας, ἄλλα ἐποίησεν ὑποδοχὰς, ἄλλα τὰ σιτηρέσια. B Εἶδές ποτε τὴν μυρμηκίαν; Κατέμαθες φιλοπόνως, ἢ ὡς μηδὲ τὰ τοῦ μύρμηκος καταμανθάνειν; Εὐσχήμονες τοῦ μύρμηκος αἱ διαγωγαί· κεχωρισμένα παρ' ἐκείνῳ τὰ ῥυπαρὰ τῶν καθαρῶν· ἔστιν ἐν τῇ ἀποθήκῃ, καὶ ἔστι σοφὴ ἡ ἀπόθεσις. Εἶδον ἐγὼ σῖτον ὑπὸ μύρμηκος ἀποτεθέντα, οὐχ ἁπλῶς δὲ ῥιφέντα, ἀλλὰ μετὰ σοφῆς ἐπινοίας (19) τῆς ἀποθήκης ἠξιωμένον. Κόπτει δὲ ταῖς χηλαῖς τὸ μέσον τοῦ σίτου, ὑφορώμενος μήποτε, ὑπόγεως πεσὼν, εἶτα νοτισθεὶς, ἀναγάγῃ πρὸς τὴν βλάστησιν· ἀλλὰ διακόπτει καὶ ἀπονεκροῖ τὸν σῖτον, ἵνα πρὸς μὲν τὴν τροφὴν ἐπιτήδειος ᾖ, πρὸς δὲ τὴν βλάστησιν ἄχρηστος. Ἆρα δοκεῖ σοι ἀξιοπιστότερος εἶναι διδάσκαλος, τοσαύτῃ σοφίᾳ καὶ τέχνῃ κεχρημένος; « Ἴθι C πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ· » μάθε τὴν εὐταξίαν τοῦ μύρμηκος· πῶς οἱ ἐπισιτιζόμενοι τοῖς ἐξιοῦσιν οὐκ ἐμποδίζουσιν, ἀλλ' εἷς τόπος τῶν ἐξιόντων, ἕτερος τῶν ἐπεισαγόντων· καὶ τάξις ἐστὶν ἐν αὐτοῖς, καίτοι ὁ βασιλεὺς οὐκ ἀφηγεῖται ἐν αὐτοῖς, οὐδὲ εἰς χιλιάρχους τὰ ἐν αὐτοῖς διῄρηται· ἀλλ' ὡς μία εὐταξία τῶν ὁδῶν, ἔνθεν ἄλλη, ἑτέρα δὲ τῶν ἐκεῖθεν, ἀλλήλους ὅταν παρέρχωνται, οὐκ ἐμπόδιον ἀλλήλοις πρὸς τὸν δρόμον γίνονται. Τίς δὲ ἔταξε ταῦτα; Ἐγὼ νομίζω καὶ τοὺς ταξιάρχας καὶ τοὺς στρατηγάρχας ἐντεῦθεν λαμβάνοντας τὰ τακτικὰ μετατιθέναι ἐπὶ τὴν τῶν ἀνθρώπων εὐταξίαν. Οὕτως ὁ τῆς σοφίας νόμος πρεσβύτερός ἐστι τῶν ἐπιτηδευμάτων τῆς τέχνης. Πάρεστι τῷ μύρμηκι καὶ πρόγνωσις. D Πολλάκις γοῦν ἐκ τῶν ἑαυτῶν καταδύσεων προκομίσαντες τὸν σῖτον διαψύχουσιν, ἐπειδὰν διάβροχος γένηται. Τότε τοίνυν, ὅταν ἴδῃς τὰ σιτηρέσια ἐπὶ τὴν μυρμηκιὰν, γίνωσκε, ὅτι ἀνέχει ὁ ὄμβρος. Πόθεν τοῦτο ἢ τοῦ Κυρίου; ἵνα μένῃ τὸ ζῶον, καὶ μὴ λιμῷ διαφθαρῇ. Μὴ τοίνυν μήτε τὰ περὶ σὲ ἀλόγῳ τινὶ καὶ αὐθαιρέτῳ συντυχίᾳ νομίσῃς οἰκονομεῖσθαι. « Ἢ πορεύθητι πρὸς τὴν μέλισσαν. » Τί κοινότερον τῶν ὑποδειγμάτων τούτων; Τίς ἀγνοεῖ μύρμηκα; Τίς οὐκ οἶδε μέλισσαν; Τὰ πατούμενα ζῶα, τὰ σύντροφα ἡμῖν, ταῦτα ἡμῖν ὑποδείκνυσιν. Ἵνα δὲ αὐτῶν λάβωμεν ὁδηγίαν εἰς τὸ ἐπιμελεῖσθαι ἑαυτῶν, ἐπειδὴ οὐκ αὔταρκες ἦν τὸ ὑπό-

(18) L. ἐπ

(19) *Μετὰ σοφῆς ἐπινοίας*, etc. Confer. cum Homilia 9 *in Hexaemeron:* ut et quæ sequuntur de apibus, cum Homilia 8 et cum Commentario in *Isaiam* ad capitis VII versum 18.

δειγμα τοῦ μύρμηκος, τὴν μέλισσαν προσπαρέθηκεν. Ἠδύνατο γάρ μοι εἰπεῖν ὁ φειδωλὸς, ὁ περιεκτικὸς τῶν ἰδίων κτημάτων, ὅτι μιμοῦμαι τὸν μύρμηκα· ἀμετάδοτον γὰρ τὸ ζῶον, καὶ ἑαυτῷ μὲν συνάγει, ἑτέρῳ δὲ οὐ θησαυρίζει. Εἶπεν ἄν, Τῇ διδασκαλίᾳ πείθομαι. Ὁ μύρμηξ πονεῖ εἰς οἰκείαν ἀπόλαυσιν· οὐκοῦν κἀγὼ ἀποτίθεμαι· μηδέν μοι πλέον παραινεθῇ. Ἀλλ' ἐνταῦθα πρὸς τὸ φιλόπονόν σε καὶ ἐργαστικὸν εἶναι ὁ μύρμηξ παρηνέχθη· πρὸς δὲ τὸ μεταδοτικὸν ἡ μέλισσα (20). « Ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε, ὡς ἐργάτις ἐστίν. » Χρήσιμον τὸ ὑπόδειγμα τῆς μελίσσης δοῦναι τὸν καρπὸν, καὶ ἀμύνασθαι. Καὶ γὰρ ἡ μέλισσα, ἀμυνομένη, ἐναποθνήσκει τῇ πληγῇ, καὶ Χριστιανοῦ θάνατος ἡ ἀνταπόδοσις τοῦ κακοῦ. Ἐκεῖνον μὲν μικρὸν ὠνείδισας, σεαυτὸν δὲ ἀπέκτεινας τῇ παρακοῇ τῆς ἐντολῆς· « Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες. » Εἶδες πῶς ἡ μέλισσα τῷ κέντρῳ τὴν ζωὴν ἐναφίησιν; Οὕτω καὶ Χριστιανὸς, τὸν ἐχθρὸν ἀμυνόμενος, διὰ τῆς πληγῆς τῆς εἰς τὸν ἐχθρὸν τὴν ἑαυτοῦ ζωὴν ἀποβάλλει. Μήτε οὖν ἀμυντικὸς ἔσο τῶν ἐχθρῶν, μήτε φειδωλὸς τῶν οἰκείων· ἀλλὰ μάθε ἀπὸ τῆς μελίσσης· ᾗ τῇ μὲν θάνατον προξενεῖ τὸ ἀμύνασθαι· τὴν δὲ ἐνέργειαν αὐτῆς προτίθεται εἰς ἀπόλαυσιν βασιλεῦσι καὶ ἰδιώταις, τρυφῶσί τε καὶ ἀῤῥώστοις· τῇ μὲν ἐπιτηδεύσει καὶ παντὶ τῷ βίῳ χρησιμεύει μέχρι τῆς ὀσμῆς. Ἡ δὲ μέλισσα τῇ ποικιλίᾳ τῆς τέχνης καὶ μέλι ἐκλέγεσθαι οἶδεν ἀπὸ τοῦ αὐτοῦ ἄνθους· καὶ τὸ μὲν εἰς μέλι ἀποτίθεται, τὸ δὲ εἰς κηρίον, καὶ τὸν κηρὸν περιπήγνυσι τῷ μέλιτι. Τίς ἐδίδαξε τὴν μέλισσαν ἐκείνην ποιεῖν τὰς σύριγγας, ὑφαίνειν δὲ τὸν λεπτὸν ὑμένα; Τίς αὐτῶν, παλαιῷ διδασκάλῳ φοιτήσασα, τὰ ἑξάπλευρα καὶ τετράπλευρα ποιεῖν ἐδιδάχθη; Πῶς γωνίαν ἔστησε διὰ τοῦ κηροῦ, καὶ τοίχους διύφανεν, ἵνα αἱ μὲν γωνίαι τὸ στερεὸν παρασκευάσωσιν, οἱ δὲ τοῖχοι τὸ μέλι φυλάξωσι; Διὰ τί οὐχ ἕνα σύριγγα ἐποίησεν, ἀλλ' ἔνθεν κἀκεῖθεν διέπηξε τοῦ μέλιτος τὰς ἀποθήκας; Πῶς ἑκάστῳ πυθμένι ἴδιον ἐνίησι μέλι; Εἰ ἓν ἐποίει τὸ πανδοχεῖον, διεῤῥάγη ἂν τῷ βάρει τὸ ὑποκείμενον· ἀλλ' ὑποτίθησι τοὺς πυθμένας, καὶ τοίχους ὑποβάλλει, καὶ γωνίας ἀσφαλίζεται. Τίς οἰκοδόμος; Οὐκ ἐκεῖνος ἐπαιδεύθη τὰ οἰκοδομικά. Εἶδες ἐν μελίσσῃ ὅση σοφία, ἐν μύρμηκι ὅσον τὸ φιλόπονον; Οὐκ αἰσχυνόμεθα, ἐὰν ἀπέλθωμεν μύρμηκος σοφίας, καὶ φιλοπονίας μελίσσης ἀπολιπόμενοι; Τὰ μικρὰ ταῦτα ζῶα διεγειρέτω ἡμῶν τὸν νοῦν πρὸς τῶν ἀγαθῶν ἔργων ἐπιμέλειαν. Συναγελαστικὸν τὸ ζῶον· οὔτε μύρμηξ ἰδιαστικὸν, οὔτε μέλισσα μοναστική· κατὰ ἀγέλας ζῶσι, κατὰ ἀγέλας ἵπτανται. Οὐκ εἶδες μέλισσάν ποτε καθ' ἑαυτὴν πετομένην, ἀλλ' ἀλλήλαις κοινωνοῦσι τῆς πτήσεως. Οὐ βασκαίνουσιν ἀλλήλαις τῶν ἀνθῶν· κοινῇ ἀπαίρουσιν ἐπὶ λειμῶνας, κοινῇ πάλιν ἐπὶ ἰδίας σηκοὺς ἐπανέρχονται. Ἑκάστη τὴν ἰδίαν καλιὰν γνωρίζει· ἀπὸ τοῦ ἰδίου ἐξερχομένη ἔργου, κοινωνεῖ τῆς ἐργα-

A congregat, alteri vero non congerit. Dixisset, Obtempero doctrinæ. Formica laborat ad proprium usum : igitur et ego repono : nihil me amplius admoneas. Verum hoc loco ut laboriosus sis et operosus, formicæ exemplum adductum est; ut autem munificus, apis. « Aut vade ad apem, et disce quomodo operaria est. » Utile est exemplum apis, ad dandum fructum et propter ultionem. Etenim apis dum ulciscitur se, plagæ immoritur : et Christiani mors est redditio mali. Illum quidem paululum probro affecisti, ipsum vero te interemisti per mandati violationem : « Nulli malum pro malo reddentes [49]. » Vidisti quo modo apis vitam cum aculeo projiciat? Ita et Christianus, cum de inimico vindictam sumit, per vulnus hosti inflictum vitam B suam amittit. Ne sis ergo aut in hostium ultionem propensus, aut in bonis tuis avarus : sed ab ape disce; cui quidem mortem conciliat vindicta; operationem vero suam exhibet in usum regibus et privatis hominibus, delicate viventibus et morbo afflictis; nec non industria sua omnique vita utilis est usque ad odorem. Apis, varietate artis, etiam mel novit colligere ex eodem flore : et aliud quidem reponit in mel, aliud vero in favum; et ceram compingit melli. Quis docuit apem illam facere fistulas alveares, ac texere tenuem membranam? Quænam ex iis, vetere adito præceptore, ædificia sex laterum et quatuor laterum condere edocta fuit? Quo pacto angulum constituit per ceram, et C parietes pertexuit, **621** ut anguli firmitatem procurarent, parietes mel custodirent? Cur non unam fistulam fecit, sed hinc illincque compegit mellis apothecas? Qua ratione cavo cuique suum immittit mel? Si unum construxisset receptaculum, pondere dirupta fuisset basis : verum supponit cava, parietes subjicit, angulos munit. Quis architectus? Non ille architecturam didicit. Vidisti quanta sit in ape sapientia, quantum in formica laboris studium? Nonne erubescimus, si a sapientia formicæ discedamus, et a diligentia apis superemur? Parva hæc animalia excitent mentem nostram ad bonorum operum curam. Animal gregale est : neque formica singulariter degit, neque apis solitarie : gregatim vivunt, gregatim volant. Nunquam vidisti apem D seorsum volantem, sed inter se communem habent volatum. Non eæ sibi invicem invident flores; una ad prata proficiscuntur; simul iterum ad propria loculamenta redeunt. Unaquæque suam cellulam agnoscit : a suo opere discedens communicat operationem cum sodalibus. Hoc autem apud nos non reperitur. Non enim amplius inter nos communicamus, nec ad flores Ecclesiarum communiter convolamus : sed cujusque aculeus vehementer elatus est contra proximum : et novit quidem se ex acu-

[49] Rom. XII, 17.

(20) *Πρὸς δὲ τὸ μεταδοτικὸν ἡ μέλισσα.* Simili modo S. Chrysostomus Homilia 12 *ad populum Antiochenum*. In Rufino tamen, Præfatione ad librum tertium *De principiis*, apes dicuntur fingere favos ac mella, avaritia congregandi.

leo mori, in quo percutit fratrem; nihilominus tamen, magis iræ quam salutis suæ sollicitus, perpetrat quæ a Domino vetita sunt, nobisque conciliant æternum supplicium : a quo eripi deprecemur; in Christo Jesu Domino nostro, cui gloria et imperium, nunc et semper, et in sæcula sæculorum. Amen.

A σίας τοῖς συννόμοις. Τοῦτο δὲ ἐν ἡμῖν οὐκ ἔστιν. Οὐ γὰρ ἔτι ἐσμὲν κοινωνοὶ ἀλλήλων, οὔτε ἐπὶ τὰ ἄνθη τῶν Ἐκκλησιῶν κοινῇ πετόμεθα· ἀλλ' ἑκάστου τὸ κέντρον σφοδρὸν ἐπήρθη κατὰ τοῦ πλησίον· καὶ οἶδε μὲν, ὅτι ἐπὶ τῷ κέντρῳ ἀποθνήσκει, ἐν ᾧ μαστίζει τὸν ἀδελφὸν, ὅμως δὲ, τῷ θυμῷ (21) πλέον ἢ τῆς ἑαυτοῦ σωτηρίας ἐπιμελόμενος, ποιεῖ καὶ τὰ ἀπηγορευμένα παρὰ τοῦ Κυρίου, καὶ ἡμῖν προξενοῦντα τὴν αἰώνιον κόλασιν· ἧς ῥυσθῆναι εὐχώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα (22) καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

EJUSDEM DE JEJUNIO ORATIO III.

1. Jejunii et propitiationis adest tempus; non modo ciborum abstinentiæ, sed etiam peccatorum evitationis. Nos ipsos ab omni peccato subducentes, jejunemus alacriter; gnari quod jejunium sententiam Dei revocavit. Itaque lex ecclesiastica jejunium prænuntiat, præconem vocalissimum prætendens prophetarum et apostolorum chorum. Vocat autem ille non viros ac ætate provectiores solos, verum etiam mulieres ac pueros; horum quidem renovans juventutem, illarum vero naturam mutans in virilem virtutem. « In Christo enim Jesu non est masculus neque femina [50]. » Præmia vero certantibus proponit, regnum cœlorum, coronam semper florentem, vitam æternam, si cum sanctitate jejunaverimus; juxta beatum Joelem prophetam dicentem : « Sanctificate jejunium, prædicate curationem, congregate parvulos sugentes ubera. Sacerdotes, plorate coram altari, convocate senes. Egrediatur sponsa de thalamo suo, et sponsus de cubili suo [51]. » Sanctus quippe est jejunii modus, sancto Deo a sanctis sancte oblatus. Cunctos igitur præco vocat ad certamen. Sed multa inter certantes differentia **622** intercedit, cum vitæ, tum ætatis. Porro certamen « non est adversus sanguinem et carnem, sed adversus principes et potestates et spiritualia nequitiæ [52]. » Etenim qui habet inimicos et hostes visibiles, si quidem valeat, vicissim hostiliter adorietur : si vero careat viribus, abscondens se servabitur. Qui autem hostes habet invisibiles, quid acturus est, nisi Deum in auxilium vocet? Nam si dormierit, illi vigilant : si occultaverit se, illi intra ipsum pugnant. Molestus est inimicus : multa inducit tibi machinamenta in lucta vel avaritiæ, vel libidinis, vel crapulæ, deliciarum, et vanæ gloriæ. Aggreditur te etiam dormientem; neque enim somni reveretur leges. Quid ergo ages, cui res est cum plurimis hujusmodi hostibus? Vallum fodies? Sed hoc

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ ΛΟΓΟΣ Γ'.

1. Νηστείας καὶ ἱλασμοῦ (23) ὁ καιρὸς οὐ μόνον τῆς τῶν βρωμάτων ἀποχῆς, ἀλλὰ καὶ τῆς τῶν ἁμαρ-
B τιῶν (24) ἀπαλλαγῆς. Ἀπαλλάξαντες τοίνυν ἑαυτοὺς ἀπὸ πάσης ἁμαρτίας, προθύμως νηστεύσωμεν· εἰδότες, ὅτι νηστεία ἀπόφασιν Θεοῦ ἀνεκαλέσατο. Νόμος τοίνυν ἐκκλησιαστικὸς τὴν νηστείαν προμηνύει, κήρυκα μεγαλοφωνότατον προστησάμενος τὸν προφητικὸν καὶ ἀποστολικὸν χορόν. Καλεῖ δὲ οὗτος οὐκ ἄνδρας καὶ πρεσβύτας μόνους, ἀλλὰ καὶ γυναῖκας καὶ παῖδας· τῶν μὲν ἀνανεῶν τὴν νεότητα, τῶν δὲ μεταβάλλων τὴν φύσιν εἰς ἀνδρικὴν ἀρετήν. « Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔνι ἄρσεν καὶ θῆλυ. » Ἆθλα δὲ τοῖς ἀγωνιζομένοις προτίθησι, βασιλείαν οὐρανῶν, καὶ στέφανον ἀειθαλῆ, καὶ ζωὴν αἰώνιον, ἐὰν μετὰ ἁγιωσύνης νηστεύσωμεν, κατὰ τὸν μακάριον Ἰωὴλ τὸν προφήτην λέγοντα· « Ἁγιάσατε νηστείαν, κηρύξατε θε-
C ραπείαν, συναγάγετε νήπια θηλάζοντα μαστούς· ἱερεῖς, κλαύσατε ἐνώπιον θυσιαστηρίου· συγκαλέσατε πρεσβυτέρους. Ἐξελθέτω νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς, καὶ νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ. » Ἅγιος γὰρ ὁ τρόπος τῆς νηστείας, ἁγίῳ Θεῷ ὑπὸ ἁγίων ἁγίως προσφερόμενος. Πάντας τοίνυν ὁ κῆρυξ καλεῖ ἐπὶ τὸν ἀγῶνα. Διαφορὰ δὲ πολλὴ τοῖς ἀθλοῦσι καὶ βίου καὶ ἡλικιῶν. Οὐκ ἔστι δὲ ὁ ἀγὼν πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τὰ πνευματικὰ τῆς πονηρίας. Ἐχθροὺς μὲν γὰρ ἔχων τις πολεμίους ὁρωμένους, ἐὰν μὲν δυνατὸς ᾖ, ἀντιπολεμήσειεν· εἰ δὲ ἀδύνατος, ἀποκρυβεὶς σωθήσεται· ἀοράτους δὲ πολεμίους ἔχων τις, τί ποιήσειεν, ἐὰν μὴ Θεὸν ἐπικαλέσηται βοηθόν; Ἐὰν γὰρ καθεύδῃ, ἐκεῖνοι γρηγοροῦσιν; ἐὰν δὲ ἀποκρύβηται,
D ἐκεῖνοι ἔνδοθεν πολεμοῦσιν. Δεινὸς ὁ ἐχθρός· πολλὰ σοι προσάγει τεχνάσματα κατὰ τὴν πάλην τὴν τῆς φιλοχρηματίας, τὴν τῆς ἀκολασίας, τὴν τῆς κραιπάλης καὶ τρυφῆς καὶ κενοδοξίας. Ἐφίσταταί σοι καὶ καθεύδοντι· οὐδὲ γὰρ τῶν ὕπνων δυσωπεῖται τοὺς νόμους (25). Τί οὖν ποιήσεις πρὸς τοὺς πολλοὺς τούτους πολεμίους ἔχων;

[50] Galat. III, 28. [51] Joel II, 15, 16. [52] Ephes. VI, 12.

(21) F. τοῦ θυμοῦ.
(22) Ὧ ἡ δόξα. Variæ quidem doxologiæ reperiuntur; sed maximam admirationem movet illa in Lupo Ferrariensi, hom. 2 : *Præstante Domino nostro Jesu Christo, qui patria virtute trinus et unus vivit et regnat, in sæcula sæculorum.*

(23) *Ἱλασμοῦ*. Male in codice Augustano, aut saltem in Catalogo illius bibliothecæ, ἱλαρισμοῦ.
(24) Al. ἁμαρτημάτων.
(25) *Οὐδὲ γὰρ τῶν ὕπνων δυσωπεῖται τοὺς νόμους. Neque enim somni reveretur leges.* Sunt leges somni, ut dormientis quies nequaquam obturbetur.

Τάφον (26) ὀρύξαι; Ἀλλὰ καὶ τοῦτον ὑπερβήσεται. Χάρακα προστῆσαι; Ἀλλὰ καὶ τοῦτον διαβήσεται. Πῶς οὖν ἀγωνίσασθαι χρή; πῶς δὲ ἐπισχεῖν τὴν τοσαύτην ἐπιβουλήν; Οὐδὲ γὰρ ὁρᾷν ἐστι τοὺς μαχομένους. Ἀλλ' εὕρηται μέγιστον βοήθημα, νηστεία καὶ προσευχή. Τούτῳ γὰρ τῷ τρόπῳ ἡττῶνται οἱ χείρους τῶν ὁρατῶν πολεμίων, πονηροὶ δαίμονες· ὡς διδάσκει ὁ Κύριος τοὺς μαθητὰς, περὶ τοῦ σεληνιαζομένου λέγων· « Τοῦτο τὸ γένος ἐν οὐδενὶ ἐλαύνεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. » Μέγα οὖν ἀγαθὸν (27) ἀνθρώποις νηστεία, ἥτις ἀπόφασιν Θεοῦ ἀνεκαλέσατο. Ἐκηρύχθη ἐν Νινευῇ τριήμερος καταστροφή· καὶ ἐνίκησεν ἡ πρὸς τὸν Θεὸν ἐπιστροφὴ τὴν καταστροφήν. Ἡ γὰρ ἀπειλὴ τῆς καταστροφῆς διὰ τὴν ἐπιστροφὴν ἀνείθη. Εὐγνώμονες ἁμαρτωλοὶ οἱ Νινευῖται, ἀκούσαντες τοῦ Ἰωνᾶ κηρύσσοντος τὴν καταστροφὴν, τῷ τρόπῳ τῆς νηστείας ἔστησαν τὴν ἀπειλὴν, καὶ τῷ φαρμάκῳ τῆς ἐξομολογήσεως καὶ προσευχῆς ἐπεσπάσαντο τὴν σωτηρίαν.

2. Διὰ τῆς νηστείας Μωσῆς ἐξ οὐρανοῦ τὸν νόμον κατήνεγκεν· διὰ νηστείας ἐξιλάσατο περὶ τῶν μοσχοποιησάντων. Διὰ νηστείας Ἠλίας ἕως οὐρανοῦ ἀνελήφθη, ὅπλον φέρων τῆς σωφροσύνης τὴν νηστείαν· νηστείαν βρωμάτων, καὶ ἀποχὴν ἁμαρτημάτων. Ἐὰν γὰρ τὸ στόμα νηστεύῃ, αἱ δὲ χεῖρες τὰ ἀλλότρια ἁρπάζωσιν, ἀκούεις· « Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος. » Ἐὰν ἀπέχῃ βρωμάτων, καὶ συκοφαντῇς τὸν ἀδελφόν σου, ἀκούεις· « Οὐ τὸ εἰσερχόμενον εἰς τὸ σῶμα, κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα. » Καθαρὰ τοίνυν ἔστω καὶ ἡ κοιλία ἀπὸ βρωμάτων, καὶ ἡ διάνοια ἀπὸ ἁμαρτημάτων. Σύμφωνα ἔστω τὰ ἔνδον τοῖς ἔξω. Μήτε τὸ σῶμα τοῖς σιτίοις βαρυνέσθω, μήτε ἡ ψυχὴ ταῖς κακίαις μολυνέσθω· ἵνα ὁ Θεὸς τῶν ὅλων ἀξίους ἀπεργάσηται ἡμᾶς τῆς οὐρανῶν βασιλείας ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A transgredietur. Fossam interpones? Sed et illam superabit. Qua ergo ratione decertare oportet? quo pacto tantas insidias cohibere? Neque enim cernere datur bellatores. Verum inventum est maximum subsidium, jejunium cum oratione. Hoc enim modo vincuntur qui hostibus visibilibus pejores sunt, mali dæmones: quemadmodum Dominus docet discipulos, de lunatico aiens: « Hoc genus in nullo expellitur, nisi per orationem et jejunium [53]. » Itaque magnum hominibus bonum est, jejunium; quod quidem sententiam Dei revocavit. Prædicata est in Ninive subversio post triduum: et conversio ad Deum vicit subversionem. Subversionis enim comminatio, per conversionem relaxata est. Prudentes peccatores Ninivitæ, audito B Jona subversionem prædicante, per jejunii modum comminationem cohibuerunt, et confessionis precisque remedio attraxerunt salutem.

2. Per jejunium Moses e cœlo legem detulit: per jejunium placavit Deum erga eos qui vitulum fabricaverant. Per jejunium Elias usque ad cœlum assumptus est; arma gerendo castitatis, jejunium; jejunium ciborum, et peccatorum abstinentiam. Si enim os jejunaverit, manus autem aliena rapuerint, audies: « Non tale jejunium elegi, dicit Dominus [54]. » Si abstinueris cibis, et calumniatus fueris fratrem tuum, audies: « Non quod intrat in os, coinquinat hominem, sed quæ procedunt [55]. » Proinde purus sit, et venter a ciC bis, et animus a peccatis. Interiora cum exterioribus consentiant. Neque corpus cibariis aggravetur, neque anima vitiis polluatur: uti cunctorum Deus dignos reddat nos regno cœlorum; in Christo Jesu Domino nostro, cui gloria et imperium in sæcula sæculorum. Amen.

[53] Matth. XVII, 20. [54] Isa. LVIII, 5. [55] Matth. XV, 11.

(26) F. τάφρον.

(27) *Μέγα οὖν ἀγαθόν*. Proferuntur hæc a Simeone Logotheta Concione 10· sed illic perperam ac inutile editum est εὐγνωμόνως τοῦ Ἰωνᾶ κηρύσσοντος.

MONITUM.

Hanc lucubratiunculam jam olim Græce et Latine vulgavit vir doctissimus Franciscus Combefisius in suo *Basilio recensito*, t. II, p. 98-103. Eamdem, qualem edidit, rursus hoc loco edendam esse judicavi. Quid autem de ea sentiam in præfatione aperiam.

ΤΟΥ ΑΥΤΟΥ

Λόγος εἰς τὴν ὑποτύπωσιν τῆς ἀσκήσεως.

D

1. Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προστάσσοντος, « Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ πρὸς τὸ οὖς ἠκούσατε, κηρύξατε ἐπὶ τῶν δωμάτων· » καὶ τοῦ Ἀποστόλου τῆς σιωπῆς τὸ κρίμα φοβερὸν δεικνύντος δι' ὧν φησι πρὸς τοὺς Ἐφεσίων

623 EJUSDEM

de religiosæ exercitationis informatione, sermo.

1. Cum Dominus noster Jesus Christus præcipiat: « Quod vobis dico in tenebris, dicite in luce: et quod auditis in aure, prædicate super tecta [56]; » Apostolus item silentii tremendum judicium ostendens, quibus sic Ephesiorum presbyteros compel-

[56] Matth. X, 27

lat : « Contestor vos hodie, quia mundus sum a sanguine omnium; non enim subterfugi, quominus annuntiarem vobis omnem veritatem et consilium Dei [57]; » quin et nos, idem ut faciamus, admonet, qua scribit : « Hæc commone, contestans coram Deo [58]. » Quia vero res non patitur ut omnibus coram de illis contester, quæ præcepta a Domino sunt, necessarium putavi ut ad vestram omnium in Christo charitatem scriberem, ac me quidem crimine liberarem, vosque adeo in nomine Domini nostri Jesu Christi, eorum quæ officii sunt, certiores efficerem; ut neque vos ex ignorantia in mortis unquam stimulum [59], nempe peccatum, incidatis, ullumve Dei mandatum transgrediamini, de quibus scriptum est : « Mandatum ejus, vita æterna [60], » atque ab ea excidatis dicente Domino : « Qui incredulus est Filio, non videbit vitam, sed ira Dei manebit super eum [61]; » neque nos, eo quod siluerimus, eorum qui ex peccato interierint, sanguinis obnoxii reperiamur. Hinc vero ejusque rei rationem adjungam; primum quidem quæ causa sit, quodve periculum, tantæ Ecclesiarum Dei ac cujusque rebus agendis dissonantiæ et dissensionis; tum deinde certas ex divina Scriptura probationes ac rationes, quibus conficitur, in omnem Deum mandati transgressionem acri tremendaque districtione animadvertere; ut quamvis pleraque quis videatur præstitisse; si tamen pauca, sive etiam unum quodvis mandatum neglexerit, vel etiam peccanti, quasi re media, aut cujus parum aut nihil intersit, acquieverit, silentiumque in eo tenuerit, nec ex judicii Dei ratione probum zelum æmulationemque ostenderit, hinc solum, unoque hoc reatu, pœnas daturus sit; ac vel si per ignorantiam ejusmodi aliquid ei acciderit, ne sic quidem inultus abibit.

A πρεσβυτέρους· « Διαμαρτύρομαι ὑμῖν τῇ σήμερον ἡμέρᾳ, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων· οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν ἀλήθειαν καὶ τὴν βουλὴν τοῦ Θεοῦ· » καὶ ἡμῖν δὲ τὸ αὐτὸ ποιεῖν παραγγέλλοντος ἐν οἷς γράφει· « Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος ἐνώπιον τοῦ Θεοῦ· » ἐπεὶ δὲ κατὰ πρόσωπον ἀναμαρτύρασθαι πᾶσι περὶ τῶν τοῦ Κυρίου προσταγμάτων οὐχ οἷός τέ εἰμι, ἀναγκαῖον ἐνόμισα γράψαι πρὸς τὴν πάντων ὑμῶν ἐν Χριστῷ ἀγάπην, καὶ ἐμαυτὸν μὲν τοῦ κρίματος ἐλευθερῶσαι, ὑμᾶς δὲ περὶ τῶν ἐπιβαλλόντων ὑμῖν πληροφορῆσαι ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἵνα μήτε ὑμεῖς ἐξ ἀγνοίας περιπέσητέ που τῷ κέντρῳ τοῦ θανάτου, ὅπερ ἐστὶν ἡ ἁμαρτία, ἢ παρέλθητέ τινα ἐντολὴν τοῦ Θεοῦ, περὶ B ἧς γέγραπται, ὅτι « Ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι, » καὶ ἐκπέσητε ταύτης, τοῦ Κυρίου λέγοντος· « Ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν· » μήτε ἡμεῖς ἔνοχοι τοῦ αἵματος τῶν ὑπὸ τῆς ἁμαρτίας τεθανατωμένων διὰ τῆς σιωπῆς εὑρεθῶμεν. Προσθήσεται δέ μοι τὸ κρῖμα· πρῶτον μὲν τὴν αἰτίαν καὶ τὸν κίνδυνον τῆς τοσαύτης τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ καὶ ἑκάστου πρὸς τὸ ἔργον διαφωνίας καὶ διαστάσεως· δεύτερον τὰς ἐκ τῆς θεοπνεύστου Γραφῆς ἀποδείξεις περὶ τοῦ πᾶσαν παράβασιν ἐντολῆς Θεοῦ σφοδρῶς καὶ φοβερῶς ἐκδικήσαντος (28). Ὥστε, εἰ καὶ τὰ πλεῖστα κατωρθωκέναι τις δοκεῖ, ὀλίγων δέ που, ἢ καὶ μιᾶς ἡστινοσοῦν ἐντολῆς ἀμελήσει, ἢ καὶ τῷ πλημμελήσαντι ἀδιαφόρως ἐφησυχάσει, καὶ μὴ ζῆλον ἀγαθὸν κατὰ C τὸ κρῖμα τοῦ Θεοῦ ἐπιδείξεται, ἐπὶ ταύτῃ μόνῃ δίκας ὑφέξει· κἂν ἐξ ἀγνοίας πάθῃ τι τοιοῦτον, οὐδὲ οὕτως ἀτιμώρητος διαφεύγει.

2. Ad hæc, piam de Deo ac Patre, unigenitoque ejus Filio ac Deo, necnon Spiritu sancto, confessionem, liber complectetur; tumque eorum notitiam, quæ abs Scriptura præcepta sunt; a quibus abstinendum, ac quibus potissimum sedulo iis adhibenda opera, qui vitæ æternæ ac regni cœlorum desiderio teneantur. Cujusque item gradus seu ordinis propria sigillatim pariter exsequetur, ac præterea, compendiosum brevemque velut characterem, definitionis forma ex Scripturis sacris conabitur dare; affinemque rursus sermonis doctrinæ Dei præpositorum addet characterem : in quibus exacta atque exacte depurgata disciplinæ ratio elucescet; eorumque, ut sic dicam, qui hic discipuli sequuntur dignitas persplendescet. His consequenter adjungam, quæcunque fratrum quæstionibus motus, respondi, disceptando de vita, quæ pie religioseque instituitur; quorum omnium exempla ad vestram in Christo dilectionem transmisi; quo in vobis impleatur illud Apostoli : « Hæc commen-

2. Μετὰ ταῦτα περιέξει τὴν εὐσεβῆ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ καὶ Θεοῦ, καὶ τοῦ ἁγίου Πνεύματος ὁμολογίαν. Ἔπειτα τῶν ὑπὸ τῆς Γραφῆς ἡμῖν διεσταλμένων τὴν γνῶσιν, ὅσων ἀπέχεσθαι χρὴ, καὶ περὶ ἃ μάλιστα ἐσπουδακέναι, τοὺς αἰωνίου ζωῆς καὶ βασιλείας οὐρανῶν ἐφιεμένους· καὶ τὰ ἑκάστου δὲ βαθμοῦ ἢ τάγματος ἐξαίρετα κατ' ἰδίαν ὁμοίως παραθήσεται. Ἐπὶ τού- D τοις οἱονεὶ χαρακτῆρα Χριστιανοῦ κεφαλαιώδη καὶ σύντομον, ὅρου τύπον ἔχοντα, πειράσεται δοῦναι ἡμῖν ἐκ τῶν ἁγίων Γραφῶν ὁ λόγος· καὶ χαρακτῆρα πάλιν παραπλήσιον τῶν προεστώτων τοῦ λόγου τῆς τοῦ Θεοῦ διδασκαλίας· ἐν οἷς τό τε ἀπηκριβωμένον καὶ ἀκριβῶς κεκαθαρμένον τῆς πολιτείας διαφανήσεται· καὶ τὸ, ἵνα οὕτως εἴπω, ἀξίωμα τῶν ἐνταῦθα παρεπόντων ἐκλάμψει. Τούτοις ἀκολούθως ἐπισυναφθήσεται ἡμῖν, ὅσα πρὸς τὴν συζήτησιν τῆς κατὰ Θεὸν ζωῆς ἀπὸ τῶν ἀδελφῶν ἐπερωτηθεὶς, ἀπεκρινάμην. Ὧν ἁπάντων ἀντίγραφα διεπεμψάμην πρὸς τὴν ὑμετέραν ἐν Χριστῷ ἀγάπην· ἵνα πληρωθῇ ἐν

[57] Act. xx, 26, 27. [58] II Tim. ii, 14. [59] I Cor. xv, 56. [60] Joan. xii, 50. [61] Joan. iii, 36.

(28) Ἐκδικεῖν μέλλοντος.

ὑμῖν τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον, ὅτι « Ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. »

A da fidelibus hominibus, qui et alios docere erunt idonei [62]. »

[62] II Tim. II, 2.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΒΑΣΙΛΕΙΟΥ,

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ,

ΠΕΡΙ ΒΑΠΤΙΣΜΑΤΟΣ ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

SANCTI PATRIS NOSTRI BASILII,

ARCHIEPISCOPI CÆSAREÆ CAPPADOCIÆ,

DE BAPTISMO LIBER PRIMUS.

ΛΟΓΟΣ Α'.

Ὅτι δεῖ πρῶτον μαθητευθῆναι τῷ Κυρίῳ, καὶ τότε καταξιωθῆναι τοῦ ἁγίου βαπτίσματος.

1. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἀπολαβὼν τὴν ἐπαγγελίαν τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ, εἰπόντος διὰ Δαβὶδ τοῦ προφήτου· « Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς, » προσλαβόμενος τοὺς ἑαυτοῦ μαθητὰς, φανεροῖ αὐτοῖς πρῶτον τὴν δοθεῖσαν αὐτῷ ἐξουσίαν παρὰ τοῦ Πατρὸς, εἰπών· « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· » καὶ τότε ἀποστέλλει αὐτοὺς, λέγων· « Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. » Ἐπεὶ οὖν, προστάξαντος τοῦ Κυρίου πρῶτον, « Μαθητεύσατε πάντα τὰ ἔθνη, » καὶ τότε ἐπαγαγόντος, « Βαπτίζοντες αὐτοὺς, » καὶ τὰ ἑξῆς, ὑμεῖς μὲν, τὸ πρῶτον σιωπήσαντες, τοῦ δευτέρου τὸν λόγον ἡμᾶς ἀπητήσατε· ἡμεῖς δὲ λογισάμενοι παρ' ἐντολὴν τοῦ Ἀποστόλου ποιεῖν, ἐὰν μὴ εὐθὺς ἀποκρινώμεθα, εἰπόντος· « Ἕτοιμοι ἔσεσθε πρὸς ἀπολογίαν παντὶ τῷ ἐπερωτῶντι (29) ὑμᾶς λόγον· » παρεδώκαμεν τὸν λόγον τοῦ κατὰ τὸ Εὐαγγέλιον τοῦ Κυρίου βαπτίσματος, ἔχοντος δόξαν ὑπὲρ τὸ τοῦ μακαρίου Ἰωάννου· μνημονεύσαντες ὀλίγα ἐκ πολλῶν τῶν περὶ αὐτοῦ ἐν ταῖς θεοπνεύστοις Γραφαῖς εἰρημένων. Ὅμως ἀναγκαῖον εἶναι ἐλογισάμεθα ἐπὶ τὴν παραδεδομέ-

B

624 CAPUT I.

Quod oportet primum Domini doctrina imbui, tumque baptismate sancto initiari.

1. Dominus noster Jesus Christus, unigenitus Dei viventis Filius, cum post resurrectionem ex mortuis accepisset promissionem Dei et Patris, per prophetam Davidem dicentis, « Filius meus es tu, ego hodie genui te; postula a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ [63], » assumpsissetque discipulos suos, eis primum datam sibi a Patre potestatem declarat his verbis: « Data est mihi omnis potestas in cœlo et in terra [64]: » et tunc mittit ipsos, dicens: « Euntes docete omnes gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti, C docentes eos servare omnia quæcunque mandavi vobis [65]. » Cum igitur Domino præcipiente, primum, « Docete omnes gentes, » et deinde subjungente, « Baptizantes eos, » et quæ sequuntur, vos quidem omisso priore posterioris a nobis rationem exegistis; nos vero rati contra mandatum Apostoli facturos nos, si non statim responderemus, cum dicat, « Parati estote ad respondendum cuilibet rationem vos interroganti [66]; » tradidimus doctrinam baptismatis secundum Evangelium Domini, ejusque præstantioris baptismate beati Joannis, sed sic ut pauca ex multis quæ de eo in sacris Scripturis dicta sunt, in medium proferamus. Necessarium tamen duximus, ad traditum a Domino ordinem recurrere, ut sic etiam vos hujus vocis, « Docete, » D vim ac intelligentiam primum edocti, post deinde

[63] Psal. II, 7, 8. [64] Matth. XXVIII, 18-20. [65] ibid. 19, 20. [66] I Pet. III, 15.

(29) Regii duo mss. τῷ ἐρωτῶντι. Mox iidem ἔχον δόξαν. Subinde iidem illi duo mss. ὀλίγον.

doctrina de gloriosissimo baptismate accepta, ad perfectionem prospere perveniretis, discentes servare omnia quæ Dominus discipulis suis præcepit, sicut scriptum est. Hic igitur audivimus dicentem, « Docete : » sed jam opus est de iis quæ alibi de hoc mandato dicta sunt, mentionem facere, ut primum sententiam Deo acceptam asseculi, deinde vero aptum necessariumque ordinem servantes, sic, juxta propositum placendi Deo, ab intelligentia hujus præcepti non aberremus. Familiare est enim Domino, ea quæ alicubi strictim præcepta sunt, per ea quæ in aliis locis relata sunt, perspicue explanare. Quale est illud : « Thesaurizate vobis thesauros in cœlo [67]. » Nam hic simpliciter locutus, quomodo id fieri oporteat, in alio loco declarat, cum ait : « Vendite quæ possidetis, et date eleemosynam : facite vobis sacculos, qui non veterascunt, thesaurum non deficientem in cœlis [68]. » Et multa hujusmodi alia

2. Discipulus igitur est, ut ab ipso Domino
625 discimus, quisquis ad Dominum accedit, ut eum sequatur, hoc est, ut sermones ipsius audiat, credatque, ac ei obediat uti Domino, et regi, et medico, et doctori veritatis, ob spem vitæ æternæ, idque, si modo in his permanserit, sicut scriptum est : « Dicebat igitur ad eos, qui in se crediderant, Judæos : Si vos maneatis in sermone meo, vere discipuli mei estis, et cognoscetis veritatem, et veritas liberabit vos [69]; » sine dubio intelligens animæ libertatem, qua ab amarulenta diaboli tyrannide libera fit, dum a peccatorum dominio liberatur ; « Qui enim, inquit, facit peccatum, servus est peccati [70], » et sub mortis condemnatione constitutus : quemadmodum etiam tradidit nobis Paulus apostolus, cum ait : « Eum enim qui peccatum non novit, peccatum pro nobis fecit, ut nos efficeremur justitia Dei in ipso [71] ; » et rursus, « Sicut enim per inobedientiam unius hominis, peccatores constituti sunt multi, ita per unius obedientiam, justi constituentur multi [72]. » Qui autem credit Domino, seque idoneum exhibet ad docendum, discat oportet primum quidem desistere a peccato omni : deinde vero a re quacunque secedere, quæ ab obedientia Domino debita multas ob causas retrahat, etiamsi speciosæ esse videantur. Fieri enim non potest, ut qui peccatum patrat, aut hujus vitæ negotiis implicatur, aut de rebus ad vitam necessariis sollicitus est, servus sit Domini, nedum discipulus illius, qui non prius adolescenti dixit, « Veni, sequere me [73], » quam præcepisset ut bona sua venderet, daretque pauperibus. Imo ne hoc quidem ante præcepit, quam ita ipse confes-

A νην ὑπὸ τοῦ Κυρίου τάξιν ἀναδραμεῖν, ἵνα οὕτω καὶ ὑμεῖς πρῶτον τοῦ, « Μαθητεύσατε, » τὴν δύναμιν γνόντες, εἶτα ἀκολούθως τὸν περὶ τοῦ ἐνδοξοτάτου (30) βαπτίσματος λόγον παραλαβόντες, ἐπὶ τὴν τελειότητα εὐοδωθῆτε, διδασκόμενοι τηρεῖν ὅσα πάντα ἐνετείλατο ὁ Κύριος τοῖς ἰδίοις μαθηταῖς, καθὼς γέγραπται. Ἐνταῦθα μὲν οὖν, « Μαθητεύσατε, » εἰπόντος, ἠκούσαμεν· λοιπὸν δὲ χρεία τῶν ἀλλαχοῦ περὶ τοῦ τοιούτου εἰρημένων προστάγματος μνημονεῦσαι, ἵνα πρῶτον μὲν τὸ φρόνημα εὐάρεστον τῷ Θεῷ κατορθώσαντες, ἔπειτα δὲ τὴν πρέπουσαν καὶ ἀναγκαίαν τάξιν φυλάξαντες, οὕτω τοῦ δυνατοῦ, κατὰ σκοπὸν τῆς πρὸς Θεὸν εὐαρεστήσεως, μὴ ἐκπέσωμεν. Σύνηθες γὰρ τῷ Κυρίῳ τὰ ὁριστικῶς που προσταχθέντα διὰ τῶν ἐν ἄλλοις τόποις εἰρημένων σαφῶς
B παραδιδόναι· ὡς τὸ, « Θησαυρίζετε ὑμῖν θησαυροὺς ἐν οὐρανῷ. » Ἁπλῶς γὰρ οὕτως εἰπὼν ἐνταῦθα, τὸ, πῶς, ἐν ἑτέρῳ τόπῳ σαφηνίζει, λέγων· « Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην· ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. » Καὶ πολλὰ ἄλλα ὁμοίως.

2. Μαθητὴς μὲν οὖν ἐστιν, ὡς μανθάνομεν παρ' αὐτοῦ τοῦ Κυρίου, πᾶς ὁ τῷ Κυρίῳ προσερχόμενος, ὥστε ἀκολουθεῖν αὐτῷ, τουτέστιν, ἀκούειν τῶν λόγων αὐτοῦ (31)· πιστεύειν τε καὶ πείθεσθαι αὐτῷ, ὡς Δεσπότῃ, καὶ βασιλεῖ, καὶ ἰατρῷ, καὶ διδασκάλῳ ἀληθείας, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, καὶ τοῦτο ἐὰν μένῃ ἐν αὐτοῖς, καθὼς γέγραπται· « Ἔλεγεν οὖν πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐὰν
C ὑμεῖς μείνητε (32) ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστὲ, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς· » ἐλευθερίαν δηλονότι ψυχῆς, ἀπὸ τῆς τοῦ διαβόλου πικρᾶς τυραννίδος, ἐν τῷ ῥυσθῆναι ἀπὸ τῆς τῶν ἁμαρτημάτων καταδυναστείας· « Ὁ γὰρ ποιῶν, φησὶ, τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας, » καὶ τῆς κατακρίσεως τοῦ θανάτου· καθὼς καὶ παρέδωκεν ἡμῖν Παῦλος ὁ Ἀπόστολος εἰπών· « Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ἁμαρτίαν ὑπὲρ ἡμῶν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ· » καὶ πάλιν· « Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτω διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. » Τὸν δὲ πιστεύοντα τῷ Κυρίῳ, καὶ προσάγοντα ἑαυτὸν ἐπιτή-
D δειον εἰς μαθητείαν, μανθάνειν δεῖ πρῶτον μὲν ἀφίστασθαι παντὸς ἁμαρτήματος· ἔπειτα δὲ καὶ παντὸς ἀφέλκοντος τῆς ὀφειλομένης κατὰ πολλοὺς λόγους τῷ Κυρίῳ εὐπειθείας, κἂν εὐλογοφανεῖς εἶναι δοκῶσιν. Ἀδύνατον γὰρ, ἁμαρτίαν ποιοῦντα, ἢ ἐμπλεκόμενον ταῖς τοῦ βίου τούτου πραγματείαις, ἢ ἐν φροντίδι καὶ αὐτῶν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, δουλεῦσαι, οὐχ ὅτι γε μαθητευθῆναι, τῷ Κυρίῳ τῷ οὐ πρότερον εἰπόντι τῷ νεανίσκῳ, « Δεῦρο, ἀκολούθει μοι, » πρὶν ἐντείλασθαι πωλῆσαι τὰ ὑπάρχοντα, καὶ

[67] Matth. VI, 20. [68] Luc. XII, 33. [69] Joan. VIII, 31, 32. [70] ibid. 34. [71] II Cor. V, 21. [72] Rom. V, 19. [73] Matth. XIX, 21.

(30) Regii duo mss. τοῦ ἐνδόξου.
(31) Unus ms. τὸν λόγον αὐτοῦ.
(32) Veteres duo libri μείνητε. Editi μένητε

δοῦναι τοῖς πτωχοῖς. Ἀλλ' οὐδὲ τοῦτο προσέταξε, πρὶν ὁμολογῆσαι αὐτὸν, ὅτι « Ταῦτα πάντα ἐφύλαξα. » Ὁ γὰρ μήπω λαβὼν (33) τὴν ἄφεσιν τῶν ἁμαρτημάτων, καὶ καθαρισθεὶς ἀπὸ τούτων ἐν τῷ αἵματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δουλεύων δὲ τῷ διαβόλῳ, καὶ κρατούμενος ὑπὸ τῆς ἐνοικούσης αὐτῷ ἁμαρτίας, ἀδυνάτως ἔχει δουλεῦσαι τῷ Κυρίῳ, τῷ ἀπαράβατον ἀπόφασιν δεδωκότι, ἐν τῷ εἰπεῖν· « Ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας· ὁ δὲ δοῦλος τῆς ἁμαρτίας οὐ μένει ἐν τῇ οἰκίᾳ. » Μαρτυρεῖ δὲ καὶ ὁ ἐν Χριστῷ λαλῶν Παῦλος, γράφας· Ὁ δὲ δοῦλος τῆς ἁμαρτίας ἐλεύθερός ἐστιν ἀπὸ τῆς δικαιοσύνης. Καὶ πάλιν ὁ Κύριός φησιν· « Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν, » καὶ τὰ ἑξῆς. Καὶ ἔδειξε δι' ὧν ἐδίδαξεν ὁριστικῶς καὶ πολυτρόπως, B ὅτι οὔτε οἱ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἑαυτοῖς μεριμνᾷν ἀνεχόμενοι δουλεύειν Θεῷ δύνανται, οὐχ ὅτι γε μαθητευθῆναι (34). Ὅθεν ἔμαθεν ὁ Ἀπόστολος πλατύτερον θεωρήσας εἰπεῖν· « Τίς μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἢ τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; » Καὶ πάλιν ὁριστικῶς· « Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. Ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε. » Ἔτι δὲ (35) ἐντρεπτικώτερον ἡμῖν παραδιδοὺς, τί εἶπε, μνημονεύσωμεν. « Οἶδα μὲν γὰρ, ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω C ἀγαθὸν, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ κακὸν, τοῦτο ποιῶ. Εἰ δὲ ὃ οὐ θέλω ἐγὼ, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ, ὅτι καλός. Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. » Καὶ τοῦτο αὐτὸ τὸ θεώρημα διὰ πλειόνων ἐπεξεργασάμενος, ὅτι ἀδύνατον τὸν κρατούμενον ὑπὸ ἁμαρτίας δουλεύειν τῷ Κυρίῳ, φανερῶς ὑποδεικνύει ἡμῖν τὸν λυτρούμενον ἡμᾶς ἐκ τῆς τοιαύτης τυραννίδος ἐν τῷ εἰπεῖν· « Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. » Καὶ μετ' ὀλίγα ἐπάγει· « Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν (36). »

3. Καὶ διὰ τῶν ἐν ἑτέρῳ τόπῳ εἰρημένων τὴν με- D γάλην τῆς φιλανθρωπίας χάριν τοῦ Θεοῦ διὰ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σαφῶς παρίστησιν, εἰπών· « Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. » Ἐν ἑτέρῳ δὲ τόπῳ θαυμασιωτέραν θεωρῶν τὴν ἐν Χριστῷ φιλαν-

A sus esset: « Hæc omnia custodivi [74]. » Qui enim nondum veniam peccatorum consecutus est, nec ab iis purgatus est in sanguine Domini nostri Jesu Christi, sed servit diabolo, et ab inhabitante in se peccato detinetur, non potest Domino servire, qui sententiam stabilem protulit, cum dixit: « Qui facit peccatum, servus est peccati: servus vero peccati non manet in domo [75]. » Testatur hoc idem et qui in Christo loquebatur Paulus, cum scribit: Qui vero servus est peccati, liber est a justitia [76]. Et iterum Dominus dicit: « Nemo potest duobus dominis servire [77], » etc. Ex iis autem quæ breviter et fuse docuit, ostendit, qui de rebus sibi ad vivendum necessariis anxii sunt, eos ne servos quidem Dei esse posse, nedum discipulos. Unde re amplius considerata didicit Apostolus dicere: « Quæ participatio justitiæ cum iniquitate? aut quæ societas lucis ad tenebras? quæ autem conventio Christi ad Belial? aut quæ pars fideli cum infideli? qui autem consensus templo Dei cum idolis [78]? » Ac rursus definite ait: « Caro concupiscit adversus spiritum, spiritus vero adversus carnem. Hæc enim sibi invicem adversantur, ut non quæcunque vultis, illa faciatis [79]. » Atque adhuc etiam modo ad pudorem incutiendum aptiore docens nos, quid dixerit, referamus. « Scimus enim, inquit, quia lex spiritualis est: ego autem carnalis sum, venumdatus sub peccato. Quod enim operor, non intelligo: non **626** enim quod volo bonum, hoc ago: sed quod odi malum, illud facio. Si autem quod nolo ego, illud facio, consentio legi, quoniam bona est. Nunc vero non jam ego operor illud, sed quod habitat in me peccatum [80]. » Et ubi hanc ipsam contemplationem pluribus persecutus est, quod fieri non possit, ut homo in quo peccatum dominatur, Domino serviat, manifeste nobis commonstrat eum, qui nos ex ejusmodi tyrannide exemit, cum dicit: « Infelix ego homo, quis me liberabit de corpore mortis hujus? Gratias ago Deo per Jesum Christum Dominum nostrum [81]. » Et paulo post addit: « Nihil ergo nunc damnationis est iis qui sunt in Christo Jesu, qui non secundum carnem ambulant [82]. »

3. Quin etiam ex iis quæ alio in loco dicta sunt, magnum benignitatis Dei beneficium, per incarnationem Domini nostri Jesu Christi collatum, palam ostendit his verbis: « Sicut enim per inobedientiam unius hominis peccatores constituti sunt multi, ita et per obedientiam unius justi constituentur multi [83]. » Et alibi considerans Dei in Christo benignitatem, eamque magis admirabilem,

[74] Matth. XIX, 20. [75] Joan. VIII, 34. [76] Rom. VI, 20. [77] Matth. VI, 24. [78] II Cor. VI, 14-16. [79] Gal. V, 17. [80] Rom. VII, 14-17. [81] Rom. VII, 24. [82] Rom. VIII, 1. [83] Rom. V, 19.

(33) Codices duo μήπω λαβών. Editi μὴ λαβών.
(34) Antiqui tres libri μαθητεύειν. Editi μαθητευθῆναι.
(35) Codices duo Ὅτι δέ.
(36) Sic antiqui tres libri. Editi ἐν Χριστῷ Ἰησοῦ τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ τὸ πνεῦμα. Καί.

ait: « Eum enim qui peccatum non novit, pro nobis peccatum fecit, ut nos efficeremur justitia Dei in ipso [84]. » Omnino igitur necesse est tum ex dictis, tum ex similibus locis nisi inaniter gratiam Dei susceperimus, primum liberari nos ab imperio diaboli, qui hominem peccato mancipatum ad mala quæ non vult inducit, deinde unumquemque, posteaquam præsentia omnia et seipsum abnegaverit, atque a vitæ studio recesserit, discipulum fieri Domini, quemadmodum dixit ipse: « Si quis venit ad me, abneget semetipsum, et tollat crucem suam, et sequatur me [85], » hoc est, discipulus meus fiat. Cæterum hoc idem in Lucæ Evangelio, cujus verba haud multo post referemus, latius, clariusque et significantius tradit. Liberamur autem omnes a tali peccatorum multa, quotquot credimus, gratia Dei, quæ est per unigenitum ipsius Filium Dominum nostrum Jesum Christum, qui dixit: « Hic est sanguis meus Novi Testamenti, qui pro multis effundetur in remissionem peccatorum. [86] » Sed et Apostolus idem testatur, cum scribit, nunc quidem, « Diligite vos mutuo, sicut et Christus dilexit nos, et tradidit semetipsum oblationem et hostiam Deo [87]: » nunc vero, « Christus nos redemit de maledicto legis [88]; » et alia ejusdem generis multa. Cum igitur data fuerit venia peccatorum, tunc accipit homo libertatem a peccato, ab eo qui nos redemit Jesu Christo Domino nostro, ut possit ad verbum accedere. Necdum tunc quispiam dignus est qui sequatur Dominum (iterum hoc dico), qui non prius adolescenti dixit, « Veni, sequere me, » quam dixisset, « Vende quæ habes, et da pauperibus [89]. » Imo ne hoc quidem ante præcepit, quam se ab omni transgressione purum esse confessus esset, dicens, fecisse se omnia quæ fuerant a Domino dicta. Quamobrem ea in re etiam ordinem servare necessarium est. Non autem ea tantum, quæ quovis modo habemus, et quæ ad vitæ usum necessaria sunt, contemnere docemur: sed ea etiam jura ac **627** officia, quæ tum lege, tum natura inter nos stabilita sunt aspernari discimus, Domino nostro Jesu Christo dicente: « Qui amat patrem aut matrem supra me, non est me dignus [90]: » quod similiter et de reliquis intelligendum est, qui nobis sunt proximi, et sine dubio multo magis de alienis, de iisque, qui a fide peregrini sunt. Quibus subjungit: « Qui non accipit crucem suam, et sequitur me, non est me dignus [91]: » quod cum præstaret Apostolus, ita ad nos erudiendos scribit: « Ego mundo crucifixus sum, et mundus mihi [92]. »

A θρωπίαν τοῦ Θεοῦ, φησί· « Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ. » Ἀνάγκη οὖν πᾶσα ἔκ τε τῶν μνημονευθέντων καὶ τῶν ὁμοίων, εἴ γε μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ ἐδεξάμεθα, ῥυσθῆναι πρῶτον τῆς δυναστείας (37) τοῦ διαβόλου, ἐνάγοντος τὸν ὑφ' ἁμαρτίας κρατούμενον ἐφ' ἃ μὴ βούλεται κακὰ, καὶ τότε ἀπαρνησάμενον πάντα τὰ παρόντα, καὶ ἑαυτὸν, τῆς τε προσπαθείας τοῦ ζῆν ἀναχωρήσαντα, μαθητευθῆναι τῷ Κυρίῳ, καθὼς αὐτὸς εἶπεν· « Εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι, » ὅπερ ἐστὶ, μαθητής μου γινέσθω (38). Τὸ δὲ αὐτὸ πλατύτερον καὶ ἀποδεικτικώτερον καὶ ἀποφαντικώτερον παραδίδωσιν ἐν τῷ κατὰ Λουκᾶν B Εὐαγγελίῳ, οὗ μνημονεύσομεν μετ' ὀλίγα. Λυτρούμεθα δὲ πάντες τῆς τοιαύτης τῶν ἁμαρτιῶν κατακρίσεως οἱ πιστεύοντες τῇ χάριτι τοῦ Θεοῦ τῇ διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· « Τοῦτο μου ἐστὶ τὸ αἷμα τὸ τῆς Καινῆς Διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· » μαρτυροῦντος δὲ καὶ τοῦ Ἀποστόλου δι' ὧν γράφει ποτὲ μέν· « Ἀγαπᾶτε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ· » ποτὲ δέ· « Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου· » καὶ πολλὰ τοιαῦτα. Ὅταν οὖν δοθῇ ἄφεσις τῶν ἁμαρτημάτων, τότε λαμβάνει ὁ ἄνθρωπος τὴν ἀπὸ τῆς ἁμαρτίας ἐλευθερίαν παρὰ C τοῦ ἐξαγοράσαντος ἡμᾶς Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, εἰς τὸ δύνασθαι προσελθεῖν τῷ λόγῳ. Καὶ τότε οὔπω τίς ἐστιν ἄξιος ἀκολουθῆσαι τῷ Κυρίῳ (πάλιν λέγω), οὐ πρότερον εἰπόντι τῷ νεανίσκῳ, « Δεῦρο, ἀκολούθει μοι, » πρὶν εἰπεῖν, « Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. » Ἀλλ' οὐδὲ τοῦτο προσέταξε, πρὶν ὁμολογῆσαι αὐτὸν καθαρεύειν πάσης παραβάσεως, τῷ εἰπεῖν πεποιηκέναι πάντα τὰ ὑπὸ τοῦ Κυρίου εἰρημένα. Ὡς καὶ ἐν τούτῳ τὴν τάξιν φυλάττεσθαι ἀναγκαῖον. Οὐ μόνον δὲ ὑπαρχόντων, καὶ τῶν ἀναγκαίων πρὸς τὸ ζῆν καταφρονεῖν διδασκόμεθα, ἀλλὰ καὶ τῶν πρὸς ἀλλήλους νενομισμένων κατά τε νόμον καὶ φύσιν δικαίων καθηκόντων ὑπερφρονεῖν διδασκόμεθα (39), τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· « Ὁ ἀγαπῶν D πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος· » ὁμοίως καὶ περὶ τῶν λοιπῶν τῶν ἐγγυτάτων οἰκείων (40), δῆλον δὲ, ὅτι πολὺ πρότερον τῶν πῤῥωτέρω καὶ ξένων τῆς πίστεως. Οἷς ἐπάγει· « Ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος· » ὅπερ κατορθώσας ὁ

[84] II Cor. v, 21. [85] Matth. xvi, 24. [86] Matth. xxvi, 28. [87] Ephes. v 2. [88] Gal. iii, 13. [89] Luc. xviii, 22. [90] Matth. x, 37. [91] ibid. 38. [92] Gal. vi, 14.

(37) Unus ms. et editi τῆς καταδυναστείας. Alii duo τῆς δυναστείας.
(38) Veteres duo libri γινέσθω. Editi γενέσθω. Mox unus ms. ὃ μνημονεύσομεν. Alii duo ὧν μν. κ. τ. λ.
(39) Antiqui duo libri ὑπερφρονεῖν παιδευόμεθα.
(40) Editi τῶν ἐγγυτάτων. At mss. tres τῶν ἐκείνων ἐγγυτάτων οἰκείων. Notabo quasi præteriens, vocem ἐγγυτάτων videri positam hic fuisse pro ἐγγυτάτω.

Ἀπόστολος, εἰς ἡμετέραν διδασκαλίαν γράφει· «Ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι, καὶ ὁ κόσμος ἐμοί. Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός.»

4. Πάλιν δὲ τοῦ Κυρίου ἔστι μνημονεῦσαι, εἰπόντος κατὰ πρόσωπον ἑκάστῳ (41), τῷ μὲν εἰπόντι, «Ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ, ἀπελθὼν, διάγγελλε τὴν βασιλείαν τοῦ Θεοῦ·» τῷ δὲ εἰπόντι· «Ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ συντάξασθαι (42) τοῖς εἰς τὸν οἶκόν μου,» ἐπιπληκτικώτερον καὶ μετὰ ἀπειλῆς σφοδροτέρας. Εἶπε γάρ· «Οὐδεὶς τὴν χεῖρα θεὶς ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.» Οὕτω καὶ τὸ πρὸς ὀλίγον ἀναβολὴν ἐμποιοῦν τῇ ὀφειλομένῃ τῷ Κυρίῳ ἀμετεωρίστῳ ὑπακοῇ καθῆκον ἀνθρώπινον, κἂν δοκῇ εὔλογον εἶναι, ἀλλότριόν ἐστι τοῦ θέλοντος μαθητευθῆναι τῷ (43) Κυρίῳ, καὶ ἀπειλῆς δεινοτέρας ἄξιον. Καθολικώτερον δὲ νομοθετεῖ λέγων· «Εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.» Ἐὰν δὲ ἔλθωμεν εἰς μνήμην τῶν ὑπὸ τοῦ Κυρίου εἰρημένων πρὸς τὸν (44) εἰπόντα· «Μακάριος ὃς φάγεται ἄρτον (45) ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ·» φοβερώτερον κρῖμα ὀργῆς καὶ ἀποτομίας μανθάνομεν, καὶ πάσης ἐλπίδος ἀγαθῆς ἀπαλλοτριοῦν τοὺς τοιούτους. Λέγει δὲ οὕτως· «Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς. Καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα. Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. Ὁ πρῶτος εἶπεν· Ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν, καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε με παρῃτημένον. Καὶ ἕτερος εἶπε· Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά· ἐρωτῶ σε, ἔχε με παρῃτημένον. Καὶ ἕτερος εἶπε· Γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν. Καὶ παραγενόμενος ὁ δοῦλος ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δούλῳ αὐτοῦ· Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς, καὶ ἀναπήρους, καὶ τυφλοὺς, καὶ χωλοὺς εἰσάγαγε ὧδε. Καὶ εἶπεν ὁ δοῦλος· Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστίν. Καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον αὐτοῦ· Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου. Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων (46) γεύσεταί μου τοῦ δείπνου.» Πάλιν δὲ αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἀποσταλεὶς παρὰ τοῦ Πατρὸς, οὐχ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον, ἑαυτῷ ἐμμένων, καὶ τὸ

A Vivo autem jam non ego : vivit vero in me Christus [93]. »

4. Rursus autem Domini meminisse juvat, qui unicuique in faciem, alii quidem dicenti, « Permitte mihi primum abire, et sepelire patrem meum, » ait : « Sine ut mortui sepeliant mortuos suos : tu vero abiens, annuntia regnum Dei [94]; » alii vero qui dixerat : « Permitte mihi prius ut abeam, et disponam res domi meæ, » severius et cum comminatione vehementiore respondit. Dixit videlicet : « Nemo admovens manum ad aratrum, et conversus retro, aptus est regno Dei [95]. » Adeo humanum omne officium, quod vel modicam dilationem jugi obedientiæ Domino debitæ affert, etiamsi B honestum esse videatur, alienum est ab eo qui vult esse discipulus Domini, minisque gravioribus dignum habetur. Generalius autem decernit, cum dicit : « Si quis venit ad me, abneget semetipsum, et tollat crucem suam, et sequatur me. [96]. » Quod si revocemus in memoriam verba Domini ad eum qui dixit, « Beatus qui comedit panem in regno Dei [97]; » discimus magis horrendum iræ ac severitatis judicium, et quod ejusmodi homines ab omni bona spe abalienet. Ita autem loquitur : « Homo quidam fecit cœnam magnam, et vocavit multos. Et misit servum suum hora cœnæ, qui diceret invitatis : Venite, quia jam parata sunt omnia. Et cœperunt excusare se simul omnes. Primus dixit : C Villam emi, et necesse mihi est exire, et videre illam : rogo te, habe me excusatum. Et alter dixit : Juga boum emi quinque, et eo ad probandum illa; rogo te, habe me excusatum. Et alius dixit : Uxorem duxi, et ideo non possum venire. Et reversus servus nuntiavit hæc domino suo. Tunc iratus paterfamilias dixit servo suo : Exi cito in plateas et vicos civitatis, et pauperes, ac debiles, et cæcos, et claudos introduc huc. Et ait servus : Domine, factum est ut imperasti, et adhuc locus est. Et ait dominus servo suo : Exi in vias et sepes, et compelle intrare, ut impleatur domus mea. Dico enim vobis, quod nemo virorum illorum qui vocati sunt, gustabit cœnam meam [98]. » Rursus autem unigenitus ipse Dei viventis Filius, qui missus est a Patre, D non ut judicet mundum, sed ut servet mundum [99], constans sibiipsi, et voluntatem boni Dei et Patris **628** sui adimplens, severitatis sententiam proferens, doctrinam subjungit, quæ nos reddat dignos, qui ipsius fiamus discipuli, et ait : « Si quis venit ad me, et non odit patrem suum, et matrem et uxo-

[93] Gal. II, 20. [94] Luc. IX, 59, 60. [95] ibid. 61, 62 [96] Matth. XVI, 24. [97] Luc. XIV, 15. [98] ibid. 16-24. [99] Joan. XII, 47.

(41) Illud, *εἰπόντος κατὰ πρόσωπον ἑκάστῳ, qui unicuique in faciem dixit*, ita accipi oportet : Quod Dominus uni homini in faciem dixit, id omnibus in faciem dixisse putandus est.

(42) Editi et mss. συντάξασθαι. Vulgata ἀποτάξασθαι.

(43) Antiqui tres libri μαθητεῦσαι τῷ.

(44) Editi Κυρίου πρὸς τόν. Regii primus et tertius Κυρίου εἰρημένων πρός.

(45) Nostri tres mss. φάγεται ἄριστον. Aliquanto post iidem codices τοὺς δούλους. Subinde Reg. secundus εἶπεν αὐτῷ· Ἀγρόν.

(46) Illud, τῶν κεκλημένων, in mss. nostris non legitur.

rem suam, et liberos, et fratres, et sorores, adhuc autem et animam suam, non potest meus esse discipulus [1]. » Odium videlicet præcipitur, non quod insidiarum struendarum studium impertiat, sed pietatis virtutem pariat, ne iis quæ ab ipsa retrahunt, morem geramus. « Et quisquis, » inquit, « non bajulat crucem suam, et sequitur me, non potest meus esse discipulus [2]. » Quod per baptisma in aqua collatum videmur pacisci, cum confiteamur, nos simul crucifixos esse, simul mortuos, simul sepultos, et quæ sequuntur, sicut scriptum est [3].

A θέλημα τοῦ ἀγαθοῦ Θεοῦ καὶ Πατρὸς αυτου πληρῶν, τῇ ἀποφάσει τῆς ἀποτομίας διδασκαλίαν ἐπάγει, τὴν ἀξίους ἡμᾶς ποιοῦσαν μαθητὰς αὐτοῦ γενέσθαι, καί φησιν· « Εἴ τις ἔρχεται πρὸς μὲ, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, καὶ τας ἀδελφὰς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου εἶναι μαθητής. » Μῖσος δηλονότι, οὐ μελέτην ἐμποιοῦν ἐπιβουλῆς, ἀλλ' ἀρετὴν θεοσεβείας ἐν παρακοῇ τῶν ἀφελκόντων. « Καὶ ὅστις, φησὶν, οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐ δύναται εἶναί μου μαθητής. » Ὅπερ συντεθεῖσθαι δοκοῦμεν διὰ τοῦ ἐν τῷ ὕδατι βαπτίσματος, ὁμολογοῦντες συνεσταυρῶσθαι (47), συντεθνηκέναι, συντεθάφθαι, καὶ τὰ ἑξῆς, καθὼς γέγραπται.

5. Cæterum considerata imbecillitate nostra, etiam per exempla voluit animum nostrum in veritatis certa persuasione confirmare, nosque ad obedientiam reddere paratiores, cum ait [4]: « Quis enim ex vobis volens turrim ædificare, non prius sedens computat sumptus, an habeat quibus opus habet ad perficiendum, ne postquam posuerit fundamentum, et non potuerit perficere, omnes qui viderint, incipiant illudere ei, dicentes : Hic homo cœpit ædificare, et non potuit consummare? Aut quis rex proficiscens ad committendum prælium cum altero rege, non sedens prius cogitat, si possit cum decem millibus occurrere ei, qui cum viginti millibus venit ad se? Alioqui adhuc illo longe agente, legationem mittens, rogat ea quæ pacis sunt. Sic ergo omnis ex vobis, qui non renuntiat omnibus, quæ possidet, non potest meus esse discipulus. Bonum est sal; si vero sal infatuatum fuerit, in quo condietur? Neque in terram, neque in sterquilinium utile est; foras projiciunt illud. Qui habet aures ad audiendum, audiat. » Si fidem his habeamus, liberati primum a diaboli tyrannide, ut qui ab omni re diabolo grata abstineamus, idque dono Dei per Dominum nostrum Jesum Christum, si modo non frustra ejusmodi donum susceperimus, deinde renuntiantes non solum mundo, ejusque cupiditatibus, sed et juribus etiam atque officiis mutuis, itemque nostræ ipsorum vitæ, si quid horum nos a debita Deo obedientia, quæ intenta veloxque esse debet, abstraxerit, ita demum digni sumus, qui Domini efficiamur discipuli. Præterea discimus et a Moyse, et a prophetis, et ab evangelistis, et ab apostolis, omnia tam visibilia quam invisibilia initio a Deo per unigenitum suum Filium Dominum et Deum nostrum Jesum Christum condita fuisse : docemur quoque et ea, quæ in divinis Scripturis narrantur de Dei bonitate atque severitate in multa patientia, ad justitiam ejus declarandam, et ad erudiendum nos, et vati-

5. Στοχαζόμενος δὲ τῆς ἡμετέρας ἀσθενείας, καὶ δι'
B ὑποδειγμάτων ηὐδόκησε βεβαιῶσαι ἡμῶν τὰς καρδίας ἐν πληροφορίᾳ τῆς ἀληθείας, καὶ ἑτοιμοτέρους κατεργάσασθαι πρὸς ὑπακοὴν, δι' ὧν φησι· « Τίς γὰρ ἐξ ὑμῶν, θέλων πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμὸν, ἵνα μήποτε, θέντος (48) αὐτοῦ θεμέλιον, καὶ μὴ ἰσχύοντος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται αὐτῷ ἐμπαίζειν, λέγοντες, ὅτι Οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι; Ἢ τίς βασιλεὺς, πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ καθίσας πρότερον βουλεύεται, εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ' αὐτόν; Εἰ δὲ μήγε, ἔτι πόῤῥω αὐτοῦ ὄντος, πρεσβείαν ἀποστείλας, ἐρωτᾷ τὰ πρὸς εἰρήνην.
C Οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται; Οὔτε εἰς τὴν γῆν, οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν· ἔξω βάλλουσιν αὐτό. Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. » Εἰ τούτοις πιστεύομεν, ἐλευθερωθέντες πρῶτον τῆς τοῦ διαβόλου καταδυναστείας, ἐν τῷ ἀπέχεσθαι παντὸς ἐπιθυμητοῦ πράγματος τῷ διαβόλῳ, χάριτι τοῦ Θεοῦ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἴ γε μὴ εἰς κενὸν ἐδεξάμεθα τὴν τοιαύτην χάριν, ἔπειτα (49) ἀποταξάμενοι οὐ μόνῳ τῷ κόσμῳ καὶ ταῖς ἐπιθυμίαις αὐτοῦ, ἀλλὰ καὶ τοῖς πρὸς ἀλλήλους δικαίοις καθήκουσιν, ἔτι δὲ καὶ τῇ ἑαυτῶν ζωῇ, ὅταν τι τούτων ἀφέλκῃ ἡμᾶς ἀπὸ τῆς ὀφειλομένης τῷ Θεῷ ἀμετεωρίστου καὶ ταχείας ὑπακοῆς, οὕτω
D καταξιούμεθα μαθηταὶ τοῦ Κυρίου γενέσθαι· παιδευόμενοι λοιπὸν ὑπό τε Μωϋσέως καὶ τῶν προφητῶν, εὐαγγελιστῶν τε καὶ ἀποστόλων, τήν τε ἐν ἀρχῇ τοῦ Θεοῦ διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ποίησιν πάντων ὁρατῶν τε καὶ ἀοράτων, τά τε ἱστορούμενα ἐν ταῖς θεοπνεύστοις Γραφαῖς τῆς τοῦ Θεοῦ χρηστότητος καὶ ἀποτομίας ἐν πολλῇ μακροθυμίᾳ, πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ καὶ παιδείαν ἡμετέραν· τάς τε προφητείας

[1] Luc. XIV, 26. [2] ibid. 27. [3] Rom. VI, 4, sqq. [4] Luc. XIV, 28-35.

(47) Veteres duo libri συνσταυροῦσθαι.

(48) Editi μήπω θέντος. Reg. tertius emendatus μήποτε θέντος. Alter codex Reg. μήπω τεθέντος, culpa librarii, qui voculam τε conjunxit cum voce θέντος, cum eam conjungere debuisset cum voce μήπω, sed ita tamen, ut scripsisset non μήπω, sed μήπο, ut sit μήποτε. Statim Reg. tertius μὴ ἰσχύσαντος ἐκτελέσαι. Nec ita multo post Reg. secundus πρῶτον βουλεύεται.

(49) Unus ms. ἔπειτα δέ.

τῆς ἐνανθρωπήσεως (50) τοῦ Κυρίου ἡμῶν Ἰησοῦ, καὶ τῶν τότε συνεμπιπτόντων ἐναντίων ἀλλήλοις πραγμάτων· καὶ περὶ τῆς ἐκ νεκρῶν ἐνδόξου ἀναστάσεως καὶ ἀναλήψεως, καὶ τῆς ἐνδοξοτάτης ἐπιφανείας ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος· τά τε δόγματα τῆς κατὰ τὸ Εὐαγγέλιον ὁλοκλήρου καὶ εὐπροσδέκτου τῷ Θεῷ εὐσεβείας ἐν ἀγάπῃ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, καὶ ἐπουρανίου βασιλείας, καὶ τὰ κρίματα τῆς δικαίας ἀνταποδόσεως τῶν τε ποιούντων τὰ ἀπηγορευμένα, ἢ ἀθετούντων τὰ ἐγκεκριμένα εἰς κόλασιν αἰώνιον, καὶ τῶν ἀξίως τοῦ Εὐαγγελίου Θεοῦ (51) πολιτευομένων ἐν ὑγιαινούσῃ πίστει δι' ἀγάπης Χριστοῦ ἐνεργουμένῃ (52) ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, καὶ ἐπουρανίου βασιλείας τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

A cinia de incarnatione Domini nostri Jesu Christi, 629 et de rebus inter se contrariis, quæ tunc simul contigere; itemque de gloriosa ex mortuis resurrectione, et assumptione, et gloriosissimo adventu in consummatione sæculi, et dogmata illa puræ secundum Evangelium et Deo acceptæ pietatis, in dilectione Christi Jesu Domini nostri, ob spem vitæ æternæ, et regni cœlestis, et judicia justæ mercedis, tam eorum, qui patrant prohibita, aut respuunt approbata, ad supplicium æternum, quam eorum, qui pro dignitate Evangelii Dei in sana fide, quæ per Dei charitatem operatur [5], vixerunt, ob spem vitæ æternæ, et regni cœlestis, quod est in Christo Jesu Domino nostro.

ΛΟΓΟΣ Β'.

Πῶς βαπτίζεταί τις τὸ ἐν τῷ Εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βάπτισμα (53).

1. Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐντολὴν δεδωκότος ἡμῖν ἀγαπᾷν ἀλλήλους, καθὼς αὐτὸς ἠγάπησεν ἡμᾶς· καὶ διὰ Παύλου τοῦ Ἀποστόλου διδάσκοντος ἡμᾶς ἀνέχεσθαι ἀλλήλων ἐν ἀγάπῃ, τὸ ἐπίταγμα τῆς ὑμετέρας ἐν Χριστῷ εὐλαβείας, τὸ περὶ τοῦ κατὰ τὸ Εὐαγγέλιον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνδοξοτάτου βαπτίσματος, προθύμως ἐδεξάμην, οὐχ ὡς πρὸς ἀξίαν εἰπεῖν τι δυνάμενος, ἀλλ', ὡς ἡ τὰ δύο λεπτὰ βαλοῦσα χήρα, συνεισφερόμενος. Καὶ ἐν τούτῳ δὲ τῆς παρὰ τῶν ἀγαπώντων τὸν Κύριον εὐχῆς μοι χρεία, ἵνα Θεοῦ τοῦ ἀγαθοῦ χάριτι καὶ τοῦ Χριστοῦ αὐτοῦ, τὸ ἅγιον καὶ ἀγαθὸν Πνεῦμα, ὑπομιμνῆσκον καὶ διδάσκον ἡμᾶς ἃ ἂν παρὰ τοῦ Κυρίου ἀκούσῃ, κατευθύνῃ τόν τε νοῦν ἡμῶν εἰς ὁδὸν εἰρήνης, καὶ τὸν ὑγιῆ λόγον εἰς τὴν τῆς πίστεως οἰκοδομήν, ὥστε πληρωθῆναι ἡμῖν τε καὶ ὑμῖν τό· « Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται. » Πλὴν εἰδέναι χρή, ὅτι πρῶτον μαθητευθῆναι δεῖ, καὶ οὕτως τοῦ θαυμασιωτάτου βαπτίσματος καταξιωθῆναι. Οὕτως γὰρ αὐτὸς ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ἐνετείλατο τοῖς ἑαυτοῦ (54) μαθηταῖς. Παραδεδώκαμεν οὖν ὑμῖν ἀναγκαίως κατ' ἰδίαν καὶ τὰ περὶ τῶν θελόντων γενέσθαι Χριστοῦ μαθητῶν παρ' αὐτοῦ τοῦ Κυρίου εἰρημένα, ὀλίγων γοῦν ἐκ πολλῶν μνημονεύσαντες. Ἐπειδὴ δὲ τὸ μὲν ἄνωθεν γεννηθῆναι ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ ἐπαγγέλλεται, τὸ δὲ ἐξ ὕδατος καὶ πνεύματος γεννηθῆναι εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, λογίζομαι ἀναγκαῖον εἶναι ὀλίγα ἐκ πολλῶν τῶν περὶ τῆς βασιλείας τῶν οὐρανῶν εἰρημένων παραθέσθαι, ἵνα κατὰ μηδένα τρόπον ἀπολειφθῶμεν ταυτης. Οὐ γὰρ μικρὸν ἐν βίῳ,

B

CAPUT II.

Quomodo quis eo baptismate baptizatur, quod in Evangelio Domini nostri Jesu Christi commendatur.

1. Cum Dominus noster Jesus Christus præceperit nobis, ut diligamus nos mutuo, sicut ipse dilexit nos [6], hocque nos per Apostolum Paulum doceat, ut nos mutuo in dilectione toleremus [7], vestræ in Christo pietatis præceptum, de gloriosissimo secundum Evangelium Domini nostri Jesu Christi baptismate animo alacri accepi, non tanquam qui pro rei dignitate quidquam dicere queam, sed ut ad exemplum mulieris quæ duo minuta conjecit [8], aliquid conferam. Et ea in re quoque precibus diligentium Dominum mihi opus est, ut boni Dei ac Christi ipsius gratia, sanctus ac bonus Spi- C ritus, commonefaciens ac docens nos quæ de Domino audierit, dirigat et nostram mentem in viam pacis, et sanam doctrinam ad fidei ædificationem, sic ut tam in nobis quam in vobis impleatur illud, « Da sapienti occasionem, et sapientior erit [9]. » Cæterum sciendum est, quod primum doceri oportet, sicque perquam miro baptismate dignum fieri. Ita enim Dominus ipse, et Deus noster Jesus Christus, unigenitus Dei viventis Filius, discipulis suis præcepit. Necessario igitur ea etiam quæ ab ipso Domino dicta sunt de iis qui discipuli Christi fieri volunt, vobis separatim tradidimus, sic ut pauca saltem ex multis protulerimus. Quoniam autem promittitur fore, ut regnum Dei videamus propterea quod denuo nascamur, itemque, ut introeamus D in regnum Dei, propterea quod nascamur ex aqua et spiritu, necesse esse duco, pauca e multis quæ de regno cœlorum dicta sunt, apponere, ne ullo modo ab eo aberremus. Nam in vita parvum non est quod parum abest, uti quidam nostrorum sa-

[5] Gal. v, 6. [6] Joan. XIII, 34. [7] Ephes. IV, 2. [8] Luc. XXI, 2. [9] Prov. IX, 9, juxta LXX.

(50) Vocem περὶ excidisse librariis puto ante illud, τῆς ἐνανθρωπήσεως, eo magis, quod mox scriptum sit, καὶ περὶ τῆς ἐκ νεκρῶν ἐνδόξου ἀναστάσεως.

(51) Sic mss. nonnulli. Editi Εὐαγγελίου τοῦ Χριστοῦ.

(52) Regii primus et tertius ἀγάπης Θεοῦ ἐνεργουμένῃ, nec aliter in vulgatis legitur, nisi quod pro Θεοῦ habeant Χριστοῦ. Alius ms. ἀγάπης Χριστοῦ ἐνεργουμένης, *per actuosam Christi charitatem.* Aliquanto post Reg. tertius Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

(53) Reg. secundus τοῦ αὐτοῦ λόγος περὶ βαπτίσματος. Editi soli λόγος β'.

(54) Editi αὐτοῦ. Veteres duo libri ἑαυτοῦ.

pientium dixit, ac plerisque ex ipsis rebus manifestum est : sed tamen firmius etiam ejus rei ex sacerdotum et animalium sacrificandorum accurata consideratione [10] convinci **630** possumus : in quibus si modica aliqua macula reperiretur, aut mutilatio non totius membri, sed, quemadmodum scriptum est, partis alicujus, puta summitatis auriculæ, neque homo eligebatur ad sacerdotium, neque animal ad sacrificium admittebatur, cum Apostolus dixerit : « Hæc quidem in figura contingebant illis : scripta sunt autem ad commonefaciendum nos, in quos termini ætatum devenerunt [11] ; » et Dominus excellentiam præstantiamque aperte declaraverit, his verbis : « Templo majus aliquid hic est [12] ; » imo etiam magis ostenderit, animæ curam diligentiorem nobis habendam esse, ubi dixit : « Cui commendaverunt multum, plus repetent ab eo [13]. »

2. Itaque regni cœlorum faciamus mentionem. Dominus noster Jesus Christus, cum ascendisset in montem, et initium doctrinæ ex beatitudinibus sumeret, eam beatitudinem prædicavit primam, quæ pollicetur regnum cœlorum. Dixit enim : « Beati pauperes spiritu : quoniam ipsorum est regnum cœlorum [14]. » In octava vero beatitudine ait : « Beati qui persecutionem patiuntur propter justitiam : quoniam ipsorum est regnum cœlorum [15]. » Et rursus futuram in tempore retributionis benedictionem per parabolam pastoris vaticinans, ait : « Venite, benedicti Patris mei, possidete paratum vobis regnum a constitutione mundi. Esurivi enim, et dedistis mihi manducare [16], » etc. Quin et in Lucæ Evangelio, in alio tempore et loco, velut ipsa scripta indicant, rursus beatitudines exponens, dicit : « Beati pauperes spiritu : quoniam ipsorum est regnum cœlorum [17]. » Et iterum, « Noli timere, pusille grex, quia placuit Patri vestro cœlesti dare vobis regnum. Vendite quæ possidetis, et date eleemosynam. Facite vobis sacculos qui non veterascunt, thesaurum non deficientem in cœlis [18]. » Hæc igitur et alia ejusdem generis sunt, per quæ quis regno cœlorum dignus efficitur. De iis autem sine quibus nemo in regnum cœlorum ingredi potest, hanc sententiam Dominus pronuntiat in Evangelio Matthæi, et ait : « Nisi abundaverit justitia vestra plus quam scribarum et Pharisæorum, non intrabitis in regnum cœlorum [19]. » Et rursus : « Nisi conversi fueritis, et efficiamini sicut parvuli, non intrabitis in regnum cœlorum [20]. » Et iterum : « Quisquis non receperit regnum Dei vel-

τὸ παρὰ μικρὸν, εἶπέ τις τῶν παρ' ἡμῖν σοφῶν, καὶ τοῖς πλείστοις δῆλον ἐξ αὐτῶν τῶν πραγμάτων· πλὴν (55) δὲ καὶ βεβαιότερον ἐκ τῆς περὶ τῶν ἱερέων, καὶ τῶν προσφερομένων ζώων εἰς θυσίαν, ἀκριβολογίας ἔστι πληροφορηθῆναι· ἐν οἷς εἰ μικρός τις μῶμος ἐφευρέθη, ἢ λώβησις οὐχὶ παντὸς μέλους, ἀλλὰ τούτου τοῦ μέρους, ὥσπερ γέγραπται, λοβοῦ ὠτίου (56), οὔτε ὁ ἄνθρωπος ἐνεκρίνετο εἰς ἱερωσύνην, οὔτε τὸ ζῶον εὐπρόσδεκτον ἦν εἰς θυσίαν· τοῦ μὲν Ἀποστόλου εἰπόντος· « Ταῦτα μὲν τυπικῶς συνέβαινεν ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκε (57)· » τοῦ δὲ Κυρίου φανερῶς τὴν ὑπεροχὴν δείξαντος ἐν τῷ εἰπεῖν· « Τοῦ ἱεροῦ μεῖζον (58) ὧδε· » καὶ περισσοτέρως δείξαντος τὴν ἐπιμέλειαν τῆς ψυχῆς ἀκριβεστέραν ποιεῖσθαι ἡμᾶς, ἐν τῷ εἰπεῖν· « Ὧ παρέθεντο πολὺ, περισσότερον ἀπαιτήσουσιν αὐτόν. »

2. Μνημονεύσωμεν οὖν περὶ τῆς βασιλείας τῶν οὐρανῶν. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτε ἀνέβη εἰς τὸ ὄρος, καὶ τὴν ἀρχὴν τῆς διδασκαλίας διὰ τῶν μακαρισμῶν ἐποιεῖτο, πρῶτον μακαρισμὸν ἐκήρυξε τὴν ἐπαγγελίαν ἔχοντα βασιλείας οὐρανῶν. Εἶπε γάρ· « Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. » Ἐν δὲ τῷ ὀγδόῳ μακαρισμῷ φησι· « Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. » Καὶ πάλιν τὴν ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως εὐλογίαν διὰ τῆς παραβολῆς τοῦ ποιμένος προφητεύων, λέγει· « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν, » καὶ τὰ ἑξῆς. Ἐν δὲ τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ, ἐν ἑτέρῳ καιρῷ καὶ τόπῳ, καθὼς τὰ γεγραμμένα δηλοῖ, πάλιν μακαρισμοὺς ἐκτιθέμενος, φησί· « Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι (59), ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· » καὶ πάλιν· « Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι ηὐδόκησεν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος δοῦναι ὑμῖν τὴν βασιλείαν. Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. » Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα, δι' ὧν βασιλείας οὐρανῶν καταξιοῦταί τις. Ὧν δὲ ἄνευ ἀδύνατόν ἐστιν (60) εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐν μὲν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ ἀποφαίνεται ὁ Κύριος, καί φησιν· « Ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· » καὶ πάλιν· « Ἐὰν μὴ στραφῆτε, καὶ

[10] Levit. xx, 18; xxii, 21. [11] I Cor. x, 11. [12] Matth. xii, 6. [13] Luc. xii, 48. [14] Matth. v, 3. [15] ibid. 10. [16] Matth. xxv, 34, 35. [17] Luc. vi, 20; Matth. v, 3. [18] Luc. xii, 32. 33. [19] Matth. v, 20. [20] Matth. xviii, 3.

(55) Antiqui duo libri πλέον δὲ καί.

(56) Codices tres λοβός ὠτίου.

(57) Veteres duo libri κατήντησε.

(58) In sacro textu vulgato pro μεῖζον legitur μείζων, *major est :* sed non hic solum, sed et in multis codicibus scriptum invenitur μεῖζον, *templo majus quiddam hic est*. Legas velim Novum Testamentum Oxoniense.

(59) Illud, τῷ πνεύματι, deest in sacro textu vulgato apud Lucam : sed reperitur quoque inter varias lectiones Testamenti Oxoniensis. Ibidem Reg. tertius ὅτι ὑμετέρα ἐστὶν ἡ.

(60) Veteres duo libri ἀδύνατόν ἐστιν. Illud ἐστιν abest a vulgatis.

γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· » καὶ πάλιν· « Ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. » Ἐν δὲ τῷ κατὰ Ἰωάννην πρὸς Νικόδημον λέγει· « Ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ· » καὶ πάλιν· « Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. »

3. Καθ' ὧν δὴ ἡ ἀπόφασις μία, δηλονότι ἴσος καὶ ὁ κίνδυνος τοῖς πᾶσιν, ἑνὸς ἐλλειφθέντος. Εἰ γὰρ λέγει ὁ Κύριος, « Ἰῶτα ἓν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται· » πόσῳ μᾶλλον ἀπὸ τοῦ Εὐαγγελίου, αὐτοῦ τοῦ Κυρίου λέγοντος· « Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν (61); » Ὅθεν τεθαρσηκὼς Ἰάκωβος ὁ ἀπόστολος ἀπεφήνατο εἰπών· « Ὃς ἂν ποιήσῃ ὅλον τὸν νόμον, πταίσῃ δὲ ἐν ἑνὶ, ἔσται πάντων (62) ἔνοχος. » Ἔμαθε δὲ εἰπεῖν τοῦτο, ἐξ ὧν ὁ Κύριος μετὰ τοὺς μακαρισμοὺς καὶ τὰς ὑπὲρ ἄνθρωπον (63) μαρτυρίας καὶ ἐπαγγελίας τῷ Πέτρῳ δοὺς ἠπείλησεν, ὅτι « Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ· » Παῦλος δὲ ὁ ἀπόστολος, ἀνταναπληρῶν τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ Ἐκκλησία, ἐν Χριστῷ λαλῶν διαμαρτύρεται, δι' ἃ μάλιστα βασιλείας οὐρανῶν οὐ καταξιοῦται (64) τις, καὶ θανάτου κρίματι ὑποπίπτει· ποτὲ μὲν εἰπὼν ὁριστικῶς, ὅτι « Οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν. » Διὰ τί δὲ οὐκ εἶπεν, ὅτι Οἱ ταῦτα (65), ἀλλ', « Οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν οὐρανῶν οὐ κληρονομήσουσιν; » καὶ πάλιν καθολικώτερον, ὅτι « Ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· » καὶ ἀλλαχοῦ ὁμοίως. Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ ἀπεφήνατο εἰπών· « Οὐδεὶς τὴν χεῖρα θεὶς ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. » Ἐπιτηρητέον δὲ ἐνταῦθα ἀναγκαίως, ὅτι οὐ κατὰ ἁμαρτημάτων πολλῶν, ἀλλὰ καθ' ἑνός ἐστι τὸ οὕτω φοβερὸν καὶ ἀπαράβατον κρῖμα, καὶ ταῦτα ἐκ τῶν συγκεχωρημένων, κἂν μόνην καὶ πρὸς ὀλίγον γοῦν ἀναβολὴν ἐμποιῇ (66) τῇ κατὰ πολλοὺς λόγους ἀναγκαίως ὀφειλομένῃ ἀπροφασίστῳ ταχυτάτῃ τε καὶ ἀμετεωρίστῳ ὑπακοῇ τῷ Δεσπότῃ. Ἐκ τούτων οὖν πάντων καὶ τῶν τοιούτων παιδευόμεθα, ὅτι χρὴ, πάντα ὁλοκλήρως καὶ νομίμως πληρώσαντα, οἷς ἡ ἐπαγγελία τῆς βασιλείας τῶν οὐρανῶν ἐπαγγέλλεται (67), καὶ ὧν ἄνευ ἡ τῆς βασιλείας ἀπαγορεύεται χάρις, καὶ φυλαξάμενον ἀπὸ πάντων, δι' ἃ οὐδεὶς βασιλείαν οὐρανῶν κληρονομεῖ, οὕτω προσδοκᾷν καταξιοῦσθαι τῆς ἐπαγγελίας. Δεῖ γὰρ τὸν

A ut parvulus, non intrabit in illud [21]. » Quin etiam dicit ad Nicodemum in Evangelio secundum Joannem: « Nisi quis natus fuerit denuo, non potest videre regnum Dei [22]. » Ac rursus: « Nisi quis natus fuerit ex aqua et spiritu, non introibit in regnum Dei [23].

3. De quibus autem una sententia prolata est, profecto si vel unum desit, par etiam et æquale omnibus periculum est. Si enim dicit Dominus, « Iota unum, aut unus apex non præteribit a lege, donec omnia fiant [24], » quanto magis ab Evangelio, cum Dominus ipse dicat: « Cœlum et terra transibunt, verba autem mea non præteribunt [25]? » B Unde confisus apostolus Jacobus **631** pronuntiavit, dicens: « Quicunque fecerit totam legem, offenderit vero in uno, erit omnium reus [26]. » Didicit autem hoc dicere, ex iis quæ Dominus post beatitudines, post testimonia conditionem humanam superantia, post promissa Petro data, comminatus est, ita locutus, « Nisi lavero te, non habes partem mecum [27]. » Paulus vero Apostolus qui ea quæ desunt passionum Christi, pro corpore ipsius, quod est Ecclesia, adimplebat [28], in Christo loquens declarat ea, ob quæ quis maxime regnum cœlorum non adipiscitur, subjacetque mortis judicio, modo cum minus late dicit, « Quia qui talia agunt, digni sunt morte [29]. » Cur vero non dixit, Qui hæc, sed, « Qui C talia agunt, regnum cœlorum non consequentur [30]? » Et iterum cum generalius ait, « Iniqui regnum Dei non possidebunt [31]. » Et alibi similiter. Atque etiam ipse Dominus noster Jesus Christus in Evangelio secundum Lucam sententiam protulit, his verbis usus: « Nemo admovens manum ad aratrum, et retro conversus, aptus est regno Dei [32]. » Est autem hic necessario observandum, quod non in peccata multa, sed in unum pronuntiatum sit horrendum adeo et inevitabile judicium, idque, de concessis ac licitis, etsi quis duntaxat atque vel brevi tempore obedientiam Domino multis de causis necessario debitam, quæ sine ulla excusatione et celerrima et intentissima esse debet, distulerit. Ex his igitur omnibus et similibus edocemur, adim- D plenda esse integre ac legitime omnia, quibus promissio regni cœlorum indicitur, et sine quibus donum regni denegatur; vitanda vero omnia, ob quæ nemo regni cœlorum hæres evadit, et ita demum exspectandum esse, dum promissione digni efficiamur. Oportet enim certamen quod ad placendum

[21] Marc. x, 15. [22] Joan. iii, 3. [23] ibid. 5. [24] Matth. v, 18. [25] ibid. xxiv, 35. [26] Jac. ii, 10. [27] Joan. xiii, 8. [28] Col. i, 24. [29] Rom. i, 32. [30] Gal. v, 21. [31] I Cor. vi, 9. [32] Luc. ix, 62.

(61) Codices duo οὐ παρελεύσονται. Mox Reg. primus τεθαῤῥηκώς.

(62) Codex Combef. γέγονε πάντων, *factus est omnium reus*, et ita quoque legitur in sacro textu vulgato.

(63) Regii primus et tertius ὑπὲρ ἄνθρωπον. Editi ἀνθρώπων, male. Mox mss. duo παραγγελίατῷ.

(64) Antiqui duo libri οὐκ ἀξιοῦται.

(65) Editi εἶπε ταῦτα. At mss. duo ut in contextu.

(66) Veteres duo libri ἐμποιῇ. Editi ἐμποιεῖ.

(67) Codices aliquot ἐπήγγελται. Mox iidem mss. ἀπαγορεύεται. Editi ἀπηγόρευται.

Deo suscipitur, non ab omni solum malitia remotum esse, sed integrum etiam et inculpatum in omni verbo Dei, cum Paulus apostolus, magnam et ineffabilem Dei et Christi ipsius erga nos dilectionem speculatus, pro justitia et salute nostra, subjungat : « Nullam in ulla re dantes offensionem, ut ne vituperetur ministerium nostrum : sed in omnibus commendemus nos ipsos ut Dei ministri [33]. »

4. Quemadmodum enim qui spiritu pauper est, nisi natus fuerit ex aqua et spiritu, ob latam sententiam in regnum cœlorum ingredi non potest : sic rursus, « Nisi abundaverit justitia illius plus quam scribarum et Pharisæorum [34] : » aut si quid aliud hujusmodi defuerit, ob similem sententiam regno dignus non habetur. Scriptum est enim : « Ut exhiberet ipse sibi gloriosam Ecclesiam, non habentem maculam, aut rugam, aut aliquid hujusmodi, sed ut sit sancta et immaculata [35]. » Et ejusmodi multa sunt, quæ si quis diligentius legerit, in eo vehementius confirmabitur, quod omnia implere debet, ut regno cœlorum efficiatur dignus. Quod autem is qui justitia **632** abundat, aut denuo natus est, omnium simul virtutum, in quibus beatitudines sitæ sunt, et reliquarum perfectionem adimpleverit, quodque in confesso sit hæc et ejusdem generis alia ab ipso præstari, sermo de secunda generatione mox habendus, Deo dante, demonstrabit. Quoniam autem pietatis vestræ mandatum, uti prius dictum est, requisivit a nobis, ut de Evangelii baptismate maxime mirando sermonem institueremus, post ea quæ jam de regno cœlorum dicta sunt, consequens esse puto, ut etiam quæ inter Mosis et Joannis baptismum differentia sit, breviter discamus, et ita demum per gratiam Dei digni efficiamur, qui præstantissimam baptismatis Domini nostri Jesu Christi dignitatem in incomparabili gloriæ magnitudine intelligamus. Nam unigenitus viventis Dei Filius pronuntiavit aliquid templo majus hic esse, et majus etiam Salomone hic, et majus quoque Jona hic [36]. Et Apostolus cum jam Mosis gloriam Judæis in legis ministerio inaccessam explanasset, hoc testatur, hæc subjungens, « Nam nec glorificatum est quod claruit in hac parte, propter excellentem gloriam [37]. » Et Joannes Baptista, quo inter natos mulierum major est nemo [38], idem declarat, dum aliquando dicit : « Illum oportet crescere, me vero minui [39] : » aliquando vero, « Ego quidem baptizo vos in aqua in pœnitentiam, ille vero vos baptizat in Spiritu sancto et igni [40] ; » et talia multa. Quanto autem excellentior est Spiritus sanctus aqua, tanto videlicet præstat et is qui baptizat in Spiritu sancto, ei qui baptizat

A ἀγῶνα τῆς πρὸς Θεὸν εὐαρεστήσεως οὐ μόνον κακίας πάσης ἀπηλλάχθαι, ἀλλὰ καὶ ἀλώβητον εἶναι καὶ ἄμωμον ἐν παντὶ ῥήματι Θεοῦ, Παύλου τοῦ ἀποστόλου μετὰ τὴν θεωρίαν τῆς μεγάλης (68) καὶ ἀνεκδιηγήτου εἰς ἡμᾶς ἀγάπης τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ ὑπὲρ τῆς ἡμετέρας δικαιοσύνης τε καὶ σωτηρίας ἐπαγαγόντος· « Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι. »

4. Ὥσπερ γὰρ ὁ πτωχὸς τῷ πνεύματι, ἐὰν μὴ γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν διὰ τὴν ἀπόφασιν· οὕτω πάλιν, « Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη πλέον (69) τῶν γραμματέων καὶ Φαρισαίων, » ἢ ἄλλο τι τῶν τοιούτων ἐλλειφθῇ, διὰ τὴν ὁμοίαν ἀπόφασιν
B οὐ καταξιοῦται τῆς βασιλείας. Γέγραπται γάρ· « Ἵνα παραστήσῃ αὐτὸς ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπῖλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. » Καὶ πολλὰ τοιαῦτα, ἅπερ σπουδαιότερόν τις ἀναγνοὺς, σφοδρότερον βεβαιοῦται, ὅτι χρὴ πάντα πληρῶσαι, ἵνα βασιλείας οὐρανῶν καταξιωθῇ. Ὅτι δὲ ὁ τῇ δικαιοσύνῃ περισσεύων, ἢ γεννηθεὶς ἄνωθεν, πάντων ὁμοῦ τῶν κατορθωμάτων ἐφ' ὧν τε οἱ μακαρισμοὶ κεῖνται, καὶ τῶν λοιπῶν τὴν τελείωσιν ἐπλήρωσε, καὶ ἐργάτης εἶναι τούτων καὶ τῶν τοιούτων ὡμολόγηται, ὁ λόγος ὁ περὶ τοῦ ἄνωθεν γεννηθῆναι μικρὸν ὕστερον ἀποδείξει Θεοῦ χάριτι. Ἐπειδὴ δὲ, ὡς προείρηται, τὸ ἐπίταγμα τῆς ὑμετέρας εὐλαβείας τὸν λόγον
C τοῦ κατὰ τὸ Εὐαγγέλιον θαυμασιωτάτου βαπτίσματος ἐπεζήτησε παρ' ἡμῶν, πρὸς τοῖς εἰρημένοις περὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀκόλουθον εἶναι λογίζομαι καταμαθεῖν ἡμᾶς ἐν βραχεῖ καὶ τὴν διαφορὰν τοῦ κατὰ Μωϋσέα βαπτίσματος πρὸς τὸ τοῦ Ἰωάννου, καὶ τότε χάριτι Θεοῦ ἀξίους γενέσθαι κατανοῆσαι τὸ ἐν τῷ βαπτίσματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπερέχον (70) θαῦμα ἐν ἀσυγκρίτῳ ὑπερβολῇ τῆς δόξης. Μεῖζον γὰρ τοῦ ἱεροῦ ὧδε ἀπεφήνατο εἶναι ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ μεῖζον τοῦ Σολομῶντος ὧδε, καὶ μεῖζον τοῦ Ἰωνᾶ (71) ὧδε. Καὶ ὁ Ἀπόστολος, προδιηγησάμενος τὴν τοῦ Μωϋσέως ἐν τῇ διακονίᾳ τοῦ νόμου τοῖς Ἰουδαίοις ἀπρόσιτον δόξαν, διαμαρτύρεται, ἐπαγαγών· « Καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν
D τούτῳ τῷ μέρει ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. » Καὶ Ἰωάννης ὁ Βαπτιστὴς, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐδεὶς, μαρτυρεῖ, λέγων ποτὲ μὲν, « Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι· » ποτὲ δὲ, « Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν, ἐκεῖνος δὲ ὑμᾶς βαπτίζει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· » καὶ πολλὰ τοιαῦτα. Ὅσον δὲ διαφέρει τὸ Πνεῦμα τὸ ἅγιον τοῦ ὕδατος, τοσοῦτον ὑπερέχει δηλονότι καὶ ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ τοῦ βαπτίζοντος ἐν

[33] II Cor. vi, 3. [34] Matth. v, 20. [35] Ephes. v, 27. [36] Matth. xii, 6, 42, 41. [37] II Cor. iii, 10. [38] Matth. xi, 11. [39] Joan. iii, 30. [40] Matth. iii 11.

(68) Antiqui duo libri μεγίστης.
(69) Unus ms. δικαιοσύνη ὑμῶν.
(70) Veteres duo libri περιέχον.

(71) Reg. secundus pro Ἰωνᾶ habet Ἰωάννου· sed vetus hic liber videtur fuisse emendatus a librario, bene, an male, judicabunt eruditi.

ὕδατι, καὶ αὐτὸ τὸ βάπτισμα· ὥστε αὐτὸν τὸν Ἰωάννην, τὸν τοσοῦτον καὶ τοιοῦτον καὶ οὕτως μαρτυρηθέντα ὑπὸ τοῦ Κυρίου, ἀνεπαισχύντως προειπεῖν, ὅτι « Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος. »

5. Ὡς ἐκ πάντων φανερὸν εἶναι τὴν ὑπερβολὴν τοῦ κατὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ βαπτίσματος· ἣν εἰ καὶ πρὸς ἀξίαν κατανοῆσαι ἀδύνατον, κατὰ δύναμιν γοῦν, καὶ ταύτην, ὡς ἂν ὁ Θεὸς ἱκανώσῃ, ἐξ αὐτῶν τῶν γεγραμμένων εἰπεῖν εὐσεβὲς καὶ ὠφέλιμον. Τὸ μὲν οὖν διὰ Μωϋσέως παραδοθὲν βάπτισμα πρῶτον μὲν ἐπεγίνωσκε διαφορὰν ἁμαρτημάτων· οὐ γὰρ πάντα τὰ ἁμαρτήματα εἶχε τὴν χάριν τῆς ἀφέσεως· ἔπειτα δὲ θυσίας ἐπεζήτει διαφόρους, ἠκριβολογεῖτο περὶ ἁγνισμοῦ, ἀφώριζεν ἕως καιροῦ τὸν ἐν ἀκαθαρσίᾳ καὶ μολυσμῷ, παρατήρησιν ἐποιεῖτο ἡμερῶν καὶ ὡρῶν· καὶ τότε τὸ βάπτισμα παρελαμβάνετο (72), ὥσπερ ἐπισφράγισμα τοῦ καθαρισμοῦ. Τὸ δὲ Ἰωάννου βάπτισμα πολυπλάσιον εἶχε τὸ πλέον. Οὐδεμίαν γὰρ ἐποιεῖτο διάκρισιν ἁμαρτημάτων, οὐ διαφορὰν ἐπεζήτει θυσιῶν, οὐκ ἀκρίβειαν ἐποιεῖτο ἁγνισμοῦ, οὐ παρατήρησιν εἶχεν ἡμερῶν ἢ ὡρῶν. Καὶ κατ' οὐδὲν εἰς μηδὲν ἀναβολῆς γινομένης ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ ἅμα τε προσῆλθέ τις ἐξομολογούμενος τὰς ἁμαρτίας, ὅσας δήποτ' οὖν καὶ οἵας δήποτ' οὖν· καὶ ἐβαπτίζετο ἐν τῷ Ἰορδάνῃ ποταμῷ, καὶ εὐθὺς ἐλάμβανε τὴν ἄφεσιν τῶν ἁμαρτημάτων. Τὸ δὲ τοῦ Κυρίου βάπτισμα λόγον μὲν ἔχει κρείττονα παντὸς ἀνθρωπίνου, δόξαν δὲ ἀνωτέραν πάσης ἐπιθυμίας καὶ εὐχῆς ἀνθρωπίνης, ὑπερβολὴν δὲ χάριτος (73) καὶ δυνάμεως πλείονα ἢ ὅσον ἥλιος ἀστέρων ὑπερέχει. Μᾶλλον δὲ τὰ μνημονευθέντα τῶν ἁγίων ῥητὰ σφοδρότερον παρίστησι τὴν ἀσύγκριτον ὑπεροχήν. Ἀλλ' οὐ διὰ τοῦτο σιωπῆσαι χρή, αὐτοῖς δὲ τοῖς ῥητοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁδηγοῖς χρώμενοι (74), καὶ ὥσπερ δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι ὁδηγούμενοι εἰπεῖν ἀναγκαῖον, οὐχ ἵνα τῇ ἡμετέρᾳ ἑρμηνείᾳ ἐν ἀσθενείᾳ σώματος καὶ λόγῳ ἐξουθενημένῳ σμικρυνθῇ ἡ δόξα, ἀλλ' ἵνα καὶ ἐν τούτῳ θαυμαστωθῇ τὸ μέγεθος τῆς μακροθυμίας καὶ φιλανθρωπίας τοῦ ἀγαθοῦ Θεοῦ, ὅτι ἀνέχεται ψελλιζόντων τὰ μεγαλεῖα τῆς ἐν Χριστῷ Ἰησοῦ ἀγάπης καὶ χάριτος αὐτοῦ

6. Εἰπὼν τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· « Ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ· » καὶ πάλιν· « Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· » μετὰ δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν (πληρουμένης εἰς αὐτὸν τῆς διὰ τοῦ Δαβὶδ ἐκ προσώπου τοῦ Θεοῦ καὶ Πατρὸς προφητείας, εἰπόντος· « Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη

A in aqua : quod dictum volo et de ipso baptismate, sic ut Joannes ipse tantus et talis, et ita a Domino commendatus, prius citra verecundiam dixerit : « Non sum idoneus, ut solvam corrigiam calceamenti [41]. »

5. Quare ex his omnibus manifestum est quæ sit baptismatis secundum Evangelium Christi præstantia : quam etsi pro dignitate mente assequi non possumus, tamen eam ex ipsis Scripturis pro viribus, et prout Deus idoneos nos effecerit, declarare pium est et utile. Quod igitur per Mosen traditum est baptisma, primum quidem cognoscebat discrimen peccatorum, cum non omnibus peccatis daretur veniæ donum ; deinde vero requirebat sacrificia diversa, purificationem prorsus exi-

B gebat, aliquandiu separabat a reliquis impurum et pollutum, dierum et temporum statuebat observationem, tuncque baptisma suscipiebatur velut sigillum purificationis. At vero Joannis baptisma multis modis excelluit. Nam peccata nullo modo discernebat, non exposcebat diversitatem sacrificiorum, purificationis diligentiam non adhibebat, non observabat dies aut tempora. Quin etiam sine ulla prorsus dilatione, simul atque ad gratiam Dei et Christi ejus aliquis accesserat, quantacunque et qualiacunque peccata confessus fuisset, et baptizabatur in Jordane fluvio, et statim veniam consequebatur peccatorum. Verum Domini baptisma humanum omnem captum superat, gloriamque habet omni **633** desiderio ac voto humano sublimiorem,

C et gratiæ virtutisque præstantiam tanto ampliorem, quanto sol stellis antecellit. Imo etiam si Sanctorum dicta in memoriam revocentur, validius adhuc incomparabilem illam excellentiam ostendunt. At non propterea silendum, sed nos ipsis Domini nostri Jesu Christi verbis veluti viæ ducibus usos, et velut per speculum et in ænigmate ductos necesse est loqui, non ut nostra interpretatione ob corporis debilitatem et abjectum sermonem gloria hæc imminuatur, sed ut etiam ea in re magnitudinem lenitatis ac benignitatis boni Dei miremur, quod eos qui de dilectionis in Christo Jesu et gratiæ ipsius magnificentia ore balbutienti loquuntur, perferat.

D 6. Cum igitur Dominus noster Jesus Christus dixisset, « Nisi quis natus fuerit denuo, non potest videre regnum Dei [42] ; » ac rursus, « Nisi quis natus fuerit ex aqua et spiritu, non potest introire in regnum Dei [43] ; » et post resurrectionem ex mortuis (adimpleto in se vaticinio Davidis, qui ex persona Dei ac Patris dixerat, « Filius meus es tu, ego hodie genui te : postula a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam

[41] Marc. I, 7. [42] Joan. III, 3. [43] ibid. 5.

(72) Regii primus et tertius βάπτισμα παρελαμβάνετο ἐφ' ὧν. Editi βάπτισμα ἐφ' ὧν παρελαμβάνετο, ὥσπερ. Reg. secundus ut in contextu, simplicius et melius.

(73) Veteres duo libri ὑπερβολὴν δὲ χαρίσματος. Aliquanto post mss. duo ἁγίων ῥήματα.

(74) Reg. secundus χρώμενον.... ὁδηγούμενον. Mox mss. duo ἑρμηνείᾳ ἢ ἀσθενείᾳ.

terminos terræ [44], » quæ res et facta est, et jam omnium oculis exposita), tum demum discipulis suis, tanquam mandatum aliud opponens priori, quo in vias gentium abire prohibuerat [45], præcipit, dicens : « Euntes docete omnes gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti [46]. » Necesse autem esse duco, singulorum verborum vim per fidem intelligere, et considerare, et ita loqui, ut nobis sermo per communes preces in apertione oris nostri dabitur. Scriptum namque est : « Nisi credideritis, non intelligetis [47]. » Et iterum : « Credidi propter quod locutus sum [48]. » Et quoniam mihi persuasum est usum et nominum et verborum et rerum in divina Scriptura non accipi ex consuetudine, aut simpliciter et temere, ut contingere solet, neque a Deo, neque B a Christo ejus, neque a sanctis prophetis, neque ab evangelistis aut ab apostolis, sed in Spiritu sancto, examine præmisso, ad scopum piæ sententiæ, idque non integre, sed ex parte, et quantum quodque contulerit ad propositum sanæ doctrinæ, tum ut quis pie sentiat, tum ut mentem ad contemplationem judiciorum et dogmatum pietatis dirigat, necesse est et nos accurate diligenterque singulis dictis attendere, et ex supernæ vocationis scopo sententiam eligere. Atque hoc præstabimus, si modo per communes preces corroboraverit nos Jesus Christus unigenitus Dei viventis Filius, ut id et in nobis fiat, sicut Apostolus dixit : « Omnia possum in Christo qui me corroborat [49]. »

A τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς, » ὅπερ καὶ γέγονε, καὶ ἔστιν ἐν ὀφθαλμοῖς πάντων,) λοιπὸν τοῖς ἑαυτοῦ μαθηταῖς, ὥσπερ ἀντιδιαστελλόμενος τῇ πρώτῃ ἐντολῇ κωλυούσῃ εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν, ἐντέλλεται, εἰπών· « Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. » Ἀναγκαῖον δὲ εἶναι λογίζομαι ἑκάστου ῥητοῦ τὴν δύναμιν διὰ τῆς πίστεως συνιέναι (75) τε καὶ κατανοῆσαι, καὶ εἰπεῖν καθόσον ἂν κατ' εὐχὰς κοινὰς δοθῆναι ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν. Γέγραπται γὰρ, ὅτι « Ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ (76) μὴ συνῆτε· » καὶ πάλιν· « Ἐπίστευσα, δι' ὃ ἐλάλησα. » Ἐπειδὴ δὲ τῶν τε ὀνομάτων καὶ τῶν ῥημάτων, καὶ τῶν πραγμάτων B ἐν τῇ συνηθείᾳ οὐχ ἁπλῶς, καὶ ὡς ἔτυχε, κατὰ τὸ συμβὰν τὴν χρῆσιν παραλαμβάνεσθαι δοκῶ ἐν τῇ θεοπνεύστῳ Γραφῇ παρά τε Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ τῶν ἁγίων προφητῶν τε καὶ εὐαγγελιστῶν, καὶ ἀποστόλων, ἀλλὰ δεδοκιμασμένως ἐν ἁγίῳ Πνεύματι, πρὸς τὸν σκοπὸν τῆς εὐσεβοῦς φρονήσεως, καὶ τοῦτο οὐχ ἐξ ὁλοκλήρου (77), ἐν μέρει δὲ καὶ καθόσον ἂν ἕκαστον συμβάλληται τῷ προκειμένῳ ὑγιεῖ λόγῳ, φρονεῖν τε εὐσεβῶς καὶ ὁδηγεῖν τὸν νοῦν εἰς κατανόησιν τῶν τε κριμάτων καὶ δογμάτων τῆς εὐσεβείας· ἀναγκαῖον καὶ ἡμᾶς ἐξητασμένως καὶ ἐπιτετηρημένως προσέχειν ἑκάστῳ ῥητῷ, καὶ κατὰ σκοπὸν τῆς ἄνω κλήσεως ἐκλέγεσθαι τὴν διάνοιαν. Καὶ τοῦτο ποιοῦμεν, ἐὰν κατ' εὐχὰς κοινὰς ἐνδυναμώσῃ ἡμᾶς Ἰησοῦς Χριστὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα γένηται καὶ ἐν ἡμῖν, καθὼς εἶπεν ὁ Ἀπόστολος· « Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. »

7. Illud igitur, « denuo, » arbitror prioris generationis, quæ in peccatorum sordibus facta est, emendationem ostendere, cum Job dicat, « Nemo purus est a sordibus, ne si unus quidem dies sit vita ejus [50]; » et David lugeat, ac dicat, « In iniquitatibus conceptus sum, et in peccatis concepit 634 me mater mea [51]; » et Apostolus ita contestetur : « Omnes enim peccaverunt, et egent gloria Dei : justificati gratis per gratiam ipsius per redemptionem quæ est in Christo Jesu, quem proposuit Deus propitiationem per fidem in sanguine ipsius [52]. » Quapropter etiam peccatorum venia datur credentibus, Domino ipso dicente, « Hic est sanguis meus Novi Testamenti, qui pro multis effunditur in remissionem peccatorum [53] : » quemadmodum Apostolus rursus testatur, dicens : « Secundum beneplacitum voluntatis suæ, in laudem

C 7. Τὸ μὲν οὖν « ἄνωθεν » εἰπεῖν δηλοῦν δοκῶ τὴν ἐπανόρθωσιν τῆς προλαβούσης ἐν ῥυπαρίᾳ τῶν ἁμαρτημάτων γενέσεως· τοῦ μὲν Ἰὼβ εἰπόντος, ὅτι « Οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μία ἡμέρα ὁ βίος αὐτοῦ (78)· » καὶ τοῦ Δαβὶδ ὀδυρομένου, καὶ λέγοντος, ὅτι « Ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· » τοῦ δὲ Ἀποστόλου διαμαρτυρομένου, ὅτι « Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης Θεοῦ· δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αἵματι αὐτοῦ. » Διὸ καὶ ἡ ἄφεσις τῶν ἁμαρτημάτων δίδοται τοῖς πιστεύουσιν, αὐτοῦ τοῦ Κυρίου εἰπόντος· « Τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς Καινῆς Διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς D ἄφεσιν ἁμαρτιῶν· » καθὼς μαρτυρεῖ πάλιν ὁ Ἀπόστολος, λέγων· « Κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος

[44] Psal. II, 7, 8. [45] ibid. X, 5. [46] Matth. 28, 19. [47] Isa. VII, 9. [48] Psal. CXV, 10. [49] Philipp. IV, 13. [50] Job. XIV, 4. [51] Psal. L, 7. [52] Rom. III, 23-25. [53] Matth. XXVI, 28.

(75) Editi συνεῖναι. At mss. duo συνιέναι. Mox iidem mss. δοθῇ λόγος. Editi δοθῆναι λόγος. Reg. secundus δοθῆναι λόγον.

(76) Veteres duo libri οὐδὲ μή. Aliquanto post Reg. tertius πραγμάτων τῶν ἐν.

(77) Veteres duo libri καὶ τούτων οὐχ ὁλοκλήρων. Aliquanto post editi φρονεῖτε. Veteres libri φρονεῖν τε. Ibidem mss. aut ὁδηγεῖ, aut ὁδηγῇ. Editi ὁδηγεῖν, et ita quoque legitur in Reg. secundo, sed secunda duntaxat manu.

(78) Editi ἡμέρα ᾖ ἡ ζωὴ αὐτοῦ. Antiqui duo libri ut in contextu, nec aliter legitur apud LXX. Aliquanto post editi δόξης καί. Vocula καί non legitur in mss. nostris. Nec ita longe mss. duo pro διό habent δι' οὗ. Subinde unus ms. αὐτοῦ δὲ τοῦ.

αὐτοῦ, εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς (79)· » ἵνα, ὥσπερ ἀνδριὰς συντριβεὶς συνθλασθείς τε, καὶ ἀφανίσας τὴν ἔνδοξον μορφὴν τοῦ βασιλέως, ἄνωθεν μορφοῦται ὑπὸ τοῦ σοφοῦ τεχνίτου καὶ ἀγαθοῦ δημιουργοῦ ἀντιποιουμένου τῆς δόξης τοῦ ἰδίου πλάσματος, καὶ εἰς τὴν ἀρχαίαν δόξαν ἀποκαθίσταται· οὕτω καὶ ἡμεῖς παθόντες διὰ τὴν παρακοὴν τῆς ἐντολῆς, κατὰ τὸ γεγραμμένον, « Ἄνθρωπος, ἐν τιμῇ ὤν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς, » ἀνακληθῶμεν εἰς τὴν πρώτην δόξαν τῆς εἰκόνος τοῦ Θεοῦ. Κατ' εἰκόνα γὰρ, φησὶ, καὶ ὁμοίωσιν τοῦ Θεοῦ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον. Πῶς δὲ τοῦτο γεγένηται (80), Παῦλος ὁ ἀπόστολος ἐδίδαξεν, εἰπών· « Χάρις τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς· » ἵνα, ὥσπερ ὁ κηρὸς, παραδιδόμενος τῷ τύπῳ τῆς γλυφῆς, μορφοῦται πρὸς ἀκρίβειαν τὴν ἐγκειμένην τῇ γλυφῇ μορφὴν, οὕτω καὶ ἡμεῖς, παραδόντες ἑαυτοὺς τῷ τύπῳ τῆς κατὰ τὸ Εὐαγγέλιον διδασκαλίας, μορφωθῶμεν τὸν ἔσω ἄνθρωπον, πληροῦντες τὸ ὑπὸ τοῦ αὐτοῦ εἰρημένον προστακτικῶς. Φησὶ γάρ· « Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν· » καὶ πολλὰ τοιαῦτα.

8. Τοῦ μὲν οὖν ἐξ ὕδατος γεννηθῆναι τὸν λόγον Παῦλος, ὁ ἐν Χριστῷ λαλῶν, δογματικῶς παραδίδωσι λέγων· « Ἢ ἀγνοεῖτε, ἀδελφοὶ, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα, ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. Ὁ γαρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν, ὅτι καὶ συζήσομεν αὐτῷ· εἰδότες, ὅτι Χριστὸς, ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε, ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ. » Ἐξ ὧν ἁπάντων καὶ ὁ λόγος τῆς ἄνωθεν γεννήσεως καθ' ὁμοιότητα θεωρεῖται. Ἀδύνατον δὲ ἦν ἄνωθεν γεννηθῆναι,

A gloriæ gratiæ suæ, in qua gratificavit nos in dilecto, in quo habemus redemptionem per sanguinem ejus, remissionem peccatorum, secundum divitias gratiæ ejus, de qua nobis impertivit ubertim[54]; » ut quemadmodum statua contrita ac confracta, amissa regis forma eximia, denuo conformatur a sapiente artifice ac bono opifice, gloriam operis sui resarciente, atque pristino splendori restituitur· sic etiam nos ob præcepti transgressionem male affecti, velut scriptum est, « Homo, cum in honore esset, non intellexit, comparatus est jumentis insipientibus, et similis factus est illis[55], » ad pristinam imaginis Dei gloriam revocemur. Nam, inquit, juxta imaginem et similitudinem Dei fecit Deus hominem[56]. Quomodo autem hoc factum sit, Paulus B Apostolus docuit, his verbis: « Gratia Deo, quod fuistis servi peccati, obedistis vero ex corde in eam formam doctrinæ, in quam traditi estis[57]; » ut quemadmodum cera, typo sculpturæ admota, prorsus conformatur ad insitam sculpturæ formam: ita nos quoque posteaquam nosmet typo doctrinæ evangelicæ tradidimus, informemur secundum internum hominem, implentes quod in modum præcepti ab eo dictum est. Ait enim: « Exuentes veterem hominem cum actibus suis, et induentes novum, qui renovatur in agnitionem, secundum imaginem ejus qui creavit illum[58]; » et multa hujusmodi.

C 8. Modum quidem et rationem, qua oportet ex aqua generari, Paulus in Christo loquens, decretoriis his verbis tradit: « An ignoratis, fratres, quia quicunque baptizati sumus in Christo Jesu, in morte ipsius baptizati sumus? Consepulti igitur sumus cum illo per baptismum in mortem, ut quomodo Christus surrexit a mortuis per gloriam Patris, ita et nos in novitate vitæ ambulemus. Si enim complantati facti sumus similitudini mortis ejus, et resurrectionis quoque erimus; hoc scientes quia vetus homo noster simul crucifixus est, ut destruatur corpus peccati, ut ultra non serviamus peccato. Qui enim mortuus est, justificatus est a peccato. Si autem mortui sumus cum Christo, cre- D dimus quia simul etiam vivemus cum eo, scientes quod Christus resurgens ex mortuis jam non moritur, mors illi ultra non dominatur. Nam quod mortuus fuit, peccato mortuus fuit semel: quod autem vivit, vivit Deo. Ita et vos existimate vos ipsos mortuos quidem esse peccato, viventes autem Deo in Christo Jesu[59]. » Ex quibus omnibus etiam ratio secundæ **635** generationis per quamdam similitudinem consideratur. Fieri autem non

[54] Ephes. I, 5-8. [55] Psal. XLVIII, 13. [56] Gen. I 27. [57] Rom. VI, 17. [58] Col. III, 9, 10. [59] Rom. VI, 3-11.

(79) Ita in Vulgata legitur, *quæ superabundavit in nobis*: ubi omnes vident interpretem ita vertisse, quasi scriptum invenisset, ᾗ ἐπερίσσευσεν ἐν ἡμῖν, cum tamen legatur omnibus quæ videre licuit exemplaribus ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς.

(80) Veteres duo libri τοῦτο γένηται.

poterat ut quis, gratia Dei non præeunte, generaretur denuo; ut Apostolus ipse cum præcedentibus, tum subsequentibus de baptismate capitibus declarat. Nam facto hinc initio, « Commendat autem charitatem suam Deus in nos, quoniam, cum adhuc peccatores essemus, Christus pro nobis mortuus est : multo igitur magis nunc justificati in sanguine ejus, salvi erimus ab ira per ipsum. Si enim cum inimici essemus, reconciliati sumus Deo per mortem Filii ejus, multo igitur magis reconciliati, salvi erimus in vita ipsius [60]. »

9. Et multa ejusdem generis sunt, quæ perspicue et magnifice ostendunt magnam et inenarrabilem Dei in homines benignitatem, ob datam peccatorum veniam, ac potestatem atque virtutem eorum quæ ad gloriam Dei ac Christi ejus in spe vitæ æternæ per Jesum Christum Dominum nostrum perfecta sunt. Quapropter, « Sicut per unius delictum, » inquit, « in omnes homines in condemnationem : sic et per unius justitiam in omnes homines in justificationem vitæ [61]. » Et ubi ea quæ sequuntur, in modum dogmatum exposuit, tunc dicit : « An ignoratis, fratres, quia quicunque baptizati sumus in Christo Jesu, in morte ipsius baptizati sumus [62]? » Cur? Ut cum ea quæ officii nostri sunt, secundum fidem per charitatem facta fuerint, simul, præeunte gratia, inferamus, sicque perficiatur in nos beneplacitum divinæ in Christo dilectionis. Itaque opus est certamine magno, eoque legitimo, ne talem ac tantam gratiam dilectionis Dei in Christo frustra accipiamus, eodem Apostolo dicente : « Eum namque qui peccatum non novit, pro nobis peccatum fecit, ut nos efficeremur justitia Dei in ipso. Adjuvantes autem et exhortamur, ut ne in vacuum gratiam Dei recipiatis [63]. » Quod autem « Cui multum concrediderint, plus ab eo sint repetituri [64], » constanter Dominus pronuntiavit. Quod et inculpato modo fit, si tam ea quæ antedictis subjunguntur, quam ea quæ in idem de baptismate argumentum conjunctim dicta sunt, diligenter serventur, et ea quæ his cohærent, in virtute ejusdem gratiæ Dei, per Jesum Christum Dominum nostrum in Spiritu sancto fideliter susceperimus, ut credentes intelligamus per gratiam Dei, eaque quæ intelligere promeruerimus, in Christi dilectione faciamus, qui dixit : « Si hæc scitis, beati estis, si faciatis ea [65]. » Nam « Intellectus bonus omnibus facientibus eum, » uti testatur Propheta [66]. Quin et ipse unigenitus

A μὴ προλαβούσης χάριτος τοῦ Θεοῦ· ὡς ἔκ τε τῶν προτεταγμένων καὶ τῶν ἐπιφερομένων περὶ τοῦ βαπτίσματος κεφαλαίων ὁ αὐτὸς Ἀπόστολος δηλοῖ. Ἀρξάμενος γὰρ ἀπὸ τοῦ, « Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην ὁ Θεὸς εἰς ἡμᾶς, ὅτι, ἔτι ἁμαρτωλῶν ἡμῶν ὄντων, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε· πολλῷ οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ· πολλῷ οὖν μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. »

9. Καὶ πολλὰ τοιαῦτα, σαφῶς καὶ μεγαλοπρεπῶς παριστῶντα τὴν μεγάλην καὶ ἀνεκδιήγητον φιλανθρωπίαν τοῦ Θεοῦ, ἐν τῇ δωρεᾷ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων, καὶ τῆς ἐξουσίας καὶ δυνάμεως τῶν
B εἰς δόξαν τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ κατορθουμένων ἐπ' ἐλπίδι ζωῆς αἰωνίου διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Δι' οὗ (81), « Ὥσπερ δι' ἑνὸς, φησὶ, παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς. » Καὶ τὰ ἐφεξῆς δογματικῶς ἐκθέμενος, τότε λέγει· « Ἢ ἀγνοεῖτε, ἀδελφοὶ, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; » Διὰ τί; Ἵνα, τῆς χάριτος προλαβούσης, τὰ παρ' ἡμῶν (82) ὀφειλόμενα κατὰ πίστιν δι' ἀγάπης ἐνεργούμενα συνεισενεγκώμεθα, καὶ οὕτω τελειωθῇ εἰς ἡμᾶς ἡ εὐδοκία τοῦ Θεοῦ τῆς ἐν Χριστῷ ἀγάπης. Ἀγῶνος οὖν χρεία μεγάλου, καὶ τούτου νομίμου, ἵνα τὴν τοιαύτην καὶ τοσαύτην χάριν τῆς ἐν Χριστῷ
C ἀγάπης τοῦ Θεοῦ μὴ εἰς κενὸν δεξώμεθα, τοῦ αὐτοῦ Ἀποστόλου λέγοντος· « Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ. Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς. » Ὅτι δὲ (83) « Ὧ παρέθεντο πολὺ, περισσότερον ἀπαιτήσουσιν αὐτὸν, » ἐστηριγμένως ἀπεφήνατο ὁ Κύριος. Ὅπερ γίνεται καὶ ἀνεγκλήτως, ἐάν τά τε ἐπενεχθέντα τοῖς προειρημένοις καὶ τὰ εἰς τὴν αὐτὴν ὑπόθεσιν τοῦ βαπτίσματος συνημμένως εἰρημένα, ταῦτα ἀκριβῶς φυλαχθῇ, καὶ τὰ τούτοις συναφθέντα ἐν δυνάμει τῆς αὐτῆς χάριτος τοῦ Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἐν Πνεύματι ἁγίῳ πιστῶς δεξώμεθα, ἵνα πιστεύσαντες συνῶμεν
D χάριτι τοῦ Θεοῦ (84)· καὶ ἅπερ συνεῖναι κατηξιώθημεν, ἐν ἀγάπῃ Χριστοῦ ποιήσωμεν, εἰπόντος· « Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά.—Σύνεσις γὰρ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτὴν (85), »

[60] Rom. v, 8-10. [61] ibid. 18. [62] Rom. vi, 3. [63] II Cor. v, 21; vi, 1. [64] Luc. xii, 48. [65] Joan. xiii, 17. [66] Psal. cx, 10.

(81) Illud, Δι' οὗ, videtur hoc loco positum fuisse pro Δι' ὧν, *quapropter*. Ibidem mss. duo Ὥσπερ, φησὶ, δι' ἑνός.

(82) Editi παρ' ὑμῶν. Reg. tertius παρ' ἡμῶν. Hoc ipso in loco duo mss. καὶ κατά. Haud longe idem codex Ἀγῶνος οὖν. Vocula οὖν deerat in vulgatis.

(83) Voculam δέ addidimus ex antiquis libris.

(84) Editi τοῦ Θεοῦ. Articulus non invenitur in nostris tribus codicibus. Ibidem mss. duo ἅπερ συνιέναι.

(85) Veteres duo libri ποιοῦσιν αὐτά. Hoc ipso in loco μαρτυρεῖ τε ὁ. Illud τε in nostris mss. non invenitur. Ibidem ms. Combef. ἣν αὐτοῦ. Alius ms. ἢ καὶ αὐτοῦ. Reg. secundus προφήτης αὐτοῦ. Editi conjunctim et sine ulla interpunctione προφήτης αὐτοῦ. Statim editi ἐκθέμενος. Regii primus et tertius ἐκθεμένου, recte.

μαρτυρεῖ ὁ προφήτης· αὐτοῦ τοῦ μονογενοῦς Υἱοῦ A τοῦ Θεοῦ τοῦ ζῶντος φοβερὸν καὶ ἀπαράβατον κρῖμα ἐκθεμένου ἐν τῷ εἰπεῖν· « Ὁ γνοὺς τὸ θέλημα τοῦ Κυρίου (86) αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· » ἀλλ' οὐδὲ τὸν ἐν ἀγνοίᾳ πλημμελήσαντα ἀτιμώρητον ἀφέντος.

10. Καὶ ἵνα, ὡς προείρηται, διὰ τῶν γνωριμωτέρων ῥητῶν τε καὶ πραγμάτων ὁδηγηθῶμεν εἰς κατανόησιν τοῦ σωτηρίου (87) καὶ ἐν τῷ βαπτίσματι δόγματος· ἐν πληροφορίᾳ τῆς ἀληθείας ἐσπουδασμένως προσέχωμεν τοῖς σημαινομένοις, καὶ πρὸς τὸν σκοπὸν τῆς εὐσεβείας πᾶν νόημα λαμβάνωμεν. Ἐβαπτίσθημεν, φησὶν, ἵν' ἐκ τούτου ἐκεῖνο παιδευθῶμεν, ὅτι, ὥσπερ τὸ ἔριον, βαπτισθὲν ἐν βάμματι, μεταποιεῖται κατὰ τὸ χρῶμα· μᾶλλον δὲ, ἵνα τῷ Βαπτιστῇ Ἰωάννῃ προφητεύσαντι περὶ B τοῦ Κυρίου, ὅτι « Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρὶ, » ὁδηγῷ χρησάμενοι, φωτισθῶμεν τὸ φῶς τῆς γνώσεως πρὸς κατανόησιν τοῦ μεγάλου φωτὸς, τοῦτο εἴπωμεν· ὅτι, ὥσπερ ὁ σίδηρος, βαπτιζόμενος ἐν τῷ πυρὶ ἀναζωπυρουμένῳ ὑπὸ πνεύματος, εὐγνωστότερος μὲν γίνεται, εἴ τινα ἔχει ἐν ἑαυτῷ (88) κακίαν, ἑτοιμότερος δὲ πρὸς τὸ καθαρισθῆναι· ἀλλοιοῦται δὲ οὐ μόνον τὸ χρῶμα, ἀλλὰ καὶ τὸ σκληρὸν καὶ δύσεικτον μεταβαλὼν πρὸς τὸ ἁπαλώτερον, ἐπιτηδειότερος μὲν γίνεται καὶ τῇ τῶν χειρῶν τοῦ τεχνίτου ἐνεργείᾳ, ῥυθμίζεται δὲ ἀξιολόγως πρὸς τὸ βούλημα τοῦ δεσπότου· ἀπὸ δὲ τῆς μελανίας λαμπρότερος ἑαυτοῦ γενόμενος (89), οὐ μόνον αὐτὸς πυρακτοῦται καὶ ἀπαστράπτει, ἀλλὰ καὶ τὰ ἐγγί C ζοντα φωτίζει καὶ θερμαίνει· οὕτως ἀκόλουθον καὶ ἀναγκαῖον τὸν βαπτισθέντα ἐν τῷ πυρὶ, τουτέστιν ἐν τῷ λόγῳ τῆς διδασκαλίας, ἐλέγχοντι μὲν τῶν ἁμαρτημάτων τὴν κακίαν, φανεροῦντι δὲ τῶν δικαιωμάτων τὴν χάριν, μισῆσαι μὲν καὶ βδελύξασθαι τὴν ἀδικίαν, καθὼς γέγραπται, εἰς ἐπιθυμίαν δὲ ἐλθεῖν τοῦ καθαρισθῆναι διὰ τῆς πίστεως ἐν δυνάμει τοῦ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, αὐτοῦ εἰπόντος· « Τοῦτό μου ἐστὶ τὸ αἷμα, τὸ τῆς Καινῆς Διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν, » καὶ τοῦ Ἀποστόλου μαρτυροῦντος· « Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων· » καὶ οὐ μόνον ἀπὸ πάσης ἀνομίας καὶ ἁμαρτίας καθαρισθῆναι, ἀλλὰ καὶ ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ D πνεύματος· καὶ τότε, βαπτισθέντα εἰς τὸν θάνατον τοῦ Κυρίου, συνδιατεθῆναι τῷ θανάτῳ, ὅπερ ἐστὶ νεκρωθῆναι τῇ ἁμαρτίᾳ, ἑαυτῷ τε καὶ τῷ κόσμῳ, ἵνα, κατὰ τὴν ἐνανθρώπησιν βιῶν (90), κατά τε καρδίαν, καὶ λόγον, καὶ πρᾶξιν ἐντυπωθεὶς καὶ ἐμμορφωθεὶς, ὥσπερ ὁ κηρὸς τῇ γλυφῇ, τῇ διδασκαλίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πληρώσῃ τὸ γε-

Dei viventis Filius formidabile ac inevitabile judicium exponit, cum dicit : « Qui cognovit voluntatem domini sui, et non fecit, vapulabit multis [67]. » Imo ne eum quidem qui per ignorantiam deliquit, impunitum dimisit.

10. Et ut, quemadmodum ante dictum est, per manifestiora verba resque clariores ad cognitionem salutaris dogmatis ad baptisma attinentis, **636** deducamur, in indubitata veritatis persuasione animum diligenter attendamus ad significata, omnemque sententiam ad pietatis scopum adaptemus. Baptizati sumus, inquit, ut per hoc illud discamus, quod quemadmodum lana in tincturam immersa colorem transmutat; imo potius, ut Joanne Baptista, qui vaticinium illud de Domino edidit, « Ipse vos baptizabit in Spiritu sancto et igni [68], » duce utentes, ita illustremur luce cognitionis, ad magnam illam lucem intelligendam, hoc dicamus, quod sicut ferrum in igne a vento suscitato immersum, magis exploratur, an vitii aliquid in se habeat, paratiusque redditur ad purgationem, nec ejus modo color mutatur, sed ejus etiam durities ac resistentia transmutatur in mollitiem, efficiturque operi manuum opificis magis idoneum, ac rite adaptatur ad voluntatem domini, et relicta nigritudine splendidius seipso factum, non solum ignescit, et splendet, sed etiam vicina illustrat et calefacit: ita consentaneum est et necessarium, eum, qui fuerit in igne baptizatus, hoc est, in doctrinæ verbo, quod et peccatorum malitiam redarguit, et justificationum gratiam commonstrat, odio habere et exsecrari injustitiam, sicut scriptum est; et optare, ut per fidem purificetur in virtute sanguinis Domini nostri Jesu Christi, cum dicat ipse, « Hic est sanguis meus Novi Testamenti, qui pro multis effunditur in remissionem peccatorum [69], » et Apostolus ita testetur: « In quo habemus redemptionem per sanguinem ejus, remissionem peccatorum [70] : » et ut non ab omni solum iniquitate et peccato, sed ab omni etiam inquinamento carnis et spiritus purgetur, et tunc demum in mortem Domini baptizatus, conformari ad mortem, hoc est, mori peccato, sibi ipsi et mundo, ut secundum incarnationem vivens, et corde et sermone et factis typum ac figuram doctrinæ Domini nostri Jesu Christi, sicut cera sculpturæ accipiens, impleat quod scriptum est : « Gratia Deo, quod eratis servi peccati, obedistis vero ex corde in eam formam doctrinæ, in quam traditi estis [71] : » et ita dignus fiat, qui servet quod conjunctim appositum est : « Consepulti igitur sumus cum illo per baptismum in mortem [72]. » Quid

[67] Luc. XII, 47, 48. [68] Matth. III, 11. [69] ibid. XXVI, 28. [70] Ephes. I, 7. [71] Rom. VI, 17. [72] ibid. 4.

(86) Reg. secundus θέλημα τοῦ δεσπότου. Ibidem Reg. tertius μὴ ποιῶν.
(87) Editi et mss. σωτηρίου καὶ ἐν τῷ· ubi, nisi valde fallor, καί particula παρέλκει.
(88) Veteres libri ἐν ἑαυτῷ. Editi αὐτῷ.
(89) Codices duo γινόμενος... ἀστράπτει· sed quin vitium insit in voce ultima, non dubito.
(90) Veteres duo libri ἵνα καὶ τῷ κατὰ τὴν ἐνανθρώπησιν βίῳ.

causæ est? Ut quemadmodum excitatus est Christus ex mortuis per gloriam Patris : ita et nos in novitate vitæ ambulemus [73]. Necesse est enim mortuum sepeliri, et eum, qui in similitudine mortis sepultus est, resurgere per gratiam Dei in Christo, nec amplius ob peccata faciem interni hominis velut adustionem ollæ præferre [74], sed peccatis in igne detectis, et accepta per sanguinem venia, deinceps per novam vitam iis quæ in Christo sunt justificationibus præ omni lapide, qui multum pretiosus sit, coruscare.

A γραμμένον· « Χάρις τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς· » καὶ οὕτω τὸ συνημμένως ἐπενεχθὲν φυλάξαι καταξιωθῇ, τό· « Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον. » Διὰ τί; Ἵνα, ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Ἀνάγκη γὰρ τὸν ἀποθανόντα ταφῆναι, καὶ τὸν ταφέντα ἐν τῷ ὁμοιώματι τοῦ θανάτου ἀναστῆναι διὰ τῆς ἐν Χριστῷ τοῦ Θεοῦ χάριτος, καὶ μηκέτι διὰ τὰς ἁμαρτίας τὸ πρόσωπον τοῦ ἔσω ἀνθρώπου ὡς πρόσκαυμα χύτρας ἔχειν, ἀλλ' ἐν τῷ πυρὶ φανερωθέντων τῶν ἁμαρτημάτων, καὶ διὰ τοῦ αἵματος τοῦ Χριστοῦ τὴν ἄφεσιν λαβόντα, λοιπὸν διὰ τῆς ἐν καινότητι ζωῆς ἀπαστράπτειν τὰ ἐν Χριστῷ δικαιώματα ὑπὲρ πάντα λίθον τίμιον πολύν.

11. Itaque deposita inobedientiæ duritia, ostendamus docilitatem ac obedientiam in præceptis, et spiritu ferventes resplendeamus, et a tenebrarum potestate, quæ in mortem abripit, liberemur: « Stipendia enim peccati mors [75] : » ut et in nobis fiat quod dictum est ab Apostolo, **637** « Absorpta est mors in victoriam : ubi est, mors, stimulus tuus? ubi est victoria tua, inferne [76]? » verum Domino, soli justitiæ, obtemperantes, illuminemur ab ipso, intelligentiamque ac virtutem consequamur, adeo ut justificemur in ipso; nec reddamur solum nive candidiores (verax est enim Deus, qui ita pollicitus est : « Si fuerint peccata vestra quasi phœniceum, sicut nivem dealbabo [77] »), sed eos etiam qui ad nos accedunt illustremus; nunc quidem audientes Dominum dicentem, « Vos estis lux mundi [78]; » modo vero audientes ac facientes illud : « Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum, qui in cœlis est [79]. » Tunc et Apostolus idem omnino testimonium nobis reddet, his verbis : « Inter quos lucetis sicut luminaria in mundo, verbum vitæ continentes ad gloriam meam in die Christi [80]. » Quomodo vero vitæ novitas non foret lucidior, non comparatione modo gentilium, et mundanorum hominum, sed comparatione etiam longe præstantiori, eorum, qui secundum legem tanquam justi commendantur? cum non solum non appetamus accessionem, et amplius quiddam, velut mundani homines solent, sed ne ea quidem, quæ jam parta et nostra sunt, vindicemus nobis, imo vero legem transcendentes, ipsa ad egenos beneficiis afficiendos exoptemus : si quidem non benefacimus solum proximis, sed ad inimicos etiam et pravos benignitas nostra sese extendit, ita facientes ex illo Domini nostri Jesu Christi præcepto, « Estote misericordes, sicut et Pater vester qui in cœlis est misericors est [81]. » Quomodo vero tunc in novitate vitæ non ambulamus, aut justitiam magis quam scribæ et

B 11. Ἀποθέμενοι οὖν τὴν σκληρότητα τῆς ἀπειθείας, ἐπιδειξώμεθα μὲν εὐπείθειαν καὶ ὑπακοὴν ἐν τοῖς προστάγμασι, τῷ δὲ πνεύματι ζέοντες, ἀναλάμψωμεν, καὶ τῆς μὲν τοῦ σκότους ἐξουσίας καθελκούσης εἰς θάνατον ῥυσθῶμεν· « Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος· » ἵνα καὶ ἐν ἡμῖν γένηται τὸ εἰρημένον ὑπὸ τοῦ Ἀποστόλου· « Κατεπόθη ὁ θάνατος εἰς νῖκος· ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; » τῷ δὲ Κυρίῳ, τῷ ἡλίῳ τῆς δικαιοσύνης, πειθόμενοι, φωτισθῶμεν ὑπ' αὐτοῦ καὶ καταξιωθείημεν συνέσεως (91) καὶ δυνάμεως, ὥστε ἐν αὐτῷ δικαιωθῆναι· καὶ μὴ μόνον αὐτοὶ λαμπρυνθῶμεν ὑπὲρ τὴν χιόνα (ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος Θεὸς, ὅτι « Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ »), ἀλλὰ καὶ τοὺς ἐγ-
C γίζοντας ἡμῖν φωτίζωμεν· ποτὲ μὲν ἀκούοντες τοῦ Κυρίου (92), « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· » ποτὲ δὲ ἀκούοντες καὶ ποιοῦντες τὸ, « Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. » Τότε πάντως καὶ ὁ Ἀπόστολος μαρτυρήσει ἡμῖν λέγων· « Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ. » Πῶς δὲ οὐ περισσοτέρως ἐπιφανὲς τὸ καινότερον τῆς ζωῆς, οὐχ ἐν συγκρίσει τῶν Ἑλλήνων καὶ κοσμικῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐν συγκρίσει καθ' ὑπερβολὴν τῶν κατὰ νόμον δικαιουμένων; ὅταν μὴ μόνον προσθήκης καὶ τοῦ πλείονος μὴ ὀρεγώμεθα, ὡς καὶ οἱ
D τοῦ κόσμου ἄνθρωποι, ἀλλὰ μήτε τῶν προσόντων τε καὶ ἰδίων ἀντιποιούμεθα· φιλοτιμώμεθα δὲ ἐπ' εὐεργεσίᾳ τῶν δεομένων ὑπὲρ τὸν νόμον. Οὐ μόνον γὰρ εἰς τοὺς πλησίον φέρομεν τὸ ἀγαθὸν, ἀλλὰ καὶ ἐπὶ τοὺς ἐχθροὺς καὶ πονηροὺς ἐκτείνομεν τὸ χρηστὸν, ποιοῦντες κατ' ἐντολὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ, « Γίνεσθε (93) οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί. » Πῶς δὲ οὐχ ἐν καινότητι ζωῆς περιπατοῦμεν, καὶ ὑπὲρ τοὺς γραμματεῖς καὶ Φαρισαίους τὴν δικαιοσύνην τε-

[73] Rom. VI, 4. [74] Joel. II, 6; Nahum. II, 10. [75] Rom. VI, 23. [76] I Cor. XV, 54, 55. [77] Isa. I, 18. [78] Matth. V, 14. [79] ibid. 16. [80] Philipp. II, 15, 16. [81] Luc. VI, 36.

(91) Codices duo ὑπ' αὐτοῦ καταξιούμενοι συνέσεως.
(92) Reg. secundus πῆ μὲν ἀκούοντες... πῆ δὲ ἀκούοντες καί.
(93) Editi γίνεσθαι. At mss. duo γίνεσθε.

A λειοῦμεν, ὅταν ἀνασχώμεθα τοῦ Κυρίου λέγοντος· « Ἐῤῥέθη τοῖς ἀρχαίοις· Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. Καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἀφήσεις (94) αὐτῷ καὶ τὸ ἱμάτιον. Καὶ ὅς ἐάν σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο. » Οὐ μόνον γὰρ οὐκ ἐκδικοῦμεν τὰ προγεγονότα ἁμαρτήματα εἰς ἡμᾶς, ὡς παρακελεύονται οἱ γραμματεῖς καὶ Φαρισαῖοι, ἐπιτρέποντος τοῦ διὰ Μωϋσέως νόμου, ἀλλὰ καὶ μείζονα ἀνεξικακίαν ἐπιδεικνύμεθα, προθυμίαν ὑπομονῆς τῶν ἴσων ἢ καὶ δεινοτέρων προβαλλόμενοι. Καὶ οὕτως ἀμφότερα ἡμῖν συγκατορθοῦται· θάνατος μὲν, ἐν τῷ μὴ κινεῖσθαι (95) εἰς B ἀγανάκτησιν κατὰ τοῦ τὴν πρώτην ἡμῖν ἐπενεγκόντος πληγήν· καινότης δὲ ζωῆς ἐν Κυρίῳ, ἐν τῷ παρατιθέναι καὶ τὴν ἄλλην.

12. Πῶς δὲ οὐ νεκρός τίς ἐστι καὶ τῷ νόμῳ, ὁ μὴ ἀντιποιούμενος τοῦ αἰρομένου; ζῇ δὲ ἐν Χριστῷ, ὁ προσαφιεὶς καὶ τὸ ἱμάτιον; Καὶ πάσης δὲ τῆς κατὰ τὸν νόμον δικαιοσύνης τὴν περισσείαν φυλάσσειν ὁμοίως διδασκόμεθα. Ὅτι δὲ οὐ μόνον τῷ κόσμῳ ἐσταυρῶσθαι, ἀλλὰ καὶ τῷ νόμῳ ἀποθανεῖν ἡμᾶς χρὴ, παρὰ τοῦ αὐτοῦ Ἀποστόλου ἐστὶ δογματικῶς μαθεῖν. Ποτὲ μὲν γὰρ λέγει· « Ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι, καὶ ὁ κόσμος ἐμοί. Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός (96)· » ποτὲ δὲ μετὰ πολλὴν καύχησιν τῶν ἐν τῷ νόμῳ ἀνωτάτω εὐδοκιμήσεων, φησίν· « Ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι τὰ πάντα σκύ- C βαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει, τοῦ γνῶναι αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ· εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν. » Καὶ μετ' ὀλίγα, διδάσκων ἡμᾶς τὸ αὐτὸ φρονεῖν αὐτῷ, ἀποφαντικώτερόν φησιν· « Ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν. »

13. Καὶ ἀλλαχοῦ σφοδρότερον, ὥσπερ δόγμα ἀναγκαῖον ἐκτιθέμενος, λέγει· « Ὥστε καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷ Θεῷ. Ὅτε γὰρ ἦμεν ἐν τῇ D σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ· νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχόμεθα, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος. Τὸ γὰρ γράμμα, » τουτέστιν ὁ

Pharisæi non perficimus, cum obtemperamus Domino dicenti : « Dictum est antiquis : Oculum pro oculo, et dentem pro dente. Ego autem dico vobis, ut ne resistatis malo : sed quisquis te percusserit in dextram maxillam, obverte illi et alteram. Et ei qui vult tecum judicio contendere, et tunicam tuam tollere, dimittes et pallium. Et si quis adegerit te ad milliarium unum, abito cum illo duo [82]. » Non solum enim non ulciscimur peccata prius in nos admissa, uti, lege Moysis permittente, Scribæ et Pharisæi suadent ; sed majorem etiam malorum tolerantiam ostendimus, alacritatem ad paria aut etiam graviora sustinenda præferentes. Et hoc pacto utrumque consequimur : mortem quidem in eo quod ad indignationem adversus eum qui primam plagam nobis inflixit, non provocamur ; vitæ vero in Domino novitatem, in eo quod et alteri nosmet objicimus.

12. Quomodo autem legi etiam non mortuus est, qui non vindicat quod aufertur ? quomodo etiam non in Christo vivit, qui dimittit et pallium ? Similiterque et legalem omnem justitiam docemur transcendere. Quod autem non mundo tantum crucifigi, sed legi etiam mori nos oporteat, ex eodem Apostolo dogmatice discere licet. Aliquando enim dicit : « Ego mundo crucifixus sum, et mundus mihi [83]. Vivo autem, **638** jam non ego, vivit vero in me Christus [84] : » aliquando vero, postquam multum de bona existimatione in lege olim comparata gloriatus fuerat, ait : « Quin etiam existimo omnia esse stercora, ut Christum lucrifaciam, et inveniar in illo non habens meam justitiam, quæ ex lege est, sed illam quæ est per fidem Jesu Christi, justitiam ex Deo in fide, ad agnoscendum illum, et virtutem resurrectionis ejus, et societatem passionum illius, configuratus morti ejus : si quomodo occurram ad resurrectionem mortuorum [85]. » Et paulo post docens nos, ut sentiamus idem quod ipse, expressius dicit : « Quicunque ergo perfecti sumus, hoc sentiamus [86].

13. Et alibi animo vehementiore, velut dogma necessarium exponens, ait : « Itaque et vos mortificati estis legi per corpus Christi, ut sitis alterius, ejus scilicet qui ex mortuis resurrexit, ut fructificemus Deo. Cum enim essemus in carne, passiones peccatorum, quæ per legem erant, operabantur in membris nostris, ut fructificarent morti : nunc autem soluti sumus a lege, mortui ei, in qua detinebamur, ita ut serviamus in novitate spiritus, et non in vetustate litteræ [87]. Littera enim, » hoc est, lex « occidit : spiritus vero, »

[82] Matth. v, 38-41. [83] Galat. vi, 14. [84] Galat. ii, 20. [85] Philipp. iii, 8-11. [86] ibid. 15. [87] Rom. vii, 4-6.

(94) Reg. tertius ἄφες, *dimitte*, nec aliter legitur in sacro textu vulgato. Aliquanto post mss. nostri ὥσπερ παρακελεύονται.

(95) Antiqui duo libri συγκινεῖσθαι. Subinde nostri tres mss. καινότητα. Editi καινότης.

(96) Editi ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ποτὲ δὲ, Ἐγὼ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω. Χριστῷ συνεσταύρωμαι. Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ποτὲ δὲ μετά. Regii primus et tertius ut in contextu, brevius et melius. Nec ita multo post mss. duo τὰ πάντα ζημίαν εἶναι, *omnia detrimentum esse*. Subinde unus ms. ἐξανάστασιν τὴν ἐκ νεκρῶν.

hoc est, verbum Domini, « vivificat[88]. » Quemadmodum dicit ipse : « Caro non prodest quidquam : spiritus est, qui vivificat. Verba mea spiritus et vita sunt[89]. » Atque etiam eximius ille inter apostolos idem testatur, ubi dicit : « Ad quem ibimus? Verba vitæ æternæ habes. Et nos credidimus, et cognovimus, quia tu es Christus Filius Dei viventis[90]. » Quod si in veritatis certa persuasione diligentius servaverimus, effugere poterimus formidabile illud judicium a Moyse quidem minaciter ac prophetice scriptum : Prophetam vobis suscitabit Dominus Deus vester sicut me. Ipsum audietis in omnibus quæ præceperit vobis. Erit autem ita : Omnis anima quæ non audierit prophetam illum, exterminabitur e populo[91]; a Joanne vero Baptista, quo inter natos mulierum major est nemo[92], sententiose modo terribiliori dictum est : « Qui credit in Filium, habet vitam æternam : qui autem incredulus est Filio non videbit vitam, sed ira Dei manet super eum[93]. » Ut autem talis in baptismate mors, et ejusmodi in illa sepultura mœstitiam non exhibeat, ob corruptionis et interitus exspectationem, sed vitæ novitas, quæ spem gloriosæ resurrectionis stabilit, sementem jactam exsuperet, subjungit, dicens : « Si enim complantati facti sumus similitudini mortis ejus, nimirum et resurrectionis erimus[94]. » Nam si in tali mortis similitudine mortui, et una cum Christo sepulti, in novitate vitæ ambulaverimus, non exspectabimus mortalitatis corruptionem, sed sepulturam et velut seminum plantationem imitamur ; ac mortificantes quidem nos ipsos operibus vetitis, et fidem, quæ per charitatem operatur, ostendentes, digni reddimur, qui, utpote earumdem rerum spe suffulti, **639** eadem atque Apostolus dicamus : « Nostra enim conversatio in cœlis est : unde etiam Salvatorem exspectamus Dominum Jesum Christum, qui transformabit corpus humilitatis nostræ, ut conforme reddatur corpori gloriæ ejus, secundum operationem quæ etiam possit subjicere sibi omnia[95]. Et sic semper cum Domino erimus[96], » cum ipse quidem Dominus noster Jesus Christus petat a Patre, et dicat : « Da, Pater, ut ubi ego sum, et isti mecum sint[97], » annuntiet vero nobis ac polliceatur idipsum, cum dicit : « Quisquis mihi ministrat, me sequatur : et ubi sum ego, illic et minister meus erit[98] ; » et Paulus apostolus, qui et in Christo vaticinabatur, testimonium addat, ubi ita scribit : « Hoc enim vobis dicimus in verbo Domini, quia nos qui vivi-

A νόμος, « ἀποκτείνει (97)· τὸ δὲ πνεῦμα, » τουτέστι τὸ ῥῆμα τοῦ Κυρίου, « ζωοποιεῖ. » Καθὼς αὐτός φησιν, ὅτι « Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν. Τὰ ῥήματά μου πνεῦμά ἐστι, καὶ ζωή ἐστι. » Μαρτυρεῖ δὲ καὶ (98) ὁ ἔγκριτος τῶν ἀποστόλων, εἰπών· « Πρὸς τίνα ἀπελευσόμεθα; Ῥήματα ζωῆς αἰωνίου ἔχεις. Καὶ ἡμεῖς πεπιστεύκαμεν, καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Ὅπερ ἐν πληροφορίᾳ ἀληθείας δι' ἐπιμελείας σπουδαιοτέρας φυλάσσοντες, φυγεῖν δυνάμεθα τὸ φοβερὸν ἐκεῖνο κρίμα τὸ ὑπὸ τοῦ Μωϋσέως μὲν μετὰ ἀπειλῆς προφητικῶς γεγραμμένον· Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ὡς ἐμέ. Αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν ἐντείληται ὑμῖν (99). Ἔσται δὲ, Πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ· ὑπὸ
B δὲ Ἰωάννου τοῦ Βαπτιστοῦ, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐδεὶς, φοβερώτερον ἀποφαντικῶς εἰρημένον, ὅτι « Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει (1) ἐπ' αὐτόν. » Ἵνα δὲ ὁ μὲν ἐν τῷ βαπτίσματι τοιοῦτος θάνατος, καὶ ἡ ἐν τῷ αὐτῷ τοιαύτη ταφὴ μὴ ἐν προσδοκίᾳ φθορᾶς καὶ ἀπωλείας παράσχῃ λύπην· ἡ δὲ καινότης τῆς ζωῆς σπέρματος καταβολὴν ὑπερβάλῃ, τῆς ἐνδόξου ἀναστάσεως τὴν ἐλπίδα βεβαιουμένη, ἐπιφέρει λέγων· « Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. » Ἐὰν γὰρ ἐν τῷ τοιούτῳ ὁμοιώματι τοῦ θανάτου
C ἀποθανόντες καὶ συνταφέντες τῷ Χριστῷ ἐν καινότητι ζωῆς περιπατήσωμεν, οὐ νεκρότητος φθορὰν ἐκδεχόμεθα, ταφὴν δὲ καὶ ὥσπερ φυτείαν σπερμάτων μιμούμεθα· νεκροῦντες μὲν ἑαυτοὺς τοῖς ἀπηγορευμένοις, καὶ τὴν πίστιν δι' ἀγάπης ἐνεργουμένην ἐπιδεικνύμενοι, γινόμεθα ἄξιοι τὰ αὐτὰ τῷ Ἀποστόλῳ εἰπεῖν μετ' ἐλπίδος (2) τῶν αὐτῶν· « Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστὸν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα. Καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα· » αὐτοῦ μὲν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ αἰτοῦντος μὲν παρὰ τοῦ Πατρὸς,
D καὶ λέγοντος· « Δὸς, Πάτερ, ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ οὗτοι (3) μετ' ἐμοῦ ὦσι· » παραγγέλλοντος δὲ ἡμῖν, καὶ ἐπαγγελλομένου ἐν τῷ εἰπεῖν· « Ὁ ἐμοὶ διακονῶν, ἐμοὶ ἀκολουθήτω· καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ἐμοῦ ἔσται· » μαρτυροῦντος δὲ Παύλου τοῦ ἀποστόλου, καὶ ἐν Χριστῷ προφητεύοντος, διὰ

[88] II Cor. III, 6. [89] Joan. VI, 64. [90] ibid. 69, 70. [91] Deut. XVIII, 15, 18, 19. [92] Matth. XI, 11. [93] Joan. III, 36. [94] Rom. VI, 5. [95] Philipp. III, 20, 21. [96] I Thess. IV, 16. [97] Joan. XVII, 24. [98] Joan. XII, 26.

(97) Unus ms. νόμος ἀποκτέννει. Ibidem Regii primus et tertius τὸ ῥῆμα. Editi τὰ ῥήματα.

(98) Vocula καί addita est ex veteribus duobus libris. Ibidem mss. duo ἔκκριτος.

(99) Antiqui duo libri πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς, *in omnibus quæ locutus fuerit vobis.* Aliquanto post unus ms. λαοῦ αὐτῆς.

(1) Veteres duo libri μενεῖ, *manebit.*

(2) Editi ἐλπίδα. Unus ms. ἐλπίδων. Alii duo ἐλπίδος. Aliquanto post editi ὃν μετασχηματίσει, corrupte. Reg. secundus ὃς μετασχ.

(3) Veteres duo libri καὶ αὐτοί. Nec ita multo infra iidem mss. διάκονος ὁ ἐμὸς ἔσται.

τοῦ γράψαι ταῦτα· « Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν A λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου, οὐ μὴ φθάσομεν τοὺς κοιμηθέντας. Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἐγερθήσονται πρῶτοι (4). Ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. »

14. Καὶ (5) οὕτως εἰς τοὺς φυλάξαντας νῦν τὸ, « Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, » τότε πληροῦται ἡ ἐπαγγελία· « Ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα, » καθὼς καὶ ἀλλαχοῦ φησιν· « Εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν· εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. » Εἰδὼς B δὲ ὁ Ἀπόστολος, ὅτι ἡ ταυτολογία ὠφελιμωτέρα ἐστὶ τοῖς ἀκούουσι πρὸς τὴν ἀσφάλειαν (6), καὶ βεβαιοτέραν ἐμποιεῖ διὰ τῆς ἐπαναλήψεως τῶν αὐτῶν τὴν πληροφορίαν τῆς ἀληθείας. Παρ' αὐτοῦ γὰρ ἀκούομεν λέγοντος· « Τὰ αὐτὰ γράφειν ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. » Καθὼς καὶ παρὰ τοῦ Ἰωσὴφ μεμαθήκαμεν, δὶς ἐπικρίναντος τὸ ἐνύπνιον τῷ βασιλεῖ Φαραώ· οὕτω καὶ τὴν ἱστορίαν τοῦ ἐνυπνίου μιμούμενος, τὸ αὐτὸ δόγμα τοῦ βαπτίσματος ὁμοίως τοῖς πρώτοις θεωρήμασι παραδίδωσιν εἰπών· « Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. » Ἄρα οὖν καὶ διὰ τούτων τῶν ῥημάτων διδασκόμεθα, ὅτι C ὁ βαπτισθεὶς ἐν Χριστῷ εἰς τὸν θάνατον αὐτοῦ βαπτίζεται· καὶ οὐ μόνον συνθάπτεται τῷ Χριστῷ, καὶ συμφυτεύεται, ἀλλὰ πρῶτον συσταυροῦται, ἵνα καὶ ἐν τούτῳ παιδευθῶμεν, ὅτι, ὥσπερ ὁ σταυρούμενος ἀπαλλοτριοῦται τῶν ζώντων, οὕτω καὶ ὁ ἐν τῷ ὁμοιώματι τοῦ θανάτου συσταυρωθεὶς τῷ Χριστῷ ἀπαλλοτριοῦται παντάπασι τῶν κατὰ τὸν παλαιὸν ἄνθρωπον ζώντων· τοῦ μὲν Κυρίου ἐντελλομένου προσέχειν ἀπὸ τῶν ψευδοπροφητῶν, τοῦ δὲ Ἀποστόλου λέγοντος· « Στέλλεσθαι (7) ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρελάβοσαν (8) παρ' ἡμῶν. » Ὁ γὰρ παλαιὸς ἄνθρωπος ὀνομασθεὶς, πάντα ὁμοῦ τὰ κατὰ μέρος ἁμαρτήματά τε καὶ μολύσματα, ὥσπερ μέλη ἑαυτοῦ, δηλοῖ.

D

15. Καὶ ὥσπερ ὁ ἐσταυρωμένος, κρῖμα (9) θανάτου ὑποδεξάμενος, τῶν πάλαι συζώντων αὐτῷ ἀφέστηκεν, ὑψηλότερος τῶν ἐπὶ τῆς γῆς ἑρπόντων γενόμενος, οὕτω καὶ ὁ τῷ Χριστῷ συσταυρωθεὶς διὰ τοῦ βαπτίσματος πάντων ὁμοῦ τῶν κατὰ τὸν αἰῶνα τοῦτον ζώντων ἀπήλλακται, ὑψώσας ἑαυτοῦ τὸ φρό-

mus, qui residui sumus in adventu Domini, non præveniemus eos qui dormierunt. Quoniam ipse Dominus in jussu, in voce archangeli, et in tuba Dei descendet de cœlo : et mortui, qui in Christo sunt, resurgent primi. Deinde nos qui vivimus, qui relinquimur, simul rapiemur cum illis in nubibus obviam Domino in aera et sic semper cum Domino erimus [99]. »

14. Atque hoc pacto in iis qui nunc servaverint illud, « Si enim complantati facti sumus similitudini mortis ejus, » tunc adimplebitur promissio illa : « itidem et resurrectionis erimus [1] ; » quemadmodum et alibi dicit : « Nam si commortui sumus, et convivemus : si sustinemus, et conregnabimus [2]. » Cum autem Apostolus non ignoraret repetitionem audientibus ad integram confirmationem utilem esse, etiam iisdem rebus repetitis veritatis persuasionem magis stabilit. De se enim dicentem audimus : « Eadem scribere vobis me quidem haud piget, vobis vero tutum est [3]. » Quemadmodum didicimus et a Joseph, qui bis regi Pharaoni somnium interpretatus est [4] : ita quoque somnii historiam imitatus, idem baptismatis dogma per rationes prioribus similes tradit his verbis : « Hoc scientes, quod vetus homo noster simul crucifixus est, ut destruatur corpus peccati, ut ultra non serviamus peccato [5]. » Itaque et his verbis docemur eum qui in Christo baptizatus est, baptizari in mortem ipsius; et non solum cum Christo sepeliri et conseri, sed primum simul crucifigi, ut in hoc etiam condiscamus, quod quemadmodum qui crucifigitur, abalienatur a viventibus, sic etiam qui in similitudine mortis simul cum Christo crucifixus est, omnino ab iis qui secundum veterem hominem vivunt, abalienetur, cum Dominus quidem præcipiat ut caveamus a falsis prophetis [6]; Apostolus vero dicat : « Subtrahatis vos ab omni fratre ambulante inordinate, et non secundum traditionem, quam acceperunt a nobis [7]. » Vetus enim homo, quem vocat, omnia simul et singulatim tam peccata quam inquinamenta tanquam sua membra indicat.

15. Et quemadmodum qui crucifixus est, recepta
640 mortis sententia, ab iis qui secum olim vixere sejungitur, iis qui in terra repunt effectus altior : ita quoque qui cum Christo crucifixus est per baptisma, is ab omnibus simul in hoc sæculo viventibus, sua mente ad cœlestem conversationem

[99] I Thess. IV, 14-16. [1] Rom. VI, 5. [2] II Tim. II, 11, 12. [3] Philipp. III, 1. [4] Genes. XLI, 1 sqq. [5] Rom. VI, 6. [6] Matth. VII, 15. [7] II Thess. III, 6.

(4) Antiqui duo libri ἐν Χριστῷ ἀναστήσονται πρῶτον.
(5) Particulam καί addimus ex tribus codicibus.
(6) Veteres duo libri πρὸς αὐτὴν τὴν ἀσφάλειαν.
(7) Reg. tertius στέλλεσθε. Editi στέλλεσθαι, ubi suppleas velim ex sacro textu vulgato hæc verba, Παραγγέλλομεν δὲ ὑμῖν, *denuntiamus autem vobis... ut subtrahatis vos*, etc.
(8) Editi παρέλαβε. At nostri tres mss. παρελάβοσαν.
(9) Editi καὶ κρῖμα. Vocula καί in nostris mss. deest.

erecta, semotus est, sic ut vere et cum fiducia, quæ in Christo est, possit dicere : « Nostra enim conversatio in cœlis est [8]. » Ac rursus subdit : « Qui enim mortuus est, justificatus est a peccato [9], » hoc est, solutus est, liberatus est, purgatus est ab omni peccato, quod non solum in operibus ac verbis, verum etiam in cogitatione libidines et affectus commovente situm est. Et in alio loco sententiam protulit ita scribens : « Qui autem sunt Christi Jesu, carnem crucifixerunt cum affectibus et concupiscentiis [10]. » Nimirum hæc crucifigimus, quotquot in aqua baptizamur, quod baptisma similitudo est crucis, et mortis, et sepulturæ, et resurrectionis mortuorum, sicut scriptum est. Et iterum : « Mortificate, inquit, membra vestra, quæ sunt super terram (saltem in posterum omnino baptismatis pacta servantes), fornicationem, immunditiam, libidinem, concupiscentiam malam, et avaritiam, quæ est simulacrorum servitus, propter quæ venit ira Dei : » nec solum hæc dixit, sed generalius subjunxit : « In filios incredulitatis [11] ; » ita ut jam ne brevis quidem voluptas mentem coinquinans, eum qui cum Christo in similitudine mortis consitus sit, infestet, sed per id ostendat cordis munditiem, quod odio habeat et exsecretur omnem malitiam vel ad ipsam usque cogitationem, quæ libidines et affectus commoveat, quemadmodum dicit David : « Non adhæsit mihi cor pravum; declinantem a me malignum non cognoscebam [12] : » siquidem omnino ne eo quidem accedente conversus est. Consiti autem in similitudine mortis, prorsus excitamur una cum Christo. Nam ea, quæ sequitur, sationis notio est ejusmodi. Nunc quidem juxta incarnationis mensuram internum hominem conformem præstamus in novitate vitæ, et in obedientia usque ad mortem, in integra persuasione veritatis verborum ipsius, ut digni efficiamur, qui vere dicamus : « Vivo autem jam non ego, vivit vero in me Christus [13]. » In posterum vero, sicut idem Apostolus confirmavit his verbis : « Nam si commortui sumus, et convivemus : si sustinemus, et conregnabimus [14]. » Et similiter his adducit nos ad fidem adhibendam, cum dicit : « Si enim complantati facti sumus similitudini mortis ejus, itidem et resurrectionis erimus [15]. » Ac rursus idem dogma baptismatis ejusmodi nos docens modo magis suasorio, et vi majore, subjicit, dicens : « Christus resurgens ex mortuis, jam non moritur, mors illi ultra non dominatur. Nam quod mortuus fuit, peccato mortuus fuit semel : quod autem vivit, vivit Deo. Ita et vos existimate, vos ipsos quidem mortuos esse peccato, viventes autem Deo in Christo Jesu [16]. »

A νημα πρὸς τὴν ἐπουράνιον πολιτείαν (10), ὥστε δύνασθαι εἰπεῖν μετὰ ἀληθείας καὶ παῤῥησίας τῆς ἐν Χριστῷ· « Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. » Καὶ πάλιν ἐπιφέρει· « Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, » τουτέστιν ἀπήλλακται, ἠλευθέρωται, κεκαθάρισται πάσης ἁμαρτίας τῆς οὐκ ἐν ἔργοις καὶ λόγοις μόνον, ἀλλὰ καὶ προσπαθοῦς ἐνθυμήσεως. Καὶ ἐν ἑτέρῳ τόπῳ ἀπεφήνατο γράψας· « Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. » Σταυροῦμεν δὲ δηλονότι, οἱ ἐν τῷ ὕδατι βαπτιζόμενοι· ὅπερ ἐστὶν ὁμοίωμα τοῦ σταυροῦ καὶ τοῦ θανάτου, τῆς τε ταφῆς καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καθὼς γέγραπται. Καὶ πάλιν· « Νεκρώσατε, φησὶ, τὰ μέλη ὑμῶν, τὰ ἐπὶ τῆς γῆς (πάντως τὰς (11) B ἐν τῷ βαπτίσματι συνθήκας καὶ ὕστερον φυλάξαντες), πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ· » οὐ μόνον δὲ, ἀλλὰ καθολικώτερον ἐπήγαγεν· « Ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· » ὡς μηκέτι μηδὲ τῆς προσκαίρου ἡδονῆς τῆς καταῤῥυπούσης τὴν διάνοιαν παρενοχλούσης τῷ συμφυτευθέντι τῷ Χριστῷ ἐν τῷ ὁμοιώματι τοῦ θανάτου· διὰ δὲ τὸ μισεῖν καὶ βδελύσσεσθαι πᾶσαν κακίαν ἄχρι καὶ τῆς προσπαθοῦς ἐνθυμήσεως, τὸ καθαρὸν τῆς καρδίας ἐνδεικνυμένῳ, καθώς φησιν ὁ Δαβίδ· « Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή· ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον· » ἐπειδὴ πάντως οὐδὲ ἐγγίζοντος αὐτοῦ ἐπεστράφη. Συμφυτευθέντες δὲ ἐν τῷ ὁμοιώματι τοῦ θανάτου, πάντως C συνεγειρόμεθα τῷ Χριστῷ (τῆς γὰρ φυτείας τὸ ἀκολούθως σημαινόμενον τοιοῦτο)· νῦν μὲν κατὰ τὸ μέτρον τῆς ἐνανθρωπήσεως συμμορφούμενοι τὸν ἔσω ἄνθρωπον ἐν τῇ καινότητι τῆς ζωῆς, καὶ τῇ μέχρι θανάτου ὑπακοῇ ἐν πληροφορίᾳ τῆς ἀληθείας τῶν ῥημάτων αὐτοῦ· ἵνα ἄξιοι γενώμεθα μετὰ ἀληθείας εἰπεῖν· « Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· » εἰς δὲ τὸ μέλλον, καθὼς διεβεβαιώσατο ὁ αὐτὸς Ἀπόστολος εἰπὼν, ὅτι « Εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν· εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. » Ἐπίσης δὲ τούτοις πληροφορεῖ ἡμᾶς ἐν τῷ εἰπεῖν· « Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. » Καὶ πάλιν τὸ αὐτὸ δόγμα τοῦ τοιούτου βαπτίσματος, δυσωπητικώτερον καὶ ἀναγκαστικώτερον D παιδεύων ἡμᾶς, ἐπιφέρει λέγων, ὅτι « Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ. »

[8] Philipp. III, 20. [9] Rom. VI, 7. [10] Galat. V, 24. [11] Coloss. III, 5, 6. [12] Psal. C, 3, 4. [13] Galat. II, 20. [14] II Tim. II, 11, 12. [15] Rom. VI, 5. [16] ibid. 9-11.

(10) Reg. tertius ἐπουράνιον βασιλείαν τε καὶ πολιτείαν. Aliquanto post duo mss. κεκάθαρται πάσης.

(11) Editi πάσας τάς. At nostri tres mss. πάντως.

A 16. Τὴν τοίνυν αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ περὶ τῆς ἀφέσεως τῶν ἡμετέρων ἁμαρτημάτων (12) οἰκονομίαν διὰ τῆς μέχρι θανάτου ἐνανθρωπήσεως προσθεὶς ὁ Ἀπόστολος, δυσωπητικώτερον καὶ ἀναγκαστικώτερον ἡμᾶς παιδεύει κεχριμένως νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ, ἵνα, ὥσπερ ὁ Χριστὸς, ἀποθανὼν δι' ἡμᾶς καὶ ἐγερθεὶς ἐκ νεκρῶν ὑπὲρ ἡμῶν, οὐκέτι ἀποθνήσκει, οὕτω καὶ ἡμεῖς, βαπτισθέντες εἰς τὸν θάνατον ἐν τῷ ὁμοιώματι, ἀποθάνωμεν τῇ ἁμαρτίᾳ· καὶ διὰ τῆς ἐκ τοῦ βαπτίσματος ἀνόδου, ὥσπερ ἐκ νεκρῶν ἐγερθέντες, ζήσωμεν τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ, καὶ μηκέτι ἀποθάνωμεν, τουτέστι, μηκέτι ἁμαρτήσωμεν· διότι « Ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται. » Καὶ ὥσπερ ἐκείνου ὁ θάνατος οὐ κυριεύει, οὕτω καὶ ἡμῶν μηκέτι κυριεύσῃ ἡ ἁμαρτία· B τουτέστι, μηκέτι αὐτὴν ποιῶμεν. Καὶ ὅτι « Ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας· » ἀπαλλοτριωθέντες δὲ τῆς τοιαύτης δουλείας κατὰ πάντα τρόπον, ὡς ἐδήλωσεν ὁ Ἀπόστολος εἰπών· « Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, » ζήσωμεν τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ ἐλευθερώσαντι ἡμᾶς, καθὼς γέγραπται· « Χριστὸς ἡμᾶς ἐξηγόρασεν (13) ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. » Πολὺ δὲ πρότερον τῆς ἁμαρτίας, δηλονότι χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καθὼς γέγραπται· « Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί· οὕτω διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. C Στήκετε οὖν, φησὶ, καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. » Καὶ ὥσπερ αὐτὸς τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ· οὕτω καὶ ἡμεῖς ἐν τῷ τοῦ ὕδατος βαπτισμῷ, ὅπερ ἐστὶν ὁμοίωμα τοῦ σταυροῦ καὶ τοῦ θανάτου (14), ἀποθανόντες τῇ ἁμαρτίᾳ ἐφάπαξ, φυλάξωμεν ἑαυτοὺς, καὶ μηκέτι ἐπανέλθωμεν ἐπὶ τὴν ἁμαρτίαν. Διαμείνωμεν δὲ ζῶντες τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ εἰπόντι· « Ὁ ἐμοὶ διακονῶν ἐμοὶ ἀκολουθείτω, » ἐν τῷ φυλάσσειν πρῶτον μὲν τὸ αὐτοῦ τοῦ (15) Κυρίου πρόσταγμα, εἰπόντος· « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς· » ἔπειτα δὲ καὶ τὸ τοῦ Ἀποστόλου παράγγελμα, γράψαντος· « Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν D Θεοῦ ποιεῖτε. » Κατορθοῦται δὲ τούτων ἕκαστον, ἐὰν, ἄξια τῆς ἐπουρανίου κλήσεως φρονοῦντες, ἀξίως τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ πολιτευώμεθα, καὶ δυνηθῶμεν ἀληθεύοντες εἰπεῖν· « Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντες τοῦτο, ὅτι, εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι

16. Itaque illam ipsius Domini nostri Jesu Christi de peccatorum nostrorum venia dispensationem per incarnationem ad mortem usque progressam adjiciens Apostolus, gravius ac validius, lata sententia, docet nos mortuos quidem **641** esse peccato, viventes vero Deo in Christo Jesu, ut quemadmodum Christus propter nos mortuus, et excitatus ex mortuis pro nobis. non amplius moritur, ita nos quoque baptizati in mortem in similitudine, moriamur peccato; et per ascensum ex baptismate, velut ex mortuis excitati, vivamus Deo in Christo Jesu, et non moriamur amplius, hoc est, non amplius peccemus : siquidem, « Anima quæ peccaverit, ipsa morietur [17]. » Et quemadmodum mors ei non amplius dominatur, ita et nobis non ultra dominetur peccatum, hoc est, non amplius peccatum perpetremus. Et quoniam « Qui peccatum facit, servus est peccati [18], » prorsus ab ejusmodi servitute liberati, sicut Paulus declaravit his verbis : « Qui autem sunt Christi, carnem crucifixerunt cum affectibus et concupiscentiis [19]. » vivamus Deo in Christo Jesu, qui liberavit nos. uti scriptum est : « Christus nos redemit de maledicto legis, factus pro nobis maledictum [20]. » Longe autem potiori jure sumus a peccato liberati, gratia videlicet Domini Jesu Christi, sicut scriptum est : « Sicut enim per inobedientiam unius hominis peccatores constituti sunt multi : ita per unius obeditionem justi constituentur multi [21]. State igitur, inquit, et nolite iterum jugo servitutis detineri [22]. » Et ut ipse peccato mortuus est semel; quod autem vivit, vivit Deo, ita et nos in aquæ baptismate, quod crucis et mortis similitudinem refert, semel mortui peccato, custodiamus nos ipsos, et non amplius revertamur ad peccatum. Quin etiam pergamus vivere Deo in Christo Jesu qui dixit : « Qui mihi ministrat me sequatur [23] : » custodientes primum quidem præceptum illud ipsius Domini, dicentis : « Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cœlis est [24], » deinde monitum etiam Apostoli, scribentis : « Sive editis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite [25]. » Assequemur autem horum quodque, si cœlesti vocatione dignum quid sentientes, vitam agamus dignam Evangelio Christi, possimusque vere dicere : « Charitas enim Christi constringit nos, judicantes illud, quod si unus pro omnibus mortuus est, ergo omnes mortui sunt : et pro omnibus mortuus est, ut qui vivunt, non amplius sibi vivant, sed ei, qui pro ipsis mortuus est et resurrexit [26]. » Et ita fit hoc : « Manete

[17] Ezech. XVIII, 4. [18] Joan. VIII, 34. [19] Galat. V, 24. [20] Galat. III, 13. [21] Rom. V, 19. [22] Galat. V, 1. [23] Joan. XII, 26. [24] Matth. V, 16. [25] I Cor. X, 31. [26] II Cor. V, 14, 15.

(12) Unus ms. ἁμαρτιῶν. Nec ita multo infra editi κεχριμένος. Reg. primus κεχριμένως.

(13) Veteres duo libri ἡμᾶς ἐξηγόρασεν. Editi ἠλευθέρωσεν. Aliquanto post mss. χάριτι τοῦ Κυρίου ἡμῶν. Vox ultima deest in vulgatis.

(14) Unus ms. θανάτου αὐτοῦ.

(15) Editi μὲν τοῦ αὐτοῦ τοῦ. Reg. tertius μὲν τὸ αὐτό. Reg. secundus μὲν τὸ αὐτοῦ τοῦ.

in dilectione mea. Si mandata mea servaveritis, manebitis in dilectione mea, sicut ego Patris mei præcepta servavi, et maneo in eius dilectione [27]. »

17. « Nullam autem ulla in re offensionem dantes, ut ne vituperetur ministerium; sed velut Dei ministri in omnibus commendantes nosmetipsos [28], » sinceram ac veram ostendamus baptismatis promissionem, custodientes scilicet quæ ab Apostolo hortamenti in morem ad quoscunque cum Christo consitos et cum ipso excitatos sic dicta sunt: « Ne igitur regnet peccatum **642** in vestro mortali corpore, ut obediatis ei in ipsius concupiscentiis. Neque exhibeatis membra vestra arma iniquitatis peccato: sed exhibete vos Deo, B tanquam ex mortuis viventes, et membra vestra arma justitiæ Deo [29]. » Et iterum: « Igitur, si consurrexistis cum Christo, quæ sursum sunt quærite, ubi Christus est in dextera Dei sedens; quæ sursum sunt sapite, et non quæ super terram [30]. » Ac mea quidem sententia, sic per pauca quæ relata sunt, nobis Apostolus explicat magnam illam prævenientem, et cui vices referri non possint, immensæ benignitatis Dei gratiam, in dilectione Christi Jesu Domini nostri, cujus usque ad mortem obedientia, uti scriptum est, facta nobis est redemptio peccatorum, liberatio mortis in peccato, quod a sæculo est, regnantis, reconciliatio cum Deo, virtus qua grati efficimur Deo et accepti, justitiæ donum, societas sanctorum in æterna vita, regni cœ- C lorum hæreditas et innumerorum aliorum bonorum præmium. Atque etiam sapienter ac valide nobis per ea, quæ conjunctim illata sunt, rationem baptismatis aquæ, quod in mortem Domini nostri Jesu Christi fit, tradidit. Quibus nos erudivit, ut communiamus nosmetipsos, ne frustra tantam ac talem gratiam suscipiamus, ubi videlicet ea dicit, quorum jam memini: « Ne igitur regnet peccatum in vestro mortali corpore, ut obediatis ei in concupiscentiis ipsius. Neque exhibeatis membra vestra arma iniquitatis peccato: sed exhibete vos Deo, tanquam ex mortuis viventes, et membra vestra arma justitiæ Deo [31], » etc.

D 18. Quibus nos omnino ab omni peccato et a legis justitia removens, ad justitiam vero secundum Deum per minas magis horrendas ac per bonam desiderabilemque promissionem vehementius

A ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. » Καὶ οὕτω κατορθοῦται τὸ, « Μείνατε ἐν τῇ ἀγάπῃ μου (16). Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ »

17. « Μηδεμίαν δὲ ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία· ἐν παντὶ δὲ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, » ἀψευδῆ καὶ ἀληθῆ ἐπιδειξώμεθα τὴν ἐν τῷ βαπτίσματι ἐπαγγελίαν, ἐν τῷ φυλάσσειν τὰ ὑπὸ τοῦ Ἀποστόλου παρακλητικῶς πρὸς τοὺς συμφυτευθέντας τῷ Χριστῷ καὶ συνεγερθέντας εἰρημένα οὕτως· « Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτῆς. Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, B ἀλλὰ παραστήσατε (17) ἑαυτοὺς τῷ Θεῷ, ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ. » Καὶ πάλιν· « Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος· τὰ ἄνω φρονεῖτε, καὶ μὴ τὰ ἐπὶ τῆς γῆς· » ὡς οἶμαι, ἀναπόδοτον (18) οὕτω διευκρινήσαντος ἡμῖν τοῦ Ἀποστόλου, δι' ὀλίγων γοῦν τῶν μνημονευθέντων τὴν προλαβοῦσαν μεγάλην τῆς ἀμετρήτου φιλανθρωπίας τοῦ Θεοῦ χάριν ἐν ἀγάπῃ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν, οὗ ἡ μέχρι θανάτου ὑπακοὴ ἡμῖν ἐγένετο, καθὼς γέγραπται, λύτρωσις ἁμαρτημάτων, ἐλευθερία τοῦ ἐν τῷ ἀπ' αἰῶνος (19) παραπτώματι βασιλεύοντος θανάτου, καταλλαγὴ τῷ Θεῷ, δύναμις τῆς πρὸς Θεὸν εὐαρεστήσεως, C δικαιοσύνης δωρεὰ, κοινωνία τῶν ἁγίων ἐν τῇ αἰωνίῳ ζωῇ, βασιλείας οὐρανῶν κληρονομία, καὶ μυρίων ἄλλων ἀγαθῶν βραβεῖον· σοφῶς δὲ καὶ ἰσχυρῶς παραδεδωκότος ἡμῖν, διὰ τῶν συνημμένως ἐπενεχθέντων, τὸν ἐν τῷ ὕδατι εἰς τὸν θάνατον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ βαπτίσματος λόγον. Δι' ὧν ἐπαίδευσεν ἡμᾶς ἀσφαλίζεσθαι ἑαυτοὺς, μὴ εἰς κενὸν τὴν τοσαύτην καὶ τοιαύτην χάριν δέξασθαι, εἰπὼν ἃ καὶ προσεῖπον· « Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτῆς. Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε (20) ἑαυτοὺς τῷ Θεῷ, ὡς ἐκ νεκρῶν ζῶντας· καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ, » καὶ τὰ ἑξῆς.

D 18. Δι' ὧν παντάπασιν ἀποστήσας μὲν ἡμᾶς πάσης ἁμαρτίας καὶ τῆς κατὰ νόμον δικαιοσύνης, προσαγαγὼν δὲ τῇ κατὰ Θεὸν δικαιοσύνῃ σφοδρότερον διὰ φρικωδεστέρας ἀπειλῆς, καὶ ἀγαθῆς καὶ ποθεινοτά-

[27] Joan. xv, 9, 10. [28] II Cor. vi, 3, 4. [29] Rom. vi, 12, 13. [30] Coloss. iii, 1, 2. [31] Rom. vi, 12, 13.

(16) Antiqui duo libri ἀγάπῃ τῇ ἐμῇ, καὶ ἐάν. Mox ms. Combef. μενεῖτε. Editi μένητε. Subinde unus ms. καθὼς κἀγώ.

(17) Veteres libri παραστήσατε. Editi παραστήσετε.

(18) Interpres vetus cum hunc locum ita vertit, *Ita puto nobis Apostolum per anapodoton dilucidare magnam illam gratiam*, etc., existimasse videtur vocem ἀναπόδοτον novam quamdam figuram esse rhetoricæ: sed nemo, opinor, ei ea in re assentietur. Arbitror hac voce significari hoc loco rem tanti pretii, ut nihil, quod par sit, possit unquam referri. Vox γοῦν, quæ mox sequitur, deest in uno codice, nec dubium quin redundet.

(19) Editi ἐν τῷ αἰῶνος. At mss. duo ἐν τῷ ἀπ' αἰῶνος.

(20) Rursus et hoc loco nostri mss. παραστήσατε. Editi παραστήσετε.

της ἐπαγγελίας, ἐν τῷ εἰπεῖν· « Τὰ γὰρ ὀψώνια τῆς A ἁμαρτίας θάνατος· τὸ δὲ χάρισμα τοῦ Θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, » μιμεῖσθαι (21) πάλιν τὸν Κύριον, καὶ τῆς κατὰ νόμον δικαιοσύνης κρείττονας ἡμᾶς γενέσθαι παιδεύει, ἐπαγαγών· « Ἢ ἀγνοεῖτε, ἀδελφοὶ (γινώσκουσι γὰρ νόμον λαλῶ), ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ; Ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. Ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς, μοιχαλὶς χρηματίσει (22), ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ. Ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι, B ἵνα καρποφορήσωμεν τῷ Θεῷ. Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ. Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχόμεθα, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος, » καὶ τὰ ἑξῆς. Δι' ὧν παιδευόμεθα θαυμάζειν τὴν ἀνεκδιήγητον φιλανθρωπίαν τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ, καὶ φρικωδέστερον καθαρεύειν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος.

adducens his verbis : « Stipendia enim peccati, mors ; donum vero Dei, vita æterna, in Christo Jesu Domino nostro [32], » id nos docet, ut rursus Dominum imitemur, et evadamus legali justitia superiores, subjungitque : « An ignoratis, fratres (scientibus enim legem loquor), quod lex dominatur homini, quanto tempore vivit? Nam quæ sub viro est mulier, vivente viro, alligata est legi; si autem mortuus fuerit vir, soluta est a lege viri. Igitur, vivente viro, vocabitur adultera, si fuerit cum alio viro : si autem mortuus fuerit vir, libera est a lege, ut non sit adultera, si fuerit cum alio viro. Itaque, fratres mei, et vos mortificati estis legi per corpus Christi, ut sitis alteri, ei scilicet qui ex mortuis resurrexit, ut fructificemus Deo. Cum enim essemus in carne, passiones peccatorum, quæ per legem erant, operabantur in membris nostris, ut fructificarent morti. Nunc autem soluti sumus a lege, mortui ei a qua detinebamur, ita ut serviamus in novitate spiritus, et non in vetustate litteræ [33], » etc. Quibus **643** discimus ineffabilem Dei in Christo Jesu benignitatem mirari, nosque majore cum timore ab omni inquinamento carnis et spiritus repurgare.

19. Τὴν δὲ διαφορὰν τοῦ πνεύματος πρὸς τὸ γράμμα, ἐν ἑτέρῳ τόπῳ σύγκρισιν ποιούμενος τοῦ νόμου καὶ τοῦ Εὐαγγελίου, κατὰ ἀπόφασιν δεικνύει, λέγων· « Τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωο- C ποιεῖ· » γράμμα δὲ λέγων τὸν νόμον, ὡς διὰ τῶν προγεγραμμένων καὶ ἐπιφερομένων δηλοῦται (23)· πνεῦμα δὲ τὴν τοῦ Κυρίου διδασκαλίαν, αὐτοῦ τοῦ Κυρίου εἰπόντος· « Τὰ ῥήματά μου πνεῦμά ἐστι, καὶ ζωή ἐστιν. » Εἰ δὲ ἡ κατὰ νόμον δικαιοσύνη σπουδαζομένη τισὶ τῶν ἐν τῷ βαπτίσματι καθομολογησάντων ἑαυτοὺς τῷ Θεῷ μηκέτι ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι, μοιχείας κρῖμα ἐπάγει, ὡς διὰ τῶν προειρημένων σαφῶς δέδεικται, τί ἂν τις εἴποι περὶ παραδόσεων ἀνθρωπίνων; Περὶ δὲ τῆς κατὰ νόμον δικαιοσύνης ὁ αὐτὸς Ἀπόστολος σφοδρότερον ἀποφαίνεται, εἰπών· « Ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι τὰ πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μου (24), δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ D ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ Ἰησοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην. » Περὶ μὲν οὖν παραδόσεων ἀνθρωπίνων τὸ κρῖμα φανερὸν ἐκ τῶν τοῦ Κυρίου ῥημάτων· περὶ δὲ λογισμῶν ἰδίων ἐν σοφίᾳ ἀνθρωπίνῃ ἀγωνιστικώτερον τὴν καθαίρεσιν ποιεῖ-

19. Cæterum discrimen quod spiritum inter et litteram intercedit, comparatis inter se alibi lege et Evangelio, sententiose declarat his verbis : « Littera enim occidit, spiritus vero vivificat [34]; » legem appellans litteram, ut ex iis quæ superius scripta sunt, et ex iis quæ subjunguntur, liquet : spiritum vero, doctrinam Domini; cum Dominus ipse dicat. « Verba mea spiritus et vita sunt [35]. » Quod si legalis justitia diligenter observata quosdam, qui se Deo in baptismate devoverant, promiserantque se non amplius sibi victuros, sed ei, qui pro ipsis mortuus est et resurrexit [36], tanquam adulteros judicat, veluti ex ante dictis clare demonstratum est, quidnam dixerit quis de humanis traditionibus? De legali autem justitia idem Apostolus sententiam vehementiorem profert his verbis : « Quin etiam existimo omnia detrimentum esse, propter eminentem scientiam Jesu Christi Domini mei : propter quem omnia detrimentum feci, et arbitror stercora esse, ut Christum lucrifaciam, et inveniar in illo, non habens meam justitiam, quæ ex lege est, sed illam quæ est per fidem Christi Jesu, justitiam scilicet quæ ex Deo est [37]. » Judicium quidem de humanis traditionibus, ex verbis Domini manifestum est : quod vero attinet ad propria consilia, quæ ex sapientia humana fiunt, ea laboriosius

[32] Rom. vi, 23. [33] Rom. vii, 1-6. [34] II Cor. iii, 6. [35] Joan. vi, 64. [36] II Cor. v, 15. [37] Philipp. iii, 8, 9.

(21) Veteres libri μιμεῖται. Editi μιμεῖσθαι.
(22) Unus mss. χρηματίζει.
(23) Editi τῶν προσγεγραμμένων δηλοῦται. Veteres duo libri προγεγραμμένων δηλοῦνται. Reg. tertius ut in contextu. Nec ita multo infra Reg. primus Ῥήματα ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμα, etc., *verba quæ ego locutus sum vobis, spiritus sunt*, etc.
(24) Antiqui duo libri Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

evertenda esse docuit Apostolus, cum dixit : « Arma militiæ nostræ non carnalia sunt, sed potentia Deo ad destructionem munitionum, consilia destruentes, et omnem altitudinem extollentem se adversus scientiam Dei [38]. » Aut in universum institutus est sermo de justitia, quæ cuique manifesta est, etiamsi propter Deum studiose fiat ; de qua ille ipse iterum dicit : « Testimonium enim perhibeo illis, quod æmulationem Dei habent, sed non secundum scientiam Dei. Ignorantes enim justitiam Dei, et suam quærentes statuere, justitiæ Dei non sunt subjecti [39]. » Quare ex his et similibus manifesta est condemnatio eorum, qui Dei volunt judicia eludere. Scriptum est enim : « Væ qui sunt prudentes in semetipsis, et coram semetipsis scientes [40]. » Quin et Dominus apertius pronuntiavit fore, ut quisquis non susciperet regnum Dei velut puer, non introiret in ipsum [41]. Quapropter ab omnibus simul purum esse necesse est, tum diabolicis cupiditatibus, tum sæculi curis ac negotiis, tum traditionibus humanis, tum propriis voluntatibus, etiamsi speciosæ esse videantur, legisque fulciantur patrocinio, si vel ad modicum tempus diligentem celerrimamque ac debitam placitorum Dei exsecutionem removentur, ut qui in hujusmodi baptismate professi sunt se simul esse cum Christo crucifixos, simul mortuos, simul sepultos, simul insitos, simul ex mortuis excitatos, fiduciam habeant vere dicendi : « Ego mundo crucifixus sum (et potiori jure diabolo), et mundus mihi [42]. Vivo autem jam non ego, vivit vero in me Christus [43] : » quibus justitiam justitia legali perfectiorem docet, ut digni habeamur regno cœlorum.

644 20. Tempus jam fuerit procedere nos ad aliud considerandum, et per Christi fidem intelligere et cognoscere quid sit baptizari in nomine Patris et Filii et Spiritus sancti. Primum quidem necesse est in unoquoque nomine gloriam atque majestatem ejus qui significatus est, seorsum indicare : deinde scire quod Dominus ipse declaret quid sit in nomine Spiritus sancti baptizari, cum dicit : « Quod natum est ex carne, caro est : et quod natum est ex spiritu, spiritus est [44], » ut carnalis ortus serie pro exemplo accepta, ex re notiore dogma pietatis clare vereque discamus ; cum sciamus, planeque nobis persuasum sit, quemadmodum id quod secundum carnem ex aliquo generatum est, tale est, quale est id ex quo genitum est, ita nos quoque ex spiritu generatos necessario spiritum fieri, spiritum autem non secundum magnam illam et humanæ menti incomprehensibilem Spiritus sancti gloriam, sed secundum eam, quæ et in divisione donorum Dei per Christum ipsius

σθαι ὁ Ἀπόστολος ἐδίδαξεν, εἰπών· « Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ (25) Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. » Ἢ ὅλως περὶ δικαιοσύνης τῆς ἑκάστῳ φαινομένης, κἂν διὰ Θεὸν ᾖ ἐσπουδασμένως γινομένη· περὶ ἧς φησι πάλιν ὁ αὐτός· « Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. » Ὡς ἐκ τούτων καὶ τῶν τοιούτων φανερὸν εἶναι (26) τὸ κρῖμα τῶν θελόντων σοφίζεσθαι τὰ κρίματα τοῦ Θεοῦ. Γέγραπται γάρ· « Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες· » τοῦ Κυρίου φανερώτερον ἀποφηναμένου, ὅτι ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς τὸ παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. Διόπερ πάντων ὁμοῦ καθαρεῦσαι ἀναγκαῖον, τῶν τε τοῦ διαβόλου ἐπιθυμιῶν, καὶ τῶν τοῦ κόσμου μετεωρισμῶν, καὶ τῶν ἀνθρωπίνων παραδόσεων, καὶ τῶν ἰδίων θελημάτων, κἂν εὐπροσωπότεροι εἶναι δόξωσι, καὶ ὑπὸ τοῦ νόμου συνηγορῶνται, ἐὰν καὶ πρὸς ὀλίγον ἀναβολὴν ἐμποιήσωσι τῇ ὀφειλομένῃ ὀξυτάτῃ σπουδῇ τῶν θελημάτων τοῦ Θεοῦ· ἵνα οἱ ἐν τῷ τοιούτῳ βαπτίσματι ὁμολογήσαντες συνεσταυρῶσθαι τῷ Χριστῷ, συντεθνηκέναι, συντεθάφθαι, συμπεφυτεῦσθαι, συνεγηγέρθαι, παῤῥησίαν ἔχωσι μετὰ ἀληθείας εἰπεῖν· « Ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι (πολὺ δὲ πρότερον τῷ διαβόλῳ), καὶ ὁ κόσμος ἐμοί. Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός· » περισσείαν τῆς κατὰ τὸν νόμον δικαιοσύνης διδάσκων, ἵνα βασιλείας οὐρανῶν καταξιωθῶμεν.

20. Καιρὸς ἂν εἴη λοιπὸν εἰς κατανόησιν ἡμᾶς ἐλθεῖν, καὶ διὰ τῆς εἰς Χριστὸν πίστεως σύνεσιν ἡμᾶς λαβεῖν (27), καὶ γνῶναι τί ἐστι τὸ ἐν τῷ ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος βαπτισθῆναι. Πρῶτον μὲν οὖν ἑκάστου ὀνόματος ἰδιαζόντως τὴν τοῦ ὀνομαζομένου δόξαν γνωρίζειν ἀναγκαῖον· ἔπειτα εἰδέναι, ὅτι τὸ ἐν τῷ ὀνόματι τοῦ ἁγίου Πνεύματος βαπτισθῆναι αὐτὸς ὁ Κύριος σαφηνίζει, λέγων· « Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν, » ἵνα, τῆς κατὰ σάρκα γεννήσεως τὴν ἀκολουθίαν ἀντὶ ὑποδείγματος λαβόντες, ἐκ τοῦ γνωριμωτέρου πράγματος (28) τὸ δόγμα τῆς εὐσεβείας σαφῶς καὶ ἀληθῶς παιδευθῶμεν· εἰδότες, καὶ πεπεισμένοι ἀκριβῶς, ὅτι, ὥσπερ τὸ κατὰ σάρκα ἔκ τινος γεννηθὲν τοιοῦτόν ἐστιν, οἷόν ἐστι τὸ ἐξ οὗ ἐγεννήθη, οὕτω καὶ ἡμᾶς ἐπάναγκες, ἐκ τοῦ πνεύματος γεννωμένους, πνεῦμα γενέσθαι· πνεῦμα δὲ οὐ κατὰ τὴν μεγάλην καὶ ἀκατάληπτον ἀνθρωπίνῃ διανοίᾳ δόξαν τοῦ ἁγίου Πνεύματος, ἀλλὰ τὴν ἐν τῇ

[38] II Cor. x, 4, 5. [39] Rom. x, 2, 3. [40] Isa. v, 21. [41] Matth. xviii, 3. [42] Galat. vi 14. [43] Galat. ii, 20. [44] Joan. iii 6.

(25) Editi ἐν τῷ. Vocula ἐν deest in veteribus libris.

(26) Antiqui duo libri φοβερὸν εἶναι, *metuendum*.

(27) Editi ὑμᾶς λαβεῖν. At mss. nostri ἡμᾶς. Aliquanto post unus mss. ἔπειτα δέ.

(28) Veteres duo libri ἐκ τοῦ προτέρου πράγματος.

A διαιρέσει τῶν τοῦ Θεοῦ διὰ τοῦ Χριστοῦ (29) αὐτοῦ χαρισμάτων ἑκάστῳ πρὸς τὸ συμφέρον, καὶ ἐνεργείᾳ τούτων ἁπάντων αἰνιγματωδῶς θεωρουμένην, καὶ ἐν ἄλλοις δὲ ῥητοῖς ὁμοίως, ἀλλὰ κατὰ τὴν τῶν ἐντολῶν τοῦ Θεοῦ, τῶν διὰ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατηγγελμένων ὑπόμνησίν τε καὶ διδασκαλίαν, αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· « Αὐτὸς ὑμᾶς διδάξει, καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν. » Ἔπειτα δὲ ὁ Ἀπόστολος πλατύτερον παραδίδωσι, διὰ ποίων φρονημάτων γίνεταί τις πνεῦμα, ἐν τῷ γράφειν ποτὲ μέν « Ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, » καὶ τὰ ἑξῆς· προειπών· « Εἰ δὲ πνεύματι (30) ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον· » καὶ ἀλλαχοῦ, « Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν· » ποτὲ δέ· « Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ Θεοῦ, τὴν δοθεῖσαν B ἡμῖν (31), διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, » καὶ τὰ ἑξῆς.

21. Διὰ τούτων καὶ (32) τῶν τοιούτων ὁ Κύριος τοὺς γεννηθέντας ἐκ πνεύματος πνεῦμα γενέσθαι λέγει. Συμμαρτυρεῖ δὲ ὁ Ἀπόστολος, λέγων· « Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται· ἵνα δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστόν. » Ἐὰν δὲ (33), ζῶντες πνεύματι, πνεύματι καὶ στοιχῶμεν, καὶ οὕτω χωρητικοὶ γενόμενοι τοῦ Πνεύματος τοῦ ἁγίου, δυνηθῶμεν C ὁμολογῆσαι τὸν Χριστόν· διότι οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι ἁγίῳ. Οὕτω μὲν οὖν ὁ Κύριος διά τε ἑαυτοῦ καὶ διὰ τοῦ Ἀποστόλου τοὺς γεννηθέντας ἐκ πνεύματος, πνεῦμα γίνεσθαι ἐδίδαξεν. Καὶ ἐν τούτῳ δὲ πάλιν μιμησόμεθα τὴν κατὰ σάρκα γέννησιν· πρῶτον μὲν τὸν τόπον μεταλλάξαντες καὶ τὸν τρόπον μετασχηματισθέντες διὰ τοῦ κραταιωθῆναι πνεύματι τὸν ἔσω ἄνθρωπον, ὡς δύνασθαι ἡμᾶς λέγειν· « Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς (34) ὑπάρχει· » τὸ μὲν σῶμα ὡς σκιὰν περισύροντες ἐπὶ τῆς γῆς, τὴν δὲ ψυχὴν συμπολιτευομένην τοῖς ἐπουρανίοις φυλάσσοντες· ἔπειτα δὲ καὶ τοὺς συνόντας ἐπὶ γῆς ἀνταλλαξάμενοι, τοῦ μὲν Δαβὶδ εἰπόντος· « Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ D ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ· πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν. Λαλῶν ἄδικα, οὐ κατεύ-

A unicuique ad utilitatem fit, et in horum omnium operatione per ænigma conspicitur, similiterque aliis sententiis, sed in memoriam revocando præcepta Dei, quæ per Dominum nostrum Jesum Christum annuntiata sunt, eaque docendo, cum Dominus ipse noster Jesus Christus dicat : « Ipse vos docebit, et suggeret vobis omnia quæ dixi vobis [45]; » prætereaque Apostolus fusius tradat quibus studiis quis efficiatur spiritus, cum scribit aliquando quidem : « Fructus autem Spiritus est charitas, gaudium, pax, patientia [46], » et quæ sequuntur, priusque dixerat : « Quod si spiritu ducimini, non estis sub lege [47]; » et alibi : « Si spiritu vivimus, spiritu et ambulemus [48]; » aliquando vero : « Habentes autem donationes secundum gratiam B Dei, quæ data est nobis, differentes, sive prophetiam, secundum rationem fidei, sive ministerium in ministrando [49], » etc.

21. Per hæc et similia Dominus eos qui ex spiritu nati sunt, spiritum fieri dicit. Et Apostolus pariter idem testatur, his verbis : « Hujus rei gratia flecto genua mea ad Patrem Domini nostri Jesu Christi, ex quo omnis paternitas in cœlo et in terra nominatur; ut det vobis secundum divitias gloriæ suæ, virtute corroborari per Spiritum suum, in internum hominem, ut inhabitet Christus [50]. » Quod si viventes spiritu, spiritu etiam ambulamus, sic quoque Spiritus sancti capaces effecti, poterimus Christum confiteri : siquidem nemo potest dicere C Dominum Jesum, nisi in Spiritu sancto [51]. Ad hunc igitur modum Dominus, tum per seipsum, tum per Apostolum, docuit generatos ex spiritu spiritum fieri. Atque in hoc rursus imitabimur carnalem generationem ; primum quidem mutantes locum et mores transformantes, in eo quod internus homo spiritu corroboratur, ut possimus dicere : « Nostra autem conversatio in cœlis est [52]; » corpus quidem in terra tanquam umbram circumferentes, **645** animam vero una cum cœlestibus conversantem custodientes : deinde ab iis quoque qui in terra nobiscum vivunt, secedentes, cum David dicat, « Detrahentem secreto proximo suo, hunc persequebar. Superbo oculo et insatiabili corde, cum hoc non edebam. D Oculi mei ad fideles terræ, ut sedeant mecum : ambulans in via immaculata, hic mihi ministrabat. Non habitabat in medio domus meæ faciens superbiam. Qui loquitur iniqua, non direxit in conspectu oculorum meorum, [53] » et in aliis similiter ; Apostolus vero gravius quiddam denuntiet : « Si quis fra-

[45] Joan. xiv, 26. [46] Galat. v, 22. [47] ibid. 18. [48] ibid. 25. [49] Rom. xii, 6. [50] Ephes. iii, 14-16. [51] I Cor. xii, 3. [52] Philipp. iii, 20. [53] Psal. c, 5-7.

(29) Editi Θεοῦ καὶ Χριστοῦ. At mss. tres Θεοῦ διὰ τοῦ Χριστοῦ.

(30) Reg. primus Εἰ δὲ πνεύματι Θεοῦ.

(31) Editi δοθεῖσαν ὑμῖν. At mss. nostri ἡμῖν. Statim editi προφητείας. At mss. προφητείαν.

(32) Veteres duo libri τούτων γάρ. Mox editi τὸν εἰς ἔσω. At mss. εἰς τὸν ἔσω.

(33) Unus ms. Ἐάν γε. Pro ζῶντες Combefisius legit ζῶμεν, invitis ac reclamantibus libris veteribus. Aliquanto post editi ὁμολογεῖσθαι. Veteres libri ὁμολογῆσαι. Subinde editi μιμησώμεθα. Unus ms. μιμησόμεθα.

(34) Unus ms. ἐν οὐρανῷ.

ter nominatus aut fornicator fuerit, aut avarus, aut idolorum cultor, aut maledicus, aut ebriosus, aut rapax, cum tali ne cibum quidem sumatis [54]. »

22. Et sæpe idem ille, ubi talia adversus ejusmodi scelera præscribit, præmisso de immensa et gloriosa benignitatis Christi gratia aliquo sermone, perspicue et diligenter tradit cum quibus et cum qualibus convivendum nobis sit, dum dicit: « Ipse enim est pax nostra, qui fecit utraque unum, et medium parietem maceriæ solvit, inimicitiam in carne sua: legem mandatorum in decretis evacuans, ut duos condat in semetipso in unum novum hominem, faciens pacem, et reconciliet ambos in uno corpore Deo per crucem, interficiens inimicitiam in semetipso. Et veniens evangelizavit pacem vobis, qui longe fuistis, et pacem iis, qui prope: quoniam per ipsum habemus accessum utrique in uno Spiritu ad Patrem. Ergo jam non estis hospites et advenæ, sed estis concives sanctorum, et domestici Dei, superædificati super fundamentum apostolorum et prophetarum, summo angulari lapide ipso Christo Jesu, in quo omnis ædificatio coagmentata crescit in templum sanctum in Domino [55], » ut hoc pacto in similitudine mortis insititii Christo, et in nomine sancti Spiritus baptizati, et generati denuo secundum internum hominem in renovatione mentis, superstructique super fundamentum apostolorum et prophetarum, sic digni habeamur qui baptizemur in nomine unigeniti Filii Dei, promereamurque donum magnum cujus Apostolus meminit his verbis: « Quicunque in Christo baptizati estis, Christum induistis [56]. Non est Græcus et Judæus, circumcisio et præputium, barbarus, Scytha, servus et liber sed omnia et in omnibus Christus [57]. »

23. Necessarium enim est et consequens, ut qui natus est, is etiam induatur: tantum si quemadmodum tabula ex quacunque tandem materia constet, inæqualitate deposita, derasaque asperitate, ita demum imaginis regiæ picturam induit, tuncque non ex ligni aut auri aut argenti discrimine æstimatur imaginis præstantia; sed in accurata cum exemplari similitudine, cum multa diligentia ex artis præceptis rite expressa, materiæ quidem discrimen occultat, etiamsi in ea plurimum sit distantiæ atque discriminis, atque ad suam dignitatem **646** admirandam spectatores inducit, fitque quovis principatu ac potentatu præstantior, sic etiam qui baptizatur, sive Judæus, sive Græcus, sive mas, sive femina, sive servus, sive

A θυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου, » καὶ ἐν ἄλλοις ὁμοίως· τοῦ δὲ Ἀποστόλου ἐμβριθέστερον παραγγέλλοντος, ὅτι « Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ἢ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν (35). »

22. Καὶ πολλάκις δὲ ὁ αὐτὸς, τὰ ὅμοια κατὰ τῶν ὁμοίων δογματίσας, παραδίδωσι σαφῶς καὶ ἀσφαλῶς προδιηγούμενος τὴν μεγάλην καὶ ἔνδοξον τῆς φιλανθρωπίας τοῦ Χριστοῦ χάριν, τίσι καὶ ποταποῖς συνεῖναι ἡμᾶς δεῖ, ἐν τῷ εἰπεῖν· « Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ· τὸν νόμον τῶν ἐντολῶν (36) ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν αὐτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ B τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ. Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν, καὶ εἰρήνην τοῖς ἐγγύς (37)· ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ Πνεύματι πρὸς τὸν Πατέρα. Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλ' ἐστὲ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ Ἰησοῦ, ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ, » ἵνα οὕτως ἐν μὲν τῷ ὁμοιώματι τοῦ θανάτου συμφυτευθέντες τῷ Χριστῷ, καὶ ἐν τῷ ὀνόματι τοῦ ἁγίου Πνεύματος βαπτισθέντες, καὶ γεννηθέντες ἄνωθεν τὸν ἔσω ἄνθρωπον ἐν τῇ ἀνακαινώσει τοῦ νοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, C οὕτως ἄξιοι γενώμεθα βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, καὶ καταξιωθῶμεν τῆς μεγάλης δωρεᾶς, ἣν ὁ Ἀπόστολος παραδέδωκεν (38), εἰπών· ὅτι « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, καὶ ἐλεύθερος· ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός. »

23. Ἀναγκαῖον γὰρ καὶ ἀκόλουθον τὸν γεννηθέντα καὶ ἐνδύσασθαι· μόνον ἐὰν, ὥσπερ ἡ σανὶς ἐξ ὁποιασδήποτε ὕλης οὖσα, ἀποθεμένη τὸ ἀνώμαλον, καὶ ἀποξυσθεῖσα τὸ τραχὺ, οὕτως ἐνδύεται τὴν γραφὴν τῆς εἰκόνος τοῦ βασιλέως· καὶ τότε οὐκ ἐν τῇ τοῦ ξύλου, ἢ χρυσοῦ, ἢ ἀργύρου διαφορᾷ γνωρίζεταί τις διαφορὰ τῆς εἰκόνος· ἐν δὲ τῇ ἀκριβείᾳ τῆς ὁμοιότητος πρὸς τὸ ἀρχέτυπον, μετ' ἐπιμελείας πολλῆς κατ' D ἐπιστήμην ἀξιολόγως κατορθωθεῖσα, κρύπτει μὲν τὴν διαφορὰν τῆς ὕλης, κἂν πολλῷ τῷ μέσῳ διειστήκει, πρὸς δὲ τὴν δόξαν ἑαυτῆς τοὺς ὁρῶντας ἐπάγεται, καὶ γίνεται ἐντιμοτέρα πάσης ἀρχῆς καὶ ἐξουσίας· οὕτω καὶ ὁ βαπτιζόμενος, εἴτε Ἰουδαῖος, εἴτε Ἕλλην, εἴτε ἄρσεν, εἴτε θῆλυ, εἴτε δοῦλος, εἴτε ἐλεύθερος, εἴτε

[54] I Cor. v, 11. [55] Ephes. II, 14-21. [56] Galat. III, 27. [57] Coloss. III, 11.

(35) Unus codex μὴ συνεσθίειν. Aliquanto post unus ms. ἀσφαλῶς προηγουμένως τὴν μεγάλην καὶ ἔνδοξον τοῦ Θεοῦ χάριν.

(36) Editi ἐντολῶν αὐτοῦ. Vox αὐτοῦ in veteribus libris non legitur.

(37) Editi perinde ut sacer textus vulgatus καὶ τοῖς ἐγγύς. Reg. secundus καὶ εἰρήνην τοῖς ἐγγύς, nec dubium quin Vulgatæ auctor ita legerit. Statim mss. duo πρὸς τὸν Θεόν. Ἄρα.

(38) Veteres duo libri παρέδωκεν. Mox editi ἐνεδύσασθε. Ἐν Χριστῷ δὲ νῦν Ἰησοῦ οὐκ ἔνι. At mss. nostri ut in contextu. Aliquanto post duo mss. ἀλλὰ τὰ πάντα.

Σκύθης, εἴτε βάρβαρος, εἴτε ἄλλος ἐν οἱαδήποτε διαφορᾷ γένους ὀνομαζόμενος, ἐν τῷ αἵματι τοῦ (39) Χριστοῦ ἀπεκδυσάμενος τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, διὰ δὲ τῆς διδασκαλίας αὐτοῦ ἐν ἁγίῳ Πνεύματι ἐνδυσάμενος τὸν νέον τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν, ἄξιος γένηται (40) καταντῆσαι εἰς τὴν εὐδοκίαν τοῦ Θεοῦ, ἣν ὁ Ἀπόστολος παρέδωκεν εἰπών· « Οἴδαμεν γὰρ, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. »

24. Τότε γὰρ ὡς Υἱὸν Θεοῦ ἐνδυσάμενος, καταξιοῦται τοῦ τελείου βαθμοῦ, καὶ βαπτίζεται εἰς τὸ ὄνομα τοῦ Πατρὸς αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ τὴν τοῦ Ἰωάννου μαρτυρίαν, διδόντος ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, Θεοῦ τοῦ λέγοντος· « Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ, » χάριτι αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ ζῶντος, « Ἐν ᾧ οὔτε περιτομή τι ἰσχύει (41), οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη, » καθὼς γέγραπται· δι' ἧς εὐόδως ἡμῖν κατορθοῦται τὸ ἐπενεχθὲν συνημμένως τῷ παραγγέλματι τοῦ βαπτίσματος παρὰ τοῦ αὐτοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰπόντος· « Διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· » ὧν τὴν τήρησιν ἀπόδειξιν εἶναι τῆς πρὸς αὐτὸν ἀγάπης αὐτὸς ὁ Κύριος ὡρίσατο, εἰπών· « Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε (42)· » καὶ πάλιν· « Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· » καὶ πάλιν· « Ἐάν τίς με ἀγαπᾷ, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτόν. » Καὶ σφοδρότερον καὶ δυσωπητικώτερόν φησι· « Μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς κἀγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. » Εἰ δὲ τῆς μὲν ἀγάπης ἀναγκαία ἀπόδειξις ἡ τήρησις τῶν ἐντολῶν, φόβος δὲ σφοδρότερος, ὅτι χωρὶς ἀγάπης καὶ ἡ τῶν ἐνδόξων χαρισμάτων (43), καὶ ἡ τῶν ἀνωτάτω δυνάμεων, καὶ αὐτῆς τῆς πίστεως ἡ ἀκροτάτη ἐνέργεια, καὶ ἡ τελειοποιὸς ἐντολὴ ἀνωφελής, αὐτοῦ τοῦ ἐν Χριστῷ λαλοῦντος Παύλου τοῦ ἀποστόλου, εἰπόντος· « Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβα-

A liber, sive Scytha, sive barbarus [58], sive alius quivis ex quacunque generis differentia nomen adeptus, cum semel hominem veterem cum actibus suis in sanguine Christi exuerit, et in Spiritu sancto per illius doctrinam induerit novum, creatum secundum Deum in justitia atque sanctitate veritatis [59], renovatum ad agnitionem secundum imaginem Conditoris sui, dignus reddatur, qui pertingat ad Dei placitum ab Apostolo his expressum verbis: « Scimus enim, quod diligentibus Deum omnia cooperantur in bonum, iis qui secundum propositum vocati sunt. Nam quos præscivit, et prædestinavit conformes fieri imaginis Filii sui, ut sit ipse primo genitus in multis fratribus [60]. »

24. Tunc enim quasi Filium Dei indutus, fit di-
B gnus gradu perfecto, baptizaturque in nomen Patris ipsius Domini nostri Jesu Christi, qui juxta Joannis testimonium eam potestatem dedit, ut Dei fiamus filii [61], Dei, inquam, qui dicit: « Exite de medio eorum, et separamini, et immundum ne tetigeritis: et ego recipiam vos, et ero vobis in patrem, et vos eritis mihi in filios et filias, dicit Dominus omnipotens [62], » per gratiam ipsius Domini nostri Jesu Christi unigeniti Filii Dei viventis, « In quo neque circumcisio aliquid valet, neque præputium, sed fides quæ per charitatem operatur, » uti scriptum est [63]; per quam nobis prospere cedit id quod ab ipso Domino nostro Jesu Christo continenter cum baptismatis præcepto appositum est, ubi dixit: « Docentes eos servare omnia quæcunque mandavi vobis [64]: » quorum obser-
C vationem argumentum nostræ in se dilectionis esse declaravit Dominus ipse, his verbis: « Si diligitis me, mandata mea servate [65]; » et rursus: « Qui habet mandata mea et servat ea, ille est qui diligit me [66]; » et iterum: « Si quis diligit me, sermonem meum servabit, et Pater meus diliget eum [67]. » Quin etiam vehementius ac modo ad persuadendum efficaciore ait: « Manete in dilectione mea. Si præcepta mea servaveritis, manebitis in dilectione mea, sicut et ego Patris mei præcepta servavi, et maneo in ejus dilectione [68]. » Quod si dilectionis necessaria testificatio observatio est mandatorum, illud timendum valde est, quod sine dilectione, etiam eximiorum donorum, supernarumque virtutum, et ipsius fidei summa efficacia,
D mandatumque ipsum quod perfectos reddit, nihil prosunt, cum Paulus apostolus qui in Christo loquebatur, dicat: « Si linguis hominum loquar et angelorum, charitatem autem non habeam, factus sum æs sonans, aut cymbalum tinniens. Et si habeam prophetiam, et noverim mysteria omnia, et omnem

[58] Coloss. III, 11. [59] Ephes. IV, 22-24. [60] Rom. VIII, 28, 29. [61] Joann. I, 12. [62] Isa. V, 11, II Cor. VI, 17, 18. [63] Gal. V, 6. [64] Matth. XXVIII, 20. [65] Joan. XIV, 15. [66] ibid. 21. [67] ibid. 23. [68] Joann. XV, 9, 10.

(39) Reg. primus ἐν τῷ ὀνόματι τοῦ.
(40) Unus ms. γίνεται.
(41) Illud ἰσχύει additum est ex veteribus libris.
(42) Editi τηρήσετε, *servabitis*. Reg. secundus τηρήσατε.
(43) Sic veteres duo libri. Editi χαρισμάτων ἀνωτάτω. Auctor cum non longe ita scripsit, καὶ ἡ τελειοποιὸς ἐντολή, respexisse videtur ad illud Matthæi XIX, 21, *Si vis perfectus esse, vade, vende quæ habes, et da pauperibus*. Quare dubitari vix potest quin hic intelligi debeat præceptum voluntariæ paupertatis.

scientiam : et si habeam omnem fidem, ita ut montes transferam, charitatem vero non habeam, nihil sum. Et si distribuero in cibos pauperum omnes facultates meas, et si tradidero **647** corpus meum, ut comburar, charitatem vero non habeam, nihil capio utilitatis [69] : » quod arbitror ab Apostolo definitive fuisse dictum, memori videlicet Domini dicentis : « Multi venient in illa die, dicentes, Domine, Domine, nonne in nomine tuo prophetavimus, et in nomine tuo dæmonia ejecimus, et in nomine tuo virtutes multas fecimus, et comedimus coram te, et bibimus, et nonne in plateis nostris docuisti ? » et respondet ipsis : « Nunquam novi vos. Discedite a me, operarii iniquitatis [70]. »

A λον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν· καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι (44), ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι· » ἅπερ λογίζομαι αὐτὸν εἰρηκέναι ὁριστικῶς, μεμνημένον τοῦ Κυρίου εἰπόντος, ὅτι « Πολλοὶ ἐλεύσονται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγοντες· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν, καὶ ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας; » καὶ ἀποκρίνεται αὐτοῖς· « Οὐδέποτε ἔγνων ὑμᾶς. Ἀποχωρεῖτε ἀπ' ἐμοῦ, ἐργάται τῆς ἀνο-
B μίας. »

25. Quare manifestum est et evidens hæc citra charitatem, etiamsi præcepta et justificationes fiant, custodianturque mandata Domini et charismata magna edantur, pro iniquitatis operibus haberi ; non ex propria ratione charismatum et justificationum, sed ex proposito eorum qui his utuntur ad proprias voluntates, dicente Apostolo, nunc quidem, « Existimantium quæstum esse pietatem [71], » nunc vero, « Quidam quidem propter invidiam et contentionem, quidam autem et propter bonam voluntatem Christum prædicant : quidam autem ex contentione Christum annuntiant, non pure, existimantes se afflictionem addere vinculis meis [72] ; » et alibi : « Non enim sumus, inquit, sicut multi, adulterantes verbum Dei [73]. » Ac rursus per negationem dixit : « Neque enim unquam in sermone adulationis fuimus erga vos, sicut scitis, neque in prætextu avaritiæ, Deus testis est : neque quærentes ab hominibus gloriam, neque a vobis, neque ab aliis ; cum possemus oneri esse ut Christi apostoli [74]. » Ex his autem ac similibus aperte ostenditur Domini justam esse responsionem, dicentis : « Discedite a me, operarii iniquitatis [75], » quod per Dei dona voluntati vestræ consulitis, tanquam si quis et medicis instrumentis, et peculiaribus condimentis, quæ ad morborum medelam et ad sanitatis salutisque curam confecta sint, utatur ad interitum, et illud Apostoli præceptum non servatis, qui dicit : « Sive manducatis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite [76]. » Omnino igitur hominis interni necessaria est cura, ut intenta sit mens, et velut ad scopum gloriæ Dei alligata, ut servantes mandatum Domini, dicentis : « Facite arborem

25. Ὡς δῆλον καὶ ἀναντίῤῥητον εἶναι, ὅτι χωρὶς ἀγάπης, κἂν γένηται τὰ προστάγματα καὶ τὰ δικαιώματα, καὶ φυλαχθῶσιν αἱ ἐντολαὶ τοῦ Κυρίου, καὶ τὰ μεγάλα χαρίσματα ἐνεργηθῇ, ἀνομίας ἔργα λογισθήσεται· οὐ τῷ ἰδίῳ λόγῳ τῶν (45) χαρισμάτων καὶ τῶν δικαιωμάτων, ἀλλὰ τῷ σκοπῷ τῶν τούτοις χρωμένων πρὸς τὰ ἴδια θελήματα, τοῦ Ἀποστόλου λέγοντος ποτὲ μέν· « Νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν· » ποτὲ δέ· « Τινὲς μὲν διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν (46)· οἱ δὲ ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν, οὐχ ἁγνῶς, οἰόμενοι θλίψιν ἐπιφέρειν τοῖς
C δεσμοῖς μου· » καὶ ἀλλαχοῦ· « Οὐ γάρ ἐσμεν, φησὶν, ὡς οἱ πολλοὶ, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ. » Καὶ πάλιν ἀπαρνητικῶς φησιν· « Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν πρὸς ὑμᾶς, καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας, Θεὸς μάρτυρ· οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων· δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι. » Διὰ δὲ τούτων καὶ τῶν τοιούτων δείκνυται σαφῶς τὸ δίκαιον τῆς τοῦ Κυρίου ἀποκρίσεως· « Ἀποχωρεῖτε ἀπ' ἐμοῦ, ἐργάται τῆς ἀνομίας, » ἐν τῷ διὰ τῶν τοῦ Θεοῦ χαρισμάτων τὰ ἴδια θελήματα πραγματεύεσθαι, ὡς εἴ τις τοῖς ἰατρικοῖς σκεύεσί τε καὶ σκευάσμασιν ἰδίοις, πρὸς θεραπείαν παθῶν γενομένοις, καὶ πρὸς ἐπιμέλειαν ὑγείας τε καὶ σωτηρίας, χρήσαιτο πρὸς φόνον, καὶ μὴ τὸ τοῦ Ἀπο-
D στόλου παράγγελμα φυλάσσειν (47), εἰπόντος· « Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. » Παντὶ οὖν λόγῳ ἀναγκαία ἡ ἐπιμέλεια τοῦ ἔσω ἀνθρώπου, ὡς ἀμετεώριστον εἶναι τὸν νοῦν, καὶ ὥσπερ (48) προσηνῶσθαι τῷ σκοπῷ τῆς τοῦ Θεοῦ δόξης, ἵνα φυλάσσοντες τὸ πρόσταγμα τοῦ Κυρίου εἰπόντος· « Ποιήσατε τὸ

[69] I Cor. XIII, 1-3. [70] Matth. VII, 22, 23. ; Luc. XIII, 26, 27. [71] I Tim. VI, 5. [72] Philipp. I, 15-17. [73] II Cor. II, 17. [74] I Thess. II, 5-7. [75] Luc. XIII, 27. [76] I Cor. X, 31.

(44) Unus ms. καυθήσωμαι. Editi καυθήσομαι. Nec ita multo post duo mss. Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγοντες.

(45) Veteres duo libri τῶν τε.

(46) Totum illud, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν, non invenimus in nostris veteribus libris

(47) Editi παράγγελμα φυλάσσειν. Regii primus et tertius φυλάσσοι.

(48) Sic veteres duo libri. Editi ὥσπερ δέ. Combefisius quoque particulam καί delevit : sed præterea contra omnium librorum fidem pro ὥσπερ legit ὥστε.

δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν· » καὶ πάλιν· « Φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου, καὶ τότε τὸ ἐκτὸς αὐτοῦ ἔσται καθαρὸν ὅλον· » ἐκ περισσεύματος καρδίας ἀγαθῆς καρποφορῶμεν, ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα, εἴτε δι' ἔργων, εἴτε διὰ λόγων εἰς δόξαν τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ, φυλάσσοντες πανταχοῦ τὸ ἄλυπον τῷ ἁγίῳ Πνεύματι· καὶ οὕτως φύγωμεν τὸ κρῖμα τοῦ αὐτοῦ Κυρίου εἰπόντος· « Οὐαὶ ὑμῖν, ὅτι ὅμοιοί ἐστε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν, καὶ πάσης ἀκαθαρσίας· οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας (49). »

26. Διόπερ πρὸ μὲν βαπτίσματος μαθητευθῆναι χρὴ, τὰ κωλυτικὰ τῆς μαθητείας περιαιροῦντας πρῶτον, καὶ οὕτω πρὸς τὴν μαθητείαν ἐπιτηδείους ἑαυτοὺς παρασκευάζειν, αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δι' ὑποδειγμάτων πιστωσαμένου τὴν προγενομένην ἀπόφασιν, καὶ πάλιν δογματικῶς ἐπενεγκόντος· « Οὕτω πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής· » καὶ πάλιν προστακτικῶς· « Εἴ τις ἔρχεται πρὸς μὲ, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· » καὶ πάλιν ὁριστικῶς· « Ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ » καθ' ἡμέραν, « καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. » Τούτοις καὶ τοῖς τοιούτοις διαπύροις λόγοις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ εἰπόντος· « Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη; » ἐκδήλου γενομένης τῆς τῶν ἁμαρτημάτων κακίας, καὶ φανερουμένης τῆς ἀρετῆς (50) τῶν εἰς δόξαν τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ κατορθουμένων, ἐρχόμεθα πάντως εἰς ἐπιθυμίαν καὶ ὁμολογίαν τῶν παρὰ τοῦ Ἀποστόλου (51) εἰρημένων· « Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; Εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, » τοῦ εἰπόντος· « Τοῦτό μού ἐστι τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· » μαρτυροῦντος τοῦ Ἀποστόλου ἐν τῷ εἰπεῖν· « Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων· » καὶ τότε ἐρχόμεθα εἰς τὸ ἐν τῷ ὕδατι βάπτισμα, ὅπερ ἐστὶν ὁμοίωμα τοῦ σταυροῦ, τοῦ θανάτου, τῆς ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως· συνθήκας κατατιθέμενοι, καὶ φυλάσσοντες τὰς ὑπ' αὐτοῦ τοῦ Ἀποστόλου ἐν τῇ περικοπῇ τοῦ τοιούτου βαπτίσματος ἐπεσφραγισμένας (52), διὰ τοῦ εἰπεῖν· « Εἰδότες, ὅτι Χριστὸς, ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει·

A bonam, et fructum ejus bonum [77]; » et iterum: « Pharisæe cæce, purga prius internam poculi partem, et tunc externa ipsius pars tota munda erit [78]; » fructum ex boni cordis abundantia feramus, alius quidem centuplum, alius vero sexagecuplum, alius autem trigecuplum [79], sive operibus, sive verbis, ad gloriam Dei et Christi ipsius, caventes ubique ne Spiritum sanctum contristemus [80]; et ita effugiamus judicium ejusdem Domini, qui dicit, « Væ vobis, quia similes estis sepulcris dealbatis, quæ foris quidem apparent speciosa, intus vero plena sunt ossibus mortuorum, et omni spurcitia: sic et vos foris quidem apparetis hominibus justi; intus autem pleni estis hypocrisi et iniquitate [81]. »

B **648** 26. Quapropter oportet ante baptisma, iis, quæ documenta impediunt, prius remotis, imbui doctrina, et sic ad disciplinam idoneos seipsos reddere, cum Dominus ipse noster Jesus Christus per exempla præcedentem sententiam confirmet, et rursus dogmatis in morem inferat: « Sic omnis ex vobis, qui non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus [82]. » Et iterum cum imperio: « Si quis venit ad me, abneget semetipsum, et tollat crucem suam, et sequatur me [83]. » Et iterum in modum definientis: « Qui non accipit crucem suam quotidie, et sequitur me, non est me dignus [84]. » Ex his et similibus ignitis sermonibus Domini nostri Jesu Christi C dicentis, « Ignem veni missurus in terram, et quid volo, si jam accensus est [85]? » manifesta dum fit peccatorum malitia, virtusque eorum, quæ ad gloriam Dei et Christi ipsius recte geruntur, affulget, tunc cupimus omnino ac confitemur quæ sunt ab Apostolo dicta: « Infelix ego homo, quis me liberabit de corpore mortis hujus? Gratias ago Deo per Jesum Christum Dominum nostrum [86], » qui dixit: « Hic est sanguis meus novi testamenti, qui pro multis effundetur in remissionem peccatorum [87], » ita attestante Apostolo, « In quo habemus redemptionem per sanguinem ejus, remissionem peccatorum [88]; » et tunc accedimus ad aquæ baptisma, quod similitudo est crucis, mortis, sepulturæ, ac resurrectionis ex mortuis; facientes servantesque pacta, quæ Apostolus eo in loco, ubi D de hujusmodi baptismate agitur, obsignavit, cum dixit: « Scientes quod Christus excitatus a mortuis, jam non moritur: mors illi ultra non dominatur. Nam quod mortuus fuit, peccato mortuus fuit semel: quod autem vivit, vivit Deo. Ita et vos

[77] Matth. XII, 33. [78] Matth. XXIII, 26. [79] Matth. XIII, 8. [80] Ephes. IV, 30. [81] Matth. XXIII, 27, 28. [82] Luc. XIV, 33. [83] Matth. XVI, 24. [84] Matth. X, 38; Luc. IX, 23. [85] Luc XII, 49. [86] Rom. VII, 24, 25. [87] Matth. XXVI, 28. [88] Col. I, 14.

(49) Codices duo καὶ πάσης ἀνομίας, *omni iniquitate*. Nec ita multo post Reg. tertius πρὸς τὴν μάθησιν.

(50) Reg. tertius φανερουμένης τῆς ἀληθείας τῆς ἀρετῆς.

(51) Veteres duo libri ἀποστόλου Παύλου. Mox Reg. secundus Κυρίου μου τοῦ.

(52) Codices nostri βαπτίσματος ἐπισφραγισαμένου, corrupte. Editi quidem corrupti sunt quoque, in quibus legitur ἐπισφραγισμένας· sed sic tamen, ut vitium a quovis tolli facile possit. Nemo enim non videt pro ἐπισφραγισμένας legi oportere ἐπεσφραγισμένας.

existimate vos mortuos quidem esse peccato, viventes autem Deo in Christo Jesu. Non ergo regnet peccatum in vestro mortali corpore, ut obediatis ei in concupiscentiis ejus, neque exhibeatis membra vestra arma iniquitatis peccato : sed exhibete vos Deo, tanquam ex mortuis viventes, et membra vestra arma justitiæ Deo [89], » etc.

A θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ. Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ, μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ, ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ,» καὶ τὰ ἑξῆς.

27. Tunc quivis in nomine Spiritus sancti dignus fit qui baptizetur, et denuo generatus mutet et locum et mores et convictores, ut spiritu ambulantes, evadamus digni qui in nomine Filii baptizemur, induamusque Christum. Nam qui natus est, eum indui etiam oportet, sicut Apostolus dixit : « Quicunque in Christum baptizati estis, Christum induistis [90]. » Ac rursus : « Exuentes veterem hominem cum actibus suis, et induentes novum, eum, qui renovatur in agnitionem, secundum imaginem ejus qui creavit illum : ubi non est gentilis et Judæus [91]. » Postquam autem induimus Dei Filium, qui eam potestatem, ut Dei filii fiamus, præbet, in nomine Patris baptizamur, prædicamurque filii Dei, **649** qui præcepit et dixit, velut ait propheta : « Quapropter exite de medio eorum, et separamini, dicit Dominus, et immundum ne tetigeritis : et ego recipiam vos, et ero vobis in patrem, et vos eritis mihi in filios et filias, dicit Dominus omnipotens [92]. » — « Has ergo habentes, inquit Apostolus, promissiones, charissimi, mundemus nos ipsos ab omni inquinamento carnis et spiritus, perficientes sanctificationem in timore Dei [93]. » Et iterum admonet his verbis : « Omnia facite sine murmurationibus ac disceptationibus, ut nulla fiat de vobis querela, et sitis simplices, irreprehensibiles Dei filii, in medio nationis pravæ ac perversæ : inter quos lucetis sicut luminaria in mundo : verbum vitæ continentes ad gloriam meam, in die Christi [94]. » Et rursus : « Igitur, si consurrexistis cum Christo, quæ sursum sunt quærite, ubi Christus est, in dextra Dei sedens : quæ sursum sunt sapite, non quæ super terram. Mortui enim estis, et vita vestra est abscondita cum Christo in Deo. Cum Christus apparuerit, vita vestra, tunc et vos apparebitis cum ipso in gloria [95], » quæ est ab ipso Domino promissa, ubi dixit : « Tunc fulgebunt justi sicut sol [96]. »

27. Τότε καταξιοῦταί τις ἐν ὀνόματι τοῦ ἁγίου Πνεύματος βαπτισθῆναι, καὶ ἄνωθεν γεννηθεὶς ἀλλάξαι καὶ τὸν τόπον καὶ τὸν τρόπον καὶ τοὺς συζῶντας, ἵνα τῷ πνεύματι στοιχοῦντες καταξιωθῶμεν ἐν ὀνόματι τοῦ Υἱοῦ βαπτισθῆναι, καὶ ἐνδύσασθαι τὸν B Χριστόν. Χρὴ γὰρ τὸν γεννηθέντα καὶ ἐνδύματος καταξιωθῆναι, καθὼς εἶπεν ὁ Ἀπόστολος· « Ὅσοι (53) εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· » καὶ πάλιν· « Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν, ὅπου οὐκ ἔνι Ἕλλην, καὶ Ἰουδαῖος.» Τὸν δὲ Υἱὸν τοῦ Θεοῦ ἐνδυσάμενοι, τὸν δόντα ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, ἐν ὀνόματι τοῦ Πατρὸς βαπτιζόμεθα, καὶ τέκνα Θεοῦ ἀναγορευόμεθα, τοῦ προστάξαντος καὶ ἐπαγγειλαμένου (54), καθὼς εἶπεν ὁ προφήτης· « Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέ- C γει Κύριος παντοκράτωρ. » — « Ταύτας οὖν ἔχοντες, φησὶν ὁ Ἀπόστολος, τὰς ἐπαγγελίας, ἀγαπητοὶ, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ· » καὶ πάλιν παραγγέλλων ἐν τῷ εἰπεῖν· « Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν (55) καὶ διαλογισμῶν, ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ· » καὶ πάλιν (56)· « Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν, ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος· τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ, D ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ, » τῇ παρ' αὐτοῦ τοῦ Κυρίου ἐπηγγελμένῃ, εἰπόντος· « Τότε ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος. »

[89] Rom. vi, 9-13. [90] Gal. iii, 27. [91] Col. iii, 9-11. [92] Isa. lii, 11; II Cor. vi, 17, 18. [93] II Cor. vii, 1. [94] Philipp. ii, 14-16. [95] Col. iii, 1-4. [96] Matth. xiii, 43.

(53) Unus ms. Ὅσοι γάρ.
(54) Unus mss. ἐπαγγελλομένου.
(55) Editi γογγυσμοῦ. At mss. tres γογγυσμῶν.
(56) Has voces, καὶ πάλιν, non invenimus in nostris veteribus libris.

ΛΟΓΟΣ Γ' (57).

Ὅτι δεῖ τὸν ἀναγεννηθέντα διὰ τοῦ βαπτίσματος (58), τρέφεσθαι λοιπὸν τῇ μεταλήψει τῶν θείων μυστηρίων.

1. Θεοῦ τοῦ ἀγαθοῦ χάριτι, τῇ μνήμῃ τῶν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ ζῶντος ῥημάτων, καὶ τῶν ἁγίων αὐτοῦ εὐαγγελιστῶν τε καὶ προφητῶν, καὶ τοῦ Ἀποστόλου αὐτάρκως ἡμῖν σαφηνισάντων τὸν περὶ τοῦ κατὰ τὸ Εὐαγγέλιον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βαπτίσματος λόγον, ἐπαιδεύθημεν, ὅτι τὸ μὲν ἐν τῷ πυρὶ βάπτισμα ἐλεγκτικὸν μέν ἐστι πάσης κακίας, δεκτικὸν δὲ τῆς κατὰ Χριστὸν δικαιοσύνης, μῖσος μὲν ἐμποιοῦν τῆς κακίας, ἐπιθυμίαν δὲ τῆς ἀρετῆς. Διὰ δὲ τῆς πίστεως ὑπὸ τοῦ αἵματος τοῦ Χριστοῦ ἐκαθαρίσθημεν ἀπὸ πάσης ἁμαρτίας, ἐν δὲ τῷ ὕδατι βαπτισθέντες εἰς τὸν θάνατον τοῦ Κυρίου, ὥσπερ ἔγγραφον ὁμολογίαν κατεθέμεθα, νενεκρῶσθαι μὲν τῇ ἁμαρτίᾳ καὶ τῷ κόσμῳ, ζωοποιεῖσθαι δὲ τῇ δικαιοσύνῃ· καὶ οὕτως ἐν τῷ ὀνόματι τοῦ ἁγίου Πνεύματος βαπτισθέντες, ἄνωθεν ἐγεννήθημεν· γεννηθέντες δὲ, καὶ ἐν τῷ ὀνόματι τοῦ Υἱοῦ βαπτισθέντες, τὸν Χριστὸν ἐνεδυσάμεθα, ἐνδυσάμενοι δὲ τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα, ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἐβαπτίσθημεν, καὶ τέκνα Θεοῦ ἀνηγορεύθημεν. Χρεία οὖν λοιπὸν (59) τρέφεσθαι ἡμᾶς τροφὴν ζωῆς αἰωνίου, ἥντινα παρέδωκεν ἡμῖν πάλιν ὁ αὐτὸς μονογενὴς Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ποτὲ μὲν εἰπών· « Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος τοῦ Θεοῦ. » Καὶ πῶς τοῦτο γένηται (60), ἐδίδαξεν ἐν τῷ εἰπεῖν· « Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. » Καὶ πάλιν προσθεὶς τὸ « Ἀμὴν » δεύτερον πρὸς βεβαίωσιν τῶν ἐπιφερομένων, καὶ πληροφορίαν τῶν ἀκουόντων, φησίν· « Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι (61) βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις. Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. » Καὶ μετ' ὀλίγα γέγραπται· « Πολλοὶ οὖν, ἀκούσαντες τὸν λόγον (62) τῶν μαθητῶν αὐτοῦ, εἶπον· Σκληρός ἐστιν ὁ λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν; Εἰδὼς δὲ ὁ Κύριος ἐν ἑαυτῷ, ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς·

CAPUT III.

Quod oportet regeneratum per baptisma, exinde divinorum mysteriorum participatione nutriri.

1. Ex boni Dei gratia, verbis unigeniti Filii Dei viventis, et sanctorum ipsius evangelistarum prophetarumque et Apostoli, quæ baptismatis doctrinam secundum Evangelium Domini nostri Jesu Christi satis nobis declararunt, in medium adductis, illud didicimus, quod ignis quidem baptisma redarguat omnem malitiam, justitiam vero quæ secundum Christum est, suscipiat, quandoquidem ut vitii odium, ita virtutis desiderium parit, quodque sanguine Christi per fidem sumus ab omni peccato purgati, atque in aqua in Domini mortem baptizati, quasi quodam scripto professi, esse nos peccato et mundo mortuos, justitiæ vero justificatos; et ita demum in nomine Spiritus sancti baptizati, fuimus generati denuo; generati vero, et in nomine Filii baptizati, induimus Christum, induti autem hominem novum secundum Deum conditum, in nomine Patris baptizati sumus, et filii Dei appellati. Jam igitur opus est nutriri nos cibo vitæ æternæ, quem idem unigenitus Dei vivi Filius rursus nobis tradidit, cum aliquando quidem dixit: « Non in solo pane vivet homo, sed in omni verbo, quod procedit de ore Dei [97]. » Et quomodo id fiat, docuit, his verbis: « Cibus meus est, ut faciam voluntatem **650** ejus qui misit me, Patris [98]. » Ac rursus illa voce, « Amen, » ad eorum quæ infert confirmationem, et ad audientium persuasionem bis expressa ait: « Amen, amen dico vobis, nisi manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, non habetis vitam in vobis. Qui manducat meam carnem et bibit meum sanguinem, habet vitam æternam; et ego resuscitabo eum in novissimo die. Caro enim mea vere est cibus: et sanguis meus vere est potus. Qui manducat meam carnem, et bibit meum sanguinem, in me manet, et ego in illo [99]. » Et paulo post scriptum est: « Multi ergo ex discipulis ejus audientes hunc sermonem, dixerunt: Durus est hic sermo; ecquis potest eum audire? Sciens autem Dominus in semetipso, quod murmurarent de hoc discipuli ejus, dixit eis: Hoc vos scandalizat? Si ergo videritis Filium hominis ascendentem ubi erat prius? Spiritus est qui vivificat: caro non prodest quidquam. Verba mea spiritus sunt et vita

[97] Matth. IV, 4. [98] Joan. IV, 34. [99] Joan. VI, 54-57.

(57) Lucubratiuncula, quæ sequitur, rejecta est in Reg. primo post eam commentationem, quæ in impressis libris inscribitur, *liber secundus*, sic ut eo in codice distinguantur tres libri. Res autem non tanti nobis visa est, ut propterea judicaremus aut tres libros distinguendos esse, aut antiquum ordinem mutandum.

(58) Veteres duo libri διὰ τοῦ ἁγίου βαπτίσματος. Mox iidem mss. εὐαγγελιστῶν τε, καὶ ἀποστόλων καὶ προφητῶν καὶ τοῦ Ἀποστόλου. Subinde hi ipsi codices σαφηνισάντων τὸν περὶ τοῦ κατὰ τὸ Εὐαγγέλιον τοῦ Κυρίου ἡμῶν. Editi τὸν περὶ τοῦ Κυρίου ἡμῶν, etc.

(59) Editi Χρεία οὖν λοιπόν. Vocula οὖν in Reg secundo non legitur.

(60) Veteres duo libri τοῦτο γίνεται.

(61) Codices duo ἀληθής ἐστι, *verus est cibus*.

(62) Illud, τὸν λόγον, deest in Reg. secundo. Mox mss. duo Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν.

sunt. Sed sunt quidam ex vobis, qui non credunt. Sciebat enim Jesus ab initio qui essent credentes, et quis traditurus esset eum. Et dicebat : Propterea dixi vobis, quod nemo potest venire ad me, nisi fuerit ei datum a Patre meo. Ex hoc multi discipulorum ejus abierunt retro, et jam cum illo non ambulabant. Dixit ergo Jesus ad duodecim : Nunquid et vos vultis abire ? Respondit ei Simon Petrus : Domine, ad quem ibimus? Verba vitæ æternæ habes ; et nos credidimus et cognovimus, quod tu es Christus Filius Dei [1]. »

A Τοῦτο ὑμᾶς σκανδαλίζει ; Ἐὰν οὖν θεωρῆτε τὸν Υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. Τὰ ῥήματά μου πνεῦμά ἐστι, καὶ ζωή ἐστιν. Ἀλλ' εἰσὶν ἐξ ὑμῶν τινες οἳ οὐ πιστεύουσιν. Ἤδει γὰρ ὁ Ἰησοῦς ἐξ ἀρχῆς, τίνες εἰσὶν οἱ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν. Καὶ ἔλεγεν· Διὰ τοῦτο εἴρηκα ὑμῖν, ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρὸς μὲ, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ Πατρός μου. Ἐκ τούτου πολλοὶ ἀπῆλθον ἐκ τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. Εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; Ἀπεκρίθη αὐτῷ Σίμων Πέτρος· Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; Ῥήματα ζωῆς αἰωνίου ἔχεις, καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος.»

2. Atque sub finem Evangeliorum scriptum est : « Jesus ergo, accepto pane et gratiis actis, fregit, deditque discipulis, et dixit : Accipite, comedite ; hoc est corpus meum, quod pro vobis frangitur, hoc facite in meam commemorationem. Et, accepto calice et gratiis actis, dedit ipsis dicens : Bibite ex eo omnes ; hic est enim sanguis meus novi testamenti, qui pro multis effunditur in remissionem peccatorum, hoc facite in meam commemorationem [2]. » Hæc autem Apostolus confirmat testimonio suo dicens : « Ego enim accepi a Domino quod et tradidi vobis, quoniam Dominus Jesus in qua nocte tradebatur, accepit panem, et gratias agens fregit, et dixit : Hoc est corpus meum, quod pro vobis frangitur. Hoc facite in meam commemorationem. Similiter et calicem, postquam cœnavit, dicens : Hic calix novum testamentum est in meo sanguine. Hoc facite in meam commemorationem. Quotiescunque enim manducabitis panem hunc, et calicem hunc bibetis, mortem Domini annuntiabitis, donec veniat [3]. » Quid itaque utilitatis habent hæc verba? Ut et edentes et bibentes, semper memores simus ejus, qui pro nobis mortuus est et resurrexit, sicque discamus necessario servare coram Deo et Christo ipsius traditum ab Apostolo dogma, quo dicit : « Charitas enim Christi constringit nos, judicantes hoc, quod si unus pro omnibus mortuus est, ergo omnes mortui sunt; et pro omnibus mortuus est, ut qui vivunt, non amplius sibi vivant, sed ei, qui pro ipsis mortuus est **651** et resurrexit [4]. » Qui enim edit et bibit, videlicet ad indelebilem memoriam Jesu Christi Domini nostri, qui pro nobis mortuus est et resurrexit, rationem vero memoriæ obedientiæ Domini usque ad mortem, juxta doctrinam Apostoli non adimplet, qui, ut dictum est, ait : « Charitas enim Christi constringit nos, judicantes hoc, quod si unus pro omnibus mortuus est, ergo omnes mortui sunt (quod in baptismate professi sumus), et pro omnibus mortuus est, ut qui vivunt non amplius sibiipsis vivant,

B 2. Καὶ πρὸς τῷ τέλει τῶν Εὐαγγελίων γέγραπται· « Λαβὼν οὖν ὁ Ἰησοῦς ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον (63). Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς λέγων· Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ μού ἐστι τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. » Μαρτυρεῖ δὲ τούτοις καὶ ὁ Ἀπόστολος, λέγων· « Ἐγὼ γὰρ παρέλαβον ἀπὸ (64) τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον. Τοῦτο ποιεῖτε C εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων· Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι. Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἔλθῃ. » Τί οὖν ὠφελεῖ τὰ ῥήματα ταῦτα; Ἵνα ἐσθίοντές τε καὶ (65) πίνοντες, ἀεὶ μνημονεύωμεν τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος, καὶ οὕτω παιδευθῶμεν ἀναγκαίως φυλάξαι ἐνώπιον Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ τὸ δόγμα τὸ ὑπὸ τοῦ Ἀποστόλου παραδεδομένον, ἐν τῷ εἰπεῖν· « Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι, εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· καὶ D ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. » Ὁ γὰρ ἐσθίων καὶ πίνων, δηλονότι εἰς ἀνεξάλειπτον μνήμην τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, καὶ ἐγερθέντος, τὸν δὲ λόγον τῆς μνήμης, τῆς μέχρι θανάτου ὑπακοῆς τοῦ Κυρίου, μὴ πληρῶν κατὰ τὴν τοῦ Ἀποστόλου διδασκαλίαν (66), καθὼς προείρηται εἰπόντος· « Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι, εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον (ὅπερ ὡμολογήσαμεν ἐν τῷ

[1] Joan. VI, 61-70. [2] Matth. XXVI, 26-28; Luc. XXII, 19, 20. [3] I Cor. XI, 23-26. [4] II Cor. V, 14, 15.

(63) Reg. tertius κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν, *quod frangitur in remissionem peccatorum.*

(64) Veteres duo libri παρὰ

(65) Editi ἐσθίοντες καί. At mss. ἐσθίοντές τε καί.

(66) Reg. tertius τὴν τοῦ Ἀποστόλου παραγγελίαν.

βαπτίσματι). καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι· » οὐδὲν ἔχει ὄφελος κατὰ τὴν ἀπόφασιν τοῦ Κυρίου εἰπόντος, ὅτι « Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. »

3. Προστίθησι δὲ καθ' ἑαυτοῦ ὁ τοιοῦτος καὶ τὸ κρῖμα τοῦ Ἀποστόλου, λέγοντος· « Ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. » Οὐ μόνον γὰρ κρῖμα φοβερὸν ἔχει ὁ ἐν μολυσμῷ σαρκὸς καὶ πνεύματος ἀναξίως προσερχόμενος τοῖς ἁγίοις· προσερχόμενος γὰρ (67), ἔνοχος γίνεται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου· ἀλλὰ καὶ ὁ ἀργῶς καὶ ἀνωφελῶς ἐσθίων καὶ πίνων, ἐν τῷ μὴ διὰ τῆς μνήμης τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν, τὸ εἰρημένον φυλάσσειν, B ὅτι « Ἡ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας (68) τοῦτο, ὅτι, εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον, » καὶ τὰ ἑξῆς. Ὥσπερ γὰρ ἀσυνειδήτως καὶ ἀνωφελῶς τοσοῦτον καὶ τοιοῦτον ἀγαθὸν καταργῶν, καὶ ὥσπερ ἀχαρίστως προσερχόμενος τῷ τοιούτῳ μυστηρίῳ, τὸ κρῖμα ἔχει τῆς ἀργίας· τοῦ Κυρίου καὶ τοὺς ῥῆμα ἀργὸν προϊεμένους ἀκρίτους εἶναι μὴ συγχωρήσαντος, σφοδρότερον δὲ παριστῶντος τὸ κρῖμα τῆς ἀργίας διὰ τοῦ τὸ τάλαντον ἐν ἀργίᾳ φυλάξαντος ἀκέραιον· τοῦ δὲ Ἀποστόλου παραδεδωκότος ἡμῖν, ὅτι καὶ ὁ τὸ ἀγαθὸν προφέρων ῥῆμα, μὴ εἰς οἰκοδομὴν δὲ τῆς πίστεως οἰκονομῶν, λυπεῖ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οὕτω συνορᾶν ὀφείλομεν τὸ κρῖμα τοῦ ἀναξίως ἐσθίοντος καὶ πίνοντος. C Εἰ δὲ καὶ ὁ τὸν ἀδελφὸν διὰ βρῶμα λυπῶν τῆς ἀγάπης ἐκπέπτωκεν, ἧς ἄνευ καὶ τὰ μεγάλα τῶν τε χαρισμάτων καὶ τῶν δικαιωμάτων ἐνεργούμενα οὐδὲν ὠφελεῖ, τί ἄν τις εἴποι περὶ τοῦ ἀργῶς καὶ ἀνωφελῶς τολμῶντος φαγεῖν τὸ σῶμα, καὶ πιεῖν τὸ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τοῦτο περισσοτέρως λυποῦντος τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τολμῶντος ἄνευ τῆς συνεχούσης ἀγάπης, ὥστε κρῖναι μὴ ἑαυτῷ (69) ζῆν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, φαγεῖν καὶ πιεῖν; Δεῖ οὖν τὸν προσιόντα τῷ σώματι καὶ τῷ αἵματι τοῦ Χριστοῦ, εἰς ἀνάμνησιν αὐτοῦ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος, μὴ μόνον καθαρεύειν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἵνα μὴ εἰς κρῖμα φάγῃ καὶ πίῃ, D ἀλλὰ καὶ ἐνεργῶς (70) δεικνύειν τὴν μνήμην τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος, ἐν τῷ νενεκρῶσθαι μὲν τῇ ἁμαρτίᾳ καὶ τῷ κόσμῳ καὶ ἑαυτῷ, ζῆν δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

A sed ei qui pro ipsis mortuus est et resurrexit; » is nihil capit utilitatis, juxta sententiam Domini, qui dixit : « Caro non prodest quidquam [6]. »

3. Præterea sibi ipsi accersit, qui ejusmodi est, judicium quoque Apostoli, dicentis : « Qui manducat et bibit indigne, judicium sibi manducat et bibit, non dijudicans corpus Domini [6]. » Etenim non horrendum modo judicium inest ei, qui in carnis ac spiritus inquinamento indigne ad sancta accedit; cum enim accedit, reus fit corporis et sanguinis Domini; sed etiam ei, qui otiose inutiliterque edit ac bibit, quod non per memoriam Jesu Christi Domini nostri, qui pro nobis mortuus est et resurrexit, servat quod dictum est : « Charitas Christi constringit nos, judicantes hoc, quod si unus pro omnibus mortuus est, ergo omnes mortui sunt, » et quæ sequuntur. Nam velut citra conscientiam et inutiliter bonum tantum ac tale irritum faciens, velutque ingrate ad hujusmodi mysterium accedens, negligentiæ ac segnitiei judicio obnoxium se præstat, cum Dominus eos, qui vel otiosum verbum proferunt, non sinat esse injudicatos [7], et vehementius quoque inertiæ judicium declaret, in eo qui in otio talentum servavit integrum [8], Apostolus vero nobis tradiderit, quod et qui verbum bonum profert, nec ad fidei ædificationem dispensat, contristet Spiritum sanctum [9], et ita debemus judicium illius, qui indigne edit ac bibit, considerare. Quod si etiam is, qui fratri propter cibum molestiam creat, a charitate excidit [10], sine qua et donorum etiam magnorum et justificationum opera nihil prosunt [11], quid quis dixerit de eo, qui otiose inutiliterque corpus edere, et sanguinem Domini nostri Jesu Christi bibere non veretur, ob idque amplius Spiritum sanctum contristat, quique citra constringentem charitatem (ita ut non sibi ipsi, sed ei qui pro nobis mortuus est et resurrexit Jesu Christo Domino nostro vivere apud se statuat) edere ac bibere audet? Oportet igitur, qui ad corpus et sanguinem Christi in recordationem illius qui pro nobis mortuus est et resurrexit, accedit, eum non ab omni solum carnis et spiritus inquinamento purum esse, ut ne in judicium edat et bibat, sed efficaciter etiam memoriam illius qui pro nobis mortuus est ac resurrexit, exprimere in eo quod mortificatus est peccato mundoque et sibi ipsi, vivat autem Deo in Christo Jesu Domino nostro.

[5] Joan. VI, 64. [6] I Cor. XI, 29. [7] Matth. XII, 36. [8] Matth. XXV, 25-29. [9] Ephes. IV, 29. [10] Rom. XIV, 15. [11] I Cor. XIII, 1 sqq.

(67) Antiqui duo libri Προσερχόμενος γάρ. Editi Προσερχόμενος δέ. Statim Reg. primus ἀλλὰ καὶ ὁ. Articulus desiderabatur in vulgatis. Quod hoc loco ait scriptor, id Combefisio gravius ac durius videtur. Sed tamen quod dixit, vere ab eo dici potuit; cum quicunque qui otiose ac inutiliter ad sancta accedit, metuendum quidem judicium subiturus sit, sed non tale tamen, quale futurum est eorum qui accedunt in inquinamento carnis ac spiritus. Inter cætera quæ Scultetus non vere ex Basilio protulit ad suam falsam opinionem confirmandam, et hic quoque locus invenitur : sed, ut verum fatear, quid eum juvare possit, non video. Imo quæ hoc toto loco scripta sunt, vel negligenter legenti videbuntur aptissima ac efficacissima ad Catholicum dogma stabiliendum.

(68) Unus mss. κρίνοντας.

(69) Nostri tres mss. ἑαυτοῖς. Editi ἑαυτῷ.

(70) Reg. secundus, perinde ut editi, ἐναργῶς, *evidenter*. Alii duo mss. ἐνεργῶς, *efficaciter*, rectius.

LIBER SECUNDUS.

652 QUÆSTIO I.

An quisquis baptizatus est baptismate, quod in Evangelio Domini nostri Jesu Christi traditur, debeat mortuus quidem esse peccato, Deo vero in Christo Jesu vivere.

RESPONSIO.

1. Si quotquot regnum Dei concupiscimus, gratiam baptismatis æqualiter ac necessario nobis paramus, eaque opus habemus, juxta hanc sententiam a Domino prolatam: « Nisi quis natus fuerit ex aqua et spiritu, non potest introire in regnum Dei [12], » omnes igitur pariter debemus eamdem baptismatis rationem sequi, cum Apostolus generatim baptizatis omnibus dicat, « An ignoratis, fratres, quod quicunque baptizati sumus in Christo Jesu, in morte ipsius baptizati sumus? Consepulti enim sumus cum illo per baptismum in mortem, ut, quomodo surrexit Christus a mortuis per gloriam Patris, ita et nos in novitate vitæ ambulemus [13], » etc. Et alibi modo ad pudorem incutiendum aptiori clariusque tradit ejusmodi dogma, dicens: « Quicunque baptizati estis in Christo, Christum induistis. Non est Judæus, neque Græcus: non est servus, neque liber; non est masculus et femina. Omnes enim vos unus estis in Christo Jesu [14]. » Quemadmodum rursus ad omnes dicit: « In quo et circumcisi estis circumcisione non manu facta, in exspoliatione corporis peccatorum carnis, in circumcisione Christi, consepulti ei in baptismo, in quo et consurrexistis per fidem [15]. » Quisquis igitur Evangelii baptismate baptizatus est, debet secundum Evangelium vivere, etiam ob ea quæ alibi dixit: « Testificor rursus omni homini circumcidenti se, quoniam debitor est universæ legis faciendæ [16]. »

2. Itaque plane constat, quemque uno baptismate baptizatum, uti scriptum est, juxta modum ejus, qui pro nobis mortuus est et resurrexit, ex æquo implere debere quod ab ipso Apostolo scriptum est: « Nam charitas Christi constringit nos, judicantes illud, quod si unus pro omnibus mortuus est, ergo omnes mortui sunt, et pro omnibus mortuus est, ut qui vivunt, jam non sibi vivant, sed ei qui pro ipsis mortuus est et resurrexit. » Si enim qui circumcisus est parte aliqua corporis, juxta Moysis circumcisionem, debet legem totam servare, quanto magis qui secundum Christi circumcisionem circumcisus est [17], propterea quod exuit totum corpus peccatorum carnis, sicut scriptum est,

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

ΕΡΩΤΗΣΙΣ Α'.

Εἰ πᾶς ὁ βαπτισθεὶς τὸ ἐν τῷ Εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βάπτισμα ὀφειλέτης ἐστὶ νεκρὸς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῆν δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ.

ΑΠΟΚΡΙΣΙΣ.

1. Εἰ πάντες οἱ τῆς βασιλείας τοῦ Θεοῦ ἐπιθυμοῦντες (71) τῆς τοῦ βαπτίσματος χάριτος ὁμοίως καὶ ἀναγκαίως ἀντιποιούμεθα καὶ ἐπιδεόμεθα, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν, εἰπόντος· « Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, » πάντες ἄρα ὁμοίως ἐσμὲν ὀφειλέται τῷ αὐτῷ λόγῳ στοιχεῖν τοῦ βαπτίσματος, τοῦ Ἀποστόλου κοινῶς πᾶσι τοῖς βαπτισθεῖσι λέγοντος· « Ἢ ἀγνοεῖτε, ἀδελφοί, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα, ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν, » καὶ τὰ ἑξῆς. Καὶ ἐν ἑτέρῳ τόπῳ ἐντρεπτικώτερον καὶ σαφέστερον ἡμῖν παραδίδωσι τοιοῦτον δόγμα, εἰπών· « Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ. Πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. » Καθὼς πάλιν πρὸς πάντας φησίν· « Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι (72), ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως. » Ἄρα πᾶς ὁ βαπτισθεὶς τὸ τοῦ Εὐαγγελίου βάπτισμα ὀφειλέτης ἐστὶ κατὰ τὸ Εὐαγγέλιον ζῆν καὶ δι' ὧν εἶπεν ἀλλαχοῦ· « Μαρτύρομαι πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι (73). »

2. Σαφῶς οὖν συνίσταται, ὅτι πᾶς ὁ βαπτισθεὶς τὸ ἓν βάπτισμα, καθὼς γέγραπται, ἐπίσης ὀφειλέτης ἐστὶ κατὰ τὸν λόγον τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος πληρῶσαι τὸ γεγραμμένον ὑπ' αὐτοῦ τοῦ Ἀποστόλου. « Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι, εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν (74) ἀποθανόντι καὶ ἐγερθέντι. » Εἰ γὰρ ὁ περιτμηθεὶς μέρος τι τοῦ σώματος, τὴν κατὰ Μωϋσῆν περιτομὴν, ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι, πόσῳ μᾶλλον ὁ περιτμηθεὶς τὴν κατὰ Χριστὸν περιτομὴν ἐν τῇ ἀπεκδύσει ὅλου τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, καθὼς γέγραπται, ὀφει-

[12] Joan. III, 5. [13] Rom. VI, 3, 4. [14] Galat. III, 27, 28. [15] Coloss. II, 11, 12. [16] Galat. V, 3. [17] Coloss. II, 11.

(71) Antiqui duo libri ἐπιποθοῦντες. Index capitum hujusce libri invenitur in Reg. primo.

(72) Unus mss. ἐν τῷ βαπτισμῷ. Alius ἐν τῷ βαπτίσματι. Particula ἐν deest in vulgatis.

(73) Veteres duo libri νόμον πληρῶσαι. Mox editi τὸ ἐν τῷ Εὐαγγελίῳ βάπτισμα. Nostri tres mss. ut in contextu.

(74) Reg. primus ὑπὲρ αὐτῶν. Editi ὑπὲρ ἡμῶν. Haud longe idem codex νόμον πληρῶσαι.

λέτης ἐστὶ πληρῶσαι τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον, « Ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι, καὶ ὁ κόσμος ἐμοί· ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός; » Ὥστε ὁ ἀληθῶς, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου, βαπτισθεὶς εἰς τὸν θάνατον τοῦ Χριστοῦ, ἐνέκρωσε μὲν ἑαυτὸν καὶ τῷ κόσμῳ, πολὺ δὲ πρότερον τῇ ἁμαρτίᾳ, κατὰ τὸ ὑπὸ τοῦ (75) Ἀποστόλου εἰρημένον ἐν τῷ περὶ τοῦ βαπτίσματος λόγῳ, ὅτι « Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. » Ἀπαράβατον δὲ συνθήκην κατέθετο τοῦ ἀκολουθεῖν ἐν πᾶσι τῷ Κυρίῳ, ὅπερ ἐστὶ ζῆν τῷ Θεῷ ὁλοκλήρως, δι' ὅλου πληρῶν τὰ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένα· ποτὲ μέν, « Παρακαλῶ οὖν (76) ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν, » καὶ τὰ ἑξῆς· ποτὲ δέ, « Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ· μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ· ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ, ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ· » ἐν τούτοις δὲ καὶ τοῖς τοιούτοις δόγμασι πάλιν λέγων· « Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν, οὐδὲ θῆλυ (77)· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ, » ἵνα ἄξιοι γενώμεθα οἱ πάντες, ὡς εἷς, ἀκοῦσαι « Δεῦρο, ἀγαθὲ δοῦλε· ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. » Ἧς καταξιούμεθα, ἐὰν ἕκαστος ἡμῶν ἐν ᾧ ἐκλήθη καὶ ἐκληρώθη, δι' ἐπιμελείας περισσοτέρας καὶ ἀόκνου σπουδῆς πολυπλασιάσῃ τὴν μερισθεῖσαν αὐτῷ χάριν, καθὼς γέγραπται.

A adimplere debet quod Apostolus dixit: « Ego mundo crucifixus sum, et mundus mihi [18]: vivo autem jam non ego, vivit vero in me Christus [19]? » Quare qui vere, juxta Apostoli verba, in mortem Christi baptizatus est, seipsum et mundo mortificavit, et multo magis peccato, **653** prout ab Apostolo, ubi de baptismate sermo habetur, dictum est: « Vetus homo noster simul crucifixus est, ut destruatur corpus peccati, ut ultra non serviamus peccato [20]. » Nam inviolate pactus est Christum in omnibus sequi, quod est Deo integre vivere, implens omnino quæ dicta sunt ab Apostolo; nunc quidem, « Obsecro itaque vos, fratres, per misericordiam Dei, ut exhibeatis corpora vestra hostiam viventem, sanctam, Deo placentem, rationalem vestrum cultum [21], » B et quæ sequuntur; nunc vero: « Non ergo regnet peccatum in vestro mortali corpore, ut obediatis ei in concupiscentiis ejus: neque exhibeatis membra vestra arma iniquitatis peccato, sed exhibete vos Deo, tanquam ex mortuis viventes, et membra vestra arma justitiæ Deo [22]. » Atque etiam juxta hæc et ejusdem generis dogmata rursus dicit: « Non est Judæus, neque Græcus; non est servus, neque liber; non est masculus, neque femina: omnes enim vos unus estis in Christo Jesu [23], » ut digni reddamur omnes, veluti unus, qui id audiamus: « Adesdum, serve bone; super pauca fuisti fidelis, super multa te constituam; intra in gaudium Domini tui [24]. » Quo habebimur C digni, si quisque nostrum in quo vocatus est et electus, cura ampliore et studio impigro impertitam sibi gratiam, uti scriptum est [25], reddiderit auctiorem.

ΕΡΩΤΗΣΙΣ Β'.

Εἰ ἀκίνδυνόν ἐστι μὴ καθαρεύοντα τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, ἢ ἀκαθαρσίας, ἢ μολυσμοῦ, ἱερατεύειν.

ΑΠΟΚΡΙΣΙΣ.

Μωϋσῆς μέν, τύπον διδοὺς τοῖς τότε, πρὸς νουθεσίαν δὲ ἡμετέραν, ἐν τῷ νόμῳ τῷ παρὰ τοῦ Θεοῦ δοθέντι γράφει· « Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν λέγων (78)· Εἰπὸν πρὸς Ἀαρὼν λέγων· Ἄνθρωπος ἐκ τοῦ γένους σου εἰς τὰς γενεὰς ὑμῶν, ὃς ἔχει ἐν ἑαυτῷ μῶμον, οὐ προσελεύσεται προσφέρειν τὰ δῶρα τῷ Θεῷ αὐτοῦ· ὅτι πᾶς ἄνθρωπος, ἐν ᾧ ἂν ᾖ ἐν αὐτῷ μῶμος, οὐ προσελεύσεται· » καὶ τοῖς ἑξῆς ἑρμηνεύει τὸν μῶμον· οὐκ ἐν ἐπιμιξίᾳ ἀλλοτρίων μελῶν, οὐδὲ ἐν συντρίμματι ἑνός τινος, κἂν ἐπὶ μέρους ᾖ (79) τῶν ἰδίων μελῶν οὐ τοσοῦτον παραποδίζοντος τὴν ἐνέργειαν τῆς εὐοδίας, ἀλλὰ παραβλάπτοντος τὴν εὐτρέπειαν ἢ τὴν ὁλοκληρίαν· ὁ δὲ Κύ-

QUÆSTIO II

An is qui ob pravam conscientiam, aut immunditiam, aut inquinamentum purus corde non est, sacerdotio citra periculum fungatur.

RESPONSIO.

Moyses quidem illius ætatis hominibus ad nos erudiendos formam dans, in lege a Deo tradita scribit: « Et locutus est Dominus ad Moysem, dicens: Loquere ad Aaron, dicens: Homo ex genere tuo in vestris generationibus, qui habet in seipso maculam, non accedet ad offerendum dona Deo D suo: quia omnis homo in quo fuerit macula, non accedet [26]. » Atque postea maculam interpretatur. Non si admisceantur membra aliena, neque cum conteritur unum aliquod membrum, non solum si vel pars membrorum suorum vitiata impediat quominus munere suo facile ac expedito perfungatur, sed si decorum aut integritatem lædat. Dominus

[18] Galat. VI, 14. [19] Galat. II, 20. [20] Rom. VI, 6. [21] Rom. XII, 1. [22] Rom. VI, 12, 13. [23] Galat. III, 28. [24] Matth. XXV, 21. [25] Ephes. IV, 7. [26] Lev. XXI, 16, 17, 21.

(75) Editi ὑπ' αὐτοῦ τοῦ. Veteres duo libri ὑπὸ τοῦ.
(76) Vocula οὖν addita est ex antiquis duobus libris.
(77) Veteres duo libri καὶ θῆλυ.
(78) Reg. secundus λέγων, Εἰπέ, Ἀαρὼν, λέγων. Aliquanto post idem ms. δῶρα τοῦ Θεοῦ αὐτοῦ, *dona Dei sui.*
(79) Illud ᾖ addidimus ex veteribus duobus libris: ubi suppleri oportere puto aut vocem μῶμος, aut vocem σύντριμμα, ut sit κἂν ᾖ μῶμος, aut σύντριμμα

autem cum dicit, « Templo aliquid majus hic est [27], » nos docet tanto magis impium esse eum, qui inter sacrificandum audet tractare corpus Domini, qui dedit pro nobis seipsum Deo oblationem et hostiam in odorem suavitatis [28], quanto corpus unigeniti Filii Dei excellentius est arietibus ac tauris; quod dictum sit sine comparatione, incomparabilis est enim hæc excellentia. Nunc autem macula, aut mutilatio non in membris corporis consideratur, sed in justificationibus evangelicæ pietatis cognoscitur, videlicet cum mandatum **654** fit ex aliqua parte exigua, aut non integre, aut non ita fit, ut sit Deo acceptum, adeo ut consilium humanum tanquam cicatrix quædam aut lepra in mandato appareat. Necessarium igitur est semper quidem, maxime vero tanti ac talis mysterii tempore, servare præceptum Apostoli qui dicit: « Has igitur habentes promissiones, charissimi, mundemus nos ab omni inquinamento carnis et spiritus, perficientes sanctificationem in timore Dei [29]: nullam in ulla re dantes offensionem, ne vituperetur ministerium, sed uti Dei ministri in omnibus commendantes nosmetipsos [30]. » Ita fiet quis dignus, qui Domini mysteriis juxta Dei Evangelium operam sacram impendat.

A ριος λέγων· « Μεῖζον τοῦ ἱεροῦ ὧδε, » παιδεύει ἡμᾶς, ὅτι τοσοῦτον ἀσεβέστερός ἐστιν ὁ τολμῶν ἱερατεύειν τὸ σῶμα τοῦ Κυρίου, τοῦ δόντος ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας, ὅσον τὸ σῶμα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ὑπερέχει κριῶν καὶ ταύρων· οὐκ ἐκ συγκρίσεως (80), ἀσύγκριτος γὰρ ἡ ὑπεροχή. Ἀλλὰ καὶ μῶμος ἢ λώβησις νῦν οὐκ ἐπὶ μελῶν σώματός ἐστι θεωρουμένη, ἐπὶ δὲ δικαιωμάτων τῆς κατὰ τὸ Εὐαγγέλιον θεοσεβείας ἐστὶ γινωσκομένη· ὅταν ἢ παρ' ὀλίγον (81), ἢ ἐλλειπῶς γένηται ἡ ἐντολή, ἢ μὴ οὕτως, ὥσπερ εὐαρεστεῖται Θεός· ὥσπερ οὐλῆς τινος ἢ λέπρας ἐπιφαινομένης τῇ ἐντολῇ τῆς ἀνθρωπίνης γνώμης. Ἀναγκαῖον (82) οὖν πάντοτε μέν, μάλιστα δὲ ἐν τῷ καιρῷ τοῦ τοσούτου καὶ τοιούτου μυστηρίου, B φυλάσσειν τὸ παράγγελμα τοῦ Ἀποστόλου εἰπόντος· « Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ· μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ' ἐν παντὶ (83) συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι. » Οὕτως ἄξιός τις γένηται ἱερουργεῖν τὸ μυστήριον τοῦ Κυρίου κατὰ τὸ Εὐαγγέλιον τοῦ Θεοῦ

QUÆSTIO III.

An quispiam, cum ab omni carnis et spiritus inquinamento purus non est, tuto ac secure edat corpus Domini, et bibat sanguinem.

RESPONSIO.

Cum Deus in lege extremam pœnam in eum, qui in immunditia attingere sancta ausus esset, constituerit: siquidem typice illis quidem, nobis vero admonitionis causa, ita scriptum est: « Et locutus est Dominus ad Moysem, dicens: Dic Aaron, et filiis ejus: et attendant a sanctis filiorum Israel, et non profanabunt nomen sanctum meum; quæcunque ipsi sanctificant mihi. Ego Dominus. Dic illis: In progenies ipsorum omnis homo, quicunque accesserit ab omni semine vestro ad sancta, quæcunque sanctificaverint filii Israel Domino, et fuerit immunditia ejus in illo, exterminabitur anima illa a facie mea. Ego Dominus [31]; » si adversus eos qui temere accedunt ad ea quæ ab hominibus sanctificata sunt, minæ ejusmodi intentantur, quid quis dixerit contra eum, qui ad tantum ac tale mysterium non veretur accedere? Quanto enim plus templo illic est, juxta Domini vocem [32], tanto gravius est et formidabilius corpore Christi impure vesci audere, quam arietes aut tauros edere, cum

ΕΡΩΤΗΣΙΣ Γ'.

Εἰ ἀκίνδυνόν ἐστι μὴ καθαρεύοντά τινα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ἐσθίειν τὸ σῶμα τοῦ Κυρίου, καὶ πίνειν τὸ αἷμα

ΑΠΟΚΡΙΣΙΣ.

C Τοῦ Θεοῦ ἐν τῷ νόμῳ τὴν ἀνωτάτω τιμωρίαν ὁρίσαντος κατὰ τοῦ ἐν ἀκαθαρσίᾳ τολμήσαντος ἅψασθαι τῶν ἁγίων· γέγραπται γὰρ τυπικῶς μὲν ἐκείνοις, εἰς νουθεσίαν δὲ ἡμετέραν· « Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· Εἰπὲ Ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτοῦ· καὶ προσεχέτωσαν ἀπὸ τῶν ἁγίων τῶν υἱῶν Ἰσραήλ, καὶ οὐ βεβηλώσουσι τὸ ὄνομά μου τὸ ἅγιον, ὅσα αὐτοὶ ἁγιάζουσί μοι. Ἐγὼ Κύριος. Εἰπὲ αὐτοῖς· Εἰς τὰς γενεὰς αὐτῶν πᾶς ἄνθρωπος, ὃς ἐὰν προσέλθῃ ἀπὸ παντὸς τοῦ σπέρματος ὑμῶν πρὸς τὰ ἅγια, ὅσα ἂν ἁγιάσωσιν οἱ υἱοὶ Ἰσραὴλ τῷ Κυρίῳ, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ' αὐτῷ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἀπὸ προσώπου μου. Ἐγὼ Κύριος· » εἰ τοιαύτη ἀπειλὴ κεῖται κατὰ τῶν προσιόντων ἁπλῶς D εἰς τὰ παρὰ τῶν ἀνθρώπων ἁγιαζόμενα, τί ἄν τις εἴποι (84) κατὰ τοῦ εἰς τοσοῦτον καὶ τοιοῦτον μυστήριον τολμήσαντος; Ὅσῳ γὰρ πλεῖον τοῦ ἱεροῦ ὧδε, κατὰ τὴν τοῦ Κυρίου φωνήν, τοσούτῳ δεινότερον καὶ φοβερώτερον τὸ ἐν μολυσμῷ ψυχῆς τολμῆσαι ἅψασθαι τοῦ σώματος τοῦ Χριστοῦ, παρὰ τὸ ἅψα-

[27] Matth. XII, 6. [28] Ephes. V, 2. [29] II Cor. VII, 1. [30] II Cor. VI, 3, 4. [31] Lev. XXII, 1-3. [32] Matth. XII, 6.

(80) Editi συγκρίσεως λέγω. Vox ultima in nostris tribus mss. non legitur.

(81) Veteres duo libri παρὰ λόγον, *præter rationem*. Alius ms. et editi παρ' ὀλίγον, *cum exigua pars mandati fit*. Statim duo mss. ὡς εὐαρεστεῖται. Subinde editi λέπρας ἐπιφερομένης. At mss. tres λέπρας ἐπιφαινομένης.

(82) Editi Ἀναγκαίως οὖν... φυλάσσειν δεῖ τό. Veteres libri ita, ut edendum curavimus.

(83) Reg. secundus ἐν παντὶ δέ.

(84) Idem ille quem modo dixi liber τί ἐστιν εἰπεῖν.

σθαι κριῶν ἢ ταύρων, τοῦ Ἀποστόλου εἰπόντος· «Ὥστε ὃς ἂν ἐσθίῃ (85) τὸν ἄρτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου.» Σφοδρότερον δὲ ὁμοῦ καὶ φοβερώτερον παριστῶν (86) τὸ κρῖμα διὰ τῆς ἐπαναλήψεως, φησί· «Δοκιμαζέτω δὲ ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου (87).» Εἰ δὲ ὁ ἐν ἀκαθαρσίᾳ μόνῃ γενόμενος (τῆς δὲ ἀκαθαρσίας τὸ ἰδίωμα τυπικῶς ἐκ τοῦ νόμου μανθάνομεν), οὕτω φοβερὸν ἔχει τὸ κρῖμα, πόσῳ μᾶλλον (88) ὁ ἐν ἁμαρτίᾳ ὢν, καὶ κατατολμῶν τοῦ σώματος τοῦ Κυρίου, δεινότερον ἐπισπάσεται τὸ κρῖμα; Καθαρεύσωμεν τοίνυν ἀπὸ παντὸς μολυσμοῦ (ἡ δὲ διαφορὰ τοῦ μολυσμοῦ πρὸς τὴν ἀκαθαρσίαν φανερὰ τοῖς εὖ φρονοῦσι), καὶ οὕτω προσερχώμεθα τοῖς ἁγίοις, ἵνα φύγωμεν τὸ κρῖμα τῶν φονευσάντων τὸν Κύριον, διότι «Ὃς ἂν ἐσθίῃ τὸν ἄρτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου·» σχῶμεν δὲ ζωὴν αἰώνιον, καθὼς ἐπηγγείλατο ὁ ἀψευδὴς Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστός· ἐὰν ἐσθίοντες καὶ πίνοντες μνημονεύσωμεν (89) αὐτοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, καὶ φυλάξωμεν τὸ κρῖμα τοῦ Ἀποστόλου εἰπόντος· «Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι, εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν (90) ἀποθανόντι καὶ ἐγερθέντι·» ὅπερ συνεθέμεθα ἐν τῷ βαπτίσματι.

A Apostolus dicat: «Itaque quicunque manducaverit panem, vel biberit calicem Domini indigne, reus erit corporis et sanguinis Domini [33];» imo judicium per repetitionem vehementius simul et formidabilius declaret, his verbis: «Probet autem seipsum unusquisque, et sic de pane edat, et de calice bibat. Qui enim manducat et bibit indigne, judicium sibi manducat et bibit, non dijudicans corpus Domini [34].» Quod si is qui in sola immunditia constitutus est (immunditiæ autem proprietatem typice ex lege discimus), judicio tam horrendo obnoxius est, quanto magis qui in peccato est, Christique corpus temere edit, judicium gravius sibi accerset? Mundemus igitur nos ab omni inquinamento (discrimen autem, **655** quod inquinamentum inter B et immunditiam intercedit, prudentibus sapientibusque est manifestum), et ita demum accedamus ad sancta, ut eorum qui Dominum occiderunt effugiamus judicium, videlicet, «Quicunque manducaverit panem, vel biberit calicem Domini indigne, reus erit corporis et sanguinis Domini;» possideamus vero vitam æternam, sicut promisit verax Dominus et Deus noster Jesus Christus, si modo edentes bibentesque memores fuerimus ipsius, qui pro nobis mortuus est, servaverimusque sententiam Apostoli, qui dicit: «Charitas enim Christi constringit nos, judicantes hoc, quod si unus pro omnibus mortuus est, ergo omnes mortui sunt: et pro omnibus mortuus est, ut qui vivunt non C amplius sibi vivant, sed ei qui pro ipsis mortuus est et resurrexit [35]:» qua de re in baptismate fecimus pactionem.

ΕΡΩΤΗΣΙΣ Δ'.

Εἰ παντὶ ῥήματι Θεοῦ δεῖ πιστεύειν, καὶ πείθεσθαι ἐν πληροφορίᾳ ἀληθείας τοῦ εἰρημένου, κἂν εὑρίσκηταί τι ἢ (91) ῥῆμα ἢ ἔργον ἤτοι παρ' αὐτοῦ τοῦ Κυρίου ἢ παρ' αὐτῶν τῶν ἁγίων δοκοῦν ἐναντίως ἔχειν.

QUÆSTIO IV.

An omni verbo Dei credendum sit et obtemperandum, adeo ut id quod dicitur, verum esse persuasissimum sit, etiamsi aut aliquod verbum aut factum ipsius Domini vel sanctorum inveniatur, quod videatur esse contrarium.

ΑΠΟΚΡΙΣΙΣ.

1. Τὸ ἐρώτημα, εἰ καὶ παντάπασιν ἀνάξιον παντὸς τοῦ καταδεξαμένου ὁμολογεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, λαλοῦντα ῥήματα (92), ἃ ἤκουσε παρὰ τοῦ Πατρὸς, ὅμως ἀναγκαῖον ἀποκρίνασθαι (93), πειθομένους τῷ Ἀποστόλῳ γράψαντι· «Ἕτοιμοι ἔσεσθε πρὸς ἀπολογίαν παντὶ τῷ ἐπερωτῶντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν πίστεως.» Καὶ ἵνα μὴ, παρ' ἑαυτῶν τι λέγοντες, ἀμφιβολίαν ἐμποιήσωμεν τοῖς ἀκούουσι,

RESPONSIO.

1. Hæc quæstio, tametsi prorsus indigna est quocunque, qui Dominum nostrum Jesum Christum unigenitum Dei vivi Filium, per quem omnia tam visibilia quam invisibilia facta sunt, confiteri non recusarit, quandoquidem ea verba quæ locutus est, a Patre audivit, tamen respondere necesse ha-D bemus, obedientes Apostolo dicenti: «Parati eritis ad respondendum cuilibet interroganti vos rationem ejus quæ in vobis est fidei [36].» Et ne, si de nostro aliquid dicamus, ambiguitatem afferamus audien-

[33] I Cor. XI, 27. [34] ibid. 28, 29. [35] II Cor. V, 14, 15. [36] I Petr. III, 15.

(85) Editi ἐσθίει... πίνει. At mss. duo ἐσθίῃ... πίνῃ.

(86) Regii primus et tertius παριστῶν, recte. Editi παριστῶντος.

(87) Veteres duo libri τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου, *non dijudicans corpus et sanguinem Domini.*

(88) Unus ms. πόσῳ πλέον. Aliquanto post mss. duo ἐπισπᾶται.

(89) Editi μνημονεύωμεν. Veteres duo libri μνημονεύσωμεν.

(90) Editi ὑπὲρ ἡμῶν. Veteres duo libri ὑπὲρ αὐτῶν. Mox Reg. secundus ἐν τῷ βαπτίζεσθαι.

(91) Illud ἢ additum est ex tribus codicibus. Mox editi παρὰ τῶν. At mss. παρ' αὐτῶν τῶν.

(92) Reg. secundus perinde ut editi ἀόρατα, ἀλλ' οὖν τὰ ῥήματα. Alii duo mss. ἀόρατα, λαλοῦντα ῥήματα: ubi notari potest, errorem ex eo evenisse, quod imperiti librarii ex λαλοῦντα inepte fecerint ἀλλ' οὖν τά.

(93) Veteres duo libri ἀποκρίνασθαι. Aliquanto post mss. tres παρ' ἑαυτῶν. Editi παρ' αὐτῶν.

tibus, Domini ipsius faciamus mentionem, dicentis videlicet, « Amen, amen dico vobis, iota unum aut unus apex non præteribit a lege donec omnia fiant [37]; » et iterum : « Facilius est cœlum et terram præterire, quam legis unum apicem cadere [38]. » Quod si quidpiam est hic plus Salomone, si quidpiam est hic plus Jona [39], consequens est ut dicamus : Quidpiam etiam est hic plus Moyse, Apostolo, posteaquam Moysis gloriam Israelitis inaccessam recensuit, eamque contulit cum Domini nostri Jesu Christi gloria, subjungente, « Glorificatum non est, quod claruit in hac parte, propter excellentem gloriam. Si enim quod evacuatur, per gloriam est : multo magis quod manet, in gloria est [40]. » Ita etsi ex iis quæ protulimus locis ea quæ in Evangelio dicta sunt, ceu certissima per indubitatam fidem cognoscere ac confiteri didicimus, tamen hæc ipsius Domini verba in medium rursus adducamus : « Cœlum et terra transibunt, verba autem mea non præteribunt [41]. » Itaque Domini verba maxime omnium suffecerunt ad nostros animos in sancto atque principali Spiritu confirmandos, **656** sic ut indubitanter constanterque omne verbum ex Dei ore procedens susciperemus : sed tamen, ut quorumdam opitulemur imbecillitati, par fuerit testimonium quoque unius aut alterius ex multis adjicere. Ait itaque David : « Fidelia omnia mandata ejus, confirmata in sæculum sæculi, facta in veritate et æquitate [42]. » Ac rursus : « Fidelis Dominus in omnibus verbis suis, et sanctus in omnibus operibus suis [43], » et ejusmodi multa. Jehu autem in Regnorum libris dixit : « Videte quod non cadet verbum Domini in terram [44]. »

2. De iis vero quæ videntur inter se esse quodam modo contraria, satius est unumquemque sententiam adversus seipsum ferre, tanquam qui ad cognitionem divitiarum sapientiæ nondum pervenerit, et quod Dei judicia quæ investigari non possunt, attingere difficile sit, quam audaciæ ac pertinaciæ judicio obnoxium fieri, et audire : « Impius est qui dicit regi : Inique agis [45]; » et, « Quis accusabit adversus electos Dei [46]? » Quamvis autem multorum judicio, multa perspicue solvantur, tamen in iis quæ contraria inter se esse videntur, illud observare debemus, quod cum aliquod verbum aut factum præcepto contrarium esse videtur, necessarium est unumquemque præcepto obsequi, non altitudinem divitiarum et sapientiæ [47] improbare, aut in peccatis prætextus prætexere [48]. Hoc enim Deo placere, et periculo carere ex divinis Scripturis didicimus. Sed si præceptum præcepto repugnare videtur, argumentis interim intellectis, et lecto

A μνημονεύσωμεν αὐτοῦ τοῦ Κυρίου λέγοντος· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ (94) νόμου, ἕως ἂν πάντα γένηται· » καὶ πάλιν· « Εὐκοπώτερόν ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν. » Εἰ δὲ πλεῖον Σολομῶνος ὧδε, καὶ πλεῖον Ἰωνᾶ ὧδε, ἀκόλουθόν ἐστιν εἰπεῖν, ὅτι καὶ πλεῖον Μωϋσέως ὧδε, τοῦ Ἀποστόλου, μετὰ τὸ τὴν ἀπρόσιτον τοῖς Ἰσραηλίταις Μωϋσέως δόξαν διηγήσασθαι ἐν συγκρίσει τῆς δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπενεγκόντος ὅτι, « Οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέλει ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ. » Οὕτως εἰ καὶ ἐκ τῶν εἰρημένων ἐπαιδεύθημεν τὰ ἐν τῷ Εὐαγγελίῳ εἰρημένα ἐν πίστει ἀδιακρίτῳ B βεβαιότερα γνωρίσαι καὶ ὁμολογεῖν, ὅμως πάλιν αὐτοῦ τοῦ Κυρίου μνημονεύσωμεν λέγοντος· « Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. » Ἤρκει μὲν οὖν τὰ τοῦ Κυρίου ῥήματα πλέον πάντων ἐν Πνεύματι ἁγίῳ καὶ ἡγεμονικῷ στηρίξαι τὰς καρδίας ἡμῶν, ἀδιστάκτως καὶ ἀραρότως ἔχειν περὶ παντὸς ῥήματος ἐκπορευομένου διὰ στόματος Θεοῦ· ἵνα δὲ καὶ τῇ τινων ἀσθενείᾳ βοηθήσωμεν, ἀκόλουθον ἂν εἴη καὶ μαρτυρίαν ἑνὸς ἢ δευτέρου ἐκ πολλῶν παραθέσθαι. Ὁ μὲν οὖν Δαβὶδ φησι· « Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι· » καὶ πάλιν· « Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ, » C καὶ πολλὰ τοιαῦτα. Ὁ δὲ Ἰηοὺ ἐν τοῖς Βασιλείοις (95) εἶπεν· « Ἴδετε, ὅτι οὐ πεσεῖται λόγος Κυρίου ἐπὶ τὴν γῆν. »

2. Περὶ δὲ τῶν δοκούντων ἐναντίωσίν τινα ἔχειν, κρεῖττόν ἐστιν ἑαυτοῦ καταψηφίσασθαι, ὡς μήπω ἐλθόντος εἰς κατανόησιν τοῦ πλούτου τῆς σοφίας, καὶ ὅτι δύσκολον τῶν ἀνεξερευνήτων κριμάτων τοῦ Θεοῦ ἐφικέσθαι, ἢ ὑπόδικον γενέσθαι τῷ κρίματι τῆς θρασύτητος καὶ τῆς αὐθαδείας, καὶ ἀκοῦσαι, « Ἀσεβὴς ὁ λέγων βασιλεῖ, Παρανομεῖς· » καὶ, « Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; » Εἰ δὲ καὶ τὰ πολλὰ τοῖς πολλοῖς φανερὰν ἔχειν δοκεῖ τὴν λύσιν, ὅμως ἐπὶ τῶν δοκούντων ἐναντίωσιν ἔχειν (96) ὀφείλομεν παρατηρεῖν, ὅτι, ὅταν μὲν τῷ προστάγματι δοκῇ ἐναντίον τι D εἶναι ῥῆμα ἢ ἔργον, ἀναγκαῖον αὐτὸν ἕκαστον τῷ προστάγματι πειθαρχεῖν, καὶ μὴ τῷ βάθει τοῦ πλούτου καὶ τῆς σοφίας ἐπισκήπτειν, ἢ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις· τοῦτο γὰρ εὐάρεστον τῷ Θεῷ, καὶ ἀκίνδυνον εἶναι μεμαθήκαμεν ἐκ τῶν θεοπνεύστων Γραφῶν· ὅταν δὲ πρόσταγμα προστάγματι ἐναντίως ἔχειν δοκῇ, ἵνα τὰς ὑποθέσεις καταμανθάνοντες (97), καὶ ὁλόκληρον τὴν περικοπὴν

[37] Matth. v, 18. [38] Luc. xvi, 17. [39] Matth. xii, 41, 42. [40] II Cor. iii, 10, 11. [41] Matth. xxiv, 35. [42] Psal. cx, 8. [43] Psal. cxliv, 13. [44] IV Reg. x, 10. [45] Job xxxiv, 18. [46] Rom. viii, 33. [47] Rom. xi, 33. [48] Psal. cxl, 4.

(94) Codices duo ἐκ τοῦ.
(95) Reg. primus ἐν ταῖς Βασιλείαις.
(96) Antiqui duo libri ἐναντίως ἔχειν. Mox editi δοκεῖ. At mss. duo δοκῇ. Statim, ubi et in mss. et in editis legitur αὐτὸν ἕκαστον, legi vult Combefisius αὐτῶν ἕκαστον, *horum quodlibet*.
(97) Veteres duo libri καταμαθόντες.

ἀναγινώσκοντες, οὕτω τὸ ἄμαχον ἐπιγινώσκωμεν, καὶ A τὸ ἑκάστῳ ἁρμόζον πρὸς τὸν σκοπὸν τῆς ἄνω κλήσεως φυλάσσωμεν, εἰς ὃν ἀμφότερα τείνει τὰ προστάγματα· τὰ μὲν νόσον θεραπεύοντα, τὰ δὲ προκοπὴν ἐμποιοῦντα πρὸς τελείωσιν ἄγουσαν τῆς πρὸς Θεὸν εὐαρεστήσεως, τοῦ Κυρίου λέγοντος ποτὲ μέν· « Οὐδεὶς, λύχνον ἅψας, κρύπτει αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ· οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. » Ποτὲ δὲ, « Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ (98) ἀριστερὰ, τί ποιεῖ ἡ δεξιά σου. »

3. Καὶ πολλὰ τοιαῦτα εὕροις ἂν παρά τε τοῖς εὐαγγελισταῖς καὶ τῷ Ἀποστόλῳ. Ἐὰν δὲ ἡ μὲν ἐντολὴ B δοθῇ, πῶς δὲ γένηται, μὴ ἐπενεχθῇ, ἀνασχώμεθα τοῦ Κυρίου λέγοντος· « Ἐρευνᾶτε τὰς Γραφὰς, » καὶ μιμησώμεθα τοὺς ἀποστόλους αὐτὸν τὸν Κύριον ἐπερωτήσαντας τὴν ἑρμηνείαν τῶν παρ' αὐτοῦ εἰρημένων καὶ τῶν παρ' αὐτοῦ ἐκ τῶν ἐν ἑτέρῳ τόπῳ εἰρημένων, μανθάνωμεν τὸ ἀληθὲς καὶ σωτήριον· ὥσπερ ἐπὶ τοῦ, « Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, » ἔκ τε τῶν τῷ νεανίσκῳ προστεταγμένων παιδευόμεθα, αὐτοῦ τοῦ Κυρίου εἰπόντος· « Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· » καὶ ἐκ τῶν εἰρημένων πρὸς τοὺς ἐπιθυμοῦντας βασιλείαν οὐρανῶν κληρονομῆσαι· « Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι ηὐδόκησεν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, δοῦναι (99) ὑμῖν τὴν βασιλείαν. Πωλήσατε τὰ C ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην· ποιήσατε ἑαυτοῖς βαλλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. » Ἐὰν δὲ καὶ κίνδυνος παρέπηται τῇ τηρήσει τῆς ἐντολῆς, ἥτις ἐστὶ καύχημα ἡμῶν, μνημονεύσωμεν τοῦ Ἀποστόλου εἰπόντος· « Καλόν μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ· » καὶ ἀλλαχοῦ πλατύτερον· « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; » καὶ τὰ ἑξῆς. Δι' ὧν σφοδρότερον παιδευόμεθα τηρεῖν τὰς ἐντολὰς, καὶ περισσοτέραν δοῦναι (1) ἀπόδειξιν τῆς πρὸς τὸν Κύριον ἀγάπης, εἰπόντα· « Ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, » καὶ πολλάκις ὁμοίως· ἐπὶ δὲ τῶν λοιπῶν μιμεῖσθαι τὸν Ἀπόστολον, καὶ λέγειν· « Ὢ βάθος πλούτου, καὶ σοφίας, D καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. Τίς γὰρ ἔγνω νοῦν Κυρίου » τοῦ ἐξ οὐρανῶν κατελθόντος, καὶ τὰ τοῦ Πατρὸς ἡμῖν ῥήματα ἀπαγγείλαντος (2); Ὢ πιστεύειν ἀναγκαῖον καὶ σωτήριον, ὡς τὰ τέχνα τοῖς

integro loco, ita demum nihil pugnans esse cognoscamus, et id quod cuique convenit, juxta scopum supernæ vocationis observemus, ad quem videlicet scopum utraque præcepta tendant, partim morbum curantia, partim afferentia talem profectum, quo ad perfecte Deo placendum deducamur, cum Dominus dicat aliquando quidem, « Nemo lucernam accensam abscondit sub modio, sed super candelabrum ponit, et lucet omnibus, qui sunt in domo; sic luceat lux vestra coram hominibus ut videant bona vestra opera, et glorificent Patrem vestrum qui in cœlis est [49]; » aliquando vero, « Te autem faciente eleemosynam, nesciat sinistra quid faciat dextera tua [50]. »

3. Et multa id genus invenias et apud evangelistas et apud Apostolum. Quod si præceptum quidem datum fuerit, quomodo vero fiat, non additum sit, obediamus Domino, qui ait : « Scrutamini Scripturas [51] » imitemurque apostolos, qui Dominum ipsum de eorum quæ ab ipso dicta erant interpretatione interrogarunt; et eorum quæ ab ipso dicta sunt, ex iis quæ in alio loco dixit, veritatem salubritatemque ediscamus. Exempli causa, cum dictum est, « Thesaurizate autem vobis thesauros in cœlo [52], » quid hæc sibi velint, tum ex iis quæ adolescenti præcepta sunt, edocemur ubi videlicet Dominus ipse dicit : « Vende quæ habes, et da pauperibus, et habebis thesaurum in cœlo [53] ; » tum ex iis, quæ ad eos qui regnum cœlorum consequi cupiebant, dicta fuere, « Ne timeas, pusille grex, quia complacitum est Patri vestro cœlesti dare **657** vobis regnum. Vendite quæ possidetis, et date eleemosynam, facite vobisipsis sacculos qui non veterascunt, thesaurum non deficientem in cœlis [54]. » Si vero periculum etiam observationem mandati comitatur, quæ est gloriatio nostra, meminerimus Apostoli, qui dicit : « Bonum est mihi mori magis, quam ut gloriam meam quis evacuet [55]; » et alibi fusius : « Quis nos separabit a charitate Christi? tribulatio, an angustia, an persecutio, an fames, an nuditas, an periculum, an gladius [56]? » et quæ sequuntur. Ex quibus impensius erudimur mandata custodire, atque commonstrare dilectionem majorem erga Dominum, qni dicit, « Qui diligit me, mandata mea servabit [57], » et multis in locis similiter : in reliquis vero Apostolum imitari, ac dicere : « O altitudo divitiarum, et sapientiæ, et scientiæ Dei, quam incrustabilia sunt judicia ejus, et impervestigabiles viæ ejus! Quis enim cognovit mentem Domini [58], » qui ex cœlis descendit, et Pa-

[49] Matth. v, 15, 16. [50] Matth. vi, 3. [51] Joan. v, 39. [52] Matth. vi, 20. [53] Matth. xix, 21. [54] Luc. xii, 32, 33. [55] I Cor. ix, 15. [56] Rom. viii, 35. [57] Joan. xiv, 23. [58] Rom. xi, 33, 34.

(98) Unus mss. μὴ γνώτω σου ἡ. Aliquanto post duo mss. pro Ἀποστόλῳ habent Παύλῳ. Subinde editi ἐὰν ἡμῖν ἐντολή. At mss. duo ut in contextu.

(99) Unus ms. πατὴρ ὑμῶν, δοῦναι.

(1) Nostri tres mss. δῶμεν, sed ita tamen, ut unus emendatus sit jam a longo tempore, habeatque διδόναι. Nihil in vulgatis mutandum censuimus.

(2) Codex unus ἀναγγείλαντος. Statim duo mss. τὰ τέχνα. Aberat articulus a vulgatis. Nec ita multo post editi κατὰ τὴν αὐτήν. Veteres duo libri κατὰ τὴν αὐτοῦ.

tris nobis verba annuntiavit? Cui credere necessarium est ac salutare, velut liberos parentibus, et pueros præceptoribus, juxta ipsius Domini nostri Jesu Christi vocem, ubi ait, « Nisi quis susceperit regnum Dei velut parvulus, non intrabit in illud [59]. »

QUÆSTIO V.

Utrum verbo cuilibet non obsequi sit aliquid ira et morte dignum, etiamsi privatim non singulis conjunctæ sint minæ.

RESPONSIO.

1. Dictum quidem est fusius de hoc argumento in epistola de concordia, an videlicet, verbo cuilibet non obsequi, sit aliquid ira ac morte dignum: sed ut nunc unum aut alterum testimonium ex multis allegemus, audiamus Joannem Baptistam, dicentem: « Qui credit Filio, habet vitam æternam: qui vero non credit Filio (quod autem definitum non est, id comprehendit omnia), non videbit vitam, sed ira Dei manebit super eum [60]; et Dominum ipsum more definientis pronuntiantem, « Iota unum, aut unus apex non præteribit a lege, donec omnia fiant [61]. » Quod si quæ legis sunt, sic se habent, quanto magis, quæ sunt Evangelii? sicut Dominus ipse sæpe confirmavit. De eo autem, an res ita sit, etiamsi privatim non singulis conjunctæ sint minæ, satis esse arbitror credentibus, si meminerint Domini ipsius, qui, eo loco ubi doctrinam post beatitudines tradit, plura prohibita recensuit, et aliquibus quidem minas adjunxit, his verbis: « Quisquis irascitur fratri suo, obnoxius erit judicio: qui vero dixerit, Raca, obnoxius erit concilio: qui autem dixerit, Fatue, obnoxius erit gehennæ ignis [62], » et ejusmodi multa: aliquibus vero nihil adjecit minarum, exempli gratia cum dicit: « Omnis qui videt mulierem ad concupiscendum, jam mœchatus est eam in corde suo [63]; » item, « Ego autem dico vobis, non jurare omnino [64]; » et paulo post: « Erit autem **658** sermo vester, Est, est: non, non; quod autem his abundantius est, a malo est [65]. » Et multa alia id genus locutus, nec proposita ulla propria pœna, generalius adversus omnes sententiam tulit, cum prius dixit: « Nisi abundaverit justitia vestra plus quam scribarum et Pharisæorum, non intrabitis in regnum cœlorum [66]. » Sub finem vero infert: « Omnis qui audit verba mea hæc, et non facit ea, assimilabitur viro stulto, qui ædificavit domum suam super arenam, et descendit pluvia, et venerunt flumina, et flaverunt venti, et irruerunt in domum illam, et cecidit, et fuit ruina illius magna [67]. »

2. Atque in aliis locis, peccatorum multorum facta mentione, non addidit destinatam unicuique

γονεῦσι, καὶ τὰ παιδία τοῖς διδασκάλοις, κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φωνὴν, εἰπόντος· « Ἐὰν μή τις δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. »

ΕΡΩΤΗΣΙΣ Ε'.

Εἰ παντὸς ῥήματος ἡ ἀπείθεια ἀξία ὀργῆς καὶ θανάτου, κἂν ἰδικῶς τῷ καθ' ἕκαστον μὴ ᾖ συνημμένη ἡ ἀπειλή.

ΑΠΟΚΡΙΣΙΣ.

1. Περὶ μὲν τοῦ, εἰ (3) παντὸς ῥήματος ἡ ἀπείθεια ἀξία ὀργῆς καὶ θανάτου, εἴρηται μὲν πλατύτερον ἐν τῇ περὶ τῆς συμφωνίας ἐπιστολῇ· ἵνα δὲ καὶ νῦν μιᾶς ἢ δευτέρας ἐκ πολλῶν μνημονεύσωμεν μαρτυρίας, ἀκούσωμεν Ἰωάννου μὲν τοῦ Βαπτιστοῦ λέγοντος· « Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ (τὸ δὲ ἀόριστον παντός ἐστι περιληπτικὸν) οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν· » αὐτοῦ δὲ τοῦ Κυρίου ὁριστικῶς ἀποφηναμένου· « Ἰῶτα ἕν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. » Εἰ δὲ τὰ τοῦ νόμου οὕτως, πόσῳ μᾶλλον τὰ τοῦ Εὐαγγελίου; καθὼς αὐτὸς ὁ Κύριος πολλάκις ἐπιστώσατο. Περὶ δὲ τοῦ, κἂν ἰδικῶς τῷ καθέκαστον μὴ ᾖ συνημμένη ἡ ἀπειλὴ, ἀρκεῖν μὲν λογίζομαι τοῖς πιστοῖς, αὐτοῦ τοῦ Κυρίου μνημονεῦσαι εἰπόντος ἐν τῇ περικοπῇ τῆς μετὰ τοὺς μακαρισμοὺς διδασκαλίας· ἐν ᾗ πολλῶν μὲν ἐμνημόνευσε τῶν ἀπηγορευμένων, καὶ τοῖς μὲν προσέθηκε καὶ τὴν ἀπειλὴν, εἰπών· « Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ, Ῥακὰ, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴπῃ, Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός· » καὶ πολλὰ τοιαῦτα· τοῖς δὲ μὴ προστιθείς· ὥσπερ ἐν τῷ εἰπεῖν, ὅτι « Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· » καὶ τὸ, « Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως· » καὶ μετ' ὀλίγα· « Ἔσται δὲ ὁ λόγος ὑμῶν, Ναὶ, ναί· οὔ, οὔ (4)· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστι. » Καὶ πολλὰ τοιαῦτα εἰπὼν, ἄνευ τοῦ ἐπαγαγεῖν τῆς τιμωρίας τὸ ἰδίωμα, γενικώτερον κατὰ πάντων ἀπεφήνατο προειπὼν μὲν, « Ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· » ἐν δὲ τῷ τέλει ἐπαγαγὼν, ὅτι « Πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσαν (5) τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. »

2. Καὶ πολλαχοῦ πολλῶν μνημονεύσας ἁμαρτημάτων, οὐ προσέθηκε καὶ τὴν ἀποκειμένην ἑκάστῳ τι-

[59] Marc. x, 15. [60] Joan. iii, 36. [61] Matth. v, 18. [62] ibid. 22. [63] ibid. 28. [64] ibid. 34. [65] ibid. 37. [66] ibid. 20. [67] Matth. vii, 26, 27.

(3) Editi Περὶ μὲν τοῦ, ὅτι. At mss. duo Περὶ μὲν τοῦ, εἰ.

(4) Editi ὑμῶν τὸ, Ναὶ, ναί· καὶ τὸ, Οὒ, οὔ. Veteres duo libri ut in contextu legi potest. Aliquanto post mss. duo προσειπών.

(5) Editi προσέπεσον. Antiqui duo libri προσέπεσαν

μωρίαν, ἀρκεῖν ἡγούμενος τὰ καθόλου πολλάκις εἰρημένα κατὰ πάντων. Ἐπειδὴ δὲ χρείαν ἔχουσιν οἱ ἀσθενέστεροι βοηθείας, μνημονεύσωμεν καὶ τοῦ Ἀποστόλου. Μιμούμενος γὰρ τὸν Κύριον καὶ αὐτὸς, ποτὲ μὲν εἶπεν· « Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν· » ποτὲ δέ· « Μὴ ψεύδεσθε εἰς ἀλλήλους· » καὶ ἀλλαχοῦ· « Πᾶσα ὀργὴ, καὶ θυμὸς, καὶ κραυγὴ, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν, σὺν πάσῃ κακίᾳ. » Καὶ πολλὰ τοιαῦτα πολλάκις εἰπὼν, ἄνευ τοῦ προσθεῖναι τὴν ἀπειλὴν, ἀλλαχοῦ γενικώτερον προστίθησι καὶ τὴν τιμωρίαν, εἰπών· « Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. » Ἀλλαχοῦ δὲ πάλιν πλατύτερον γράφει· « Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα· πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ (6), πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ· μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας· ψιθυριστὰς, καταλάλους, θεοστυγεῖς, ὑβριστὰς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς, ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας. Οἵτινες, τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσὶν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι. Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων. Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις, ὁ κρίνων. » Καὶ πολλαχοῦ ὁμοίως. Ἐξ ὧν δείκνυται, ὅτι, κἂν ἐν τοῖς κατὰ μέρος μὴ ᾖ προσκειμένη ἡ ἀπειλὴ τῆς τιμωρίας ἑκάστῳ εἴδει, ἀναγκαίως ἐπιγινώσκειν ὀφείλομεν, ὅτι ἀφύκτῳ ἀνάγκῃ τῇ γενικῇ ὑποβάλλεται ἀποφάσει ὁ καὶ μίαν ἐντολὴν παραβαίνων· τοῦ μὲν Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποφηναμένου, ὅτι « Ὁ ἀθετῶν ἐμὲ, καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν· ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, » καὶ τὰ ἑξῆς φοβερώτερον· Ἰωάννου δὲ τοῦ Βαπτιστοῦ, οὗ μείζων οὐδεὶς, ὁριστικῶς (7) μαρτυροῦντος, ὅτι « Ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν. » Τοῦτο γὰρ σύνηθες τῇ θεοπνεύστῳ Γραφῇ καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ. Καὶ γὰρ διὰ Μωϋσέως, πολλὰ τῶν ἐν τῷ νόμῳ γράψαντος, ἄνευ τοῦ προσθεῖναι τὴν ἀπειλὴν (8) κατὰ τοῦ παραβαίνοντος ἢ ἀμελοῦντος, γενικὴν κατὰ πάντων ἐπήγαγε τὴν κατάραν, ἥτις ἐστὶ τῆς δεινοτάτης τιμωρίας προκαταρκτικὴ, εἰπών· « Ἐπικατάρατος πᾶς ὃς οὐκ

A pœnam : sufficere ratus quæ contra omnia in universum sæpenumero dicta erant. Quoniam autem indigent auxilio infirmiores, Apostoli quoque mentionem faciamus. Nam et ipse Dominum imitans, modo quidem dixit : « Si quis frater nominatus, aut fornicator est, aut avarus, aut idolis serviens, aut maledicus, aut ebriosus, aut rapax, cum tali ne cibum quidem sumite [68]; » modo vero, « Nolite mentiri alius adversus alium [69]; » et alibi, « Omnis ira, et indignatio, et clamor, et blasphemia tollatur a vobis, cum omni malitia [70]. » Et multa similia sæpe prætermissis minis dixit. Alibi tamen generalius pœnam quoque adjicit, ubi dicit : « Nolite errare : neque fornicatores, neque idolis servientes, neque adulteri, neque molles, neque B masculorum concubitores, neque fures, neque avari, neque ebriosi, neque maledici, neque rapaces regnum Dei possidebunt [71]. » Sed iterum alio loco fusius scribit : « Et sicut non probaverunt Deum habere in notitia, tradidit illos Deus in reprobum sensum, ut faciant ea quæ non conveniunt; repletos omni iniquitate, fornicatione, nequitia, avaritia, malitia, plenos invidia, homicidio, contentione, dolo, malignitate, susurrones, detractores, Dei osores, contumeliosos, superbos, arrogantes, inventores malorum, parentibus non obedientes, insipientes, pactorum violatores, sine affectione, absque fœdere, immisericordes. Qui cum justitiam Dei cognovissent, videlicet, quod ii qui C talia agunt, digni sint morte, non solum ea faciunt, sed etiam assentiuntur facientibus. Propter quod inexcusabilis es, o homo omnis, qui judicas. In quo enim judicas alterum, teipsum condemnas: eadem enim facis tu, qui judicas [72]. » Atque multis in locis similiter. Ex quibus illud conspicuum est, quod, etiamsi singulatim singulis speciebus non sint adjectæ supplicii minæ, necessario cognoscere debemus, eum, qui vel unum præceptum transgreditur, invitabili necessitate sententiæ generali subjacere, cum Dominus noster Jesus Christus pronuntiarit, « Qui spernit me, et non accipit verba mea, habet qui judicet eum; sermo quem locutus sum, ille judicabit eum in novissimo die [73], » et quæ sequuntur modo formidabiliore; et Joannes Baptista, quo major nemo [74], in D modum definientis hoc testimonium reddat : « Qui non obedit Filio, non videbit vitam, sed ira Dei manebit super eum [75]. » Hoc enim familiare est Scripturæ sacræ, etiam in Testamento **659** Veteri. Nam per Moysem, qui pleraque legis scripsit, con-

[68] I Cor. v, 11. [69] Coloss. III, 9. [70] Ephes. IV, 31. [71] I Cor. VI, 9, 10. [72] Rom. I, 28-32; II, 1. [73] Joan. XII, 48. [74] Luc. VII, 28. [75] Joan. III, 36.

(6) Vox πορνείᾳ deest in libris veteribus.

(7) Regii primus et tertius οὐδεὶς εἰ καὶ μὴ ὁριστικῶς. Mox editi μένει, at mss. μενεῖ.

(8) Quod ait scriptor, multa eorum quæ in lege sunt, a Moyse scripta fuisse, id non puto omnibus probatum iri : quasi multa quoque essent, quæ non scripsisset. — Καὶ γὰρ διὰ Μωσέως, κ. τ. λ. Verte : *Nam et per Mosen, qui multa in lege scripsit, non additis adversus transgredientem aut negligentem minis, contra omnes generalem induxit maledictionem*, etc.

tra omnes generalem maledictionem, quæ supplicium gravissimum auspicatur, minis adversus unum aliquem transgredientem aut negligentem omissis, subjecit, dicens, « Maledictus omnis qui non permanet in omnibus quæ in libro legis hujus scripta sunt [76]. » Et alibi, « Maledictus, inquit, qui facit opera Domini negligenter [77]. » Si vero maledictus est qui negligenter facit, qui non facit, quonam supplicio dignus est?

A ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου. » Καὶ ἀλλαχοῦ· « Ἐπικατάρατος, φησὶν, ὁ ποιῶν (9) τὰ ἔργα Κυρίου ἀμελῶς. » Εἰ δὲ ὁ ἀμελῶς ποιῶν ἐπικατάρατος, ἄρα ὁ μὴ ποιῶν τίνος ἐστὶν ἄξιος;

QUÆSTIO VI.

An inobedientia posita sit in eo, si quid vetitorum fiat, aut etiam in eo, si quid comprobatorum omittatur.

RESPONSIO.

1. Cum Dominus noster Jesus Christus hoc judicium validius confirmaret, tum ut errorem præteritum amoliretur, tum ut nostra corda in sana fide stabiliret, voluit nos docere timorem judiciorum, non solum per verba, verum etiam per exempla: siquidem res ipsæ veritatem magis persuadent. Et primum quidem ait: « Nisi abundaverit justitia vestra plus quam Scribarum et Pharisæorum, non intrabitis in regnum cœlorum [78]. » Atque post integrum hunc locum in quo doctrinam suam proposuit, sententiam una cum exemplo adjunxit, his verbis: « Omnis qui audit verba mea hæc, et non facit ea, assimilabitur viro stulto, qui ædificavit domum suam super arenam, et descendit pluvia, et venerunt flumina, et flaverunt venti, et impegerunt in domum illam, et cecidit, et fuit ruina illius magna [79]. » Et iterum: « Arborem fici habebat quis plantatam in vinea sua, et venit quærens fructum in illa, et non invenit. Et dicit ad cultorem vineæ: Ecce anni tres sunt, ex quo venio quærens fructum in ipsa, et non invenio: succide illam: ad quid vel terram occupat [80]? » Et alibi apertius hoc judicium exponit, dicens, « Discedite a me, maledicti, in ignem æternum qui paratus est diabolo, et angelis ejus [81]. » Et adjungit non aliquod facinus admissum, ex iis quæ prohibentur, sed opus aliquod omissum, ex iis quæ comprobantur, dicens: « Esurivi enim, et non dedistis mihi manducare: sitivi, et non dedistis mihi potum [82], » etc. Quin et multa similia invenire est, ex quibus ostendi possit non solum eos qui mala agunt, morte esse dignos, quibus et ignis inexstinguibilis paratus est, cum quibus et ii qui a bonis operibus vacant, condemnantur, sed eos etiam, qui bona negligenter faciunt. Scriptum namque est: « Maledictus omnis qui facit opera Domini negligenter [83]. »

2. Tempestivum autem fuerit meminisse etiam Joannis, ad eos, qui per baptismum veniam peccatorum acceperant, dicentis: « Progenies vipera-

ΕΡΩΤΗΣΙΣ Ϛ'.

Εἰ ἡ ἀπείθεια ἐν τῷ ποιῆσαί τι τῶν ἀπηγορευμένων ἐστὶν, ἢ καὶ ἐν τῷ παραλιπεῖν τι τῶν ἐγκεκριμένων.

ΑΠΟΚΡΙΣΙΣ.

1. Τοῦτο τὸ κρῖμα σφοδρότερον πιστούμενος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, εἰς ἀθέτησιν μὲν τῆς B προλαβούσης πλάνης, στηριγμὸν δὲ τῶν ἡμετέρων καρδιῶν ἐν τῇ ὑγιαινούσῃ πίστει, ηὐδόκησε παιδεῦσαι ἡμᾶς τὸν φόβον τῶν κριμάτων, οὐ μόνον διὰ ῥημάτων, ἀλλὰ καὶ δι' ὑποδειγμάτων· ὡς τῶν πραγμάτων μᾶλλον ἐμποιούντων τὴν πληροφορίαν τῆς ἀληθείας. Καὶ πρῶτον μέν φησιν· « Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Καὶ μεθ' ὅλην τὴν περικοπὴν τῆς διδασκαλίας αὐτοῦ ἐπήγαγεν ἀπόφασιν μεθ' ὑποδείγματος, εἰπών· « Πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτοὺς (10), ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέῤῥηξαν C τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη· » καὶ πάλιν· « Συκῆν εἶχέ τις πεφυτευμένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ, καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρε. Καὶ λέγει πρὸς τὸν ἀμπελουργόν· Ἰδοὺ τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἵνα τί καὶ τὴν γῆν καταργεῖ (11); » Καὶ ἀλλαχοῦ φανερώτερον ἐκτίθεται τὸ κρῖμα τοῦτο, λέγων· « Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. » Καὶ ἐπιφέρει οὐχὶ ἐργασίαν τινὸς τῶν ἀπηγορευμένων, ἀλλ' ἔλλειψιν τῶν ἐγκεχριμένων ἔργων, εἰπών· « Ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με, » καὶ τὰ ἑξῆς. Καὶ πολλὰ τοιαῦτα ἄν τις εὕροι πρὸς ἀπόδειξιν, ὅτι οὐ μόD νον (12) οἱ τὰ πονηρὰ ἐργαζόμενοι ἄξιοι θανάτου εἰσὶν, οἷς καὶ τὸ πῦρ τὸ ἄσβεστον ἡτοιμάσθη, μεθ' ὧν κατακρίνονται καὶ οἱ ἀργοῦντες ἀπὸ τῶν καλῶν, ἀλλὰ καὶ οἱ ἀμελῶς ποιοῦντες. Γέγραπται γάρ· « Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς. »

2. Καιρὸς δ' ἂν εἴη (13) μνημονεῦσαι καὶ Ἰωάννου πρὸς τοὺς λαβόντας τὴν ἄφεσιν τῶν ἁμαρτημάτων διὰ τοῦ βαπτίσματος, λέγοντος· « Γεννήματα ἐχι-

[76] Deut. XXVII, 26. [77] Jerem. XLVIII, 10. [78] Matth. V, 20. [79] Matth. VII, 26, 27. [80] Luc. XIII, 6, 7. [81] Matth. XXV, 41. [82] ibid. 42. [83] Jerem. XLVIII, 10.

(9) Veteres nostri libri Πᾶς ὁ ποιῶν.
(10) Reg. tertius Πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ μὴ ποιεῖ αὐτούς.
(11) Editi καταργῇ. Reg. secundus καταργεῖ.
(12) Codices duo μόνοι.
(13) Illud εἴη ex veteribus libris addidimus.

δνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρποὺς ἀξίους (14) τῆς μετανοίας. Καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ (15) τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Πᾶν οὖν δένδρον, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. » Ὧν ἕκαστον οὐκ ἐργασίαν κακοῦ τινος δηλοῖ, ἀλλ' ἀργίαν τοῦ τῆς θεοσεβείας δικαιώματος. Εἰ γὰρ ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς, ὅτι οὐ (16) μετὰ τῆς πρεπούσης ἐποίησε προθυμίας, πόσῳ μᾶλλον ἐπικατάρατοι οἱ μήτε ποιεῖν ὁπωσοῦν τὸ ἀγαθὸν ἀνασχόμενοι; Καὶ δικαίως ἀκούουσι· « Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. » Ὡς ἐκ πάντων δῆλον, ὅτι ἀναγκαίως τάχους πλείονος καὶ σπουδῆς ἀόκνου χρεία μετ' ἐπιθυμίας ἀγαθῆς καὶ ἀμετεωρίστου ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα ἄξιοι τοῦ μακαρισμοῦ γενώμεθα καὶ αὐτοὶ, καθὼς εἶπεν αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· « Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. »

A rum, quis demonstravit vobis fugere a ventura ira? Facite ergo fructus dignos pœnitentiæ. Et **660** ne liceat vobis dicere intra vosmetipsos : Patrem habemus Abraham ; dico enim vobis quod potest Deus ex lapidibus istis suscitare filios Abrahæ. Jam autem securis ad radicem arborum posita est. Omnis ergo arbor, quæ non facit fructum bonum, exciditur, et in ignem conjicitur [84]. » Quæ singula non ostendunt malum aliquod fuisse patratum, sed prætermissum esse pietatis officium. Si enim maledictus est, quisquis opera Domini facit negligenter, quod ea non cum congruenti animi alacritate fecerit, quanto magis maledicti, qui ne facere quidem bonum ullo modo volunt? Nec immerito audiunt : « Discedite a me, maledicti, in ignem æternum, B qui paratus est diabolo, et angelis ejus [85]. » Quare ex his planum est, necessario in præceptis Domini nostri Jesu Christi, celeritate multa et impigro studio una cum bono ac intento desiderio opus esse; ut et ipsi efficiamur digni beatitudine, sicut ipse Dominus noster Jesus Christus unigenitus Dei vivi Filius dixit : « Beati qui esuriunt et sitiunt justitiam, quoniam ipsi saturabuntur [86]. »

ΕΡΩΤΗΣΙΣ Ζ'.

Εἰ δυνατόν ἐστιν, ἢ εὐάρεστον, ἢ εὐπρόσδεκτον Θεῷ, τὸν ἁμαρτίᾳ δουλεύοντα ποιεῖν δικαίωμα κατὰ τὸν τῆς θεοσεβείας τῶν ἁγίων κανόνα.

ΑΠΟΚΡΙΣΙΣ.

Ἐν μὲν τῇ Παλαιᾷ Διαθήκῃ τοῦ Θεοῦ λέγοντος· « Ὁ ἁμαρτωλὸς ὁ θύων μοι μόσχον ὡς ὁ ἀποκτείνων (17) κύνα, καὶ ὁ προσφέρων σεμίδαλιν ὡς αἷμα ὕειον, » καὶ τοσαύτην περὶ τῶν προσφερομένων εἰς θυσίαν νομοθετήσαντος ἀκρίβειαν, καὶ τὸ φοβερὸν κρίμα κατὰ τοῦ πλημμελήσαντος θέντος· ἐν δὲ τῇ Καινῇ Διαθήκῃ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δι' ἑαυτοῦ ἐν τοῖς Εὐαγγελίοις εἰπόντος, ὅτι « Ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας· » καὶ, « Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· » καὶ, « Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ· » καὶ φανερώτατα δογματίσαντος· « Οὕτω πᾶς ἐξ ὑμῶν, ὃς οὐκ (18) ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής· » εἰ δὲ περὶ τῶν μέσων τοιαύτη ἀπόφασις, τί ἂν τις εἴποι περὶ τῶν ἀπηγορευμένων; Διὰ δὲ τοῦ Ἀποστόλου· « Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις· τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἢ τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; » τὸ παντάπασιν ἀδύνατον καὶ ἀπαρέσκον Θεῷ, καὶ ἐπικίνδυνον τῷ τολμῶντι δεδήλωται.

QUÆSTIO VII.

An liceat, aut complacitum, aut gratum Deo sit, eum qui peccato servit, justitiæ opus facere, secundum regulam pietatis sanctorum.

RESPONSIO.

C Cum Deus in Veteri quidem Testamento dicat, « Peccator sacrificans mihi vitulum, est velut qui occidit canem, et offerens similam, velut qui offert sanguinem suillum [87], » præscripseritque sedulitatem tantam circa ea quæ in sacrificium offerebantur, et statuerit judicium horrendum adversus delinquentem ; in Novo vero Testamento Dominus noster Jesus Christus per seipsum in Evangeliis dixerit : « Qui facit peccatum, servus est peccati [88] ; » et : « Nemo potest duobus dominis servire [89] ; » et : « Non potestis Deo servire et mammonæ [90]; » et tradiderit dogma apertissimum, dicens : « Sic omnis ex vobis, qui non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus [91]; » si igitur de mediis sententia talis lata est, quid quis dixerit de prohibitis? D Cumque per Apostolum dicat, « Nolite jugum ducere cum infidelibus : quæ enim participatio justitiæ cum iniquitate? aut quæ societas luci ad tenebras? quæ autem conventio Christi ad Beliar? aut quæ pars fideli cum infideli? qui autem consensus templo Dei cum idolis [92]? » declaratum est rem propositam nullo modo licere, ingratamque Deo esse

[84] Matth. III, 7-10. [85] Matth. XXV, 41. [86] Matth. V, 6. [87] Isa. LXVI, 3. [88] Joan. VIII, 34. [89] Matth. VI, 24. [90] ibid. [91] Luc. XIV, 33. [92] II Cor. VI, 14-16.

(14) Editi ἀξίους καρπούς. Veteres duo libri inverso ordine καρποὺς ἀξίους. Quod proxime sequitur, ita legitur conversum in Vulgata, *et ne velitis dicere intra vos*.

(15) Unus ms. καὶ ἐκ. Statim mss. duo Ἤδη δὲ καί.

(16) Editi ὅτι μή. Reg. primus ὅτι οὐ. Ibidem mss. duo pro πρεπούσης habent προσηκούσης. Subinde editi οἱ μὴ ποιεῖν. At mss tres οἱ μήτε ποιεῖν.

(17) Veteres duo libri ἀποκτένων. Mox editi αἷμα ὑῶν. At mss. duo αἷμα ὕειον.

(18) Unus ms. ὅστις οὐκ.

et audenti periculosam. Quapropter, adhortor, faciamus, quemadmodum Dominus docet, arborem bonam, et fructum ipsius bonum [93], atque purgemus primum internam poculi ac patinæ partem, et tunc externa ipsius pars erit munda tota [94]. Atque per Apostolum eruditi [95], mundemus nosmetipsos ab omni carnis et spiritus inquinamento, et tunc perficiamus sanctificationem in dilectione Christi, ut reddamur Deo grati ac Domino accepti, ad regnum cœlorum.

A Διόπερ παρακαλῶ, ὡς διδάσκει ὁ Κύριος, ποιήσωμεν τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλὸν, καὶ καθαρίσωμεν πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, καὶ τότε τὸ ἐκτὸς αὐτοῦ ἔσται καθαρὸν ὅλον. Καὶ διὰ τοῦ Ἀποστόλου παιδευθέντες, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ τότε ἐπιτελῶμεν ἁγιωσύνην ἐν ἀγάπῃ Χριστοῦ, ἵνα εὐάρεστοι τῷ Θεῷ καὶ εὐπρόσδεκτοι τῷ Κυρίῳ γινώμεθα (19) εἰς τὴν βασιλείαν τῶν οὐρανῶν

QUÆSTIO VIII.

An acceptum sit Deo opus præcepti, si non convenienter Dei præcepto fiat.

ΕΡΩΤΗΣΙΣ Η'.

Εἰ εὐπρόσδεκτόν ἐστι τῷ Θεῷ τὸ ἔργον τῆς ἐντολῆς, μὴ ἀκολούθως κατ' ἐντολὴν τοῦ Θεοῦ γινόμενον.

661 RESPONSIO.

1. Hujus quæstionis explanationem et quasi quamdam regulam quam in omni ejusmodi negotio sequamur, ex Veteri Testamento discimus, ubi velut ex persona Dei dicit: « Si recte quidem obtuleris, recte vero non diviseris, peccasti. Quiesce, ad te conversio ejus [96]; » sicut non solum acceptum non sit, quod non est oblatum legitime; sed imputetur etiam sic offerenti ad peccatum: quin et juxta allatam ab Apostolo similitudinem, discere est, velut per humanum exemplum, regulam pietatis generatim in omnibus inviolabilem esse, ubi dicit: « Etiamsi certet quis, non coronatur, nisi legitime certaverit [97]. » Imo cum timore majore licet ipsius Domini nostri Jesu Christi meminisse, qui modum ac regulam exponit his verbis: « Beatus ille servus, quem cum venerit Dominus, invenerit sic facientem [98]. » Etenim cum hac voce, « sic, » usus est, ostendit a beatitudine excidisse eum, qui non sic facit, quemadmodum ex multis tum Veteris tum Novi Testamenti historiis ac dictis accurate edoceri ac certissime convinci possumus. Illud autem, « non sic, » fit, cum aliquid fit aut præter locum, aut præter tempus, aut præter personam, aut præter rem, aut præter modum, aut præter ordinem, aut denique cum non fit eo, quo decet, animo.

ΑΠΟΚΡΙΣΙΣ.

B 1. Τούτου τοῦ ἐρωτήματος σαφήνειαν καὶ ὥσπερ κανόνα τινὰ κατὰ παντὸς τοῦ τοιούτου πράγματος παιδευόμεθα παρὰ μὲν τῆς Παλαιᾶς Διαθήκης, ὡς ἐκ προσώπου τοῦ Θεοῦ λεγούσης· « Ἐὰν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες. Ἡσύχασον· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ· » ὡς μὴ μόνον ἀπρόσδεκτον εἶναι τὸ προσενεχθὲν μὴ νομίμως, ἀλλὰ καὶ εἰς ἁμαρτίαν λογισθῆναι τῷ οὕτω προσενέγκαντι. Καθ' ὁμοιότητα δὲ τοῦ Ἀποστόλου ἔστιν, ὥσπερ δι' ὑποδείγματος ἀνθρωπίνου, τὸν τῆς θεοσεβείας ἀπαράβατον κανόνα καθολικῶς κατὰ πάντων μαθεῖν, εἰπόντος· « Κἂν ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. » Μετὰ πλείονος δὲ φόβου, αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μνημονεῦσαι ἔστιν, ὅρον ἐκθεμένου ἐν τῷ εἰπεῖν· « Μακάριος ὁ δοῦλος C ἐκεῖνος, ὃν ἐλθὼν ὁ Κύριος εὑρήσει ποιοῦντα οὕτως. » Τὸ γὰρ, « οὕτως, » εἰπὼν, ἔδειξεν, ὅτι ὁ μὴ οὕτως ποιῶν τοῦ μακαρισμοῦ ἐκπέπτωκεν· ὡς ἐκ πολλῶν τῶν τε ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ Διαθήκῃ ἱστορουμένων καὶ λεγομένων ἔστιν ἀκριβῶς μαθεῖν καὶ πληροφορηθῆναι. Τὸ δὲ, « μὴ οὕτως, » γίνεται ἢ παρὰ τόπον, ἢ παρὰ καιρὸν, ἢ παρὰ πρόσωπον, ἢ παρὰ πρᾶγμα, ἢ παρὰ μέτρον, ἢ παρὰ τάξιν, ἢ παρὰ διάθεσιν.

2. Primum autem, quomodo præter locum aliquid fiat, videamus. Apostolus sane, quo res clarius exhiberet, eosque, qui audiunt quæ pietatem decent, juvaret, iis, quæ consuetudinem obtinuerant, utitur, cum dicit: « Annon natura ipsa docet vos, quod viro quidem si comam nutriat, ignominia sit, mulieri vero si comam nutriat, gloria sit illi [99]? » etc. Par igitur fuerit nos etiam iis, quæ in natura obtinuere, ad præsentis vitæ necessitatem uti. Etsi enim vita in cibo ac potu continetur, quis tamen sapientium velit in foro edere ac bibere? Aut quis velit semina in saxa conjicere, ut et illa ipsa semina, et fructus exspectatos perdat? Atque multa invenias præter locum periculose, aut

2. Ἴδωμεν δὲ τὸν λόγον πρῶτον τοῦ παρὰ τόπον. Τοῦ Ἀποστόλου τοίνυν τοῖς ἐν τῇ συνηθείᾳ κεκρατημένοις χρησαμένου εἰς σαφεστέραν παράστασιν καὶ D βοήθειαν τοῖς ἀκούουσι τῶν τῇ εὐσεβείᾳ πρεπόντων, ἐν τῷ εἰπεῖν· « Ἢ (20) οὔτε αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς, ὅτι ἀνὴρ μὲν, ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι, γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστι; » καὶ τὰ ἑξῆς· ἀκόλουθον ἂν εἴη καὶ ἡμᾶς τοῖς ἐν τῇ φύσει κεκρατημένοις πρὸς τὰ ἀναγκαῖα τῆς παρούσης ζωῆς χρήσασθαι. Τοῦ γὰρ ἐσθίειν καὶ πίνειν συνέχοντος τὴν ζωὴν, τίς τῶν σωφρονούντων ἀνέχεται ἐπὶ τῆς ἀγορᾶς ἐσθίειν καὶ πίνειν; Ἢ τίς ἀνέχεται κατὰ πετρῶν (21) καταβαλεῖν τὰ σπέρματα ἐπὶ ζημίαν αὐτῶν τούτων, καὶ τῶν προσδοκηθέντων καρπῶν;

[93] Matth. XII, 33. [94] Matth. XXIII, 26. [95] II Cor. VII, 1. [96] Genes. IV, 7. [97] II Tim. II, 5. [98] Matth. XXIV, 46. [99] I Cor. XI, 14, 15.

(19) Antiqui duo libri γενώμεθα.
(20) Vocula ἢ in nostris mss. deest.

(21) Veteres duo libri πετρῶν ἢ θαλάσσης, *in saxa, aut in mare.* Mox unus ms. τούτων τε καί.

Καὶ πολλὰ ἄν τις εὕροι παρὰ τόπον ἐπικινδύνως γινόμενα, ἤτοι κατεγνωσμένως. Πάλιν δὲ τοῦ Ἀποστόλου μνημονεύοντες εἰπόντος· « Ταῦτα τυπικῶς συνέβαινεν ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκεν (22)· » ἴδωμεν εἰ μὴ τὰ νενομοθετημένα ὑπὸ τοῦ Θεοῦ πρὸς θεοσέβειαν, κοινωνίαν ἔχοντα πρὸς ἄλληλα, τὴν διαφορὰν ἐφύλασσεν ἀπαραβάτως. Τὰ μὲν γὰρ ἀφώριστο τῇ Ἱερουσαλὴμ, καὶ ἔξω ποιήσαντες ἐκινδύνευον· τὰ δὲ καὶ πλέον, ὅτι καὶ ἐν αὐτῷ τῷ ναῷ καὶ τῷ θυσιαστηρίῳ, καὶ ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ, ἢ ἄλλοις τόποις, ἀλλὰ τοῖς πρὸς Θεοῦ λατρείαν ἦν ἐγκεχριμένα (23), καὶ οὔτε τὰ ἐν τῷ ναῷ καὶ ἐν τῷ θυσιαστηρίῳ γινόμενα ἐν ἄλλοις τόποις τῆς Ἱερουσαλὴμ γίνεσθαι ἐτολμᾶτο, οὔτε τὰ ἐν ἄλλοις τόποις, καὶ ἐν τῷ ναῷ συγκεχώρητο. Ἡμῖν δὲ παρὰ τόπον μὲν κινδυνεύει ἡ ἐντολή· μάλιστα, ἐὰν τὰ τῆς ἱερωσύνης μυστήρια ἐπιτελῶμεν ἐν βεβήλοις τόποις· τοῦ τοιούτου πράγματος ἀπόδειξιν μὲν ἔχοντος τῆς καταφρονήσεως τοῦ ἐπιτελοῦντος, σκανδαλίζοντος δὲ ἄλλον ἐπ' ἄλλο τι πάθος πολυτρόπως διὰ τὴν τῶν πολλῶν ἐν τῇ γνώσει διάφορον ἀσθένειαν.

3. Ἐὰν δέ τις λέγῃ, Τί οὖν ὁ Ἀπόστολος εἶπε· « Βούλομαι οὖν τοὺς ἄνδρας προσεύχεσθαι ἐν παντὶ τόπῳ, » διὰ τὸ τὸν Κύριον ἐν παντὶ τόπῳ τὴν ἐξουσίαν τῆς προσκυνήσεως διδόναι, ἐν τῷ εἰρηκέναι· « Οὔτε ἐν Ἱερουσαλὴμ, οὔτε ἐν (24) τῷ ὄρει τούτῳ προσκυνήσετε τῷ Πατρί; » Ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι τὸ, « ἐν παντὶ, » οὐ περιλαμβάνει τοὺς ἀφωρισμένους τόπους ταῖς ἀνθρωπίναις χρείαις, καὶ ἀκαθάρτοις καὶ βδελυκτοῖς πράγμασιν, ἀλλὰ πλατύνει ἀπὸ τῆς περιγραφῆς τῆς Ἱερουσαλὴμ εἰς πάντα τόπον τῆς οἰκουμένης, καὶ κατὰ τὴν προφητείαν τῆς θυσίας, τὸν ἐσπουδασμένως δηλονότι ἀνατιθέμενον τῷ Θεῷ, εἰς τὴν ἱερουργίαν (25) τοῦ ἐνδόξου μυστηρίου. Καὶ γὰρ ἀκούσαντες τοῦ προφήτου λέγοντος· « Ὑμεῖς ἱερεῖς Θεοῦ κληθήσεσθε (26)· » οὔτε πάντες τῆς τοιᾶσδε ἱεροσύνης ἢ λειτουργίας τὴν ἐξουσίαν ἁρπάζομεν, οὔτε ἄλλος τὴν ἄλλῳ δοθεῖσαν χάριν ἐν ἐξουσίᾳ ἐστὶν ἑαυτῷ λαμβάνειν· ἀλλ' ἕκαστος τῶν πιστῶν ἐν τοῖς ἰδίοις ὅροις μένει τῆς δωρεᾶς τοῦ Θεοῦ, τοῦ Ἀποστόλου παιδεύοντος ἡμᾶς ἐν τῷ λέγειν πρὸς πάντας μὲν, « Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν· καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε ἐν τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ εὐάρεστον, καὶ τέλειον· » πρὸς ἕκαστον δὲ σαφῶς διακρίνοντος μὲν

A etiam vitiose fieri. Rursus autem memores Apostoli, qui dixit : « Hæc in figura contingebant illis : scripta sunt autem propter admonitionem nostri, in quos fines sæculorum devenerunt [1]; » videamus num ea quæ sancita sunt a Deo ad pietatem, et quæ societatem inter se habent, differentiam inviolabiliter servarint. Alia enim assignata erant Jerosolymis, et qui extra fecissent, periclitabantur : alia vero, eaque plura, et in ipso templo, et in altari, et in ipsa Jerusalem, aliisque locis, erant ad cultum Deo exhibendum selecta ; nec quisquam quæ in templo et altari fiebant, in aliis Jerosolymæ **662** locis facere audebat, neque quæ in aliis locis fiebant, etiam in templo fieri permittebantur. Periculum est quoque, ne nos præter B locum mandatum conficiamus ; maxime, si sacerdotii mysteria celebremus in profanis locis, cum ejusmodi res contemptum ostenderet in celebrante, et alii esset offendiculo pro alia variaque affectione, ob diversam multorum in harum rerum cognitione infirmitatem.

3. Quod si dicat quispiam : Cur igitur Apostolus dixit : « Volo ergo viros orare in omni loco [2], » propterea, videlicet, quod Dominus adorandi in omni loco potestatem dedit, his verbis : « Neque in Jerosolymis, neque in monte hoc adorabitis Patrem [3]? » Hoc dicere licet, quod illud, « in omni, » non comprehendit loca humanis usibus ac immundis ac profanis negotiis destinata, sed ab C Jerosolymorum usque ambitu ad omnem totius orbis locum adorationem extendit, et juxta sacrificii prophetiam [4], ad eum locum qui studiose videlicet Deo dicatus sit, ad gloriosi mysterii sacrificium celebrandum. Etsi enim audivimus prophetam dicentem : « Vos sacerdotes Dei vocabimini [5]; » tamen neque omnes ejusmodi sacerdotii aut ministerii potestatem usurpamus, neque alius alii datam gratiam sibi sumere potest, sed fideles singuli intra proprios doni Dei fines manent, ita docente nos Apostolo, cum dicit ad omnes quidem : « Obsecro autem vos, fratres, per miserationes Dei, ut exhibeatis corpora vestra hostiam viventem, sanctam, Deo placentem, rationalem cultum vestrum : et D nolite conformari huic sæculo, sed transformamini in novitate spiritus vestri, ut probetis, quæ sit voluntas Dei bona, et beneplacens, et perfecta [6]; » unicuique vero perspicue distinguit ministerium cuique conveniens, prohibetque alienum ordinem invadere, ubi ait : « Dico enim per Dei gratiam

[1] I Cor. x, 11. [2] I Tim. ii, 8. [3] Joan. iv, 21. [4] Malach. i, 11. [5] Isa. lxi, 6. [6] Rom. xii, 1, 2.

(22) Codex unus κατήντησεν.

(23) Editi ἀλλὰ τῆς πρὸς Θεὸν λατρείας ἦν κεχριμένα. Codex Combefis. ἀλλὰ τοῖς πρὸς Θεοῦ λατρείαν ἦν ἐγκεχριμένα· ubi illud τοῖς aut redundat, aut sumi debet pro ἐπὶ τοῖς, hoc est, ἐπὶ τούτοις *præterea*. Et alius codex habet quoque ἐγκεχριμένα.

(24) Reg. primus ἐν παντὶ τρόπῳ διδόναι τὴν ἐξουσίαν τῆς προσκυνήσεως ἐπαγγείλασθαι ἐν τῷ εἰρηκέναι· Ἔρχεται ὥρα ὅτε οὔτε ἐν Ἱεροσολύμοις οὔτε ἐν, etc. Mox duo mss. ἐκεῖνα ἐστιν εἰπεῖν.

(25) Lege Ducæum in illud, εἰς τὴν ἱερουργίαν, etc.

(26) Editi et Reg. secundus Ὑμεῖς δὲ πάντες ἱερεῖς, *vos autem omnes sacerdotes Dei vocabimini*. Alii duo mss. simpliciter Ὑμεῖς ἱερεῖς, nec aliter legitur apud Isaiam.

quæ data est mihi, cuilibet versanti inter vos, ut ne plus sapiat quam oportet sapere, sed sapiat ad sobrietatem, sicut unicuique Deus divisit mensuram fidei [7]. » Quin etiam per mutuam necessariamque membrorum corporeorum ordinationem, quæ ad elegantiam securitatemque tendit, moderatur in nobis nostrum illum statum mutuum, ut Deo in dilectione Christi Jesu in differentia donorum placeamus. Quippe dicit : « Sicut in uno corpore multa membra habemus, omnia autem membra non eumdem actum habent : ita multi unum corpus sumus in Christo, singuli autem alter alterius membra ; habentes autem donationes secundum gratiam quæ data est nobis differentes, sive prophetiam secundum rationem fidei, sive ministerium in ministrando [8], » etc.

4. Si vero ii qui operam mutuam conferunt ad unum illum attingendum scopum, quo videlicet placeant Deo, ac tantam inter se habent conjunctionem societatis in dilectione Christi, ipsi tamen proprium locum accepti doni transgredi non permittuntur, quomodo non multo **663** magis loca alienis et contrariis rebus addicta debemus a sanctis secernere? Etenim tum ex omnibus quæ ex divina Scriptura relata sunt, tum ex ejusmodi aliis, et ex memoratis prius exemplis discamus oportet, opus, quod præter locum fit, in finem proposito scopo contrarium cedere. De eo autem, quod præter tempus geritur, ipsum Dominum nostrum Jesum Christum jam audire licet, qui dicit : « Quapropter simile factum est regnum cœlorum decem virginibus, quæ accipientes lampades suas, exierunt obviam sponso. Quinque autem ex eis erant prudentes, et quinque fatuæ : quæ fatuæ, acceptis lampadibus suis, non sumpserunt oleum secum : prudentes vero acceperunt oleum in vasis suis. Moram autem faciente sponso, dormitaverunt omnes, et dormierunt. Media autem nocte clamor factus est, Ecce sponsus venit, exite obviam ei. Tunc surrexerunt omnes virgines illæ, et ornaverunt lampades suas. Fatuæ autem sapientibus dixerunt : Date nobis de oleo vestro, quia lampades nostræ exstinguuntur. Responderunt prudentes, dicentes : Ne forte non sufficiat nobis et vobis ; ite potius ad vendentes, et emite vobis. Dum autem irent emere, venit sponsus, et quæ paratæ erant, intraverunt cum eo ad nuptias : et clausa est janua. Novissime vero veniunt et reliquæ virgines, dicentes : Domine, Domine, aperi nobis : at ille

A τὴν ἑκάστῳ πρέπουσαν λειτουργίαν, κωλύοντος δὲ ἐπεμβαίνειν ἀλλοτρίῳ τάγματι, ἐν τῷ λέγειν· « Λέγω γὰρ διὰ τῆς χάριτος τοῦ Θεοῦ (27) τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως· » καὶ διὰ τῆς ἐν ἀλλήλοις τῶν μελῶν τοῦ σώματος πρὸς τὸ εὔσχημον καὶ ἀκίνδυνον κατηναγκασμένης εὐταξίας κανονίζοντος ἐν ἡμῖν τὴν ἡμῶν πρὸς ἀλλήλους εὐάρεστον τῷ Θεῷ ἐν ἀγάπῃ Χριστοῦ Ἰησοῦ εὐταξίαν ἐν τῇ διαφορᾷ τῶν χαρισμάτων. Λέγει γάρ· « Καθάπερ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, πάντα δὲ τὰ μέλη οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν· οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθεὶς ἀλλήλων μέλη· ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν B διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, » καὶ τὰ ἑξῆς (28).

4. Εἰ δὲ οἱ συνεργοῦντες ἀλλήλοις πρὸς τὸν ἕνα σκοπὸν τῆς πρὸς Θεὸν εὐαρεστήσεως, καὶ τοσαύτην ἔχοντες πρὸς ἀλλήλους συνάφειαν κοινωνίας ἐν ἀγάπῃ Χριστοῦ, τὸν ἴδιον τόπον τοῦ χαρίσματος ὑπερβαίνειν οὐκ ἐπιτρέπονται, πῶς οὐχὶ πολλῷ πλέον τοῖς ἀλλοτρίοις καὶ ἐναντίοις πράγμασιν ἀφωρισμένους τόπους διακρίνειν ἀπὸ τῶν ἁγίων ὀφείλομεν; Ἐκ πάντων γὰρ τῶν (29) μνημονευθέντων ἐκ τῆς θεοπνεύστου Γραφῆς, καὶ τῶν τοιούτων, καὶ τῶν προῤῥηθέντων ὑποδειγμάτων παιδεύεσθαι ἡμᾶς χρὴ, ὅτι ἡ παρὰ τόπον ἐνέργεια εἰς τὸ ἐναντίον τοῦ προκειμένου σκοποῦ περιτρέπει τὸ τέλος. Παρὰ καιρὸν C δὲ, αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔστιν ἀκοῦσαι, λέγοντος· « Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου (30). Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί· αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν (31)· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι D αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν αἱ φρόνιμοι λέγουσαι· Μήποτε, οὐ μὴ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν (32)· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ (33) εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγου-

[7] Rom. XII, 3. [8] ibid. 4-7.

(27) Illud, τοῦ Θεοῦ, deest in Reg. secundo, nec legitur expressum in Vulgata.

(28) Regii primus et tertius τῆς πίστεως, εἴτε διδασκαλίαν ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ διακονῶν ἐν τῇ διακονίᾳ, καὶ τὰ ἑξῆς.

(29) Veteres duo libri τῶν τε.

(30) Reg. tertius εἰς ἀπάντησιν τοῦ Κυρίου, καὶ τὰ ἑξῆς.

(31) Unus ms. κραυγὴ ἐγένετο.

(32) Unus codex ἀρκέσῃ ὑμῖν τε καὶ ἡμῖν.

(33) Reg. primus εἰσῆλθον μετὰ τοῦ νυμφίου. Totum illud, quod mox sequitur, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται, in nostris veteribus libris non legitur.

σαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν· ὁ δὲ ἀποκριθεὶς A εἶπεν αὐταῖς· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν.»

5. Διόπερ τὴν περὶ τοῦ αὐτοῦ κρίματος πολλάκις γινομένην (34) παραγγελίαν σφοδρότερον καθάπτεσθαι καὶ πιστεύεσθαι μᾶλλον εἰδὼς, καὶ ἐν ἑτέρῳ τόπῳ κατὰ τὸν αὐτὸν νοῦν εἰρημένην παραθήσομαι. Φησὶ δὲ αὐτὸς ὁ Κύριος· «Πολλοὶ ζητήσουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσιν. Ἀφ' οὗ ἐὰν εἰσέλθῃ ὁ οἰκοδεσπότης, καὶ κλείσῃ τὴν θύραν, καὶ ἄρξησθε λέγειν, Κύριε, Κύριε, ἄνοιξον ἡμῖν, καὶ τότε ἀποκριθεὶς ἐρεῖ· Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. Διὰ τοῦτο λέγω ὑμῖν, γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται·» καὶ πολλαχοῦ ὁμοίως. Εἰ δὲ δεῖ καὶ τὸν Ἀπόστολον προσκαλέσασθαι εἰς μαρ- B τυρίαν, ἀκούσωμεν αὐτοῦ μνημονεύσαντος μετὰ τοῦ προφήτου λέγοντος· «Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι·» ἐπενεγκόντος δὲ τὸ παρ' ἑαυτοῦ· «Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας·» καὶ πάλιν· «Ἄρ' οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας μὲν, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.» Εἰ δὲ καὶ ἄλλης μαρτυρίας χρεία, μνημονεύσωμεν (35) τοῦ Δαβὶδ εἰπόντος· «Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ·» καὶ τοῦ Σολομῶντος κατὰ κοινοῦ (36) ὁρισαμένου, ὅτι Πάντα καλὰ ἐν καιρῷ αὐτῶν.

6. Παρὰ πρόσωπον δὲ, ἐν μὲν τῇ Παλαιᾷ Διαθήκῃ, ὡς ἐπὶ τοῦ Κορὲ, καὶ τολμησάντων ἐπεισελθεῖν τῇ μὴ δοθείσῃ αὐτοῖς ἱερωσύνῃ, καὶ ὑποπεσόντων ἀπο- C τομίᾳ ὀργῆς εἰς ὄλεθρον καὶ ἀπώλειαν φρικωδεστέραν· παρ' αὐτοῦ δὲ τοῦ Κυρίου παιδευόμεθα ἀσφαλίζεσθαι (37), εἰπόντος πρὸς τοὺς μαθητάς· «Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ·» πρὸς δὲ τὴν γυναῖκα· «Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις.» Παρὰ πρᾶγμα δὲ, ἐκ μὲν τῆς Παλαιᾶς Διαθήκης, ὅταν, ἐντολῆς δοθείσης προσφέρειν θυσίαν ἀπὸ καθαρῶν καὶ ὁλοκλήρων καὶ ἀμώμων, μὴ ἐκ τοιούτων προσενεχθῇ· περὶ οὗ ὁ Θεὸς εἶπε· «Προσάγαγε αὐτὸ τῷ ἄρχοντί σου, εἰ προσδέξεται αὐτὸ, εἰ λήψεται πρόσωπόν σου·» ἐκ δὲ τῆς Καινῆς Διαθήκης παρ' αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς προφητείας Ἡσαΐου μνημονεύσαντος κατὰ τῶν D Ἰουδαίων, ὅτι «Καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν λέγων· Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων·» παρὰ δὲ τοῦ Ἀποστόλου μαρτυροῦντος μὲν τῇ συνειδήσει τῶν Ἰουδαίων, καταγινώσκοντος δὲ αὐτῶν ἐν τῇ διαφορᾷ τῆς δικαιοσύνης. Γράφει δὲ

respondens dixit eis : Amen dico vobis, nescio vos. Vigilate itaque, quia nescitis diem, neque horam [9]. »

5. Quare cum sciam admonitionem sæpius de eodem judicio adhibitam validius commovere, magisque credi, eam quoque, quæ alio loco in eamdem sententiam prolata est, adjiciam. Dicit autem Dominus ipse : « Multi quærent intrare, et non poterunt. Cum autem ingressus fuerit paterfamilias, et clauserit ostium, et cœperitis dicere : Domine, Domine, aperi nobis, tunc respondens dicet : Non novi vos, unde sitis [10]. Propterea dico vobis, estote parati, quia qua hora non putatis, Filius hominis venturus est [11] ; » atque multis locis similiter. Quod si et Apostolus in testimonium advocandus est, audiamus ipsum, prophetæ verba ita referentem, « Tempore accepto exaudivi te, et in die salutis adjuvi te [12] ; » et posthac ex seipso inferentem : « Ecce nunc tempus acceptabile, ecce nunc dies salutis [13] ; » et iterum : « Ergo dum tempus habemus, operemur bonum, ad omnes quidem, maxime autem ad domesticos fidei [14]. » Si vero et testimonio alio opus est, meminerimus Davidis, qui dicit : « Pro hac orabit ad te omnis sanctus, in tempore opportuno [15] ; » Salomonis itidem, qui in universum pronuntiavit, Omnia bona fieri in tempore suo [16].

6. In Veteri quidem Testamento, puta in Core [17], et in illis, qui sacerdotium sibi non concreditum invadere ausi sunt, et propter iræ severitatem in perniciem et exitium horrendum inciderunt, videmus quam grave sit præter **664** personam aliquid facere : ab ipso vero Domino, ut cauti simus, erudimur : qui videlicet ad discipulos dixit : « Non missus sum nisi ad oves quæ perierunt domus Israel [18] ; » et ad mulierem : « Non est bonum sumere panem filiorum, et projicere catellis [19]. » Præter rem vero quidpiam fieri, ex Veteri quidem Testamento discimus, ubi cum præceptum esset, ut sacrificium fieret ex mundis et integris et maculæ expertibus, tamen non ex talibus oblatio facta est : qua de re Deus dixit, « Offer illud principi tuo, si admittet illud, si suscipiet faciem tuam [20] ; » ex Novo vero Testamento ab ipso Domino nostro Jesu Christo hoc idem edocemur : qui prophetiam Isaiæ contra Judæos profert, hoc modo : « Bene prophetavit Isaias de vobis, dicens : Populus hic labiis me honorat, cor autem eorum longe est a me : in vanum autem colunt me, docentes doctrinas, mandata hominum [21] ; » ab Apostolo quoque, qui fert testimonium de conscientia Judæo-

[9] Matth. xxv, 1-13. [10] Luc. xiii, 24, 25. [11] Matth. xxiv, 44. [12] Isa. xlix, 8. [13] II Cor. vi, 2. [14] Galat vi, 10. [15] Psal. xxxi, 6. [16] Eccle. iii, 11. [17] Num. xvi, 31 seqq. [18] Matth. xv, 24. [19] Marc. vii, 27. [20] Malach. i, 8. [21] Marc. vii, 6, 7.

(34) Unus ms. πολλάκις γεγενημένην.

(35) Editi μνημονεύσομεν. At mss. μνημονεύσωμεν.

(36) Reg. secundus κατὰ κοινοῦ. Editi κατὰ καιρούς, male.

(37) Editi παιδευόμεθα ἀσφαλίζεσθαι. Unus ms. τὸ ἀσφαλ. Alius τοῦ ἀσφαλ. Statim unus ms. πρὸς τά.

quæ data est mihi, cuilibet versanti inter vos, ut ne plus sapiat quam oportet sapere, sed sapiat ad sobrietatem, sicut unicuique Deus divisit mensuram fidei [7]. » Quin etiam per mutuam necessariamque membrorum corporeorum ordinationem, quæ ad elegantiam securitatemque tendit, moderatur in nobis nostrum illum statum mutuum, ut Deo in dilectione Christi Jesu in differentia donorum placeamus. Quippe dicit : « Sicut in uno corpore multa membra habemus, omnia autem membra non eumdem actum habent : ita multi unum corpus sumus in Christo, singuli autem alter alterius membra ; habentes autem donationes secundum gratiam quæ data est nobis differentes, sive prophetiam secundum rationem fidei, sive ministerium in ministrando [8], » etc.

4. Si vero ii qui operam mutuam conferunt ad unum illum attingendum scopum, quo videlicet placeant Deo, ac tantam inter se habent conjunctionem societatis in dilectione Christi, ipsi tamen proprium locum accepti doni transgredi non permittuntur, quomodo non multo **663** magis loca alienis et contrariis rebus addicta debemus a sanctis secernere? Etenim tum ex omnibus quæ ex divina Scriptura relata sunt, tum ex ejusmodi aliis, et ex memoratis prius exemplis discamus oportet, opus, quod præter locum fit, in finem proposito scopo contrarium cedere. De eo autem, quod præter tempus geritur, ipsum Dominum nostrum Jesum Christum jam audire licet, qui dicit : « Quapropter simile factum est regnum cœlorum decem virginibus, quæ accipientes lampades suas, exierunt obviam sponso. Quinque autem ex eis erant prudentes, et quinque fatuæ : quæ fatuæ, acceptis lampadibus suis, non sumpserunt oleum secum : prudentes vero acceperunt oleum in vasis suis. Moram autem faciente sponso, dormitaverunt omnes, et dormierunt. Media autem nocte clamor factus est, Ecce sponsus venit, exite obviam ei. Tunc surrexerunt omnes virgines illæ, et ornaverunt lampades suas. Fatuæ autem sapientibus dixerunt : Date nobis de oleo vestro, quia lampades nostræ exstinguuntur. Responderunt prudentes, dicentes : Ne forte non sufficiat nobis et vobis ; ite potius ad vendentes, et emite vobis. Dum autem irent emere, venit sponsus, et quæ paratæ erant, intraverunt cum eo ad nuptias : et clausa est janua. Novissime vero veniunt et reliquæ virgines, dicentes : Domine, Domine, aperi nobis : at ille

A τὴν ἑκάστῳ πρέπουσαν λειτουργίαν, κωλύοντος δὲ ἐπεμβαίνειν ἀλλοτρίῳ τάγματι, ἐν τῷ λέγειν· « Λέγω γὰρ διὰ τῆς χάριτος τοῦ Θεοῦ (27) τῆς δοθείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως· » καὶ διὰ τῆς ἐν ἀλλήλοις τῶν μελῶν τοῦ σώματος πρὸς τὸ εὔσχημον καὶ ἀκίνδυνον κατηναγκασμένης εὐταξίας κανονίζοντος ἐν ἡμῖν τὴν ἡμῶν πρὸς ἀλλήλους εὐάρεστον τῷ Θεῷ ἐν ἀγάπῃ Χριστοῦ Ἰησοῦ εὐταξίαν ἐν τῇ διαφορᾷ τῶν χαρισμάτων. Λέγει γάρ· « Καθάπερ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, πάντα δὲ τὰ μέλη οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν· οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθεὶς ἀλλήλων μέλη· ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν
B διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, » καὶ τὰ ἑξῆς (28).

4. Εἰ δὲ οἱ συνεργοῦντες ἀλλήλοις πρὸς τὸν ἕνα σκοπὸν τῆς πρὸς Θεὸν εὐαρεστήσεως, καὶ τοσαύτην ἔχοντες πρὸς ἀλλήλους συνάφειαν κοινωνίας ἐν ἀγάπῃ Χριστοῦ, τὸν ἴδιον τόπον τοῦ χαρίσματος ὑπερβαίνειν οὐκ ἐπιτρέπονται, πῶς οὐχὶ πολλῷ πλέον τοῖς ἀλλοτρίοις καὶ ἐναντίοις πράγμασιν ἀφωρισμένους τόπους διακρίνειν ἀπὸ τῶν ἁγίων ὀφείλομεν; Ἐκ πάντων γὰρ τῶν (29) μνημονευθέντων ἐκ τῆς θεοπνεύστου Γραφῆς, καὶ τῶν τοιούτων, καὶ τῶν προῤῥηθέντων ὑποδειγμάτων παιδεύεσθαι ἡμᾶς χρὴ, ὅτι ἡ παρὰ τόπον ἐνέργεια εἰς τὸ ἐναντίον τοῦ προκειμένου σκοποῦ περιτρέπει τὸ τέλος. Παρὰ καιρὸν
C δὲ, αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔστιν ἀκοῦσαι, λέγοντος· « Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου (30). Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί· αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν (31)· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι
D αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν αἱ φρόνιμοι λέγουσαι· Μήποτε, οὐ μὴ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν (32)· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ (33) εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγου-

[7] Rom. XII, 3. [8] ibid. 4-7.

(27) Illud, τοῦ Θεοῦ, deest in Reg. secundo, nec legitur expressum in Vulgata.
(28) Regii primus et tertius τῆς πίστεως, εἴτε διδασκαλίαν ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ διακονῶν ἐν τῇ διακονίᾳ, καὶ τὰ ἑξῆς.
(29) Veteres duo libri τῶν τε.
(30) Reg. tertius εἰς ἀπάντησιγ τοῦ Κυρίου, καὶ τὰ ἑξῆς.
(31) Unus ms. κραυγὴ ἐγένετο.
(32) Unus codex ἀρκέσῃ ὑμῖν τε καὶ ἡμῖν.
(33) Reg. primus εἰσῆλθον μετὰ τοῦ νυμφίου. Totum illud, quod mox sequitur, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται, in nostris veteribus libris non legitur.

σαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐταῖς· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν. »

5. Διόπερ τὴν περὶ τοῦ αὐτοῦ κρίματος πολλάκις γινομένην (34) παραγγελίαν σφοδρότερον καθάπτεσθαι καὶ πιστεύεσθαι μᾶλλον εἰδὼς, καὶ ἐν ἑτέρῳ τόπῳ κατὰ τὸν αὐτὸν νοῦν εἰρημένην παραθήσομαι. Φησὶ δὲ αὐτὸς ὁ Κύριος· « Πολλοὶ ζητήσουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσιν. Ἀφ' οὗ ἐὰν εἰσέλθῃ ὁ οἰκοδεσπότης, καὶ κλείσῃ τὴν θύραν, καὶ ἄρξησθε λέγειν, Κύριε, Κύριε, ἄνοιξον ἡμῖν, καὶ τότε ἀποκριθεὶς ἐρεῖ· Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. Διὰ τοῦτο λέγω ὑμῖν, γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται· » καὶ πολλαχοῦ ὁμοίως. Εἰ δὲ δεῖ καὶ τὸν Ἀπόστολον προσκαλέσασθαι εἰς μαρτυρίαν, ἀκούσωμεν αὐτοῦ μνημονεύσαντος μετὰ τοῦ προφήτου λέγοντος· « Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι· » ἐπενεγκόντος δὲ τὸ παρ' ἑαυτοῦ· « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· » καὶ πάλιν· « Ἄρ' οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας μὲν, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. » Εἰ δὲ καὶ ἄλλης μαρτυρίας χρεία, μνημονεύσωμεν (35) τοῦ Δαβὶδ εἰπόντος· « Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ· » καὶ τοῦ Σολομῶντος κατὰ κοινοῦ (36) ὁρισαμένου, ὅτι Πάντα καλὰ ἐν καιρῷ αὐτῶν.

6. Παρὰ πρόσωπον δὲ, ἐν μὲν τῇ Παλαιᾷ Διαθήκῃ, ὡς ἐπὶ τοῦ Κορὲ, καὶ τολμησάντων ἐπεισελθεῖν τῇ μὴ δοθείσῃ αὐτοῖς ἱερωσύνῃ, καὶ ὑποπεσόντων ἀποτομίᾳ ὀργῆς εἰς ὄλεθρον καὶ ἀπώλειαν φρικωδεστέραν· παρ' αὐτοῦ δὲ τοῦ Κυρίου παιδευόμεθα ἀσφαλίζεσθαι (37), εἰπόντος πρὸς τοὺς μαθητάς· « Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· » πρὸς δὲ τὴν γυναῖκα· « Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. » Παρὰ πρᾶγμα δὲ, ἐκ μὲν τῆς Παλαιᾶς Διαθήκης, ὅταν, ἐντολῆς δοθείσης προσφέρειν θυσίαν ἀπὸ καθαρῶν καὶ ὁλοκλήρων καὶ ἀμώμων, μὴ ἐκ τοιούτων προσενεχθῇ· περὶ οὗ ὁ Θεὸς εἶπε· « Προσάγαγε αὐτὸ τῷ ἄρχοντί σου, εἰ προσδέξεται αὐτὸ, εἰ λήψεται πρόσωπόν σου· » ἐκ δὲ τῆς Καινῆς Διαθήκης παρ' αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς προφητείας Ἡσαΐου μνημονεύσαντος κατὰ τῶν Ἰουδαίων, ὅτι « Καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν λέγων· Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων· » παρὰ δὲ τοῦ Ἀποστόλου μαρτυροῦντος μὲν τῇ συνειδήσει τῶν Ἰουδαίων, καταγινώσκοντος δὲ αὐτῶν ἐν τῇ διαφορᾷ τῆς δικαιοσύνης. Γράφει δὲ

A respondens dixit eis : Amen dico vobis, nescio vos. Vigilate itaque, quia nescitis diem, neque horam [9]. »

5. Quare cum sciam admonitionem sæpius de eodem judicio adhibitam validius commovere, magisque credi, eam quoque, quæ alio loco in eamdem sententiam prolata est, adjiciam. Dicit autem Dominus ipse : « Multi quærent intrare, et non poterunt. Cum autem ingressus fuerit paterfamilias, et clauserit ostium, et cœperitis dicere : Domine, Domine, aperi nobis, tunc respondens dicet : Non novi vos, unde sitis [10]. Propterea dico vobis, estote parati, quia qua hora non putatis, Filius hominis venturus est [11] ; » atque multis B locis similiter. Quod si et Apostolus in testimonium advocandus est, audiamus ipsum, prophetæ verba ita referentem, « Tempore accepto exaudivi te, et in die salutis adjuvi te [12] ; » et posthac ex seipso inferentem : « Ecce nunc tempus acceptabile, ecce nunc dies salutis [13] ; » et iterum : « Ergo dum tempus habemus, operemur bonum, ad omnes quidem, maxime autem ad domesticos fidei [14]. » Si vero et testimonio alio opus est, meminerimus Davidis, qui dicit : « Pro hac orabit ad te omnis sanctus, in tempore opportuno [15] ; » Salomonis itidem, qui in universum pronuntiavit, Omnia bona fieri in tempore suo [16].

6. In Veteri quidem Testamento, puta in Core [17], et in illis, qui sacerdotium sibi non concreditum C invadere ausi sunt, et propter iræ severitatem in perniciem et exitium horrendum inciderunt, videmus quam grave sit præter **664** personam aliquid facere : ab ipso vero Domino, ut cauti simus, erudimur : qui videlicet ad discipulos dixit : « Non missus sum nisi ad oves quæ perierunt domus Israel [18] ; » et ad mulierem : « Non est bonum sumere panem filiorum, et projicere catellis [19]. » Præter rem vero quidpiam fieri, ex Veteri quidem Testamento discimus, ubi cum præceptum esset, ut sacrificium fieret ex mundis et integris et maculæ expertibus, tamen non ex talibus oblatio facta est : qua de re Deus dixit, « Offer illud principi tuo, si admittet illud, si suscipiet faciem tuam [20] ; » ex D Novo vero Testamento ab ipso Domino nostro Jesu Christo hoc idem edocemur : qui prophetiam Isaiæ contra Judæos profert, hoc modo : « Bene prophetavit Isaias de vobis, dicens : Populus hic labiis me honorat, cor autem eorum longe est a me : in vanum autem colunt me, docentes doctrinas, mandata hominum [21] ; » ab Apostolo quoque, qui fert testimonium de conscientia Judæo-

[9] Matth. xxv, 1-13. [10] Luc. xiii, 24, 25. [11] Matth. xxiv, 44. [12] Isa. xlix, 8. [13] II Cor. vi, 2. [14] Galat vi, 10. [15] Psal. xxxi, 6. [16] Eccle. iii, 11. [17] Num. xvi, 31 seqq. [18] Matth. xv, 24. [19] Marc. vii, 27. [20] Malach. i, 8. [21] Marc. vii, 6, 7.

(34) Unus ms. πολλάκις γεγενημένην.
(35) Editi μνημονεύσομεν. At mss. μνημονεύσωμεν.
(36) Reg. secundus κατὰ κοινοῦ. Editi κατὰ καιρούς, male.
(37) Editi παιδευόμεθα ἀσφαλίζεσθαι. Unus ms. τὸ ἀσφαλ. Alius τοῦ ἀσφαλ. Statim unus ms. πρὸς τά.

rum, condemnatque ipsos ob justitiæ differentiam. Scribit autem sic : « Testimonium enim perhibeo illis quod æmulationem Dei habent, sed non secundum scientiam. Ignorantes enim justitiam Dei, et suam quærentes statuere, justitiæ Dei non sunt subjecti [22]. » Quapropter Apostolus, qui Deo placere vere studebat, cum quas in lege jamdiu fecerat justitias narrasset, hæc subjungit : « Quin etiam existimo omnia detrimentum esse propter eminentem scientiam Christi Jesu Domini mei ; propter quem omnia detrimentum feci, et arbitror stercora esse, ut Christum lucrifaciam, et inveniar in illo non habens meam justitiam, quæ ex lege est, sed illam quæ est per fidem Jesu Christi justitiam, quæ ex Deo est in fide, ad cognoscendum illum [23], » etc. Per hæc autem et similia erudit nos, ut multo magis caveamus, ne unquam regulæ quæ a Domino nostro Jesu Christo ad placendum Deo proposita est, humanam justitiam adjungamus.

7. De eo autem, quod præter mensuram fit, satis esse arbitror meminisse Domini nostri Jesu Christi, ad distinguendam mensuram veteris dilectionis, (scriptum autem est : « Diliges proximum tuum sicut te ipsum [24], ») qui dixit : « Mandatum novum do vobis, ut diligatis invicem, sicut ego dilexi vos [25]. Majorem hac dilectionem nemo habet, ut quis animam suam ponat pro amicis suis [26]. » Et in summa hoc idem de omnibus simul justificationibus ab ipso Domino discere licet, cum ita definierit : « Nisi abundaverit justitia vestra plus quam scribarum et Pharisæorum non intrabitis in regnum cœlorum [27]. » Præter ordinem vero et rerum seriem agitur, cum quis prima in secundo aut tertio loco tractat, et ea quæ in tertio loco collocata sunt, eorum, quæ prius locata fuerant, principium esse putat. Velut cum Dominus ei qui dixerat, « Hæc omnia custodivi a juventute mea, » hoc mandatum dedit : « Vende quæ habes, et da pauperibus, et tolle crucem tuam, et veni, sequere me [28] ; » si quis ei 665 qui nihil eorum quæ præmissa sunt præstitisset, illud, « Sequere me » (quod posterius est), injungeret : et velut cum rursus Dominus dicit : « Si quis venit ad me, abneget semetipsum, et tollat crucem suam, et sequatur me [29], » si quis sequendi præceptum ponat ante priora. Et rursus cum Dominus post multa subjungit, « Sic omnis ex vobis qui non renuntiat iis quæ possidet, non potest meus esse discipulus [30], » si quis anteaquam ea quæ prius dicta sunt, servasset, discipulum se esse in animum inducat. Quapropter necesse est servare præceptum Apostoli qui dicit : « Omnia honeste et secundum ordinem fiant [31]. »

A οὕτως· « Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. » Διόπερ ὁ Ἀπόστολος, τῆς πρὸς Θεὸν εὐαρεστήσεως γνησίως πεφροντικὼς, μετὰ τὴν διήγησιν τῶν ἐν τῷ νόμῳ ἀνωτάτω κατορθωθέντων αὐτῷ δικαιωμάτων ἐπιφέρει· « Ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι τὰ πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει, τοῦ γνῶναι αὐτὸν, » καὶ τὰ ἑξῆς. Διὰ δὲ τούτων καὶ τῶν τοιούτων B ἡμᾶς παιδεύει πολὺ περισσοτέρως φυλάσσεσθαι ἐπεισαγαγεῖν ποτε τῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κανόνι τῆς πρὸς Θεὸν εὐαρεστήσεως ἀνθρωπίνην δικαιοσύνην.

7. Παρὰ μέτρον δὲ, ἀρκεῖν ἡγοῦμαι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μνημονεῦσαι πρὸς ἀντιδιαστολὴν τοῦ μέτρου τῆς παλαιᾶς ἀγάπης (γέγραπται δὲ, « Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν, ») εἰπόντος· « Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. » Καὶ καθόλου περὶ πάντων (38) ὁμοῦ τῶν δικαιωμάτων ἔστι μαθεῖν παρ' αὐτοῦ τοῦ Κυρίου διορισαμένου· « Ἐὰν μὴ περισ- C σεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Παρὰ τάξιν δὲ καὶ ἀκολουθίαν, ὅταν τὰ πρῶτα ἐν δευτέρῳ τόπῳ ἢ τρίτῳ τις σπουδάζῃ, καὶ τὰ ἐν τρίτῳ τόπῳ προστεταγμένα ἀρχὴν ἡγήσηται τῶν προτεταγμένων (39). Τοῦ γὰρ Κυρίου προστάξαντος τῷ εἰπόντι, « Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου, » τὸ, « Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἆρον τὸν σταυρόν σου, καὶ δεῦρο ἀκολούθει μοι· » εἴ τις τῷ μηδὲν πεποιηκότι τῶν προτεταγμένων, τὸ δεύτερον, « Ἀκολούθει (40) μοι, » ἐπιτρέποι· καὶ ὡς πάλιν λέγοντος τοῦ Κυρίου, « Εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολου- D θείτω μοι, » τὸ ἀκολουθεῖν προτάσσοι τῶν προτεταγμένων (41)· καὶ πάλιν τοῦ Κυρίου μετὰ πολλὰ ἐπενεγκόντος τὸ, « Οὕτω πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναται εἶναί μου μαθητὴς, » πρὸ τοῦ τὰ προειρημένα φυλάξαι, μαθητὴς εἶναι φαντάζοιτο. Διόπερ ἀναγκαῖον φυλάσσειν τὸ τοῦ Ἀποστόλου παράγγελμα, εἰπόντος· « Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω. »

[22] Rom. x, 2, 3. [23] Philipp. III, 8, 9. [24] Matth. xix, 19. [25] Joan. xiii, 34. [26] Joan. xv, 13. [27] Matth. v, 20. [28] Matth. xix, 20, 21. [29] Matth. xvi, 24. [30] Luc. xiv, 33. [31] I Cor. xiv, 40.

(38) Veteres duo libri περὶ πάντων. Vox prima in editis desideratur. Mox editi παρὰ τοῦ αὐτοῦ. Reg. primus παρ' αὐτοῦ τοῦ.

(39) Reg. secundus προστεταγμένων, et ita quoque habet Reg. primus emendatus.

(40) Editi τὸ, Δεῦρο ἀκολούθει. Veteres tres libri ut in contextu.

(41) Reg. primus τῶν προστεταγμένων.

8. Παρὰ διάθεσιν δὲ, ὡς ὅταν λέγῃ ὁ Κύριος περὶ A μὲν τῶν πάθει ἀνθρωπαρεσκείας ποιούντων ἐλεημοσύνην, ἢ ἄλλο τι δικαίωμα πρὸς (42) τὸ θεαθῆναι τοῖς ἀνθρώποις· « Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. » Ἔτι δὲ σφοδρότερον παρίστησι τὴν κακίαν τῶν διὰ πάθος ἀνθρώπινον ποιούντων τὴν ἐντολὴν τοῦ Κυρίου, δεικνύων, ὅτι οὐ μόνον μισθοῦ ἐκπίπτει, ἀλλὰ καὶ τιμωρίας ἄξιος ὁ ποιῶν ἐντολὴν μὴ κατὰ θεοσέβειαν, ἀλλὰ κατὰ ἀνθρωπαρέσκειαν, ἢ τινος ἄλλης ἡδονῆς ἕνεκεν, ἢ πλεονεξίας, ἢ πραγματείας, ὧν κατηγορεῖ καὶ (43) ὁ Ἀπόστολος. Αὐτὸς δὲ ὁ Κύριος σφοδρότερον κατακρίνων τοὺς τοιούτους, λέγει· « Πολλοὶ ἐλεύσονται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγοντες· Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν, καὶ ἐφάγομεν μετὰ B σοῦ, καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας; Καὶ τότε ἀποκριθήσομαι αὐτοῖς λέγων· Ἀποχωρεῖτε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστὲ, ἐργάται ἀνομίας· » ὡς ἐκ τούτων καὶ τῶν τοιούτων δῆλον εἶναι, ὅτι, κἂν χαρίσματά τις ἐνεργήσῃ, κἂν ἐντολὰς ποιήσῃ, μὴ κατὰ διάθεσιν δὲ καὶ σκοπὸν ὃν ἐδίδαξεν ὁ Κύριος εἰπών· « Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς· » καὶ Παῦλος δὲ ὁ ἀπόστολος, ὁ ἐν Χριστῷ λαλῶν, φησὶν, « Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν τοῦ Θεοῦ ποιεῖτε· » δικαίως ἀκούει ἅπερ ἀπεκρίνατο ὁ Κύριος. Ὅθεν ὁ Ἀπόστολος ἔμαθεν εἰπεῖν· « Ἐὰν ταῖς γλώσσαις τῶν C ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον (44). Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐθέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. » Καὶ ἀλλαχοῦ καθολικώτερον καὶ σφοδρότερόν φησιν· « Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. »

8. Denique fit aliquid non eo, quo debet, animo, exempli causa, cum dicit Dominus de iis qui studio placendi hominibus faciunt eleemosynam, aut alteri cuivis justificationi operam dant, ut videantur ab hominibus, « Amen dico vobis, habent mercedem suam [32]. » Adhuc autem malitiam eorum, qui ob affectum humanum præceptum Domini faciunt, gravius declarat, ubi illud ostendit, quod non mercede solum destituitur, sed supplicio etiam dignus est qui præceptum perficit, non secundum pietatem, sed ex studio placendi hominibus, aut alicujus alterius voluptatis gratia, aut avaritiæ, aut negotii: quos redarguit et Apostolus. Imo vero Dominus ipse vehementius tales condemnans, dicit: « Multi venient in illa die dicentes: Domine, Domine, nonne in nomine tuo prophetavimus, et in nomine tuo dæmonia ejecimus, et virtutes multas fecimus, et manducavimus tecum, et bibimus, et in plateis nostris docuisti? Et tunc respondebo illis dicens: Discedite a me, non novi vos unde sitis, operarii iniquitatis [33]: » ut ex his ac similibus illud perspicuum sit, quod etiamsi quis charismata operetur, etiamsi conficiat mandata, si tamen non conficit eo, quo debet, animo, et ex scopo, quem Dominus docuit his verbis: « Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cœlis est [34]; » et quem Paulus apostolus in Christo loquens, tradidit, cum dixit: « Sive manducatis, sive bibitis, sive quid facitis, omnia in gloriam Dei facite [35]: » jure ac merito ea, quæ Dominus respondit, auditurus sit. Unde Apostolus dicere didicit: « Si linguis hominum loquar et angelorum, charitatem autem non habeam, factus sum, æs resonans, aut cymbalum tinniens. Et si habuero prophetiam, et noverim mysteria omnia, et si habuero omnem fidem, ita ut montes transferam, charitatem autem non habeam, nihil sum. Et si distribuero in alendos pauperes omnes facultates meas, et si tradidero corpus meum ut comburar, charitatem autem non habeam, nihil capio utilitatis [36]. » Et alibi generalius ac vehementius ait: « Si adhuc hominibus placerem, Christi servus non essem [37]. »

9. Εἰ δὲ καὶ τῆς Παλαιᾶς Διαθήκης μαρτυρίαν ἐπιζητοῖς (45) εἰς πληροφορίαν τοῦ τοιούτου κρίματος, D Μωϋσῆς φησιν· « Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου (46)· καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. » Οἷς ἐπιφέρει ὁ Κύριος· « Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. » Μαρτυρεῖ δὲ καὶ (47) ὁ Ἀπόστολος, λέγων· « Πλήρωμα οὖν νόμου ἡ

9. Quod si Veteris etiam Testamenti testimonium ad ejusmodi sententiam certo probandam requiris, Moyses dicit: « Diliges Dominum Deum tuum ex toto corde tuo, et ex tota mente tua, et ex tota fortitudine tua: et diliges proximum tuum sicut teipsum. [38] » Quibus Dominus subjungit: « In his duobus mandatis universa lex et prophetæ pendent. [39] » Testatur hoc ipsum et Apostolus, **666** his verbis: « Plenitudo ergo legis est dilectio [40] »

[32] Matth. vi, 5. [33] Matth. vii, 22, 23; Luc. xiii, 26, 27. [34] Matth. v, 16. [35] I Cor. x, 31. [36] I Cor. xiii, 1-3. [37] Gal. i, 10. [38] Deut. vi, 5. [39] Matth. xxii, 40. [40] Rom. xiii, 10

(42) Editi δικαίωμα ποιούντων πρός. Sed cum vox ποιούντων videatur παρέλκειν, eam delevi antiquis duobus libris auctoribus.
(43) Sic antiqui duo libri. Vocula καί deerat in vulgatis.
(44) Reg. tertius ἀλαλάζον, καὶ τὰ ἑξῆς. Mox alius ms. μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν.
(45) Codices duo ἐπιζητεῖς.
(46) Antiqui duo libri καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καί.
(47) Vocula καί addita ex antiquis duobus libris.

Quod autem impunitii non relinquuntur qui non conficiunt hæc mandata, et pendentes ab ipsis justificationes, sed suppliciis sunt obnoxii, Moses ipse clamat dicens : « Maledictus omnis qui non permanet in omnibus quæ scripta sunt in hoc libro [41]. » David vero ait : « Iniquitatem si aspexi in corde meo, non exaudiat me Dominus [42]. » Et alibi : « Illic trepidabunt timore, ubi non erit timor, quoniam Deus dissipavit ossa eorum, qui hominibus placent [43]. » Itaque multa diligentia ac intenta cura opus est, ne si præter modum aliquem ex his quos retulimus, mandatum conficiamus, non modo talem ac tantam mercedem amittamus, sed etiam tam horrendis minis fiamus obnoxii.

A ἀγάπη. » Ὅτι δὲ οὐχ ἀτιμώρητοι οἱ μὴ κατορθοῦντες ταύτας, καὶ τὰ ταύταις ὑποπίπτοντα δικαιώματα, τιμωρίας δέ εἰσιν ὑπόδικοι, αὐτὸς Μωϋσῆς βοᾷ, λέγων (48) · « Ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τούτῳ. » Ὁ δὲ Δαβὶδ φησιν · « Εἰ ἐθεώρουν ἀδικίαν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος · » καὶ ἀλλαχοῦ · « Ἐκεῖ φοβηθήσονται φόβον, οὗ οὐκ ἦν φόβος, ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. » Πολλῆς οὖν ἐπιμελείας καὶ φροντίδος ἐπαγρύπνου χρεία, μήπως, παρά τι τῶν εἰρημένων τὴν ἐντολὴν ἐργασάμενοι, μὴ μόνον τοῦ τοιούτου καὶ τοσούτου (49) μισθοῦ ἐκπέσωμεν, ἀλλὰ καὶ ταῖς οὕτω φοβεραῖς ἀπειλαῖς ὑποπέσωμεν.

QUÆSTIO IX.

An conveniat societatem cum iniquis habere, aut participem esse infructuosorum operum tenebrarum, etiamsi tales non sint ex numero eorum qui mihi sint concrediti.

ΕΡΩΤΗΣΙΣ Θ'.

B *Εἰ χρὴ συγκοινωνεῖν τοῖς παρανομοῦσιν, ἢ τοῖς ἀκάρποις ἔργοις τοῦ σκότους, κἂν μὴ ὦσι τῶν ἐμοὶ πιστευθέντων οἱ τοιοῦτοι.*

RESPONSIO.

1. Iniquus quidem est quisquis legem integram non servaverit, aut violaverit vel unum mandatum. Etenim, si pars vel modica desit, totum periclitatur. Nam quod pene factum est, factum non est. Quemadmodum enim qui fere mortuus est, mortuus non est, sed vivit, et qui fere vixit, non vivit, sed mortuus est, et qui pene ingressus est, ingressus non est, sicut illæ quinque virgines : ita qui prope legem servavit, non servavit, sed iniquus est. Quapropter etiam erga iniquos, etiamsi germani et affines esse videantur, necesse est obedire Apostolo, qui aliquando quidem ait : « Si quis frater nominatus, aut fornicator, aut avarus, aut ebriosus, aut conviciator, aut raptor fuerit, cum tali ne cibum quidem sumite [44]. » Observandum autem hic est, quod non eum modo qui in his omnibus offendit, ab ipsa etiam communi diæta segregaverit, sed eum etiam qui in uno aliquo ex his omnibus deliquit, cum non dixerit, Cum hoc, sed, « Cum tali : » aliquando vero, « Mortificate membra vestra quæ sunt super terram, fornicationem, immunditiam, libidinem, concupiscentiam malam, et avaritiam, quæ est simulacrorum servitus; propter quæ venit ira Dei [45] » (et quidem generalius adjunxit) « in filios inobedientiæ. Nolite ergo fieri participes eorum [46]. » Ac rursus : « Ut subtrahatis vos ab omni fratre ambulante inordinate, et non secundum traditionem, quam acceperunt a nobis [47]. » Et alibi similiter.

ΑΠΟΚΡΙΣΙΣ.

1. Παράνομος μέν ἐστιν πᾶς ὁ μὴ ὁλόκληρον τὸν νόμον φυλάξας, ἢ καὶ ὁ μίαν ἐντολὴν παραβάς. Ἐν γὰρ τῇ ἐλλείψει καὶ τοῦ μικροῦ τὸ πᾶν κινδυνεύει. Τὸ γὰρ παρ' ὀλίγον γεγονὸς οὐ γέγονεν. Ὥσπερ γὰρ ὁ παρ' ὀλίγον ἀποθανὼν οὐκ ἀπέθανεν, ἀλλὰ ζῇ, καὶ ὁ παρ' ὀλίγον ζήσας οὐ ζῇ, ἀλλὰ ἀπέθανε, καὶ ὁ παρ' ὀλίγον εἰσελθὼν οὐκ εἰσῆλθεν, ὡς αἱ πέντε παρθένοι· οὕτως ὁ παρ' ὀλίγον φυλάξας τὸν νόμον οὐκ ἐφύλαξεν, ἀλλ' ἔστι παράνομος. Διὸ καὶ ἀναγκαῖον ἐπὶ C τῶν παρανομούντων, κἂν γνήσιοι εἶναι δόξωσι, πείθεσθαι τῷ Ἀποστόλῳ εἰπόντι, ποτὲ μὲν, « Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ μέθυσος, ἢ λοίδορος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν · » παρατηρητέον δὲ ἐνταῦθα, ὅτι οὐχὶ τὸν τὰ πάντα ὄντα ἀφώρισε καὶ αὐτῆς τῆς κοινῆς (50) διαίτης, ἀλλὰ καὶ τὸν ἕν τι ὄντα ἐκ πάντων, ἐν τῷ μὴ εἰπεῖν, « Τούτῳ, » ἀλλὰ, « Τῷ τοιούτῳ · » ποτὲ δὲ, « Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία · δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ (καὶ γὰρ καθολικώτερον ἐπήγαγεν) ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. (51) Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν · » καὶ πάλιν · « Στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, D καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον (52) παρ' ἡμῶν · » καὶ ἀλλαχοῦ ὁμοίως.

2. Quid sit autem infructuosorum operum participem non esse, ut perspicue cognoscamus, primum perpendamus quibus de rebus nomen infructuosi usurpetur, utrum de reprobatis tantummodo,

2. Τὸ δὲ μὴ συγκοινωνεῖν τοῖς ἔργοις τοῖς ἀκάρποις, ἵνα σαφῶς γνῶμεν τί ἐστι, πρῶτον καταμάθωμεν κατὰ τίνων πραγμάτων κεῖται τὸ ὄνομα τοῦ ἀκάρπου · πότερον κατὰ τῶν κατεγνωσμένων μόνον, ἢ

[41] Deut. XXVII, 26. [42] Psal. LXV, 18. [43] Psal. LII, 6. [44] I Cor. V 11. [45] Col. III, 5, 6. [46] Ephes. V, 7. [47] II Thess. III, 6.

(48) Codices duo βοᾷ καὶ λέγει.
(49) Editi καὶ τηλικούτου. Libri veteres καὶ τοσούτου.
(50) Codices duo τῆς κοινῆς. Articulus deest in vulgatis.
(51) Illud, ἐπὶ τοὺς υἱοὺς ἀπειθείας, abest a nostris veteribus libris.
(52) Reg. tertius ἣν παρελάβοσαν.

καὶ κατὰ τῶν ἐπαινετῶν μὲν (53), μὴ ἐξ ὑγιοῦς δὲ διαθέσεως γινομένων. Ἐν μὲν οὖν τῇ Παλαιᾷ Διαθήκῃ ὁ προφήτης ἐν τῇ τοῦ δένδρου παραβολῇ περὶ τῶν ἁγίων εἶπεν· « Ὁ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ· » ὁ δὲ Σολομών φησιν· « Ἔργα δικαίων ζωὴν ποιεῖ· καρποὶ δὲ ἀσεβῶν ἁμαρτίαι, » Ὡσηὲ δὲ λέγει· « Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε καρπὸν ζωῆς· » καὶ ὁ Μιχαίας· « Καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν μετὰ τῶν κατοικούντων ἐν αὐτῇ, ἀπὸ καρπῶν ἐπιτηδευμάτων αὐτῶν· » καὶ ἄλλοι προφῆται ἄλλα πλείονα. Ἀλλὰ ταῦτα μὲν ὡς λύχνος λαμπέτω· τὸ δὲ φῶς τὸ ἀληθινὸν, ὁ τῆς δικαιοσύνης ἥλιος, αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τρανότερον παρίστησι λέγων· « Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς ἀγαθοὺς ποιεῖν· » καὶ ἀλλαχοῦ ὁμοίως. Ἔχοντες οὖν τὸ τῶν καρπῶν ὄνομα ἐπὶ τοῖς ἀλλήλων ἐναντίοις ὁμοίως κείμενον, λοιπὸν καταμάθωμεν, ποῖοι μέν εἰσι δένδρα ἄκαρπα, τίνα δὲ ὁ Ἀπόστολος λέγει ἔργα ἄκαρπα. Τὰ μὲν οὖν ἄκαρπα δένδρα δηλοῦνται (54) ἡμῖν παρὰ Ἰωάννου τοῦ Βαπτιστοῦ, εἰπόντος τοῖς καταξιωθεῖσι τοῦ βαπτίσματος εἰς ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ καθαρισθεῖσιν ἀπὸ παντὸς ῥύπου· « Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας· » καὶ μετ' ὀλίγα ἐπιφέροντος· « Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται· » τηλαυγέστερον δὲ ὁ Κύριος (55) διδάσκει, λέγων τοῖς μὲν ἐκ δεξιῶν ἑστῶσι, « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· » καὶ τοὺς ἀγαθοὺς αὐτῶν καρποὺς δεικνύων ἐν τοῖς ἐπιφερομένοις· τοὺς δὲ ἐξ ἀριστερῶν πέμπων εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· οἷς οὐχ ἁμαρτίας ἐργασίαν ἐγκαλεῖ, ἀλλ' ἀργίαν καρπῶν ἀγαθῶν. « Ἐπείνασα γάρ, φησὶ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, » καὶ τὰ ἑξῆς· ἥτις ἀργία τῆς μερίδος ἐποίησεν αὐτοὺς γενέσθαι τῶν ἁμαρτωλῶν, οἵτινες ἄγγελοι τοῦ διαβόλου καλοῦνται παρὰ τοῦ Κυρίου.

3. Τῆς διαφορᾶς οὖν φανερωθείσης τῶν τὰ ἐναντία καρποφορούντων, καὶ ἀκάρπων, λοιπὸν ἴδωμεν, τίνα ἐστὶ μάλιστα ἃ λέγει ὁ Ἀπόστολος ἔργα ἄκαρπα. Ἐγὼ δὲ λογιζόμενος οὐχ εὑρίσκω μεταξὺ τοῦ νομίμως καὶ εὐαρέστως τῷ Θεῷ τὴν ἐντολὴν ἐργαζομένου, καὶ τοῦ τὸ κακὸν ἐργαζομένου, καὶ τοῦ μηθ' ἕτερον ποιοῦντος, εἰ μὴ τοὺς ποιοῦντας τὸ ἀγαθὸν, μὴ εὐαρέστως δὲ (56) τῷ Θεῷ κατά τι τῶν προειρημένων ἐν τῷ ἐρωτήματι, εἰ εὐπρόσδεκτόν ἐστιν ἔργον ἐντολῆς μὴ κατ' ἐντολὴν γινόμενον, περὶ ὧν ὁ Κύριος λέγει, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν Ὡς (57) αἱ πέντε μωραὶ παρθένοι, αἵτινες μαρτυροῦνται ὑπ' αὐτοῦ τοῦ Κυρίου, ὅτι τε παρθένοι, καὶ ὅτι τὰς λαμ-

A an etiam de laudabilibus quidem, sed quæ non sano animi affectu fiant. In Veteri **667** igitur Testamento, sumpta ab arbore comparatione, dixit de sanctis Propheta : « Quæ fructum suum dabit in tempore suo [48]. » Salomon vero ait : « Opera justorum vitam faciunt ; fructus vero impiorum peccata [49]. » Osee itidem dicit : « Serite vobisipsis ad justitiam, vindemiate fructum vitæ [50]. » Et Michæas : « Et erit terra in dissipationem cum habitantibus in ipsa, a fructibus studiorum ipsorum [51]. » Et prophetæ alii alia plura ; sed hæc quidem lucernæ instar luceant. Vera autem lux, sol ille justitiæ, ipse Dominus noster Jesus Christus clarius rem exprimit dicens : « Non potest arbor bona malos fructus facere, neque arbor putris fructus

B bonos facere [52]. » Et alibi similiter. Itaque cum fructuum nomen æqualiter rebus inter se contrariis impositum habeamus, de reliquo expendamus qui sint arbores infructuosæ, et quæ opera Apostolus dicat infructuosa. Arbores itaque infructuosæ declarantur nobis a Joanne Baptista, ubi iis, qui baptisma recipiebant ad remissionem peccatorum, et ut a sordibus omnibus purgarentur, dixit : « Facite igitur dignos pœnitentiæ fructus [53]. » Et paulo post subjungit : « Omnis ergo arbor, quæ non facit fructum bonum, exciditur, et in ignem conjicitur [54]. » Dominus vero clarius nos docet, iis quidem, qui a dextris sunt, dicens : « Venite, benedicti Patris mei, possidete paratum vobis regnum

C a constitutione mundi [55] ; » eorumque bonos fructus per ea quæ subjungit, indicat, eos vero qui a sinistris sunt, mittit in ignem æternum, diabolo et angelis ejus paratum [56] ; quos non propterea culpat, quod peccatum patrarint, sed quod vacarint a bonis fructibus. « Esurivi enim, inquit, et non dedistis mihi manducare [57], » et quæ sequuntur : quæ inertia eos ad sortem redegit peccatorum, qui angeli diaboli a Domino vocantur.

3. Cum igitur declarata sit differentia eorum, qui contrarios fructus afferunt, et eorum, qui infructuosi sunt, de cætero videamus, quæ maxime sint, quæ Apostolus appellet opera infructuosa. Ego autem, dum hæc mecum reputo, non invenio

D quemquam medium inter eum qui ritu legitimo et Deo placente præceptum exsequitur, et eum qui malum patrat, et eum qui neutrum efficit, nisi eos qui bonum quidem faciunt, sed non ita, ut Deo sit acceptum, ob aliquam videlicet rationem ex his quas prius in ea quæstione memoravimus, ubi, an placeat mandati opus, si juxta mandatum non fiat, disputatum est : de quibus hoc dicit Dominus,

[48] Psal. I, 3. [49] Prov. X, 16. [50] Ose. X, 12. [51] Mich. VII, 13. [52] Matth. VII, 18. [53] Matth. III, 8. [54] ibid. 10. [55] Matth. XXV, 34. [56] ibid. 41. [57] ibid. 42 seq.

(53) Sic antiqui duo libri. Duæ hæ voces, καὶ... μέν, in editis desiderantur.
(54) Veteres duo libri δηλοῦται.
(55) Unus ms. αὐτὸς ὁ Κύριος. Statim editi εὐλογούμενοι. At mss. tres εὐλογημένοι.
(56) Vocula δέ in nostris mss. non legitur.
(57) Unus ms. Καὶ ὡς.

quod mercedem suam habeant [58]. Hunc ad modum A fatuæ quinque virgines, quæ juxta Domini ipsius testimonium et virgines erant, et paraverant lampades, et accenderant, hoc est, fecerant idem quod prudentes, et ierant obviam Domino, et in omnibus studium studio prudentum haud impar ostenderant, tamen ob hoc solum, quod in vasis oleum defuit, aberravere a scopo, atque ab ingressu ejus loci, ubi sponsus erat, exclusæ sunt [59]. Quales etiam **668** sunt, qui si duo sint in pistrino, et in eodem lecto, relinquuntur [59*]. Quorum fortasse causam Dominus obticuit, ut ostenderet, si res quævis vel parva desit, modo conveniat, et maxime, ut Apostolus docuit [60], si desit sincera charitas, rem nullam gratam esse et acceptam. Cum igitur perspectum nobis sit, unde opera fiant infructuosa, caveamus B ne, re aliqua deficiente, legitimum certamen, quod ad placendum Deo suscipiendum sit, certemus, sed in omnibus commendemus nosipsos velut Dei ministros [60*]. Neque vero hoc solum, sed ne cum talibus quidem societatem ullam habeamus, uti Paulus in Christo loquens definite pronuntiavit, cum dixit : « Nolite communicare operibus infructuosis tenebrarum harum [61]. » Atque cum subjunxit illud : « Quin potius etiam redarguite [62], » ita modum non habendæ societatis docuit.

πάδας ἐκόσμησαν, καὶ ὅτι ἀνῆψαν, τουτέστιν, ὁμοίως εἰργάσαντο ταῖς φρονίμοις, καὶ ἐξῆλθον εἰς ἀπάντησιν τοῦ Κυρίου, καὶ κατὰ πάντα ὁμοίως ταῖς φρονίμοις τὴν σπουδὴν ἐπεδείξαντο, διὰ δὲ μόνην τὴν ἔλλειψιν τοῦ ἐν τοῖς ἀγγείοις ἐλαίου τοῦ σκοποῦ ἀποτυχοῦσαι, καὶ τῆς εἰσόδου τοῦ νυμφῶνος ἐκκλεισθεῖσαι. Καὶ ὡς ἐκ τῶν δύο τῶν ὄντων ἐν τῷ μυλῶνι, καὶ ἐπὶ τῆς αὐτῆς κλίνης οἱ ἀφιέμενοι. Ἐφ' ὧν τάχα τὴν αἰτίαν ἐσίγησεν ὁ Κύριος, ἵνα ἐπὶ παντὸς πράγματος, ἐπὶ μικρᾷ (58) γοῦν ἐλλείψει τοῦ πρέποντος, καὶ μάλιστα τῆς εἰλικρινοῦς ἀγάπης, ὡς ὁ Ἀπόστολος ἐδίδαξε, τὸ μὴ εὐάρεστον δείξῃ. Ἄκαρπον τοίνυν τὸ τῶν ἔργων (59) κατὰ τί συμβαίνει γίνεσθαι γνωρίζοντες, φυλαξώμεθα παρὰ μηδὲν τὴν νόμιμον ἄθλησιν τῆς πρὸς Θεὸν εὐαρεστήσεως ἀθλεῖν, ἀλλ' ἐν παντὶ συνιστᾷν ἑαυτοὺς, ὡς Θεοῦ διακόνους. Οὐ μόνον δὲ, ἀλλὰ μήτε συγκοινωνεῖν τοῖς τοιούτοις, ὡς ὁ ἐν Χριστῷ λαλῶν Παῦλος ὁριστικῶς ἀπεφήνατο λέγων· « Μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους τούτου. » Τὸ δὲ, « Μᾶλλον δὲ καὶ ἐλέγχετε, » ἐπενεγκὼν, τέως τὸν τρόπον τοῦ μὴ συγκοινωνεῖν ἐδίδαξε.

4. Quid autem sit rem participare, aut etiam quot modis hoc fiat, expendamus. Itaque, dum mihi in mentem venit, quod in Proverbiis dictum est : « Veni nobiscum, particeps esto sanguinis [63], » et apud Apostolum, « Exsistentes vos omnes mihi consortes gratiæ [64], » et, « Communicantes tribulationi meæ [65], » et, « Communicet autem is qui catechizatur verbo, ei qui se catechizat, in omnibus bonis [66]; » item, « Si videbas furem, currebas cum eo, et cum adulteris portionem tuam ponebas [67]; » itidem, « Arguendo argues fratrem tuum, et non accipies propter eum peccatum [68], » et, « Hæc fecisti, et tacui; suspicatus es iniquitatem, quod ero tibi similis; arguam te et statuam contra faciem tuam [69] : » dum, inquam, horum et talium recordor, puto secundum opus societatem esse tum, cum aliqui eumdem scopum spectantes, mutuam sibi ad agendum operam præbuerint : secundum mentem vero, cum quis affectui agentis assensus fuerit, eique indulserit. Altera autem societas, quæ plerosque latet, divina Scriptura accurate expensa, perspicue cognoscitur, cum quis videlicet neque operam suam ad aliquid conferens, neque assentiens affectui, quin potius consilii, quo ductus agit, malitiam cognoscens, tamen conticue-

4. Τί δέ ἐστι τὸ συγκοινωνεῖν, ἢ καὶ κατὰ πόσους τρόπους τοῦτο γίνεται, καταμάθωμεν. Μνημονεύων οὖν ἐν μὲν ταῖς Παροιμίαις τοῦ, « Ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος, » παρὰ δὲ τῷ Ἀποστόλῳ τοῦ, « Συγκοινωνούς (60) μου τῆς χάριτος πάντας ὑμᾶς C ὄντας, » καὶ, « Συγκοινωνήσαντές μου τῇ θλίψει· » καὶ, « Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς· » καὶ τοῦ, « Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις· » καὶ τοῦ, « Ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου, καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν· » καὶ τοῦ, « Ταῦτα ἐποίησας, καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου, » καὶ τῶν τοιούτων, κοινωνίαν (61) ἡγοῦμαι κατὰ τὸ ἔργον, ὅταν ἀλλήλοις ἐπὶ τῷ αὐτῷ σκοπῷ συλλαμβάνωνται πρὸς τὴν ἐνέργειαν· κατὰ δὲ γνώμην, ὅταν συγκατάθηταί τις τῇ διαθέσει τοῦ ποιοῦντος, καὶ συναρεσθῇ. Ἑτέρα δὲ κοινωνία τοὺς πολλοὺς λανθάνουσα ἐμφαίνεται τῇ ἀκριβολογίᾳ τῆς θεοπνεύστου Γραφῆς· ὅταν μήτε D συνεργασάμενος, μήτε συγκαταθέμενος τῇ διαθέσει, γνοὺς δὲ τὴν κακίαν τῆς γνώμης ἀφ' ἧς ποιεῖ, ἐφησυχάσῃ, καὶ μὴ ἐλέγξῃ, κατά τε τὰ ἀνωτέρω γεγραμμένα, καὶ κατὰ τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον τοῖς Κορινθίοις, ὅτι « Οὐχ ἐπενθήσατε ἵνα

[58] Matth. vi, 5. [59] Matth. xxv, 2 sqq. [59*] Luc. xvii, 34, 35. [60] I Cor. xiii, 1-3. [60*] II Cor. vi, 4. [61] Ephes. v, 11. [62] ibid. [63] Prov. i, 11. [64] Philipp. i, 7. [65] Philipp. iv, 14. [66] Gal. vi, 6. [67] Psal. xlix, 18. [68] Lev. xix, 17. [69] Psal. xlix, 21.

(58) Veteres duo libri ἐν τῇ μικρᾷ.

(59) Editi τὸ τῶν δένδρων. Regii primus et tertius τῶν ἔργων. Aliquanto infra unus ms. ὡς Θεοῦ διάκονοι.

(60) Antiqui duo libri τοῦ, συγκοινωνούς, recte. Editi τοὺς συγκοινωνούς, male.

(61) Illa, καὶ τῶν τοιούτων κοινωνίαν, junguntur in vulgatis sine ulla interpunctione : quam scribendi rationem secutus est vetus interpres. Sed in antiquis libris ita sejunguntur, ut virgula ante vocem κοινωνίαν posita sit : quod nobis et verius et melius visum est. Puto igitur vocem μνημονεύων hic supplendam esse ex superioribus.

ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας· » A οἷς ἐπήγαγεν· « Μικρὰ ζύμη ὅλον τὸ φύραμα δολοῖ. » (62) Φοβηθῶμεν οὖν καὶ ἀνασχώμεθα αὐτοῦ λέγοντος· « Ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα. » Ὁ δὲ συνεργαζόμενος μέν τινι τὸ ἀγαθὸν ἀγαθῇ γνώμῃ, ἀγνοῶν δὲ αὐτοῦ τὴν κακίαν τῆς τε διαθέσεως καὶ τοῦ σκοποῦ, οὐκ ἐν τῷ συνεργάζεσθαι ἔγκλημα ἕξει κοινωνίας, ἀλλ' ἐν τῷ κεχωρίσθαι τῆς τοῦ ἀλλοτρίου διαθέσεως, φυλάσσειν (63) δὲ ἑαυτὸν ἐν τῷ κανόνι τῆς πρὸς τὸν Θεὸν ἀγάπης, τὸν ἴδιον μισθὸν λαμβάνει κατὰ τὸν ἴδιον κόπον, ὡς ὁ ἐπὶ τῆς κλίνης, καὶ ἡ ἐν τῷ μυλῶνι ἐφανερώθη ἡμῖν παρ' αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διαφορὰ δὲ εἰς τοὺς πιστευθέντας, καὶ τοὺς μὴ, ἐν τῷ χρέει τῆς ἐπιμελείας ἐστὶν, οὐκ ἐν τῇ κοινωνίᾳ τῶν ἁμαρτημάτων. Ἡ μὲν γὰρ ἐπιμέλεια ἐξαιρέτως B μόνοις τοῖς πιστευθεῖσιν ὀφείλεται παρ' ἐμοῦ (64)· ἡ δὲ πρὸς τὸ κακὸν καὶ τὰ ἄκαρπα ἔργα κοινωνία κατὰ πάντων ὁμοῦ ἀπηγόρευται.

rit, et non redarguerit, neque juxta ea quæ superius scripta sunt, neque juxta id quod ab Apostolo Corinthiis dictum est : « Non luxistis ut tolleretur de medio vestrum qui hoc opus fecit[70] : » quibus subjunxit, « Modicum fermentum totam massam corrumpit[71]. » Metuamus itaque, et obtemperemus dicenti : « Expurgate vetus fermentum, ut sitis nova conspersio[72]. » Qui autem una cum aliquo facit quidem bonum bono animo, sed ignorat et affectus et propositi ipsius malitiam, non propterea quod una cum eo agit, communionis crimini futurus est obnoxius, sed propterea quod ab alieno affectu separatus est, servatque seipsum in regula dilectionis erga Deum, mercedem propriam juxta proprium laborem recipiet, quemadmodum ille, qui in lecto[73], et illa, quæ in pistrino reperietur[74], indicati nobis sunt ab ipso Domino **669** Jesu Christo. Cæterum differentia quæ intercedit inter eos qui nobis concrediti sunt, aut non, in diligentiæ ac curæ debito sita est, non in participatione peccatorum. Curam enim proprie ac peculiariter iis solis, qui mihi concrediti sunt, debeo : sed mali et operum infructuosorum participatio, in omnibus pariter vetita est.

ΕΡΩΤΗΣΙΣ Ι'.

Εἰ ἀεὶ ἐστι τὸ σκανδαλίζειν ἐπικίνδυνον.

ΑΠΟΚΡΙΣΙΣ.

1. Πρῶτον μὲν ἡγοῦμαι ἀναγκαῖον εἶναι γνῶναι, τί ἐστι σκάνδαλον· ἔπειτα δὲ καὶ (65) τὴν διαφορὰν τῶν σκανδαλιζόντων, καὶ δι' ὧν σκανδαλίζουσι· καὶ οὕτω γνωρίσαι τό τε ἀκίνδυνον καὶ τὸ ἐπικίνδυνον. Σκάνδαλον μὲν οὖν ἐστιν, ὡς ἐγὼ λογίζομαι ἐκ τῶν C γεγραμμένων ὁδηγούμενος, πᾶν τὸ ἤτοι εἰς ἀποστασίαν τινὰ τῆς κατ' εὐσέβειαν ἀληθείας ἄγον, ἢ πρόσκλησιν τῆς πλάνης ἐμποιοῦν, ἢ οἰκοδομοῦν εἰς ἀσέβειαν, ἢ καθόλου, πᾶν τὸ κωλύον τῇ ἐντολῇ τοῦ Θεοῦ ὑπακούειν μέχρι καὶ αὐτοῦ τοῦ θανάτου. Ἐὰν μὲν οὖν αὐτὸ κατὰ τὸν ἴδιον λόγον ἀγαθὸν ᾖ τὸ λεγόμενον, ἢ τὸ γινόμενον, ἡ δὲ νόσος τοῦ χρωμένου τῷ ἔργῳ, ἢ τῷ λόγῳ, ἐν τῇ χρήσει ἐμποιήσῃ αὐτῷ τὴν βλάβην, καθαρός ἐστιν ἀπὸ τοῦ κρίματος τῶν σκανδαλιζομένων ὁ τὸ ἀγαθὸν εἰς οἰκοδομὴν τῆς πίστεως εἰπὼν ἢ ποιήσας (66), ὥσπερ ὁ Κύριος, εἰπὼν μὲν, « Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον· » πρὸς δὲ τοὺς σκανδαλισθέντας ἐπαγαγὼν, « Πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ D Πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται· » εἰπὼν δὲ, ὅτι « Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον· » καὶ μετ' ὀλίγα· « Οὐδεὶς δύναται εἰσελθεῖν πρὸς μὲ, ἐὰν μὴ ᾖ αὐτῷ δεδομένον ἐκ τοῦ Πατρός μου· » ὁπότε τούτοις τοῖς ῥήμασιν εἰς ἀπώλειάν τινες ἐχρήσαντο, καθὼς γέγραπται· « Καὶ

QUÆSTIO X.

An semper periculosum sit scandalum dare.

RESPONSIO.

1. Primum quidem necessarium arbitror scire, quid sit scandalum : deinde vero quæ sit differentia inter eos qui scandalum dant, et inter ea, quibus præbent scandalum, atque ita cognoscere tum quod vacat periculo, tum quod periculum habet. Scandalum igitur est, ut ego ex Scripturis inductus opinor, quidquid aut ad quamdam defectionem a veritate quæ secundum pietatem est, abducit, aut errorem asciscit, aut parat ad impietatem, aut in summa, quidquid impedit quominus præcepto Dei ad ipsam usque mortem obediamus. Itaque, si id quod aut dicitur, aut fit, bonum ex seipso fuerit, morbus vero illius, qui opere aut sermone utitur, ei rei in usu detrimentum attulerit, purus est a judicio eorum qui scandalum perpessi sunt, is, qui bonum ad fidei ædificationem aut dixit, aut fecit, quemadmodum Domino contigit, cum dixit, « Non quod intrat in os, coinquinat hominem, sed quod procedit ex ore, hoc coinquinat hominem[75]; » et ubi adversus eos qui scandalum perpessi fuerant, subjunxit : « Omnis plantatio quam non plantavit Pater meus cœlestis, eradicabitur[76]; » itidem, cum dixit : « Qui manducat meam carnem, et bibit meum sanguinem, habet vitam æternam[77]; » et paulo post : « Nemo potest venire ad me, nisi fuerit ei datum a Patre

[70] I Cor. v, 2. [71] ibid. 6. [72] ibid. 7. [73] Luc. xvii, 34. [74] ibid. 35. [75] Matth. xv, 11. [76] ibid. 13. [77] Joan. vi, 55.

(62) Veteres duo libri φύραμα ζυμοῖ, *conspersionem fermentat.*

(63) Editi φυλάσσων. Regii secundus et tertius φυλάσσειν. Nec ita multo post mss. duo κλίνης καὶ ὁ ἐν.

(64) Codices duo παρ' ἡμῶν.

(65) Vocula καί addita est ex uno veteri libro. Haud longe particulam μέν addidimus quoque, fidem antiquorum librorum secuti.

(66) Editi καὶ ποιήσας. At mss. duo ἢ ποιήσας.

meo [78]; » quo tempore his verbis abusi sunt nonnulli ad perniciem, sicut scriptum est : « Et multi ex discipulis, audito hoc sermone, abierunt retro, nec amplius cum illo ambulabant. Dixit igitur Jesus ad duodecim : Num et vos vultis abire? Respondit ergo Simon Petrus : Domine, ad quem ibimus? Verba vitæ æternæ habes, et nos credidimus, et cognovimus, quod tu es Christus Filius Dei viventis [79]. » Etenim quibus verbis ii quorum fides sana erat, ad fidei ædificationem, et ad salutem æternam comparandam usi sunt, iisdem ii quorum cognitio, aut fides infirma erat, ob propriam malitiam ad interitus occasionem abusi sunt, sicut scriptum est de Domino, « Hic positus est in ruinam et resurrectionem multorum [80]; » non quod sibi ipse contrarius sit, sed ob utentium contrariam animi sententiam, quemadmodum et Apostolus ait : « Aliis quidem odor vitæ ad vitam, aliis vero odor mortis ad mortem [81]. »

2. Quod si suapte natura malum est quod vel fit, vel dicitur, is qui illud fecit, aut dixit, tum proprii peccati, tum scandali judicium subibit, etiamsi is, cujus gratia scandalum oritur, **670** scandalum non sit perpessus, velut de Petro discimus, ad quem Dominus, ministerium ac dispensationem obedientiæ usque ad mortem explere prohibitus, dixit : « Vade post me, Satana, scandalum es mihi [82]. » Et ratio, quæ subjicitur, licet paucis expressa, generales scandali proprietates ostendit : « Quia non sapis ea quæ Dei sunt, sed ea quæ hominum [83]. » Unde cognoscere possumus, omnem sententiam sententiæ Dei adversam scandalum esse, et ad opus usque progressam, homicidæ judicio fieri obnoxiam, ut scriptum est apud Oseam prophetam : « Absconderunt sacerdotes viam, interfecerunt Sichima, quoniam iniquitatem fecerunt in populo [84]. » Si vero quidpiam ex sua ipsius ratione fuerit licitum, sed accipiatur cum detrimento, et iis qui in fide aut cognitione debiles sunt, scandali occasio fiat, is qui fecit, scandali judicium non effugit, cum de iis qui tales sunt, nec debilibus parcunt, dicat Apostolus : « Sic autem peccantes in fratres, et percutientes conscientiam eorum infirmam, in Christum peccatis [85]. » Itaque, quando quod fit, inde offendiculi causa est, quod in se consideratum malum est, aut si ex licitis aliquid, et in nostra potestate constitutis, cuipiam in fide vel cognitione infirmo offensioni fuerit, tunc apertum et inevitabile judicium habet, horrendum videlicet illud, quod ab ipso Domino pronuntiatum est, hoc modo : « Utilius est illi, ut

A πολλοὶ τῶν μαθητῶν, ἀκούσαντες (67) τὸν λόγον τοῦτον, ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. Εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; Ἀπεκρίθη οὖν Σίμων Πέτρος· Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; Ῥήματα ζωῆς αἰωνίου ἔχεις, καὶ ἡμεῖς πεπιστεύκαμεν, καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Οἷς γὰρ οἱ ὑγιαίνοντες τὴν πίστιν πρὸς οἰκοδομὴν ἐχρήσαντο τῆς πίστεως, καὶ περιποίησιν τῆς αἰωνίου σωτηρίας, τούτοις οἱ ἀσθενοῦντες τὴν γνῶσιν, ἢ τὴν πίστιν, διὰ τὴν ἰδίαν κακίαν, εἰς πρόφασιν ἀπωλείας ἐχρήσαντο, κατὰ τὸ γεγραμμένον περὶ τοῦ Κυρίου ὅτι, « Οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν· » οὐ κατὰ τὴν ἑαυτοῦ πρὸς (68) ἑαυτὸν ἐναντιότητα, ἀλλὰ κατὰ τὴν τῶν χρωμένων B ἀντικειμένην γνώμην, ὥσπερ καὶ ὁ Ἀπόστολός φησιν· « Οἷς μὲν ὀσμὴ ζωῆς εἰς ζωὴν, οἷς δὲ ὀσμὴ θανάτου εἰς θάνατον. »

2. Ἐὰν δὲ τῇ ἰδίᾳ φύσει κακὸν ᾖ τὸ γινόμενον, ἢ τὸ λεγόμενον, ὁ ποιήσας αὐτὸ, ἢ ὁ εἰπὼν, καὶ τῆς ἰδίας ἁμαρτίας, καὶ τοῦ σκανδάλου ἔχει τὸ κρῖμα, κἂν δι' ὃν γίνεται (69) τὸ σκάνδαλον μὴ σκανδαλισθῇ, ὡς ἐπὶ τοῦ Πέτρου μανθάνομεν, πρὸς ὃν λέγει ὁ Κύριος, κωλυθεὶς πληρῶσαι τὴν οἰκονομίαν τῆς μέχρι θανάτου ὑπακοῆς· « Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ (70). » Καὶ ἡ ἐπενεχθεῖσα δὲ αἰτία ὀλίγη τὰ καθόλου ἰδιώματα τοῦ σκανδάλου ἐδίδαξεν· « Ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων· » ὥστε ἡμᾶς εἰδέναι, ὅτι πᾶν φρόνημα ἐναντίως C ἔχον τῷ φρονήματι τοῦ Θεοῦ, τοῦτο σκάνδαλόν ἐστι, καὶ εἰς ἔργον προελθὸν φονέως ἔχει τὸ κρῖμα, κατὰ τὸ γεγραμμένον παρὰ Ὠσηὲ τῷ προφήτῃ· « Ἔκρυψαν ἱερεῖς ὁδὸν, ἐφόνευσαν Σίκιμα, ὅτι ἀνομίαν ἐποίησαν ἐν τῷ λαῷ. » Ἐὰν δὲ κατὰ μὲν τὸν ἴδιον λόγον ᾖ τι τῶν (71) συγκεχωρημένων, λαμβάνηται δὲ ἐπὶ βλάβῃ, καὶ γένηται σκανδαλισμοῦ πρόφασις τοῖς ἀσθενοῦσι τὴν πίστιν ἢ τὴν γνῶσιν, ὁ ποιήσας οὐκ ἐκφεύγει τοῦ σκανδάλου τὸ κρῖμα· τοῦ Ἀποστόλου λέγοντος περὶ τῶν τοιούτων (72), καὶ μὴ φειδομένων τῶν ἀσθενούντων· « Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. » Ὥστε, ὅταν ἢ τὸ γενόμενον (73) τῷ ἰδίῳ λόγῳ κακὸν ὑπάρχον αἴτιον D γένηται σκανδαλισμοῦ, ἤ τι τῶν συγκεχωρημένων καὶ ἐν ἐξουσίᾳ ἡμετέρᾳ κειμένων ὑπάρχον τῷ ἀσθενοῦντι τὴν πίστιν ἢ τὴν γνῶσιν γένηται σκάνδαλον, φανερὸν καὶ ἀπαραίτητον ἔχει τὸ φοβερὸν ἐκεῖνο κρῖμα τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον οὕτως· « Συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν

[78] Joan. VI, 66. [79] ibid. 67-70. [80] Luc. II, 34. [81] II Cor. II, 16. [82] Matth. XVI, 23. [83] ibid. [84] Ose. VI, 9. [85] I Cor. VIII, 12.

(67) Veteres duo libri μαθητῶν αὐτοῦ ἀκούσαντες. Paulo post Reg. secundus οὖν ὁ Κύριος.

(68) Sic Regii duo. Editi τὴν ἑαυτῶν πρός.

(69) Unus ms. γένηται. Nec ita multo infra mss. duo ἐκπληρῶσαι.

(70) Reg. secundus σκάνδαλον εἶ ἐμοί. Statim editi ὀλίγα. At mss. duo ὀλίγη. Ibidem iidem mss. τὸ καθόλου ἰδίωμα.

(71) Veteres duo libri ᾖ τι τῶν. Vocula τι aberat a vulgatis.

(72) Factum est ab imperitis librariis, ut ubi in editis incorrupte legitur τοιούτων, corrupte legatur in nostris veteribus libris ποιούντων.

(73) Unus ms. τὸ γινόμενον... αἴτιον γίνηται.

τράχηλον αὐτοῦ, καὶ ἔῤῥιπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων.» (74) Πλατύτερον δὲ ἐν τοῖς πρώτοις ἐρωτήμασιν ἐξεθέμεθα, ἔνθα καὶ οἱ τρόποι τῶν σκανδαλιζομένων σαφέστερον ἐξητάσθησαν. Διόπερ ὁ Ἀπόστολος ἐπὶ τῶν συγκεχωρημένων φησί· «Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ·» καὶ πάλιν ἀλλαχοῦ λέγων ὅτι, «Πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον·» ὅμως φησὶν, «Οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.» Εἰ δὲ ἐπὶ τῶν συγκεχωρημένων τοιοῦτον τὸ κρῖμα, τί ἂν τις εἴποι περὶ τῶν κεκολυμένων; Διόπερ καθολικώτερον ἡμᾶς παιδεύει, λέγων· «Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν.»

ΕΡΩΤΗΣΙΣ ΙΑ'

Εἰ χρὴ ἢ ἀκίνδυνόν ἐστι παραιτεῖσθαί τι τῶν προστεταγμένων ὑπὸ τοῦ Θεοῦ, ἢ κωλύειν τὸν ἐπιταχθέντα ποιῆσαι, ἢ κωλυόντων ἀνέχεσθαι· μάλιστα ἐὰν γνήσιος ᾖ ὁ κωλύων, ἢ λογισμὸς εὐλογοφανὴς ἀντιπίπτῃ τῷ προστάγματι.

ΑΠΟΚΡΙΣΙΣ.

Τοῦ Κυρίου λέγοντος, «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ,» δῆλον, ὅτι (75) καὶ πάντα ἀσφαλέστερον παιδευόμεθα μνημονεύοντες αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ ζῶντος, ἡνίκα Ἰωάννης ὁ Βαπτιστὴς εἶπεν αὐτῷ, «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;» ἀποκριναμένου, ὅτι «Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην·» ἐπὶ δὲ τῶν μαθητῶν, ἡνίκα ἀπηύξατο ὁ Πέτρος τοὺς ἐν Ἱερουσαλὴμ προφητευθέντας ὑπ' αὐτοῦ τοῦ Κυρίου ἐπάγεσθαι πειρασμοὺς, ἀγανακτικώτερον εἰπόντος· «Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν (76) μου εἶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων·» καὶ πάλιν, ἡνίκα ὁ αὐτὸς Πέτρος παρῃτήσατο τὴν ὑπηρεσίαν διαθέσει τιμῆς τῆς πρὸς τὸν Δεσπότην, πάλιν εἰπόντος τοῦ Κυρίου ὅτι, «Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ.» Εἰ δὲ δεῖ πλεῖον βοηθηθῆναι τὴν ψυχὴν ἐν τοῖς τῶν ὁμογενῶν ὑποδείγμασι, μνημονεύσωμεν τοῦ Ἀποστόλου λέγοντος· «Τί ποιεῖτε κλαίοντες, καὶ συνθρύπτοντές (77) μου τὴν καρδίαν; Ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ.» Ποῖος δ' ἂν ᾖ ἐνδοξότερος Ἰωάννου, ἢ γνησιώτερος Πέτρου, ἢ λογισμοὶ τῶν

suspendatur mola asinaria circa collum ejus, et projiciatur in mare, quam ut scandalizet unum ex pusillis istis [86]. » Fusius autem hoc in prioribus quæstionibus exposuimus, ubi et eorum, qui scandalum perpetiuntur, clarius expensa est indoles. Quapropter Apostolus etiam de licitis dicit : « Bonum est non manducare carnem, et non bibere vinum, neque in quo frater tuus offenditur, aut scandalizatur, aut infirmatur [87]. » Et rursus alibi ait : « Omnis creatura Dei bona est, nec quidquam, quod cum gratiarum actione sumatur, rejiciendum est [88] : » sed tamen dicit : « Non manducabo carnem in æternum, ne fratrem meum scandalizem [89]. » Quod si de licitis judicium ejusmodi fertur, quid quis dixerit de vetitis? Idcirco universalius erudit nos, cum dicit : « Sine offensione estote et Judæis et Græcis, et Ecclesiæ Dei, sicut et ego per omnia omnibus placeo, non quærens quod mihi utile est, sed quod multis, ut salvi fiant [90]. »

QUÆSTIO XI.

An conveniat, aut tutum sit, aliquid eorum quæ a Deo præcepta sunt, recusare, aut prohibere eum cui imperatum fuerit hoc ipsum facere, aut prohibentes tolerare, maxime si germanus et affinis sit qui prohibet, aut si speciosa aliqua ratio præcepto obstet.

RESPONSIO.

Cum Dominus dicat, « Discite a me, quod mitis sum et humilis corde [91], » perspicuum est omnia etiam a nobis certius disci tum, cum ipsius **671** Domini nostri Jesu Christi unigeniti Filii Dei vivi memores sumus : qui, cum Joannes Baptista ei dixisset : « Mihi opus est ut abs te baptizer, et tu venis ad me [92] ? » respondit : « Sine modo : sic enim decet nos implere omnem justitiam [93]. » Atque etiam coram discipulis, cum Petrus deprecaretur eas tentationes, quas Dominus ipse sibi in Jerusalem subeundas prænuntiarat, videlicet, ut ne ipsi inducerentur, tunc cum indignatione majore dixit : « Vade post me, Satana, scandalum mihi es; quia non sapis ea quæ Dei sunt, sed ea quæ hominum [94]. » Et rursus, cum ille ipse Petrus, affectu reverentiæ erga Dominum pulsus, ministerium recusaret, iterum Dominus dixit : « Nisi lavero te, non habes partem mecum [95]. » Quod si eorum, qui nobis genere similes sunt, exemplis amplius adjuvanda anima est, recordemur apostoli, qui dixit : « Quid facitis flentes, et affligentes cor meum? Ego enim non solum alligari, sed et mori in Jerusalem paratus sum, propter nomen Domini Jesu [96]. » Quis autem aut gloriosior ac celebrior fuerit Joanne, aut sincerior Petro? aut quæ rationes iis quas illi

[86] Luc. XVII, 2. [87] Rom. XIV, 21. [88] I Tim. IV, 4. [89] I Cor. VIII, 13. [90] I Cor. X, 32, 33. [91] Matth. XI, 29. [92] Matth. III, 14. [93] ibid. 15. [94] Matth. XVI, 23. [95] Joan. XIII, 8. [96] Act. XXI, 13.

(74) Amplior illa quæstio, cujus hic mentio fit, videtur non exstare. Haud longe editi ἐξετέθησαν. Regii primus et tertius ἐξητάσθησαν.
(75) Antiqui tres libri δῆλον δὲ, ὅτι.
(76) Editi ὅτι σκάνδαλον. Vocula ὅτι deest in Reg. tertio. Ibidem Reg. primus pro μου habet ἐμοί.
(77) Reg. primus καὶ συντρίβοντές μου, *et conterentes cor meum*. Nec ita multo post editi ᾗ ἐνδοξότερος. Veteres duo libri ᾖ.

obtenderunt, videri possint religiosiores? Ego vero scio, quod neque sanctus ille Moses, neque Jonas propheta, ratiocinationibus suis ad obedientiam denegandam usi, inculpati permanserint apud Deum. Quibus erudimur, ut neque contradicamus, neque prohibeamus, neque toleremus prohibentes. Quod si Scriptura prorsus nos docuit hæc et ejusdem generis alia non tolerare, quanto magis in reliquis necesse habuerimus sanctos imitari? qui nunc quidem dicunt, « Obedire oportet Deo magis quam hominibus [97] : » nunc vero, « An justum sit, vos potius audire quam Deum, judicate. Non enim possumus quæ vidimus, et audivimus, non loqui [98]. »

A ἐκείνοις ὑποπεσόντων φανεῖεν ἂν εὐλαβέστεροι; Ἐγὼ δὲ οἶδα, οὔτε Μωσῆς ὁ ἅγιος, οὔτε Ἰωνᾶς ὁ προφήτης, εἰς (78) ἀθέτησιν ὑπακοῆς χρησάμενοι λογισμοῖς, ἀνέγκλητοι ἔμειναν παρὰ Θεῷ. Δι' ὧν παιδευόμεθα μήτε ἀντιλέγειν, μήτε κωλύειν, μήτε κωλυόντων ἀνέχεσθαι. Εἰ δὲ τούτων (79) καὶ τῶν τοιούτων καθάπαξ ἐδίδαξεν ὁ λόγος μὴ ἀνέχεσθαι, πόσῳ μᾶλλον ἐπὶ τῶν λοιπῶν μιμεῖσθαι τοὺς ἁγίους ἀναγκαῖον; ποτὲ μὲν εἰπόντας, « Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις· » ποτὲ δὲ, « Εἰ δίκαιόν ἐστιν ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. Οὐ δυνάμεθα γὰρ ἃ εἴδομεν, καὶ ἠκούσαμεν, μὴ λαλεῖν. »

QUÆSTIO XII.

An quisque debeat omnium in omnibus curam suscipere, an solum eorum, qui sibi concrediti sunt, idque juxta impertitum sibi a Deo per Spiritum sanctum donum.

ΕΡΩΤΗΣΙΣ ΙΒ'.

B *Εἰ πᾶς ὀφειλέτης ἐστὶ πάντων τῆς ἐν πᾶσιν ἐπιμελείας, ἢ μόνον (80) τῶν πεπιστευμένων· καὶ τούτων κατὰ τὸ μερισθὲν αὐτῷ ὑπὸ Θεοῦ διὰ Πνεύματος ἁγίου χάρισμα.*

RESPONSIO.

1. Cum Dominus noster Jesus Christus unigenitus Filius Dei per quem omnia facta sunt, et visibilia et invisibilia, confiteatur: « Non sum missus, nisi ad oves quæ perierunt domus Israel [99]. » et discipulis suis dicat: « Sicut misit me Pater, et ego misi vos [1], » præcipiat vero, « In viam gentium ne abieritis, et in civitatem Samaritanorum ne intraveritis [2], » et post completam in se prophetiam Davidis, qui velut ex persona Dei et Patris dixit, « Filius meus es tu, ego hodie genui te: postula a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ [3], » tum demum discipulis suis præcipiat, « Euntes docete omnes gentes [4]; » **672** quomodo non multo magis unusquisque nostrum diligentius servare debet præceptum Apostoli, qui scripsit: « Ne quis plus sapiat, quam oportet sapere, sed sapiat ad sobrietatem, sicut unicuique Deus divisit mensuram fidei [5], » et exspectandum, quando, et quid præcipiatur, ut iterum etiam ait: « Unusquisque in quo vocatus est, fratres, in hoc maneat [6]. » Sed et idem apostolus id quod aliis præcipit, accuratius custodiens dicit: « Dextras dederunt mihi et Barnabæ societatis, ut nos quidem in gentes, ipsi vero in circumcisionem [7]. »

ΑΠΟΚΡΙΣΙΣ.

1. Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ (81) Χριστοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο, ὁρατά τε καὶ ἀόρατα, ὁμολογοῦντος μὲν ὅτι, « Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· » λέγοντος δὲ τοῖς ἑαυτοῦ μαθηταῖς, « Καθὼς ἀπέστειλέ με ὁ Πατὴρ, κἀγὼ ἀπέστειλα (82) ὑμᾶς· » παραγγέλλοντος δὲ, « Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθειν, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσελθεῖν· » μετὰ δὲ τὸ τὴν προφητείαν εἰς αὐτὸν πληρωθῆναι τοῦ Δαβὶδ εἰπόντος, ὡς ἐκ προσώπου τοῦ Θεοῦ καὶ C Πατρὸς, « Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· » τότε καὶ (83) τοῖς ἑαυτοῦ μαθηταῖς παραγγείλαντος, « Πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη· » πῶς οὐ πολλῷ μᾶλλον ἕκαστος ἡμῶν ἀκριβέστερον φυλάσσειν ὀφείλει τὸ τοῦ Ἀποστόλου παράγγελμα γράψαντος, « Μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως, » ἀναμένειν δὲ, πότε, καὶ τί ἐπιταχθῇ, καθὼς φησι καὶ πάλιν· « Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοὶ, ἐν τούτῳ μενέτω. » Ἀλλὰ καὶ ὁ αὐτὸς δὲ Ἀπόστολος, ὃ ἑτέροις παραγγέλλει, ἀκριβέστερον φυλάσσων, λέγει· « Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵν' ἡμᾶς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ D δὲ εἰς τὴν περιτομήν. »

2. Sed si necessitas aliqua ita aliquando postulet, dilectione Dei aut proximi ad id quod deest supplendum vocante, is qui obedierit, mercedem habebit voluntariæ obedientiæ. Vocat autem illa, quando Dei et Christi ipsius dilectio exi-

2. Ἐὰν δέ ποτε ἀνάγκη γένηται τῆς ἀγάπης τῆς πρὸς τὸν Θεὸν ἢ τῆς πρὸς τὸν πλησίον καλούσης εἰς ἀναπλήρωσιν τοῦ ἐλλείποντος, ὁ ὑπακούσας ἔχει τὸν μισθὸν τῆς ἑκουσίου ὑπακοῆς. Καλεῖ δὲ, ὅτε ἐστὶ πρὸς τὸν Θεὸν καὶ τὸν Χριστὸν αὐτοῦ ἀγά-

[97] Act. v, 29. [98] Act. iv, 19, 20. [99] Matth. xv, 24. [1] Joan. xx, 21. [2] Matth. x, 5. [3] Psal. ii, 7,8. [4] Matth. xxviii, 19. [5] Rom. xii, 3. [6] I Cor. vii, 24. [7] Gal. ii, 9.

(78) Reg. primus προφήτης, οὔτε Ἱερεμίας εἰς: quod ipsum quoque alienum non est. Cum enim Jeremias verbum Dei nuntiare juberetur, respondit: *Nescio loqui.*

(79) Editi ἐκ τούτων. Voculam ἐκ delevi, veteribus libris auctoribus.

(80) Codices duo μόνων. Mox editi μερισθὲν αὐτῷ ὑπὸ τοῦ Πνεύματος ἁγίου χάρισμα. At mss. tres ut in contextu.

(81) Veteres duo libri ἡμῶν καὶ πάντων Ἰησοῦ. Editi ἡμῶν Ἰησοῦ. Statim editi Θεοῦ τοῦ ζῶντος. Sed illud, τοῦ ζῶντος, deest in nostris veteribus libris.

(82) Codices duo κἀγὼ πέμπω, *mitto*.

(83) Editi γῆς· καὶ τότε. At mss. duo γῆς· τότε καί.

πη πληρῶσαι τὴν ἐντολὴν τοῦ Κυρίου, εἰπόντος· « Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ (84) ἠγάπησα ὑμᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. » Ἡ δὲ πρὸς τὸν πλησίον, ἡνίκα ἂν ὁ ἐγκεχειρισμένος τὴν προστασίαν βοηθείας χρείαν σχῇ, ἢ τὸ τάγμα τῶν (85) φροντιζομένων χρείαν ἔχῃ τοῦ ἀναπληροῦντος τὸ προσλεῖπον, τοῦ Ἀποστόλου εἰπόντος, « Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος· » ἡ γὰρ κατὰ Χριστὸν ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς· καὶ ἀλλαχοῦ, « Οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. » Ὥστε εἰς ὅ τι μὲν ἀπεστάλη τις, μὴ πληρώσας τὸ κήρυγμα ἔργῳ καὶ λόγῳ, ἔνοχός ἐστι τοῦ αἵματος τῶν μὴ ἀκουσάντων· καὶ οὐκ ἔχει ἐξουσίαν εἰπεῖν (86) τὰ αὐτὰ τῷ Ἀποστόλῳ διαμαρτυρομένῳ τοῖς πρεσβυτέροις Ἐφεσίων, ὅτι « Καθαρός εἰμι ἀπὸ τοῦ νῦν ἀπὸ τοῦ αἵματος πάντων ὑμῶν. Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. » Ἐὰν δὲ πλέον τι τοῦ ἐπιτεταγμένου ποιῆσαι δυνηθῇ εἰς οἰκοδομὴν τῆς πίστεως ἐν ἀγάπῃ Χριστοῦ, μισθὸν ἔχει, ὃν ὑπέδειξεν ἡμῖν ὁ Ἀπόστολος, εἰπών· « Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι. »

ΕΡΩΤΗΣΙΣ ΙΓ΄.

Εἰ χρὴ πάντα πειρασμὸν ὑπομένειν, κἂν θανάτου ἔχῃ ἀπειλὴν, ὑπὲρ τοῦ φυλαχθῆναι τὴν πρὸς Θεὸν ὑπακοὴν, καὶ μάλιστα ἐν τῇ ἐπιμελείᾳ τῶν πεπιστευμένων.

ΑΠΟΚΡΙΣΙΣ.

1. Εἰ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, δι' οὗ τὰ πάντα ἐγένετο, ὁρατά τε καὶ ἀόρατα, ὁ ζωὴν ἔχων, ὥσπερ ἔχει ὁ δεδωκὼς αὐτῷ Πατὴρ, ὁ τὴν ἐξουσίαν πᾶσαν λαβὼν παρὰ τοῦ Πατρὸς, ἐπερχομένων τῶν συλλαμβανόντων αὐτὸν εἰς τὸν ὑπὲρ τῆς ἡμετέρας δικαιοσύνης καὶ αἰωνίου ζωῆς θάνατον, μετὰ τοσαύτης ἀπήντησε προθυμίας, λέγων· « Ἰδοὺ παραδίδοται ὁ Υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν· ἐγείρεσθε, ἄγωμεν· ἰδοὺ ὁ παραδιδούς με ἤγγικε· » καὶ ὡς ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ γέγραπται· « Ἰησοῦς οὖν, εἰδὼς πάντα τὰ ἐρχόμενα (87) ἐπ' αὐτὸν, ἐξελθὼν εἶπεν αὐτοῖς· Τίνα ζητεῖτε; » Ἀπεκρίθησαν αὐτῷ· « Ἰησοῦν τὸν Ναζωραῖον· » Λέγει αὐτοῖς ὁ Ἰησοῦς· « Ἐγώ εἰμι· » καὶ μετ' ὀλίγα· « Εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι· εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν· » πόσῳ μᾶλλον ἡμεῖς τὰ κατὰ φύσιν ἐκόντες ὑπομένειν ὀφείλομεν; ἵνα, διὰ τὴν πρὸς τὸν Θεὸν ὑπακοὴν νικῶντες τοὺς ἐπαγομένους ὑπὸ τῶν ἐχθρῶν πειρασμοὺς, δοξάσωμεν τὸν Θεὸν, ὅτι τὰ δοκοῦντα παρὰ τῶν ἐχθρῶν ἐπάγεσθαι λυπηρὰ μέχρι θανάτου χαίροντες δεχόμεθα, τὸ φρόνημα κατορθώσαντες τοῦ λέγοντος ὅτι, « Ὑμῖν ἐχαρίσθη τὸ

A git ut impleatur mandatum Domini, qui dicit: « Mandatum novum do vobis, ut diligatis invicem, sicut ego dilexi vos [8]. Majorem hac dilectionem nemo habet, ut animam suam ponat quis pro amicis suis [9]. » Vocat vero proximi dilectio, quando aut ei qui præfectus, est opus est auxilio, aut agmen eorum qui curantur, aliquo, qui quod deest suppleat, indiget, dicente Apostolo: « Nemo quærat quod suum est, sed quisque quod alterius [10]; » nam Christi dilectio non quærit quæ sua sunt [11], et alibi: « Ædificate singuli singulos, sicut et facitis [12]. » Quamobrem qui prædicationem, ad quam missus est, opere et sermone non complevit, reus est sanguinis eorum qui non audierint; nec dicere potest eadem, quæ Paulus apostolus senioribus B Ephesiorum declarat: « Mundus sum ab hoc tempore a sanguine omnium vestrum. Non enim subterfugi, quominus annuntiarem vobis omne consilium Dei [13]. » Si vero amplius quid, quam quod præceptum est, facere potuerit ad ædificationem fidei, in dilectione Christi, mercedem habet, quam ostendit nobis Apostolus, dicens: « Si enim volens hoc ago, mercedem habeo: si autem invitus, dispensatio mihi credita est [14]. »

QUÆSTIO XIII.

An quævis tentatio pro servanda erga Deum obedientia, etiamsi mortis communicationem habeat, sustinenda sit, et maxime in iis qui nobis concrediti sunt, curandis.

RESPONSIO.

C 1. Si Dominus noster Jesus Christus unigenitus Filius Dei viventis, per quem omnia tum visibilia tum invisibilia facta sunt, qui vitam habet, quemadmodum habet qui ei dedit Pater, qui potestatem omnem a Patre accepit, cum accederent qui ipsum ad mortem pro nostra justitia et æterna vita subeundam erant apprehensuri, alacritate tanta obviam ivit, dicens: « Ecce traditur Filius hominis in manus peccatorum: surgite, eamus; ecce qui tradit me, prope est [15], » et sicut in Evangelio secundum Joannem scriptum est: « Jesus itaque sciens omnia, quæ ventura erant super se, progressus dixit eis: **673** Quem quæritis? responderunt ei: Jesum Nazarenum. Dicit eis Jesus: Ego D sum [16]; » nec multo post: « Dixi vobis, quod ego sum; si ergo me quæritis, sinite hos abire [17]; » quanto magis nos ea quæ naturaliter accidunt, debemus libenter perferre? ut propter obedientiam erga Deum nostram tentationes ab inimicis illatas vincentes, Deum afficiamus gloria, quod molestias quæ nobis ab inimicis exhiberi videntur, hilare ad mortem usque sustinemus, sententiam assecuti ejus, qui dixit: « Vobis donatum est pro Christo

[8] Joan. XIII, 34. [9] Joan. XV, 13. [10] I Cor. X, 24. [11] I Cor. XIII, 5. [12] I Thess. V, 11. [13] Act. X, 26, 27. [14] I Cor. IX, 17. [15] Marc. XIV, 41, 42. [16] Joan. XVIII, 4, 5. [17] ibid. 8.

(84) Illud ἐγὼ abest ab antiquis duobus libris.

(85) Veteres duo libri χρείαν ἔχῃ, ἢ τό. Mox unus mss. ἔχῃ τοῦ. Editi ἔχει.

(86) Codices duo ἔχει παῤῥησίαν εἰπεῖν, sensu non dissimili.

(87) Veteres duo libri ἐπερχόμενα. Editi ἐρχόμενα.

non solum ut in eum credatis, sed ut etiam pro illo patiamini [18]. » Prædicant autem Acta certamina apostolorum, in quibus narrantur contumelias ac mortes cum gaudio suscepisse, ut complerent prædicandi munus juxta mandatum Domini [19].

2. Docet autem nos et Apostolus, cum dicit : « Quis nos separabit a charitate Dei? tribulatio, an angustia, an persecutio, an fames, an nuditas, an periculum, an gladius? Sicut scriptum est : Propter te mortificamur tota die : æstimati sumus sicut oves occisionis. Sed in his omnibus superamus, per eum qui dilexit nos. Nam mihi persuasum habeo, quod neque mors, neque vita, neque angeli, neque principatus, neque potestates, neque virtutes, neque instantia, neque futura, neque altitudo, neque profundum, neque ulla creatura alia poterit nos separare a charitate Dei, quæ est in Christo Jesu [20] : » siquidem charitas quæ in Christo est, necessario et indesinenter conjunctam habet mandatorum observationem, quemadmodum Dominus ipse dixit : « Qui diligit me, mandata mea servabit : qui vero sermones meos non servat, hic non diligit me [21]; » et : « Vos amici mei estis, si feceritis quæ ego præcipio vobis [22]. » Novum autem et proprium ipsius mandatum est, ut nos mutuo diligamus, quod adimplens Apostolus, dicit : « Ita desiderantes vos, cupide volebamus tradere vobis non solum Evangelium Christi, sed etiam animas nostras, quoniam charissimi nobis facti estis [23]. » Itaque respicientes ad Christum, per gloriosam imitationem intendamus animi alacritatem; considerantes vero sanctos, quoad ejus fieri poterit, erudiamur, ut hac ratione alacriores facti, omne Domini mandatum citra maculam ac reprehensionem servemus, ingrediamurque in vitam æternam, et possideamus regnum cœlorum, quemadmodum promisit verax Dominus, et Deus noster Jesus Christus, unigenitus Dei vivi Filius.

A ὑπὲρ Χριστοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. » Κηρύσσουσι δὲ τοὺς τῶν ἀποστόλων ἀγῶνας αἱ Πράξεις ἱστοροῦσαι, ὅτι τὰς ὕβρεις καὶ τοὺς θανάτους μετὰ χαρᾶς ἐδέξαντο, ὑπὲρ τοῦ πληρῶσαι τὸ κήρυγμα κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου

2. Παιδεύει δὲ ἡμᾶς καὶ ὁ Ἀπόστολος λέγων· « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; Καθὼς γέγραπται ὅτι, Ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε ἐξουσίαι, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, B οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ· » τῆς ἀγάπης τῆς ἐν Χριστῷ κατηναγκασμένως καὶ ἀπαραλείπτως ἐχούσης τὴν τήρησιν τῶν ἐντολῶν, καθὼς αὐτὸς ὁ Κύριος εἶπεν· « Ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει· ὁ δὲ μὴ τηρῶν μου τοὺς λόγους, οὗτος οὐκ ἀγαπᾷ με· » καὶ, « Ὑμεῖς φίλοι μού ἐστε, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. » Καινὴ δὲ καὶ ἰδία αὐτοῦ ἐντολὴ τὸ ἀγαπᾷν ἀλλήλους, ἥντινα πληρῶν ὁ Ἀπόστολός φησιν· « Οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ (88), ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς, διότι ἀγαπητοὶ ἡμῖν γεγένησθε. » Ἀφορῶντες οὖν εἰς τὸν Χριστὸν (89), τῇ ἐνδόξῳ μιμήσει τὴν προθυμίαν ἐπι- C τείνωμεν· κατανοοῦντες δὲ τοὺς ἁγίους, τὸ δυνατὸν παιδευώμεθα, ἵνα, διὰ τούτων προθυμότεροι γενόμενοι, ἄσπιλον καὶ ἄμωμον μέχρι θανάτου πᾶσαν τὴν ἐντολὴν τοῦ Κυρίου φυλάξαντες, εἰς τὴν ζωὴν τὴν αἰώνιον εἰσέλθωμεν, καὶ βασιλείαν οὐρανῶν κληρονομήσωμεν, καθὼς ἐπηγγείλατο ὁ ἀψευδὴς Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ μονογενὴς τοῦ Θεοῦ τοῦ ζῶντος Υἱός.

[18] Philipp. I, 29. [19] Act. IV et V. [20] Rom. VIII, 35-39; Psal. XLIII, 22. [21] Joan. XIV, 23, 24. [22] Joan. XV, 14. [23] I Thess. II, 8.

(88) Reg. primus Εὐαγγέλιον τοῦ Θεοῦ, *Evangelium Dei*. Mox duo mss. διότι... ἐγενήθητε.

(89) Antiqui duo libri Ἀφορῶντες οὖν εἰς τὸν D Κύριον. Vocula δέ, quæ mox sequitur, addita est ex libris antiquis.

MONITUM.

674 Satis constat inter eruditos, eam Liturgiam, quæ nomen Basilii præfert, magni illius viri non esse : quoniam tamen Basilii nomine insignitur, ipsam hic edendam judicavimus. Eamdem Basilii Liturgiam ex Coptico conversam hoc ipso in loco vulgabimus quoque : quæ omnia et Græca et Latina e Liturgiis eruditissimi viri Eusebii Renaudotii mutuati sumus. De hac Basilii Liturgia paucis in Præfatione disseremus.

ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ.

LITURGIA

SANCTI BASILII ALEXANDRINA

EX CODICE GRÆCO-ARABICO.

(*Deest nonnihil.*)

Εὐχὴ τοῦ καταπετάσματος.

Ὁ ἱερεὺς λέγει ἐν ἑαυτῷ·

Δοξάζομέν σε, δημιουργὲ καὶ βασιλεῦ τῶν ὅλων, καὶ προσκυνοῦμεν τὸ ἄῤῥητον καὶ σεβάσμιόν σου ὄνομα. Ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐλέησον ἡμᾶς, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάντων πειρασμῶν, ὅτι παρὰ σοῦ βοήθεια καὶ ἀντίληψις. Σῶσον τὸν λαόν σου, ὃν περιεποιήσω διὰ τοῦ αἵματος τοῦ Χριστοῦ σου, δι' οὗ καὶ μεθ' οὗ σοι ἡ τιμή.

Εὐχὴ ἄλλη τῆς θείας λειτουργίας τοῦ Ἀποστόλου καὶ ἀδελφοθέου Ἰακώβου.

Ὁ Θεὸς ὁ διὰ πολλὴν καὶ ἄφατόν σου φιλανθρωπίαν ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον, ἵνα πεπλανημένον ἐπιστρέψῃ πρόβατον, μὴ ἀποστραφῇς ἡμᾶς τοὺς ἁμαρτωλοὺς, ἐγχειροῦντάς σοι τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν. Οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν πεποιθότες ἐσμὲν, ἀλλ' ἐπὶ τῷ ἐλέει σοῦ τῷ ἀγαθῷ, δι' οὗ τὸ γένος ἡμῶν περιποιῇ. Ἱκετεύομεν τὴν σὴν ἀγαθότητα, καὶ προσπίπτομέν σοι, ἵνα μὴ γένηται εἰς κατάκριμα τῷ λαῷ σου τὸ οἰκονομηθὲν ἡμῖν τοῦτο πρὸς σωτηρίαν μυστήριον, ἀλλ' εἰς ἐξάλειψιν ἁμαρτιῶν, εἰς ἀνανέωσιν ψυχῶν καὶ σωμάτων, εἰς εὐαρέστησιν σὴν, τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ ἀγαθοῦ, καὶ ζωοποιοῦ, καὶ ὁμοουσίου σου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ περὶ τῆς εἰρήνης.

Εἰρήνη πᾶσι.

Καὶ πάλιν παρακαλέσωμεν τὸν παντοκράτορα καὶ ἐλεήμονα Θεὸν, τὸν Πατέρα τοῦ Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ Κύριε. Μνήσθητι, Κύριε τῆς εἰρήνης, τῆς ἁγίας, μόνης, καθολικῆς καὶ ἀποστολικῆς σου Ἐκκλησίας.

Προσεύχεσθε ὑπὲρ τῆς εἰρήνης τῆς ἁγίας, μόνης, κ. τ. λ.

Τῆς ἀπὸ περάτων τῆς οἰκουμένης μέχρι τῶν περάτων αὐτῆς, καὶ πάντων τῶν λαῶν, καὶ πάντων τῶν ποιμνίων. Τὴν ἐξ οὐρανοῦ εἰρήνην βράβευσον ταῖς ἁπάντων ἡμῶν καρδίαις· ἀλλὰ καὶ τοῦ βίου τούτου εἰρήνην ἡμῖν δώρησαι. Τὸν βασιλέα, τὰ στρατιωτικὰ τάγματα, τοὺς ἄρχοντας, βουλὰς,

A *Oratio veli.*

Sacerdos dicit secreto:

Te glorificamus, opifex et rex omnium, et adoramus ineffabile et venerandum nomen tuum. Respice super nos et miserere nobis, et libera nos ab omnibus tentationibus, quia a te est auxilium, et protectio: salvum fac populum tuum quem acquisivisti per sanguinem Christi tui, per quem et cum quo tibi debetur gloria, etc.

Oratio alia ex divina Liturgia apostoli et fratris Domini Jacobi.

Deus, qui propter multam et inexplicabilem tuam erga homines charitatem, misisti unigenitum Filium tuum in mundum, ut ovem errabundam reduce-
B ret, ne repellas nos peccatores, qui offerimus tibi timendum hoc et incruentum sacrificium. Non enim in justitiis nostris confidentes sumus, sed in misericordia tua bona, per quam genus nostrum acquiris. Deprecamur et rogamus bonitatem tuam, procumbimusque coram te, ut non fiat in condemnationem populo tuo hoc institutum nobis ad salutem mysterium: sed sit in abolitionem peccatorum, ad renovationem animarum et corporum, et ad beneplacitum tuum Dei et Patris: et unigeniti Filii tui: bonique et vivificantis et consubstantialis tibi Spiritus tui, nunc et semper, et in sæcula sæculorum. Amen.

Oratio pro pace.

C Pax omnibus.

Iterum precemur omnipotentem et misericordem Deum, Patrem Domini, Dei et Salvatoris nostri Jesu Christi, per quem obsecramus et rogamus te, amator hominum, bone Domine. Memento, Domine pacis, sanctæ, unius, catholicæ et apostolicæ tuæ Ecclesiæ.

675 Orate pro pace unius, sanctæ Ecclesiæ, etc.

Quæ est a finibus usque ad fines orbis, omniumque populorum, et omnium gregum. Pacem quæ e cœlo est immitte cordibus omnium nostrum; sed et vitæ hujus pacem nobis concede. Regem, militares ordines, principes viros, consilia, plebes, vicinos nostros, ingressus et egressus nostros omni

pace exorna. Rex pacis, pacem tuam da nobis: omnia enim dedisti nobis. Posside nos, Deus, qui præter te alium non novimus; nomen tuum appellamus. Vivifica omnium nostrum animas, per Spiritum tuum sanctum; neque prævaleat adversus nos servos tuos, mors peccati, neque adversus omnem populum tuum.

Oratio pro papa.

Rursus etiam rogemus omnipotentem et misericordem Deum, Patrem Domini, Dei et Salvatoris nostri Jesu Christi, per quem obsecramus et rogamus te, amator hominum, bone Domine. Memento, Domine, sanctissimi et beatissimi pontificis nostri abba N. papæ et patriarchæ magnæ urbis Alexandriæ. Conservans conserva eum nobis, per annos multos et tempora pacifica, perfecte fungentem eo qui illi a te commissus est pontificatu sancto, secundum sanctam et beatam tuam voluntatem, recte dispensantem verbum veritatis, pascentemque in sanctitate et justitia populum tuum, cum omnibus orthodoxis episcopis, presbyteris, diaconis; cum omni plenitudine sanctæ, solius, catholicæ et apostolicæ tuæ Ecclesiæ: pacem et sanitatem ipsis et nobis benigne concedens, diebus omnibus. Preces etiam illorum quas faciunt pro nobis et pro omni populo tuo, nosque pro ipsis, suscipe super cœleste et benedictum altare tuum, in odorem suavitatis. Omnem quidem inimicum ipsius visibilem aut invisibilem, contere et subjice sub pedibus ejus velociter: ipsum vero in sancta Ecclesia tua in pace et justitia conserva.

Oratio pro congregatione.

Rursus invocemus omnipotentem et misericordem Deum, Patrem Domini Dei et Salvatoris nostri Jesu Christi per quem oramus.... *Deest ut videtur folium.* Facientes voluntatem tuam sanctam, per gratiam et miserationes et benignitatem unigeniti Filii tui, per quem et cum quo, etc.

Populus dicit: Credo in unum Deum.

Oratio osculi pacis S. Basilii.

Pax omnibus.

Domine Deus, qui creasti nos et adduxisti in vitam istam, qui demonstrasti nobis vias ad salutem, qui largitus es nobis cœlestium mysteriorum revelationem, tu es qui constituisti nos ad hoc ministerium in potestate Spiritus tui sancti. Placeat tibi, Domine, fieri nos ministros Novi tui Testamenti; administratores sanctorum tuorum mysteriorum, **676** ut digni efficiamur offerre tibi dona et sacrificia pro peccatis nostris, et populi tui ignorantiis. Et da nobis ut cum omni timore et conscientia pura, offeramus tibi spirituale hoc et incruentum sacrificium: quod suscipiens super altare tuum sanctum, supercœleste et spirituale.

A δήμους, γείτονας ἡμῶν, εἰσόδους καὶ ἐξόδους ἡμῶν, ἐν πάσῃ εἰρήνῃ κατακόσμησον. Βασιλεὺς τῆς εἰρήνης, τὴν σὴν εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κτῆσαι ἡμᾶς, ὦ Θεός· ἐκτός σου ἄλλον οὐχ οἴδαμεν· τὸ ὄνομά σου ὀνομάζομεν. Ζωοποίησον τὰς ἁπάντων ἡμῶν ψυχὰς διὰ τοῦ ἁγίου σου Πνεύματος· καὶ μὴ κατισχύσῃ θάνατος ἁμαρτίας καθ' ἡμῶν τῶν δούλων σου, μηδὲ κατὰ παντὸς τοῦ λαοῦ σου.

Εὐχὴ περὶ τοῦ πάπα.

Καὶ πάλιν παρακαλέσωμεν τὸν παντοκράτορα καὶ ἐλεήμονα Θεὸν, τὸν Πατέρα τοῦ Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ Κύριε. Μνήσθητι, Κύριε, τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιερέως ἡμῶν Ἀββα Δ. πάπα καὶ πα- B τριάρχου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας. Συντηρήσων συντήρησον ἡμῖν αὐτὸν ἔτεσι πολλοῖς καὶ χρόνοις εἰρηνικοῖς, ἐκτελοῦντα αὐτὸν τὴν ὑπὸ σοῦ ἐμπεπιστευμένην αὐτῷ ἁγίαν ἀρχιερωσύνην, κατὰ τὸ ἅγιον καὶ μακάριόν σου θέλημα· ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας, καὶ ποιμαίνοντα τὸν λαόν σου ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· σὺν πᾶσιν ὀρθοδόξοις ἐπισκόποις, πρεσβυτέροις, διακόνοις, σὺν παντὶ τῷ πληρώματι τῆς ἁγίας, καὶ μόνης, καθολικῆς καὶ ἀποστολικῆς σου Ἐκκλησίας· εἰρήνην καὶ ὑγίειαν αὐτοῖς τε καὶ ἡμῖν χαριζόμενος ἐκ πασῶν τῶν ἡμερῶν. Τὰς δὲ εὐχὰς αὐτῶν, ἃς ποιοῦνται ὑπὲρ ἡμῶν, καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ σου, καὶ ἡμεῖς C ὑπὲρ αὐτῶν, πρόσδεξαι ἐπὶ τὸ οὐράνιον καὶ εὐλογημένον σου θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας. Πάντα μὲν ἐχθρὸν αὐτοῦ ὁρατὸν ἢ ἀόρατον σύντριψον καὶ καθυπόταξον ὑπὸ τοὺς πόδας αὐτοῦ ἐπὶ τάχει· αὐτὸν δὲ ἐν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ διαφύλαξον.

Εὐχὴ περὶ τῆς ἐπισυναγωγῆς.

Καὶ πάλιν παρακαλέσωμεν τὸν παντοκράτορα καὶ ἐλεήμονα Θεὸν, τὸν Πατέρα Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ δεόμεθα . . . . . . τας τὸ θέλημά σου τὸ ἅγιον χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, δι' οὗ καὶ μεθ' οὗ, κ. τ. λ.

Ὁ λαὸς λέγει· Πιστεύω εἰς ἕνα Θεόν.

Εὐχὴ ἀσπασμοῦ τοῦ ἁγίου Βασιλείου.

D Εἰρήνη πᾶσιν.

Κύριε ὁ Θεὸς, ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν· σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου. Εὐδόκησον δὴ, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς Καινῆς σου Διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου μυστηρίων, ἵνα ἄξιοι γενώμεθα τοῦ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ σου ἀγνοημάτων. Καὶ δὸς ἡμῖν μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς προσκομίσαι σοι τὴν πνευματικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν, ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερ-

οὐράνιον καὶ νοερόν σου θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος. Ναὶ, ὦ Θεὸς, ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἔπιδε ἐπὶ τὴν λογικὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτὴν, ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν. Οὕτως καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ προκείμενα δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου, Κύριε, καὶ δὸς γενέσθαι εὐπρόσδεκτα, ἡγιασμένα ἐν Πνεύματι ἁγίῳ, εἰς ἐξιλασμὸν τῶν ἡμετέρων πλημμελημάτων, καὶ τῶν τοῦ λαοῦ σου ἀγνοημάτων, καὶ εἰς ἀνάπαυσιν προκοιμηθέντων ψυχῶν, ἵνα καὶ ἡμεῖς οἱ ταπεινοὶ, καὶ ἁμαρτωλοὶ, καὶ ἀνάξιοι δοῦλοί σου, καταξιωθέντες ἀμέμπτως λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, λάβωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, καὶ εὕρωμεν χάριν καὶ ἔλεος ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας καὶ ἀγαθῆς. Καὶ τὰ νῦν δὸς ἡμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ· καὶ τὴν σὴν ἀγάπην δώρησαι ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν, εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσασθαι ἐκτενῶς. Χάρισαι παντὸς ἀποκάθαρον [sic] μολύσματος, παντὸς δόλου, καὶ πάσης κακίας, καὶ πανουργίας, καὶ τῆς θανατηφόρου μνησικακίας, καὶ καταξίωσον ἡμᾶς πάντας, Δέσποτα, ἀσπάσασθαι ἀλλήλους ἐν φιλήματι ἁγίῳ, εἰς τὸ μετασχεῖν ἀκατακρίτως τῆς ἀθανάτου καὶ ἐπουρανίου σου δωρεᾶς διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, καὶ δεδοξασμένος σὺν πᾶσιν ἁγίοις.

Εὐχὴ ἄλλη ἀσπασμοῦ.

Ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος, ὁ κτίσας ἐν ἀφθαρσίᾳ τὸν ἄνθρωπον, καὶ τὸν εἰσελθόντα φθόνῳ τοῦ διαβόλου θάνατον εἰς τὸν κόσμον διὰ τῆς ζωοποιοῦ παρουσίας τοῦ μονογενοῦς σου Υἱοῦ καθελὼν, καὶ τῆς οὐρανόθεν εἰρήνης ἐμπλήσας τὴν γῆν, ᾗ αἱ τῶν ἀγγέλων ἐδόξασάν σε στρατιαὶ λέγουσαι, « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· » εὐδοκίᾳ τῆς σῆς εἰρήνης ἔμπλησον τὰς καρδίας ἡμῶν. Χάρισαι παντὸς ἀποκάθαρον [sic] μολύσματος, παντὸς δόλου, καὶ πάσης κακίας, καὶ τῆς θανατηφόρου μνησικακίας, καὶ καταξίωσον ἡμᾶς ἀσπάσασθαι ἀλλήλους ἐν φιλήματι ἁγίῳ εἰς τὸ μετασχεῖν ἀκατακρίτως τῆς ἀθανάτου καὶ ἐπουρανίου σου δωρεᾶς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ σοι δόξα καὶ τιμὴ, κ.τ.λ.

Εὐχὴ ἄλλη τοῦ ἀσπασμοῦ.

Πᾶσαν ὑπερεκκύπτει τοῦ λόγου δύναμιν καὶ νοῦ φαντασίαν ἡ τῶν σῶν δωρεῶν, ὦ Δέσποτα, φιλοτιμία. Ἃ γὰρ ἀπὸ σοφῶν καὶ συνετῶν ἀπέκρυψας, αὐτὰ τοῖς νηπίοις ἡμῖν ἀπεκάλυψας. Καὶ οἱ προφῆται καὶ βασιλεῖς, ἐπιθυμήσαντες ἰδεῖν, οὐχ ἑωράκασιν αὐτὰ, [sic] διακονεῖν, καὶ τούτοις ἁγιάζεσθαι, τοῖς ἁμαρτωλοῖς ὑμῖν ἐδωρήσω. Τοῦ μονογενοῦς σου Υἱοῦ παρέστησας ἡμῖν τὴν οἰκονομίαν, καὶ τῆς θυσίας ταύτης τὴν μυσταγωγίαν, καθ' ἣν

A in odorem suavitatis, mitte invicem nobis gratiam sancti tui Spiritus. Ita, o Deus, aspice super nos, et intuere rationalem hunc cultum nostrum, et suscipe illum, sicut suscepisti eumdem ab sanctis apostolis tuis, cultum hunc verum. Ita et ex manibus nostris, (quamvis) peccatorum, suscipe proposita dona ista, per bonitatem tuam, Domine; et concede, ut accepta fiant, sanctificata per Spiritum sanctum, ad expiationem delictorum nostrorum, et populi tui ignorantiarum, et ad requiem animarum eorum qui obierunt, ut etiam nos humiles, peccatores, et indigni servi tui, digni effecti inculpate ministrandi ad altare sanctum tuum, accipiamus mercedem fidelium, et prudentium œconomorum, et inveniamus gratiam et misericor-
B diam in die timenda retributionis tuæ justæ et bonæ. Nunc autem da nobis pacem in omnibus, et omni modo; et charitatem tuam concede nobis, Domine Deus noster, ad fraternum amorem neque simulatum, quo possimus ex puro corde nos invicem vehementer diligere. Dignare mundare nos ab omni inquinamento, ab omni dolo, omni malo, et versutia, et mortifera injuriarum recordatione; nosque fac dignos omnes, Domine, salutandi invicem in osculo sancto, ut a condemnatione immunes, participes simus immortalis et supercœlestis doni tui, per miserationes unigeniti Filii tui, per quem benedictus es, et glorificatus cum omnibus sanctis, etc.

C *Oratio alia osculi pacis.*

Deus, qui es magnus et æternus: qui creasti hominem in incorruptione, et mortem quæ per invidiam diaboli intraverat in mundum, per vivificam præsentiam unigeniti Filii tui destruxisti: qui pace cœlitus demissa terram implevisti, propter quam te angelorum exercitus glorificaverunt dicentes: « Gloria in excelsis Deo, et in terra pax, in hominibus bona voluntas [24]; » bona illa voluntate pacis tuæ, imple corda nostra. Dignare mundare nos ab omni inquinamento, ab omni malo et versutia, et mortifera injuriarum recordatione: nosque fac dignos salutandi invicem in osculo sancto, ut condemnationis immunes, participes simus
D immortalis et cœlestis doni tui, in Christo Jesu Domino nostro, per quem, et cum quo tibi gloria et honor, etc.

Alia oratio osculi pacis.

Omnem superat vim rationis, et intellectus imaginationem [25], donorum tuorum, Domine, magnificentia. Quæ enim a sapientibus et prudentibus absconderas, ea parvulis nobis revelasti [26]. Prophetæ etiam et reges cupientes ea videre, non viderunt [27], quæ administrare, et per ea sanctificari dedisti nobis peccatoribus. Unigeniti Filii tui dispensationem **677** nobis exhibuisti, et hujus sacrificii mystagogiam, in qua non legalis sanguis, non

[24] Luc. II, 14. [25] Philipp. IV, 7. [26] Matth. XI, 25. [27] Matth. XIII, 17.

carnis justificatio, sed agnus spiritualis est, gladius quoque spiritualis et incorporeus. Hoc igitur sacrificium tibi offerentes, petimus a te, amator hominum, purifica nostra labia, et ab omni mistione materiali mentem nostram libera. Mitte nobis invicem gratiam sancti tui Spiritus, et nos dignos fac salutandi invicem in osculo sancto, ut condemnationis immunes, participes simus immortalis et cœlestis doni tui, in Christo Jesu Domino nostro, per quem, etc.

Datur osculum pacis.

Diaconus dicit : Stemus decenter.

Sacerdos alta voce : Dominus sit cum vobis omnibus.

Populus : Et cum spiritu tuo.

Sacerdos : Sursum habeamus corda.

Populus : Habemus ad Dominum.

Sacerdos : Gratias agamus Domino.

Populus : Dignum et justum est.

Sacerdos : Dignum et justum : dignum et justum : vere dignum est et justum.

Initium oblationis.

Domine qui es, Deus veritatis, exsistens ante sæcula et regnans in sæcula : qui in excelsis habitas in sæculum, et humilia respicis [28] : qui fecisti cœlum, et terram, et mare, atque omnia quæ in eis sunt : Pater Domini Dei et Salvatoris nostri Jesu Christi, per quem omnia fecisti [29], visibilia et invisibilia : qui sedes super thronum sanctæ gloriæ regni tui ; qui ab omni sancta potestate adoraris.

Diaconus : Qui sedetis, surgite.

Sacerdos : Cui assistunt angeli et archangeli, principatus et potestates, throni, dominationes et virtutes.

Diaconus dicit : Ad orientem aspicite.

Qui circum te consistunt, cherubim multi oculi, seraphim sex alis instructi, semper laudantes clamantes et dicentes.

Diaconus : Attendamus.

Populus : Sanctus, sanctus sanctus Dominus Sabaoth.

Sanctus, sanctus, sanctus es vere, Domine Deus noster, qui plasmasti nos, et fecisti nos, et posuisti nos in paradiso voluptatis. Cum vero transgressi essemus præceptum tuum, per deceptionem serpentis, et excidissemus vita æterna, expulsique essemus ex paradiso voluptatis, non abjecisti nos usque in finem, sed continenter præcepisti nobis per sanctos tuos prophetas, et in fine dierum istorum illuxisti nobis per unigenitum Filium tuum Dominum Deum et Salvatorem nostrum Jesum Christum : qui ex Spiritu sancto et ex sancta **678** Domina nostra Deipara semper Virgine Maria carnem assumens et homo factus, demonstravit nobis vias salutis, concedens nobis supernam re-

[28] Psal. CXII, 5, 6. [29] Joan. I, 3.

A οὐ νομικὸν αἷμα, οὐ σαρκὸς δικαίωμα, ἀλλὰ πνευματικὸν μέν ἐστι τὸ πρόβατον, ἡ μάχαιρα δὲ λογική τε καὶ ἀσώματος. Ταύτην οὖν σοι προκομίζοντες τὴν θυσίαν, αἰτοῦμέν σε, φιλάνθρωπε, καθάρισον ἡμῶν τὰ χείλη, καὶ πάσης ὑλικῆς ἐπιμιξίας τὸν νοῦν ἡμῶν ἐλευθέρωσον. Ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος, καὶ καταξίωσον ἡμᾶς ἀσπάσασθαι ἀλλήλους ἐν φιλήματι ἁγίῳ, εἰς τὸ μετασχεῖν ἀκατακρίτως τῆς ἀθανάτου καὶ ἐπουρανίου σου δωρεᾶς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ, κ.τ.λ.

Καὶ γίνεται ὁ ἀσπασμός.

Ὁ διάκονος λέγει· Στῶμεν καλῶς.

Ὁ ἱερεὺς ἐκφωνήσει· Ὁ Κύριος μετὰ πάντων ὑμῶν.

B *Ὁ λαὸς λέγει·* Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεὺς λέγει· Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ λαὸς λέγει· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεὺς λέγει· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ λαὸς λέγει· Ἄξιον καὶ δίκαιον.

Ὁ ἱερεὺς λέγει· Ἄξιον καὶ δίκαιον· ἄξιον καὶ δίκαιον· ἀληθῶς ἄξιόν ἐστι καὶ δίκαιον.

Ἀρχὴ τῆς προσκομιδῆς

Ὁ ὢν Δέσποτα Κύριε, ὁ Θεὸς τῆς ἀληθείας, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, καὶ βασιλεύων εἰς τοὺς αἰῶνας· ὁ ἐν ὑψηλοῖς κατοικῶν εἰς τὸν αἰῶνα, καὶ τὰ ταπεινὰ ἐφορῶν· ὁ ποιήσας οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· ὁ Πατὴρ τοῦ Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν C Ἰησοῦ Χριστοῦ, δι' οὗ τὰ πάντα ἐποίησας, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα· ὁ καθήμενος ἐπὶ θρόνου τῆς ἁγίας δόξης τῆς βασιλείας σου· ὁ παρὰ πάσης ἁγίας δυνάμεως προσκυνούμενος.

Ὁ διάκονος λέγει· Οἱ καθήμενοι, ἀναστῆτε.

Ὁ ἱερεύς· Ὧ παραστήκουσιν ἄγγελοι καὶ ἀρχάγγελοι, ἀρχαὶ καὶ ἐξουσίαι, θρόνοι, κυριότητες καὶ δυνάμεις.

Ὁ διάκονος λέγει· Εἰς ἀνατολὰς βλέπετε.

Οἱ παρίστανται κύκλῳ σου, τὰ πολυόμματα χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα σεραφὶμ, διὰ παντὸς ὑμνοῦντα, καὶ βοῶντα καὶ λέγοντα.

Ὁ διάκονος λέγει· Πρόσχωμεν.

Ὁ λαὸς λέγει· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ.

D Ἅγιος, ἅγιος, ἅγιος εἶ ἀληθῶς, Κύριε ὁ Θεὸς ἡμῶν· ὃς ἔπλασας ἡμᾶς, καὶ ἔθου ἡμᾶς ἐν τῷ παραδείσῳ τῆς τρυφῆς. Παραβάντας δὲ τὴν ἐντολήν σου διὰ τῆς ἀπάτης τοῦ ὄφεως, καὶ ἐκπεσόντας ἡμᾶς ἐκ τῆς αἰωνίου ζωῆς, καὶ ἐξορισθέντας ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, οὐκ ἀπέῤῥιψας ἡμᾶς εἰς τέλος, ἀλλὰ διὰ παντὸς ἐπεσκέψω ἡμᾶς διὰ τῶν ἁγίων σου προφητῶν, καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐπεφάνης ἡμῖν τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς, ἐκ Πνεύματος ἁγίου καὶ ἐκ τῆς ἁγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας σαρκωθεὶς καὶ ἐνανθρωπήσας, ὑπέδειξεν ἡμῖν ὁδοὺς σωτηρίας, χα-

ρισάμενος ἡμῖν τὴν ἄνωθεν ἀναγέννησιν ἐξ ὕδατος A καὶ πνεύματος, καὶ ἐποίησεν ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον· ἡγίασεν ἡμᾶς τῷ Πνεύματί σου τῷ ἁγίῳ. Ὃς ἠγάπησε τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, ἔδωκεν ἑαυτὸν ἀντίλυτρον τῷ βασιλεύοντι ἡμῶν θανάτῳ, ἐν ᾧ κατειχόμεθα πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν, καὶ κατελθὼν διὰ τοῦ σταυροῦ εἰς τὸν ᾅδην, ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀνελθὼν εἰς οὐρανοὺς, ἐκάθισεν ἐν δεξιᾷ σου τοῦ Πατρὸς, ὁρίσας ἡμέραν ἀνταποδόσεως, καθ' ἣν ἐπιφανεὶς κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.

Ὁ λαὸς λέγει· Κατὰ τὸ ἔλεός σου, Κύριε, καὶ μὴ, κ.τ.λ.

Ὁ ἱερεύς· Κατέλιπε δὲ ἡμῖν τοῦτο τὸ μέγα τῆς εὐσεβείας μυστήριον. Μέλλων γὰρ παραδοῦναι ἑαυτὸν B εἰς θάνατον, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς,

Ὁ λαὸς λέγει· Πιστεύομεν·

Ἔλαβεν ἄρτον ἐπὶ τῶν ἁγίων καὶ ἀμώμων καὶ μακαρίων αὐτοῦ χειρῶν· ἀναβλέψας εἰς τὰ ὕψη τῶν οὐρανῶν πρὸς σὲ τὸν ἑαυτοῦ Πατέρα, Θεὸν ἡμῶν καὶ Θεὸν ὅλων· εὐχαριστήσας.

Ὁ λαός· Ἀμήν.

Εὐλογήσας.

Ὁ λαός· Ἀμήν

Ἁγιάσας.

Ὁ λαός· Ἀμήν.

Κλάσας, μετέδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών· « Λάβετε, φάγετε. Τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν κλώμενον καὶ C διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. »

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, κεράσας ἐξ οἴνου καὶ ὕδατος, εὐχαριστήσας.

Ὁ λαός· Ἀμήν.

Εὐλογήσας.

Ὁ λαός· Ἀμήν.

Ἁγιάσας.

Ὁ λαός· Ἀμήν.

Γευσάμενος, πάλιν ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών· « Λάβετε, πίετε ἐξ αὐτοῦ πάντες. Τοῦτό μού ἐστι τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, πίνητε δὲ D καὶ τὸ ποτήριον τοῦτο, τὸν ἐμὸν θάνατον καταγγέλλετε καὶ τὴν ἐμὴν ἀνάστασιν, καὶ ἀνάληψιν ὁμολογεῖτε, ἄχρις οὗ ἂν ἔλθω. »

Ὁ λαὸς λέγει· Ἀμὴν, ἀμήν, ἀμήν. Τὸν θάνατόν σου, Κύριε, κ.τ.λ.

Ὁ ἱερεὺς λέγει· Μεμνημένοι τοίνυν καὶ ἡμεῖς τῶν ἁγίων αὐτοῦ παθημάτων, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν σου τοῦ Θεοῦ καὶ Πατρὸς καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς πάλιν ἐλεύσεως, τὰ σὰ ἐκ τῶν σῶν δώρων σοι προσφέρομεν, κατὰ πάντα, καὶ διὰ πάντα, καὶ ἐν πᾶσιν.

Ὁ λαὸς λέγει· Σὲ αἰνοῦμεν, σὲ εὐλογοῦμεν.

Ὁ διάκονος λέγει· Κλίνατε Θεῷ μετὰ φόβου.

[30] I Cor. XI, 24. [31] ibid. 25, 26

generationem ex aqua et spiritu, et fecit nos sibi populum acquisitum: sanctificavit nos Spiritu tuo sancto. Qui dilexit suos qui erant in mundo, deditque seipsum redemptionem regnanti super nos morti, in qua detinebamur venundati sub peccato: cumque descendisset per crucem in infernum, resurrexit ex mortuis tertia die: et cum ascendisset in cœlum, sedit ad dexteram tuam Patris, definiens diem retributionis, in quo manifestatus judicabit orbem in justitia, et reddet unicuique secundum opus suum.

Populus: Secundum misericordiam tuam, Deus, et non, etc.

Sacerdos: Reliquit nobis hoc magnum pietatis mysterium. Cum enim traditurus foret seipsum in mortem pro mundi vita,

Populus: Credimus.

Accepit panem in sanctas, immaculatas, et beatas suas manus, cumque aspexisset in excelsa cœlorum ad te Patrem suum, Deum nostrum et Deum universorum: et cum gratias egisset.

Populus: Amen.

Benedixit.

Populus: Amen.

Sanctificavit.

Populus: Amen.

Fregit, dedit sanctis suis discipulis et apostolis, dicens: « Accipite, manducate. Hoc est corpus meum quod pro vobis et multis frangitur et datur in remissionem peccatorum. Hoc facite in meam commemorationem [30]. »

Similiter et calicem postquam cœnassent, cum miscuisset ex vino et aqua, gratias egit.

Populus: Amen.

Benedixit.

Populus: Amen.

Sanctificavit.

Populus: Amen.

Gustavit, et postea dedit sanctis suis discipulis et apostolis, dicens [31]: « Accipite, bibite ex eo omnes. Hic est sanguis meus novi testamenti, qui pro vobis et multis effunditur in remissionem peccatorum. Hoc facite in meam commemorationem. Quotiescunque enim manducaveritis panem hunc, et calicem hunc bibetis, mortem meam annuntiabitis et resurrectionem, ascensionemque meam confitemini, donec veniam. »

Populus: Amen. Amen. Amen. Mortem tuam, Domine, etc.

Sacerdos: Memores igitur et nos sanctarum ipsius passionum, et resurrectionis a mortuis, atque **679** ad cœlos ascensionis, sessionisque ad dextram tuam Dei et Patris, gloriosique et timendi secundi adventus, tua ex tuis donis tibi offerimus, pro omnibus, propter omnia, et in omnibus.

Populus: Te laudamus; tibi benedicimus.

Diaconus: Inclinamini Deo cum timore.

Sacerdos dicit secreto : Rogamus et deprecamur A te, amator hominum, bone Domine, nos peccatores et indigni servi tui, et adoramus te cum beneplacito bonitatis tuæ : ut veniat Spiritus tuus sanctus super nos servos tuos, et super proposita hæc dona tua, sanctificetque et efficiat ea Sancta sanctorum.

Diaconus : Attendamus.

Populus : Amen.

Sacerdos alta voce : Et faciat panem quidem istum fieri corpus sanctum ipsius Domini Dei et Salvatoris nostri Jesu Christi, in remissionem peccatorum, et vitam æternam, ex illo participantibus.

Populus : Amen.

Sacerdos : Et calicem hunc, pretiosum sanguinem B Novi Testamenti ipsius Domini Dei et Salvatoris nostri Jesu Christi, in remissionem peccatorum, et vitam æternam, ex illo participantibus.

Populus : Amen. Kyrie eleison, *ter.*

Et nos fac dignos, Domine, communicandi mysteriis tuis sanctis, ad sanctificationem animæ, corporis, et spiritus, ut efficiamur unum corpus et unus spiritus; et inveniamus partem, consequamurque hæreditatem cum omnibus sanctis qui a sæculo tibi placuerunt.

Memento, Domine, sanctæ, unicæ, catholicæ tuæ Ecclesiæ, et pacatam fac eam, quam acquisivisti pretioso sanguine Christi tui.

In primis memento, Domine, sancti Patris nostri C archiepiscopi abba N. papæ et patriarchæ magnæ urbis Alexandriæ, quem dignare sanctis tuis Ecclesiis præstare in pace salvum, gloriosum, sanum, longævum, recte dispensantem verbum veritatis, et pascentem gregem tuum in pace.

Memento, Domine, orthodoxorum, presbyterorum, omnisque ordinis diaconi, et ministerii, omniumque virginitatem servantium et omnis fidelissimi populi tui.

Memento nostri, Domine, ut omnium nostrum miserearis simul et semel.

Populus : Miserere nostri, Deus Pater omnipotens.

D *Sacerdos :* Miserere nostri, Deus Pater omnipotens, *ter.*

Populus : Kyrie eleison, *ter.*

Sacerdos : Memento etiam, Domine, salutis urbis nostræ hujus, et eorum qui cum fide Dei habitant in ea.

Memento, Domine, aeris, et fructuum terræ.

680 Memento, Domine, pluviarum, et sementum terræ.

Memento, Domine, exundationis aquarum fluvialium juxta mensuram.

Lætifica etiam et renova faciem terræ : sulcos ejus inebria, multiplica genimina ejus. Præsta no-

Ὁ ἱερεὺς λέγει ἐν ἑαυτῷ· Καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ Κύριε, ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, καὶ προσκυνοῦμέν σε εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς τοὺς δούλους σου, καὶ ἐπὶ τὰ προκείμενά σου δῶρα ταῦτα, καὶ ἁγιάσαι καὶ ἀναδεῖξαι Ἅγια ἁγίων.

Ὁ διάκονος λέγει· Προσχῶμεν.

Ὁ λαὸς λέγει· Ἀμήν.

Ὁ ἱερεὺς ἐκφωνήσει· Καὶ ποιήσῃ τὸν μὲν ἄρτον τοῦτον γίνεσθαι εἰς τὸ ἅγιον σῶμα αὐτοῦ τοῦ Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν τὴν αἰώνιον τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Ὁ λαὸς λέγει· Ἀμήν.

Ὁ ἱερεὺς λέγει· Τὸ δὲ ποτήριον τοῦτο, τὸ τίμιον αἷμα τὸ τῆς καινῆς διαθήκης αὐτοῦ τοῦ Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν τὴν αἰώνιον τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Ὁ λαὸς λέγει· Ἀμήν. Κύριε, ἐλέησον, γʹ.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μεταλαβεῖν τῶν ἁγίων σου μυστηρίων, εἰς ἁγιασμὸν ψυχῆς, καὶ σώματος, καὶ πνεύματος, ἵνα γενώμεθα ἓν σῶμα καὶ ἓν πνεῦμα, καὶ εὕρωμεν μέρος καὶ κλῆρον ἔχειν μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων σοι.

Μνήσθητι, Κύριε, τῆς ἁγίας, μόνης, καθολικῆς σου Ἐκκλησίας, καὶ εἰρήνευσον αὐτὴν, ἣν περιεποιήσω ἐν τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου.

